This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

**Usage guidelines**

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

**About Google Book Search**

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`

2° Liturg. 451 h

Digitized by Google

<36628683120015
<36628683120015
Bayer. Staatsbibliothek
Digitized by Google

Digitized by Google

Digitized by Google

# ΤΡΙΩΔΙΟΝ

## ΨΥΧΩΦΕΛΕΣΤΑΤΟΝ,

Περιέχον τὴν πρέπουσαν τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ ἅπασαν Ἀκολουθίαν, τυπωθέν.

Καὶ ἐπιμελείᾳ διορθωθέν.

ΕΝ ΒΩΝΟΝΙΑ.

αψκδ.

SUPERIORUM PERMISSU.

Digitized by Google

Triodion

Bayerische
Staatsbibliothek
München

Digitized by Google

# ΤΡΙΩΔΙΟΝ

## ΣΥΝ ΘΕΩ ΑΓΙΩ

### Περιέχον τὴν πρέπουσαν αὐτῷ Ἀκολουθίαν.

Τῇ Κυριακῇ, ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερὸν, καὶ ἅγιον Εὐαγγέλιον τῆς παραβολῆς τοῦ Τελώνου, καὶ τοῦ Φαρισαίου,
Ὀψὲ Σαββάτου μετὰ τὸν προοιμιακὸν Ψαλμὸν, στιχολογοῦμεν τὸ Μακάριος ἀνὴρ. τὸ α΄. κάθισμα
ὅλον τοῦ Ψαλτηρίου, εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν
τῆς Ὀκτωήχου στιχηρὰ ἀναστάσιμα γ΄. καὶ ἀνατολικὰ δ΄. καὶ τοῦ
Τριῳδίου ἰδιόμελα β΄. δευτεροῦντες τὸ ἕν. ἦχος α΄.

Μὴ προσευξώμεθα φαρισαϊκῶς ἀδελφοί. ὁ γὰρ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ταπεινωθῶμεν ἐναντίον τοῦ Θεοῦ, τελωνικῶς διὰ νηστείας κράζοντες· ἱλάσθητι ἡμῖν ὁ Θεός τοῖς ἁμαρτωλοῖς.

Ὁ αὐτός.

Φαρισαῖος κενοδοξίᾳ νικώμενος, καὶ Τελώνης τῇ μετανοίᾳ κλινόμενος, προσῆλθον σοι τῷ μόνῳ Δεσπότῃ· ἀλλ' ὁ μὲν καυχησάμενος, ἐστερήθη τῶν ἀγαθῶν· ὁ δὲ μὴ φθεγξάμενος, ἠξιώθη τῶν δωρεῶν· ἐν τούτοις τοῖς στεναγμοῖς, στήριξόν με Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Δευτεροῦντες τὸ α΄. Δόξα. ἦχος πλ. δ΄.

Παντοκράτορ Κύριε, οἶδα, πόσα δύνανται τὰ δάκρυα. Ἐζεκίαν γὰρ ἐκ τῶν πυλῶν τοῦ θανάτου ἀνήγαγον· τὴν ἁμαρτωλὸν ἐκ τῶν χρονίων πταισμάτων ἐρρύσαντο· τὸν δὲ Τελώνην ὑπὲρ τὸν Φαρισαῖον ἐδικαίωσαν· καὶ δέομαι, σὺν αὐτοῖς ἀριθμήσας, ἐλέησόν με.

Καὶ νῦν θεοτ. τὸ α΄. τοῦ ἤχου· εἰς τὴν Λιτὴν στιχηρὰ τοῦ Ἁγίου τῆς Μονῆς ὡς σύνηθες, εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου, Τὰ κατ' ἀλφάβητον.

Δόξα. ἦχος πλ. α΄.

Βεβαρημένων τῶν ὀφθαλμῶν μου ἐκ τῶν ἀνομιῶν μου, οὐ δύναμαι ἀτενίσαι, καὶ ἰδεῖν τὸν αἰθέρα τοῦ Οὐρανοῦ· ἀλλὰ δέξαι με, ὡς τὸν Τελώνην, μετανοοῦντα Σωτὴρ, καὶ ἐλέησόν με.

Καὶ νῦν τῆς Ὀκτωήχου θεοτ. ἦχος ὁ αὐτός.

Ναὸς, καὶ πύλη ὑπάρχεις, παλάτιον, καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστός ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων Δικαιοσύνης, φωτίσαι θέλων, οὓς ἔπλασε κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ· διὸ πανύμνητε, ὡς μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον, τὸ Θεοτόκε Παρθένε· λέγεται ἐκ τρίτου, καὶ γίνεται εὐλόγησις τῶν Ἄρτων, καὶ ἡ διάδοσις, καὶ Ἀνάγνωσις μεγάλη. Ἰστέον, ὅτι τὴν Ἀκολουθίαν τοῦ ἐπιλαχόντος Ἁγίου ἐν τῇ Κυριακῇ, ψάλλομεν τῇ Παρασκευῇ εἰς τὸ Ἀπόδειπνον· εἰ μήπου τύχῃ Ἁγίου Μνήμη, εἰς τὸν Ὄρθρον μετὰ τὸν Ἑξάψαλμον, τὸ Θεὸς Κύριος εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, καὶ λέγομεν τὸ ἀναστάσιμον Ἀπολυτίκ. ἐκ β΄. τὸ δὲ θεοτ. ἅπαξ. ἡ συνήθης στιχολογία τὰ Καθίσ. τῆς Ὀκτωήχου· οἱ Ἀναβαθμοὶ τοῦ Ἤχου, τὸ Προκείμενον, τὸ Πᾶσα πνοή. Εὐαγγέλιον ἑωθινὸν τοῦ ὕψους. Ἀνάστασιν Χριστοῦ θεασάμενοι. ὁ ν΄. Δόξα, ἦχος πλ. δ΄.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα. ὀρθρίζει γὰρ τὸ πνεῦμα μου πρὸς ναὸν τὸν ἅγιόν σου· ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ' ὡς οἰκτίρμων κάθαρον εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν, θεοτοκίον Ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε, αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

Εἶτα, ἦχος πλ. β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ βοῶ σοι. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Οἱ Κανόνες οἱ ἀναστάσιμοι τῆς Ὀκτωήχου, καὶ τῆς Θεοτόκου· εἶτα τοῦ Τελωνίου εἰς ς'. ποίημα Γεωργίου. οὗ ἡ ἀκροστιχίς.

Ἐν τοῖς θεοτοκίοις Γεωργίου. ᾠδὴ α'. ἦχος πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας.

Παραβολαῖς ἐμβιβάζων πάντας Χριστὸς πρὸς βίου διόρθωσιν, τὸν Τελώνην ἀνυψοῖ ἐκ τῆς ταπεινώσεως, δεικνὺς Φαρισαῖον τῇ ἐπάρσει ταπεινούμενον.

Ἐκ ταπεινώσεως γέρας ὑψοποιόν, ἐκ δὲ τῆς ἐπάρσεως πτῶμα βλέπων χαλεπόν, τοῦ Τελώνου ζήλου τὰ καλά, καὶ τὴν φαρισαϊκὴν κακίαν μίσησον.

Ἐξ ἀπονοίας κενοῦται πᾶν ἀγαθόν, ἐκ δὲ ταπεινώσεως καθαιρεῖται πᾶν κακόν· ἥνπερ ἀσπασώμεθα πιστοί, βδελυττόμενοι σαφῶς τρόπον κενόδοξον.

Τὸ ταπεινόφρονας εἶναι τοὺς ἑαυτοῦ Μαθητὰς βουλόμενος ὁ τῶν πάντων Βασιλεύς· παραινῶν ἐδίδασκε, ζηλοῦν τὸν Τελώνου στεναγμόν, καὶ τὴν ταπείνωσιν.

Ὡς ὁ Τελώνης στενάζω, καὶ ὀδυρμοῖς ἀσιγήτοις, Κύριε, νῦν προσέρχομαι τῇ σῇ εὐσπλαγχνίᾳ· οἴκτειρον κἀμέ, ταπεινώσει τὴν ζωὴν νῦν διεξάγοντα.

Θεοτοκίον.

Γνώμην, βουλήν, προσδοκίαν, σῶμα, ψυχήν, καὶ τὸ πνεῦμα, Δέσποινα, ἀνατίθημι πρὸς σέ· δυσχερῶν ἐχθρῶν, καὶ πειρασμῶν, καὶ μελλούσης ἀπειλῆς ῥῦσαι καὶ σῶσόν με.

ᾨδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σύ.

Ἀπὸ κοπρίας, καὶ παθῶν ταπεινὸς ἀνυψοῦται· ἀρετῶν ἀπὸ ὕψους καταπίπτει δὲ δεινῶς ὑψηλοκάρδιος πᾶς, οὗ τὸν τρόπον τῆς κακίας φύγωμεν.

Κενοδοξία ἐκκενοῖ πλοῦτον δικαιοσύνης, τῶν παθῶν δὲ σκορπίζει ἡ ταπείνωσις πλῆθος, ἣν μιμουμένους ἡμᾶς, τῆς μερίδος δεῖξον τοῦ Τελώνου, Σωτήρ.

Ὡς ὁ Τελώνης, καὶ ἡμᾶς τύπτοντες εἰς τὸ στῆθος, κατανύξει βοῶμεν, Ἱλάσθητι, ὁ Θεός, ἡμῖν τοῖς ἁμαρτωλοῖς, ὅπως τούτου λάβωμεν τὴν ἄφεσιν.

Πρὸς ζῆλον ἔλθωμεν, πιστοί, κατορθοῦντες τὸ πρᾶον, ταπεινώσει συζῶντες, ἐν καρδίας στεναγμῷ, κλαυθμῷ τε, καὶ προσευχῇ, ὅπως σχῶμεν ἐκ Θεοῦ συγχώρησιν.

Ἀποβαλλώμεθα, πιστοί, τὸν ὑπέρογκον κόμπον, ἀπόνοιαν δεινήν τε, καὶ τύφον τὸν βδελυκτόν, καὶ τὴν κακίστην Θεῷ Φαρισαίου ἀπρεπῆ ὠμότητα.

Θεοτοκίον.

Ἐν σοὶ τῇ μόνῃ προσφυγῇ πεποιθὼς μὴ ἐκπέσω τῆς καλῆς προσδοκίας, ἀλλὰ τύχοιμι τῆς σῆς βοηθείας ἁγνή, πάσης βλάβης δυσχερῶν ῥυόμενος.

Κάθισμα. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ταπείνωσις ὕψωσε κατῃσχυμμένον κακοῖς Τελώνην στενάξαντα, καὶ τό, Ἱλάσθητι, τῷ κτίσῃ βοήσαντα· ἔπαρσις δὲ καθεῖλεν ἀπὸ δικαιοσύνης δείλαιον Φαρισαῖον, μεγαλορρημονοῦντα· ζηλώσωμεν διὸ τὰ καλά, κακῶν ἀπεχόμενοι.

Δόξα, ἕτερον ὅμοιον.

Ταπείνωσις ὕψωσε πάλαι Τελώνην κλαυθμῷ βοήσαντα, Ἱλάσθητι, καὶ ἐδικαίωσεν· αὐτὸν μιμησώμεθα ἅπαντες, οἱ εἰς βάθος τῶν κακῶν ἐμπεσόντες. κράξωμεν τῷ Σωτῆρι ἀπὸ βάθους καρδίας, ἡμάρτομεν, ἱλάσθητι μόνε φιλάνθρωπε.

Καὶ νῦν, θεοτοκίον ὅμοιον.

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, Κυρία πανάμωμε· λῦσον τὰς περιστάσεις τῶν εἰς σὲ προστρεχόντων· σκέδασον μηχανίας, καὶ κατάβαλε θράσος, τῶν ὁπλιζομένων ἀθέως, πάναγνε, κατὰ τῶν δούλων σου.

ᾨδὴ δ'. Χριστός μου δύναμις, Θεός, καὶ Κύριος.

Ἀρίστην ἔδειξεν ὁδὸν ὑψώσεως τὴν ταπείνωσιν Λόγος ταπεινωθεὶς μέχρι καὶ μορφῆς δουλικῆς· ἣν ἐκμιμούμενος, ἅπας ἀνυψοῦται ταπεινούμενος.

Ὑψώθη δίκαιος, καὶ καταπέπτωκε Φαρισαῖος, ἐν πλήθει δὲ τῶν κακῶν βρίθων, τεταπείνωται, ἀλλ' ἀνυψώθη Τελώνης, παρ' ἐλπίδα δικαιούμενος.

Πενίας πρόξενος ἐκ πλούτου τῶν ἀρετῶν ἡ ἀπόνοια ὤφθη, καὶ πορισμὸς αὖθις ἡ ταπείνωσις δικαιοσύνης ἐξ ἄκρας ἀπορίας, ἣν κτησώμεθα.

Προέφης, Δέσποτα, τοῖς μεγαλόφροσιν ἀντιτάσσεσθαι πάντως, καὶ ταπεινοῖς χάριν σὴν παρέχων, Σωτήρ· ταπεινωθεῖσι νῦν ἡμῖν τὴν σὴν χάριν ἐξαπόστειλον.

Πρὸς θείαν ὕψωσιν ἀεὶ ἀνάγων ἡμᾶς, ὁ Σωτήρ, καὶ Δεσπότης ὑψοποιὸν ἔδειξε ταπείνωσιν· τοὺς πόδας γὰρ τῶν Μαθητῶν, αὐτοχείρως ἐναπένιψεν.

Θεοτοκίον.

Ὡς φῶς ἀπρόσιτον, Παρθένε, τέξασα, τῆς ψυχῆς μου τὸ σκότος φωτιστικῇ αἴγλῃ διασκέδασον, καὶ σωτηρίας πρὸς τρίβους τὴν ζωήν μου χειραγώγησον.

ᾨδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Τοῦ Φαρισαίου τὰς ἀρετὰς ἀσπαζόμενοι μιμεῖσθε, καὶ ζηλοῦτε τὴν τοῦ Τελώνου ταπείνωσιν, τὸ ἐν ἑκα-

ἑκα-

ἑκατέροις μισοῦντες ἄτοπον, ἀπόνοιαν, καὶ λύμην τῶν παραπτώσεων.

Δικαιοσύνης δρόμος κενὸς ἤλεγκται, συζεύξας ἐν αὐτῷ ὁ Φαρισαῖος τὴν οἴησιν· αὖθις δὲ Τελώνης ὑψοποιῷ ἀρετῇ κτησάμενος συνέμπορον τὴν ταπείνωσιν.

Ἁρματηλάτης ἐν ἀρεταῖς ᾤετο δραμεῖν Φαρισαῖος, ἀλλὰ πεζὸς παρακλύδιον ἅρμα διαθέων, καλῶς προέλαβε, συζεύξας ὁ Τελώνης οἴκτῳ ταπείνωσιν.

Τὴν τοῦ Τελώνου παραβολὴν πάντες ἀναπτύξαντες τῷ νῷ, δεῦτε ζηλώσωμεν δάκρυσι, πνεῦμα συντετριμμένον Θεῷ προσάγοντες, τὴν τῶν ἁμαρτημάτων ζητοῦντες ἄφεσιν.

Τὸν ὑψαυχῆ τε, καὶ μοχθηρὸν, ἀλαζονικόν τε, καὶ θρασῆ πόῤῥω ἀπώσωμεν ἔμφρονες. Φαρισαίου τρόπον δεινὸν, μεγάλαυχον, ὅπως μὴ γυμνωθῶμεν τῆς θείας χάριτος.

Θεοτοκίον.

Ῥάβδον δυνάμεως, ἀγαθὴ, πᾶσιν ἐξαπόστειλον ἡμῖν, τοῖς ἐπὶ σοὶ καταφεύγουσι, κατακυριεύειν ἐν μέσῳ πάντων ἐχθρῶν παρέχουσα, καὶ πάσης βλάβης ἐξαίρουσα.

Ὠδὴ ϛ΄. Τοῦ βίου τὴν θάλασσαν.

Τοῦ βίου τὸ στάδιον ὁ Τελώνης ἐν ταυτῷ, καὶ Φαρισαῖος ἔδραμον· ἀλλ᾽ ὁ μὲν ἀπονοίᾳ κατενεχθεὶς, αἰσχρῶς ἐναυάγησεν, ὁ δὲ τῇ ταπεινώσει διεσώζετο.

Τοῦ βίου τὸ δίκαιον, διαμείβοντες ἡμεῖς, δρόμον ἐκμιμησώμεθα· τοῦ Τελώνου μὲν φρόνημα ζηλωτὸν, φύγωμεν δὲ φύσημα βδελυκτὸν Φαρισαίου, καὶ ζησώμεθα.

Τοὺς τρόπους ζηλώσωμεν τοῦ Σωτῆρος Ἰησοῦ, καὶ τὴν αὐτοῦ ταπείνωσιν, οἱ ποθοῦντες τὴν ἄληκτον τῆς χαρᾶς τυχεῖν κατασκήνωσιν, ἐν τῇ χώρᾳ τῶν ζώντων αὐλιζόμενοι.

Ὑπέδειξας, Δέσποτα, τοῖς οἰκείοις Μαθηταῖς ὑψοποιὸν ταπείνωσιν, τῷ λεντίῳ ζωννύμενος τὴν ὀσφὺν, τοὺς πόδας ἀπέπλυνας, καὶ τὸν τρόπον μιμεῖσθαι, παρεσκεύασας.

Τὸν βίον διιέλοντο Φαρισαῖος ἀρεταῖς, καὶ ὁ Τελώνης πταίσμασιν· ἀλλ᾽ ὁ μὲν τὴν ἐξ ὄγκου φρενοβλαβῆ ὑπέστη ταπείνωσιν, ὁ δὲ ἀνυψοῦται, ταπεινόφρων φανείς.

Θεοτοκίον.

Γυμνὸν τῇ ἁπλότητι, τῇ ἀτέχνῳ τε ζωῇ πλασθέντα, παραβάσεως διπλόη περιέβαλέ με ἐχθρὸς, σαρκός τε παχύτητι, νῦν δὲ σῇ μεσιτείᾳ, Κόρη σώζομαι.

Κοντάκιον, ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Φαρισαίου φύγωμεν ὑψηγορίαν, καὶ Τελώνου μάθωμεν ὕψος ῥημάτων ταπεινῶν, ἐν μετανοίᾳ κραυγάζοντες. Σῶτερ τοῦ Κόσμου, ἱλάσθητι τοῖς δούλοις σου.

Ἕτερον Κοντάκ. ἦχος γ΄. Ἡ παρθένος σήμερον.

Στεναγμοὺς προσοίσωμεν τελωνικοὺς τῷ Κυρίῳ, καὶ αὐτῷ προσπέσωμεν ἁμαρτωλοὶ ὡς Δεσπότῃ, θέλει γὰρ τὴν σωτηρίαν πάντων ἀνθρώπων, ἄφεσιν παρέχει πᾶσι μετανοοῦσι, δι᾽ ἡμᾶς γὰρ ἐσαρκώθη, Θεὸς ὑπάρχων Πατρὶ συνάναρχος.

Ὁ Οἶκος.

Ἑαυτοὺς, ἀδελφοὶ, ἅπαντες ταπεινώσωμεν στεναγμοῖς, ὀδυρμοῖς τύψωμεν τὴν συνείδησιν, ἵνα ἐν τῇ κρίσει τότε τῇ αἰωνίᾳ ἐκεῖ ὀφθῶμεν πιστοὶ, ἀνεύθυνοι, τυχόντες ἀφέσεως· ἐκεῖ γάρ ἐστιν ὄντως ἡ ἄνεσις, ἣν ἰδεῖν ἡμᾶς νῦν ἱκετεύσωμεν· ἐκεῖ ὀδύνη ἀπέδρα, λύπη, καὶ οἱ ἐκ βάθους στεναγμοὶ, ἐν τῇ Ἐδὲμ τῇ θαυμαστῇ, ἧς ὁ Χριστὸς δημιουργὸς, Θεὸς ὑπάρχων Πατρὶ συνάναρχος.

Πρόλογος ἐν ἐπιτόμῳ τῶν τοῦ Τριῳδίου Συναξαρίων.

Συναξάρια εἰς τὰς ἐπισήμους Ἑορτὰς τοῦ Τριῳδίου μίαν ἑκάστην αὐτῶν αἰτιολογοῦντα, πῶς, ποτὲ τὸ καταρχὰς γέγονε, καὶ δι᾽ ἣν αἰτίαν οὕτω νῦν ἔχουσι, καὶ παρὰ τῶν ἁγίων, καὶ θεοφόρων Πατέρων ἐτάχθησαν μετά τινων ἐπιστάσεων μερικῶν, ἀρχόμενα ἀπὸ τοῦ Τελώνου, καὶ τοῦ Φαρισαίου, καὶ καταλήγοντα μέχρι τῶν Ἁγίων Πάντων· ὀφείλει τοίνυν τὸ τοῦ Μηναίου Συναξάριον ἐν τῇ Ἑβδόμῃ, πρῶτον ὡς ἔθος ἀναγινώσκεσθαι, μετέπειτα δὲ τὰ παρόντα· ἐρεῖς οὖν μετὰ τὴν ἐκείνων ἀνάγνωσιν οὕτω.

Στίχοι εἰς τὸ Τριῴδιον.

Ὁ δημιουργὸς τῶν ἄνω, καὶ τῶν κάτω,
Τρισάγιον μὲν ὕμνον ἐκ τῶν Ἀγγέλων,
Τριῴδιον δὲ, καὶ παρ᾽ ἀνθρώπων δέχου.

Στίχοι εἰς τὸν Τελώνην, καὶ Φαρισαῖον.

Φαρισαΐζων, ἱεροῦ μακρὰν γίνου.
Χριστὸς γὰρ ἔνδον, ὦ ταπεινοὶ, δεκτοί.

Κατὰ δὲ τὴν παροῦσαν ἡμέραν σὺν Θεῷ καὶ τοῦ Τριῳδίου ἀρχόμεθα, ὃ πολλοὶ μὲν τῶν ἁγίων, καὶ θεοφόρων μυσταγωγῶν ἡμῶν Πατέρων ἄριστα, καὶ ὡς ἐχρῆν, ὑπὸ τοῦ ἁγίου κινούμενοι Πνεύματος, ἐμελούργησαν· πρῶτος δὲ πάντων τοῦτ᾽ ἐπενόησε, τὰς τρεῖς φημὶ τῶν Ὠδῶν, εἰς τύπον οἶμαι τῆς ἁγίας, καὶ ζωαρχικῆς Τριάδος, ὁ μέγας ποιητὴς Κοσμᾶς ἐν τῇ μεγάλῃ, καὶ ἁγίᾳ τῶν Παθῶν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ Ἑβδομάδι, κατὰ τὴν ὀνομασίαν σχεδὸν ἑκάστης ἡμέρας διὰ τῶν ἀκροστιχίδων ἐπινοήσας τὰ μέλη· ἐξ οὗπερ, καὶ οἱ λοιποὶ τῶν Πατέρων, καὶ μᾶλλον τῶν ἄλλων Θεόδωρός τε, καὶ Ἰωσὴφ οἱ Στουδῖται κατὰ ζῆλον ἐκείνου· κἂν ταῖς λοιπαῖς Ἑβδομάσι τῆς ἁγίας μεγάλης Τεσσαρακοστῆς συνθέμενοι, τῇ αὐτῶν Μονῇ τοῦ Στουδίου πρῶτον παραδεδώκασιν, ἐπὶ μᾶλλον τὰς Ὠδὰς κατατάξαντες, καὶ ῥυθμίσαντες, καὶ τἄλλα τοῦ βιβλίου ὅθεν δήποτε παρὰ



Digitized by Google

τῶν Πατέρων ἀθροίσαντες, καὶ ἐρανισάμενοι. Ἐπεὶ οὖν τὴν πρώτην τῶν ἡμερῶν ἡ Κυριακὴ περικλείει ὡς ἀναστάσιμος, πρώτη τε οὖσα, καὶ ὀγδόη, καὶ τελευταία, ἀρίστως διαπραττόμενοι, τῇ δευτέρᾳ τῶν ἡμερῶν τὴν πρώτην ἀνέθεντο τῶν ᾨδῶν, τῇ δ' αὖ γε τρίτῃ τῶν ἡμερῶν τῶν ᾨδῶν τὴν δευτέραν, καὶ τῇ τετάρτῃ τὴν τρίτην, τῇ δὲ πέμπτῃ τὴν τετάρτην, καὶ τῇ ἕκτῃ τὴν πέμπτην, τῇ δὲ ἑβδόμῃ, τῷ Σαββάτῳ δηλαδὴ, αὐτήν τε τὴν ἕκτην, καὶ ἑβδόμην, καὶ τὰς λοιπὰς δύο, ἃς ἐπικοίνως πᾶσαι τῶν ἡμερῶν, ὡς κυριωτέρας ἔχουσιν, ὥσπερ δὴ καὶ ὁ θεῖος Κοσμᾶς ἐν τῷ μεγάλῳ Σαββάτῳ τέθεικε, Τετραῴδιον ἐκεῖσε πεποιηκὼς, κἂν ἐσύστερον ὁ σοφώτατος Βασιλεὺς Λέων κελεύσας, εἰς τέλειον Κανόνα διὰ τοῦ Ἐπισκόπου Ἰδροῦντος, τοῦ μοναχοῦ Μάρκου, εἰργάσατο· καταχρηστικῶς δὲ Τριῴδιον ὀνομάζεται, οὐ γὰρ ἀεὶ Τριῴδια ἔχει, καὶ γὰρ ὁλοτελεῖς Κανόνας περιβάλλεται, ἀλλ' οἶμαι, ἀπὸ τοῦ πλεονάζοντος τὴν ἐπωνυμίαν λαβεῖν, ἢ διὰ τὰ τῆς μεγάλης Ἑβδομάδος, ὡς εἴρηται, πρώτως γινόμενα· σκοπὸς μέντοι τοῖς ἁγίοις ἡμῶν Πατράσι, διὰ τῆς βίβλου τοῦ Τριῳδίου παντὸς ἐν συντόμῳ τὸ πᾶν τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ εὐεργεσίας ἐξ ἀρχῆς ἀναμνῆσαι, καὶ εἰς ὑπόμνησιν πᾶσιν ἐνθεῖναι· ὅπως παρ' αὐτοῦ πλασθέντες, καὶ τὴν δοθεῖσαν πρὸς γυμνασίαν ἐντολὴν ἀθετήσαντες, τῆς τρυφῆς τοῦ Παραδείσου ἐξώσθημεν, καὶ ἀπερρίφημεν φθόνῳ τοῦ ἀρχεκάκου ὄφεως καὶ ἐχθροῦ, καταβληθέντος δι' ἔπαρσιν· καὶ πῶς ἐμένομεν ἀπερριμμένοι τῶν ἀγαθῶν, καὶ ὑπὸ τοῦ διαβόλου ἀγόμενοι· πῶς τε ὁ Υἱὸς τοῦ Θεοῦ, καὶ Λόγος, σπλάγχνοις οἰκείοις παθὼν, κλίνας Οὐρανοὺς κατέβη καὶ Παρθένον ᾤκησε, καὶ δι' ἡμᾶς ἐγένετο ἄνθρωπος· καὶ διὰ τῆς κατ' αὐτὸν πολιτείας τὴν εἰς Οὐρανοὺς ἄνοδον ἐνεφάνισε· διὰ ταπεινώσεως προηγούμενος, καὶ νηστείας, καὶ ἀποχῆς τῶν κακῶν, καὶ τῶν λοιπῶν αὐτοῦ πράξεων· ὅπως τε ἔπαθε, καὶ ἀνέστη, καὶ εἰς Οὐρανοὺς ἀνελήλυθεν αὖθις, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐξαπέστειλε τοῖς ἁγίοις αὐτοῦ Μαθηταῖς, καὶ Ἀποστόλοις· καὶ ὅπως Υἱὸς Θεοῦ, καὶ Θεὸς τέλειος παρὰ τούτων κατὰ πάντα ἀνεκηρύχθη· τί τε αὖθις οἱ θεῖοι Ἀπόστολοι διὰ τῆς χάριτος τοῦ παναγίου ἐνήργησαν Πνεύματος, ὅτι τοὺς ἐκ περάτων Ἁγίους πάντας, ἐν ταυτῷ συνηγάγοντο διὰ τοῦ κηρύγματος, ἀναπληρώσαντας τὸν ἄνω Κόσμον, ὃ δὴ καὶ σκοπὸς ἦν ἀρχῆθεν τῷ κτίσαντι· ἀλλ' ἐν τούτοις μὲν ὁ τοῦ Τριῳδίου σκοπός· Αἱ μέντοι παροῦσαι τρεῖς Ἑορταὶ, τοῦ Τελώνου, τοῦ Φαρισαίου, καὶ τοῦ Ἀσώτου, τῆς δευτέρας Παρουσίας, ὥσπερ τις προγυμνασία, καὶ παρακίνησις τοῖς ἁγίοις Πατράσιν ἐπενοήθησαν, ὥστε παρασκευασθῆναι, καὶ ἑτοίμους ἡμᾶς γενέσθαι πρὸς τοὺς πνευματικοὺς ἀγῶνας τῶν νηστειῶν, τὴν ἐξ ἔθους μυσαρὰν ἕξιν ἀπολιπόντας. Καὶ δὴ πρῶτον πάντων, τὴν τοῦ Τελώνου, καὶ Φαρισαίου παραβολὴν ἡμῖν ἐκτιθέασι, καὶ Προφώνησιν τὴν Ἑβδομάδα κατονομάζουσιν· ὥσπερ γὰρ οἱ πρὸς τοὺς σωματικοὺς πολέμους ἀπιέναι μέλλοντες, ὑπὸ τῶν στρατηγῶν τὸν τοῦ πολέμου καιρὸν προεκμανθάνουσιν, ὡς ἂν τὰ ξίφη διακαθάραντες, καὶ στιλβώσαντες, καὶ τἄλλα πάντα καλῶς διασκευασάμενοι, καὶ πᾶν ἐμποδὼν ἐκ μέσου πεποιηκότες, πρὸς τοὺς ἀγῶνας προθύμως ἐπαποδύσωνται, καὶ τὸ πρὸς χρείαν περιποιήσωνται· πολλάκις δὲ καὶ πρὸ τῆς συμβολῆς, καὶ λόγους, καὶ ἱστορίας, καὶ παραδείγματα αὐτοῖς ἐπιφέρουσιν, εἰς ζῆλον ὑπερεθίζοντες τὰς ἐκείνων ψυχὰς, τόν τε ὄκνον, καὶ δειλίαν, καὶ ῥαθυμίαν, καὶ ἄλλο εἴτι κινδυνῶδες ἀποτρεπόμενοι· οὕτω καὶ οἱ θεῖοι Πατέρες, προσαλπίζουσι τὴν ἐσομένην τῆς νηστείας κατὰ τῶν δαιμόνων παράταξιν, ὡς ἂν εἴτι ταῖς ψυχαῖς ἡμῶν προκατειλημμένον πάθος, καὶ ἰὸν τῷ μακρῷ ἐργασάμενον χρόνῳ ἀποκαθάραντες· ἔτι δὲ, καὶ ὃ μὴ ἔχομεν τῶν ἀγαθῶν, σπουδάσαντες κτήσωμεν, καὶ ὡς προσῆκον καθοπλισάμενοι, οὕτω ἕτοιμοι πρὸς τοὺς τῆς νηστείας ἀγῶνας χωρήσωμεν. Ἐπεὶ τοίνυν πρῶτον ὅπλον πρὸς ἀρετὴν, μεταμέλεια, καὶ ταπείνωσις, καὶ αὖθις ἐμπόδιον πρὸς αὐτὴν μέγιστον, ἀλαζονεία, καὶ ἔπαρσις, τὴν παροῦσαν ἀπὸ τοῦ θείου Εὐαγγελίου ἀξιόπιστον παραβολὴν, πρώτην πασῶν ἐκτιθέασι· διὰ μὲν τοῦ Φαρισαίου, τὸ τῆς ἀλαζονείας καὶ οἰήσεως ἀποθέσθαι πάθους ἡμᾶς προτρεπόμενοι, διὰ δὲ τοῦ Τελώνου πάλιν τὸ ἐναντίον τοῦ πάθους τούτου τῆς ταπεινώσεως καὶ μετανοίας ἀντιποιεῖσθαι· ἐπειδὴ γὰρ πρῶτον καὶ χείριστον τῶν παθῶν, ἡ ἀλαζονεία τε καὶ ἡ οἴησις, ὅτι δι' αὐτὴν καὶ ἡ ἐξ Οὐρανοῦ ἔκπτωσις τῷ διαβόλῳ ἐγένετο, τὸ πρὶν μὲν ἑωσφόρῳ, διὰ δὲ ταῦτα, σκότος καὶ γενομένῳ, καὶ λεγομένῳ, ἀλλὰ δὴ καὶ τῷ γενάρχῃ Ἀδὰμ διὰ ταῦτα ἡ ἀπὸ τῆς τρυφῆς δίωξις. Παραινοῦσι διὰ τούτων, τρόπον τινὰ οἱ Ἅγιοι, μηδένα τινὰ ἐπὶ τοῖς ἑαυτοῦ ἐπαίρεσθαι κατορθώμασι, καὶ τοῦ πέλας κατεξανίστασθαι, ἀλλ' ἀεὶ ταπεινὸν εἶναι. Κύριος γὰρ ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν, κρεῖσσον γὰρ ἐστὶν ἁμαρτάνοντα ἐπιστρέφειν, ἢ κατορθοῦντα ἐπαίρεσθαι· λέγω γάρ, φησιν, ἡμῖν, ὅτι κατέβη ὁ Τελώνης δεδικαιωμένος, ἢ ὁ Φαρισαῖος. Ἐμφαίνει τοίνυν ἡ παραβολὴ, μηδένα τινὰ ἐπαίρεσθαι, κἂν χρηστὰ πράττων ᾖ, ἀλλ' ἀεὶ ταπεινοῦσθαι, καὶ δεῖσθαι ἀπὸ ψυχῆς τοῦ Θεοῦ, κἂν τοῖς ἐσχάτοις κακοῖς περιέπεσεν, ὡς οὐ πόρρω σωτηρίας ἐστί. Τελώνης δέ ἐστιν, ὁ τὰ τέλη ἀπὸ τῶν ἀρχόντων λαμβάνων, καὶ δι' ἄκραν ἀδικίαν ὠνούμενος, καὶ παρακερδαίνων ἐντεῦθεν· Φαρισαῖος δὲ, οἱονεὶ ἀποκεκομμένος τις δῆθεν, καὶ τῶν λοιπῶν ὑπερέχων τῇ γνώσει. Σαδδουκαῖος δὲ ἀπὸ Σαδὼκ τινὸς ἐστὶ δίκαιος, Σεδὲκ γὰρ ἡ δικαιοσύνη. Τρεῖς ἦσαν αἱ παρ' Ἑβραίοις αἱρέσεις, Ἐσσαῖοι, Φαρισαῖοι, καὶ Σαδδουκαῖοι, οἳ οὔτε ἀνάστασιν, οὔτε Ἄγγελον, οὔτε πνεῦμα

εἶναι

Digitized by Google

ἐπὶ δεχόντων· Ταῖς τῶν Ἁγίων πάντων μεγαλουργῶν σου πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Δροσοβόλον μὲν τὴν κάμινον.

ΔΙκαιώσεως τοῖς ἔργοις ἐπαιρόμενος, βρόχοις κενοδοξίας δεινῶς περιεπάρη Φαρισαῖος, ἄμιξα αὐχῶν. Τελώνης δὲ κούφως τῷ πτερῷ τῆς ταπεινώσεως ἀρθεὶς, Θεῷ προσήγγισε.

ΤΑπεινώσεως ὡς κλίμακι, χρησάμενος τρόπῳ Τελώνης, πρὸς Οὐρανῶν ὕψος ἐπήρθη, τῆς ἀλαζονείας δὲ ἀρθεὶς κουφότητι δείλαιος σαθρᾷ ὁ Φαρισαῖος, καταντᾷ πρὸς Ἅδου πέταυρον.

ΤΟὺς δικαίους ἐνεδρεύων μὲν ὁ δόλιος, τρόποις κενοδοξίας συλᾷ, ἁμαρτωλοὺς δὲ βρόχοις ἀπογνώσεως δεσμεῖ· ἀλλ' οὖν ἑκατέρων τῶν κακῶν, οἱ τοῦ Τελώνου ζηλωταὶ ῥυσθῶμεν, σπεύσωμεν.

ΕΝ προσευχῇ ἡμῶν Θεῷ προσπέσωμεν δάκρυσι, καὶ θερμοῖς στεναγμοῖς, ἐκμιμούμενοι τοῦ Τελώνου τὴν ὑψοποιὸν ταπείνωσιν, μέλποντες πιστοὶ, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

ΕΙσηγούμενος τοῖς Μαθηταῖς προέλεγες Δέσποτα, μὴ φρονεῖν ὑψηλὰ, συναπάγεσθαι ταπεινοῖς, διδάσκων δὲ Σῶτερ· διό σοι κραυγάζομεν πιστοὶ, εὐλογητὸς εἶ ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

ΙΑκὼβ σε κλίμακα, καὶ θείαν κλίμακα, κάτωθεν ἣν ἑώρακε πρὶν ἐκτεταμένην πρὸς ὕψος γινώσκομεν, σεμνὴ, καταγαγοῦσαν ἄνωθεν Θεὸν σεσαρκωμένον, καὶ βροτοὺς αὖθις ἀνάγουσαν.

Ὠδὴ ηʹ. Ἐκ φλογὸς τοῖς ὁσίοις.

ΤΑπεινόφρονι γνώμῃ ἵλεων Κύριον ὁ τελώνης στενάξας εὗρε καὶ σέσωσται, τρόπῳ δὲ δεινῷ γλώσσης μεγαλορρήμων τῆς δικαιοσύνης ἐκπίπτει Φαρισαῖος.

ΦΑρισαίου τὸν τῦφον τῆς προαιρέσεως, καὶ τὴν προσηγορίαν τῆς καθαρότητος φύγωμεν, πιστοὶ, ζηλοῦντες τοῦ Τελώνου καλῶς τὴν ἠλεημένην ταπείνωσιν, καὶ γνώμην.

ΤΑς φωνὰς τοῦ Τελώνου, πιστοὶ, φθεγξώμεθα ἱερῷ ἐν ἁγίῳ, ὁ Θεὸς ἱλάσθητι, ἵνα σὺν αὐτῷ τύχωμεν συγχωρήσεως, λύμης μεγαλαύχου ῥυσθέντες Φαρισαίου.

ΣΤεναγμὸν τοῦ Τελώνου πάντες ζηλώσωμεν, καὶ Θεῷ ὁμιλοῦντες θερμοῖς τοῖς δάκρυσι, κράξωμεν αὐτῷ, φιλάνθρωπε ἡμάρτομεν, εὔσπλαγχνε οἰκτίρμων, ἱλάσθητι, καὶ σῶσον.

Εὐλογοῦμεν Πατέρα.

ΣΤεναγμῷ τοῦ Τελώνου Θεὸς ἐπένευσε, δικαιώσας τε τοῦτον, πᾶσιν ὑπέδειξε, κάμπτεσθαι ἀεὶ, στεναγμοῖς τε, καὶ δάκρυσι, τῶν πλημμελημάτων αἰτούμενοι τὴν λύσιν.

Θεοτοκίον.

ΟΥκ ἐπίσταμαι, πλὴν σοῦ, ἄλλην ἀντίληψιν, σὲ προβάλλομαι πρέσβιν, ἁγνὴ πανάμωμε, σὲ πρὸς τὸν ἐκ σοῦ τεχθέντα μεσῖτιν, πάντων τῶν λυπούντων ἐλεύθερόν με δεῖξον.

Ὠδὴ θʹ. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

ΟΔὸν ὑψώσεως, τὴν ταπείνωσιν παρὰ Χριστοῦ λαβόντες σωτηρίας ὑπόδειγμα, τοῦ Τελώνου τὸν τρόπον ζηλώσωμεν, τῦφον ὑπεροψίας πόρρω βαλλόμενοι, γνώμῃ ταπεινόφρονι Θεὸν ἐξιλεούμενοι.

ΨΥχῆς ἀπόνοιαν ἀπωσώμεθα, γνώμην εὐθῆν ἐν ταπεινοφροσύνῃ κτησώμεθα, ἑαυτοὺς δικαιοῦν μὴ σπουδάζωμεν, τὸν τῆς κενοδοξίας τῦφον μισήσωμεν, καὶ σὺν τῷ Τελώνῃ τὸν Θεὸν ἱλεωσώμεθα.

ΛΙτὰς τῷ κτίστῃ οἴκτου προσφέρομεν τελωνικὰς, τὰς φαρισαϊκὰς ἐκτρεπόμενοι ἀχαρίστους εὐχὰς, μεγαλαύχους φωνὰς, αἳ μετὰ τοῦ πλησίον κρίσιν ἐπάγουσιν, ἵνα Θεὸν ἵλεων, καὶ φῶς ἐπισπασώμεθα.

ΠΟλλῶν πταισμάτων ἐσμῷ βαρούμενος, ὑπερβολῇ κακίας τὸν Τελώνην παρήλασα, καὶ τοῦ Φαρισαίου τὸν μεγάλαυχον τῦφον προσεπεκτῶμαι, πάντοθεν ἔρημος, πάντων καθιστάμενος καλῶν, Κύριε φεῖσαί μου.

ΤΗς σῆς ἀξίωσον μακαριότητος τοὺς διὰ σὲ τῷ Πνεύματι πτωχοὺς ἐνυπάρξαντας, εἰσηγήσει γὰρ τῆς σῆς προστάξεως πνεῦμα συντετριμμένον σοὶ προσκομίζομεν. Σῶτερ, προσδεξάμενος, σῶζε τοὺς σοὶ λατρεύοντας.

ΘΕῷ Τελώνης ποτὲ εὐξάμενος, τῷ ἱερῷ πιστῶς προσστανιὰν, δεδικαίωται, στεναγμοῖς γὰρ προσελθὼν, καὶ δάκρυσι, συντριμμῷ τε καρδίας· πάντα ἀπέθετο τῶν ἁμαρτημάτων τὸν φόρτον ἐξιλεώσεσιν.

Θεοτοκίον.

ΥΜνεῖν, δοξάζειν, καὶ μακαρίζειν σε, δίδου ἡμῖν ἀξίως τοῖς τιμῶσί σε πάναγνε, καὶ τὸν τόκον τὸν σὸν μεγαλύνουσι, μόνη εὐλογημένη, σὺ γὰρ τὸ καύχημα τῶν Χριστιανῶν, καὶ πρὸς Θεὸν πρέσβεις εὐπρόσδεκτος.

Ἐξαποστειλάριον, τὸ ἑωθινὸν ἀναστάσιμον. Εἶτα τοῦ Τριῳδίου.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

ΥΨηγορίαν φύγωμεν Φαρισαίου κακίστην, ταπείνωσιν δὲ μάθωμεν τοῦ Τελώνου ἀρίστην, ἵν' ὑψωθῶμεν, βοῶντες τῷ Θεῷ σὺν ἐκείνῳ· ἱλάσθητι τοῖς δούλοις σου, ὁ τεχθεὶς ἐκ Παρθένου, Χριστὲ Σωτὴρ ἑκουσίως, καὶ Σταυρὸν ὑπομείνας συνήγειρας τὸν Κόσμον σου θεϊκῇ δυναστείᾳ.

Θεοτοκίον Ὅμοιον.

ΟΠοιητὴς τῆς κτίσεως, καὶ Θεὸς τῶν ἁπάντων σάρκα βροτείαν ἔλαβεν ἐξ ἀχράντου γαστρός σου, πανύμνητε Θεοτόκε, καὶ φθαρεῖσαν μου φύσιν ὅλην ἀνεκαινούργησε, πάλιν ὡς πρὸ τοῦ τόκου, καταλιπὼν μετὰ τόκον, ὅθεν πίστει σε πάντες ἀνευφημοῦντες κράζομεν· χαῖρε Κόσμου ἡ δόξα.

Εἰς τοὺς Αἴνους στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ'. Καὶ τοῦ Τριῳδίου ἰδιόμ. δ'. Τοὺς δύο πρώτους. Καὶ τοὺς δύο τρίτους. Λέγοντες καὶ τοὺς συνήθως ἀναστασίμους στίχ.

Στίχ. ἰδιόμελ. ἦχος α'.

Μὴ προσευξώμεθα φαρισαϊκῶς, ἀδελφοί, ὁ γὰρ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ταπεινωθῶμεν ἐναντίον τοῦ Θεοῦ τελωνικῶς, διὰ νηστείας κράζοντες, ἱλάσθητι ἡμῖν ὁ Θεὸς τοῖς ἁμαρτωλοῖς.

Ὁ αὐτός.

Φαρισαῖος κενοδοξίᾳ νικώμενος, καὶ Τελώνης τῇ μετανοίᾳ κλινόμενος, προσῆλθον σοι τῷ μόνῳ Δεσπότῃ, ἀλλ' ὁ μὲν καυχησάμενος ἐστερήθη τῶν ἀγαθῶν, ὁ δὲ μὴ φθεγξάμενος ἠξιώθη τῶν δωρεῶν· ἐν τούτοις τοῖς στεναγμοῖς στήριξόν με Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου· ἦχος γ'.

Τοῦ Τελώνου, καὶ τοῦ Φαρισαίου τὸ διάφορον ἐπιγνοῦσα ψυχή μου, τοῦ μὲν μίσησον τὴν ὑπερήφανον φωνήν, τοῦ δὲ ζήλωσον τὴν εὐκατάνυκτον εὐχήν, καὶ βόησον· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ ἐλέησόν με.

Στίχος. Ἐξομολογήσομαί σοι· ἦχος ὁ αὐτός.

Τοῦ Φαρισαίου τὴν μεγάλαυχον φωνήν, πιστοί, μισήσαντες, τοῦ δὲ Τελώνου τὴν εὐκατάνυκτον εὐχὴν ζηλώσαντες, μὴ τὰ ὑψηλὰ φρονῶμεν, ἀλλ' ἑαυτοὺς ταπεινοῦντες, ἐν κατανύξει κράζωμεν· ὁ Θεὸς ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν.

Δόξα, ἦχος πλ. δ'.

Ταῖς ἐξ ἔργων καυχήσεσι Φαρισαῖον δικαιοῦντα ἑαυτὸν κατέκρινας, Κύριε, καὶ Τελώνην μετριοπαθήσαντα, καὶ στεναγμοῖς ἱλασμὸν αἰτούμενον ἐδικαίωσας, οὐ γὰρ προσίεσαι τοὺς μεγαλόφρονας λογισμούς, καὶ τὰς συντετριμμένας καρδίας οὐκ ἐξουθενεῖς· διὸ καὶ ἡμεῖς σοὶ προσπίπτομεν, ἐν ταπεινώσει, τῷ παθόντι δι' ἡμᾶς, παράσχου τὴν ἄφεσιν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν.

Ὑπερδεδοξασμένη ὑπάρχεις· Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Καὶ ἡ συνήθως Λιτή, ἐν ᾗ ψάλλομεν τὸ ἑωθινὸν ἰδιόμ. στιχ. Δεῖ εἰδέναι, ὅτι τὰ ἰδ. ἑωθινὰ στιχηρ· τῶν Εὐαγγελίων ἀπὸ τῆς παρούσης Κυριακῆς, καὶ μέχρι τῶν Ἁγίων πάντων, ἐν ταῖς Λιταῖς τοῦ Ὄρθρου ψάλλονται εἰς τὸ Δόξα, καὶ νῦν.

Ἰστέον δέ, ὅτι ἀπὸ ταύτης τῆς Κυριακῆς ἀρχόμεθα ἀναγινώσκειν μετὰ τὴν ἐν τῷ Νάρθηκι Ἀπόλυσιν τῆς Λιτῆς τὰς Κατηχήσεις τοῦ ἁγίου πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου. Καὶ εἰ μὲν ἐνδημεῖ ὁ Ἡγούμενος, ἀναγινώσκονται παρ' αὐτοῦ, εἰ δ' οὔ, ὑπὸ τοῦ Ἐκκλησιάρχου, ἱσταμένων, καὶ ἀκροωμένων τῶν Ἀδελφῶν.

Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ τῆς Ὀκτωήχου, καὶ ἐκ τοῦ Κανόνος ᾠδὴ ἕκτη. Προκείμενον τοῦ δρόμου τοῦ ἤχου εἰς τὸν Ἀπόστολον.

Ὁ Ἀπόστολος. Πρὸς Τιμόθεον, β'.

Τέκνον Τιμόθεε, παρηκολούθηκάς μου τῇ διδασκαλίᾳ, τῇ ἀγωγῇ, τῇ προθέσει, τῇ πίστει, τῇ μακροθυμίᾳ, τῇ ἀγάπῃ, τῇ ὑπομονῇ, τοῖς διωγμοῖς, τοῖς παθήμασιν, οἷά μοι ἐγένοντο ἐν Ἀντιοχείᾳ, ἐν Ἰκονίῳ, ἐν Λύστροις, οἵους διωγμοὺς ὑπήνεγκα· καὶ ἐκ πάντων με ἐρρύσατο ὁ Κύριος, καὶ πάντες δέ, οἱ θέλοντες εὐσεβῶς ζῆν ἐν Χριστῷ Ἰησοῦ, διωχθήσονται· πονηροὶ δὲ ἄνθρωποι, καὶ γόητες προκόψουσιν ἐπὶ τὸ χεῖρον, πλανῶντες, καὶ πλανώμενοι· σὺ δὲ μένε ἐν οἷς ἔμαθες, καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἐκ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι εἰς σωτηρίαν διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα ἐκ τοῦ ὕψους. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωποι δύο ἀνέβησαν εἰς τὸ ἱερόν. Τέλος· ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται. Κοινωνικόν, Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν.

Χρὴ γινώσκειν, ὅτι ἐν ταύτῃ τῇ Ἑβδομάδι καθ' ἑκάστην ἐσθίομεν τυρὸν καὶ ᾠά.

Τῇ κυριακῇ, ἐν ᾗ ἀναγινώσκεται τὸ ἱερόν, καὶ ἅγιον Εὐαγγέλιον τῆς παραβολῆς τοῦ Ἀσώτου υἱοῦ. Τῷ Σαββάτῳ ἑσπέρας ἐν τῇ ἀγρυπνίᾳ μετὰ τὴν συνήθως στιχολογίαν, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. Καὶ ψάλλομεν στιχη. τῆς Ὀκτωήχου ἀναστάσιμα γ'. καὶ ἀνατολικὰ γ'. καὶ τοῦ Τριῳδίου ἰδιόμελ. δύο, δευτεροῦντες αὐτά,

Ἦχος α'.

Εἰς ἀναμάρτητον χώραν, καὶ ζωηρὰν ἐπιστεύθην, γεωσπορήσας τὴν ἁμαρτίαν, τῇ δρεπάνῃ ἐθέρισα τοὺς στάχυας τῆς ἀμελείας, καὶ δραγμάτων ἐστοίβασα πράξεών μου τὰς θημωνίας, ἃς καὶ κατέστρωσα, οὐχ ἅλωνι τῆς μετανοίας· ἀλλ' αἰτῶ σε, τὸν προαιώνιον γεωργὸν ἡμῶν Θεόν, τῷ ἀνέμῳ τῆς σῆς φιλευσπλαγχνίας ἀπολίκμησον τὸ ἄχυρον τῶν ἔργων μου, καὶ σιτάρκησον τῇ ψυχῇ μου τὴν ἄφεσιν, εἰς τὴν οὐράνιόν σου συγκλείων με ἀποθήκην, καὶ σῶσόν με. Δίς.

Ἐπιγνῶμεν, ἀδελφοί, τοῦ μυστηρίου τὴν δύναμιν, τὸν γὰρ ἐκ τῆς ἁμαρτίας πρὸς τὴν πατρικὴν ἑστίαν ἀναδραμόντα ἄσωτον υἱὸν ὁ πανάγαθος Πατὴρ προϋπαντήσας ἀσπάζεται, καὶ πάλιν τῆς οἰκίας δόξης χαρίζεται τὰ γνωρίσματα, καὶ μυστικὴν τοῖς ἄνω ἐπιτελεῖ εὐφροσύνην, θύων τὸν μόσχον τὸν σιτευτόν, ἵνα ἡμεῖς ἀξίως πολιτευσώμεθα, τῷ τε θύσαντι φιλανθρώπῳ Πατρί, καὶ τῷ ἐνδόξῳ θύματι, τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Δίς.

Δό-

Digitized by Google

Δόξα, ἦχος β'.

Ὢ πόσων ἀγαθῶν ὁ ἄθλιος ἐμαυτὸν ἐστέρησα· ὢ ποίας Βασιλείας ἐξέπεσα ὁ ταλαίπωρος ἐγώ· τὸν πλοῦτον ἐξανάλωσα, ὅνπερ ἔλαβον· τὴν ἐντολὴν παρέβην· οἴμοι τάλαινα ψυχή, τῷ πυρὶ τῷ αἰωνίῳ λοιπὸν καταδικάσῃ, διὸ πρὸ τέλους βόησον Χριστῷ τῷ Θεῷ, ὡς τὸν Ἄσωτον δέξαι με υἱόν, ὁ Θεός, καὶ ἐλέησόν με.

Καὶ νῦν, Θεοτ. Τὸ πρῶτον τοῦ Ἤχου.

Εἴσοδος, τὸ Φῶς ἱλαρόν. Προκείμενον, ὁ Κύριος ἐβασίλευσεν· εἰς τὴν Λιτὴν ὡς συνήθως, τὸ στιχηρὸν τοῦ Ἁγίου τῆς Μονῆς. Ἀποστίχ. τῆς Ὀκτωήχου.

Δόξα ἰδιόμελον, ἦχος πλ. β'.

Τῆς πατρικῆς δωρεᾶς διασκορπίσας τὸν πλοῦτον, ἀλόγοις συνεβοσκόμην ὁ τάλας κτήνεσι, καὶ τῆς αὐτῶν ὀρεγόμενος τροφῆς ἐλιμώττον· μὴ χορταζόμενος· ἀλλ' ὑποστρέψας πρὸς τὸν εὔσπλαγχνον Πατέρα, κραυγάζω σὺν δάκρυσι· δέξαι με ὡς μίσθιον, προσπίπτοντα τῇ φιλανθρωπίᾳ σου, καὶ σῶσόν με.

Καὶ νῦν Θεοτ. ἦχος ὁ αὐτός.

Ὁ Ποιητὴς καὶ λυτρωτής μου πάναγνε, Χριστὸς ὁ Κύριος ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώτης κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι πάναγνε, ὡς τοῦ Θεοῦ Μητρὶ, καὶ Παρθένῳ ἀληθῶς, βοῶμεν ἀσιγήτως τὸ Χαῖρε τοῦ Ἀγγέλου· χαῖρε Δέσποινα, προστασία, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Ἀπολυτίκιον. Θεοτόκε Παρθένε ἐκ γ'. καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς ἀγρυπνίας, ὡς συνήθως. Ἐν τῷ Ὄρθρῳ, εἰς τὸ Θεὸς Κύριος, τροπ. τῆς Ὀκτωήχου ἀναστάσιμον· καὶ τὸ Θεοτ. ἡ συνήθως στιχολ. Οἱ Ἀναβαθμοὶ τοῦ Ἤχου. τὸ, Πᾶσα Πνοή. Καὶ Εὐαγγέλιον ἑωθινόν· εἶτα, Δόξα, ἦχος πλ. δ'.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα· ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς Ναὸν τὸν ἅγιόν σου, ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ' ὡς οἰκτίρμων κάθαρον, εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν Θεοτ. Ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε, αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με, πάσης ἀκαθαρσίας.

Εἶτα, ἦχος πλ. β'.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ βοῶ σοι· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Οἱ Κανόνες οἱ ἀναστάσιμοι, καὶ τῆς Θεοτόκου. Καὶ τοῦ Τριῳδίου εἰς ς'. Τοῦ δὲ Μηναίου τὴν Ἀκολουθίαν ψάλλομεν εἰς τὰ Ἀπόδειπνα τῇ Παρασκευῇ ἑσπέρας. Ὁ Κανών.

Ὠδὴ α'. ἦχος β'.

Τὴν Μωσέως ᾠδήν.

Ἰησοῦ ὁ Θεὸς, μετανοοῦντα δέξαι νῦν κἀμὲ, ὡς τὸν Ἄσωτον υἱὸν, πάντα τὸν βίον ἐν ἀμελείᾳ ζήσαντα, καὶ σὲ παροργίσαντα.

Ὃν μοι δέδωκας πρὶν, κακῶς ἐσκόρπισα θεῖον πλοῦτον, ἐμακρύνθην ἀπὸ σοῦ ἀσώτως ζήσας εὔσπλαγχνε Πάτερ, δέξαι οὖν κἀμὲ ἐπιστρέφοντα.

Τὰς ἀγκάλας νυνὶ τὰς πατρικὰς προσαναπλώσας, δέξαι Κύριε κἀμὲ ὥσπερ τὸν Ἄσωτον, πανοικτίρμον, ὅπως εὐχαρίστως δοξάζω σε.

Θεοτοκίον.

Ἐν ἐμοὶ ὁ Θεὸς πᾶσαν δεικνὺς ἀγαθωσύνην, ἐπειδὲ μου τὴν πληθὺν τῶν ἐγκλημάτων, ὡς εὐεργέτης, θείαις τῆς Μητρός σου δεήσεσι.

Καταβασίας δὲ λέγομεν τοὺς εἱρμοὺς τοῦ Κανόνος.

Τὴν Μωσέως ᾠδὴν ἀναλαβοῦσα βόησον ψυχὴ, βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σω-
„ τηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν.

Ὠδὴ γ'. Στερεωθέντα μου τὸν νοῦν.

Ἔξω ὅλος ἐμαυτοῦ γεγονὼς, φρενοβλαβῶς προσεκολλήθην τοῖς παθῶν ἐφευρεταῖς· ἀλλὰ δέξαι με Χριστὲ, ὥσπερ τὸν Ἄσωτον.

Τοῦ Ἀσώτου τὴν φωνὴν ἐκμιμούμενος βοῶ, ἥμαρτον Πάτερ, ὡς ἐκεῖνον οὖν, κἀμὲ ἐναγκάλισαι νυνὶ, καὶ μὴ ἀπώσῃ με.

Τὰς ἀγκάλας σου, Χριστὲ, ὑφαπλώσας συμπαθῶς, ὑπόδεξαί με, ἀπὸ χώρας μακρᾶς, ἁμαρτίας, καὶ παθῶν ἐπαναστρέφοντα.

Θεοτοκίον.

Ἡ καλὴ ἐν γυναιξὶ καταπλούτισον κἀμὲ καλῶν ἰδέαις, ἁμαρτίαις πολλαῖς τὸν πτωχεύσαντα ἁγνὴ, ὅπως δοξάζω σε.

Ὁ Εἱρμός.

Στερεωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς, ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ
„ τῶν ἀγαθῶν τῇ εὐσπλαγχνίᾳ σου.

Καθ. ὅπερ λέγομεν ἐκ δευτέρου, ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Ἀγκάλας πατρικὰς διανοῖξαι μοι σπεῦσον· ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον, εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν τῶν οἰκτιρμῶν σου Σῶτερ. νῦν πτωχεύουσαν μὴ ὑπερίδῃς καρδίαν, σοὶ γὰρ Κύριε ἐν κατανύξει κραυγάζω· ἥμαρτον Πάτερ εἰς τὸν Οὐρανὸν, καὶ ἐνώπιόν σου.

Δόξα, τὸ αὐτό· καὶ νῦν Θεοτ. Ὅμοιον.

Ἀνύμφευτε ἁγνὴ, Θεοτόκε Παρθένε, ἡ μόνη τῶν πιστῶν προστασία, καὶ σκέπη, κινδύνων καὶ θλίψεων, καὶ δεινῶν περιστάσεων, πάντας λύτρωσαι,

Digitized by Google

σαι, τοὺς ἐπὶ σοὶ τὰς ἐλπίδας, Κόρη, ἔχοντας, καὶ τὰς ψυχὰς ἡμῶν σῶσον ταῖς θείαις πρεσβείαις σου.

Ὠδὴ δ'. Τὴν ἐκ Παρθένου σου γέννησιν.

ΠΛοῦτον καλὸν, ὅν μοι δέδωκας, ἐπουράνιε Πάτερ, διεσκόρπισα κακῶς, ξένοις πολίταις δουλούμενος· διὸ βοῶ σοι, ἥμαρτόν σοι δέξαι με, ὡς τὸν Ἄσωτον πάλαι, ὑφαπλώσας τὰς ἀγκάλας μοι τὰς σάς.

ΠΆσῃ κακίᾳ δεδούλωμαι, ὑποκύψας ἀθλίως τοῖς παθῶν δημιουργοῖς, καὶ ἐμαυτοῦ ἔξω γέγονα ἀπροσεξίᾳ· οἰκτειρόν με Σῶτερ, ἐπουράνιε Πάτερ, προσφυγόντα τοῖς πολλοῖς σου οἰκτιρμοῖς.

ΠΆσης αἰσχύνης πεπλήρωμαι, μὴ τολμῶν ἀτενίσαι εἰς τὸ ὕψος Οὐρανοῦ· καὶ γὰρ ἀλόγως ὑπέκυψα τῇ ἁμαρτίᾳ· νῦν δὲ ἐπιστρέφων, ἐκβοῶ κατανύξει· ἥμαρτόν σοι, δέξαι με Παμβασιλεῦ.

Θεοτοκίον.

ἩΤῶν ἀνθρώπων βοήθεια, ἡ ἐλπὶς ἡ βεβαία πάντων τῶν Χριστιανῶν· τὸ καταφύγιον ἄχραντε τῶν σωζομένων, σῶσόν με Παρθένε μητρικαῖς σου πρεσβείαις, καὶ μελλούσης καταξίωσον ζωῆς.

Ὁ Εἱρμός.

ΤῊν ἐκ Παρθένου σου γέννησιν ὁ Προφήτης προβλέπων, ἀνεκήρυττε βοῶν, τὴν ἀκοήν σου „ ἀκήκοα καὶ ἐφοβήθην, ὅτι ἀπὸ Θαιμὰν, καὶ ἐξ „ ὄρους ἁγίου κατασκίου ἐπεδήμησας Χριστέ.

Ὠδὴ ε'. Τῆς νυκτὸς διελθούσης.

ἘΔουλώθην πολίταις ξένοις, καὶ εἰς χώραν τὴν φθοροποιὸν ἀπεδήμησα, καὶ ἐπλήσθην αἰσχύνης· νῦν δὲ ἐπιστρέφων κράζω σοι Οἰκτίρμον, τὸ Ἥμαρτον.

ΤᾺ πατρῷα σου σπλάγχνα νῦν ὑπάνοιξόν μοι ἀπὸ τῶν κακῶν ἐπιστρέφοντι, ἐπουράνιε Πάτερ· καὶ μή με ἀπώσῃ, ἔχων ὑπερβάλλον τὸ ἔλεος.

ΟΥ' τολμῶ ἀτενίσαι ἄνω εἰς τὸ ὕψος, ἄμετρα Χριστὲ παροργίσας σε· ἀλλ' εἰδὼς σου Οἰκτίρμον τὸ εὔσπλαγχνον, κράζω. Ἥμαρτον, ἱλάσθητι καὶ σῶσόν με.

Θεοτοκίον.

ΠΑναγία Παρθένε, Κεχαριτωμένη, ἡ τὸν ἱλασμὸν πάντων τέξασα, τῶν ἡμῶν ἐγκλημάτων τὸ βαρὺ φορτίον σου ταῖς ἱκεσίαις ἐλάφρυνον.

Ὁ Εἱρμός.

ΤΗ͂ς νυκτὸς διελθούσης, ἤγγικεν ἡ ἡμέρα· καὶ τὸ φῶς τῷ Κόσμῳ ἐπέλαμψε· διὰ τοῦτο ὑμνεῖ σε „ τάγματα Ἀγγέλων, καὶ δοξολογεῖ σε, Χριστὲ „ ὁ Θεός.

Ὠδὴ ς'. Βυθῷ ἁμαρτημάτων.

ΒΥθὸς ἁμαρτημάτων συνέχει με ἀεὶ, καὶ τρικυμία πταισμάτων βυθίζει με· κυβέρνησον πρὸς λιμένα με ζωῆς, Χριστὲ ὁ Θεός, καὶ σῶσόν με, Βασιλεῦ τῆς δόξης.

ΤῸν πλοῦτον τὸν πατρῷον ἐσκόρπισα δεινῶς· καὶ πενιτεύσας, αἰσχύνης πεπλήρωμαι, δουλούμενος τοῖς ἀκάρποις λογισμοῖς· διό σοι βοῶ φιλάνθρωπε, οἰκτειρόν με σῶσον.

ΛΙμῷ καταφθαρέντα παντοίων ἀγαθῶν, καὶ ξενωθέντα ἐκ σοῦ ὑπεράγαθε, οἰκτείρησον ἐπιστρέφοντά με νῦν, καὶ σῶσον, Χριστὲ, ὑμνοῦντα σου τὴν φιλανθρωπίαν.

Θεοτοκίον.

ΣΩτῆρα, καὶ Δεσπότην κυήσασα Χριστὸν, τῆς σωτηρίας με κόρη ἀξίωσον, πτωχεύσαντα ἐκ παντοίων ἀγαθῶν, Παρθένε ἁγνὴ, ἵνα ὑμνῶ τὰ σὰ μεγαλεῖα.

Ὁ Εἱρμός.

ΒΥθῷ ἁμαρτημάτων συνέχομαι Σῶτερ, καὶ ἐν πελάγει τοῦ βίου βυθίζομαι· ἀλλ' ὥσπερ τὸν „ Ἰωνᾶν ἐκ τοῦ θηρὸς, κἀμὲ τῶν παθῶν ἀνάγαγε, „ καὶ διάσωσόν με.

Κοντάκιον ἦχος γ'. Ἡ Παρθένος σήμερον.

ΤΗ͂ς πατρῴας δόξης σου ἀποσκιρτήσας ἀφρόνως, ἐν κακοῖς ἐσκόρπισα, ὅν μοι παρέδωκας πλοῦτον· ὅθεν σοι τὴν τοῦ Ἀσώτου φωνὴν προσφέρω. Ἥμαρτον ἐνώπιόν σου, Πάτερ οἰκτίρμον· δέξαι με μετανοοῦντα, καὶ ποίησόν με ὡς ἕνα τῶν μισθίων σου.

Ὁ Οἶκος.

ΤΟῦ Σωτῆρος ἡμῶν καθ' ἑκάστην διδάσκοντος διὰ οἰκείας φωνῆς τῶν Γραφῶν ἀκουσώμεθα, περὶ τοῦ Ἀσώτου, καὶ σώφρονος πάλιν, καὶ τούτου πίστει ἐκμιμησώμεθα τὴν καλὴν μετάνοιαν· τῷ κατιδόντι πάντα τὰ κρύφια μετὰ ταπεινῆς καρδίας κράζωμεν, Ἡμάρτομέν σοι Πάτερ οἰκτίρμον, καὶ οὐκ ἐσμὲν ἄξιοι ποτὲ, κληθῆναι τέκνα ὡς πρίν· ἀλλ' ὡς φύσει ὑπάρχων φιλάνθρωπος, σὺ προσδέχου, καὶ ποίησόν με, ὡς ἕνα τῶν μισθίων σου.

Καὶ γίνεται ἡ Ἀνάγνωσις πρῶτον τοῦ Συναξαρίου τοῦ Μηναίου. Εἶθ' οὕτω καθεξῆς ἡ τοῦ Τριῳδίου.

Στιχ.

Ἄσωτος εἶπις ὡς ἐγὼ, θαῤῥῶν ἴθι.

Θείου γὰρ οἴκτου πᾶσιν ἤνοικται θύρα.

ΤΗ͂ αὐτῇ ἡμέρᾳ, τὴν τοῦ Ἀσώτου υἱοῦ ἐπανάκλησιν ἑορτάζομεν, ἣν οἱ θειότατοι Πατέρες ἡμῶν δευτέραν ἐν τῷ Τριῳδίῳ ἐνέταξαν διὰ αἰτίαν τοιαύτην· ἐπειδὴ γάρ εἰσί τινες, πολλὰ τῶν ἀτόπων ἑαυτοῖς συνειδότες, ἀσώτως τε ἐκ νεωτέρας πάνυ τῆς ἡλικίας βιοῦντες, καὶ μέθαις καὶ ἀσελγείαις σχολάζοντες, καὶ εἰς βυθὸν οὕτω κακῶν ἀποπεσόντες, πρὸς ἀπόγνωσιν ἔρχονται, ἥτις δὴ γέννημα ἐστὶ τῆς ἀλαζονείας· κἀντεῦθεν πρὸς ἐπιμέλειαν ἀρετῆς οὐδαμῶς ἔρχεσθαι βούλονται, καὶ τὸν τῶν κακῶν ἑσμὸν προβαλλόμενοι, τοῖς αὐτοῖς, καὶ χείροσι τῶν κακῶν ἀεὶ περιπίπτουσι· φιλανθρώπως, καὶ πατρικῶς οἱ Ἅγιοι Πατέρες, καὶ πρὸς τοὺς τοιούτους τῶν ἀνθρώπων ἔχοντες, καὶ ἀπαγαγεῖν τῆς ἀπογνώσεως θέλοντες, τὴν τοιαύτην παραβολὴν ἐνταῦθα μετὰ τὴν πρώτην ἐνέταξαν· πρόῤῥιζον τὸ τῆς ἀπογνώσεως ἀνασπῶντες πάθος, καὶ πρὸς

ἀρετῆς

ἀρετῆς ἀνάληψιν διεγείροντες, καὶ τὰ φιλάνθρωπα, καὶ ὑπεράγαθα τοῦ Θεοῦ σπλάγχνα, τοῖς πλεῖστα ἐπταικόσι, διὰ τοῦ Ἀσώτου δεικνύοντες· ὡς οὐκ ἔστιν οὐδὲν τῶν ἁμαρτημάτων, ὃ τὴν ἐκείνου φιλάνθρωπον γνώμην νικήσει, ἐξ αὐτῆς τῆς παραβολῆς τοῦ Χριστοῦ αὐτὸ παριστάνοντες. Δύο μὲν οὖν εἰσὶν υἱοὶ τοῦ ἀνθρώπου, ἤτοι τοῦ θεανθρώπου Λόγου, οἱ δίκαιοι, καὶ οἱ ἁμαρτωλοί· ὁ μὲν οὖν πρεσβύτερός ἐστιν, ὁ ἐν ταῖς ἐντολαῖς αὐτοῦ, καὶ τῷ καλῷ ἀεὶ ἐπιμένων τοῦ Θεοῦ, καὶ μηδ᾽ ὁποσοῦν αὐτοῦ ἀφιστάμενος, νεώτερος δὲ, ὁ τὴν ἁμαρτίαν ποθήσας, καὶ τὴν μετὰ Θεοῦ συνδιαγωγὴν, διὰ τῶν αἰσχρῶν πράξεων ἀρνησάμενος, καὶ τὴν περὶ αὐτὸν τοῦ Θεοῦ φιλανθρωπίαν ἐκδαπανήσας, ἀσώτως πολιτευσάμενος· ὡς μὴ τὸ κατ᾽ εἰκόνα σῶον διατηρῶν· καὶ τῷ πονηρῷ δαίμονι ἐξακολουθήσας· καὶ δουλεύσας διὰ τῶν ἡδονῶν τοῖς ἐκείνου θελήμασι, καὶ μὴ δυνηθεὶς τὴν ἐπιθυμίαν ἐμπλῆσαι· ἀκόρεστον γάρτοι πρᾶγμα ἡ ἁμαρτία, θέλγουσα τῇ συνηθείᾳ, διὰ τοῦ προσκαίρου ἡδύνοντος· ἣν δὴ καὶ κερατίοις παρεικάζει, ὡς χοίρων οὖσαν τροφὴν, τὰ γὰρ κεράτια, πρῶτον μὲν γλυκύτητα προβάλλονται, ὕστερον δὲ τραχύνοντες, καὶ ἀχυρώδεις ἀποτελοῦσιν, ἃ πάντως κέκτηται καὶ ἡ ἁμαρτία. Μόλις οὖν ἀνανήψας ὁ Ἄσωτος, ὡς τῷ λιμῷ τῆς ἀρετῆς ἀπολλύμενος, ἔρχεται πρὸς τὸν πατέρα, λέγων, Πάτερ, ἥμαρτον εἰς τὸν Οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου. Ὁ δὲ δέχεται τοῦτον μετανοοῦντα, μὴ ὀνειδίζων, ἀλλὰ περιπλεκόμενος, καὶ ἀγκαλιζόμενος, τὰ θεϊκὰ, καὶ πατρικὰ σπλάγχνα ἐπιδεικνύς· καὶ δίδωσιν αὐτῷ ἔνδυμα, τὸ ἅγιον δηλαδὴ Βάπτισμα, καὶ σφραγῖδα, καὶ ἀῤῥαβῶνα, τὴν χάριν τοῦ παναγίου Πνεύματος· πρὸς δὴ τούτοις, καὶ ὑποδήματα, ἵνα μηκέτι ὑπὸ τῶν ὄφεων, καὶ σκορπίων πλήττηται τὰ κατὰ Θεὸν αὐτοῦ διαβήματα, ἀλλὰ μᾶλλον τὰς ἐκείνων κάρας συντρίβειν ἔχῃ. Μετέπειτα δὲ τῷ ὑπερβάλλοντι τῆς χαρᾶς, καὶ τὸν μόσχον δι᾽ αὐτὸν θύει τὸν σιτευτὸν, τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ὁ πατὴρ, καὶ τῆς σαρκὸς αὐτοῦ δίδωσι μετασχεῖν, καὶ τοῦ αἵματος. Κἂν θαυμάζων ὁ πρεσβύτερος υἱὸς τὴν ὑπεράπειρον αὐτοῦ εὐσπλαγχνίαν, λέγει ὅσα δῆτα καὶ εἴρηκεν· ὁ δὲ φιλάνθρωπος κἀκεῖνον ἐπιστομίζει, ἐπανάγων ἠρέμα λόγοις ἠπίοις, καὶ προσηνέσι. Σὺ πάντοτε μετ᾽ ἐμοῦ εἶ, λέγων, καὶ χαρῆναι προσῆκε, καὶ τῷ πατρὶ συνησθῆναι, ὅτι ὁ υἱός μου οὗτος νεκρὸς ἦν τῇ ἁμαρτίᾳ τὸ πρότερον, καὶ ἀνέζησε, μετανοήσας ἐφ᾽ οἷς ἔπραττε παραλόγοις· καὶ ἀπολωλὼς ὡς μακρὰν μου γενόμενος τῇ συνηθείᾳ τῶν ἡδονῶν, καὶ εὑρέθη δι᾽ ἐμοῦ σπλάγχνοις οἰκείοις παθόντος, καὶ τῷ συμπαθεῖ τῆς γνώμης μετακαλεσαμένου αὐτόν. Δύναται δὲ ἡ παραβολὴ αὕτη καὶ πρὸς τὸν τῶν Ἑβραίων λαὸν, καὶ ἡμᾶς ἐκληφθῆναι· διὰ ταύτην οὖν τὴν αἰτίαν καὶ ἡ παραβολὴ αὕτη ἐνταῦθα παρὰ τῶν Ἁγίων Πατέρων ἐτάχθη, ἀνασπῶσα μὲν, ὡς εἴρηται, τὴν ἀπόγνωσιν, καὶ δειλίαν τοῦ τῶν καλῶν ἔργων ἅπτεσθαι, προτρέπουσα δὲ εἰς μετάνοιάν τε, καὶ μεταμέλειαν τὸν, ὡς τὸν Ἄσωτον, ἁμαρτήσαντα· ἥτις δὴ καὶ ὅπλον ἐστὶ μέγιστον εἰς ἀποτροπὴν τῶν τοῦ ἐναντίου βελῶν, καὶ ἀμυντήριον κραταιόν. Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Τὰ Χερουβὶμ μιμούμενος.

ΤΑῖς ἡδοναῖς τοῦ σώματος ὑπέκυψα παναθλίως, καὶ ἐδουλώθην ὅλως τοῖς τῶν παθῶν ἐφευρεταῖς· καὶ ξένος ἐγενόμην ἀπὸ σοῦ, φιλάνθρωπε· νῦν δὲ κράζω τὴν τοῦ Ἀσώτου φωνὴν, Ἡμάρτηκα, Χριστὲ, μή με ὑπερίδῃς, ὡς μόνος ἐλεήμων.

ἈΝαβοῶ τὸ ἥμαρτον, μὴ δ᾽ ὅλως ἐνατενίσαι ἀποτολμῶν εἰς ὕψος τοῦ Οὐρανοῦ, Παμβασιλεῦ· ὅτι ἐν ἀφροσύνῃ μόνος σε παρώργισα, ἀθετήσας τὰ σὰ προστάγματα· διὸ, ὡς μόνος ἀγαθὸς, μή με ἀποῤῥίψῃς ἀπὸ τοῦ σοῦ προσώπου.

ΤΩν Ἀποστόλων, Κύριε, καὶ Προφητῶν, καὶ Ὁσίων, καὶ τῶν σεπτῶν Μαρτύρων, καὶ τῶν Δικαίων πρεσβείαις, συγχώρησόν μοι πάντα, ἅπερ ἐπλημμέλησα, παροργίσας, Χριστὲ, τὴν ἀγαθότητά σου· ὅπως ὑμνολογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

ΤΩν Χερουβὶμ φανεῖσα, καὶ Σεραφὶμ, Θεοτόκε, καὶ πάσης λαμπροτέρα ἐπουρανίου στρατιᾶς· σὺν τούτοις ἐκδυσώπει, ὅνπερ ἐσωμάτωσας θεῖον Λόγον, πανάμωμε, ἀνάρχου Πατρὸς, ὅπως τῶν ἀγαθῶν τῶν αἰωνιζόντων πάντες ἀξιωθῶμεν.

Ὁ Εἱρμός.

ΤΑ Χερουβὶμ μιμούμενοι Παῖδες ἐν τῇ καμίνῳ, ἐχόρευον, βοῶντες, εὐλογητὸς εἶ ὁ Θεός· ὅτι ἐν
„ ἀληθείᾳ, καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα διὰ τὰς
„ ἁμαρτίας ἡμῶν, ὁ ὑπερύμνητος, καὶ δεδοξασμέ-
„ νος εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ η΄. Τὸν ἐν τῇ βάτῳ.

ὉΚαταβὰς ἐπὶ γῆς εἰς τὸ σῶσαι τὸν Κόσμον ἑκουσίῳ πτωχείᾳ διὰ ἔλεος πολύ, πτωχεύσαντά με πάσης νῦν ἀγαθοεργίας, ὡς ἐλεήμων, σῶσον.

ἈΠὸ τῶν σῶν ἐντολῶν μακρυνθεὶς, ἐδουλώθην παναθλίως τῷ πλάνῳ· ἐπιστρέφοντα δὲ νῦν, τὸν Ἄσωτον ὡς πάλαι, προσπίπτοντά σοι δέξαι, ἐπουράνιε Πάτερ.

ΦΘοροποιοῖς λογισμοῖς ὑπαχθεὶς ἠμαυρώθην, καὶ ἐκ σοῦ ἐμακρύνθην, ὅλως ἔξω ἐμαυτοῦ γενόμενος, οἰκτίρμον· διὸ ἐν μετανοίᾳ προσπίπτοντά σοι σῶσον.

Θεοτοκίον.

ΘΕογεννῆτορ ἁγνὴ, ἡ τῶν κατεῤῥαγμένων ἐπανόρθωσις μόνη, ἐπανόρθωσον κἀμὲ παντοίαις ἁμαρτίαις συντετριμμένον ὅλον, καὶ τεταπεινωμένον.



Digitized by Google

Ὁ Εἱρμός.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτὲ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τῶν γηγενῶν τίς ἤκουσε.

Ἴδε, Χριστὲ, τὴν θλῖψιν τῆς καρδίας, ἴδε μου τὴν ἐπιστροφήν, ἴδε τὰ δάκρυα, Σωτὴρ, καὶ μὴ παρίδῃς με· ἀλλ' ἐναγκάλισαι πάλιν δι' εὐσπλαγχνίαν, πληθύϊ σωζομένων συναριθμῶν, ὅπως ὑμνῶ εὐχαρίστως τὰ ἐλέη σου.

Ὡς ὁ Λῃστὴς βοῶ τὸ, Μνήσθητί μου· ὡς ὁ Τελώνης κατηφὴς, τύπτω τὸ στῆθος, καὶ κράζω νῦν τὸ, Ἱλάσθητι, ὥσπερ τὸν Ἄσωτον δέξαι μετανοοῦντα ἐκ πάντων τῶν κακῶν μου Παμβασιλεῦ, ὅπως ὑμνῶ σου τὴν ἄκραν συγκατάβασιν.

Στέναξον νῦν, ψυχή μου παναθλία, καὶ ἀναβόησον Χριστῷ· ὁ δι' ἐμὲ ἑκουσίως πτωχεύσας, Κύριε· πτωχεύσαντά με ἐκ πάσης ἀγαθοεργίας, καλῶν παρουσίᾳ, ὡς ἀγαθὸς, καὶ πολυέλεος μόνος, καταπλούτισον.

Ἥνπερ ποτὲ εἰργάσω εὐφροσύνην τῇ τοῦ Ἀσώτου, ἀγαθὲ, ἐπιστροφῇ ἑκουσίῳ, ταύτην νῦν ποίησον καὶ ἐπ' ἐμοὶ τῷ ἀθλίῳ, προσαναπλῶν μοι τὰς σὰς σεπτὰς ἀγκάλας· ἵνα σωθεὶς, ὑμνολογῶ σου τὴν ἄκραν συγκατάβασιν.

Θεοτοκίον.

Φωτιστικαῖς πρεσβείαις σου, Παρθένε, τοὺς νοερούς μου ὀφθαλμοὺς ἐσκοτισμένους κακίᾳ φώτισον, δέομαι· καὶ πρὸς ὁδοὺς μετανοίας εἰσάγαγέ με· ὅπως χρεωστικῶς σε ὑμνολογῶ, τὴν ὑπὲρ λόγον τὸν Λόγον σωματώσασαν.

Ὁ Εἱρμός.

Τῶν γηγενῶν τίς ἤκουσε τοιοῦτον; ἢ τίς ἑώρακε ποτέ; ὅτι Παρθένος εὑρέθη ἐν γαστρὶ ἔχουσα, καὶ ἀνωδίνως τὸ βρέφος ἀποτεκοῦσα· τοιοῦτόν σου τὸ θαῦμα, καὶ σὲ ἁγνὴ, Θεοκυῆτορ Μαρία, μεγαλύνομεν.

Ἐξαποστειλάριον. Εἶτα τὰ παρόντα τοῦ Τριῳδίου.

Γυναῖκες ἀκουτίσθητε.

Τὸν πλοῦτον, ὅν μοι δέδωκας, τῆς χάριτος, ὁ ἄθλιος ἀποδημήσας ἀχρείως, κακῶς ἐσπάθησα, Σῶτερ, ἀσώτως ζήσας, δαίμοσι δολίως διεσκόρπισα· διό με ἐπιστρέφοντα, ὥσπερ τὸν Ἄσωτον, δέξαι, Πάτερ οἰκτίρμον, καὶ σῶσον.

Ἄλλο Ὅμοιον.

Ἐσκόρπισα τὸν πλοῦτόν σου, ἐκδαπανήσας, Κύριε, καὶ πονηροῖς δαιμονίοις καθυπετάγην ὁ τάλας· ἀλλὰ Σωτὴρ πανεύσπλαγχνε τὸν Ἄσωτον οἰκτείρησον, καὶ ῥυπωθέντα κάθαρον, τὴν πρώτην ἀποδιδούς μοι στολὴν τῆς σῆς Βασιλείας.

Θεοτοκίον Ὅμοιον.

Ἁγία Μητροπάρθενε, τὸ μέγα περιήχημα τῶν Ἀποστόλων, Μαρτύρων, καὶ Προφητῶν, καὶ Ὁσίων, τὸν σὸν Υἱὸν, καὶ Κύριον ἱλέωσαι τοῖς δούλοις σου ἡμῖν, Θεογεννήτρια, ὅταν καθίσῃ τοῦ κρῖναι τὰ κατ' ἀξίαν ἑκάστου.

Εἰς τοὺς Αἴνους, στιχηρὰ τῆς Ὀκτωήχου ἀναστάσιμα δ'. καὶ ἀνατολικὸν α'. Καὶ τοῦ Τριῳδίου ἰδιόμ. στιχ. γ'. τὸν β'. τῆς δ'. καὶ τῆς πλ. δ'.

Λέγομεν δὲ καὶ τοὺς συνήθως στίχ. Ἦχος β'.

Τὴν τοῦ Ἀσώτου φωνὴν προσφέρω σοι, Κύριε. Ἥμαρτον ἐνώπιον τῶν ὀφθαλμῶν σου, ἀγαθέ· ἐσκόρπισα τὸν πλοῦτον τῶν χαρισμάτων σου· ἀλλὰ δέξαι με μετανοοῦντα, Σωτὴρ, καὶ σῶσόν με.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε, ἐν ὅλῃ καρδίᾳ μου. Ἦχος δ'.

Ὡς ὁ Ἄσωτος υἱός, ἦλθον κἀγὼ, οἰκτίρμον, ὁ τὸν βίον ὅλον δαπανήσας ἐν τῇ ἀποδημίᾳ· ἐσκόρπισα τὸν πλοῦτον, ὃν δέδωκάς μοι, Πάτερ, δέξαι με μετανοοῦντα ὁ Θεός, καὶ ἐλέησόν με.

Στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ. Ἦχος πλ. δ'.

Δαπανήσας ἀσώτως τῆς πατρικῆς οὐσίας τὸν πλοῦτον, καὶ καταναλώσας, ἔρημος γέγονα, ἐν τῇ χώρᾳ οἰκήσας τῶν πονηρῶν πολιτῶν· καὶ μηκέτι φέρων τὸ μετὰ τούτων συνοικέσιον, ἐπιστρέψας, βοῶ σοι τῷ οἰκτίρμονι Πατρί. Ἥμαρτον εἰς τὸν Οὐρανὸν, καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος, κληθῆναι υἱός σου· ποίησόν με ὡς ἕνα τῶν μισθίων σου, ὁ Θεὸς, καὶ ἐλέησόν με.

Δόξα, ἦχος πλ. β'.

Πάτερ ἀγαθὲ, ἐμακρύνθην ἀπὸ σοῦ, μὴ ἐγκαταλίπῃς με, μηδὲ ἀχρεῖον δείξῃς τῆς Βασιλείας σου. Ὁ ἐχθρὸς ὁ παμπόνηρος ἐγύμνωσέ με, καὶ ἦρέ μου τὸν πλοῦτον· τῆς ψυχῆς τὰ χαρίσματα, ἀσώτως διεσκόρπισα· ἀναστὰς οὖν, ἐπιστρέψας πρὸς σὲ ἐκβοῶ, Ποίησόν με ὡς ἕνα τῶν μισθίων σου. Ὁ δι' ἐμὲ ἐν Σταυρῷ τὰς ἀχράντους σου χεῖρας ἁπλώσας, ἵνα τοῦ δεινοῦ θηρὸς ἀφαρπάσῃς με, καὶ τὴν πρώτην καταστολὴν ἐπενδύσῃς με, ὡς μόνος πολυέλεος.

Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Καὶ ἡ συνήθως Λιτὴ, ἐν ᾗ ψάλλομεν τὸ ἑωθινὸν ἰδιόμ. καὶ ἀναγινώσκονται αἱ Κατηχήσεις.

Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ οἱ Μακαρισμοὶ τῆς Ὀκτωήχου, καὶ ἡ. ς'. Προκείμενον τοῦ Ἀποστόλου τοῦ ὕψους τοῦ ἤχου.

Ὁ Ἀπόστολος.

Πρὸς Κορινθίους πρώτης Ἐπιστολῆς Παύλου.

Ἀδελφοί, πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει. πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ· πάντα μοι ἔξεστιν, ἀλλ' οὐκ ἐγὼ ἐξουσιασθήσομαι ὑπό τινος. Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν· ὁ δὲ Θεὸς καὶ ταύτην, καὶ ταῦτα καταργήσει. Τὸ δὲ σῶμα οὐ τῇ πορνείᾳ, ἀλλὰ τῷ Κυρίῳ· καὶ ὁ Κύριος τῷ σώ-

Digitized by Google

σώματι· ὁ δὲ Θεὸς καὶ τὸν Κύριον ἤγειρε, καὶ ἡμᾶς ἐξεγερεῖ διὰ τῆς δυνάμεως αὐτοῦ· οὐκ οἴδατε, ὅτι τὰ σώματα ἡμῶν μέλη Χριστοῦ ἐστιν; ἄρας οὖν τὰ μέλη τοῦ Χριστοῦ, ποιήσωμεν πόρνης μέλη; μὴ γένοιτο· οὐκ οἴδατε, ὅτι ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν; ἔσονται γάρ, φησιν, οἱ δύο εἰς σάρκα μίαν· ὁ δὲ κολλώμενος τῷ Κυρίῳ, ἓν πνεῦμά ἐστι· φεύγετε τὴν πορνείαν· πᾶν ἁμάρτημα, ὃ ἐὰν ποιήσει ἄνθρωπος, ἐκτὸς τοῦ σώματός ἐστιν· ὁ δὲ πορνεύων, εἰς τὸ ἴδιον σῶμα ἁμαρτάνει· ἢ οὐκ οἴδατε, ὅτι τὸ σώματα ὑμῶν, ναὸς τοῦ ἐν ὑμῖν ἁγίου Πνεύματός ἐστιν, οὗ ἔχετε ἀπὸ Θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς· δοξάσατε δὴ τὸν Θεὸν ἐν τῷ σώματι ὑμῶν, καὶ ἐν τῷ πνεύματι ὑμῶν, ἅτινά ἐστι τοῦ Θεοῦ.

Ἀλληλουϊάριον τοῦ Ἤχου. Εὐαγγέλιον κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· ἄνθρωπός τις εἶχε δύο υἱούς. Τέλος. Καὶ ἀπολωλὸς ἦν, καὶ εὑρέθη. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον. Δεῖ γινώσκειν, ὅτι τῇ Ἑβδομάδι τῆς Ἀποκρέω Ἀλληλούϊα οὐ ψάλλομεν. Ἐκκόπτομεν δὲ καὶ τὴν Κάθισμα τοῦ Ψαλτηρίου ἀπὸ τοῦ Ὄρθρου, καὶ λέγομεν αὐτὸ εἰς Ἑσπερινόν· ὡσαύτως ποιοῦμεν καὶ τῇ Ἑβδομάδι τῆς Τυρινῆς, ἀνὰ τὴν δ', καὶ τῆς ς'. Ἐν γὰρ ταύταις ψάλλομεν Ἀλληλούϊα, ποιοῦντες καὶ μετανοίας. Ἐκτελοῦμεν καὶ νηστείαν κατὰ τὸν ἐπακολουθήσαντα τύπον, εἰ μὴ ἐστὶν αὕτη ἡ κυρία ἡμέρα τῆς Ὑπαπαντῆς· μετὰ δὲ τὸν Ἑσπερινὸν, ἐν ταῖς δυσὶ ταύταις ἡμέραις ἐσθίομεν τυρὸν, καὶ ὠά, ποιοῦντες καὶ τὸν κανόνα τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικηφόρου Πατριάρχου Κωνσταντινουπόλεως τοῦ Ὁμολογητοῦ, τὸν λέγοντα. Δεῖ νηστεύειν τοὺς Μοναχοὺς τῇ δ'. καὶ τῇ ς'. τῆς Τυροφάγου. Καὶ μετὰ τὴν τῶν Προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρὸν, καὶ ὠά, ὅπου ἂν εὑρεθῶσιν. Ἀνατρέπει δὲ οὗτος ὁ κανὼν τὸ δόγμα τῶν Ἰακωβιτῶν, καὶ τὴν τῶν Τετραδιτῶν αἵρεσιν.

Ἰστέον δὲ, ὅτι ἡ Ἀκολουθία τῶν λαγχανόντων Ἁγίων τῷ Σαββάτῳ, καὶ τῇ Κυριακῇ τῆς Ἀποκρέω, ψάλλεται ἐν τοῖς παρελθοῦσιν Ἀποδείπνοις, εἰ μήπου τύχῃ μεγάλου Ἁγίου μνήμη.

Τῇ Παρασκευῇ Ἑσπέρας Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος Κεκοιμημένων Ὀρθοδόξων Χριστιανῶν, Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν. Τῇ Παρασκευῇ Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, καὶ τὴν συνήθως στιχολογίαν. εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. Καὶ ψάλλομεν τῆς Ὀκτωήχου στιχηρὰ Μαρτυρικὰ τοῦ δρόμου γ'. τοῦ ἐνορδίνου Ἤχου, καὶ τοῦ Τριῳδίου Προσόμοια γ'. ἦχος πλ. δ'.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν ἁπάντων κατ' ὄνομα, μετὰ πίστεως ζησάντων εὐσεβῶς, μνήμην τελοῦντες οἱ πιστοὶ, τὸν Σωτῆρα, καὶ Κύριον ἀνυμνήσωμεν, αἰτοῦντες ἐκτενῶς· τούτους ἐν ὥρᾳ τῆς Κρίσεως ἀπολογίαν ἀγαθὴν δοῦναι αὐτῷ τῷ Θεῷ ἡμῶν, τῷ πᾶσαν κρίνοντι τὴν γῆν, τῆς δεξιᾶς αὐτοῦ παραστάσεως τυχόντας ἐν χαρᾷ, ἐν μερίδι Δικαίων, καὶ ἐν Ἁγίων κλήρῳ φωτεινῷ, καὶ ἀξίους γενέσθαι τῆς Οὐρανίου Βασιλείας αὐτοῦ.

Ὁ τῷ οἰκείῳ αἵματι βροτοὺς, Σωτὴρ, ἐκπριάμενος, καὶ θανάτῳ σου θανάτου τοῦ πικροῦ ἐκλυτρωσάμενος ἡμᾶς, καὶ ζωὴν τὴν αἰώνιον παρασχὼν τῇ Ἀναστάσει σου ἡμῖν· πάντας ἀνάπαυσον, Κύριε, τοὺς κοιμηθέντας εὐσεβῶς· ἢ ἐν πόλεσιν, ἢ ἐν θαλάσσῃ, ἢ ἐν γῇ, ἢ ἐν παντὶ τόπῳ. Βασιλεῖς τε, Ἱερεῖς, Ἀρχιερεῖς, μοναστὰς, καὶ μιγάδας, ἐν ἡλικίᾳ πάσῃ παγγενεῖ, καὶ ἀξίωσον αὐτοὺς τῆς Οὐρανίου Βασιλείας σου.

Τῇ ἐκ νεκρῶν ἐγέρσει σου Χριστὲ, οὐκέτι ὁ θάνατος κυριεύει τῶν θανόντων εὐσεβῶς· διὸ αἰτοῦμεν ἐκτενῶς, τοὺς σοὺς δούλους ἀνάπαυσον ἐν αὐλαῖς σου, καὶ ἐν κόλποις Ἀβραάμ, τοὺς ἐξ Ἀδὰμ μέχρι σήμερον λατρεύσαντάς σοι καθαρῶς, πατέρας, καὶ ἀδελφοὺς ἡμῶν, φίλους ὁμοῦ, καὶ συγγενεῖς, ἅπαντα ἄνθρωπον, τὰ τοῦ βίου λειτουργήσαντα πιστῶς, καὶ πρὸς σὲ μεταστάντα πολυειδῶς, καὶ πολυτρόπως ὁ Θεὸς, καὶ ἀξίωσον τούτους τῆς Οὐρανίου Βασιλείας σου.

Δόξα, ἦχος πλ. δ'.

Θρηνῶ, καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ' εἰκόνα Θεοῦ πλασθεῖσαν ἡμῖν ὡραιότητα ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος· τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει, ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν, Θεοτ. Τὸ α'. τοῦ Ἤχου. Φῶς ἱλαρόν· ἀντὶ δὲ τοῦ Προκειμένου λέγομεν ἀλληλούϊα εἰς ἦχον πλ. β'. στίχ. Μακάριοι, οὓς ἐξελέξω· στίχος. Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται. Ἐκτενή. Εἰς τὸν στίχον τὰ δ'. Μαρτυρικὰ τοῦ ἤχου, καὶ τὰ β'. Νεκρώσιμα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Δόξα, ἦχος πλ. β'.

Ἀρχή μοι, καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον συμπῆξαι φύσεως, γῆθεν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου, καὶ ζωοποιῷ ἐμπνεύσει· διὸ, Σωτὴρ, τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς Δικαίων ἀνάπαυσον.



Digitized by Google

Καὶ νῦν· ἦχος ὁ αὐτός.

Πρεσβείαις τῆς Τεκούσης σε, Χριστέ, καὶ τῶν Μαρτύρων σου, Ἀποστόλων, Προφητῶν, Ἱεραρχῶν, Ὁσίων, καὶ Δικαίων, καὶ πάντων τῶν Ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Νῦν ἀπολύεις τὸν δοῦλόν σου.

Τετράδιον, ἦχος πλ. δ΄.

Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ Ποιητῇ, καὶ Πλάστῃ, καὶ Θεῷ ἡμῶν.

Δόξα, τὸ τέλος τοῦ τροπαρίου.

Καὶ νῦν, Θεοτοκίον· ἦχος ὁ αὐτός.

Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρεσβείαν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεόν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Μετὰ δὲ τὴν Ἀπόλυσιν τοῦ λυχνικοῦ ποιοῦμεν ἐν τῷ Νάρθηκι παννυχίδα εἰς τοὺς Κοιμηθέντας, καὶ ψάλλομεν τὸν ἐνορδίνου Κανόνα τοῦ ἤχου, τὸν Νεκρώσιμον, εἰς δὲ τὸν Ὄρθρον μετὰ τὸν ἑξάψαλμον Ἀλληλούϊα εἰς ἦχον πλ. δ΄. Τὸ τροπάρ. Ὁ βάθει σοφίας. Δόξα. Τὸ τέλος. Καὶ νῦν, Θεοτ. Σὲ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν· ἡ συνήθως στιχολογία. Ἐν δὲ ταῖς συναπταῖς πάσαις τῆς στιχολογίας, καὶ τοῦ Κανόνος μνημονεύονται πάντες οἱ προαπελθόντες Πατέρες, καὶ Ἀδελφοὶ ἡμῶν. Ψάλλεται δὲ καὶ ὁ Ἄμωμος εἰς στάσεις δύο σὺν τοῖς Εὐλογηταρίοις τροπαρίοις νεκρωσίμοις. Εἰς τὴν στιχολογ. λέγομεν τὰ συνήθως καθίσ. νεκρώσιμα, καὶ μαρτυρικὰ καθίσ. ἦχος, πλ. α΄.

Ἀνάπαυσον Σωτὴρ ἡμῶν μετὰ δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα αὐτῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει φιλάνθρωπε.

Θεοτοκίον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Κανόνα δὲ ψάλλομεν τοῦ Ἁγίου τῆς Μονῆς, τὸν εἰς τὸν ἦχον. Καὶ τοῦ Τριωδίου, εἰς η΄. Ὁ Κανὼν ᾠδ. α΄. Ἐν δὲ τοῖς Τριαδικοῖς, καὶ Θεοτοκ. τροπαρίοις ἀκροστιχίς. Τοῦ ἀναξίου Θεοδώρου, ἦχος πλ. δ΄.

Ὁ Εἱρμός.

Ἆσμα ἀναπέμψωμεν, λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ ἐκ δουλείας, ᾠδὴν ἐπινίκιον ᾄδοντες, καὶ βοῶντες· ᾄσωμέν σοι, τῷ μόνῳ Δεσπότῃ.

Πάντες δυσωπήσωμεν Χριστόν, τελοῦντες μνήμην σήμερον τῶν ἀπ' αἰῶνος νεκρῶν, ἵνα τοῦ αἰωνίου πυρὸς αὐτοὺς ῥύσηται, πίστει κεκοιμημένους, καὶ ἐλπίδι ζωῆς αἰωνίου.

Βάθει τῶν κριμάτων σου, Χριστέ, πανσόφως σὺ προώρισας ἑκάστου τέλους ζωῆς τὸν ὅρον, καὶ τὸν τρόπον· διὸ οὓς ἐκάλυψε τάφος, ἐν πάσῃ χώρᾳ ἐν τῇ κρίσει σῶσον πανοικτίρμον.

Ὅρος τῆς ζωῆς ἡμῶν ὁ δοὺς, διὸ τοὺς ἀφυπνώσαντας ἐκ τῆς τοῦ βίου νυκτός, ἡμέρας ἀνεσπέρου υἱοὺς δεῖξον Κύριε, Ἱερεῖς ὀρθοδόξους, Βασιλεῖς τε, καὶ πάντα λαόν σου.

Οὕσπερ κατεκάλυψεν ὑγρά, καὶ πόλεμος ἐθέρισε, σεισμὸς δὲ οὓς συνέσχε, καὶ κτείναντες φονῶντες, καὶ πῦρ οὓς ἐτέφρωσε, τῶν πιστῶν, ἐλεῆμον, ἐν μερίδι τάξον τῶν Δικαίων.

Πάντα παρορῶν τὰ τῆς σαρκὸς ὀφλήματα, Σωτὴρ ἡμῶν, ἐν πάσῃ ἡλικίᾳ, παντὸς γένους ἀνθρώπων, περὶ τοῦ κριτηρίου σου στῆσον ἀκατακρίτους, σοὶ τῷ Κτίσῃ ἀπολογουμένους.

Δόξα.

Τρία μιᾶς φύσεως ὑμνῶ πρόσωπα αὐθυπόστατα, ἀγέννητον Πατέρα, Υἱὸν τὸν γεννηθέντα, καὶ Πνεῦμα τὸ ἅγιον, ἄναρχον Βασιλείαν, ἐξουσίαν, Θεότητα μίαν.

Καὶ νῦν Θεοτοκίον.

Ὄντως σὺ ἐφάνης Οὐρανὸς ἐπὶ τῆς γῆς μειζότερος τοῦ ἀνωτάτου πόλου, ἀνύμφευτε Παρθένε, ἐκ σοῦ γὰρ ἀνέτειλεν Ἥλιος ἐν τῷ Κόσμῳ, ὁ δεσπόζων τῆς Δικαιοσύνης.

Καταβασία· Ἆσμα ἀναπέμψωμεν.

Ὠδὴ β΄. ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρός, καὶ ἐκ τῆς Παρθένου ἐπ' ἐσχάτων πάλιν ἀνδρὸς κυηθείς, καὶ λύσας τὴν ἁμαρτίαν τοῦ προπάτορος Ἀδάμ, ὡς φιλάνθρωπος.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ δικαίᾳ κρίσει πήξας ὅρους τῆς ζωῆς, ὁ εἰς ἀφθαρσίαν ἐκ φθορᾶς προσλαβόμενος πάντας τοὺς κοιμηθέντας ἐπ' ἐλπίδι αἰωνίου ἀναστάσεως.

Ὁ ἐκ τῶν τεσσάρων περάτων, Κύριε, προσλαβόμενος τοὺς πιστοὺς θανέντας, ἐν θαλάσσῃ, ἢ ἐν γῇ, ἢ ἐν ποταμοῖς, πηγαῖς, ἢ λίμναις, ἢ φρέασι, βορὰ θηρσὶ γενομένους, πετεινοῖς, καὶ ἑρπετοῖς, πάντας ἀνάπαυσον.

Σοῦ ἐν τῇ παλάμῃ τὰ πάντα, Κύριε, προδιέκρινας, τοὺς ἐξελθόντας εἰς στοιχείων τετρακτὺν ἐν τῇ παρουσίᾳ σου συμπήξας ἀνάστησον, πάντα, τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει, συγχωρῶν αὐτοῖς ὀφλήματα.

Ὢ τῆς φοβερᾶς σου δευτέρας, Κύριε, ἐπελεύσεως, ὅτι ὡς ἐν εἴδει ἀστραπῆς ἐπὶ τῆς γῆς ἥκων, ἀναστήσεις πᾶν τὸ πλάσμα σου κρίνεσθαι, τοὺς πίστει σοι τότε βιώσαντας ὑπαντῶντας σοι συνεῖναι καταξίωσον.

Δόξα.

Ὑπερτελεστάτη μονάς, ὑπέρθεε, τρισυπόστατε, ἀγέννητε Πάτερ, καὶ Υἱὲ μονογενές, Πνεῦμα

ἐκ

Digitized by Google

ἐκ Πατρὸς ἐκπορευθὲν, δι' Υἱοῦ δὲ φανὲν, οὐσία μία, καὶ φύσις, Κυριότης, Βασιλεία, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν θεοτοκίον.

Ἄῤῥητον τὸ θαῦμα τῆς σῆς κυήσεως Μητροπάρθενε· πῶς γὰρ καὶ λοχεύεις, καὶ ἁγνεύεις ἐν ταυτῷ; πῶς παιδοτοκεῖς, καὶ ἀγνοεῖς πεῖραν ὅλως ἀνδρός; ὡς οἶδεν ὁ ὑπὲρ φύσιν ἐκ σοῦ κατανοητῶς Λόγος Θεοῦ γεννηθείς.

Καταβασία. Ἴδετε, ἴδετε.

Ὠδὴ γ'. Ὁ στερεώσας ἐν τῇ.

Τοὺς διανύσαντας τὸν τοῦ βίου δρόμον, ἐν δόξῃ εὐσεβεῖ, τὸν δικαιοσύνης ἀναδύσασθαι στέφανον, ἀξίωσον ὁ Θεὸς, καὶ τῶν αἰωνίων ἀγαθῶν ἀπολαῦσαι.

Τοὺς αἰφνιδίως ἀναρπασθέντας, καταφλεχθέντας ἀστραπαῖς, καὶ ἐναποψύξαντας ἐκ κρύους, καὶ πάσης πληγῆς, ἀνάπαυσον ὁ Θεὸς, ὅτι τὰ πάντα ἐν πυρὶ δοκιμάσῃς.

Τὴν ἀκατάσχετον τοὺς τοῦ βίου θάλασσαν πλεύσαντας, Χριστὲ, ἐν τῷ τῆς ἀφθάρτου σου ζωῆς καταξίωσον λιμένι καταδραμεῖν, τοὺς ὀρθοδόξῳ ζωῇ κυβερνηθέντας.

Οὓς πᾶσα φύσις τῶν ἐναλίων, καὶ πετεινῶν τοῦ Οὐρανοῦ ἔλαβε κατάβρωμα, Χριστὲ, τοῖς σοῖς κρίμασιν ἀνάστησον ὁ Θεὸς ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ μετὰ δόξης.

Δόξα.

Νοητικῶς τὴν θείαν μονάδα εἰς τρία πρόσωπα ἀπλῶς, ἅμα τῷ τεμεῖν ἐπισυνάπτω τὰ ἄτμητα· ὡς τάχος γὰρ ἀστραπῆς τρισολαμπέστατα ὁρᾶται εἰς ἑνάδα.

Καὶ νῦν. θεοτοκίον.

Ἀκατανόητόν σου τὸ θαῦμα· πλὴν γὰρ ἀνδρὸς κυοφορεῖς, καὶ τὴν Παρθενίαν σου, ἁγνὴ, φρουρεῖς τίκτουσα· διὸ Ἀγγέλων πληθὺς, καὶ βροτῶν γένος ὑμνεῖ σε εἰς αἰῶνας.

Ὁ Εἱρμός.

Ὁ Στερεώσας ἐν τῇ χειρί σου, Λόγε Θεοῦ, τοὺς Οὐρανοὺς, ἐν τῷ φωτισμῷ τῆς σῆς ἀληθοῦς ἐπιγνώσεως στερέωσον, καὶ ἡμῶν τῶν ἐπὶ σοὶ πεποιθότων τὰς καρδίας.

Κάθισ. ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Ὁ Δι' ἡμᾶς ὑπομείνας Σταυρὸν, καὶ θάνατον, καὶ νικήσας τὸν ᾅδην, καὶ συνεγείρας νεκροὺς, τοὺς μεταστάντας ἐξ ἡμῶν, Σῶτερ, ἀνάπαυσον ὡς φιλάνθρωπος Θεὸς, καὶ τῇ φρικτῇ, καὶ φοβερᾷ ἐλεύσει σου Ζωοδότα, ὡς ἔχων πλῆθος ἐλέους, τῆς Βασιλείας σου ἀξίωσον.

Δόξα, τὸ αὐτό. Καὶ νῦν· θεοτοκίον.

Τὴν ταχεῖαν σου σκέπην, καὶ τὴν βοήθειαν, καὶ τὸ ἔλεος δεῖξον ἐπὶ τοὺς δούλους σου, καὶ τὰ κύματα ἁγνὴ καταπράϋνον τῶν ματαίων λογισμῶν, καὶ τὴν πεσοῦσαν μου ψυχὴν ἀνάστησον, Θεοτόκε· οἶδα γὰρ, οἶδα Παρθένε, ὅτι ἰσχύεις ὅσα, καὶ βούλεσαι.

Ὠδὴ δ'. ὁ Εἱρμός.

Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ προφήτης τῆς μόνης Θεοτόκου, μέλλοντα σαρκοῦσθαι, θεοπτικῶς κατενόει, καὶ τῷ φόβῳ ἐδοξολόγει σου τὴν δύναμιν.

Πατέρων, προπατόρων, πάππων, καὶ προπάππων, ἐκ τῶν ἀπ' ἀρχῆς, καὶ μέχρι τῶν ἐσχάτων ἐν εὐνομίᾳ θανέντων, καὶ εὐπιστίᾳ, πάντων μνημόνευσον Σωτὴρ ἡμῶν.

Ἐν ὄρει, ἐν ὁδῷ, ἐν τόποις, ἐν ἐρήμοις, τὸν βίον καταλῦσαι φθάσαντας ἐν πίστει, μοναδικούς τε, μιγάδας, νέους, πρεσβύτας, μετὰ Ἁγίων Χριστὲ σκήνωσον.

Ἐκ λύπης, καὶ χαρᾶς ἐλθούσης παρ' ἐλπίδα, τοὺς πίστει παροδευθὲν ἀλλάξαντας τὸν βίον, εὐημερίᾳ παθόντας, ἢ δυσπραγίᾳ, πάντας ἀνάπαυσον Σωτὴρ ἡμῶν.

Οὓς ἀνεῖλε ψῦξις, καὶ ἵππος συναρπάσας χάλαζα, χιὼν, καὶ ὄμβρος πλεονάσας· οὓς δὲ ἀπέπνιξε πλίνθος, ἢ χοῦς συνέσχε, Χριστὲ Σωτὴρ ἡμῶν ἀνάπαυσον.

Δόξα.

Ξένον, ὅτι ἓν, καὶ τρία ἡ Θεότης, ὅλη καθ' ἑνὸς προσώπου ἀμερίστως, Πατὴρ γὰρ, Υἱὸς, καὶ ἅγιον Πνεῦμα ἐστὶ τὰ προσκυνούμενα, ὡς εἷς δὲ Θεός.

Καὶ νῦν. θεοτ.

Ἰθυνον ἡμᾶς, εὐχαῖς σου κυβερνῶσα κλυδωνιζομένους σάλῳ ἁμαρτίας, εἰς σωτηρίους λιμένας, Κυριοτόκε, ἐκλυτρουμένη ἐκ παντοίων δεινῶν.

Ὠδὴ ε'. ὁ Εἱρμός.

Ὀρθρίζει τὸ πνεῦμά μου πρὸς σὲ ὁ Θεὸς, διότι φῶς τὰ προστάγματα τῆς παρουσίας σου· ἐν αὐτοῖς οὖν καταύγασον τὴν νῦν ἡμῶν Δέσποτα, ὁδήγησον ἐν τρίβῳ ζωῆς.

Ἑκάστου μνημόσυνα τῶν θανέντων εὐσεβῶς ἐκ τοῦ αἰῶνος Κύριε, ποιούμενοι σήμερον, ἐκτενῶς σοι βοῶμεν· πάντας ἀνάπαυσον μετὰ τῶν Ἁγίων σου.

Ἐκ πάσης οὓς ἔλαβες γλυκείας, καὶ γλυκείας, ἐν Βασιλεῦσιν, ἐν ἄρχουσιν, ἢ ἐν μονάζουσιν ὀρθοδόξως, οἰκτίρμον, τῆς αἰωνίου λύτρωσαι κολάσεως.

Ἁπάντων, ὧν ἔπλασας, τὰ συμφέροντα εἰδὼς, οὓς παρεχώρησας Κύριε, ἀθρόοις συμπτώμασι παρ' ἐλπίδα τεθνάναι, ῥῦσαι κολάσεως πάσης ὁ Θεὸς ἡμῶν.

Πυρὸς ἀεὶ φλέγοντος, καὶ ἐκ σκότους ἀφεγγοῦς, βρυγμοῦ ὀδόντων, καὶ σκώληκος ἀλήκτως κολάζοντος, καὶ πάσης τιμωρίας, ῥῦσαι, Σωτὴρ ἡμῶν πάντας τοὺς θανέντας πιστῶς.

Δό-

Δόξα.

Ὁμόθρονε, ἄναρχε, τρισυπόστατε μονάς, ἡ διαιρέσει τὴν ἕνωσιν, καὶ ἔμπαλιν ἔχουσα τοῖς προσώποις τὴν φύσιν, εἰς ἓν ἡμᾶς συνάψον θέλημα τῶν σῶν ἐντολῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὑπὲρ τὰ πυρίμορφα Σεραφὶμ ὤφθης ἁγνὴ τιμιωτέρα, κυήσασα τὸν τούτοις ἀπρόσιτον Ἰησοῦν τὸν Σωτῆρα, σαρκώσει θεώσαντα τῶν γηγενῶν τὸ φύραμα.

Ὠδὴ ς΄. Συνεχόμενον δέξαι με.

Τοῦ θανάτου ὁ λύσας τὰς ὀδύνας παθών, ἀρχηγὲ τῆς ζωῆς ὁ Θεὸς ἡμῶν, τοὺς ἐξ αἰῶνος κεκοιμημένους δούλους σου ἀνάπαυσον.

Τοῖς ἀῤῥήτοις κρίμασιν, οὓς ἔκτειναν φαρμακοποσίαι, δηλητήρια, ὀστώδεις πνίξεις, μετὰ Ἁγίων, Κύριε, ἀνάπαυσον.

Ὅταν κρίνῃς τὰ σύμπαντα ἑστῶτα γυμνά, τετραχηλισμένα πρὸ προσώπου σου, τότε, οἰκτίρμον, φεῖσαι τῶν λατρευσάντων σοι πιστῶς, ὁ Θεός.

Τῇ ἐσχάτῃ οὖν σάλπιγγι σαλπίζοντος τοῦ σοῦ Ἀρχαγγέλου εἰς ἀνάστασιν ζωῆς ἁπάντων, τότε Χριστὲ τοὺς δούλους σου ἀνάπαυσον.

Ἐξ αἰῶνος οὓς ἔλαβες πιστοὺς ὁ Θεός, γένος ἅπαν βροτῶν καταξίωσον εἰς τοὺς αἰῶνας μετὰ τῶν θεραπόντων σου δοξάζειν σε.

Δόξα.

Θεαρχία, τρισάγιε, ὁμόθρονε· ὁ Πατήρ, ὁ Υἱός, σὺν τῷ Πνεύματι, σὺ εἶ Θεός μου, ὁ παντοκρατορίᾳ σου συνέχων τὸ πᾶν.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ τῆς ῥίζης ἀνέτειλε σοῦ ἄνθος ζωῆς, Ἰεσσαὶ προπάτωρ ἀνασκίρτησον, ὁ σώζων Κόσμον ἐκ τῆς ἁγνῆς νεάνιδος Κύριος ὁ Θεός.

Ὁ Εἱρμός.

Συνεχόμενον δέξαι με, φιλάνθρωπε, ἐκ πταισμάτων πολλῶν προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην, Κύριε, καὶ σῶσόν με.

Κοντάκιον· ἦχος πλ. δ΄.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Ὁ Οἶκος.

Αὐτὸς μόνος ὑπάρχεις ἀθάνατος, ὁ ποιήσας, καὶ πλάσας τὸν ἄνθρωπον· οἱ βροτοὶ οὖν ἐκ γῆς διεπλάσθημεν, καὶ εἰς γῆν τὴν αὐτὴν πορευσόμεθα, καθὼς ἐκέλευσας, ὁ πλάσας με, καὶ εἰπών μοι· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· ὅπου πάντες βροτοὶ πορευσόμεθα, ἐπιτάφιον θρῆνον ποιοῦντες ᾠδήν, τὸ Ἀλληλούϊα.

Τὸ Συναξάριον πρῶτον τοῦ Μηναίου.

Εἶτα τὸ παρόν. στίχ.

Ἀμνημόνευσον πταισμάτων νεκροῖς Λόγε.
Τὰ χρηστὰ νεκροῖς σπλάγχνα σου μὴ δεικνύων.

Τῇ αὐτῇ ἡμέρᾳ μνείαν τῶν ἀπ' αἰῶνος εὐσεβῶς τελευτησάντων ἀνθρώπων πάντων, οἱ θειότατοι Πατέρες ἐθέσπισαν, ἐκτελεῖν, δι' αἰτίαν τοιαύτην. Ἐπειδὴ γάρ τινες ἄωρον πολλάκις ἐπὶ ξένης ὑπέστησαν θάνατον, ἐν θαλάσσῃ τε, καὶ ἀβάτοις ὄρεσι, κρημνοῖς τε, καὶ χάσμασι, καὶ λοιμοῖς, καὶ λιμοῖς, καὶ πολέμοις, καὶ ἐμπρησμοῖς, καὶ κρυμοῖς, καὶ ἄλλοις παντοίοις θανάτοις ὑπομεμενηκότες, ἴσως δέ, καὶ πένητες ὄντες, καὶ ἄποροι, καὶ τῶν νενομισμένων ψαλμῳδιῶν, καὶ μνημοσύνων οὐκ ἔτυχον, φιλανθρώπως οἱ θεῖοι Πατέρες κινούμενοι, κοινῶς μνείαν τούτων ἁπάντων τὴν καθολικὴν Ἐκκλησίαν ποιεῖσθαι, ἐθέσπισαν, ἀπὸ τῶν ἱερῶν Ἀποστόλων διαδεξάμενοι· ἵνα, καὶ οἱ μὴ τῶν νενομισμένων ἀνὰ μέρος διά τινος συμβάματος τετυχηκότες, τῇ νῦν κοινῇ μνείᾳ κἀκεῖνοι περιλαμβάνοιντο· δεικνῦντες, ὡς, καὶ τὰ ὑπὲρ αὐτῶν γινόμενα, μεγάλην αὐτοῖς προξενεῖ τὴν ὠφέλειαν. Καθ' ἕνα μὲν οὖν τρόπον οὕτως ἡ τοῦ Θεοῦ Ἐκκλησία μνείαν ἐπιτελεῖ τῶν ψυχῶν· δεύτερον δέ, ἐπειδὴ τὴν δευτέραν τοῦ Χριστοῦ Παρουσίαν θεῖναι τῇ ἐπαύριον ἔμελλον, ἁρμοζόντως καὶ τῶν ψυχῶν μνημονεύουσιν, ὡσανεὶ τὸν φοβερὸν Κριτήν, καὶ ἀπαραλόγιστον ἱλεούμενοι, τῇ συνήθει πρὸς αὐτὰς χρήσασθαι συμπαθείᾳ, καὶ τῇ ἐπηγγελμένῃ ταύτας κατατάξαι τρυφῇ. Ἄλλως τε δέ, καὶ τὴν τοῦ Ἀδὰμ ἐξορίαν ἅγιοι μέλλοντες τῇ ἐσομένῃ ἐκθεῖναι Κυριακῇ, ὥσπερ τινὰ κατάπαυσιν, προσεπινοοῦσι καὶ τέλος πάντων τῶν καθ' ἡμᾶς διὰ τῆς παρούσης νῦν καταπαύσεως, ἵν' ἐκεῖθεν, ὡς ἀπ' ἀρχῆς, ἄρξωνται· τὸ γὰρ ὕστατον τῶν παρ' ἡμῖν πάντων, ἡ τῶν βεβιωμένων παρὰ τοῦ ἀδεκάστου Κριτοῦ ἐστὶν ἐξέτασις. Καὶ ἵνα τοὺς ἀνθρώπους διὰ τούτων φοβήσαντες, πρὸς τοὺς τῆς νηστείας ἀγῶνας ποιήσωσιν εὐχερεῖς. Ἐν Σαββάτῳ δὲ ἀεὶ τὴν τῶν ψυχῶν μνείαν ποιούμεθα, ὅτι τὸ Σάββατον κατάπαυσιν σημαίνει Ἑβραϊστί· καὶ τῶν τεθνεώτων τοίνυν, ὡς τῶν βιωτικῶν, καὶ τῶν λοιπῶν ἁπάντων καταπαυσαμένων, κἂν τῇ καταπαυσίμῳ τῶν ἡμερῶν, τὰς ὑπὲρ αὐτῶν δεήσεις ποιούμεθα, ὃ δή, καὶ ἐπὶ πᾶν κεκράτηκε γένεσθαι Σάββατον, τὸ δέ γε νῦν καθολικῶς μνημονεύομεν, ὑπὲρ παντὸς δεόμενοι εὐσεβοῦς· εἰδότες καὶ γὰρ οἱ θεῖοι Πατέρες, ὡς τὰ ὑπὲρ τῶν κεκοιμημένων γινόμενα, μνημόσυνα, λέγω, ἐλεημοσύναι, καὶ λειτουργίαι, μεγάλην αὐτοῖς παρέχειν ἄνεσιν, καὶ ὠφέλειαν, καὶ ἰδίως, καὶ κοινῇ τὴν Ἐκκλησίαν τοῦτο ποιεῖν, ἐπιτρέπουσι, παρὰ τῶν ἁγίων Ἀποστόλων τοῦτο παραλαβόντες, ὡς εἴρηται· καθὰ καὶ ὁ Ἀρεοπαγίτης φησὶ Διονύσιος. Συνίστησι δὲ τὰς ὑπὲρ τῶν κεκοιμημένων δόσεις ὡς ἀγαθάς, καὶ ὁ Θεολόγος Γρηγόριος ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ τὸν ἀδελφόν. Ὁ δὲ μέγας Χρυσόστομος ἐν τῇ πρὸς Φιλιππησίους, οὕτω φησίν. Ἐπινοήσωμεν τοῖς ἀπελθοῦσιν ὠφέλειαν, καὶ δω-

Digitized by Google

δῶμεν αὐτοῖς τὴν προσοῦσαν βοήθειαν, ἐλεημοσύνας, λέγω, καὶ προσφοράς· καὶ γὰρ φέρει τούτοις πολλὴν τὸ πρᾶγμα τὴν ὄνησιν, καὶ μάλα κέρδος, καὶ ὠφέλειαν· οὐ γὰρ εἰκῆ, καὶ ὡς ἔτυχε, ταῦτα νενομοθέτηται. Καὶ τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρὰ τῶν αὐτοῦ πανσόφων Μαθητῶν παραδέδοται, τὸ ἐπὶ τῶν φρικτῶν Μυστηρίων μνείαν ποιεῖσθαι τὸν Ἱερέα ὑπὲρ τῶν πίστει κεκοιμημένων· καὶ αὖθις. Ἐν τῇ σῇ διατάξει μετὰ τῶν τέκνων, καὶ συγγενῶν, συγκληρονόμον ἐχέτω σου ὁ χάρτης καὶ τὸ τοῦ δικαστοῦ ὄνομα, καὶ μνήμης μὴ ἀμοιρείτω πτωχῶν, κἀγὼ τούτων ἐγγυητής. Λέγει δὲ καὶ ὁ πολὺς Ἀθανάσιος. Κἂν εἰς ἀέρα ἐν εὐσεβείᾳ τελειωθεὶς διελύθη, μὴ ἀπαναίνου, ἔλαιον, καὶ κηρούς, Χριστὸν τὸν Θεὸν ἐπικαλεσάμενος, ἐν τῷ τάφῳ προσάψαι· δεκτέα γὰρ ταῦτα Θεῷ, καὶ πολλὴν φέροντα τὴν ἀντίδοσιν· εἰ μὲν οὖν ἁμαρτωλὸς ὁ τεθνηκὼς ᾖ, ἵνα λύσῃς αὐτοῦ τὰ ἁμαρτήματα· εἰ δὲ δίκαιος, ἵνα μισθῶν προσθήκη γένηται. Εἰδ' ἴσως τὶς ξένος, καὶ ἄπορος ὤν, οὐκ ἔχει τὸν ἐν τούτοις ἐπιμελησόμενον, ἀλλ' ὁ Θεὸς δίκαιος, καὶ φιλάνθρωπος ὤν, ἐπιμετρήσει κἀκείνῳ διὰ τῆς ἀπορίας, ὡς οἶδεν, ἀναλόγως τὸν ἔλεον. Ἄλλως τε, καὶ ὁ προσφέρων ὑπὲρ τῶν τοιούτων τοῦ μισθοῦ συμμετέχει, ὡς τὴν ἀγάπην ὑπὲρ τῆς τοῦ πλησίον ἐνδεικνύμενος σωτηρίας· ὥσπερ ὁ ἕτερον ἀλείφων μύρῳ, ἐκεῖνος ἑαυτὸν πρότερον εὐωδιάζει· ὥς τε οἱ τὰ ἐπιτεταγμένα, καὶ τὰς διαθήκας ἐν τοῖς τοιούτοις μὴ ἐκπληροῦντες, κρίμα ἕξουσι πάντως. Ἕως ἂν οὖν ἡ δευτέρα τοῦ Χριστοῦ ἐπιγένηται Παρουσία, ὅσα ὑπὲρ τῶν Κεκοιμημένων γίνεται, ὠφέλειαν παρέχει, ὡς οἱ θεῖοι Πατέρες φάσκουσι· καὶ μάλιστα τοῖς καὶ μικρά τινα ἐργασαμένοις τῶν ἀγαθῶν, ὅτε μετὰ τῶν ζώντων ἦσαν καταλελεγμένοι. Κἂν καί τινα τέως (ὡς χρεὼν) πρὸς σωφρονισμὸν τῶν πολλῶν ἡ θεία λέγει Γραφή, ἀλλ' ἡ φιλανθρωπία τοῦ Θεοῦ ὡς ἐπὶ τὸ πλεῖστον νικᾷ· ἂν γὰρ ἰσοπαλὴς ὁ ζυγὸς εὑρεθῇ τῶν καλῶν, καὶ αἰσχρῶν, νικᾷ τὸ φιλάνθρωπον· εἰ δὲ καὶ μικρόν τι τῶν κακῶν ἡ πλάστιγξ βαρύνεται, κατακρατεῖ πάλιν τὸ ὑπεράγαθον. Ἰστέον δέ, ὡς γνωρίσουσιν ἀλλήλους πάντες ἐκεῖσε, οὕς τε γινώσκουσι, καὶ οὓς οὐκ ἐθεάσαντο πώποτε, ὡς ὁ θεῖος λέγει Χρυσόστομος, ἀπὸ τῆς κατὰ τὸν πλούσιον, καὶ τὸν Λάζαρον παραβολῆς αὐτὸ συνιστῶν· πλήν, οὐ σωματικῷ τινι χήματι, μίαν γὰρ ἡλικίαν πάντες, καὶ τὰ ἀπὸ γενέσεως γνωρίσματα λείψουσι· τῷ διορατικῷ δὲ ὄμματι τῆς ψυχῆς, ὡς καὶ ὁ Θεολόγος ἐν τῷ εἰς Καισάριον ἐπιταφίῳ φησί. Τότε, λέγων, Καισάριον ὄψομαι φαιδρόν, ἔνδοξον, οἷος μοι κατ' ὄναρ πολλάκις ἐφάνης ἀδελφῶν φίλτατε. Εἰδέναι δὲ καὶ τοῦτο χρεών, ὅτι τὰ βεβαπτισμένα νήπια τῆς τρυφῆς ἀπολαύσουσι, τὰ δὲ ἀφώτιστα, καὶ τὰ τῶν Ἐθνῶν οὔτε εἰς τρυφήν, οὔτε εἰς γέενναν ἥξουσιν· ἐξιοῦσα μὲν οὖν ἡ ψυχὴ τοῦ σώματος οὐδεμίαν φροντίδα τῶν ἐνταῦθα ἔχει, ἀλλὰ τῶν ἐκεῖσε ἀεὶ φροντίζει. Διὰ τὰς προειρημένας οὖν αἰτίας τῶν ψυχῶν μνείαν ποιούμεθα· ἃς ἐν ταῖς τῶν Δικαίων σου σκηναῖς κατάταξον Δέσποτα Χριστέ, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος ἀθάνατος. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ Εἱρμός.

Ὁ Ἐν ἀρχῇ τὴν γῆν θεμελιώσας, καὶ Οὐρανοὺς τῷ λόγῳ στερεώσας, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τῶν εὐσεβῶς ἐξ αἰῶνος θανέντων μνημόσυνα ἐκτελοῦντες, βοῶμεν· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τῶν εὐσεβῶς ἐξ απίνης θανέντων, καὶ ἐκ βολῆς παντοδαπῆς ῥιφείσης, σιδήρου, ξύλου, παντοίου λίθου, ἀνάπαυσον ὁ Θεὸς κεκοιμημένους πιστούς.

Ἐν τῇ φρικτῇ ἐλεύσει σου, οἰκτίρμον, ἐκ δεξιῶν τῶν προβάτων σου στῆσον τοὺς ὀρθοδόξως σοι ἐν βίῳ λειτουργήσαντας, Χριστέ, καὶ μεταστάντας πρὸς σέ.

Ἐν τῷ χορῷ, Χριστέ, τῶν ἐκλεκτῶν σου κατάταξον τοὺς σοὺς δούλους, βοᾶν σοι· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ Ἀπὸ γῆς τὸν χοῦν δημιουργήσας τὸ τῆς σαρκός, καὶ πνεύματι ζωώσας, Σωτὴρ οἰκτίρμον, οὓς προσελάβου, ἀνάπαυσον ὁ Θεὸς ἐν τῇ ἀγήρῳ ζωῇ. Δόξα.

Ὁ Ἰσαρισὶν ἡλίοις ἡ Θεότης· μιᾷ φωτὸς συγκράσει ἀνυμνείσθω, Πατήρ, Υἱός τε, καὶ θεῖον Πνεῦμα, ἓν τῇ φύσει, ἀλλὰ τρία ὑποστάσεσι.

Θεοτοκίον.

Δαυϊτικὸν μελῳδοῦμέν σοι ᾆσμα, ὄρος Θεοῦ σὲ καλοῦντες, Παρθένε, ἐν ᾧ οἰκήσας σαρκὶ ὁ Λόγος, ἐθεούργησεν ἡμᾶς πνευματικῶς ἐν αὐτῷ.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα.

Ὁ Ἐκτρέψας πρώην σκιὰν θανάτου, ἀνατείλας ὡς Ἥλιος ἐκ τάφου, υἱοὺς τῆς ἀναστάσεώς σου ποίησον, Κύριε τῆς δόξης, πάντας τοὺς θανέντας ἐν πίστει εἰς αἰῶνας.

Τῶν ἀδήλων, καὶ κρυφίων ὁ γνώστης· ὅταν μέλλῃς ἐκκαλύπτειν τοῦ σκότους τὰ ἔργα, βουλὰς τῶν καρδιῶν ἡμῶν, τότε μὴ συνάρῃς λόγον μετὰ πάντων τῶν πίστει κοιμηθέντων.

Ὅταν μέλλῃς καθίσαι ἐπὶ θρόνου, καὶ κελεύσῃς, εἰς κρίσιν παραστῆναι τοὺς ἐξ ἐσχάτων γῆς διὰ τῆς σάλπιγγος συναθροιζομένους, τότε φεῖσαι πάντων, Χριστέ, ὡς ἐλεήμων.

Τοὺς θανέντας ἄφνω ἐκ συμπτωμάτων, ἐκ βοῆς τε σφοδρᾶς, καὶ τάχους δρόμου, ῥαπίσματος, πυγμῆς τε, καὶ λακτήσεως, Κύριε τῆς δόξης, πίστει κοιμηθέντας ἄνες εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν.

Ὡς μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς Τριάδα τοῖς προσώποις σε σέβω. Πάτερ, Υἱέ, καὶ Πνεῦ-

Digitized by Google

Πνεῦμα τὸ πανάγιον· ἄναρχον τὸ Κράτος τῆς σῆς Βασιλείας δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

Ῥεῖθρον ζῶντος πηγὴ ἐσφραγισμένη ἀνεδείχθης, Θεοτόκε Παρθένε· ἀνάνδρως γὰρ τὸν Κύριον γεννήσασα, τῆς ἀθανασίας τοὺς πιστοὺς ποτίζεις τὸ νᾶμα εἰς αἰῶνας.

Αἰνοῦμεν· εὐλογοῦμεν· ὁ Εἱρμός.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρὶ τὸ τῆς Ἀειπαρθένου τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα.

Ἔνθα εὐφραινομένων ἐστὶν ἡ κατοικία τῶν Ἁγίων σου Κύριε, πάντας τοὺς ἀπ' αἰῶνος Κεκοιμημένους ἐν πίστει τε, καὶ ἐλπίδι, ἀγαλλιᾶσθαι καταξίωσον.

Τοὺς θεομηνίᾳ θανατικῶν ἐκτριβέντας κεραυνῶν παντοίων, ἐξ Οὐρανοῦ ἐνεχθέντων, γῆς χωσθείσης, ἐπικλυσάσης θαλάσσης, πάντας τοὺς πιστοὺς, Χριστὲ, ἀνάπαυσον.

Ἅπασαν ἡλικίαν, πρεσβύτας, καὶ νεανίσκους, νέους, καὶ ἐφήβους παῖδας, ἀρρενικὴν φύσιν τε, καὶ θηλείαν, ἀνάπαυσον ὁ Θεὸς, οὓς προσελάβου πιστούς.

Τοὺς ἐξ ἰοβόλων δηγμάτων κεκοιμημένους, καταπτώσεως ὄφεων, συμπατήσεως ἵππων, καὶ ἐκ πνιγμοῦ, καὶ ἀγχόνης τοῦ τέλους, πίστει σοι λαβόντας ἀνάπαυσον.

Ἕκαστον κατ' ὄνομα τῶν ἐν πίστει θανέντων ἀπὸ τοῦ αἰῶνος, καὶ γενεῶν, καὶ γενεᾶς, ἀκατακρίτως παρασταθῆναί σοι τότε ἐν τῇ παρουσίᾳ σου ἀξίωσον.

Δόξα.

Ὁ Εἷς ἐν Τριάδι Θεὸς, δόξα σοι ἀπαύστως· εἷς γὰρ καὶ Θεὸς ἕκαστος, ἀλλ' εἷς τῇ φύσει πέλεις, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τοῖς τελεσφοραῖσιν ἰδιώμασιν.

Θεοτοκίον.

Ὑπὲρ νοῦν ὁ τόκος σου· γεννᾷς γὰρ τὸν προόντα, καὶ γαλουχεῖς ἀφράστως τὸν τροφοδότην τοῦ Κόσμου· ἀνακλίνεις τὸν τοῦ παντὸς συνοχέα, Χριστὸν μόνον λυτρωτὴν ἡμῶν, παναμώμε.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ ἐν πυρὶ, καὶ βάτῳ, Τόκον τὸν τῆς Ἀειπαρθένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Ἐξαποστειλάριον. Ὁ Οὐρανὸν τοῖς ἄστροις.

Ὁ καὶ νεκρῶν, καὶ ζώντων ἐξουσιάζων ὡς Θεὸς, ἀνάπαυσον τοὺς σοὺς δούλους ἐν ταῖς σκηναῖς τῶν ἐκλεκτῶν· εἰ γὰρ καὶ ἥμαρτον, Σῶτερ, ἀλλ' οὐκ ἀπέστησαν ἐκ σοῦ.

Ἄλλος. Γυναῖκες ἀκουτίσθητε.

Ἀνάπαυσον τοὺς δούλους σου ἐν χώρᾳ ζώντων Κύριε· ἔνθα ἀπέδρα ὀδύνη, λύπη, ὁμοῦ καὶ στεναγμός· ἵλαθι ὡς φιλάνθρωπος, ἅπερ ἐν βίῳ ἥμαρτον· μόνος γὰρ ἀναμάρτητος ὑπάρχεις, καὶ ἐλεήμων, νεκρῶν, καὶ ζώντων Δεσπότης.

Θεοτοκίον Ὅμοιον.

Μαρία Θεονύμφευτε, Χριστὸν ἀπαύστως πρέσβευε ὑπὲρ ἡμῶν τῶν σῶν δούλων, σὺν θεηγόροις Προφήταις, καὶ τῶν Μαρτύρων δήμοις τε, Ἱεραρχῶν, Ὁσίων τε, καὶ πάντων τε τῶν Δικαίων, συγκληρονόμους γενέσθαι τῆς Οὐρανῶν Βασιλείας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ'. Καὶ ψάλλομεν στιχηρὰ Προσόμοια, ἦχος πλ. δ'.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Δεῦτε πρὸ τέλους πάντες ἀδελφοὶ, τὸν χοῦν ἡμῶν βλέποντες, καὶ τῆς φύσεως ἡμῶν τὸ ἀσθενὲς, καὶ τὴν εὐτέλειαν ἡμῶν, καὶ τὸ τέλος ὀψόμεθα, καὶ τὰ ὄργανα τοῦ σκεύους τῆς σαρκός· καὶ ὅτι κόνις ὁ ἄνθρωπος, βρῶμα σκωλήκων, καὶ φθορὰ· ὅτι ξηρὰ τὰ ὀστᾶ ἡμῶν, ὅλως μὴ ἔχοντα πνοήν. Τοὺς τάφους κατίδωμεν, ποῦ ἡ δόξα; ποῦ τὸ κάλλος τῆς μορφῆς; ποῦ ἡ εὔλαλος γλῶσσα; ποῦ ἡ ὀφρύς; ἢ ποῦ ὁ ὀφθαλμός; πάντα κόνις, καὶ σκιά· διό φεῖσαι Σωτὴρ πάντων ἡμῶν.

Τί ἀπατᾶται ἄνθρωπος αὐχῶν; τί μάτην ταράττεται ὁ πηλὸς, καὶ μετ' ὀλίγον ὁ αὐτός; τί οὐ λογίζεται ὁ χοῦς, ὅτι κόνις τὸ φύραμα, καὶ σαπρίας, καὶ φθορᾶς ἀποβολή· εἰ οὖν πηλὸς ἐσμὲν ἄνθρωποι, τί προσετήκαμεν τῇ γῇ; καὶ εἰ Χριστοῦ ἐσμὲν σύμφυτοι, τί οὐ προστρέχομεν αὐτῷ; καὶ ὅλην ἀφιέμενοι τὴν ἐπίκηρον, καὶ ῥεῦσταν ζωὴν, τῇ ζωῇ τῇ ἀφθάρτῳ ἀκολουθοῦμεν, ἥτις ἐστὶν ὁ Χριστὸς, ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν.

Ὁ τῇ χειρί σου πλάσας τὸν Ἀδὰμ, καὶ στήσας μεθόριον ἀφθαρσίας, καὶ θνητότητος Σωτὴρ, καὶ τῆς ἐν χάριτι ζωῆς, τῆς φθορᾶς ἀπαλλάξας τε, πρὸς τὴν προτέραν μεταθέμενος ζωὴν αὐτὸς τοὺς δούλους σου Δέσποτα, οὓς προσελάβου ἐξ ἡμῶν, μετὰ Δικαίων ἀνάπαυσον, καὶ ἐν χορῷ τῶν ἐκλεκτῶν, καὶ τούτων τὰ ὀνόματα μεταγράψας ἐν Βίβλῳ τῆς ζωῆς· ἐν φωνῇ Ἀρχαγγέλου ἐξαναστήσας σάλπιγγος ἠχῇ, καταξίωσον αὐτοὺς τῆς Οὐρανίου Βασιλείας σου.

Χριστὸς ἀνέστη, λύσας τῶν δεσμῶν Ἀδὰμ τὸν πρωτόπλαστον, καὶ τοῦ ᾅδου καταλύσας τὴν ἰσχύν· θαρσεῖτε πάντες οἱ νεκροὶ, ἐνεκρώθη ὁ θάνατος, ἐσκυλεύθη καὶ ὁ ᾅδης σὺν αὐτῷ· καὶ ὁ Χριστὸς ἐβασίλευσεν ὁ σταυρωθεὶς, καὶ ἀναστὰς, αὐτὸς ἡμῖν ἐχαρίσατο τὴν ἀφθαρσίαν τῆς σαρκὸς, αὐτὸς ἀνιστᾷ ἡμᾶς, καὶ δωρεῖται τὴν

ἀνά-

Digitized by Google

ἀνάστασιν ἡμῶν, καὶ τῆς δόξης ἐκείνης μετ' εὐφροσύνης πάντας ἀξιοῖ, τοὺς ἐν πίστει ἀκλινεῖ πεπιστευκότας θερμῶς ἐπ' αὐτῷ.

Δόξα. Νεκρώσιμον. ἦχος β'.

Ὡς ἄνθος μαραίνεται, καὶ ὡς ὄναρ παρέρχεται, καὶ διαλύεται πᾶς ἄνθρωπος. Πάλιν δὲ ἠχούσης τῆς σάλπιγγος, νεκροὶ ὡς ἐν συσσεισμῷ πάντες ἀναστήσονται πρὸς τὴν σὴν ὑπάντησιν, Χριστὲ ὁ Θεός. Τότε, Δέσποτα, οὓς μετέστησας ἐξ ἡμῶν, ἐν ταῖς τῶν Ἁγίων σου κατάταξον σκηναῖς, τὰ πνεύματα, Δέσποτα, τῶν σῶν δούλων ἀεί.

Καὶ νῦν, θεοτοκίον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ ἅγιος, καθὼς βοᾷ ὁ προφήτης. Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Ἀπόστιχα, τὰ προσόμοια στιχηρὰ τοῦ Θεοφάνους εἰς τὴν ὀκτώηχον. Δόξα. Νεκρώσιμον τοῦ Δαμασκηνοῦ· ἦχος πλ. β'.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδέμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τῶν ἀνθρώπων· ἀλλ' ἐλθὼν ὁ Δεσπότης καθεῖλε τὸν δράκοντα, καὶ ἀνάπαυσιν ἡμῖν ἐδωρήσατο· πρὸς αὐτὸν οὖν βοήσωμεν· φεῖσαι, Σωτήρ, καὶ οὓς προσελάβου, μετὰ τῶν ἐκλεκτῶν σου ἀνάπαυσον.

Καὶ νῦν, θεοτοκίον· ἦχος ὁ αὐτός.

ΕΥ' εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐν σοφίᾳ τὰ πάντα δημιουργῶν, καὶ πληρῶν. Προφήτας ἐξαπέστειλας, Χριστέ, προφητεῦσαι σου τὴν παρουσίαν, καὶ Ἀποστόλους, κηρῦξαι σου τὰ μεγαλεῖα· καὶ οἱ μὲν προεφήτευσαν τὴν ἔλευσίν σου· οἱ δὲ τῷ Βαπτίσματι ἐφώτισαν τὰ Ἔθνη. Μάρτυρες δὲ παθόντες ἔτυχον, ὧνπερ ἐπόθουν· καὶ πρεσβεύει σοι ὁ χορὸς τῶν ἀμφοτέρων σὺν τῇ Τεκούσῃ σε. Ἀνάπαυσον ὁ Θεὸς ψυχάς, ἃς προσελάβου, καὶ ἡμᾶς καταξίωσον τῆς Βασιλείας σου, ὁ Σταυρὸν ὑπομείνας δι' ἐμὲ τὸν κατάκριτον, ὁ λυτρωτής μου, καὶ Θεός.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, Τὸ τροπάριον. Ὁ βάθει σοφίας. Καὶ τό, Σὲ καὶ τεῖχος, καὶ λιμένα. Συνάπτομεν δὲ καὶ τὴν πρώτην Ὥραν. Καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν, Τυπικά. Καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Τριῳδίου ᾠδὴ τρίτη, καὶ ἕκτη. Προκείμενον τοῦ Ἀποστόλου· ἦχος πλ. β'.

Αἱ ψυχαὶ αὐτῶν, ἐν ἀγαθοῖς αὐλισθήσονται.

Στίχος. Πρὸς σὲ Κύριε κεκράξομαι.

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους πρώτης.

Ἀδελφοί. Πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα συμφέρει· πάντα μοι ἔξεστιν, ἀλλ' οὐ πάντα οἰκοδομεῖ. Μηδεὶς τὸ ἑαυτοῦ ζητείτω, ἀλλὰ καὶ τὸ τοῦ ἑτέρου ἕκαστος. Πᾶν τὸ ἐν μακέλλῳ πωλούμενον ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν· τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς. Εἰ δέ τις καλεῖ ὑμᾶς τῶν ἀπίστων, καὶ θέλετε πορεύεσθαι, πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε, μηδὲν ἀνακρίνοντες διὰ τὴν συνείδησιν. Ἐὰν δέ τις ὑμῖν εἴπῃ, ὅτι εἰδωλόθυτόν ἐστι, μὴ ἐσθίετε, δι' ἐκεῖνον τὸν μηνύσαντα, καὶ τὴν συνείδησιν αὐτοῦ· τοῦ γὰρ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

Εἰς κοιμηθέντας.

Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, Ἀδελφοί, περὶ τῶν Κεκοιμημένων, ἵνα μὴ λυπῆσθε, καθὼς καὶ οἱ λοιποί, οἱ μὴ ἔχοντες ἐλπίδα. Εἰ γὰρ πιστεύομεν, ὅτι Ἰησοῦς ἀπέθανε, καὶ ἀνέστη· οὕτω καὶ ὁ Θεὸς τοὺς Κοιμηθέντας διὰ τοῦ Ἰησοῦ ἄξει σὺν αὐτῷ. Τοῦτο γὰρ ὑμῖν λέγομεν ἐν λόγῳ Κυρίου· ὅτι ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι εἰς τὴν παρουσίαν τοῦ Κυρίου, οὐ μὴ φθάσωμεν τοὺς Κοιμηθέντας· ὅτι αὐτὸς ὁ Κύριος ἐν κελεύσματι, ἐν φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ, καταβήσεται ἀπ' Οὐρανοῦ· καὶ οἱ νεκροὶ ἐν Χριστῷ ἀναστήσονται πρῶτον· ἔπειτα ἡμεῖς οἱ ζῶντες, οἱ περιλειπόμενοι, ἅμα σὺν αὐτοῖς ἁρπαγησόμεθα ἐν νεφέλαις, εἰς ἀπάντησιν τοῦ Κυρίου εἰς ἀέρα· καὶ οὕτω πάντοτε σὺν Κυρίῳ ἐσόμεθα.

Ἀλληλουϊάριον, ἦχος πλ. β'. Μακάριοι, οὓς ἐξελέξω· στίχος· Καὶ τὸ μνημόσυνον αὐτῶν, εἰς γενεάν, καὶ γενεάν. Εὐαγγέλιον τῆς ἡμέρας πρῶτον, κατὰ Λουκᾶν. Εἶπεν ὁ Κύριος, βλέπετε μὴ πλανηθῆτε. Ἕτερον Εὐαγγέλιον εἰς Κοιμηθέντας. Εἶπεν ὁ Κύριος πρὸς τοὺς ἐληλυθότας πρὸς αὐτὸν Ἰουδαίους, Ἀμὴν ἀμὴν λέγω ὑμῖν. Κοινωνικόν. Μακάριοι, οὓς ἐξελέξω. Ἰστέον δέ, ὅτι αὕτη ἡ Ἀκολουθία γίνεται ἀπαραλλάκτως καὶ ἐν τῷ Σαββάτῳ τῆς ἁγίας Πεντηκοστῆς.

Τῇ Κυριακῇ τῆς Ἀποκρέω, ἐν τῷ Σαββάτῳ Ἑσπέρας εἰς τὸ Λυχνικόν· μετὰ τὸν προοιμιακὸν ψαλμὸν ἡ συνήθως στιχολογία· εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. Καὶ ψάλλομεν τῆς Ὀκτωήχου στιχηρ. ἀναστάσιμα γ'. καὶ ἀνατολικὰ γ'. Καὶ τοῦ Τριῳδίου τῆς ἡμέρας προσόμοια δ'. ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Ὅταν μέλλῃς ἔρχεσθαι, κρίσιν δικαίαν ποιῆσαι, Κριτὰ δικαιότατε, ἐπὶ θρόνου δόξης σου καθεζόμενος· ποταμὸς πύρινος, πρὸ τοῦ σοῦ βήματος καταπλήττων, ἕλκει ἅπαντας· παρισταμένων σοι τῶν ἐπουρανίων Δυνάμεων, ἀνθρώπων κρινομένων τε, φόβῳ καθ' ἃ ἕκαστος ἔπραξε. Τότε ἡμῶν φεῖσαι, καὶ μοίρας καταξίωσον, Χριστέ, τῶν σωζομένων, ὡς εὔσπλαγχνος, πίστει δυσωποῦμέν σε.

Βίβλοι ἀνοιγήσονται, φανερωθήσονται πράξεις ἀνθρώπων ἐπίπροσθεν τοῦ ἀστέκτου βήματος· διηχήσει δὲ ἡ κοιλὰς ἅπασα φοβερῷ βρύγματι τοῦ κλαυθμῶνος, πάντας βλέπουσα τοὺς ἁμαρτήσαντας, ταῖς αἰωνιζούσαις κολάσεσι τῇ κρίσει τῇ δικαίᾳ σου παραπεμπομένους, καὶ ἄπρακτα κλαίοντας οἰκτίρμον· διό σε δυσωποῦμεν ἀγαθέ, φεῖσαι ἡμῶν τῶν ὑμνούντων σε, μόνε πολυέλεε.

Ἠχήσουσι σάλπιγγες, καὶ κενωθήσονται τάφοι, καὶ ἐξαναστήσεται τῶν ἀνθρώπων τρέμουσα φύσις ἅπασα· οἱ καλὰ πράξαντες ἐν χαρᾷ χαίρουσι, προσδοκῶντες μισθὸν λήψεσθαι· οἱ ἁμαρτήσαντες τρέμουσι, δεινῶς ὀλολύζοντες, εἰς κόλασιν πεμπόμενοι, καὶ τῶν ἐκλεκτῶν χωριζόμενοι. Κύριε τῆς δόξης, οἰκτείρησον ἡμᾶς ὡς ἀγαθός, καὶ τῆς μερίδος ἀξίωσον τῶν ἠγαπηκότων σε.

Κλαίω, καὶ ὀδύρομαι, ὅταν εἰς αἴσθησιν ἔλθω τὸ πῦρ τὸ αἰώνιον, σκότος τὸ ἐξώτερον, καὶ τὸν τάρταρον, τὸν δεινὸν σκώληκα, τὸν βρυγμὸν αὖθίς τε τῶν ὀδόντων, καὶ τὴν ἄπαυστον ὀδύνην, μέλλουσαν ἔσεσθαι τοῖς ἄμετρα πταίσασι, καὶ σὲ τὸν ὑπεράγαθον γνώμῃ πονηρᾷ παροργίσασιν· ὧν εἷς τε, καὶ πρῶτος ὑπάρχω ὁ ταλαίπωρος ἐγώ· ἀλλά, Κριτά, τῷ ἐλέει σου σῶσόν με, ὡς εὔσπλαγχνος.

Δόξα· ἦχος πλ. δʹ.

Ὅταν τιθῶνται Θρόνοι, καὶ ἀνοίγωνται Βίβλοι, καὶ Θεὸς εἰς κρίσιν καθέζηται, ὢ ποῖος φόβος τότε! Ἀγγέλων παρισταμένων ἐν φόβῳ, καὶ ποταμοῦ πυρὸς ἕλκοντος! τί ποιήσομεν τότε, οἱ ἐν πολλαῖς ἁμαρτίαις ὑπεύθυνοι ἄνθρωποι; ὅταν δὲ ἀκούσωμεν καλοῦντος αὐτοῦ τοὺς εὐλογημένους τοῦ Πατρὸς εἰς Βασιλείαν, ἁμαρτωλοὺς δὲ ἀποπέμποντος εἰς κόλασιν. Τίς ὑποστήσεται τὴν φοβερὰν ἐκείνην ἀπόφασιν. Ἀλλὰ μόνε φιλάνθρωπε Σωτήρ, ὁ Βασιλεὺς τῶν αἰώνων, πρὶν τὸ τέλος φθάσῃ, διὰ τῆς μετανοίας ἐπιστρέψας, ἐλέησόν με.

Καὶ νῦν θεοτ. τὸ πρῶτον τοῦ ἤχου. Εἴσοδος. Φῶς ἱλαρόν: Προκείμενον. Ὁ Κύριος ἐβασίλευσεν. Καὶ τὰ λοιπά. Εἰς τὴν Λιτήν, δόξα, ἰδιόμελ. ἦχος βαρύς.

Τὰς τοῦ Κυρίου γνόντες ἐντολάς, οὕτω πολιτευσώμεθα. Πεινῶντας διαθρέψωμεν· διψῶντας ποτίσωμεν· γυμνοὺς περιβαλλώμεθα, ξένους συνεισάγωμεν· ἀσθενοῦντας, καὶ τοὺς ἐν φυλακῇ, ἐπισκεψώμεθα· ἵνα εἴπῃ καὶ πρὸς ἡμᾶς, ὁ μέλλων κρίνειν πᾶσαν τὴν γῆν. Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν Βασιλείαν.

Καὶ νῦν.

Ὑπὸ τὴν σὴν, Δέσποινα, σκέπην πάντες οἱ γηγενεῖς προσπεφευγότες βοῶμέν σοι. Θεοτόκε ἡ ἐλπὶς ἡμῶν, ῥῦσαι ἡμᾶς ἐξ ἀμέτρων πταισμάτων, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχ. στιχηρὰ τῆς Ὀκτωήχου. Καὶ τὰ κατὰ ἀλφάβητον.

Δόξα. ἦχος πλ. δʹ.

Οἴμοι, μέλαινα ψυχή, ἕως πότε τῶν κακῶν οὐκ ἐκκόπτεις; ἕως πότε τῇ ῥαθυμίᾳ κατάκεισαι; τί οὐκ ἐνθυμῇ τὴν φοβερὰν ὥραν τοῦ θανάτου; τί οὐ τρέμεις ὅλη τὸ φρικτὸν βῆμα τοῦ Σωτῆρος; ἆρα τί ἀπολογήσῃ, ἢ τί ἀποκριθήσῃ; τὰ ἔργα σου παρίστανται πρὸς ἔλεγχόν σου· αἱ πράξεις ἐλέγχουσι κατηγοροῦσαι. Λοιπόν, ὦ ψυχή, ὁ χρόνος ἐφέστηκε, δράμε, πρόφθασον, πίστει βόησον. Ἥμαρτον, Κύριε, ἥμαρτόν σοι· ἀλλ' οἶδα, φιλάνθρωπε, τὸ εὔσπλαγχνόν σου· ὁ ποιμὴν ὁ καλός, μὴ χωρίσῃς με τῆς ἐκ δεξιῶν σου παραστάσεως διὰ τὸ μέγα σου ἔλεος.

Καὶ νῦν, θεοτοκ.

Τῆς Ὀκτωήχου, εἰς τὸν αὐτὸν ἦχον.

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μῆτερ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου, Πανάμωμε· ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν, τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει, σωθῆναι πάντας ἡμᾶς.

Ἀπολυτίκιον, Θεοτόκε Παρθένε, καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς ἀγρυπνίας, καὶ γίνεται Ἀνάγνωσις εἰς τὸν Πραξαπόστολον· Εἰς τὸν ὄρθρον, Θεὸς Κύριος, εἰς τὸν ἦχον τοῦ τροπαρίου τῆς Ὀκτωήχου, τροπάριον ἀναστάσιμον, καὶ τῆς Θεοτόκου· ἡ συνήθης στιχολογ. Ἀναγινώσκομεν δὲ καὶ τὸν περὶ φιλοπτωχίας λόγον τοῦ Θεολόγου εἰς δόσεις γʹ. Οὗ ἡ ἀρχή. Ἄνδρες ἀδελφοί, καὶ συμπένητες· οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Προκείμενον, καὶ Εὐαγγέλιον ἑωθινὸν τοῦ ὕφους, ὁ νʹ.

Δόξα, ἦχος πλ. δʹ.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα· ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς ναὸν τὸν ἅγιόν σου, ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ', ὡς οἰκτίρμων, κάθαρον τῷ εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν, θεοτ. Ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις· καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας, ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

Εἶτα ἦχος πλ. βʹ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς Κρίσεως· ἀλλὰ θαῤῥῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ βοῶ σοι,

ἐλέη-

Digitized by Google

ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.
Καὶ οἱ Κανόνες, οἱ ἀναστάσιμοι τῆς Θεοτόκου. Καὶ τοῦ Τριῳδίου εἰς η'. Ὁ Κανὼν ποίημα Κυρίου Θεοδώρου τοῦ Στουδίτου, ᾠδ. α'. ἦχος πλ. β'.

Βοηθὸς, καὶ σκεπαστής.

Τὴν ἡμέραν τὴν φρικτὴν τῆς ἀπαῤῥήτου σου παρουσίας, φρίττω ἐννοῶν, δεδοικὼς προορῶ, ἐν ᾗ προκαθίσεις κρῖναι ζῶντας, καὶ νεκροὺς, Θεέ μου παντοδύναμε.

Ὅτε ἥξεις ὁ Θεὸς ἐν μυριάσι, καὶ χιλιάσι, τῶν ἀγγελικῶν οὐρανίων Ἀρχῶν, κἀμὲ, ἐν νεφέλαις ὑπαντῆσαι σοι, Χριστὲ, τὸν ἄθλιον ἀξίωσον.

Δεῦρο λάβε μοι ψυχὴ, αὐτὴν τὴν ὥραν, καὶ τὴν ἡμέραν, ὅτε ὁ Θεὸς ἐμφανὴς ἐπιστῇ, καὶ θρήνησον, κλαῦσον, εὑρεθῆναι καθαρὰ ἐν ὥρᾳ τῆς ἐτάσεως.

Ἐξιστᾷ με, καὶ φοβεῖ τὸ πῦρ τὸ ἄσβεστον τῆς γεέννης, σκώληξ ὁ πικρὸς, τῶν ὀδόντων βρυγμός· ἀλλ' ἄνες μοι, ἄφες, καὶ τῇ στάσει με, Χριστὲ, τῶν ἐκλεκτῶν σου σύνταξον.

Τῆς εὐκταίας σου φωνῆς, τῆς τοὺς Ἁγίους σου προσκαλέσης ἐπὶ τὴν χαρὰν, ἧς ἀκούσω κἀγὼ ὁ τάλας, καὶ εὕρω Βασιλείας Οὐρανῶν τὴν ἄῤῥητον ἀπόλαυσιν.

Μὴ εἰσέλθῃς μετ' ἐμοῦ ἐν κρίσει, φέρων μου τὰ πρακτέα, λόγους ἐκζητῶν, καὶ εὐθύνων ὁρμάς· ἀλλ' ἐν οἰκτιρμοῖς σου παρορῶν μου τὰ δεινά, σῶσόν με, παντοδύναμε.

Δόξα.

Τρισυπόστατε μονὰς, ἀρχικωτάτη Κυρία πάντων, τελεταρχικὴ ὑπεράρχιε, αὐτὴ ἡμᾶς σῶσον, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ πανάγιον.

Θεοτοκίον.

Τίς ἐγέννησεν Υἱὸν, τὸν μὴ σπαρέντα πατρῴῳ νόμῳ; τοῦτον ἐν γαστρὶ ὁ Πατὴρ πλὴν μητρός· παράδοξον τέρας· σὺ γὰρ ἔτεκες, ἁγνὴ, Θεὸν ὁμοῦ, καὶ ἄνθρωπον.

Καταβασία.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν·
» Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτὸν, ἐνδό-
» ξως γὰρ δεδόξασται.

Ὠδὴ γ'. Στερέωσον Κύριε ἐπὶ τὴν πέτραν τῶν.

Ὁ Κύριος ἔρχεται, καὶ τίς ὑποστήσει αὐτοῦ τὸν φόβον; τίς ὀφθῇ αὐτοῦ τῷ προσώπῳ; ἀλλ' ἑτοίμη γενοῦ, ὦ ψυχὴ, πρὸς ὑπάντησιν.

Προφθάσωμεν, κλαύσωμεν, καταλλαγῶμεν Θεῷ πρὸ τέλους· φοβερὸν γὰρ τὸ Κριτήριον, ἐν ᾧ πάντες τετραχηλισμένοι στησόμεθα.

Ἐλέησον, Κύριε, ἐλέησόν με, ἀναβοῶ σοι, ὅτε ἥξεις μετ' Ἀγγέλων σου, ἀποδοῦναι πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Τὴν ἄστεκτον, Κύριε, ὀργὴν πῶς οἴσω τῆς κρίσεώς σου, παραβεβηκὼς σου τὸ πρόσταγμα; ἀλλὰ φεῖσαι, φεῖσαί μου ἐν ὥρᾳ τῆς κρίσεως.

Ἐπίστρεψον, στέναξον, ψυχὴ ἀθλία, πρὶν τοῦ βίου πέρας λάβῃ ἡ πανήγυρις, πρὶν τὴν θύραν κλείσῃ τοῦ νυμφῶνος ὁ Κύριος.

Ἥμαρτηκα, Κύριε, καθάπερ ἄλλος οὐδεὶς ἀνθρώπων, πλημμελήσας ὑπὲρ ἄνθρωπον· πρὸ τῆς δίκης ἵλεως γενοῦ μοι, φιλάνθρωπε.

Δόξα.

Τριὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε φύσις, ἡ ἐν τριάδι ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον πίστει προσκυνοῦντας τὸ κράτος σου.

Θεοτοκίον.

Ἐβλάστησας, ἄχραντε, ἀσπόρῳ τόκῳ τὸν ζῶντα Λόγον, σαρκωθέντα ἐν τῇ μήτρᾳ σου, οὐ τραπέντα. Δόξα, Θεομῆτορ, τῷ τόκῳ σου.

Καταβασία.

Στερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου,
» ὅτι μόνος Ἅγιος ὑπάρχεις, καὶ δίκαιος.

Κάθισ. ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὸ βῆμά σου φρικτὸν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινά· ἀλλ' αὐτὸς ἐλεήμων προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι, ῥῦσαι, Δέσποτα, τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Θεοτοκίον. Ὅμοιον.

Τὸν πάντων ποιητὴν, καὶ Θεόν σου, καὶ κτίστην, παναμώμε ἁγνὴ, διὰ Πνεύματος θείου ἐν μήτρᾳ σου ἐχώρησας, καὶ φθορᾶς δίχα τέτοκας· ὃν δοξάζοντες, σὲ ἀνυμνοῦμεν Παρθένε, ὡς παλάτιον τοῦ Βασιλέως τῆς δόξης, καὶ κόσμου ἀντίλυτρον.

Ἕτερον κάθισ. ἦχος πλ. β'.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβερὰν, καὶ θρηνῶ μου τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσομαι τῷ ἀθανάτῳ Βασιλεῖ; ποίᾳ δὲ παῤῥησίᾳ ἀτενίσω τῷ Κριτῇ ὁ ἄσωτος ἐγώ; Εὔσπλαγχνε Πάτερ, Υἱὲ μονογενὲς, τὸ Πνεῦμα τὸ ἅγιον ἐλέησόν με.

Δόξα, ὁ αὐτός.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον, ὃν διέθου, ὅταν καθίσῃς, ἐλεήμων, ποιῆσαι δικαίαν κρίσιν, μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα, μὴ δὲ καταισχύνῃς με ἐνώπιον τῶν Ἀγγέλων, ἀλλὰ φεῖσαί μου ὁ Θεὸς, καὶ ἐλέησόν με.

Καὶ νῦν· Θεοτ. ὁ αὐτός.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθὴ, Θεοτόκε Παρθένε, τὴν σὴν, καὶ μόνην φοβερὰν προστασίαν αἰτοῦμαι· σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυ-



Digitized by Google

χαῖς ἡμῶν ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Ὠδὴ δ'. Ἀκήκοεν ὁ Προφήτης.

Ἐφέστηκεν ἡ ἡμέρα, ἤδη πρὸ θύραις ἡ κρίσις, ψυχὴ γρηγόρει· ὅπου βασιλεῖς, ὁμοῦ καὶ ἄρχοντες, πλούσιοι, καὶ πένητες ἀθροίζονται, καὶ λήψεται τὰ κατ' ἀξίαν τῶν πεπραγμένων τῶν ἀνθρώπων ἕκαστος.

Ἐν τάγματι τῷ οἰκείῳ μονάζων, καὶ Ἱεράρχης, πρέσβυς, καὶ νέος, δοῦλος, καὶ δεσπότης ἐταθήσονται, χήρα, καὶ παρθένος εὐθυνθήσεται, καὶ ἅπασιν αἰβαλὲ τότε, τοῖς μὴ τὸν βίον ἔχουσιν ἀνεύθυνον.

Ἀδέκαστός σου ἡ κρίσις, ἀλάθητόν σου τὸ βῆμα τεχνολογίας, οὐ ῥητόρων πιθανότης κλέπτουσα, οὐ μαρτύρων σκῆψις παραχρωνοῦσα τὸ δίκαιον· ἐν σοὶ γὰρ πάντων τὰ κεκρυμμένα τῷ Θεῷ παρίστανται.

Μὴ ἔλθω εἰς γῆν κλαυθμῶνος, μὴ ἴδω τόπον τοῦ σκότους, Χριστέ μου Λόγε, μὴ δεθῶ χεῖρας τε, καὶ πόδας μου, ἔξω τοῦ νυμφῶνος σου ῥιπτόμενος, τὸ ἔνδυμα τῆς ἀφθαρσίας ῥερυπωμένον ἔχων ὁ ταλαίπωρος.

Ἡνίκα ἀποχωρίσῃς ἁμαρτωλοὺς ἐκ δικαίων, κρίνων τὸν Κόσμον, ἵνα τῶν προβάτων σου με σύνταξον, ἀπὸ τῶν ἐρίφων διακρίνων με, φιλάνθρωπε, εἰς τὸ ἀκοῦσαι φωνῆς ἐκείνης τῆς εὐλογημένης σου.

Ἐτάσεως γινομένης, καὶ βίβλων ἀνεῳγμένων, τῶν πεπραγμένων, τί ποιήσεις, ὦ ψυχὴ ταλαίπωρε; τί ἀπολογήσῃ ἐπὶ βήματος; μὴ ἔχουσα δικαιοσύνης καρποὺς προσάξαι τῷ Χριστῷ, καὶ πλάστῃ σου.

Ἀκούων τῆς τοῦ πλουσίου ἐν τῇ φλογὶ τῆς βασάνου θρηνολογίας, κλαίω, καὶ ὀδύρομαι ὁ ἄθλιος, τῆς αὐτῆς ὑπάρχων κατακρίσεως, καὶ δέομαι, ἐλέησόν με, Σωτὴρ τοῦ Κόσμου, ἐν καιρῷ τῆς κρίσεως.

Δόξα.

Υἱὸν ἐκ Πατρὸς, καὶ Πνεῦμα δοξάζω ὡς ἐξ Ἡλίου φῶς, καὶ ἀκτῖνα· τὸν μὲν γεννητῶς, ὅτι καὶ γέννημα, τὸ δὲ προβλητῶς, ὅτι καὶ πρόβλημα· συνάναρχον θείαν Τριάδα, προσκυνουμένην ἀπὸ πάσης κτίσεως.

Θεοτοκίον.

Παρθένος βρέφος τεκοῦσα, καὶ τὴν ἁγνείαν τηροῦσα, σεμνὴ σὺ ὤφθης, τὸν Θεὸν γεννήσασα, καὶ ἄνθρωπον, ἕνα τὸν αὐτὸν ἐν ἑκατέρᾳ μορφῇ, τὸ θαῦμά σου, Παρθενομῆτορ, ἐκπλήττει πᾶσαν ἀκοὴν, καὶ ἔννοιαν.

Καταβασία.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι,
„ καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν. Ἀ-
„ κήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ
„ δυνάμει σου.

Ὠδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε.

Τρόμος ἀδιήγητος, καὶ φόβος ἐκεῖ, ἥξει γὰρ Κύριος, καὶ τὸ ἔργον μετ' αὐτοῦ ἑκάστου τῶν ἀνθρώπων· καὶ τίς ἐντεῦθεν λοιπὸν ἑαυτὸν μὴ πενθήσει;

Ποταμὸς ὁ πύρινος ταράττει με, τήκει με, ξέει με τῶν ὀδόντων ὁ βρυγμὸς, τὸ σκότος τῆς ἀβύσσου, καὶ πῶς, ἢ τί πεπραχὼς, Θεὸν ἐξιλεώσω;

Φεῖσαι, φεῖσαι Κύριε τοῦ δούλου σου, μήποτε δώῃς με τοῖς πικροῖς βασανισταῖς, Ἀγγέλων ἀποτόμων, ἐν οἷς οὐκ ἔστιν ἐκεῖ ἀνάπαυσιν εὑρέσθαι.

Ἄρχων, καὶ ἡγούμενος ἐκεῖ ἐν ταὐτῷ, πλούσιος, ἄδοξος, μέγας, ἅμα καὶ μικρὸς εὐθύνεται ἐπίσης· οὐαὶ ἑκάστῳ λοιπὸν τῷ μὴ ἡτοιμασμένῳ.

Ἄνες, ἄφες Κύριε, καὶ σύγγνωθι ὅσα σοὶ ἥμαρτον, καὶ μὴ δείξῃς με ἐκεῖ ἐνώπιον Ἀγγέλων ἐν κατακρίσει πυρὸς αἰσχύνης ἀπεράντου.

Φεῖσαι, φεῖσαι, Κύριε, τοῦ πλάσματός σου· ἥμαρτον, ἄνες μοι, ὅτι φύσει καθαρὸς αὐτὸς ὑπάρχεις μόνος· καὶ ἄλλος πλὴν σου οὐδεὶς ὑπάρχει ἔξω ῥύπου.

Δόξα.

Μονάδα τῇ φύσει σε, Τριὰς, ἀνυμνῶ, ἄναρχον, ἄληπτον, ἀρχικὴν, βασιλικὴν, ὑπερτελῆ ἑνάδα, Θεὸν, καὶ φῶς, καὶ ζωὴν, δημιουργὸν τοῦ Κόσμου.

Θεοτοκίον.

Ἐν τῇ ὑπὲρ φύσιν σου κυήσει, σεμνὴ, νόμοι σοὶ φύσεως καταλύονται σαφῶς· καὶ γὰρ ἀσπόρως τίκτεις τὸν πρὸ αἰώνων Θεὸν, ἐκ Πατρὸς γεννηθέντα.

Καταβασία.

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγ-
„ μασί σου, καὶ δίδαξόν με ποιεῖν ἀεὶ τὸ θέλη-
„ μά σου.

Ὠδὴ ς'. Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου.

Ἐν τῇ φρικτῇ, Χριστὲ, παρουσίᾳ σου, ὅταν φανῇς ἐξ Οὐρανοῦ, καὶ τεθῶσι θρόνοι, καὶ βίβλοι ἀνοιγῶσι· φεῖσαι, φεῖσαι τότε, Σωτὴρ, τοῦ πλάσματός σου.

Ἐκεῖ οὐδὲν βοηθῆσαι δύναται, Θεοῦ ὑπάρχοντος κριτοῦ, οὐ σπουδὴ, οὐ τέχνη, οὐ δόξα, οὐ φιλία· εἰ μὴ ἡ ἐξ ἔργων ἰσχύς σου, ὦ ψυχή μου.

Ἐκεῖ ὁμοῦ ἄρχων, καὶ ἡγούμενος, πένης, καὶ πλούσιος, ψυχὴ· οὐ πατὴρ ἰσχύσει, οὐ μήτηρ βοηθοῦσα, οὐ λυτρούμενος ἀδελφὸς τῆς καταδίκης.

Τὸ φοβερὸν, ψυχὴ, λογοθέσιον ἐννοουμένη τοῦ κριτοῦ, φρίξον ἀπ' ἐντεῦθεν, ἑτοίμασον τὸν λόγον, μὴ κατακριθήσῃ δεσμοῖς τοῖς αἰωνίοις.

Α῎ρον

Digitized by Google

Ἄρον τὸ σὸν, μὴ ἀκούσω Κύριε, ἀποπεμπόμενος ἐκ σοῦ· μὴ δὲ τὸ πορεύου εἰς πῦρ κατηραμένων· ἀλλὰ τῆς εὐκταίας φωνῆς τῆς τῶν δικαίων.

Ἄδου πυλῶν λύτρωσαί με Κύριε, χάους, καὶ ζόφου ἀφεγγοῦς, ἐκ καταχθονίων, καὶ πυρὸς τοῦ ἀσβέστου, ἐξ ἁπάσης ἄλλης ποινῆς τῆς αἰωνίου.

Δόξα.

Τριαδικῆς μονάδος Θεότητα ὑμνῶ, Πατέρα, καὶ Υἱὸν, καὶ τὸ θεῖον Πνεῦμα, μιᾶς ἀρχῆς τὸ κράτος, συνδιῃρημένης τρισὶ τοῖς χαρακτῆρσι.

Θεοτοκίον.

Πύλη σὺ εἶ, ἣν μόνος διώδευσεν ὁ εἰσελθὼν, καὶ ἐξελθὼν, καὶ τὰς κλεῖς μὴ λύσας, ἁγνὴ, τῆς παρθενίας, Ἰησοῦς ὁ πλάσας Ἀδὰμ, καὶ ὁ Υἱός σου.

Καταβασία.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Κοντάκιον· ἦχος α'.

Ὅταν ἔλθῃς ὁ Θεὸς ἐπὶ γῆς μετὰ δόξης, καὶ τρέμουσι τὰ σύμπαντα· ποταμὸς δὲ τοῦ πυρὸς πρὸ τοῦ βήματος ἕλκει· καὶ βίβλοι ἀνοίγονται, καὶ τὰ κρυπτὰ δημοσιεύονται· τότε ῥῦσαί με ἐκ τοῦ πυρὸς τοῦ ἀσβέστου· καὶ ἀξίωσον, ἐκ δεξιῶν σου με στῆναι, Κριτὰ δικαιότατε.

Ὁ Οἶκος.

Τὸ φοβερόν σου Κριτήριον ἐνθυμούμενος, ὑπεράγαθε Κύριε, καὶ τὴν ἡμέραν τῆς κρίσεως, φρίττω, καὶ πτοοῦμαι, ὑπὸ τῆς συνειδήσεως τῆς ἐμῆς ἐλεγχόμενος· ὅταν μέλλῃς καθέζεσθαι ἐπὶ τοῦ Θρόνου σου, καὶ ποιεῖν τὴν ἐξέτασιν, τότε ἀρνεῖσθαι τὰς ἁμαρτίας οὐδεὶς ἐξισχύσει, ἀληθείας ἐλεγχούσης, καὶ δειλίας κατεχούσης· μέγα μὲν ἠχήσει τότε πῦρ, τὸ τῆς γεέννης· ἁμαρτωλοὶ δὲ βρύξουσι· διό με ἐλέησον πρὸ τέλους, καὶ φεῖσαί μου, Κριτὰ δικαιότατε.

Τὸ Συναξάριον· στίχ.

Ὅτε κρίνων γῆν ὁ Κριτὴς πάντων κάθῃ.
Τῆς, Δεῦτε, φωνῆς ἄξιον κἀμὲ κρίνοις.

Τῇ αὐτῇ ἡμέρᾳ, τῆς δευτέρας, καὶ ἀδεκάστου παρουσίας τοῦ Χριστοῦ μνείαν ποιούμεθα· ἣν οἱ θειότατοι Πατέρες μετὰ τὰς δύο παραβολὰς ἔθεντο· ὡς ἂν μήτις τὴν ἐν ἐκείναις τοῦ Θεοῦ φιλανθρωπίαν μανθάνων, ἀμελῶς διάγῃ, λέγων, φιλάνθρωπός ἐστιν ὁ Θεός· καὶ ὅταν τῆς ἁμαρτίας ἀναχωρήσω, ἑτοίμως ἔχω τὸ πᾶν ἀνύσαι. Ταύτην τὴν φοβερὰν ἡμέραν ἐνταῦθα κατέταξαν· ἵνα οἷα τοῦ θανάτου, καὶ τῆς προσδοκίας τῶν ἐσομένων δεινῶν, φοβίσαντες τοὺς ἀμελῶς διακειμένους, πρὸς ἀρετὴν ἐπαναγάγωσι· μὴ θαῤῥοῦντας εἰς τὸ φιλάνθρωπον μόνον, ἀλλ᾽ ἀφορᾶν, ὅτι καὶ δίκαιός ἐστι Κριτὴς, καὶ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ἄλλως τε, καὶ τῶν ψυχῶν προηγησαμένων, ἐχρῆν παραγενέσθαι καὶ τὸν κριτήν. Τρόπον δέ τινα καὶ ἡ παροῦσα Ἑορτὴ, ὡσανεὶ τέλος πασῶν τίθεται νῦν. ὅτι, καὶ αὕτη πάντων ἔσται τῶν καθ᾽ ἡμᾶς τελευταία· χρὴ γὰρ σκοπεῖν, ὡς τῇ ἐσομένῃ Κυριακῇ τὴν ἀρχὴν τοῦ Κόσμου, καὶ αὐτὴν τὴν ἀπὸ τοῦ Παραδείσου ἔκπτωσιν θήσουσι τοῦ Ἀδάμ. ἡ δὲ παροῦσα, πάντων τῶν ἡμετέρων τέλος, καὶ τοῦ Κόσμου αὐτοῦ. ἐν τῇ Ἀποκρέῳ δὲ ταύτην ἔθεντο, καταστέλλοντες, οἶμαι, τὴν τρυφὴν, καὶ ἀδδηφαγίαν διὰ τὸν φόβον τῆς Ἑορτῆς, καὶ πρὸς τὴν τῶν πλησίων συμπάθειαν ἡμᾶς ἐκκαλούμενοι. Καὶ ἄλλως, ἐπειδὴ τρυφήσαντες ἐξώσθημεν τῆς Ἐδὲμ, καὶ ὑπὸ κρίσιν γεγόναμεν, καὶ ἀρὰν, κατὰ τοῦτο ἐνταῦθα ἡ παροῦσα τίθεται Ἑορτή. Καὶ ὅτι μέλλομεν τῇ ἄλλῃ διὰ τοῦ Ἀδὰμ Κυριακῇ κατὰ τὸν τύπον τῆς Ἐδὲμ ἐκβληθῆναι, ἕως οὗ, ἡμᾶς, Χριστὸς ἐλθὼν, πάλιν ἐπαναγάγῃ πρὸς τὸν Παράδεισον. Δευτέρα δὲ παρουσία εἴρηται, ὅτι καὶ πρῶτον σωματικῶς πρὸς ἡμᾶς ἐπεδήμησεν, ἀλλ᾽ ἠρέμα, καὶ χωρὶς δόξης· νῦν δὲ, μετὰ ὑπερφυῶν θαυμασίων ἐλεύσεται, καὶ περιφανεῖ τῇ λαμπρότητι Οὐρανόθεν, καὶ μετὰ σώματος ὡς ἂν γνωσθείη πᾶσιν, ὅτι οὗτός ἐστιν, ὁ καὶ πρῶτα ἐλθὼν, καὶ τὸ γένος τῶν ἀνθρώπων ῥυσάμενος, καὶ κρῖναι πάλιν μέλλων αὐτὸ, εἰ καλῶς τὰ δεδομένα αὐτῷ διετήρησε. Πότε μέντοι γενήσεται ἡ αὐτοῦ παρουσία, οὐδεὶς οἶδε· τοῦτο γὰρ καὶ ὁ Κύριος τοῖς Ἀποστόλοις ἀπέκρυψε· τέως γε μὴν, σημεῖά τινα ἐνεφῆνε προηγήσασθαι, ἃ τινὲς τῶν Ἁγίων καὶ πλατύτερον διεσάφησαν· περὶ δὲ τῆς αὐτοῦ παρουσίας ἐλεύσεται ὁ Ἀντίχριστος, καὶ γεννηθήσεται (ὡς φησὶν ὁ ἅγιος Ἱππόλυτος Ῥώμης) ἐκ γυναικὸς μιαρᾶς, καὶ παρθένου μὲν τῷ δοκεῖν, ἐξ Ἑβραίων δὲ οὔσης, ἀπὸ τῆς φυλῆς Δὰν, ὃς ἦν παῖς τοῦ Ἰακώβ· καὶ περιπατήσει δῆθεν, τὴν κατὰ Χριστὸν μετερχόμενος πολιτείαν· καὶ θαύματα ἐκτελέσει, ὅσα δῆτα καὶ ὁ Χριστὸς ἐνήργησε, καὶ νεκροὺς ἀναστήσει· πλὴν, κατὰ φαντασίαν ἅπαντα πράξει, καὶ τὴν γέννησιν, καὶ τὴν σάρκα, καὶ τὰ λοιπὰ πάντα, ὡς φησὶν ὁ Ἀπόστολος. Καὶ τότε, λέγων, ἀποκαλυφθήσεται ὁ υἱὸς τῆς ἀπωλείας ἐν πάσῃ δυνάμει, καὶ σημείοις, καὶ τέρασι ψεύδους· πλὴν, οὐκ αὐτὸς ὁ διάβολος εἰς σάρκα μεταστοιχειωθήσεται, ὡς ὁ ἐκ Δαμασκοῦ φησὶν Ἰωάννης· ἀλλ᾽ ἄνθρωπος ἐκ πορνείας γεννηθεὶς, πᾶσαν τὴν τοῦ Σατανᾶ ἐνέργειαν ὑποδέξεται, καὶ αἰφνηδὸν ἐπαναστήσεται, εἶτα χρηστὸς, καὶ ἐπιεικὴς ἅπασι δόξει· καὶ λιμὸς τότε μέγας γενήσεται, καὶ ἐπαρκέσει τῷ λαῷ δῆθεν, καὶ τὰς θείας Γραφὰς μετελεύσεται· καὶ νηστείαν ἀσκήσει, καὶ βιασθήσεται ὑπὸ τῶν ἀνθρώπων, καὶ βασιλεὺς ἀνακηρυχθήσεται· καὶ ἀγαπήσει πλεῖστα τὸ τῶν Ἑβραίων γένος, καὶ εἰς Ἱερουσα-

ρουσαλὴμ ἀποκαταστήσει, καὶ τὸν Ναὸν αὐτῶν ἐγερεῖ· Πρὸ δὲ ἑπτὰ χρόνων, ὡς φησὶ Δανιὴλ, ἐλεύσεται Ἐνὼχ, καὶ Ἠλίας, κηρύσσοντες τῷ λαῷ, μὴ δέχεσθαι αὐτόν· ὁ δὲ συχὼν αὐτοὺς τυραννήσει, εἶτα, καὶ τὰς αὐτῶν κεφαλὰς ἐκκόψει. Οἱ δ' εὐσεβεῖς ἠρημένοι μακρὰν φεύξονται· οὓς ἐν ὄρεσιν εὑρὼν, διὰ δαιμόνων πειράσει. Κολοβωθήσονται δὲ τὰ ἑπτὰ ἔτη ἐκεῖνα διὰ τοὺς ἐκλεκτοὺς, καὶ λιμὸς γενήσεται μέγας, τῶν στοιχείων ὅλων μεταστραπέντων, ὡς ἀφανισθῆναι μικροῦ δεῖν ἅπαντας. Μετὰ δὲ ταῦτα, αἴφνης ὡσεὶ ἀστραπὴ Οὐρανόθεν ἡ τοῦ Κυρίου παρουσία γενήσεται, προπορευομένου τοῦ τιμίου αὐτοῦ Σταυροῦ· καὶ ποταμὸς πυρὸς καχλάζων αὐτοῦ προπορεύσεται, πᾶσαν τὴν γῆν τῶν μιασμάτων ἀποκαθαίρων. Συγχεθήσεται δὲ αὐτίκα ὁ Ἀντίχριστος, καὶ οἱ αὐτοῦ ὑπηρέται, καὶ παραδοθήσονται τῷ αἰωνίῳ πυρί· Σαλπισάντων δὲ τῶν Ἀγγέλων, ἥξει ἀθρόον ἐκ τῶν περάτων τῆς γῆς, καὶ ἀπὸ πάντων τῶν στοιχείων σύμπαν τὸ ἀνθρώπινον γένος εἰς Ἱερουσαλὴμ, ὅτι μέση τοῦ Κόσμου αὕτη· καὶ ἐκεῖ ἐκάθισαν Θρόνοι εἰς κρίσιν· πλὴν μετὰ τῶν ἰδίων σωμάτων, καὶ τῶν ψυχῶν, πάντων πρὸς ἀφθαρσίαν μεταστοιχειωθέντων, καὶ μίαν ἐχόντων μορφὴν, καὶ αὐτῶν δὲ τῶν στοιχείων τὴν ἐπὶ τὸ κρεῖττον δεξαμένων ἀλλοίωσιν. Καὶ διαχωρίσει ἑνὶ λόγῳ ὁ Κύριος δικαίους ἀπὸ τῶν ἁμαρτωλῶν· καὶ πορεύσονται οἱ τῶν ἀγαθῶν ἐργάται, αἰώνιον ζωὴν κομιζόμενοι· οἱ δὲ ἁμαρτωλοὶ, αἰώνιον πάλιν τὴν βάσανον· καὶ οὐδέποτε τούτων παῦσις γενήσεται. Ἰστέον δὲ, ὡς οὐ νηστείαν τότε ζητήσει, καὶ γυμνείαν, καὶ θαύματα ὁ Χριστός· καλὰ μὲν γὰρ καὶ ταῦτα, ἀλλὰ τὰ πολλῷ τούτων κρείττονα, ἐλεημοσύνην δηλαδὴ, καὶ συμπάθειαν· ἐρεῖ γὰρ δικαίοις, καὶ ἁμαρτωλοῖς ἕξ τινά. Ἐπείνασα γὰρ, καὶ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ ἐποτίσατέ με· ξένος ἤμην, καὶ συνηγάγετέ με· γυμνὸς, καὶ περιεβάλετέ με· ἠσθένησα, καὶ ἐπεσκέψασθέ με· ἐν φυλακῇ ἤμην, καὶ ἤλθετε πρός με. Ἐφ' ὅσον γὰρ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε. Ἅπερ δύναται ποιεῖν πᾶς τις κατὰ δύναμιν. Τότε οὖν πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός. Αἱ βάσανοι μέντοι, ἃς τὸ ἱερὸν Εὐαγγέλιον παραδέδωκεν, αὗται εἰσίν. Ἐκεῖ ἔσται ὁ κλαυθμὸς, καὶ ὁ βρυγμὸς τῶν ὀδόντων, ὁ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται· καὶ βάλλετε αὐτὸν εἰς τὸ σκότος τὸ ἐξώτερον. Τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεὸς, τῆς εὐκταίας σου φωνῆς ἡμᾶς καταξίωσον, καὶ τοῖς ἐκ δεξιῶν σου συναρίθμησον, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ. Ἡμάρτομεν, ἠνομήσαμεν.

Προσπέσωμεν, καὶ προσκλαύσωμεν πρὸ τῆς κρίσεως, πιστοὶ, ἐκείνης, ὅτε οἱ Οὐρανοὶ ἀπολοῦνται, ἄστρα πίπτουσι, καὶ πᾶσα κλονεῖται ἡ γῆ, ἵνα ἵλεων εὕρωμεν εἰς τέλος τὸν τῶν Πατέρων Θεόν.

Ἀδέκαστος ἡ ἐξέτασις, φοβερὰ ἐστὶν ἐκεῖ ἡ κρίσις, ὅπου Κριτὴς ἀλάθητός ἐστιν, ὅπου πρόσωπον οὐκ ἔστιν ἐν δώροις λαβεῖν· ἀλλὰ φεῖσαί μου, Δέσποτα, καὶ λύτρωσαι πάσης ὀργῆς σου φρικτῆς.

Ὁ Κύριος κρῖναι ἔρχεται, τίς ἐνέγκει ὀπτασίαν αὐτοῦ; φρίξον, ψυχὴ ἀθλία μου, φρίξον, καὶ ἑτοίμασον ἐξ ὁδοῦ τὰ ἔργα σου, ἵνα ἵλεων, εὔσπλαγχνον εὑρήσῃς αὐτὸν τὸν τῶν Πατέρων Θεόν.

Τὸ ἄσβεστον πῦρ παρέστη μοι, ὁ πικρότατος βρυγμὸς σκωλήκων, ᾅδης ὁ ψυχοφθόρος φοβεῖ με· εὐκατάνυκτος οὐδ' ὅλως δὲ γίνομαι, ἀλλὰ, Κύριε, Κύριε, περὶ τέλους με στήριξον, φόβῳ τῷ σῷ.

Προσπίπτω σοι, καὶ προσάγω σοι, ὥσπερ δάκρυα, τὰ ῥήματά μου, ἥμαρτον, ὡς οὐχ ἥμαρτε Πόρνη, καὶ ἠνόμησα, ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς, ἀλλ' οἰκτείρησον, Δέσποτα, τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με.

Ἐπίστρεψον, μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα, λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι, σὺ γινώσκεις μου τὰ κρύφια, μόνε Σωτήρ· ἀλλ' αὐτός με ἐλέησον, ὡς ψάλλει Δαβίδ, κατὰ τὸ ἔλεός σου.

Δόξα.

Τὰ τρία ἐν οὐσιότητι, καὶ τὸ ἓν προσώποις τρία ὑμνῶ· ταῦτα Πατὴρ, Υἱὸς, καὶ ἅγιον Πνεῦμα, μία δύναμις, βουλὴ, καὶ ἐνέργεια, εἷς Θεὸς ὁ τρισάγιος, Βασίλειον ἓν μοναρχικώτατον.

Θεοτοκίον.

Προέρχεται ὡραιότατος ἐκ θαλάμου τῆς γαστρός σου Θεὸς, ὥσπερ Ἀνάκτωρ ἠμφιεσμένος θεοΰφαντον ἁλουργίδα βαφῆς μυστικῆς τῶν παναγνῶν αἱμάτων σου, ἀνύμφευτε, καὶ βασιλεύει τῆς γῆς.

Ὁ Εἱρμός.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου· οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσα-
» μεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδώῃς
» ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Ὠδὴ η. Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι.

Τῆς φοβερᾶς δευτέρας σου Κύριε παρουσίας ἐννοῶν τὴν ὑπαντὴν, τρέμω τὴν ἀπειλήν σου, φοβοῦμαι τὴν ὀργήν σου· ταύτης με τῆς ὥρας, κραυγάζω, σῶσον εἰς αἰῶνας.

Σοῦ τοῦ Θεοῦ κρίνοντος τὰ σύμπαντα, τίς ἐνέγκει γηγενῶν, ὢν περιπαθής; ἄσβεστον πῦρ γὰρ τότε, καὶ σκώληξ βρύχων μέγα τοὺς κατακριθέντας συλλήψεται εἰς τοὺς αἰῶνας.

Πᾶσαν

Digitized by Google

Πᾶσαν πνοὴν, ἰδίως περισφίγξασαν, τοῦ ἀφελεῖν ἀκεῖναι, Χριστὲ, ἐπὶ τὸ αὐτὸ, μέγας ὁ φόβος τότε, μεγάλη ἡ ἀνάγκη, μόνον βοηθούντων τῶν πράξεων εἰς τοὺς αἰῶνας.

Πάντων Κριτὰ Θεέ μου, καὶ Κύριε, ἀκουσομαί σου φωνῆς τότε εὐκταίας· ἴδω σου φῶς τὸ μέγα, ἀθρήσω τὰς σκηνάς σου, βλέψω σου τὴν δόξαν, γηθόμενος εἰς τοὺς αἰῶνας.

Δικαιοκρίτα Σωτὴρ ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρὸς, καὶ τῆς ἀπειλῆς, ἧς μέλλω ἐν τῇ κρίσει δικαίως ὑποστῆναι· ἄνες μοι πρὸ τέλους διὰ ἀρετῆς, καὶ μετανοίας.

Ὅταν καθίσῃς Κριτὴς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου, Χριστὲ, ὢ ποῖος φόβος τότε! καμίνου καιομένης, πάντων δειλιώντων τὸ ἄστεκτον τοῦ Βήματός σου.

Εὐλογοῦμεν Πατέρα. Δόξα.

Ἕνα Θεὸν κατ᾽ οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διοριστικῶς, ἄλλας ἀλλ᾽ οὐκ ἀλλοίας, ἐπεὶ Θεότης μία ἐν τρισὶ προσώποις, Πατὴρ, Υἱὸς, καὶ θεῖον Πνεῦμα.

Θεοτοκιον.

Ἐκ φωτεινῆς προελθὼν νηδύος σου, ὡς νυμφίος ἐκ παστοῦ ἔλαμψε Χριστὸς, φῶς τοῖς ἐν σκότει μέγα, καὶ γὰρ δικαιοσύνης Ἥλιος ἀστράψας ἐφώτισεν, ἁγνὴ, τὸν Κόσμον.

Καταβασια.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ,
„ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἀσπόρου συλλήψεως.

Ὁ Κύριος ἔρχεται ἁμαρτωλοὺς κολάσασθαι, δικαίους σῶσαι· φρίξωμεν, θρηνήσωμεν, καὶ λάβωμεν αἴσθησιν ἐκείνης τῆς ἡμέρας, ἐν ᾗ τὰ ἄδηλα καὶ κρυπτὰ ἐκκαλύψας τῶν ἀνθρώπων, ἀποδίδωσιν ἐπάξια.

Ἔμφοβος, καὶ ἔντρομος Μωσῆς ἰδεῖν σε γέγονεν ἐκ τῶν ὀπίσω, πῶς δὲ ὑποστήσομαι σοῦ βλέπων τὸ πρόσωπον τότε ἐγὼ ὁ τάλας, ἡνίκα ἔλθῃς ἐξ Οὐρανοῦ, ἀλλὰ φεῖσαί μου οἰκτίρμων ἐν ἐλέει σου προβλέμματι.

Δανιὴλ πεφόβηται τὴν ὥραν τῆς ἐτάσεως, ἐγὼ τί πάθω; ἐπ᾽ αὐτῆς ἐρχόμενος ὁ δύστηνος, Κύριε, τῆς φοβερᾶς ἡμέρας· ἀλλά μοι δίδου πρὸ τελευτῆς, εὐαρέστως σοι λατρεῦσαι, καὶ τυχεῖν τῆς Βασιλείας σου.

Τὸ πῦρ ἑτοιμάζεται, ὁ σκώληξ· εὐτρεπίζεται τῆς εὐφροσύνης ἡ δόξα, ἡ ἄνεσις, τὸ φῶς τὸ ἀνέσπερον, ἡ χαρὰ τῶν Δικαίων· καὶ τίς μακάριος ἐκφυγεῖν τιμωρίας τῶν προτέρων, κληρωσάμενος τὰ δεύτερα;

Μή με τοῦ προσώπου σου ἀποστρεψάτω, Κύριε, θυμὸς ὀργῆς σου, μηδὲ εἰσακούσομαι φωνῆς ἠρεμένης σου εἰς πῦρ ἀποπεμπούσης, ἀλλ᾽ εἰσελεύσομαι εἰς χαρὰν τοῦ ἀφθάρτου σου νυμφῶνος κἀγὼ τότε σὺν Ἁγίοις σου.

Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται, νοσεῖ τὸ Πνεῦμα, ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις· διό μοι τάλαινα ψυχὴ τί ποιήσεις, ὅταν ἔλθῃ ὁ Κριτὴς ἀνερευνῆσαι τὰ σά;

Δόξα.

Μόνου μονογεννήτορ μονογενοῦς Υἱοῦ Πατὴρ, καὶ μόνον μόνου φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνον μόνως μόνου Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριον ὄντως ὂν, ὦ Τριὰς μονὰς ἁγία, σῶσόν με θεολογοῦντά σε.

Θεοτοκιον.

Τὸ θαῦμα τοῦ Τόκου σου ἐκπλήττει με, πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον; εἰπὲ πῶς παρθενεύεις γεννήσασα ὡς Μήτηρ; τὸ ὑπὲρ φύσιν πίστει λαβὼν, τὸ τικτόμενον προσκυνεῖ, ὅσα θέλει γὰρ, καὶ δύναται.

Καταβασία.

Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ
„ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶ-
„ σαι αἱ γενεαὶ, ὡς Θεοῦ ἡμῶν Μητέρα, ὀρθοδό-
„ ξως μεγαλύνομεν.

Ἐξαποστειλάριον τὸ ἑωθινόν. Εἶτα τὰ παρόντα.

Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τὴν φοβερὰν τῆς Κρίσεως, καὶ ἀρρήτου σου δόξης ἡμέραν ἐνθυμούμενος, φρίττων, Κύριε, ὅλως, καὶ τρέμων φόβῳ, κραυγάζω, ἐπὶ γῆς ὅταν ἔλθῃς, κρῖναι, Χριστὲ, τὰ σύμπαντα, ὁ Θεὸς τῶν δόξης, τότε οἰκτρὸν, ἀπὸ πάσης ῥῦσαί με τιμωρίας, ἐκ δεξιῶν σου, Δέσποτα, ἀξιώσας με στῆναι.

Ἄλλο. Γυναῖκες ἀκουτίσθητε.

Ἰδοὺ ἡμέρα ἔρχεται Κυρίου παντοκράτορος, καὶ τίς ὑποίσει τὸν φόβον τῆς παρουσίας ἐκείνου, ἡμέρα γὰρ θυμοῦ ἐστι, καὶ κλίβανος καιόμενος, ἐν ᾗ Κριτὴς καθέζεται, καὶ κατ᾽ ἀξίαν ἑκάστῳ τῶν πράξεων ἀπονέμων.

Θεοτ. Ὅμοιον.

Τὴν ὥραν τῆς ἐτάσεως, καὶ τῆς φρικτῆς ἐλεύσεως τοῦ φιλανθρώπου Δεσπότου κατανοῶν, ὅλως τρέμω, καὶ σκυθρωπάζων κράζω σοι. Κριτά μου δικαιότατε, καὶ μόνε πολυέλεε, μετανοοῦντα με δέξαι τῆς Θεοτόκου πρεσβείαις.

Εἰς τοὺς Αἴνους στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ'. καὶ ἀνατολικὸν ἓν, καὶ τῆς Ἀποκρέω ἰδιόμ. τρία. ἦχος πλ. β'.

Ἐννοῶ τὴν ἡμέραν ἐκείνην, καὶ τὴν ὥραν, ὅταν μέλλομεν πάντες γυμνοὶ, καὶ ὡς κατάκριτοι τῷ ἀδεκάστῳ Κριτῇ παρίστασθαι· τότε σάλπιγξ ἠχήσει μέγα, καὶ τὰ θεμέλια τῆς γῆς σεισθήσονται, καὶ οἱ νεκροὶ ἐκ τῶν μνημάτων

των ἐξαναστήσονται, καὶ ἡλικίᾳ μιᾷ πάντες γενήσονται, καὶ πάντων τὰ κρυπτὰ φανερὰ παρίστανται ἐνώπιόν σου, καὶ κόψονται, καὶ κλαύσονται, καὶ εἰς τὸ πῦρ τὸ ἐξώτερον ἀπελεύσονται οἱ μηδέποτε μετανοήσαντες· καὶ ἐν χαρᾷ, καὶ ἀγαλλιάσει ὁ τῶν Δικαίων κλῆρος εἰσελεύσεται εἰς παστάδα οὐράνιον.

Ὁ αὐτός. στίχ. Ἐξομολογήσομαί σοι.

Ὢ Ποία ὥρα τότε, καὶ ἡμέρα φοβερά, ὅταν καθίσῃ ὁ Κριτὴς ἐπὶ Θρόνου φοβεροῦ, βίβλοι ἀνοίγονται, καὶ πράξεις ἐλέγχονται, καὶ τὰ κρυπτὰ τοῦ σκότους δημοσιεύονται, Ἄγγελοι περιτρέχουσιν, ἐπισυνάγοντες πάντα τὰ Ἔθνη. Δεῦτε ἀκούσατε βασιλεῖς, καὶ ἄρχοντες, δοῦλοι, καὶ ἐλεύθεροι, ἁμαρτωλοί, καὶ δίκαιοι, πλούσιοι, καὶ πένητες, ὅτι ἔρχεται Κριτής, ὁ μέλλων κρίνειν πᾶσαν τὴν Οἰκουμένην, καὶ τίς ὑποστήσεται ἀπὸ προσώπου αὐτοῦ, ὅταν Ἄγγελοι παρίστανται, ἐλέγχοντες τὰς πράξεις, τὰς διανοίας, τὰς ἐνθυμήσεις, τὰ ἐν νυκτί, καὶ ἐν ἡμέρᾳ; ὢ ποία ὥρα τότε· ἀλλὰ πρὸ τοῦ φθάσαι τὸ τέλος, σπούδασον κράζουσα, ψυχή, ὁ Θεὸς ἐπίστρεψον, σῶσόν με, ὡς μόνος εὔσπλαγχνος.

Ἦχος πλ. δ'. στίχ. Εὐφρανθήσομαι, καὶ ἀγαλ.

Δανιὴλ ὁ Προφήτης ἀνὴρ ἐπιθυμιῶν γενόμενος, τὸ ἐξουσιαστικὸν Θεοῦ θεωρήσας, οὕτως ἐβόα. Κριτήριον ἐκάθισε, καὶ βίβλοι ἠνεῴχθησαν, βλέπε ψυχή μου· νηστεύεις; τὸν πλησίον σου μὴ ἀθέτει· βρωμάτων ἀπέχῃ; τὸν ἀδελφόν σου μὴ κατακρίνῃς· μὴ τῷ πυρὶ παραπεμπομένη, κατακαῇς ὡσεὶ κηρός, ἀλλ' ἀνεμποδίστως εἰσάξῃ σε Χριστὸς εἰς τὴν Βασιλείαν αὐτοῦ.

Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου.

Καὶ λέγομεν ἰδιόμελον τῆς ἡμέρας. ἦχος α'.

Προκαθάρωμεν ἑαυτοὺς ἀδελφοὶ τῇ βασιλίδι τῶν ἀρετῶν, ἰδοὺ γὰρ παραγέγονε, πλοῦτον ἡμῖν ἀγαθῶν κομίζουσα, τῶν παθῶν κατευνάζει τὰ οἰδήματα, καὶ τῷ Δεσπότῃ καταλλάττει τοὺς πταίσαντας· διὸ μετ' εὐφροσύνης ταύτην ὑποδεξώμεθα, βοῶντες Χριστῷ τῷ Θεῷ· ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, ἀκατακρίτους ἡμᾶς διαφύλαξον δοξολογοῦντάς σε τὸν μόνον ἀναμάρτητον.

Δόξα, πάλιν τὸ αὐτό· καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἶτα ἡ συνήθως Λιτὴ ἐν τῷ Νάρθηκι, ψαλλομένου τοῦ ἑωθινοῦ ἰδιομέλου. Συνάπτομεν καὶ τὴν πρώτην Ὥραν. Ἐν ᾗ ἀναγινώσκεται ἡ κατήχησις τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου. Εἰς τὴν Λειτουργίαν, Τυπικά. Καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου. Καὶ ἀπὸ τοῦ Κανόνος τοῦ Τριῳδίου, τὴν ς'. ᾠδήν. Προκείμενον· ἦχ. βαρύς.

Μέγας ὁ Κύριος ἡμῶν, καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ.

Στίχ. Αἰνεῖτε τὸν Κύριον· ὅτι ἀγαθὸς ψαλμός.

Ὁ Ἀπόστολος. Πρὸς Κορινθίους πρώτης Ἐπιστολῆς.

Ἀδελφοί, Βρῶμα ἡμᾶς οὐ παρίστησι τῷ Θεῷ· οὔτε γάρ, ἐὰν φάγωμεν, περισσεύομεν, οὔτε ἐὰν μὴ φάγωμεν, ὑστερούμεθα· βλέπετε δέ, μήπως ἡ ἐξουσία ὑμῶν αὕτη πρόσκομμα γένηται τοῖς ἀσθενοῦσιν· ἐὰν γάρ τις ἴδῃ σέ, τὸν ἔχοντα γνῶσιν ἐν εἰδωλείῳ κατακείμενον, οὐχὶ ἡ συνείδησις αὐτοῦ, ἀσθενοῦς ὄντος, οἰκοδομηθήσεται, εἰς τὸ τὰ εἰδωλόθυτα ἐσθίειν; καὶ ἀπολεῖται ὁ ἀσθενῶν ἀδελφὸς ἐπὶ τῇ σῇ γνώσει, δι' ὃν Χριστὸς ἀπέθανεν; οὕτω δὲ ἁμαρτάνοντες εἰς τοὺς ἀδελφούς, καὶ τύπτοντες αὐτῶν τὴν συνείδησιν ἀσθενοῦσαν, εἰς Χριστὸν ἁμαρτάνετε. Διόπερ εἰ βρῶμα σκανδαλίζει τὸν ἀδελφόν μου, οὐ μὴ φάγω κρέας εἰς τὸν αἰῶνα, ἵνα μὴ τὸν ἀδελφόν μου σκανδαλίσω. Οὐκ εἰμὶ Ἀπόστολος; οὐκ εἰμὶ ἐλεύθερος; οὐχὶ Ἰησοῦν Χριστὸν τὸν Κύριον ἡμῶν ἑώρακα; οὐ τὸ ἔργον μου ὑμεῖς ἐστὲ ἐν Κυρίῳ; εἰ ἄλλοις οὐκ εἰμὶ Ἀπόστολος, ἀλλά γε ὑμῖν εἰμί· ἡ γὰρ σφραγὶς τῆς ἐμῆς Ἀποστολῆς ὑμεῖς ἐστὲ ἐν Κυρίῳ.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ. στίχ. Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει.

Εὐαγγέλιον κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος· ὅταν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου.

Τέλος. Οἱ Δίκαιοι, εἰς ζωὴν αἰώνιον.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Καὶ Ἀγαλλιᾶσθε Δίκαιοι.

Τῇ Κυριακῇ ἑσπέρας. Εἰς τὸ Κύριε ἐκέκραξα, ψάλλομεν ὡς συνήθως τὰ στιχηρὰ τοῦ Μηναίου τοῦ κατὰ τὴν ἡμέραν τοῦ Ἁγίου, εἰς στίχ. ς'. Δόξα, καὶ νῦν Θεοτοκίον. Εἰς δὲ τὸν στίχ. καταλιμπάνεται ἡ Ὀκτώηχος. καὶ ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας δίς· ἦχος πλ. δ'.

Λιχνευσάμενοι, τὴν πρώτην ὑπέστημεν γύμνωσιν, ἡττηθέντες τῆς πικρᾶς γεύσεως, καὶ τοῦ Θεοῦ ἐξόριστοι γεγόναμεν· ἀλλ' ἐπανάγωμεν πρὸς μετάνοιαν, καὶ τὰς αἰσθήσεις ἐκκαθαίρωμεν, πρὸς ἃς ὁ πόλεμος, ἐπεισόδιον τὴν νηστείαν ποιούμενοι, ἐλπίδι χάριτος τὰς καρδίας βεβαιούμενοι, οὐ βρώμασιν, ἐν οἷς οὐκ ὠφελήθησαν οἱ περιπατήσαντες· καὶ βρωθήσεται ἡμῖν ὁ Ἀμνὸς τοῦ Θεοῦ ἐν τῇ ἱερᾷ, καὶ φωτοφόρῳ νυκτὶ τῆς Ἐγέρσεως· τὸ ὑπὲρ ἡμῶν ἀχθὲν σφάγιον, τὸ τοῖς Μαθηταῖς κοινωνῆσαν ἐν ἑσπέρᾳ τοῦ μυστηρίου, καὶ σκότος λῦον τῆς ἀγνωσίας ἐν τῷ φωτὶ τῆς αὐτοῦ Ἀναστάσεως.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου· καὶ ψάλλομεν αὖθις, τὸ αὐτὸ ἰδιόμελον. Εἶτα στίχ. ἕτερον. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς. Καὶ ψάλλομεν καὶ τὸ Μαρτυρικόν. Εἰς τὸν αὐτὸν ἦχον.

Μαρ-

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε· καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Δόξα, καὶ νῦν. Θεοτ. Ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε· καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν, Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δεῖ γινώσκειν, ὅτι ἔστω ποιοῦμεν ἀπὸ τῆς Κυριακῆς ταύτης ἑσπέρας εἰς τὸ λυχνικὸν ἕως τῆς ϛ'. τοῦ ἁγίου Λαζάρου, ὡσαύτως καὶ εἰς τὸν Ὄρθρον εἰς τὸν στίχ. Σχολάζουσι δὲ ἐν ταῖς τοιαύταις Ἑβδομάσι τῆς Ἀπόκρεω, καὶ τῆς Τυρινῆς τὰ Μεσώριμα τῶν Ὡρῶν, καὶ ὁ ἐν τοῖς Ἀποδείπνοις ψαλλόμενος Κανὼν τῆς Ὑπεραγίας Θεοτόκου. Εἰδέναι δὲ χρὴ, ὅτι ἐν τῇ αὐτῇ Ἑβδομάδι τῆς Τυρινῆς ψάλλομεν ἐν τοῖς Ὄρθροις τοὺς Κανόνας τῆς Ὀκτωήχου ὡς συνήθως· ὡσαύτως καὶ τοῦ Μηναίου, τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου. Ἐν αἷς δὲ Ὠδαῖς ψάλλομεν τὸ Τριῴδιον, καταλιμπάνομεν τὰς τοιαύτας Ὠδὰς τοῦ δευτέρου Κανόνος τῆς Ὀκτωήχου ὁλοκλήρως. Εἰ δὲ δυειρμόν ἐστι τὸ Τριῴδιον, καταλιμπάνομεν καὶ τῶν δύο Κανόνων τῆς Ὀκτωήχου τὰς Ὠδάς.

Τῇ β'. τῆς Τυρινῆς Ἐν τῷ ὄρθρῳ, μετὰ τὴν συνήθως στιχολογ. τοῦ πρώτου Καθίσματος τοῦ ψαλτηρίου, ψάλλομεν τὰ τῆς Ὀκτωήχου καθίσ. Εἰς δὲ τὴν δευτέραν στιχολογ. ψάλλομεν τοῦ Τριῳδίου.

Ἦχος ά.

Τοῦ λίθου σφραγισθέντος.

Ἠνέῳκται τῆς θείας μετανοίας τὰ πρόθυρα, προσέλθωμεν προθύμως, ἁγνισθέντες τὰ σώματα, βρωμάτων, καὶ παθῶν τὴν ἀποχὴν ποιοῦντες, ὡς ὑπήκοοι Χριστοῦ, τοῦ καλέσαντος τὸν Κόσμον εἰς Βασιλείαν τὴν ἐπουράνιον, δεκάτας τοῦ παντὸς ἐνιαυτοῦ προσφέροντες τῷ πάντων Βασιλεῖ, ὅπως καὶ τὴν Ἀνάστασιν αὐτοῦ πόθῳ κατίδωμεν.

Δόξα, τὸ αὐτὸ πάλιν· καὶ νῦν.

Θεοτοκίον Ὅμοιον.

Τὰς χεῖράς σου τὰς θείας, αἷς τὸν Κτίστην ἐβάστασας, Παρθένε Παναγία, σαρκωθέντα Θεότητι, προτείνασα, δυσώπησον αὐτὸν, λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παθῶν, καὶ κινδύνων τοὺς εὐφημοῦντάς σε πόθῳ, καὶ βοῶντάς σοι. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Ὁ Κανὼν τοῦ Μηναίου. Καὶ τὰ παρόντα Τριῴδια. Ποίημα τοῦ κυρίου Ἰωσήφ.

Ὠδὴ ά. ἦχος ά. Ὠδὴν ἐπινίκιον ᾄσω.

Φαιδρὰ προεόρτια τῆς ἐγκρατείας, λαμπρὰ τὰ προοίμια τῆς νηστείας σήμερον, διὸ συνδράμωμεν ἐν προθυμήσει, ἀδελφοί, καὶ προθυμίᾳ πολλῇ.

Ἀδὰμ τὸν προπάτορα τῇ παραβάσει ζηλώσας, ἐκβέβλημαι τῆς τρυφῆς ὁ ἄθλιος, διὸ προσπίπτω σοι ἐν μετανοίᾳ, καὶ κλαυθμῷ, Κύριε, σῶσόν με.

Ἀρχὴ κατανύξεως, καὶ μετανοίας, κακῶν ἀλλοτρίωσις, καὶ παθῶν ἐγκράτεια· διὸ ἀσπασώμεθα, ἀποκοπὴν τῶν πονηρῶν ἔργων ποιήσασθαι.

Νυκτὶ παραπτώσεων ἠμαυρωμένος, πρὸς σὲ τὴν κυήσασαν τοῖς ἐν σκότει Ἥλιον, Δικαιοσύνης Χριστὸν, νῦν καταφεύγω ἐκτενῶς, Δέσποινα, σῶσόν με.

Ἕτερον Τριῴδιον. Εἱρμὸς ὁ αὐτός.

Καὶ Ὠδὴ τοῦ ἤχου.

Ἰδοὺ προηνέῳκται τῆς μετανοίας ἡ θύρα, φιλόθεοι, δεῦτε οὖν, ἀσπασώμεθα, τοῦ εἰσελθεῖν δι' αὐτῆς, πρὶν κλείσῃ ταύτην ὁ Χριστὸς, ὡς ἀναξίοις ἡμῖν.

Τὸ ἔαρ μηνύουσα ἤγγικεν αὕτη ἡ νῦν προκαθάρσιος Ἑβδομὰς ἡ πάνσεπτος τῶν ἱερῶν νηστειῶν, τὰ σώματα, καὶ τὰς ψυχὰς πάντων φωτίζουσα.

Δόξα.

Ἀσύγχυτε, ἄκτιστε, Τριὰς ἁγία, μονὰς ὑπεράγαθε, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ συγγενὲς, τοὺς προσκυνοῦντάς σε πιστῶς ἀεὶ περίσωζε.

Θεοτοκίον.

Νενίκηνται, πάναγνε, ἐν σοὶ οἱ ὅροι, Παρθένε, τῆς φύσεως, μόνη γὰρ, τέξασα ἄνευ ἀνδρὸς τὸν Θεὸν, ὡς πρὸ τοῦ τόκου, σεμνὴ, πάλιν ἀπήμαντος.

Καὶ αὖθις τὸν Εἱρμόν.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάντες Θεῷ, τῷ ποιήσαντι θαυμαστὰ τέρατα βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασται.

Ὠδὴ ή. Οὐ φείδουσιν ἄγγελοι.

Τὸν βίον μου ἅπαντα ἀσώτως δαπανῶν, πολίταις ἐδούλευσα πικροῖς, καὶ πονηροῖς· ἀλλά με ποθοῦντα, πρὸς τοὺς σοὺς οἰκτιρμοὺς νῦν ἐπαναστρέψαι, Χριστὲ, μὴ ὑπερίδῃς.

Ὁ τρόπος τοῦ βίου μου αἰσχρὸς, καὶ χαλεπὸς· τὸ ἔλεος ἄμετρον, φιλάνθρωπε Σωτὴρ, τῆς σῆς εὐσπλαγχνίας· μετανοίας καιρὸν δίδου μοι αἰτοῦντι, καὶ πόθῳ σε ὑμνοῦντι.

Τοῦ Κάϊν τὴν δύστηνον ἐπόθησα ζωὴν, τοῦ νοῦ τὸ ἀξίωμα νεκρώσας ἀληθῶς, καὶ τρέμω τὴν Κρίσιν, εὐεργέτα, τὴν σήν· μή με κατακρίνῃς σὺν τούτῳ εἰς αἰῶνας.

Θεοτοκίον.

Παρθένε πανύμνητε, ἡ μόνη πρὸς Θεὸν πᾶσαν ἐνυπάρχουσα βοήθεια στερρὰ, τοῦ σκότους με ῥῦσαι, καὶ κολάσεως τῆς ἀποκειμένης τοῖς πονηρῶς βιοῦσιν,



Digitized by Google

Εἱρμὸς ἄλλος. Ὕμνον σοι προσφέρομεν.

Οὗτος ὁ καιρὸς ἐπὶ τῆς μετανοίας· διὸ εὐφρόνως ἐναρξώμεθα, ἀδελφοί, ἐκβοῶντες. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Σήμερον τοῖς βρώμασιν ἀποταχθέντες, ἀποδύσωμεν ἔργῳ, καὶ τῶν πταισμάτων τοῖς ἐπαξίως μετανοοῦσιν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Δόξα σοὶ ἀόρατε Τριὰς ἁγία, ἡ ἐν μονάδι προσκυνουμένη, ἣν πιστῶς δοξάζομεν· σῶζε τοὺς δούλους σου ἐκ πάσης βλάβης.

Θεοτοκίον.

Χαίροις παμμακάριστε ἁγνὴ Παρθένε· χαῖρε Κυρίου δούλη, καὶ Μήτηρ· χαῖρε σκέπη τοῦ Κόσμου, Θεοτόκε εὐλογημένη, Μαρία ὁλόφωτε.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.

Ὁ Εἱρμός.

Ὕμνον σοι προσφέρομεν τῶν Ἀσωμάτων, ὥσπερ οἱ παῖδες ἐν τῇ καμίνῳ· καὶ ὑμνοῦντες λέγομεν· Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Τὴν φωτοφόρον νεφέλην.

Εἰρηνικῇ καταστάσει, εἰλικρινεῖ διαθέσει τὸν ἱερώτατον καιρὸν τῆς ἁγίας νηστείας ὑποδεξώμεθα, πιστοὶ, αἰτοῦντες τὴν ἄφεσιν, ὧν ἕκαστος ἐπλημμέλησεν· ὅπως τῆς ἐκεῖθεν ἐπιτύχωμεν χαρᾶς.

Ἰδοὺ καιρὸς μετανοίας, ἡ προεόρτιος αὕτη τῶν νηστειῶν εἰσαγωγή, διανάστα ψυχή μου, τῷ εὐεργέτῃ, καὶ Θεῷ θερμῶς διαλλάγηθι· τῆς Κρίσεως ὅπως φύγῃς ἐκείνης τῆς δικαίας, καὶ φρικτῆς ὡς ἀληθῶς.

Τῶν νηστειῶν τὰς εἰσόδους, καὶ τὰ προπύλαια πάντες μὴ καθαρίσωμεν κακῶς ἀκρασίᾳ, καὶ μέθῃ· ἀλλ' ἐν ἁγνείᾳ λογισμῶν προθύμως εἰσέλθωμεν, ληψόμενοι ἀφθαρσίας στεφάνους, καὶ τῶν πόνων ἐπαξίως τοὺς καρπούς.

Θεοτοκίον.

Ὑπὲρ ἡμῶν δυσωποῦσα τὸν ἀγαθὸν μὴ ἐλλείπῃς, τὸν τὴν ἀσθένειαν ἡμῶν ἐπιστάμενον μόνον· λοιμοῦ, λιμοῦ τε, καὶ σεισμοῦ, καὶ πάσης κακώσεως λύτρωσαι τὴν τιμῶσάν σε πόλιν, Θεοτόκε, ἡ ἐλπὶς τῶν γηγενῶν.

Εἱρμὸς ἄλλος.

Σὲ τὴν ὡραθεῖσαν.

Ἐφέστηκεν καιρὸς, ψυχή μου, ὁ τῆς μετανοίας, μὴ ἀμέλει· πεινῶσι δίδου ἄρτον· προσεύχου τῷ Κυρίῳ καθ' ἡμέραν, καὶ νύκτα, καὶ ὥραν, ἵνα σώσῃ σε.

Κρεῶν, καὶ λοιπῶν βρωμάτων, ὥσπερ ἀποχὴν ἐποιησάμεθα, οὕτω καὶ πᾶσαν ἔχθραν πρὸς τοὺς πλησίον, ἅμα πορνείαν τε, καὶ ψεῦδος, καὶ πᾶν κακὸν ἐκφύγωμεν.

Δόξα.

Μίαν προσκυνῶ τῇ φύσει ἄναρχον Θεότητα· τρισὶ δὲ προσώποις, δοξάζω, ἐν Τριάδι μονάδα ἀμέριστον, καὶ σύνθετον.

Θεοτοκίον.

Σὺ εἶ τῶν πιστῶν, Παρθένε, καύχημα, ἐλπὶς, καὶ προστασία· σὲ ᾠδαῖς ᾀσμάτων δοξάζομεν ἅπαντες, Θεοτόκε Μαρία, διάσωσον τοὺς δούλους σου.

Ὁ Εἱρμός.

Σὲ τὴν ὡραθεῖσαν πύλην ὑπὸ Ἰεζεκιὴλ τοῦ Προφήτου, ἐν ᾗ οὐδεὶς διῆλθεν, εἰμὴ ὁ Θεὸς μόνος, Θεοτόκε Παρθένε, ἐν ὕμνοις μεγαλύνομεν.

Τῇ β'. πρωΐ, εἰς τὸν στίχ. τὸ ἰδιόμ. ἦχ. γ'.

Πάντα τὸν χρόνον ἡ νηστεία ὠφέλιμος ἐπὶ τοῖς αἱρουμένοις, καὶ ποιοῦσιν αὐτήν· οὔτε γὰρ ἐπήρεια δαιμόνων κατατολμᾷ τοῦ νηστεύοντος· ἀλλὰ καὶ οἱ φύλακες τῆς ζωῆς ἡμῶν Ἄγγελοι φιλοπονώτερον παραμένουσι τοῖς διὰ νηστείας ἡμῖν κεκαθαρμένοις.

Στίχος.

Ἐνεπλήσθημεν τὸ πρωΐ τοῦ ἐλέους σου Κύριε. Καὶ ψάλλομεν πάλιν τὸ αὐτό. Εἶτα στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς. Καὶ ψάλλομεν τὸ Μαρτυρικὸν εἰς τὸν αὐτὸν ἦχον.

Μαρτ.

Τῶν ἁγίων Ἀθλοφόρων τὴν μνήμην, δεῦτε λαοὶ ἅπαντες, τιμήσωμεν, ὅτι θεάτρον γενόμενοι Ἀγγέλοις, καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν Θεοτ. ὁ αὐτὸς ἦχος.

Ἄσπορος συνέλαβες ἐκ Πνεύματος ἁγίου, καὶ δοξολογοῦντές ἀνυμνοῦμέν σε. Χαῖρε Παναγία Παρθένε.

Τῇ β'. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα. Τὰ στιχηρὰ τοῦ Μηναίου. Ἀπόστιχ. τὸ ἰδιόμελον δὶς, ἦχος πλ. β'.

Διὰ νηστείας καθαρθῆναι ἀπολούσωμεν τοῦ ῥύπου τῶν πταισμάτων ἡμῶν· καὶ δι' ἐλέους, καὶ φιλανθρωπίας, τῆς πρὸς τοὺς πένητας, εἰσέλθωμεν εἰς τὸν νυμφῶνα τοῦ νυμφίου Χριστοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ λέγομεν τοὺς συνήθως στίχ. καθὰ καὶ χθές. Μαρτυρικόν.

Μάρτυρες Κυρίου, ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσατε ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρ-

οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν πλημμελημάτων, αἰτούμεθα.

Δόξα, καὶ νῦν θεοτ. ἦχος ὁ αὐτός.

Τὴν ἔνδοξον, καὶ ἄχραντον Θεοτόκον ἀληθῆ, ὡς Μητέρα τοῦ Θεοῦ ἀνυμνήσωμεν εὐσεβῶς, χαιρετίζοντες αὐτὴν ὡς ὁ Ἄγγελος. Χαῖρε Μήτηρ ἁγία τοῦ σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ· χαῖρε ἐνδιαίτημα τοῦ ἁγίου Πνεύματος· ἡ πρεσβεύουσα ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία.

Τῇ γ΄. τῆς Τυροφάγου. Εἰς τὴν δευτέραν στιχολογ. κάθισ. ἦχ. πλ. δ΄. Τὴν Σοφίαν, καὶ Λόγον.

Υπεράγαθε Λόγε, σὺν τῷ Πατρὶ, καὶ τῷ Πνεύματι κτίσας τὰ ὁρατὰ, ὁμοῦ καὶ ἀόρατα ἐν ἀρρήτῳ σοφίᾳ σου, τὸν φαιδρὸν τῆς νηστείας καιρὸν διανύσαι ἐν εἰρήνῃ βαθείᾳ εὐδόκησον, εὔσπλαγχνε, λύων τὴν ἀπάτην τῆς πικρᾶς ἁμαρτίας, παρέχων κατάνυξιν, καὶ ἰάσεων δάκρυα, καὶ πταισμάτων συγχώρησιν· ἵνα ἀδιστάκτῳ ψυχῇ, ἐν προθύμῳ τῷ Πνεύματι νηστεύοντες, σὺν Ἀγγέλοις ὑμνοῦμεν τὸ κράτος σου.

Δόξα τὸ αὐτό· καὶ νῦν θεοτ.

Τὴν Σοφίαν, καὶ Λόγον ἐν σῇ γαστρὶ συλλαβοῦσα ἀφράστως, Μήτηρ Θεοῦ, τῷ Κόσμῳ ἐκύησας, τὸν Κόσμον κατέχοντα, καὶ ἐν ἀγκάλαις ἔσχες, τὸν πάντα συνέχοντα, τὸν τροφοδότην πάντων, καὶ πλάστην, καὶ Κύριον· ὅθεν δυσωπῶ σε, Παναγία Παρθένε, καὶ πίστει δοξάζω σε, τοῦ ῥυσθῆναι πταισμάτων μου, ὅταν μέλλω παρίστασθαι πρὸ προσώπου τοῦ Κτίστου μου. Δέσποινα Παρθένε ἁγνὴ, τὴν σὴν βοήθειαν τότε μοι δώρησαι· καὶ γὰρ δύνασαι, ὅσα θέλεις, πανάμωμε.

Κανόνας ψάλλομεν τῆς Ὀκτωήχου, καὶ τοῦ Μηναίου. Ἐν αἷς δὲ ᾨδαῖς ψάλλομεν τὸ Τριῴδιον. Καταλιμπάνομεν τὰς ᾨδὰς τοῦ δευτέρου Κανόνος τῆς Ὀκτωήχου. Εἰ δὲ συμβῇ ἑορτὴ, τὸ Τριῴδιον, καταλιμπάνονται καὶ τῶν δύο Κανόνων τῆς Ὀκτωήχου αἱ ᾨδαί. Ἀναγινώσκομεν δὲ καὶ τοῦ μεγάλου Βασιλείου τὸν λόγον περὶ Εὐχαριστίας.

Ὁ Ν΄. Καὶ τὸ Τριῴδιον τοῦ Κυρίου Ἰωσήφ.

ᾨδὴ β΄. ἦχ. γ΄. Ὡς ὄμβρος ἐπ' ἄγρωστιν.

Ὡς ὄρθρος ἐξέλαμψεν ἡμῖν τῆς μετανοίας ἀκτῖνας τὰ πρόπυλαια λαμπρῶς τῆς ἐγκρατείας.

Τοῦ σκότους με λύτρωσαι, Χριστὲ, τοῦ ἐξωτέρου τῷ πλήθει τοῦ ἐλέους σου, ὡς μόνος λελειμμένον.

Πτερύσας με ἐξάρπασον, καὶ σκώληκος, Σωτὴρ, τοῦ ἀκοιμήτου, μετανοίας ἐμμελείᾳ καθαρθέντα.

Θεοτοκίον.

Παρθένε πανύμνητε, ὁδὸς ἡμῖν γενοῦ τῆς μετανοίας, σωτηρίας ὁδηγοῦσα πρὸς τὰς πύλας.

Εἱρμὸς ἄλλος· ἦχος β΄.

Προσέχετε λαός μου τῷ νόμῳ μου.

Καιρὸς μετανοίας ἐφέστηκε, σπεύσωμεν φιλόχριστοι, καθαρθῆναι πάντων τῶν πταισμάτων, καὶ ὀφθῆναι τῷ Δεσπότῃ μακάριοι.

Νηστείαν καθαρὰν, ἀναμάρτητον, σπεύσωμεν, τελέσωμεν νῦν ἀδιαλείπτως· ἵνα εὕρωμεν πταισμάτων ἄφεσιν.

Υπάρχεις γὰρ, Χριστὲ, πολυέλεος, πάντας, ἀγαθὲ, ἀεὶ προσδεχόμενος ἐν μετανοίᾳ· διὸ πάντες σε ἀεὶ δοξάζομεν.

Δόξα.

Τριάδα ἐν μονάδι δοξάσωμεν ἄτμητον, ἀσύγχυτον, ἀδιαίρετον τῇ ὑποστάσει, διαιρετὴν δὲ τοῖς προσώποις Θεόν.

Θεοτοκίον.

Αγνὴ Παρθενομῆτορ, δυσώπησον, ὅνπερ ἐσωμάτωσας, ὡς βροτὸν, Παρθένε, καὶ Λόγον· ἵνα σώσῃ κινδύνων τοὺς δούλους σου.

Ὁ Εἱρμός.

Προσέχετε λαός μου τῷ νόμῳ μου· κλίνατε τὸ οὖς ὑμῶν εἰς τὰ ῥήματα τοῦ στόματός μου, „ ὅτι τὸ ὄνομά σου, Κύριε, ἐκάλεσα.

ᾨδὴ η΄. Τὸν ἐκ ἀνάρχου τοῦ Πατρός.

Μεταμελείας ὁ καιρὸς, μετανοίας ἐπιδείξασθαι καρποὺς ἀξίους τῷ Θεῷ, ψυχή μου, σπεῦσον διανάστηθι, καὶ βόησον ἐκτενῶς ἐν νηστείαις, καὶ εὐχαῖς. Ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Προκαθαρθῶμεν, ἀδελφοί, τῆς ψυχῆς τὰ αἰσθητήρια· καὶ τῷ Κυρίῳ νῦν προσκολληθῶμεν τρόποις κατανύξεως, βοῶντες εἰλικρινῶς μετανοίᾳ καθαρᾷ. Ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸν ἐνεδρεύοντα ἐχθρὸν λιχνοτέραις ἐκθυμήσεσι, καὶ ἀκρασίᾳ ἡδονῆς βραχείας θέλγοντα τὴν αἴσθησιν, νεκρῶσαι σπουδάσωμεν ἐπιμόνῳ προσευχῇ, ὑμνοῦντες, εὐλογοῦντες, καὶ ὑπερυψοῦντες.

Η οὐρανώσασα ἡμῶν τὸ γεῶδες, Κόρη, φύραμα, τὴν γεωθεῖσαν, καὶ κατωφθαρεῖσαν τῆς ψυχῆς μου αὔλακα τῷ ὄμβρῳ σῶν οἰκτιρμῶν καρποφόρον ἀρεταῖς ἀνάδειξον, βοῶσαν καὶ ὑπερυψοῦσαν Χριστὸν εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος, Τὸν ἐν τῇ βάτῳ Μωσῇ.

Προκαθαρθῶμεν νυνὶ μὴ τοῖς βρώμασι μόνον, ἀλλὰ καὶ ταῖς πράξεσι, καὶ ἀρξώμεθα, πιστοὶ, θερμῇ τῇ διανοίᾳ, ἵνα τῷ Κτίστῃ φαιδροὶ ὀφθῶμεν εἰς αἰῶνας.

ΟΥ'τως ἡμᾶς νυστεύειν δεῖ· μὴ ἐν ἔχθρᾳ, καὶ μάχῃ· μὴ ἐν φθόνῳ, καὶ ἔριδι· μὴ ἐν κενοδοξίᾳ, καὶ δόλῳ κεκρυμμένῳ· ἀλλὰ καθὼς ὁ Χριστὸς ἐν ταπεινοφροσύνῃ.

ΟἹ ἐλεοῦντες, φησὶ, τοὺς πτωχοὺς, τῷ Σωτῆρι δανείζουσιν ἐμφρόνως· οὐ χαρᾶς ἀνεικάστου· παρέχει γὰρ πλουσίως τὰς ἀμοιβὰς τῶν καλῶν εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν πατέρα.

ΔΟ'ξα Πατρὶ, καὶ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι· εἷς Θεὸς γὰρ τὰ τρία· σὺν Ἀγγέλοις ἀπαύστως βροτοὶ ἀνευφημοῦμεν σὲ, παναγία Τριὰς, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΧΑῖρε Παρθένε ἁγνὴ, Θεοτόκε Μαρία, ἱλαστήριον Κόσμου, ὀρθοδόξων τὸ κέρας, ἱκέτευε, ῥυσθῆναι ἐκ τοῦ ἀσβέστου πυρὸς τοὺς σὲ δοξολογοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟ'ν ἐν τῇ βάτῳ Μωσῆ, τῆς Παρθένου τὸ θαῦμα ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα ποτὲ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Σὲ τὴν ἀκατάφλεκτον βάτ.

ΑἼΝοιξον ἡμῖν τοῦ ἐλέους σου τὰ ἄχραντα σπλάγχνα, ὁ μετάνοιαν βροτοῖς εἰς σωτηρίαν δωρησάμενος, μόνε Σωτὴρ πολυέλεε.

ΟἼμοι τί φρικῶδες ἐκεῖνο τὸ ἀδέκαστον Βῆμα; ἐν ᾧ μέλλομεν γυμνοὶ ποιεῖσθαι λόγον, ὧν ἐν τῷ βίῳ κακῶν διεπραξάμεθα.

ΟἼΜβρησον ἡμῖν εὐσπλαγχνίας, εὐεργέτα, ῥανίδα κατακλύζουσαν ἡμῶν τὸν ῥύπον πάντα, ἀφορμὰς μετανοίας ἡμῖν παρεχόμενος.

ΠΑ'ντες ἐν προθύμῳ καρδίᾳ τῆς ἁγίας νηστείας τὰ προπύλαια λαμπρῶς συνεισελθόντες, εὐχαρίστους δὲ ᾠδὰς τῷ Χριστῷ προσενέγκωμεν.

Θεοτοκίον.

ΣΕ' τὴν κραταιὰν προστασίαν, καὶ βεβαίαν ἐλπίδα ἀνυμνοῦντες εὐσεβῶς, ἐκδυσωποῦμεν, τὸν Υἱόν σου δυσώπει, Παρθένε, τοῦ σωθῆναι ἡμᾶς.

Εἱρμὸς ἄλλος. Τὴν παρθενίαν σου Θεοτόκε.

ΝΥ'ν προκαθαιρόμεθα ἐν νηστείᾳ, καὶ δάκρυσι, καὶ μεγίστοις κατορθώμασιν, ἵνα εὕρωμεν μέγα ἔλεος.

ΝΥ'ν μιμησώμεθα τὰς φρονίμους παρθένους, φιλόχρυσοι, καὶ σπεύσωμεν, Χριστῷ ὑπαντῆσαι μετὰ λαμπάδων φαιδρῶν.

ΝΥ'ν μιμησώμεθα τὸν Ἠλίαν νηστεύοντα, καὶ φεύγοντα τὴν Ἰεζάβελ τὴν πονηρὰν, ἵνα οὕτως ἀναληφθῶμεν ἐκ γῆς.

Δόξα,

ΑἽΓιος ἅγιος, ἅγιος, τρισάγιε, Πάτερ παντοκράτορ· καὶ Υἱὲ ὁμοούσιε, σὺν τῷ Πνεύματι μία Θεότης.

Θεοτοκίον.

ΕἸ'ς σὲ καυχώμεθα, καὶ εἰς σὲ καταφεύγομεν, ἁγνὴ Ἀειπάρθενε, σεμνή· τῆς κολάσεως ῥῦσαι πάντας ἡμᾶς.

Ὁ Εἱρμός.

ΤΗ'ν παρθενίαν σου, Θεοτόκε ἀμίαντε, ἣν οὐ κατέφλεξε τὸ πῦρ τῆς Θεότητος, ταύτην ἀεὶ μεγαλύνομεν.

Τῇ γ'. πρωΐ, ἰδιόμ. ἦχος γ'.

ΑἈΣμένως, λαοὶ, τὴν νηστείαν ἀσπασώμεθα· ἔφθασε γὰρ τῶν πνευματικῶν ἀγώνων ἡ ἀρχή· ἀφήσωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν· αὐξήσωμεν τῆς ψυχῆς τὰ χαρίσματα· συγκακοπαθήσωμεν ὡς δοῦλοι Χριστοῦ· ἵνα καὶ συνδοξασθῶμεν ὡς τέκνα Θεοῦ· καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐν ἡμῖν οἰκῆσαν, φωτίσει τὰς ψυχὰς ἡμῶν.

Μαρτυρ.

ΒΑσιλέων, καὶ τυράννων τὸν φόβον ἀπώσαντο οἱ Χριστοῦ στρατιῶται, καὶ εὐθαρσῶς, καὶ ἀνδρείως αὐτὸν ὡμολόγησαν τὸν ἁπάντων Κύριον, Θεὸν, καὶ Βασιλέα ἡμῶν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν θεοτ. ἦχος ὁ αὐτός.

ΘΕοτόκε, ἡ προστασία πάντων τῶν δεομένων· εἰς σὲ θαρροῦμεν, εἰς σὲ καυχώμεθα, ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστί· πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ ἀχρείων δούλων σου.

Τῇ γ'. Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, τὰ στιχηρὰ τοῦ Μηναίου ὡς συνήθως, Ἀπόστιχ. τὸ ἰδιόμελον, ἦχος α'.

ΠΕριχαρῶς δεξώμεθα, πιστοὶ, τὸ θεόπνευστον διάγγελμα τῆς νηστείας, ὡς πρώην οἱ Νινευῖται, καὶ αὖθις πόρναι, καὶ τελῶναι τὸ τῆς μετανοίας κήρυγμα παρὰ τοῦ Ἰωάννου· δι' ἐγκρατείας ἑτοιμασθῶμεν πρὸς μετουσίαν τῆς ἐν τῇ Σιὼν δεσποτικῆς ἱερουργίας· διὰ δακρύων προκαθαρθῶμεν τοῦ ἐν αὐτῇ θείου νιπτῆρος, προσδεξώμεθα ἰδεῖν τὴν τοῦ τυπικοῦ ἐνταῦθα Πάσχα τελείωσιν, καὶ τοῦ ἀληθινοῦ ἀνάδειξιν· παρασκευασθῶμεν εἰς προσκύνησιν τοῦ Σταυροῦ, καὶ τῆς Ἐγέρσεως Χριστοῦ τοῦ Θεοῦ· βοῶντες πρὸς αὐτὸν, μὴ καταισχύνῃς ἡμᾶς ἀπὸ τῆς προσδοκίας ἡμῶν, φιλάνθρωπε.

Μαρτυρ.

ΩὪ Τῆς καλῆς ἡμῶν πραγματείας Ἅγιοι· ὅτι αἵματα ἐδώκατε, καὶ Οὐρανοὺς ἐκληρονομήσατε· καὶ πρόσκαιρως πειρασθέντες, αἰωνίως ἀγάλλεσθε· ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα, φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε· καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως Τριάδα ὁμοούσιον.

Δόξα.

Δόξα, καὶ νῦν σταυροθεοτ.

Πανεύφημοι Μάρτυρες.

Παρθένος ἡ ἄσπιλος ποτὲ ἐπὶ ξύλου βλέπουσα, ὃν ἐξ ἀσπόρου γὰρ ἔτεκε γαστρὸς, μὴ φέρουσα τὴν τῶν σπλάγχνων βάσανον, βριχομένη ἔλεγεν· ὁ νεύματι κρατῶν Κτίσιν ἅπασαν, πῶς ὡς κατάκριτος, ἐν Σταυρῷ ἐναπηώρησαι, πάντως θέλων σῶσαι τὸ ἀνθρώπινον.

Τῇ δ΄. πρωῒ, ψάλλομεν Ἀλληλούϊα.

Ὡσαύτως δὲ ποιοῦμεν καὶ τῇ Παρασκευῇ, καὶ ψάλλομεν τὰ Τριαδικὰ, τὰ εἰς τὸν ἦχον· ἀπὸ τῆς α΄. στιχολογ. καθίσ. τῆς ὀκτωήχου σταυρώσιμα. Μετὰ δὲ τὴν β΄. στιχολογ. καθίσ. τοῦ Τριωδίου, ἦχος β΄. Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας.

Μετ' εἰρήνης διελθεῖν ἡμᾶς τοὺς ταπεινοὺς τὴν προκαθάρσιμον, εὐδόκησον, τῶν νηστειῶν, τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεός· κατάβαλε τοῦ ἐχθροῦ τὰ πανουργεύματα, καὶ τῷ Σταυρῷ σου πάντας διάσωσον, ὁ μόνος γινώσκων τὰ ἐγκάρδια.

Δόξα τὸ αὐτό· καὶ νῦν σταυροθεοτ. Ὅμοιον.

Παρεστῶσα τῷ Σταυρῷ σου ἡ ἀπειρόγαμος τεκοῦσά σε, καὶ μὴ φέρουσα ὁρᾷν ἀδίκως πάσχοντα, ὠλοφύρετο κλαυθμῷ, καὶ ἀνεβόα σοι· πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθὴς γλυκύτατε Υἱέ; ὑμνῶ σου τὴν ἄκραν ἀγαθότητα.

Ἰστέον, ὅτι ἐν Παλαιστίνῃ οὐ παρελάβομεν ὑπὸ τῶν ἁγίων Πατέρων, ποιεῖν τῇ Τετράδι, καὶ τῇ Παρασκευῇ τῆς Τυροφάγου Λειτουργίαν τελείαν, οὔτε Προηγιασμένην· Ἐν δὲ ταῖς δυσὶ ταύταις ἡμέραις ψάλλομεν Ἀλληλούϊα, ὁποίου ἂν τύχῃ Ἁγίου, ἐκτὸς τοῦ Προδρόμου, καὶ τῆς Ὑπαπαντῆς, ποιοῦντες καὶ τὰς συνήθως μετανοίας ἔντε τῷ Ἑσπερινῷ, καὶ τῷ Ὄρθρῳ, καὶ ταῖς Ὥραις. Μετὰ δὲ τὴν τοῦ Ἑσπερινοῦ ἀπόλυσιν εἰσερχόμεθα εἰς τὴν τράπεζαν, ἅπαξ δηλονότι ταῖς τοιαύταις ἡμέραις ἐσθίομεν τυρὸν, καὶ ὠὰ, εὐχαριστοῦντες τῷ Θεῷ, μεταλαμβάνοντες καὶ οἴνου. Ἐνταῦθα ἀναγινώσκομεν τὸν περὶ νηστείας λόγον τοῦ μεγάλου Βασιλείου, οὗ ἡ ἀρχὴ, Παρακαλεῖτε, παρακαλεῖτε· ὁ Ν΄. οἱ Κανόνες τῆς Ὀκτωήχου, τοῦ Μηναίου, καὶ τοῦ Τριωδίου, ἐν αἷς δὲ Ὠδαῖς ψάλλομεν τὰ Τριῴδια. Καταλιμπάνονται αἱ τοιαῦται Ὠδαὶ τῆς Ὀκτωήχου, καὶ τοῦ Μηναίου, ἐπειδὴ διειρμόν ἐστι τὸ Τριῴδιον.

Ὁ Κανὼν τοῦ Τριωδίου, Ὠδὴ α΄. ἦχ. δ΄. ποίημα κυρίου Ἀνδρέου Κρήτης.

Ὁ Εἱρμός.

Ἄσωμαί σοι, Κύριε ὁ Θεός μου, ὅτι ἐξήγαγες λαὸν δουλείας Αἰγύπτου ἐκάλυψας δὲ ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν.

Νηστεύων ὁ Κύριος ἀνθρωπίνως πρὸς ὑποτύπωσιν ἡμῶν, νικᾷ τὸν πειράζοντα· δεικνὺς τὸ ἡμέτερον, καὶ ὅρους ὑπογράφων ἡμῖν.

Μωσῆς ὁ θεόπτης ἐν Σιναίῳ δι' ἐγκρατείας τῷ Θεῷ πρόσωπον πρὸς πρόσωπον λαλεῖν, κατηξίωται· αὐτὸν πιστοὶ ζηλώσωμεν.

Ἱλάσθητι, Κύριε, τῷ λαῷ σου, καὶ ἐπιβλέψας, ὡς Θεὸς ἱλέῳ ὄμματι, ἐπίσκεψαι ἅπαντας τῷ πλήθει τοῦ ἐλέους σου.

Θεοτοκίον.

Σοὶ πάντες προστρέχομεν, Θεοτόκε, ὡς ὑπερμάχῳ ἀσφαλεῖ, εἰς πρεσβείαν κινοῦντές σε, λυτρώσασθαι τὴν ποίμνην σου ἐκ πάσης περιστάσεως.

Ὠδὴ γ΄ ὁ Εἱρμός.

Ἐν Κυρίῳ Θεῷ μου ἐστερεώθη ἡ καρδία μου· διὸ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

Ὁ θαυμάσιος Ἐνὼχ δι' ἐγκρατείας μετετέθη ἐκ γῆς· αὐτὸν ζηλοτυποῦντες, μετατεθῶμεν ἐκ φθορᾶς πρὸς ζωήν.

Προσευχαῖς, καὶ νηστείαις τὸν λυτρωτὴν ἱλεωσώμεθα· συγχαίρει γὰρ ὁ Κτίστης τῇ μετανοίᾳ τῶν κτισμάτων αὐτοῦ.

Ἑτοίμαζε, ὦ ψυχὴ, καὶ προκαθαίρου πρὸ τοῦ πάθους Χριστοῦ, ἵνα τῇ ἀναστάσει πνευματικῶς συνεορτάσῃς αὐτῷ.

Θεοτοκίον.

Ὡς τεκοῦσα Θεὸν, ὑπὲρ ἡμῶν ἀπαύστως πρέσβευε· πρὸς σὲ γὰρ, Θεοτόκε, ἁμαρτωλοὶ καταφεύγομεν.

Εἶτα τὸ Τριῴδιον· Ὠδὴ γ΄. ἦχος β΄.

Ἐν πέτρᾳ με τῆς πίστεως, Ἰωσήφ.

Ἐξέτεινας παλάμας ἐν τῷ Σταυρῷ σου, ἐνέκρωσας νεκρώσει σου τὴν κατάραν, ἐζώωσας τῷ πάθει σου τοὺς ἀνθρώπους, διὸ ὑμνοῦμέν σου τὴν θείαν σταύρωσιν, Ἰησοῦ φιλάνθρωπε ὁ Θεὸς ἡμῶν.

Τῇ βρώσει τῇ τοῦ ξύλου θανατωθέντες, τῷ ξύλῳ ἐζωώθημεν τοῦ Σταυροῦ σου. αὐτὸν οὖν σοι προσάγομεν εἰς πρεσβείαν, χάριν, καὶ ἔλεος ἡμῖν κατάπεμψον, εὐεργέτα Δέσποτα πολυέλεε.

Τὰ πρόθυρα ἠνέῳκται τῆς νηστείας, τὸ στάδιον ἐγγίζει τῆς ἐγκρατείας· ζεούσῃ προθυμίᾳ ἀγωνισώμεθα, ὑποδεξόμενοι δῶρον θεόσδοτον, ἀνατέλλον καύσωνα παραπτώσεων.

Ὁ χρόνος ὁ μακάριος τῆς νηστείας, ἀκτῖνας ἀποστίλβωμεν μετανοίας, ἀνέτειλε, προσέλθωμεν φιλοτίμως, ἐκτιναξάμενοι σκότος βαθύτατον ῥαθυμίας ἅπαντες ἀγαλλόμενοι.

Νηστείαν ἁγιάσωμεν φιλοφρόνως, κηρύξωμεν ἐγκράτειαν παθημάτων, βοήσωμεν ἐν δάκρυσι τῷ Δεσπότῃ, δὸς ἡμῖν Κύριε χάριν συμπεράτωσαν εἰς τὰ θελήματα, πολυέλεε.

Δόξα-

Δεξάμενοι τὸ δώρημα τῆς νηστείας, δοξάσωμεν τὸν δόντα εἰς σωτηρίαν· καὶ τοῦτο ἐργασώμεθα ἐπιπόνως, ἵνα τὴν ἄφεσιν τῶν ἐμπεπισμένων ἡμῖν ἐκ χειρὸς ἀξιώμεθα τοῦ ποιήσαντος.

Θεοτοκίον.

Κατεύνασον τὸν τάραχον τῶν παθῶν μου, θεραπεύουσα τὰ τραύματα τῆς ψυχῆς μου, ἐξέγειρον ἐξ ὕπνου με ῥαθυμίας τῇ μεσιτείᾳ σου, τῇ προστασίᾳ σου, Παναγία Δέσποινα, Μητροπάρθενε.

Εἱρμὸς ἄλλος, ἦχος ὁ αὐτός. Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον.

Ὑψωθέντος σου, Σωτήρ, ἑκουσίως ἐν Σταυρῷ, ἡ κτίσις πᾶσα ἐδονήθη τῆς γῆς, καὶ ἐῤῥάγη τοῦ Ναοῦ τὸ καταπέτασμα.

Ἐμαστίχθης ἐν Σταυρῷ, Ἰησοῦ μου, δι' ἐμέ, καὶ ἐκεντήθης τὴν πλευράν, ἀγαθέ, ὅθεν πίστει προσκυνῶ τὸ θεῖον κράτος σου.

Δόξα.

Κλίνας γόνυ ἐν τῇ γῇ, τὸν Πατέρα προσκυνῶ, Υἱὸν δοξάζω, καὶ τὸ Πνεῦμα ἀνυμνῶ, τὴν μονόθελον ἀρχήν, καὶ τρισυπόστατον.

Θεοτοκίον.

Ἀκατάληπτον ἐστὶ τὸ μυστήριον, σεμνή, τῆς σῆς λοχείας, τίκτεις γάρ, Μαριάμ, ἀπειράνδρως τὸν Θεόν, καὶ μένεις ἄφθορος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῆς νηστείας τὸν καιρὸν τῇ δυνάμει σου, Χριστέ, καθαγιάσας, σῶσον πάντας ἡμᾶς τῶν παγίδων τοῦ ἐχθροῦ, τοὺς προσκυνοῦντάς σε.

Ὁ Εἱρμός.

Στειρωθέντα μου τὸν νοῦν, καρποφόρον ἀρετῶν ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, „ φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Καθίσ. τοῦ Μηναίου, καὶ τῆς Θεοτόκου.

Ὠδὴ δ'. ὁ Εἱρμός.

Εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην, Κύριε.

Ὁ Ἀβραὰμ δι' ἀρετῆς, καὶ φιλοξενίας τὴν Τριάδα ὑπεδέξατο, ἀγγελικῶς ἐνδημήσασαν.

Πλοῦτος ἄσυλος τῆς ἐγκρατείας ἐστὶ τὸ δῶρον· καὶ ὁ τούτῳ πλουτιζόμενος, καταπλουτήσει Θεότητα.

Δεῦτε κλαύσωμεν ἅμα τῷ Λόγῳ, πίστει βοῶντες. Ὁ Θεὸς ἡμῖν ἱλάσθητι τοῖς πολλὰ πλημμελήσασι.

Θεοτοκίον.

Μῆτερ ἄχραντε, εὐλογημένη ἁγνὴ Παρθένε, τὸν Υἱόν σου, καὶ Θεὸν ἡμῶν ὑπὲρ τοῦ Κόσμου ἱκέτευε.

Ὠδὴ ε'. ὁ Εἱρμός.

Ὁ ἀνατείλας τὸ φῶς, καὶ φωτίσας τὸν ὄρθρον, καὶ δείξας τὴν ἡμέραν, δόξα σοι, „ δόξα σοι, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ.

Νηστεύσας πάλαι Μωσῆς ἐν Σιναίῳ τῷ ὄρει· θεόπτης ἀνεδείχθη, καὶ Ἠλίας ἔμπυρος ἁρματηλάτης ἀνεφέρετο.

Διὰ νηστείας ποτὲ ὁ σοφὸς Ἡσαΐας τοῦ ἄνθρακος ἐκείνου τῇ λαβίδι γεύεται, ὅτι χειλέων αὐτοῦ καθήψατο.

Νηστεύσας πρὶν ὁ Δανιήλ, καὶ οἱ τρεῖς παῖδες ἅμα τὰς μύλας τῶν λεόντων θλάσαντες, καιομένης φλογὸς κατεπάτησαν.

Θεογεννῆτορ ἁγνή, ἡ Θεὸν ἐν γαστρί σου βαστάσασα ἀφθόρως, φύλαττε τὴν ποίμνην σου, καὶ διατήρησον ἄτρωτον.

Ὠδὴ ς'. ὁ Εἱρμός.

Ὡς Ἰωνᾶν τὸν Προφήτην ἐλυτρώσω, Χριστὲ ὁ Θεός, κἀμὲ τοῦ βυθοῦ τῶν πταισμάτων „ ἀνάγαγε, καὶ σῶσόν με, μόνε φιλάνθρωπε.

Τὸν Ἰωνᾶν ἐν τῷ Κήτει ἡ σεμνὴ διασώζει νηστεία ποτέ, νηστεύσωμεν οὖν ἐκ καρδίας, καὶ φύγωμεν ἐκείνην, τὴν ἐν γεέννῃ, φθοράν.

Οἱ Νινευῖται δὲ πάλιν τὴν ὀργὴν τοῦ Θεοῦ μετεποίησαν θερμῇ μετανοίᾳ, καὶ πόθῳ· αὐτοὺς νῦν ἐκ πόθου πάντες ζηλώσωμεν.

Ἡ ἐνεστῶσα νηστεία συγκαλεῖται ἡμᾶς εἰς μετάνοιαν· προσδράμωμεν οὖν ἐκ πόθου, καὶ γνῶμεν, τί τὸ δῶρον τῆς ἐγκρατείας ἐστίν.

Θεοτοκίον.

Ἡ ἀφράστως τεκοῦσα τὸν Σωτῆρα τοῦ Κόσμου Χριστὸν τὸν Θεὸν ἡμῶν, αὐτὸν δυσώπησον μὴ παύσῃ, τὸ γένος ἅπαν σῶσαι τῶν ἀνυμνούντων σε.

Κοντάκιον τὸ Μαρτυρικὸν τοῦ ἤχου.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

Ὁ τῶν Πατέρων Θεὸς μὴ καταισχύνῃς ἡμᾶς, δεόμεθά σου, φιλάνθρωπε, ἀλλὰ ποίη„ σον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου εἰς τοὺς „ αἰῶνας.

Γενώμεθα καὶ ἡμεῖς, ὡς Δανιὴλ ἐκεῖνος, ὁ τοὺς λέοντας ποτὲ διὰ νηστείας ἐν λάκκῳ ἐξημερώσας βρύχοντας.

Τοὺς νεανίας τοὺς τρεῖς ζηλώσωμεν ἐν φόβῳ· ἵνα φύγωμεν καὶ τὸ πῦρ τῆς γεέννης, ὡς οὗτοι τὴν Βαβυλῶνος κάμινον.

Νηστεύσωμεν καὶ ἡμεῖς ἐν καθαρᾷ τῇ καρδίᾳ, καὶ ἁγνύσωμεν σῶμα, καὶ ὅλον ὅλως τὸ Πνεῦμα Θεῷ καθιερώσωμεν.

Θεοτοκίον.

Παρθενομήτορ ἁγνή, τὸν ἐκ σοῦ σαρκωθέντα προαιώνιον Λόγον ἐκδυσωποῦσα μὴ παύσῃ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ὠδὴ η'. ὁ Εἱρμός.

Τὸν Βασιλέα Χριστόν, ὃν ὡμολόγησαν οἱ αἰχμάλωτοι παῖδες ἐν τῇ καμίνῳ, λέγοντες „ μεγάλῃ τῇ φωνῇ. Πάντα τὰ ἔργα ὑμνεῖτε τὸν „ Κύριον.



Digitized by Google

ΝΗστεύσας πρὶν Ἰωσὴφ, μίξιν ἔφυγε παρανόμου γυναικὸς, καὶ βασιλείας ἔτυχε, διὸ καὶ ἡμεῖς σβέσωμεν διὰ νηστείας τὰ πεπυρωμένα βέλη τοῦ ἐχθροῦ Βελίαρ.

ΔΙὰ νηστείας Δαβὶδ νίκην ἐστήσατο κατὰ τοῦ ἀλλοφύλου, καὶ βασιλείαν εὕρατο· διὸ καὶ ἡμεῖς λάβωμεν δι᾽ ἐγκρατείας νίκην κατ᾽ ἐχθρῶν, καὶ ἐν Κυρίῳ στεφανωθῶμεν.

ΦΥλάξωμεν καὶ ἡμεῖς τὰς ἀρετὰς αὐτῶν, τοῦ Ἰὼβ τὴν ἀνδρείαν, τοῦ Ἰακὼβ τὸ ἄπλαστον, τὴν πίστιν Ἀβραὰμ, τὴν σωφροσύνην τὴν τοῦ Ἰωσὴφ, καὶ τοῦ Δαβὶδ τὰς ἀριστείας.

Θεοτοκίον.

ΤΟν Βασιλέα Χριστὸν, ὃν ἡμῖν ἔτικεν ἡ Παρθένος Μαρία, καὶ μετὰ τόκον ἔμεινε Παρθένος ἁγνὴ, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Εἶτα τὸ Τριῴδιον.

Ἄλλος. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

ΣΤαυροφανῶς ὁ Μωυσῆς τὰς παλάμας ἀνυψῶν ἐπὶ τοῦ ὄρους, τοὺς ἐχθροὺς ἐξολόθρευτο· σὺ δὲ Σωτὴρ ἐν Σταυρῷ τὰς χεῖρας ἐκτείνας, ἐνέκρωσας τὴν ὀλεθροτόκον τοῦ ᾅδου τυραννίδα.

ἭΛοις παγεὶς ἐπὶ Σταυροῦ, καὶ πλευρὰν διατρυγεὶς, Χριστὲ Σωτήρ μου, τῆς κατάρας ἐρρύσω τοὺς γηγενεῖς, καὶ χαρᾶς ἀλήκτου μετόχους ἀνέδειξας· ὅθεν εὐλογοῦμεν τὴν σὴν φιλανθρωπίαν.

ΤΗς ἐγκρατείας ὁ καιρὸς ἀνατείλας, νοητῶς καταφωτίζει τῆς ψυχῆς τὰς αἰσθήσεις, καὶ τῶν παθῶν τὴν ἀχλὺν ἐλαύνει, διὸ ἀσπασώμεθα τοῦτον ἐκ καρδίας, Χριστὸν ὑπερυψοῦντες.

ΠΑ᾽σα ὀλέθρια ψυχῆς, ἡδονὰς θανατηφόρους νηστεία θανατοῖ, καὶ τὰ ὄντα ἐν καταστάσει ποιεῖ καρδίας ὁρμὰς, καὶ κινήματα· ταύτην οὖν ἐν πίστει δεξώμεθα προθύμως.

ΟΥ᾽χὶ νηστείας ἀπαρχὴν, τὴν παροῦσαν ἱερὰν, πιστοὶ, ἡμέραν ἐπιστάμενοι, ταύτην εἰλικρινεῖ λογισμῷ τιμῶμεν, ἀλλ᾽ εἴσοδον λέγοντες, καὶ τῆς τῆς νηστείας παρείσβασιν προθύρων.

ΠΡοδεξιοῦται δεξιῶς τὴν φιλόθεον ψυχὴν τοῖς προοιμίοις ἡ καλλίστη νηστεία προκαθαρσίων γερῶν, ὡσεὶ βαθμίσι, καὶ κλίμακι, ταύτῃ προστεθεῖσα τὴν σήμερον ἡμέραν.

Θεοτοκίον.

ἌΝοιξον κρίουσιν ἡμῖν, καὶ τὸ ἔλεος τὸ σὸν προσκαλουμένοις, ταχινὴ τῶν ἀνθρώπων καταφυγὴ, καὶ στερρὰ ἐν πᾶσι, Παρθένε, βοήθεια, καὶ τῶν ἐν ἀνάγκαις βεβαία προστασία.

Ἄλλος. Τὸν ἐν τῇ βάτῳ Μωσῇ.

ἈΝαρτηθεὶς ἐν Σταυρῷ ὁ τῶν ὅλων Δεσπότης, τὸν Ἀδὰμ σὺν Εὔᾳ πάλιν ἀνεκαλέσω, καὶ ἐν τῷ Παραδείσῳ, Χριστὲ Σωτὴρ, εἰσάξας, σὲ ἀνυμνολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

ΣΟῦ ὑψωθέντος, Χριστὲ, ἐν Σταυρῷ ἑκουσίως, αἱ αὐγαὶ τοῦ Ἡλίου συνεστάλησαν φόβῳ, καὶ ἔδυ ἡ ἡμέρα· ὅθεν ὁ λῃστὴς σὲ Θεὸν καθωμολόγει εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ἼΣον Πατρὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα πεπιστεύκαμεν εἶναι, τὴν ἁγίαν Τριάδα ἐν Θεότητι μιᾷ, ἣν πίστει προσκυνοῦμεν, τὸ τοῦ Ἀρείου δόγμα ἀεὶ καταπατοῦντες.

Θεοτοκίον.

ΠΩ῀ς σὲ ὑμνήσω, ὡς δεῖ, Θεοτόκε Παρθένε, δυσωδῶν ἁμαρτιῶν ἐγὼ νῦν ὁ σκοτεινός; ἀλλ᾽ οὖν, Ὑπεραγία, σύγγνωθί μοι τῇ τόλμῃ τοῦ πενιχροῦ μου ἔπους.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΣΤαυρὲ πιστῶν ἡ ἐλπὶς, Βασιλέων τὸ ὅπλον, Ἱερέων ἡ δόξα, Μοναζόντων τὸ θεῖον· τῇ σῇ δυνάμει πάντας τοὺς σὲ δοξολογοῦντας σῶζε εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟ`ν ἐν τῇ βάτῳ Μωσῇ τῆς Παρθένου τὸ Θαῦμα ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαν„ τα ποτὲ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ στιχολογεῖται, ἡ Τιμιωτέρα.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

ΜΕγαλυνόμεθα πάντες τὴν φιλανθρωπίαν σου, Χριστὲ Σωτὴρ ἡμῶν, ἡ δόξα τῶν δού„ λων σου, καὶ στέφανος τῶν πιστῶν, ὁ μεγαλύνας „ τὴν μνήμην τῆς τεκούσης σε.

ΜΩϋσῆς ἐν Αἰγύπτῳ θάλασσαν διέρρηξε, καὶ λαὸν διήγαγε, καὶ τοῦτον ἔθρεψεν ἐν ἐρήμῳ ἀβάτῳ, διὰ νηστείας ἐκτελῶν τεράστια.

ἸΗσοῦς ὁ τοῦ Ναυῆ διὰ τῆς ἐγκρατείας λαὸν καθηγίασε, καὶ ἐκληροδότησεν εἰς γῆν ἐπαγγελίας, τὸν Ἰορδάνην διαβιβάσας τὸ πρότερον.

ὉΓεδεὼν ἐκεῖνος, μόνοις τριακοσίοις ἀνδράσι τοῖς λάμψασι νικᾷ τὸν ἀλλόφυλον ἐγκρατείᾳ, καὶ εὐχῇ, αὐτὸν ζηλοῦντες καὶ ἡμεῖς μιμησώμεθα.

Θεοτοκίον.

ΧΑῖρε, πάνσεμνε ἁγνὴ, παρθενίας τὸ καύχημα. Ἀγγέλων τὸ στήριγμα, ἀνθρώπων βοήθεια. Κόσμου ἡ χαρὰ Μαρία, καὶ μήτηρ, καὶ δούλη τοῦ Θεοῦ ἡμῶν.

Εἶτα τὸ Τριῴδιον. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

ΣΤαυρῷ τὰς θείας παλάμας ἐξαπλώσας, συνῆψας τὰ πρώην διεστῶτα, Λυτρωτὰ, καὶ τῷ Πατρὶ τὴν κατάκριτον, μεσιτεύσας, ὡς δῶρον προσήγαγες οὐσίαν τῶν βροτῶν· διὰ τοῦτο ὑμνοῦμεν τὴν ἄχραντόν σου σταύρωσιν.

Ἡ Τῆς ἁγίας νηστείας ἐπιλάμψασα χάρις, ἀκτῖνας ἐπαφίησιν ἡμῖν προκαθαιροῦσας παλίρροιαν λογισμῶν, καὶ τοῦ νόμου τὸ σκότος ἐλαυνοῦσας,

νήστεις, οἱ πιστοί, διὰ τοῦτο προθύμως ταύτην ὑποδεξώμεθα.

Ἡ Φωτοφόρος νηστεία χαρισμάτων ἐνθέων κρατῆρα συγκεράσασα ἡμῖν, σήμερον πᾶσι προδείκνυσιν, ὡς βουλόμενοι τούτων μεθέξειν εἰς ὠφέλειαν ψυχῆς· τῷ Δεσπότῃ τῶν ὅλων συμπράξαι δυσωπήσωμεν.

Ἥλοις τῶν θείων χειρῶν σου προσηλώσας, οἰκτίρμον, ἡμῶν τὰς ἁμαρτίας ἐν Σταυρῷ, λόγχῃ πλευρᾶς σου διέρρηξας πονηρὰ γραμματεῖα σφαλμάτων, καὶ πταισμάτων χαλεπῶν, διὰ τοῦτο ὑμνοῦμεν τὴν ἄχραντόν σου σταύρωσιν.

Τῶν ἀρετῶν ἡ καλλίστη ἐξανοίγεται βίβλος, τὸ στάδιον τῶν θείων νηστειῶν πᾶσιν ἰδοὺ ὑφαπλίζεται, οἱ ἀθλῆσαι νομίμως βουλόμενοι αἰτήσατε Χριστόν, αἰώνιον ἐξ ὕψους χαρὰν ἡμῖν δωρήσασθαι.

Θεοτοκίον.

Τῇ ὀξυτάτῃ πρεσβείᾳ, τῇ ἀγρύπνῳ σου σκέπῃ, τῇ κραταιᾷ σου, Δέσποινα ἁγνή, νῦν βοηθείᾳ συντήρησον τοὺς πιστούς σου οἰκέτας ἐκ πάσης ἐναντίας προσβολῆς, καὶ παθῶν, καὶ πταισμάτων, καὶ πειρασμῶν διάσωσον.

Ἄλλος. Τὴν ὑπερφυῶς σαρκί.

Ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ ἑκουσίως προσπαγείς, πάντας ἡμᾶς ἐρρύσω τῆς κατάρας τοῦ νόμου, διό σε κατὰ χρέος μεγαλύνομεν Χριστέ.

Πάντες προσκυνοῦμέν σου τὰ παθήματα, Σωτήρ, ἅπερ ἑκὼν ἐδέξω, ἵνα ἐλευθερώσῃς τὸ γένος τῶν ἀνθρώπων τῆς δουλείας τοῦ ἐχθροῦ.

Δόξα.

Ἀϊδίως ὁ Πατήρ, καὶ ἀρρεύστως τὸν Υἱὸν ἐγέννησε, καὶ Πνεῦμα ἐστὶν ὁμοούσιον Πατρί τε, καὶ τῷ Λόγῳ, ἡ ἀμέριστος Τριάς.

Θεοτοκίον.

Νέμειν τὴν συγχώρησιν τῶν πταισμάτων, Μαρία ὑπερευλογημένη, τὸν ἐκ σοῦ σαρκωθέντα ἱκέτευε Σωτῆρα, ἡμῖν τοῖς ἁμαρτωλοῖς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοὺς ἀσπαζομένους σε τῇ δυνάμει σου, Σταυρέ, τὸν τῆς νηστείας χρόνον διελθεῖν ἐν εἰρήνῃ, ἀξίωσον, καὶ ῥῦσαι τῆς δουλείας τοῦ ἐχθροῦ.

Ὁ Εἱρμός.

Τὴν ὑπερφυῶς σαρκὶ συλλαβοῦσαν ἐν γαστρὶ τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα,, Λόγον, τὴν μόνην Θεοτόκον μεγαλύνομεν, πιστοί.

Τὸ φωταγωγικὸν τοῦ ἤχου, καὶ ἀπόστιχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, ἦχος α.

Βρωμάτων νηστεύουσα ψυχή μου, καὶ παθῶν μὴ καθαρεύουσα, μάτην ἐπαγάλλῃ τῇ ἀτροφίᾳ, εἰ μὴ γὰρ ἀφορμή σοι γένηται πρὸς διόρθωσιν, ὡς ψευδὴς μισεῖται παρὰ Θεοῦ, καὶ τοῖς κακίστοις δαίμοσιν ὁμοιοῦται, τοῖς μηδέποτε σιτουμένοις· μὴ οὖν ἁμαρτάνουσα τὴν νηστείαν ἀχρειώσῃς, ἀλλ' ἀκίνητος πρὸς ὁρμὰς ἀτόπους μένε, δοκοῦσα παρεστάναι ἐσταυρωμένῳ τῷ Σωτῆρι, μᾶλλον δὲ συσταυρωθῆναι τῷ διὰ σὲ σταυρωθέντι, ἐκβοῶσα πρὸς αὐτόν. Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Λέγομεν αὐτὸ ἐκ β'. Εἶτα τὸ Μαρ.

Ὑμᾶς, πανεύφημοι Μάρτυρες, οὐ θλίψις, οὐ στενοχωρία, οὐ λιμός, οὐ διωγμός, οὐ δὲ κίνδυνος, οὐ θυμὸς θηρῶν, οὐ ξίφος, οὐ δὲ πῦρ ἀπειλοῦν χωρίσαι Θεοῦ δεδύνηται· πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτόν, ὡς ἐν ἀλλοτρίοις ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες· ὅθεν καὶ ἐπαξίως τῶν πόνων ὑμῶν μισθὸν ἐκομίσασθε, Οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Τῶν οὐρανίων ταγμάτων.

Ἀναρτηθέντα ὡς εἶδέ σε ἐπὶ Σταυροῦ τὸν Ἀμνὸν ἡ ἄμωμος Παρθένος, θρηνῳδοῦσα ἐβόα, γλυκύτατόν μου τέκνον, τί τὸ καινὸν καὶ παράδοξον θέαμα; πῶς ὁ κατέχων τὰ πάντα ἐν τῇ δρακὶ ἐπὶ ξύλου προσηλώθης σαρκί;

Εἶτα, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε, τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου καθ' ἑκάστην. Τρισάγιον, τό, Παναγία Τριάς, καὶ τό, Πάτερ ἡμῶν, καὶ τὸ τροπάριον.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε, πύλη ἐπουράνιε· ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Τὸ Κύριε ἐλέησον μ'. καὶ λέγεται στίχ. παρὰ τοῦ Ἱερέως. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεός. Ἐπουράνιε Βασιλεῦ. Καὶ ποιοῦμεν τὰς συνήθεις μετανοίας. Συνάπτομεν δὲ καὶ τὴν πρώτην Ὥραν, ἐν ᾗ ἀναγινώσκομεν καὶ τὰς κατηχήσεις τοῦ Στουδίτου. Εἰς τὴν Τριθέκτην. Τετράριον τῆς Προφητείας· ἦχος γ'.

Βασιλεῦ ἅγιε παντοδύναμε, ὃν φρίσσει, καὶ τρέμει τὰ σύμπαντα, σῶσον ἡμᾶς, δύνασαι γὰρ συγχωρεῖν ἁμαρτίας, ὡς εὔσπλαγχνος.

Δόξα, καὶ νῦν· τὸ αὐτό.

Προκείμενον· ἦχος πλ. β'.

Σῶσον Κύριε τὸν λαόν σου.

Στίχ. Πρὸς σέ, Κύριε, κεκράξομαι.

Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἐπιστράφητε πρός με ἐξ ὅλης τῆς καρδίας ὑμῶν, ἐν νηστείᾳ, καὶ ἐν κλαυθμῷ, καὶ ἐν κοπετῷ, καὶ διαρρήξατε τὰς καρδίας ὑμῶν, καὶ μὴ τὰ ἱμάτια ὑμῶν, καὶ ἐπιστράφητε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, ὅτι ἐλεήμων, καὶ οἰκτίρμων ἐστί, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ κακίαις ἀνθρώπων. Τίς οἶδεν, εἰ ἐπιστρέψει, καὶ μετανοήσει, καὶ ὑπολείψεται εὐλογίαν ὀπίσω αὐτοῦ; θυσίαν, καὶ σπον-

σπον-

Digitized by Google

πρὸς Κύριον τὸν Θεὸν ὑμῶν· σαλπίσατε σάλπιγγι ἐν Σιὼν, ἁγιάσατε νηστείαν, κηρύξατε θεραπείαν, συναγάγετε λαὸν, ἁγιάσατε Ἐκκλησίαν, ἐκλέξατε πρεσβυτέρους, συναγάγετε νήπια θηλάζοντα μαστούς· ἐξελθέτω νυμφίος ἐκ τοῦ παστοῦ αὐτοῦ, καὶ νύμφη ἐκ τοῦ νυμφῶνος αὐτῆς. Ἀναμέσον τῆς κρηπίδος, καὶ τοῦ Θυσιαστηρίου κλαύσονται οἱ Ἱερεῖς οἱ λειτουργοῦντες τῷ Κυρίῳ· καὶ ἐροῦσι· φεῖσαι Κύριε τοῦ λαοῦ σου, καὶ μὴ δῷς τὴν κληρονομίαν σου εἰς ὄνειδος, τοῦ κατάρξαι αὐτῶν Ἔθνη, ὅπως μὴ εἴπωσιν ἐν τοῖς Ἔθνεσι, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; Καὶ ἐζήλωσε Κύριος τὴν γῆν αὐτοῦ, καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ ἀπεκρίθη Κύριος, καὶ εἶπε τῷ λαῷ αὐτοῦ. Ἰδοὺ ἐγὼ ἐξαποστελῶ ὑμῖν τὸν σῖτον, καὶ τὸν οἶνον, καὶ ἐμπλησθήσεσθε αὐτῶν, καὶ οὐκέτι δώσω ὑμᾶς εἰς ὀνειδισμὸν ἐν τοῖς Ἔθνεσι, καὶ τὸν Βοῤῥᾶν ἐκδιώξω ἀφ᾽ ὑμῶν, καὶ ἐξώσω αὐτὸν εἰς γῆν ἄνυδρον, καὶ ἀφανιῶ τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην, καὶ τὰ ὀπίσω αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην, καὶ ἀναβήσεται ἡ σαπρία αὐτοῦ, καὶ ἀναβήσεται ὁ βρόμος αὐτοῦ, ὅτι ἐμεγάλυνε Κύριος τὰ ἔργα αὐτοῦ. Θάρσει ἡ γῆ, χαῖρε, καὶ εὐφραίνου, ὅτι ἐμεγάλυνε Κύριος τοῦ ποιῆσαι· θαρσεῖτε κτήνη τοῦ πεδίου, ὅτι βεβλάστηκε τὰ πεδία τῆς ἐρήμου, ὅτι ξύλον ἤνεγκε τὸν καρπὸν αὐτοῦ, ἄμπελος, καὶ συκὴ ἔδωκαν τὴν ἰσχὺν αὐτῶν· καὶ τὰ τέκνα Σιὼν, χαίρετε, καὶ εὐφραίνεσθε ἐπὶ Κυρίῳ τῷ Θεῷ ὑμῶν, ὅτι ἔδωκεν ὑμῖν βρώματα εἰς δικαιοσύνην· καὶ βρέξει ὑμῖν ὑετὸν πρόϊμον, καὶ ὄψιμον, καθὼς ἔμπροσθεν· καὶ πλησθήσονται αἱ ἅλωνες σίτου, καὶ ὑπερεκχυθήσονται οἱ ληνοὶ οἴνου καὶ ἐλαίου· καὶ ἀποδώσω ὑμῖν ἀντὶ τῶν ἐτῶν, ὧν κατέφαγεν ἡ ἀκρὶς, καὶ ὁ βροῦχος, καὶ ἡ ἐρυσίβη, καὶ ἡ κάμπη· ἡ δύναμίς μου ἡ μεγάλη, ἣν ἐξαπέστειλα εἰς ὑμᾶς· καὶ φάγεσθε ἐσθίοντες, καὶ ἐμπλησθήσεσθε· καὶ αἰνέσετε τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὃς ἐποίησε μεθ᾽ ὑμῶν θαυμάσια· καὶ οὐ μὴ καταισχυνθῇ ὁ λαός μου εἰς τοὺς αἰῶνας.

Προκείμενον. ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. Κύριος εὐλογή σει.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Τῇ δ'. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα τὰ στιχηρὰ τοῦ Μηναίου ὡς συνήθως. Δόξα, καὶ νῦν, θεοτ. Προκείμενον, ἦχος πλ. α'. Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.

Ὁ Θεὸς, εἰσάκουσον τῆς προσευχῆς μου.

Προφητείας Ἰωὴλ τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Ἐξεγειρέσθω, καὶ ἀναβαινέτω πάντα τὰ Ἔθνη εἰς τὴν κοιλάδα τοῦ Ἰωσαφάτ· ὅτι ἐκεῖ καθιῶ, τοῦ διακρῖναι πάντα τὰ Ἔθνη κυκλόθεν· Ἐξαποστείλατε δρέπανα, ὅτι παρέστηκεν ὁ τρυγητός· εἰσπορεύεσθε, πατεῖτε, διότι πλήρης ὁ ληνός, ὑπερεκχεῖται τὰ ὑπολήνια, ὅτι ἐπληθύνθη τὰ κακὰ αὐτῶν. Ἦχοι ἐξήχησαν ἐν τῇ κοιλάδι τῆς δίκης. Ὁ Ἥλιος, καὶ ἡ Σελήνη συσκοτάσουσι, καὶ οἱ Ἀστέρες δύσουσι τὸ φέγγος αὐτῶν. Ὁ δὲ Κύριος ἐκ Σιὼν ἀνακεκράξεται, καὶ Ἱερουσαλὴμ δώσει φωνὴν αὐτοῦ· καὶ σεισθήσεται ὁ Οὐρανὸς, καὶ ἡ γῆ, ὁ δὲ Κύριος φείσεται τοῦ λαοῦ αὐτοῦ· καὶ ἐνισχύσει Κύριος τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐπιγνώσεσθε, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ κατασκηνῶν ἐν ὄρει ἁγίῳ μου. Καὶ ἔσται Ἱερουσαλὴμ ἁγία, καὶ ἀλλογενὴς οὐ διελεύσεται δι᾽ αὐτῆς οὐκέτι. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἀποστάλαξει τὰ ὄρη γλυκασμὸν, καὶ οἱ βουνοὶ ῥυήσονται γάλα· καὶ πᾶσαι αἱ ἀφέσεις Ἰούδα ῥυήσονται ὕδατα· καὶ πηγὴ ἐξ οἴκου Κυρίου ἐξελεύσεται, καὶ ποτιεῖ τὸν χειμάῤῥουν τῶν σχοίνων. Αἴγυπτος εἰς ἀφανισμὸν ἔσται, καὶ ἡ Ἰδουμαία εἰς πεδίον ἀφανισμοῦ ἐξ ἀδικιῶν υἱῶν Ἰούδα, ἀνθ᾽ ὧν ἐξέχεαν αἷμα δίκαιον ἐν τῇ γῇ αὐτῶν· ἡ δὲ Ἰουδαία εἰς τὸν αἰῶνα κατοικηθήσεται· καὶ Ἱερουσαλὴμ εἰς γενεὰς γενεῶν. Καὶ ἐκζητήσω τὸ αἷμα αὐτῶν· καὶ οὐ μὴ ἀθωώσω· καὶ Κύριος κατασκηνώσει ἐν Σιών.

Προκείμενον, ἦχος πλ. β'.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε, οὐχ ὑψώθη ἡ καρδία μου.

Καὶ τὸ, Καταξίωσον Κύριε. Ἀπόστιχ.

Τὸ ἰδιόμελον τῆς ἡμέρας· ἦχος γ'.

Ἀνέτειλε τὸ ἔαρ τῆς νηστείας, καὶ τὸ ἄνθος τῆς μετανοίας· ἁγνίσωμεν οὖν ἑαυτοὺς, ἀδελφοὶ, ἀπὸ παντὸς μολυσμοῦ· τῷ φωτοδότῃ, ψάλλοντες, εἴπωμεν. Δόξα σοι, μόνε φιλάνθρωπε.

Στίχ. δὲ λέγομεν. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ Οὐρανῷ.

Καὶ δευτεροῦμεν τὸ ἰδιόμελον.

Εἶτα, στίχ. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς.

Καὶ τὸ Μαρτυρικόν.

Οἱ Μάρτυρές σου, Κύριε, πίστει στηριχθέντες· ἐλπίδι βεβαιωθέντες, τῇ ἀγάπῃ τοῦ Σταυροῦ σου ψυχικῶς ἑνωθέντες, τοῦ ἐχθροῦ τὴν τυραννίδα ἔλυσαν· καὶ τυχόντες τῶν στεφάνων μετὰ τῶν Ἀσωμάτων πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, καὶ νῦν· θεοτ.

Ἁγιόπρεπτε σεμνὴ, ἐγκώμιον οὖσα τῶν οὐρανίων ταγμάτων, Ἀποστόλων ὑμνῳδία. Προφητῶν προοχὴ, Δέσποινα, πρόσδεξαι καὶ ἡμῶν τὰς δεήσεις.

Νῦν ἀπολύεις. Τρισάγιον. Θεοτόκε παρθένε, καὶ Ἀπόλυσις. Εἰς τὸν Ὄρθρον, εἰς τὴν πρώτην στιχολογ. καθίσ. τῆς Ὀκτωήχου ἀποστολικά. Εἰς τὴν δευτέραν στιχολ. καθίσ. τοῦ Τριῳδίου ἦχος πλ. δ. Τὸν συνάναρχον Λόγον.

Τὴν τεσσαρακονθήμερον, καὶ προκαθάρσιμον οἱ Ἀπόστολοι πάντες σήμερον στέφουσι, καὶ τῆς νηστείας τὸν καιρὸν ἁγιάζουσι παρὰ Χριστοῦ τοῦ λυτρωτοῦ· καὶ τὴν Ἀνάστασιν αὐτοῦ προκαταγγέλλουσι πᾶσι, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα τὸ αὐτό.

Καὶ νῦν, θεοτ. Ὅμοιον.

Τῶν ἐν σοὶ τὰς ἐλπίδας, Παρθένε ἄχραντε, ἀνενδότως ἐχόντων, σκέπη ὑπάρχουσα ἐκ ποικίλων πειρασμῶν, καὶ περιστάσεων, καὶ κινδύνων χαλεπῶν ἐλευθέρωσον αὐτούς, πρεσβεύουσα τῷ Υἱῷ σου σὺν τοῖς αὐτοῦ Ἀποστόλοις, καὶ σῶσον πάντας τοὺς ἀνυμνοῦντάς σε.

Εἶτα ἀναγινώσκομεν τὸν λόγον τοῦ ἁγίου Ἀναστασίου ἡγουμένου τοῦ ἐν Σινᾶ ὄρους. Καὶ ὁ Ν'. Κανόνας δὲ ψάλλομεν τῆς Ὀκτωήχου, τοῦ Μηναίου, καὶ τοῦ Τριῳδίου. Ἐν αἷς δὲ ᾨδαῖς ψάλλομεν τὰ Τριῴδια, καταλιμπάνομεν τὰς τοιαύτας ᾨδὰς τῆς Ὀκτωήχου, καὶ τοῦ Μηναίου, ἐπειδὴ δύσειρμόν ἐστι τὸ Τριῴδιον. ᾨδὴ δ'. ἦχος δ'. Ἀκήκοεν ὁ Προφήτης. Ποίημα κυρίου Ἰωσήφ.

Ἐξέλαμψαν ἐν τῷ Κόσμῳ ἀκτῖνα θεογνωσίας οἱ Μαθηταί σου· καὶ τὴν πλάνην ἀπημαύρωσαν, τῆς ἀπάτης λύσαντες τὴν ζόφωσιν· αὐτῶν προσευχαῖς σῶσον τοὺς ὑμνοῦντάς σε.

Τὰ προοίμια τῆς νηστείας ἀγώνων στεφανωθέντα ταῖς ἐγκρατείαις, δεξιοῦνται τοὺς προστρέχοντας νηφαλαίοις ὕμνοις, καὶ ᾠδαῖς μυστικαῖς· σπουδαίως πάντες συνδράμωμεν.

Νεκρώσεως τοὺς χιτῶνας δεξάμενος προπάτωρ τῆς ἀκρασίας ἐνεδύθη ὁ ταλαίπωρος, ἀλλὰ σύ με ἔνδυσον, Υἱὲ τοῦ Θεοῦ, στολὴν φωτεινὴν τῆς ἀναγεννήσεως.

Ὁ βίος μου πονηρίᾳ, καὶ πάσῃ ἀκαθαρσίᾳ συνετελέσθη, ἀλλὰ σοὶ τῷ πανοικτίρμονι καταφεύγω, πρόφθασον νῦν, σῶσόν με, Χριστὲ ὁ Θεός, τῇ σῇ ἀγαθότητι.

Θεοτοκίον.

Συνέλαβες ὑπὲρ λόγον, καὶ ἔτεκες παρὰ φύσιν, Θεογεννῆτορ, τὸν διασώζοντα τῆς κτίσεως, ὃν ἀπαύστως πρέσβευε, ῥυσθῆναι ἡμᾶς ἐκ πάσης ὀργῆς, τοὺς σὲ μακαρίζοντας.

Ὁ Εἱρμός.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, κατενόησε τὰ ἔργα σου, καὶ ἐξέστη. Δόξα τῇ δυνάμει σου, δόξα Χριστὲ τῇ συγκαταβάσει σου.

Ἄλλος, ἦχος β'.

Ἐλήλυθας ἐκ Παρθένου.

Σκεδάσαντες ἀκρασίας τὸν ζόφον, Ἀπόστολοι, ταῖς τῶν διδαχῶν ὑμῶν μαρμαρυγαῖς, ἐκλαμπρυνάτε ἐγκρατείᾳ ἅπαντας ἁμαρτωλούς, καὶ δεινούς, ὡς πανεύφημοι.

Ὡς διαυγεῖς μαργαρῖται, τοῦ Λόγου Ἀπόστολοι, πάντα ἐκοσμήσατε δι' ἐγκρατείας τὰ πέρατα, καὶ καλλιεργήσαντες τὴν τῶν ψυχῶν ἡμῶν ὄντως νῦν εὐγένειαν.

Τὴν κάμινον ἔξω δρόσου νηστείας, Ἀπόστολοι, τῶν παθῶν μαράναντες, πᾶσι βροτοῖς ἐδιδάξατε, πόλιν ταύτην ἄσυλον, καὶ οἰκητήριον ἔχειν ἁγιασμοῦ.

Ἡμάρτηκα παρὰ πάντας ἀνθρώπους ὁ ἄθλιος, καὶ ἀμετανόητος, ὡς Μανασσῆς, ἐπλημμέλησα, τρόπους μετανοίας μοι πέμψον, Κύριε, πρὶν με λύσῃ θάνατος.

Θεοτοκίον.

Σὲ λιμένα σωτηρίας, καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα· σὺ γὰρ ταῖς πρεσβείαις σου ἐκ τῶν κινδύνων λυτροῦσαι τὰς ψυχὰς ἡμῶν.

Εἶτα ὁ Εἱρμός.

Ἐλήλυθας ἐκ Παρθένου οὐ πρέσβυς, οὐκ ἄγγελος, ἀλλ' αὐτὸς ὁ Κύριος σεσαρκωμένος,
„ καὶ ἔσωσας ὅλον με τὸν ἄνθρωπον, διὸ κραυ-
„ γάζω σοι. Δόξα τῇ δυνάμει σου Κύριε.

ᾨδὴ ή. Τὰ σύμπαντα Δέσποτα.

Ἡ σύμπασα, Κύριε, τῆς σῆς αἰνέσεως ἐπλήσθη· πᾶσαν γὰρ διέδραμε τῶν θείων Μαθητῶν σου ὁ φθόγγος ὁ ἔνθεος· ἐκ βυθοῦ ἀγνωσίας μεταστρέφων πρὸς γνῶσιν ἀναμέλπουσαν. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἡ Χάρις ἡ ἔνθεος τῆς μετανοίας ἐπεφάνη, σωτηρίαν φέρουσα τοῖς ταύτης ἐντρυφῶσι, τὰ ἆθλα, καὶ σκάμματα τῶν ἱδρώτων, καὶ κόπων· διὸ τρέχε ψυχή μου τῷ Δεσπότῃ σου, τῶν πολλῶν σου πταισμάτων ζητοῦσα λαβεῖν τὴν συγχώρησιν.

Τὸ στάδιον ἤνοικται τῆς θεοσδότου ἐγκρατείας· φαιδρῶς ὑπαντήσωμεν οἱ χρήζοντες ἐλέους· διψᾷ γὰρ ὁ εὔσπλαγχνος τὴν ἡμῶν σωτηρίαν, καὶ τοῦ δοῦναι συγγνώμην, ἐπεκτείνεται τοῖς αὐτὸν ἐκζητοῦσι προθύμως, καὶ πόθῳ δουλεύουσι.

Νηστείᾳ σωματικῇ, εἰρηνευούσῃ διανοίᾳ· θρέψον δὲ τὸν Κύριον, ψυχή, τῇ εὐπραξίᾳ, ἀρετῆς ἐνδεσμοῦσα, ὡς εὐώδεις θυσίας, προσκομίζουσα τούτῳ, καὶ κραυγάζουσα. Εὐλογεῖτε τὰ ἔργα ἀπαύστως τὸν Κύριον.

Θεοτοκίον.

Ἡ πάντων διασώζουσα, τὰς ἱκεσίας δεχομένη, Δέσποινα, τῶν δούλων σου, ἁγία Θεοτόκε, τοῦ σκότους με λύτρωσαι, καὶ πυρὸς τοῦ ἀσβέστου, τῶν κακῶν μου τὰ πλήθη ἐξαλείψασα τῇ σῇ

σῇ

σῇ μεσιτείᾳ, καὶ μόνῃ τῇ θείᾳ σου πρεσβείᾳ.

Ὁ Εἱρμός.

ΤΑ σύμπαντα, Δέσποτα, τῇ σῇ σοφίᾳ συνεστήσω· γῆς δὲ πάλιν ἵδρυσας, ὡς οἶδας, „ τὸν πυθμένα, τὴν βάσιν πηξάμενος ἐπὶ ὑδά- „ των ἀπείρων· διὸ πάντες βοῶμεν, ἀναμέλποντες· „ εὐλογεῖτε τὰ ἔργα ἀπαύστως τὸν Κύριον.

Ἄλλος. Ἔφριξε παίδων εὐαγῶν.

ΥΜᾶς φῶς ὥσπερ ὁ Χριστὸς εἰς τὰ πέρατα τῆς Οἰκουμένης πάσης, Ἀπόστολοι, δεδοὺς, ἀπελθόντες, ἔφη, διδάξατε ἐν τοῖς Ἔθνεσιν, ἵν' ἐν σαρκί με ὄντα εἰδῆτε ἐγκρατείᾳ διαιτώμενον, καὶ τοῦ ἐχθροῦ ὅλον τὸ σθένος πατοῦντα, καὶ ὁδὸν ἀνθρώποις δεικνύοντα εὐθεῖαν.

ΕΔειξας βαίνουσαν, Χριστὲ, τὴν ἐγκράτειαν εἰς ἱλασμὸν τῶν βροτῶν, παθῶν τε χωρισμόν· δι' αὐτῆς γάρ σου οἱ Ἀπόστολοι εὐηρέστησαν, καὶ φαεινοὶ φωστῆρες ἐπὶ τῆς γῆς ἐδείχθησαν, κηρύττοντες τὸν Κύριον τρισὶ προσώποις, μιᾷ δὲ ἐν οὐσίᾳ, πᾶσι τοῖς αὐτὸν ἀνυμνοῦσι.

ΤΩν ἐθνῶν κήρυκες ὑμεῖς ἀπεστάλητε ὑπὸ τοῦ Διδασκάλου Χριστοῦ, ὦ Μαθηταὶ, διδαχαῖς ἐνθέοις φωτίζειν αὐτῶν τὰ νοήματα, παθῶν τε, καὶ βρωμάτων ἀπέχεσθαι, παθῶν δὲ τὴν ἐγκράτειαν, καὶ Κύριον γινώσκειν τοῦτον, καὶ κτίστην, καὶ δημιουργὸν τοῦ παντὸς, καὶ εὐεργέτην.

ΩΣ ποτὲ Κάϊν ὁ φονεὺς, οὐ προσήγαγον τὸ τῆς ψυχῆς μου θῦμα ἀμώμητον, Χριστὲ, ἀκαθάρτῳ γνώμῃ κρατούμενος· μὴ βδελύξῃ με προσερχόμενόν σοι διὰ νηστείας, Σῶτερ ὑπεράγαθε· ἀλλ' ἐπίδε ἐπὶ τοῖς δώροις, οἷς πόθῳ ἄγω σοι, Θεέ μου, ἐν καιρῷ τῆς νηστείας.

Θεοτοκίον.

ὌΛβιος γέγονε γαστὴρ Θεομήτορος, ὡς δεξαμένη Λόγον παχύτητι σαρκὸς, ἐξ αὐτῆς μιγέντα βροτείᾳ μορφῇ καθ' ὑπόστασιν, καὶ ὤφθη πόλις Θεοῦ, ἐν ᾗ οἰκεῖν, ὁ ὕψιστος εὐδόκησε, καὶ Κύριος Θεός· βοῶμεν τὸ Χαῖρε Κεχαριτωμένη ἁγνή σοι Θεοτόκε.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.

Ὁ Εἱρμός.

ἜΦριξε παίδων εὐαγῶν τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα· καὶ εἶξε τὸ τραφὲν ἐν ἀπεί- „ ρῳ ὕλῃ ἀκάματον πῦρ· ἀειζώου δὲ ἐκμα- „ ρανθείσης φλογὸς, διαιωνίζων ὕμνος ἀνεμέλ- „ πετο· τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ „ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα· ᾠδὴ θ'.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός.

ὋΤι πυρσοὶ τοῦ Κόσμου ἀπεστάλητε ἀπλανεῖς, λυτρούμενοι βυθοῦ ἁμαρτιῶν. Ἀνυμνοῦμεν ἐν χαρᾷ τὸν ἐκχύσαντα ὑμᾶς, ὡς Ἀποστόλους αὐτοῦ.

ὋΤι ὑμᾶς τοῦ Κόσμου μωρανθέντι πάλαι Χριστὸς, ὡς ἅλας, ἐξαπέστειλε, σοφοὶ, στηρίζοντας αὐτὸν πρὸς τὴν ἐπίγνωσιν αὐτοῦ, ἀνευφημοῦμεν πιστῶς.

ὋΤι πληθὺς πταισμάτων περιέχει με χαλεπῶν, ἐν δάκρυσι προσπίπτω σοι Χριστὲ, συγχωρήσεως αἰτῶν τὰς ἀφορμάς μοι παρασχεῖν ἐν τῷ τῆς νηστείας καιρῷ.

ὋΤι σειραῖς ἀλύτοις πεπεδημένος μου τῶν παθῶν, στενάζω, καὶ κραυγάζω σοι, Σωτήρ· ἐλευθέρωσον κἀμὲ, ὅπως ὑμνῶ περιχαρῶς τὴν εὐσπλαγχνίαν σου.

Θεοτοκίον.

ὋΤι ἀνέδειξέ σε ὁ Θεὸς, Παρθένε ἁγνὴ, βοήθειαν τοῦ γένους τῶν βροτῶν, μὴ ἐλλίπῃς ἐκτενῶς καθικετεύουσα αὐτὸν ὑπὲρ ἡμῶν τῶν πιστῶν.

Ὁ Εἱρμός.

ὋΤι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς· καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς „ γενεὰν, καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Ἄλλος. Ἡ τὸν ἀχώρητον Θεόν.

ΤΩν Ἀποστόλων τὸν χορὸν ἡ νηστεία ἔδειξεν Οἰκουμένῃ πάσῃ ἐκλάμποντα αἴγλῃ θείᾳ, καὶ φωτίζοντα Κόσμον.

ΤΩν Μαθητῶν σου ὁ χορὸς, Ἰησοῦ φιλάνθρωπε, τῶν ἐθνῶν τὰ γένη ἐδίδαξεν, ἐγκρατείας θησαυρίζειν τὸν πλοῦτον.

Ἡ Δωδεκάχορδος φθογγὴ, Μαθητῶν σου σύστημα ἐγκρατείας πλοῦτον χαρίζεται τοῖς ἀνθρώποις, καὶ πηγὴν σωτηρίας.

ΤΗν τοῦ Ἀσώτου σοι φωνὴν ἀνακράζω, Κύριε. Πάτερ ἥμαρτον, σῶσον, οἰκτιρμον, μή με δόξῃς τῆς σῆς ἀποχωρίσῃς.

Θεοτοκίον.

ἩΕν γαστρί σου τὸν Θεὸν, ὡς βροτὸν, βαστάσασα, καὶ ζωὴν τῷ Κόσμῳ πηγάσασα, σὲ ὑμνοῦμεν, Παναγία παρθένε.

Ὁ Εἱρμός.

Ἡ Τὸν ἀχώρητον Θεὸν ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν, Παναγία Παρθένε.

Εἶτα. Τὸ φωταγωγικὸν τοῦ Ἤχου. Καὶ τὸ, Σοὶ δόξα πρέπει Κύριε, ὁ Θεὸς ἡμῶν, Καὶ τὰ λοιπά· εἰς δὲ τὸν στίχ. ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος γ'.

ἜΛαμψε τῆς ἐγκρατείας ἡ εὐπρέπεια τῶν δαιμόνων τὴν ἀχλὺν φυγαδεύουσα· ἐπεδήμησε τῆς νηστείας ἡ σεμνότης, τῶν ψυχικῶν παθῶν τὴν ἰατρείαν φέρουσα· ταύτῃ ποτὲ Δανιὴλ, καὶ οἱ ἐν Βαβυλῶνι παῖδες φραξάμενοι, ὁ μὲν στόματα λεόντων ἐχαλίνωσεν, οἱ δὲ τὴν φλόγα τῆς καμίνου ἔσβεσαν· μεθ' ὧν καὶ ἡμᾶς δι' αὐτῆς σῶσον, Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Καὶ δευτεροῦμεν αὐτὸ μετὰ τοῦ στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου.

Καὶ μαρτυρικόν. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν.

ΩΣ φωστῆρες ἐν Κόσμῳ λάμποντες, καὶ μετὰ θάνατον, ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι· ἔχοντες παῤῥησίαν, Χριστὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΕΝ γυναιξὶν ἁγία Θεοτόκε, Μήτηρ ἀνύμφευτε, πρέσβευε, ὃν ἔτεκες, Βασιλέα, καὶ Θεὸν, ἵνα σώσῃ ἡμᾶς, ὡς φιλάνθρωπος.

Εἶτα, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Καὶ αἱ τρεῖς μεγάλαι μετάνοιαι.

Συνάπτομεν δὲ τὴν πρώτην Ὥραν ὡς συνήθως. Καὶ Ἀπόλυσις.

Τῇ ε'. ἑσπέρας τῆς Τυροφάγου, εἰς τὸ Κύριε ἐκέκραξα στιχηρὰ τοῦ Μηναίου ὡς συνήθως, Δόξα, καὶ νῦν. Θεοτ. τὸ Φῶς ἱλαρὸν, καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος β'.

Ο Τοῦ Κυρίου σταυρὸς, τοῖς ἀκλινῶς αὐτὸν προσκυνοῦσι, πάσης ἡδονῆς χαλινός ἐστι, καὶ νόμος ἐγκρατείας· οἱ γὰρ ἀπαύστως ἀφορῶντες, εἰς τὸν ἐν αὐτῷ παγέντα, σταυροῦσι τὴν σάρκα σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις· ἐξ ὧν καὶ ἡμεῖς γενέσθαι, σπεύσωμεν διὰ νηστείας καθαρᾶς· οἰκειωθῶμεν τῷ φιλανθρώπως ἡμᾶς οἰκειωσαμένῳ τῷ πάθει, καὶ τῆς οἰκείας ἀπαθείας τὴν φύσιν μεταδόντι, τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Διαστέλλομεν αὐτό· στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Καὶ τὸ μαρτυρικόν· στίχ. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς.

ΟΙ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες Ἀθλοφόροι οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλοις συμπολῖται γεγόνασι. Κύριε, πρεσβείαις αὐτῶν ἐλέησον, καὶ σῶσον ἡμᾶς.

Δόξα, καὶ νῦν, σταυροθεοτ.

Ὅτε ἐκ τοῦ ξύλου σε.

ΒΟτρυν τὸν παμπέπειρον, ἁγνὴ, ὃν ἀγεωργήτως ἐν μήτρᾳ ἐκυοφόρησας, ξύλῳ ὡς ἑώρακας τοῦτον κρεμάμενον, θρηνῳδοῦσα ἠλάλαζες, καὶ ἔκραζες. Τέκνον, γλεῦκος ἐναπόσταξον, δι' οὗ ἡ μέθη ἀρθῇ πᾶσα τῶν παθῶν, εὐεργέτα, δι' ἐμοῦ, τῆς σὲ τετοκυίας θείαις παρακλήσεσιν, ὡς εὔσπλαγχνος.

Νῦν Ἀπολύεις τὸν δοῦλόν σου, τὸ, Θεοτόκε Παρθένε, καὶ τὰ λοιπὰ, ποιοῦντες μετανοίας μεγάλας, εἶτα τὴν Ἀπόλυσιν.

Τῇ Παρασκευῇ τῆς Τυροφάγου, εἰς τὸν Ὄρθρον, μετὰ τὸν ἑξάψαλμον, ψάλλομεν τὸ, Ἀλληλούϊα, τὸ, εἰς τὸν ἦχον· τὰ τριαδικὰ τοῦ ἤχου. Εἰς δὲ τὴν πρώτην στιχολ. καθίσ. σταυρώσιμα τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν δευτέραν στιχολογίαν καθίσματα τοῦ Τριῳδίου, ἦχος βαρύς.

Ὡς ἔχουσα τὸ συμπαθές.

ΑΝύψωσον Ἐκκλησιῶν τὸ κέρας, τίμιε Σταυρὲ, κατάβαλε αἱρετικῶν τῇ σῇ δυνάμει τὴν ὀφρὺν, καὶ εὔφρανον τῶν ὀρθοδόξων τὰς καρδίας, ἀξίωσον, προφθάσαι σου πάντας ἡμᾶς τὴν προσκύνησιν, καὶ καταπροσκυνῆσαι σε τὸ ὑποπόδιον Χριστοῦ· ἐν σοὶ γὰρ ἐγκαυχώμεθα, ξύλον εὐλογημένον.

Δόξα, τὸ αὐτό· καὶ νῦν σταυροθεοτ.

ΩΣ ἔχουσα τὸ συμπαθὲς εἰς τὴν ταπείνωσιν ἡμῶν, καὶ βλέπουσα τοὺς ἐπὶ γῆς εἰς εὐπερίστατον λαὸν, σπλαγχνίσθητι, εὐλογημένη Θεοτόκε· ἐπίμενον πρεσβεύουσα, μὴ ἀπολλύμεθα δεινῶς· ἱκέτευε ὡς ἄχραντος τὸν εὐδιάλλακτον Θεὸν· σωθῆναι τὰς ψυχὰς ἡμῶν, Παναγία Παρθένε.

Εἶτα ἀναγινώσκομεν λόγον τοῦ μεγάλου Βασιλείου τὸν περὶ Νηστείας· οὗ ἡ ἀρχή· Σαλπίσατε ἐν νεομηνίᾳ σάλπιγγι· ζήτει αὐτὸν εἰς τὰ ἠθικά· εἰς δὲ τὴν τράπεζαν ἀναγινώσκομεν τὸν περὶ Νηστείας λόγον τοῦ ἁγίου Δωροθέου, ὁ Ν'. Καὶ οἱ Κανόνες τῆς Ὀκτωήχου, τοῦ Μηναίου, καὶ τοῦ Τριῳδίου. Ἐν αἷς δὲ Ὠδαῖς ψάλλομεν τὰ Τριῴδια, καταλιμπάνονται αἱ τοιαῦται Ὠδαὶ τῆς Ὀκτωήχου, καὶ τοῦ Μηναίου, ἐπειδὴ δύσκρμά εἰσι τὰ Τριῴδια. Ὁ Κανὼν τοῦ Τριῳδίου, ποίημα τοῦ Κυρίου Ἰωσήφ.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὑγρὰν διοδεύσας.

Ο Τῆς ἐγκρατείας θεῖος καιρὸς ἐπέλαμψε πᾶσι μετανοίας τὸν φωτισμὸν, τὸ σκότος ἐξαίρων τῶν πταισμάτων· τοῦτον προθύμῳ καρδίᾳ δεξώμεθα·

ΙΔοὺ μετανοίας ἡ καλλονὴ, ψυχὰς μεταπλάττει τῆς νηστείας προσαγωγή· ταύτῃ νηφαλέως εἰσελθόντες, καὶ τῶν πταισμάτων πιστοὶ λύσιν λάβωμεν.

ΑΡχαὶ, Ἐξουσίαι, καὶ Χερουβὶμ, καὶ πᾶσαι Δυνάμεις δυσωπήσατε, τὸν καιρὸν ἡμᾶς τῆς νηστείας ἐκτελέσαι ἐν μετανοίᾳ, καὶ πάσῃ σεμνότητι.

Θεοτοκίον.

ΑΓία Παρθένε, ἡ τῶν πιστῶν ἀντίληψις μόνη, τὴν πρεσβείαν σου συνεργὸν καιρῷ τῆς νηστείας πᾶσι δίδου, τοῖς Θεοτόκον ἁγνὴν σε γινώσκουσι.

Ὠδὴ γ'. Οὐρανίας ἁψῖδος ὀροφουργέ.

ΤΑ ὀλέθρια πάθη, τὰ τῆς ψυχῆς φύγωμεν τῇ ὑποδοχῇ τῆς νηστείας, καὶ κατανύξεως· ἐπιδειξώμεθα καρποὺς, οἱ πρὶν ἁμαρτίαις τὸν Θεὸν τὸν εὔσπλαγχνον παραπικράναντες.

ΤΑς λαμπάδας ἐλαίῳ τῶν ἀγαθῶν πράξεων πάντας νῦν ἐφάψαι, σπουδαίως προθυμηθείημεν· ὅπως εἰσέλθωμεν σὺν ταῖς

φρο-

φρονίμοις παρθένοις εἰς τὸν φωτεινότατον νυμφῶνα χαίροντες.

Θ Εηγόροι Προφῆται, θεοειδεῖς Μάρτυρες, θεῖοι Μαθηταὶ τοῦ Σωτῆρος, τοῦτον αἰτήσασθε, καλῶς ἀποδέξασθαι, καὶ δι᾽ ἀρέσεως τελέσαι τὸ νηστείας στάδιον, πάντες δεόμεθα.

Θεοτοκίον.

Ω Σ αἰτίαν σε πάντων τῶν ἀγαθῶν, Δέσποινα, πάντες ἐκτενῶς δυσωποῦμεν, συνεισελθεῖν ἡμᾶς τῇ μεσιτείᾳ σου τῷ τῆς νηστείας ἀγῶνι, καὶ πέρας δωρήσασθαι τούτου σωτήριον.

Ὁ Εἱρμός.

Ο Ὑρανίας ἁψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα μόνε φιλάνθρωπε.

Εἶτα καθίσ. τοῦ Μιναίου, καὶ τῆς Θεοτόκου.

Ὠδὴ δ᾽. Εἰσακήκοα Κύριε τῆς οἰκονομίας σου.

Ω Σπερ ὄρθρος προκύψασα, νῦν ἡ τῆς νηστείας χάρις προβάλλεται· μετανοίας τὸν καιρὸν ἡμῖν, ὀφλημάτων σκότος διαλύοντα.

Δ Ιαθρέψωμεν πένητας, ἔλεον ἐλέῳ ἀντιλαμβάνοντες· καὶ νηστείας θείῳ ὕδατι ψυχικὰς κηλῖδας ἀποπλύνωμεν.

Ε Ἐπουράνιοι Ἄγγελοι, τὸν ἀγαθοδότην ἐκδυσωπήσατε, τὴν οἰκτρὰν ἡμῶν μετάνοιαν οἰκτιρμοῖς ἀμέτροις ὑποδέξασθαι.

Θεοτοκίον.

Κ Αθαρὸν ἱλαστήριον τῶν ἁμαρτανόντων, ἁγία Δέσποινα, μεσιτείᾳ σου διάρρηξον τῶν ἁμαρτιῶν μου τὸ χειρόγραφον.

Ὁ Εἱρμός.

Ε Ἰσακήκοα Κύριε τῆς οἰκονομίας σου τὸ μυστήριον· κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Ὠδὴ ε᾽. ὁ Εἱρμός.

Ι Ἵνα τί με ἀπώσω ἀπὸ τοῦ προσώπου σου, τὸ φῶς τὸ ἄδυτον, καὶ ἐκάλυψέ με τὸ ἀλλό-
» τριον σκότος τὸν δείλαιον· ἀλλ᾽ ἐπίστρεψόν με,
» καὶ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου τὰς ὁδούς μου
» κατεύθυνον, δέομαι.

Τ Ἡν παροῦσαν ἡμέραν ἀπαρχὴν ποιούμενοι βίου σεμνότητος, ἑαυτοὺς προθύμως πρὸς ἀγῶνας, πιστοί, εὐτρεπίσωμεν, τῆς σαρκὸς τοὺς πόνους, καὶ τῆς ψυχῆς τὴν εὐκαρπίαν τῷ τῶν ὅλων Δεσπότῃ προσάγοντες.

Μ Ωϋσῆν ἡ νηστεία θείας θεοπτίας ἀνέδειξε μέτοχον· τοῦτον οὖν, ψυχή μου, μιμουμένη, νηστείαν ἀνάλαβε, θείας ἀναβάσεις ἐν σεαυτῇ διατιθεμένη, ὅπως ἴδῃς Θεοῦ τὴν λαμπρότητα.

Ι Ἐρῶν Ἀποστόλων, καὶ ἱερωνύμων Μαρτύρων δεήσεσι, τῆς νηστείας χρόνον διανύσαι ἡμᾶς καταξίωσον, Ἰησοῦ οἰκτίρμων, ἐν μετανοίᾳ, καὶ παντοίᾳ ἀποχῇ ἁμαρτίας, δεόμεθα.

Θεοτοκίον.

Τ Ἦς νηστείας τὴν πύλην μέλλοντες εἰσέρχεσθαι, ἐκδυσωποῦμέν σε, τοῦ Θεοῦ τὴν πύλην συνελθεῖν τοῖς οἰκέταις σου, Δέσποινα· καὶ πλατῦναι πάντας τοὺς λογισμούς, καὶ διανοίας, τὰ σωτήρια πράττειν θελήματα.

Εἶτα τὸ Τελώνιον τοῦ Κυρίου Ἰωσήφ.

Ὠδὴ ε᾽. ἦχος πλ. β᾽. Τῷ θείῳ φέγγει σου.

Σ Ταυρῷ τὰς χεῖρας προσηλωθείς, λόγχῃ τὴν πλευρὰν διανυγείς, τὸ γραμματεῖον, φιλάνθρωπε, τοῦ παραβάντος Ἀδὰμ διέρρηξας· διό σε, Ζωοδότα, ὕμνοις δοξάζομεν.

Δ Ολίως ὄφις ὁ πονηρός, πάθη ἐπιθείς μοι ψυχικά, τοῦ Παραδείσου ἐξώρισε· σὺ δὲ τὰς παλάμας ἐν τῷ Σταυρῷ προσπαγείς, πρὸς ὕψος ἀφθαρσίας, Σῶτερ, ἀνείλκυσας.

Ο Τῆς νηστείας θεῖος καιρὸς πάθη ἐκκαθαίρειν ψυχικά, καὶ ψυχικοὺς πλυνῶν μώλωπας, ἦλθε, νῦν ἐπέστη, πιστοὶ συνδράμωμεν, καὶ τοῦτον φιλοφρόνως ὑποδεξώμεθα.

Κ Αιρὸς ἐπέφανεν ἀγαθός, θείαν εὐφροσύνην τῆς ψυχῆς ἅπαν ἐνδύων τὸ πρόσωπον· δεῦτε, γηθοσύνως τοῦτον δεξώμεθα, νηστείᾳ, καὶ δεήσει προκαθαιρόμενοι.

Ν Ηστείαν, δάκρυα, προσευχήν, ἦθος ταπεινὸν τῷ δι᾽ ἡμᾶς ταπεινωθέντι προσάξωμεν· ὅπως ἐν ἡμέρᾳ τῆς ἐγκρατείας συγχώρησιν βραβεύσῃ τῶν ἐπταισμένων ἡμῖν.

Θεοτοκίον.

Τ Αῖς φωτοβόλοις σου ἀστραπαῖς, Δέσποινα τοῦ Κόσμου ἀγαθή, τὸ τῆς ψυχῆς μου ἀπέλασον σκότος, καὶ τὴν νύκτα τῆς ἁμαρτίας μου, προθύμως ἵνα ψάλλω, καὶ μακαρίζω σε.

Ἄλλος, ἦχος πλ. δ᾽. Ἵνα τί με ἀπώσω.

Τ Ὸν Σταυρὸν προσκυνῶ σου, Κύριε φιλάνθρωπε, δι᾽ οὗ με ἔσωσας, καὶ ὑμνῶ τὰ πάθη τὰ σωτήρια, καὶ θεῖα, Δέσποτα· δι᾽ ὧν τῶν Παθῶν μου, τῶν ἀλγεινῶν ἐρρύσθην, Λόγε, εἰς ζωὴν μετελθὼν τὴν ἀπήμονα.

Τ Ω͂Ι Σταυρῷ πεποιθότες, τὴν τῶν ἐναντίων ἀπάτην τρεπώμεθα· ἐν αὐτῷ παγέντες οἱ πιστοί, γνωρισθέντες ἐγνώσθημεν τῷ Θεῷ, ὡς ἄρνες νεογνοὶ ἐκλελεγμένοι, καὶ τὸ ἄδολον γάλα πεπώκαμεν.

Τ Ὸν Πατέρα, καὶ Λόγον, πάντες καὶ τὸ ἅγιον Πνεῦμα δοξάζομεν ἐν μιᾷ τῇ φύσει, γνωρισμὸν τηλαυγῆ ἐκτιθέμενοι, προσκυνοῦντες ἀμφω, καὶ διαιροῦντες τοῖς προσώποις, ἀσυγχύτως, ἀτρέπτως λατρεύοντες.

Θεοτοκίον.

Η Ἐλπὶς τῶν περάτων, ἡ χαρὰ τῶν δούλων σου σὺ εἶ, Παρθένε ἁγνή· τοὺς τιμῶντας πόθῳ τὴν εἰκόνα σου φύλαττε, πάναγνε· καὶ ταῖς σαῖς πρεσβείαις πάντας ἡμᾶς τοῦ ἀλλοτρίου ἐλευθέρωσον, ὡς συμπαθέστατος.

Δόξα

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν εὐθεῖαν ὁδόν σου, Κύριε, κατευθύνον πᾶσι τοῖς δούλοις σου, τοῖς τιμῶσι πόθῳ τῆς νηστείας τὸ στάδιον στήριξον· καὶ ταῖς εἰς τὸ κρεῖττον ἐπαγωγαῖς, τῆς σῆς ἁγίας βασιλείας ἡμᾶς καταξίωσον.

Ὁ Εἱρμός. Ἵνα τί με ἀπώσω.

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Νηστεύσας ὁ λυτρωτὴς τὸν ἐνεστῶτα καιρὸν ἡμῖν ὡρίσατο, ψυχικῶν κηλίδων καθάρσιον, ζεύσῃ προσέλθωμεν, οἱ πιστοὶ, καρδίᾳ, ὅπως λάβωμεν συγχώρησιν.

Ὁ τοῦ Τελώνου, Χριστὲ, τὸν στεναγμὸν προσδεξάμενος· καὶ Πόρνης τὸν ἐκ ψυχῆς κλαυθμὸν προσαγόμενος, δέξαι, ὡς φιλάνθρωπος, τὰς ἡμῶν δεήσεις, ἱλασμὸν ἡμῖν δωρούμενος.

Κηρύκων, καὶ Προφητῶν, Μαρτύρων, καὶ Ἀποστόλων σου. Ὁσίων, Ἱεράρχων, καὶ πάντων Δικαίων σου, Χριστὲ, παρακλήσεσιν ἱλασμὸν πταισμάτων ταῖς ψυχαῖς ἡμῶν κατάπεμψον.

Θεοτοκίον.

Ἡ μόνη τὸ ἀσθενὲς τῆς ἀνθρωπίνης ὑπάρξεως τῷ Θείῳ σου τοκετῷ ἁγνὴ ἐπιρρώσασα, σύνεργός μοι φάνηθι πρὸς τὸ τῆς νηστείας εἰσιόντι θεῖον στάδιον.

Ὁ Εἱρμός.

Ἱλάσθητί μοι Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε, δέομαι, πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου, ὁ Θεὸς τῆς σωτηρίας μου.

Εἶτα τὸ Μαρτυρικὸν τοῦ Ἤχου.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

Πάλαι ἐν ἅρματι πυρίνῳ ἀνεφέρετο Ἠλίας τῇ νηστείᾳ λαμπρυνθεὶς, ὦ ψυχὴ, τοῦτον ἐκμιμουμένη, τὰς τῆς σαρκὸς θανάτωσον ἀκρασίας ἐγκρατείᾳ.

Ἴδε καιρὸς τῆς ἐγκρατείας. ὑπεμφαίνων σοι τὸ φῶς τῆς σωτηρίας· μὴ ἀμέλει, ψυχὴ, Θεοῦ μακροθυμοῦντος· ἀλλὰ προθύμως βόησον, ἀγαθὲ οἰκτείρησόν με.

Παῖδας στομώσασα νηστεία, διετήρησε τὸ πῦρ ἀκαταφλέκτους, Ἰησοῦ, ταῖς αὐτῶν δεήσεσι πυρός με τοῦ αἰωνίου λύτρωσαι τῇ πολλῇ σου εὐσπλαγχνίᾳ.

Θεοτοκίον.

Μόνη βοήθεια ἀνθρώπων, βοηθὸς ἡμῖν καιρῷ τῆς ἐγκρατείας τοῖς σοῖς δούλοις γενοῦ, ὅπως ἐν μετανοίᾳ εὐαρεστοῦντες, λάβωμεν Οὐρανῶν τὴν βασιλείαν.

Ὁ Εἱρμός.

Παῖδες Ἑβραίων ἐν καμίνῳ κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον βοῶντες. Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Ἑπταπλασίως κάμινον τῶν Χαλδαίων ὁ Τύραννος τοῖς θεοσεβέσιν ἐμμανῶς ἐξέκαυσε, δυνάμει δὲ κρείττονι περισωθέντας τούτους ἰδὼν, τὸν δημιουργὸν, καὶ λυτρωτὴν ἀνεβόων. Οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε· λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς μετανοίας κάμινον προθυμίᾳ ἐκκαύσωμεν, καὶ τὰς ἡδονὰς ἐν αὐτῇ καταφλέξωμεν ἁπάσας τοῦ σώματος, καὶ τοῦ πυρὸς τοῦ μέλλοντος πεῖραν μὴ λαβεῖν, τὸν πλούσιον ἐν ἐλέει αἰτήσωμεν, βοῶντες, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ εἰσιὼν καιρὸς ἡμῖν τῆς νηστείας γενήσεται πάσης ἁμαρτίας ἀποχῆς παραίτιος, μὴ οὖν κάτω κλίνωμεν, μηδὲ ῥαθύμως δράμωμεν· ὅπως ἐν βραχείαις, καὶ ὀλίγαις ἡμέραις ἐτῶν πολλῶν κηλίδας κατανύξει καρδίας ἐκπλυνώμεν, τὸν μόνον Θεὸν ἡμῶν ὑμνοῦντες.

Τὰ τῶν Ἀγγέλων τάγματα, τῶν Μαρτύρων ὁ σύλλογος, θείων Ἀποστόλων ὁ χορὸς ὁ ἅγιος, Ὁσίων ὁμήγυρις, Ἱεραρχῶν τε, καὶ Προφητῶν σὲ ἐκδυσωποῦσιν, ἀγαθὲ πανοικτίρμων, μετάνοιαν γνησίαν τοῖς σοῖς δούλοις παράσχου καιρῷ τῆς ἐγκρατείας, τῆς νῦν εἰσαγομένης.

Θεοτοκίον.

Θεοκυῆτορ πάναγνε, ἐπὶ σὲ καταφεύγομεν· οἰκτείρησον ἡμᾶς τῇ ἀγαθῇ πρεσβείᾳ σου, καὶ δίδου εὐίλατον τὸν σὸν Υἱὸν, καὶ Κύριον ἅπασιν ἡμῖν ἐν τῷ καιρῷ τῆς νηστείας, τῆς νῦν εἰσαγομένης εἰς πιστῶν σωτηρίαν, τῶν σὲ ὑμνολογούντων εἰς πάντας τοὺς αἰῶνας.

Τὸ Τετρῴδιον. Νόμον πατρῷον.

Κλῆρον πατρῷον μὴ φυλάξαντες, τῷ ἁμαρτίας νόμῳ κατεδουλώθημεν· ἀλλ᾽ ἐκτείνας τὰς παλάμας σου ἐν τῷ Σταυρῷ τῷ Θείῳ, ἐλευθερίαν πᾶσιν ἐδωρήσω δι᾽ αὐτοῦ, ὃν σοι πίστει προσάγομεν ἐν ἡμέραις ἁγίαις· ἐλέησον ἡμᾶς, ἐλεήμων, σὲ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Ὁ τῷ Σταυρῷ σου τὴν διάστασιν, καὶ τοῦ φραγμοῦ ἐξάρας τε τὸ μεσότειχον, εἰρήνην ἐν τοῖς πέρασιν ἐγκαινίσας πλουσίαν, εἰρηνευούσῃ, δίδου, διελθεῖν ἡμᾶς, Χριστὲ, καταστάσει τὴν μέλλουσαν νηστείαν, τὸν Κύριον ὑμνοῦντας ἀπαύστως, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Ἡ τῆς νηστείας χάρις σήμερον ἡλιακὰς ἀκτῖνας πᾶσι προβάλλεται· προκαθαίρουσα τὴν ζόφωσιν, τὴν ἐκ τῆς ἁμαρτίας· οἱ συσχεθέντες πάθεσι ποικίλοις, ἐν χαρᾷ προσελθόντες, δεξώμεθα τὸ δῶρον φιλοφρόνως· τὸν Κύριον ὑμνεῖτε, βοῶντες, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πικρῶς τρυγήσας ὁ πρωτόπλαστος ἐν Παραδείσῳ πάλαι βρῶσιν παράλογον, ἀπερρίφη, καὶ κατάκειται τῆς τρυφῆς ἐξεβλήθη· ἀλλ᾽ ἐπὶ ξύλου ἥλοις περιπαγεὶς, τὸ πονηρὸν γραμματεῖον προ-

προσήλωσας τῆς αὐτοῦ ἁμαρτίας· διό σου τὴν πολλὴν εὐσπλαγχνίαν ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νόμον νηστείας ἀποσάμενοι, τῆς ἁμαρτίας βόθρῳ κατωλισθήσαμεν· καὶ νηστείας ἐνδεήθημεν τῆς νῦν εἰσαγορθούσης· ἥνπερ, οἰκτίρμων, χάριν διανύουσιν ἡμῖν οὐρανόθεν κατάπεμψον, καὶ εἰρήνην πλουσίαν. Τὸν Κύριον ὑμνεῖτε, βοῶσι, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Καταπιπτόντων ἐπανόρθωσις, ἁμαρτωλῶν μεσίτης, ξένων ἀνάψυξις, λυπουμένων ἡ παράκλησις, Παναγία Παρθένε, τὴν τῆς ψυχῆς μου λύπην διασκέδασον, ἁγνή, καὶ παράκλησιν ἄνωθεν ἐκ Θεοῦ μοι δοθῆναι, δυσώπει, μελῳδοῦντι προθύμως, σὲ ὑπερυψοῦντι εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Ἄγγελοι, καὶ Οὐρανοί.

Καθηλούμενον σαρκὶ ἐν τῷ Σταυρῷ, οἰκτίρμων, κατιδοῦσά σε ἡ τῶν κτισμάτων φύσις, διεστρέφετο φῶς ἡμέρας εἰς σκότος, ἐσαλεύετο ἡ γῆ, καὶ πάντα ἐκλονεῖτο.

Ἐν τῷ ὕψει τοῦ Σταυροῦ τὴν τῶν ἀνθρώπων φύσιν συνανύψωσας, καὶ ἐκ πλευρᾶς σου θείας πλοῦτον ἔβλυσας σωτηρίας τοῖς πίστει προσκυνοῦσι, Σωτήρ, τὸ ἄχραντόν σου πάθος.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Εἷς Θεὸς οὖν ἡ Τριάς· οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς υἱότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν· ἀλλ' ἰδίᾳ καὶ ἄμφω φῶς, Θεὸν τὰ τρία δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

Πῶς ἐγέννησας, εἰπέ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα, καὶ σὺν ἁγίῳ Πνεύματι ἀνυμνούμενον; ἢ ὡς οἶδεν ὁ μόνος εὐδοκήσας, τεχθῆναι ἐκ σοῦ, εἰς τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν μετάνοιαν ἡμῶν, ὡς ἀγαθὸς τῇ φύσει, προσδεξάμενος, τῶν τοῦ ἐχθροῦ παγίδων ῥῦσαι, Κύριε, ἵνα πίστει, καὶ πόθῳ σὴν νῦν ἀνυμνοῦμεν ἁγίαν Δεσποτείαν.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.

Ὁ Εἱρμός.

Ἄγγελοι, καὶ Οὐρανοὶ τὸν ἐπὶ Θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζό-
„ μενον, εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Ἔφριξε ἐπὶ τούτῳ ὁ Οὐρανός· καὶ τῆς γῆς κατεπλάγη τὰ πέρατα, ὅτι Θεὸς ὤφθη τοῖς ἀν-
„ θρώποις σωματικῶς· καὶ ἡ γαστήρ σου γέγονεν εὐ-
„ ρυχωροτέρα τῶν Οὐρανῶν· διό σε, Θεοτόκε, Ἀγ-
„ γέλων, καὶ ἀνθρώπων ταξιαρχίαι μεγαλύνου-
„ σιν.

Ἰδοὺ ὁ φωτοφόρος ἦλθε καιρός, ἡ ἁγία ἡμέρα ἐπέλαμψε, τὰ σκοτεινὰ πάθη σου ἀπόφευγε, ὦ ψυχή, καὶ τὰς αὐγὰς ὑπόδεξαι τὰς καθοδηγούσας σε πρὸς τὸ φῶς, κατάνυξιν, ὡς οἶνον πίνουσα ἐπευφραίνου, καὶ ἡδονῶν τὴν μέθην μίσησον.

Ὡς ὄντως ἀγαθώτατος ὁ καιρὸς τῆς νηστείας, Χριστέ, ὅνπερ δέδωκας πᾶσι πιστοῖς εἰς ἁμαρτημάτων ἀποβροχάς, καὶ ἱλασμὸν σωτήριον, καὶ τῶν χαρισμάτων ὑποδοχήν· ἐν ᾧ σε δυσωποῦμεν, μετόχους, Σωτήρ, πάντας τῶν ἀγαθῶν σου ἡμᾶς ποίησον.

Συνήθως, τὰ ἐλέη σου ἐφ' ἡμᾶς ἐπιρραίνων, οἰκτίρμων, τὰ πλούσια, δίδου ἡμῖν δάκρυα καθαίροντα μολυσμούς, καὶ λογισμοὺς ποθοῦντάς σε, πίστιν, καὶ ἀγάπην εἰλικρινῆ, μετάνοιαν πλουσίαν, οἰκείωσιν τελείαν πρὸς σὲ τὸν μόνον πολυέλεον.

Ἡ Πάντων τῶν Ἀγγέλων θεία πληθύς, καὶ Ἁγίων χοροὶ ἀξιάγαστοι τὸν ἀγαθὸν νῦν ἐκδυσωπήσατε ἐκτενῶς· ὅπως τὸ θεῖον στάδιον τοῦτο τῆς νηστείας τὸ ἐνεστὸς, δραμεῖν ἀνεμποδίστως ἡμᾶς ἐνδυναμώσῃ, καὶ νικηφόρους ἀπεργάσηται.

Θεοτοκίον.

Φιλάγαθε Παρθένε, τὸν ἀγαθὸν ἡ τεκοῦσα Σωτῆρα, ἀγάθυνον πάντας ἡμᾶς πάθεσιν ἀμέτροις, καὶ λογισμοῖς κεκακωμένους, Δέσποινα, καὶ βεβαρυμένους ἁμαρτιῶν φορτίοις δυσβαστάκτοις, ἵνα σε καταχρέως, ὡς Θεοτόκον, μεγαλύνωμεν.

Ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἄτονεῖ πᾶσα φύσις, καὶ βροτῶν καὶ Ἀγγέλων, τὴν εὐσπλαγχνίαν σου εὐχαριστεῖν, εὐεργέτα, ὅτι σάρκα θέλων δι' ἡμᾶς ἐπτώχευσας, καὶ ἐπὶ ξύλου ὑπὲρ ἡμῶν ἐτάθης, κατάρα γεγονώς, ἵνα τὴν πρὶν κατάραν ἀνέλῃς τῆς ἀνθρωπότητος.

Φαιδρὰ ἡμέρα ἡ τῆς ἐγκρατείας ἐπέστη, φαιδρῷ προσώπῳ δεῦτε, ὑπαντήσωμεν, ψυχή μου, τῷ Δεσπότῃ, χάριν ἐκπεμφθῆναι ἄνωθεν ἡμῖν αἰτοῦντες, καὶ τῶν πολλῶν σφαλμάτων διόρθωσιν εὑρεῖν, ὅπως φλογοδεσπότης γεέννης μὴ πειραθῶμεν ἐκεῖ.

Τοῖς ἐν τῷ σκότει τῶν ἁμαρτιῶν συσχεθεῖσι τῆς μετανοίας νῦν τὰ ἱερὰ εἰσόδια ἐπέστη, πάντων τὰς ψυχὰς φωτίζοντα, διὸ ψυχή μου, τὸν σκοτασμὸν ἔκκλινον τοῦ κόρου τῶν παθῶν, σπεῦσον, ἵνα τρυφῆς αἰωνίου ἐπαπολαύσῃς ἐκεῖ.

Ἐπὶ τοῦ ξύλου χεῖρας ἑκουσίως ἁπλώσας, τὰ διεστῶτα πάντα συνηγάγω, Ζωοδότα, τῇ δὲ λόγχῃ σὴν διανυγεὶς, μακρόθυμε, πλευρὰν, τὴν ἧτταν, τὴν ἐκ πλευρᾶς φυεῖσαν, ἠνώρθωσας ἡμῶν

μεν, ὅθεν εὐχαριστοῦντες, ὑμνοῦμεν τὴν εὐσπλαγχνίαν σου.

Ἡ Φωτοφόρος νῦν ἐπιδημοῦσα νηστεία προσδείξεται, τράπεζαν ἀγώνων προτιθεῖσα· διὰ τοῦτο ταύτης νηφαλέως ἅπαντες σεπτὸν κρατῆρα καθαρτικῶν δακρύων ληψόμεθα πιστοί, ἵνα τῶν ἀνηκέστων δακρύων μὴ πειραθῶμεν ἐκεῖ.

Θεοτοκίον.

Ἡ Προστασία πάντων τῶν εἰς σὲ πεποιθότων, ἡ ἐν ἀνάγκαις ἄγρυπνος ὑπάρχουσα προστάτις Θεοτόκε, τῆς αἰωνιζούσης λύτρωσαι ἡμᾶς γεέννης, καὶ τῶν ἀποκειμένων κολάσεων πικρῶν· ὅπως χρεωστικῶς ὑμνοῦμεν τὰ μεγαλεῖά σου.

Ὁ Εἱρμός.

Ἀπορεῖ πᾶσα γλῶσσα εὐφημεῖν πρὸς ἀξίαν, ἰλιγγιᾷ δὲ νοῦς, καὶ ὑπερκόσμιος, ὑμνεῖν σε
„ Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν
„ δέχου, καὶ γὰρ τὸν πόθον οἶδας τὸν ἔνθεον ἡμῶν·
„ σὺ γὰρ Χριστιανῶν ἡ προστάτις, σὲ μεγαλύνομεν.

Εἶτα τὸ Φωταγωγικὸν τοῦ Ἤχου, καὶ τό, Σοὶ δόξα πρέπει Κύριε, ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι, τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ τὰ λοιπά. Εἰς δὲ τὸν στίχον, ψάλλομεν τὸ ἰδιόμελον τῆς ἡμέρας, ἦχος πλ. β'.

Πρὸ τοῦ σωτηρίου Σταυροῦ τῆς ἁμαρτίας βασιλευούσης, τῆς ἀσεβείας ἐπικρατούσης, τῶν ἀνθρώπων ἐμακαρίζετο τρυφὴ σωματική, καὶ σαρκικῶν ὀρέξεων ὀλίγοι κατεφρόνουν, ἀφ' οὗ δὲ τὸ τοῦ Σταυροῦ μυστήριον πεπέρακται, καὶ δαιμόνων ἐσβέσθη τυραννὶς τῇ θεογνωσίᾳ, ἡ τῶν Οὐρανῶν ἐπὶ γῆς ἀρετὴ πολιτεύεται· διὸ νηστεία τιμᾶται, ἐγκράτεια λάμπει, προσευχὴ κατορθοῦται, καὶ μάρτυς καιρὸς ὁ παρὼν δεδομένος ἡμῖν ὑπὸ τοῦ σταυρωθέντος Χριστοῦ τοῦ Θεοῦ εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καὶ λέγομεν στίχ. Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφρανθημεν Ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν· εὐφρανθείημεν· ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς· ἐτῶν, ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ δευτεροῦμεν τὸ ἰδιόμελον: Καὶ λέγομεν τὸ Μαρτυρικὸν· καὶ τὸν στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς, καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς· καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Κύριε, ἐν τῇ μνήμῃ τῶν Ἁγίων σου πᾶσα ἡ Κτίσις ἑορτάζει, Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις· αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν· σταυρο Θεοτ.

Ἡ Πάναγνος ὡς εἶδέ σε ἐπὶ Σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα ἀνεβόα μητρικῶς, Υἱέ μου, καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον.

Εἶτα τό, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου Κύριε, καὶ τὴν ἀλήθειάν σου καθ' ἑκάστην· καὶ τὸ Τρισάγιον, Παναγία Τριάς. Πάτερ ἡμῶν· καὶ τὸ τροπάριον.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν Οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Τό, Κύριε ἐλέησον μ'. Καὶ λέγεται στίχ. παρὰ τοῦ Ἱερέως. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἐπουράνιε Βασιλεῦ τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον· τὴν πίστιν στήριξον· τὰ Ἔθνη πράϋνον· τὸν Κόσμον εἰρήνευσον· τὴν ἁγίαν Μονὴν ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς Δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ, καὶ ὀρθοδόξῳ πίστει περιφύλαξον, ὡς μόνος φιλάνθρωπος.

Καὶ ποιοῦμεν τὰς τρεῖς μεγάλας μετανοίας, καὶ λέγομεν καὶ τὴν Εὐχὴν μυστικῶς τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.

Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου, Πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας μή μοι δῷς· πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ· ναὶ Κύριε βασιλεῦ, δώρησαί μοι, ὁρᾶν τὰ ἐμὰ πταίσματα, τοῦ μὴ κατακρίνειν τὸν ἀδελφόν μου. Ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ποιοῦμεν καὶ τὰς λοιπὰς μετανοίας. Συνάπτομεν δὲ καὶ τὴν πρώτην Ὥραν, ὡς συνήθως· μετὰ τῶν συνήθως μετανοιῶν· Ἀναγινώσκομεν δὲ καὶ τὰς Κατηχήσεις τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου. Εἶτα, ἡ Ἀπόλυσις. Εἰς δὲ τὴν Τριτέκτην ψάλλομεν τὸ τροπάριον τῆς Προφητείας ἦχ. πλ. β'.

Δὸς ἡμῖν βοήθειαν ἐκ θλίψεως Κύριε, καὶ σῶσον ἡμᾶς ὁ τεχθεὶς ἐκ Παρθένου, φιλάνθρωπε.

Δευτεροῦντες αὐτό. Προκείμενον, ἦχ. α.

Γένοιτο Κύριε τὸ ἔλεός σου. στίχ.

Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος παντοκράτωρ. Ἰδοὺ ἐγὼ σώζω τὸν λαόν μου ἀπὸ γῆς Ἀνατολῶν, καὶ ἀπὸ γῆς Δυσμῶν· καὶ εἰσάξω αὐτοὺς εἰς τὴν γῆν αὐτῶν· καὶ κατασκηνώσουσιν ἐν μέσῳ Ἱερουσαλήμ· καὶ ἔσονταί μοι εἰς λαόν, καὶ ἐγὼ ἔσομαι αὐτοῖς εἰς Θεόν, ἐν ἀληθείᾳ, καὶ ἐν δικαιοσύνῃ. Τάδε λέγει

Digitized by Google

λέγει Κύριος παντοκράτωρ· κατισχυέτωσαν αἱ χεῖρες ὑμῶν τῶν ἀκουόντων ἐν ταῖς ἡμέραις ταύταις τοὺς λόγους τούτους ἐκ στόματος τῶν προφητῶν, ἀφ᾽ ἧς ἡμέρας τεθεμελίωται ὁ οἶκος Κυρίου παντοκράτορος, καὶ ὁ ναὸς, ἀφ᾽ οὗ ᾠκοδόμηται. Διότι πρὸ τῶν ἡμερῶν ἐκείνων ὁ μισθὸς τῶν ἀνθρώπων οὐκ ἦν εἰς ὄνησιν, καὶ ὁ μισθὸς τῶν κτηνῶν οὐχ᾽ ὑπῆρχε, καὶ τῷ ἐκπορευομένῳ, καὶ τῷ εἰσπορευομένῳ, οὐκ ἦν εἰρήνη ἀπὸ τῆς θλίψεως, καὶ ἐξαποστελῶ πάντας ἀνθρώπους, ἕκαστον ἐπὶ τὸν πλησίον αὐτοῦ. Καὶ νῦν οὐ κατὰ τὰς ἡμέρας τὰς ἔμπροσθεν ἐγὼ ποιῶ, λέγει Κύριος παντοκράτωρ τοῖς καταλοίποις τοῦ λαοῦ τούτου· ἀλλ᾽ ἢ δείξω εἰρήνην, ἡ ἄμπελος δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἡ γῆ δώσει τὰ γεννήματα αὐτῆς, καὶ ὁ Οὐρανὸς δώσει τὴν δρόσον αὐτοῦ, καὶ κατακληρονομήσω τοῖς καταλοίποις τοῦ λαοῦ μου ταῦτα πάντα, καὶ ἔσται ὃν τρόπον ἦτε ἐν κατάρᾳ ἐν τοῖς Ἔθνεσιν οἶκος Ἰούδα, καὶ οἶκος Ἰσραὴλ, οὕτω διασώσω ὑμᾶς, καὶ ἔσεσθε ἐν εὐλογίᾳ. Θαρσεῖτε, καὶ κατισχύετε ἐν ταῖς χερσὶν ὑμῶν, διότι τάδε λέγει Κύριος παντοκράτωρ· ὃν τρόπον διενοήθην τοῦ κακῶσαι ὑμᾶς, ἐν τῷ παροργίσαι με τοὺς πατέρας ὑμῶν, λέγει Κύριος παντοκράτωρ, καὶ οὐ μετενόησα, οὕτω παρατέταγμαι, καὶ διανενόημαι ἐν ταῖς ἡμέραις ταύταις, τοῦ καλῶς ποιῆσαι τὴν Ἱερουσαλὴμ, καὶ τὸν οἶκον Ἰούδα· θαρσεῖτε· οὗτοι οἱ λόγοι, οὓς ποιήσετε· λαλεῖτε ἀλήθειαν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ ἀληθῶς· καὶ κρίμα εἰρηνικὸν κρίνατε, ἐν ταῖς πύλαις ὑμῶν· καὶ ἕκαστος τὴν κακίαν τοῦ πλησίον αὐτοῦ μὴ λογιζέσθω ἐν ταῖς καρδίαις ὑμῶν· καὶ ὅρκον ψευδῆ μὴ ἀγαπᾶτε· διότι ταῦτα πάντα ἐμίσησα, λέγει Κύριος παντοκράτωρ.

Προκείμενον, ἦχος γ΄.

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.

Στίχ. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Δεῖ γινώσκειν, ὅτι ἐν πάσῃ τῇ Μ. εἰς τὸ λυχνικὸν τῇ Παρασκευῇ, Εἰ μέλλει γενέσθαι Προηγιασμένη, ἱστῶμεν στίχ. ι. ἀπὸ τοῦ Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου. Ψάλλοντες τὸ ἰδιόμ. τῆς ἡμέρας δίς· λέγομεν δὲ καὶ τὰ δ΄. Μαρτυρικὰ τοῦ ἤχου, καὶ τοῦ Μηναίου γ΄. δευτεροῦντες τὸ ἕν. Δόξα, τὸ Νεκρώσιμον τοῦ Δαμασκηνοῦ, τοῦ κατὰ τὴν ἡμέραν ἤχου. Καὶ νῦν θεοτ. τὸ α΄. τοῦ ἤχου. Εἴσοδος μετὰ θυμιατοῦ. Ὡσαύτως καὶ ἡ Ἀκολουθία τῶν Προηγιασμένων. Εἰδ᾽ οὐ γίνεται Προηγιασμένη, λέγομεν τὸ Κύριε ἐκέκραξα εἰς τὸν ἦχον· καὶ ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν τὰ γ΄. Μαρτυρικὰ τῆς Ὀκτωήχου, καὶ τοῦ Μηναίου γ΄. Δόξα, τὸ Νεκρώσιμον τῆς Ὀκτωήχου· καὶ νῦν τὸ α΄. θεοτ. τοῦ ἤχου. Εἰς τὸν στίχ. δευτεροῦμεν τὸ ἰδιόμελον τῆς ἡμέρας· λέγομεν καὶ τὸ Μαρτυρικόν. Δόξα. Καὶ νῦν, θεοτ. Δεῖ γινώσκειν, ὅτι οὕτω τελεῖται ἡ Ἀκολουθία τοῦ λυχνικοῦ κατὰ πᾶσαν Παρασκευὴν ἀπὸ τῆς β΄. Ἑβδομάδος μέχρι τῆς Παρασκευῆς τῆς ε΄. Ἑβδομάδος, ἐπιτελουμένων Προηγιασμένων, εἴτε μή. Ἰστέον δὲ καὶ τοῦτο, ὅτι καθ᾽ ἑκάστην Κυριακὴν ἐν τῷ λυχνικῷ, ἤγουν ἀπὸ τῆς Κυριακῆς τῆς Τυροφάγου μέχρι τῆς ε΄. Κυριακῆς τῶν Νηστειῶν ἑσπέρας, ψάλλομεν εἰς τὸν κατὰ τὴν ἡμέραν ἦχον, ἱστῶντες στίχ. ι. ἀπὸ τοῦ Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, καὶ λέγομεν τὰ Κατανυκτικὰ, τὰ δ΄. τοῦ ἤχου τῆς Ὀκτωήχου· καὶ εἰς τὸ Τετράδιον τὰ β΄. προσόμοια τοῦ Κυρίου Ἰωσὴφ· καὶ τοῦ Κυρίου Θεοδώρου τοῦ Στουδίτου τὸ ἕν, καὶ εἰς τὸ Μηναῖον, τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου γ΄. Δόξα, Καὶ νῦν, θεοτ. εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, δευτεροῦντες αὐτό· καὶ τὸ Μαρτυρικόν. Δόξα, Καὶ νῦν, θεοτ. Οὕτω γίνεται ἡ Ἀκολουθία τοῦ λυχνικοῦ τῶν Κυριακῶν, ὡς προγέγραπται.

Δεῖ γινώσκειν, ὅτι τῷ Σαββάτῳ, καὶ τῇ Κυριακῇ τῆς Τυροφάγου Μηναῖον οὐ ψάλλεται. Ἀλλ᾽ ἡ Ἀκολουθία τῶν λαγχανόντων Ἁγίων ψάλλεται ἐν τοῖς Ἀποδείπνοις, ἢ ὅταν ὁ Ἐκκλησιάρχης βούλεται.

Τῇ Παρασκευῇ τῆς Τυρινῆς ἑσπέρας μνήμην ἐπιτελοῦμεν πάντων τῶν Ὁσίων, καὶ Θεοφόρων Πατέρων, τῶν ἐν ἀσκήσει λαμψάντων. Εἰς τὸ λυχνικὸν μετὰ τὸν προοιμιακὸν, τὴν συνήθως στιχολ. τὰ Πρὸς Κύριον. Εἰς τὸ, Κύριε ἐκέκραξα, ψάλλομεν στιχηρὰ προσόμοια, ἱστῶντες στίχ. ϛ΄. ἦχος, πλ. δ΄. Δεῦτε ἅπαντες πιστοί· δευτεροῦντες αὐτά.

Δεῦτε ἅπαντες πιστοὶ, τὰς τῶν ὁσίων Πατέρων χορείας ὑμνήσωμεν. Ἀντώνιον τὸν κορυφαῖον, τὸν φαεινὸν Εὐθύμιον, καὶ ἕκαστον, καὶ πάντας ὁμοῦ, καὶ τούτων, ὥσπερ παράδεισον ἄλλον τρυφῆς, τὰς πολιτείας νοητῶς διεξερχόμενοι, τερπνῶς ἀνακράξωμεν. Ταῦτα τὰ ξύλα, ἃ ἐφύτευσεν ὁ Θεὸς ἡμῶν, τὰ αὐτὰ τοὺς ἀφθάρτους καρποὺς τῆς ζωῆς ἐξανθήσαντα προσήγαγον τῷ Χριστῷ, ἐκθρέψοντα ἡμῶν τὰς ψυχάς, πρὸς οὓς βοήσωμεν, Θεοφόροι μακάριοι πρεσβεύσατε, τοῦ σωθῆναι ἡμᾶς.

Ὅμοιον.

Χαῖρε Αἴγυπτε πιστὴ, χαῖρε Λιβύη ὁσία, χαῖρε Θηβαῒς ἐκλεκτὴ, χαῖρε πᾶς τόπος, καὶ πόλις, καὶ χώρα, ἡ τοὺς πολίτας θρέψασα τῆς Βασιλείας τῶν Οὐρανῶν, καὶ τούτους ἐν ἐγκρατείᾳ, καὶ πόνοις αὐξήσασα, καὶ τῶν ἐπιθυμιῶν τελείους ἄνδρας τῷ Θεῷ ἀναδείξασα· οὗτοι φωστῆρες τῶν ψυχῶν ἡμῶν ἀνεφάνησαν, οἱ αὐτοὶ τῶν θαυμάτων τῇ αἴγλῃ, καὶ τῶν ἔργων τοῖς πέρασιν ἐξέλαμψαν νοητῶς εἰς τὰ πέρατα ἅπαντα· αὐτοῖς βοήσωμεν, Πατέρες παμμακάριστοι, πρεσβεύσατε, τοῦ σωθῆναι ἡμᾶς.



Digitized by Google

Ὅμοιον.

Τίς ἐξείποι γνησίως τοὺς θαυμαστοὺς ὑμῶν βίους, Πατέρες παγκόσμιοι; ποία δὲ γλῶσσα λαλήσει τοὺς ἱεροὺς ἐν Πνεύματι ἀγῶνας, καὶ ἱδρῶτας ὑμῶν, τὰ ἆθλα τῶν ἀρετῶν, τὴν τῆξιν τοῦ σώματος, τὰς παλαίστρας τῶν παθῶν ἐν ἀγρυπνίαις, καὶ εὐχαῖς, καὶ τοῖς δάκρυσιν; ὑμεῖς ἐν Κόσμῳ, ὥσπερ Ἄγγελοι ὄντως ὤφθητε, οἱ αὐτοὶ τὰς δαιμόνων δυνάμεις τελέως καθείλετε, τελέσαντες θαυμαστὰ, καὶ ἐξαίσια τέρατα· διὸ πρεσβεύσατε σὺν ὑμῖν, παμμακάριστοι, τυχεῖν ἡμᾶς τῆς ἀλλήκτου χαρᾶς.

Δόξα, ἦχος πλ. β'.

Τὸ κατ' εἰκόνα τηρήσαντες ἀλώβητον νοῦν ἡγεμόνα, κατὰ παθῶν ὀλεθρίων ἀσκητικῶς ἐνστησάμενοι, εἰς τὸ καθ' ὁμοίωσιν, ὡς δυνατὸν, ἀνεληλύθατε· ἀνδρικῶς γὰρ τὴν φύσιν ἐκβιασάμενοι, ἐσπεύσατε, τὸ χεῖρον καθυποτάξαι τῷ κρείττονι, καὶ τὴν σάρκα δουλῶσαι τῷ Πνεύματι· ὅθεν μοναζόντων ἀνεδείχθητε ἀκρότης, πολισταὶ τῆς ἐρήμου, εὐδρομούντων ἀλεῖπται, κανόνες ἀρετῆς ἀκριβέστατοι. Καὶ νῦν ἐν Οὐρανοῖς τῶν ἐσόπτρων λυθέντων, πανόσιοι, καθαρῶς ἐποπτεύετε τὴν ἁγίαν Τριάδα, ἐντυγχάνοντες ἀμέσως ὑπὲρ τῶν πίστει, καὶ πόθῳ τιμώντων ὑμᾶς.

Καὶ νῦν, θεοτ. τὸ α'. τοῦ ἤχου τῆς Ὀκτωήχου, τοῦ ἐνορδίνου. Φῶς ἱλαρόν.

Προκείμενον, ἦχος βαρύς,

Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός.

Καὶ ἡ Προφητεία.

Προφητείας Ζαχαρίου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος παντοκράτωρ. Νηστεία ἡ τετάρτη, καὶ νηστεία ἡ πέμπτη, καὶ νηστεία ἡ ἑβδόμη ἔσονται τῷ οἴκῳ Ἰούδα, καὶ τῷ οἴκῳ Ἰσραὴλ εἰς χαρὰν, καὶ εὐφροσύνην, καὶ εἰς ἑορτὰς ἀγαθὰς, καὶ εὐφρανθήσεσθε, καὶ τὴν ἀλήθειαν, καὶ τὴν εἰρήνην ἀγαπήσατε· τάδε λέγει Κύριος παντοκράτωρ· ἔτι ἥξουσι λαοὶ πολλοὶ, καὶ κατοικοῦντες πόλεις πολλὰς, καὶ συνελεύσονται κατοικοῦντες μίαν εἰς μίαν πόλιν, λέγοντες, πορευθῶμεν πορευόμενοι, δεηθῆναι τοῦ προσώπου Κυρίου, καὶ ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλήμ· καὶ ἥξουσι λαοὶ πολλοὶ, καὶ ἔθνη πολλὰ, ἐκζητῆσαι τὸ πρόσωπον Κυρίου παντοκράτορος ἐν Ἱερουσαλήμ, καὶ ἐξιλάσασθαι τὸ πρόσωπον Κυρίου παντοκράτορος. Τάδε λέγει Κύριος παντοκράτωρ, ἐν ταῖς ἡμέραις ἐκείναις, ἐπιλήψονται δέκα ἄνδρες ἐκ πασῶν τῶν γλωσσῶν τῶν ἐθνῶν, καὶ ἐπιλήψονται τοῦ κρασπέδου ἀνδρὸς Ἰουδαίου, λέγοντες· πορευσώμεθα μετὰ σοῦ, διότι ἀκηκόαμεν, ὅτι ὁ Θεὸς μετὰ σοῦ ἐστί.

Προκείμενον· ἦχος πλ. β.

Καὶ ψάλλομεν μετὰ μέλους

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου. Οὐδὲ ἐμέ.

Τὸ Καταξίωσον Κύριε, εἰς τὸν στίχ. ἰδιόμελ. ἦχος β'.

Καθαρίσωμεν ἑαυτοὺς, ἀδελφοὶ, ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς, καὶ πνεύματος· τὰς λαμπάδας τῶν ψυχῶν ἡμῶν φαιδρύνωμεν διὰ φιλοπτωχείας· μὴ κατεσθίοντες ἀλλήλους τῇ συκοφαντίᾳ· ἔφθασε γὰρ ὁ καιρὸς, ὅταν ὁ Νυμφίος ἐλεύσεται, πᾶσιν ἀποδοῦναι κατὰ τὰ ἔργα αὐτοῦ· συνεισέλθωμεν Χριστῷ μετὰ τῶν φρονίμων παρθένων· τὴν φωνὴν ἐκείνην τοῦ Λῃστοῦ πρὸς αὐτὸν ἀνακράζοντες. Μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

Δευτεροῦμεν αὐτὸ, καὶ λέγομεν στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ Οὐρανῷ. Εἶτα στίχ. Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς· ὅτι ἐπὶ πολὺ. Καὶ ψάλλομεν καὶ τὸ Μαρτυρικόν.

Τῶν ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται· καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

Δόξα, ἦχος πλ. δ'.

Τῶν μοναστῶν τὰ πλήθη, τοὺς καθηγητὰς νῦν τιμῶμεν, Πατέρες ὅσιοι, δι' ὑμῶν γὰρ τὴν τρίβον τὴν ὄντως εὐθεῖαν πορεύεσθαι, ἔγνωμεν· μακάριοι ἐστὲ, τῷ Χριστῷ δουλεύσαντες, καὶ ἐχθροῦ θριαμβεύσαντες τὴν δύναμιν· Ἀγγέλων συνόμιλοι, Δικαίων ὁμόσκηνοι, καὶ Ἁγίων· μεθ' ὧν πρεσβεύσατε τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν θεοτ. Ὢ τοῦ παραδόξου θαύματος.

Χαῖρε ἁγνείας κειμήλιον, χαῖρε αὔλου φωτὸς καθαρὸν ἐνδιαίτημα· χαῖρε τὸ κεφάλαιον τῆς ἡμῶν σωτηρίας τε· τῶν Ἀποστόλων χαῖρε τὸ κήρυγμα· καὶ τῶν Μαρτύρων χαῖρε τὸ καύχημα· χαῖρε τὸ πλήρωμα Προφητῶν, πανάμωμε, καὶ Ἀσκητῶν Μοναστῶν ἀγλάϊσμα, καὶ σωτηρία πιστῶν.

Νῦν ἀπολύεις· καὶ μετὰ τὸ Τρισάγιον λέγομεν τροπάριον, ἦχος δ'.

Ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, ὁ ποιῶν ἀεὶ μεθ' ἡμῶν κατὰ τὴν σὴν ἐπιείκειαν, μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, ἀλλὰ ταῖς αὐτῶν ἱκεσίαις ἐν εἰρήνῃ κυβέρνησον τὴν ζωὴν ἡμῶν.

Δόξα τὸ αὐτὸ, καὶ νῦν θεοτ.

Μήτηρ ἁγία ἡ τοῦ ἀφράστου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις εὐσεβῶς μεγαλύνομεν.

Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος. Ἐν δὲ τοῖς Ἀποδείπνοις ψάλλομεν τὸν ἐνορδίνου Νεκρώσιμον Κανόνα τοῦ ἤχου, ἐν τῷ Κοιμητηρίῳ. Εἰς τὸν Ὄρθρον.

Digitized by Google

θρόν, Μετὰ τὸν Ἐξάψαλμον, καὶ τὴν πρώτην στιχολογ. κάθισ. ἦχος πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς.

ΤΑῖς τῶν Πατέρων ἀστραπαῖς καταυγασθέντες, ὡς εἰς Παράδεισον τερπνὸν νῦν εἰσιόντες, τῆς τρυφῆς τοῦ χειμάρρου καταπολαύσωμεν, καὶ τούτων τὰς ἀριστείας θαμβητικῶς σκοποῦντες ἁμιλληθῶμεν ταῖς ἀρεταῖς, τῷ Σωτῆρι κραυγάζοντες· εὐχαῖς αὐτῶν ὁ Θεὸς μετόχους ἡμᾶς ποίησον Οὐρανῶν Βασιλείας σου.

Δόξα. Ὅμοιον.

ΤΟν ἀρχηγὸν τῶν Μοναστῶν Παῦλον συμφώνως σὺν Ἀντωνίῳ τῷ σοφῷ, καὶ Εὐθυμίῳ ἀνυμνήσωμεν πάντες, σὺν τοῖς λοιποῖς Πατράσι, καὶ τούτους καθικετεύσωμεν, ὅπως Χριστὸν ἀπαύστως ἐκδυσωπῶσιν ὑπὲρ ἡμῶν, τῶν τὴν θείαν, καὶ πάμφωτον ἐπιτελούντων μνήμην αὐτῶν· ἐν ᾄσμασι δοξάζοντες τὸν Σωτῆρα, καὶ Κύριον.

Θεοτοκίον. Ὅμοιον.

ΕΥχαριστοῦμέν σοι ἀεὶ Θεοτόκε, καὶ μεγαλύνομεν ἁγνὴ, καὶ προσκυνοῦμεν, ἀνυμνοῦντες τὸν τόκον σου Κεχαριτωμένη· βοῶντες ἀκαταπαύστως, σῶσον ἡμᾶς, Παρθένε παντελεήμον ὡς ἀγαθή· καὶ Δαιμόνων ἐξάρπασον, λογοθεσίου φοβεροῦ ἐν ὥρᾳ τῆς ἐτάσεως μὴ αἰσχυνθῶμεν οἱ δοῦλοί σου.

Μετὰ τὴν δευτέραν στιχολογ. κάθ. ἦχος δ΄.

Αὐλῶν ποιμενικῶν.

ἈΝτώνιον ὁμοῦ, καὶ Εὐθύμιον πάντες σὺν πᾶσι τοῖς λοιποῖς θεοφόροις Πατράσιν εὐφημήσωμεν ὕμνοις, αὐτῶν τὴν μνήμην πανηγυρίζοντες, οὗτοι γὰρ τῷ Κυρίῳ ὑπὲρ τοῦ Κόσμου παντὸς πρεσβεύουσιν· ἵνα ῥυσθῶμεν τῆς ἀρχαίας ἀρᾶς, λυτρωθέντες κολάσεως.

Δόξα τὸ τέλος, καὶ νῦν θεοτ. Ὅμοιον.

ἈΓγέλων, Προφητῶν, Ἀποστόλων, Μαρτύρων, κλεινῶν Ἱεραρχῶν, καὶ Ὁσίων ἁπάντων, Σωτὴρ, παρακλήσεσι, τὰ σὰ ἐλέη πᾶσι κατάπεμψον, καὶ εἰρήνην τῷ Κόσμῳ, ταῖς Ἐκκλησίαις γαλήνην δώρησαι, ὁ ἑκουσίως σάρκα δι' ἡμᾶς φορέσας ἐκ Παρθένου.

Ἕτερον κάθ., ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

ὩΣ εἰς λειμῶνα ἀρετῶν ἀνθηφοροῦντα τῶν θεοφόρων Ἀσκητῶν περιπατοῦντες, τῆς ὀσμῆς πληρούμεθα τῆς ἡδυπνόου· τοῖς ἄθλοις γὰρ στομωθέντες τῶν πειρασμῶν, τὸ σῶμα τῇ ἐγκρατείᾳ δουλοπρεπῶς καθυπέταξαν πνεύματι, ἀγγελικὴν ἐπὶ γῆς πολιτείαν βιώσαντες· δόξης οὖν ἠξιώθησαν.

Δόξα τὸ ἀκροτελεύταιον.

Καὶ νῦν θεοτ.

ΤΩν Ἀσωμάτων σου, Χριστὲ, καὶ τοῦ Προδρόμου, τῶν Μαθητῶν, τῶν Προφητῶν, καὶ τῶν Μαρτύρων· τῶν Ἁγίων ἁπάντων τε, καὶ τῶν Ὁσίων πρεσβείαις, τῆς ἀπειράνδρου, καὶ ἀγαθῆς Μητρός σου ἐκδυσωπούμενος, δὸς ἡμῖν, τῷ φωτί σου πορεύεσθαι· καὶ καταξίωσον ἡμᾶς τυχεῖν τῆς Βασιλείας σου διὰ σπλάγχνα ἐλέους σου.

Εἶτα, Ἀναγινώσκομεν εἰς τὸν ἅγιον Ἐφραὶμ τοὺς λόγους, τοὺς εἰς τοὺς Πατέρας τελειωθέντας, εἰς δόσεις γ΄. ὁ Ν΄. Ὁ Κανὼν τοῦ Ἁγίου τῆς Μονῆς εἰς ς΄. καὶ τῶν ἁγίων Πατέρων εἰς η΄. στιχολογοῦμεν δὲ καὶ τὸ, τῷ Κυρίῳ ᾄσωμεν.

Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Ἆσμα ἀναπέμψωμεν.

ΠΑντες ἐν ᾠδαῖς πνευματικαῖς τοὺς ἐν ἀσκήσει λάμψαντας θείους Πατέρας ἡμῶν ὑμνήσωμεν συμφώνως, οὓς ἤνεγκεν Αἴγυπτος, Θηβαΐς, καὶ Λιβύη, ἅπας τόπος, καὶ πόλις, καὶ χώρα.

ΧΑῖρε οἱ Μοναστῶν ὁ ἀρχηγὸς Ἀντώνιε πανένδοξε, Ἀμμοῦν ὁ θεοφόρος τὸ τῆς Νιτρείας κλέος, Ἀρσένιε ἄγγελε κράτος τῆς ἡσυχίας, καὶ Ἀμμωνᾶς ὁ πνευματοφόρος.

ΤΕρπου σκεῦος ὄντως τοῦ Θεοῦ Ἀγάθων ἱερόψυχε, Ἀχιλλᾶ, καὶ Ἀμὼν τὰ ἄνθη τῆς ἐρήμου, Ἀνοὺβ, καὶ Ἀλώνιε, Ἀμοναθὰ, καὶ Ἀνθιμε, τῶν ἀρετῶν φαιδροὶ μαργαρῖται.

ΛΥχνοι διακρίσεως ἡμῖν ὑμνείσθω Ἄρης σήμερον, καὶ Ἀπολλὼς ὁ μέγας· ὑπακοῆς δὲ φῶτα Ἀθρὲ, καὶ Ἀκάκιος· τούτοις καὶ Ἀββακύρης συνεκλάμπει, ὡς τὶς ἑωσφόρος.

ὌΡος πολιτείας ὑψηλῆς ἀνέφανεν Αὐξέντιος· ἀθλητὴς δὲ ἁγνείας Ἀβράμιος ὁ μέγας· μεθ' ὧν Ἀφροδίσιος στύλος τῆς ἐγκρατείας ἀνεδείχθη σὺν Ἀθηνοδώρῳ.

ΛΑμπει, ὡς ἀστὴρ ἐν Οὐρανῷ, ἐν ἀσκηταῖς Ἀμμώνιος, καὶ ὁ θεῖος Ἀνίνας· αὐγάζει δὲ σὺν τούτοις καὶ ὁ μέγας Ἀντίοχος, Ἀγαπητὸς ὁ πάνυ, εἴτις ἄλλος σὺν τούτοις αὐγάζει.

ὝΜνοις εὐφημοῦμεν ἱεροῖς τὸν μέγαν Ἀθανάσιον, τὸν ἐν τῷ ὄρει λαμπρῶς ἀσκήσαντα τοῦ Ἄθω, φωστῆρα τὸν μέγιστον πάσης τῆς Οἰκουμένης· οὗ πρεσβείαις σωζώμεθα πάντες.

ΒΊοις θεοπνεύστοις ἀληθῶς Παράδεισος ἐδείχθητε τῆς Ἐκκλησίας, σοφοὶ μακάριοι Πατέρες, οἱ πάντες κατ' ὄνομα ὑπὲρ ἡμῶν πρεσβείαν τῷ Κυρίῳ ποιεῖτε ἀπαύστως.

ΔΕῦτε, φιλομάρτυρες πιστοὶ, τιμήσωμεν τοὺς Μάρτυρας ἐν ἐτησίοις ᾠδαῖς, καὶ ᾄσμασιν ἐν πίστει. Χριστῷ τῷ Θεῷ ἡμῶν ᾄδοντες, καὶ βοῶντες· ᾄσωμέν σοι τῷ μόνῳ Δεσπότῃ.

Δόξα.

ΤΡία μιᾶς φύσεως ὑμνῶ πρόσωπα αὐθυπόστατα· ἀγέννητον Πατέρα, Υἱὸν τὸν γεννηθέντα, καὶ Πνεῦμα τὸ ἅγιον· ἄναρχον Βασιλείαν, Ἐξουσίαν, Θεότητα μίαν.



Digitized by Google

Θεοτοκίον.

Χαίροις ὁ πανάγιος ναός, ὁ πόκος ὁ θεόδροσος· ἐσφραγισμένη πηγὴ τοῦ ἀθανάτου ῥεύθρου· τὴν πόλιν σου Δέσποινα φύλαττε ἐκ παντοίων πολεμίων ἀπολιορκήτους.

Ὁ Εἱρμός.

Ἆισμα ἀναπέμψωμεν, λαοί, τῷ θαυμαστῷ Θεῷ ἡμῶν, τῷ ἀπαλλάξαντι τὸν Ἰσραὴλ δουλείας,
„ ᾠδὴν ἐπινίκιον ᾄδοντα, καὶ βοῶντα· ᾄσομέν σοι
„ τῷ μόνῳ Δεσπότῃ.

Ἐνταῦθα στιχολογεῖται ἡ δευτέρα ᾨδὴ τοῦ Ψαλτηρίου.

ᾨδὴ β΄. ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρός, καὶ ἐκ τῆς
„ Παρθένου ἐπ᾿ ἐσχάτων, πλὴν ἀνδρὸς κυηθείς,
„ καὶ λύσας τὴν ἁμαρτίαν τοῦ προπάτορος Ἀδὰμ
„ ὡς φιλάνθρωπος.

Ὀσμῆς νῦν πληρούμεθα, ὡς εἰς Παράδεισον ἄλλον θέοντες τῶν θεοφυτεύτων ἀρετῶν τῶν Ἀσκητῶν· ἃς ἐν ἐγκρατείᾳ, καὶ δάκρυσιν ἤνθησαν, ποικίλως καρποφοροῦντες πολιτείας τοῦ Θεοῦ, οἱ ὁσιώτατοι.

Μέγας Βησσαρίων πλουτῶν τὸν βίον ζῶν, ἄλλος ἄγγελος· νέος Ἰὼβ πάλιν ὁ στερρὸς Βενιαμίν, ἀλλὰ καὶ Βιτάλλιος λαμπτὴρ πόρνας σώζων Θεοῦ. Βυτίμιος δὲ ὁ θεῖος, καὶ ὁ κλεινὸς Βαβύλας σὺν τούτοις ὑμνείσθων.

Ὕψει πολιτείας Οὐρανὸς γέγονας ὦ Βενέδικτε· οἶκος δὲ σοφίας ὁ ποιμὴν Βασιανός, ἀλλὰ καὶ Βασίλειός τις ἦρε στέφανον ὑπακοῆς· τῷ τάφῳ γὰρ ζῶν οἰκήσας, διαδείκνυσιν ἡμῖν ὑπακοῆς τὸ λαμπρόν.

Ὕμνος Γελασίῳ, οὗτος ἀοίδιμος βασιλεὺς παθῶν· αἶνος Γερασίμῳ, ᾧ δεδούλευκεν ὁ θήρ. εἶκε γὰρ αὐτοῦ δι᾿ ἀρετῆς τελειότητα· δόξα καὶ Γερμανοῦ τῷ πατρί, σὺν Γαΐῳ τῷ σοφῷ θεραπευτῇ τοῦ Χριστοῦ.

Δαβὶδ Θεσσαλονίκης γέρας, καὶ καύχημα· ὁ θεόληπτος Δανιὴλ αἰνείσθω ἐν θαύμασι πολύς· ἔργῳ δέ, καὶ λόγῳ Δανιὴλ ὁ τῆς Σκήτεως. Δῖος τε, καὶ Δαλμάτος ἀρχηγοὶ τῶν μοναστῶν, ἔρεισμα πίστεως.

Ἀστέρων διαυγείας ὑποταγὴ πολλῷ κρείττους ἔδειξεν, ὡς δύο φωστῆρας καταλάμποντας ἡμᾶς, Δομετιανόν τε, καὶ Δομέτιον τοὺς θεόφρονας, σὺν τούτοις καὶ οἱ ἀνώνυμοι ἐνδόξως ἀνυμνείσθωσαν.

Ὄλβος ἀκένωτος πιστῶν, τὴν λάρνακα περικατέλαβε τῶν ὑπὲρ Κυρίου ἀθλησάντων εὐσεβῶς· δεῦτε οἱ πιστοὶ μαρτυρικῶς τούτοις ᾄσωμεν· καρπούμενοι τὰς ἰάσεις τῶν ψυχῶν, καὶ σωμάτων διὰ πίστεως.

Δόξα.

Ὑπερτελεστάτη Μονάς, ὑπέρθεε, τρισυπόστατε, ἀγέννητε Πάτερ, καὶ Υἱὲ μονογενές, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθέν, δι᾿ Υἱοῦ δὲ φανέν, Οὐσία μία, καὶ Φύσις, Κυριότης, Βασιλεία, σῶσον πάντας ἡμᾶς.

Θεοτοκίον.

Μόνη εἰσήγαγες τῇ ἀνθρωπότητι ξένην γέννησιν· μόνη οὐχ᾿ ὑπέστης τὴν ἐκ φύσεως φθοράν, ἄσπορον ἀφθόρως τοκετὸν ὑπομείνασα· διό σε ὡς Θεοτόκον, κατὰ χρέος οἱ πιστοί, ἁγνή, δοξάζομεν.

Καταβασία. Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι,

ᾨδὴ γ΄. Οὐκ ἔστιν ἅγιος, ὡς Κύριος.

Εἰς ἄλλον Παράδεισον εἰσιόντες ἀρετῶν τῶν θεσπεσίων Πατέρων, τῆς τούτου γευσώμεθα ἀειζωοπαρόχου ἐμψύχου συμφύσεως· πιστῶς ἀνευφημοῦντες αὐτούς.

Τιμάσθω Εὐθύμιος ὁ φανώτατος ἀστήρ, ὁ ἑωσφόρος Ἑλλάδιος, Ἐφραὶμ ὁ Θεόπνευστος, σὺν Εὐλογίῳ τῷ πάνυ, οἱ ἔργοις, καὶ θαύμασιν ἀστράψαντες τοῖς πέρασιν.

Ὑμνείσθω ἐν ᾄσμασι Ζωσιμᾶς ὁ θαυμαστός, καὶ Ζαχαρίας ὁ πάντιμος, καὶ Ζήνων, καὶ Ζώϊλος, Ἡσαΐας ὁ μέγας, Ἡλίας ὁ ἔνδοξος σὺν τούτοις γεραιρέσθωσαν.

Τῆς Φέρμης Θεόδωρον τὸν πανάγαστον ὑμνῶ, καὶ τοῦ Ἐννάτου τὸν πάνυμνον· μεθ᾿ ὧν καὶ Θεόδουλον σὺν Θεωνᾷ ἀναμέλπω· τιμῶ τὸν θεσπέσιον, καὶ μέγαν Θεοδόσιον.

Αἰνείσθω Θεόκτιστος ὁ πανάριστος ποιμήν, καὶ ὁ ὑψίνους Θαλάσσιος, ὁ μέγας Θεόδωρος ὁ κληθεὶς Σικεώτης, σημείοις, καὶ τέρασι φανεὶς ἐπὶ τῆς γῆς ὑψηλός.

Ἀστέρες ἀνίσχουσιν ἄλλοι πάλιν παμφαεῖς, ὁ Κολωβὸς Ἰωάννης σὺν τοῖς ἐν τῇ Κλίμακι ξισὶ φαεσφόροις, σὺν πλείοσιν ἄλλοις τε ἐνδόξως καταλάμποντες.

Τιμήσωμεν ᾄσμασι, καὶ ᾠδαῖς πνευματικαῖς οἱ συνελθόντες φιλέορτοι Μαρτύρων τὴν πάνσεπτον, καὶ ἐτήσιον μνήμην· ἀεὶ γὰρ πρεσβεύουσι Χριστῷ ὑπὲρ τοῦ γένους ἡμῶν. Δόξα.

Τριὰς ὁμοούσιε, καὶ ὑπέρθεε Μονάς, ἡ διαιρέσει τὴν ἕνωσιν, καὶ ἔμπαλιν ἔχουσα τοῖς προσώποις τὴν φύσιν, εἰς ἓν ἡμᾶς συνάψον θέλημα τῶν σῶν ἐντολῶν.

Θεοτοκίον.

Σκηνήν σε θεότευκτον προδιέγραψε Μωσῆς τοῖς Σεραφὶμ συγκαλύπτουσαν Ἅγιον τὰ Ἅγια, προτυπῶν σου, Παρθένε, τὸν τόκον τὸν ἄχραντον Χριστόν, σαρκὶ ξαφήσεσθαι.

Ὁ Εἱρμός.

Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν· ὃν ὑμνεῖ πᾶσα Κτίσις· οὐκ ἔστιν ἅγιος, πλήν σου Κύριε.

Κάθ.

Καθ. ἦχος δ'. Ταχὺ προκατάλαβε.

Ἀκτῖνας, ὡς Ἥλιος Δικαιοσύνης, ὑμᾶς Χριστὸς ἐξαπέστειλε, φωταγωγήσας τὴν γῆν. Διδάσκαλοι ἅγιοι, ὅθεν τὴν ἐν κακίᾳ σκοτισθεῖσαν ψυχήν μου θείαις ὑμῶν πρεσβείαις καταυγάσατε θείῳ φωτὶ θεογνωσίας, θεομακάριστοι.

Ἕτερον καθ. ἦχος πλ. δ'. Τὴν σοφίαν.

Ἀντωνίου τὸ πρᾶον, καὶ καθαρὸν. Εὐθυμίου τὸ μέγα, καὶ θαυμαστὸν· Παύλου, Ἀρσενίου τὸ ἀμιγὲς, καὶ ἡσύχιον. Θεοκτίστου τὸ κλέος, καὶ τῶν λοιπῶν Ὁσίων ἁπάντων τὰ τάγματα οἱ πιστοὶ δοξάσωμεν, καὶ συνευφημήσωμεν ἐν ᾠδαῖς· σὺν τούτοις Εὐπραξίαν τὴν παρθένον σὺν πάσαις ὑμνήσωμεν γυναικῶν ταῖς θεόφροσι, καὶ συμφώνως βοήσωμεν· πρεσβεύσατε τῷ Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Ὅμοιον.

Τοὺς δεσμοὺς διαρρήξαντες τῶν παθῶν ἐκολλήθητε πόθῳ τῶν ἀγαθῶν· δόξαν ὑπερκόσμιον ἐν Χριστῷ ἐνεδύσασθε, ἐξ οἰκείων κόπων εὑρόντες ἀνάπαυσιν· ἐγκρατείας πόνοις τυχόντες τῆς ἄνω ζωῆς· ὅθεν ἐπαξίως συνευφραίνεσθε ἅμα ταῖς ἄνω δυνάμεσι, γηθοσύνως ἐν ᾄσμασι τῷ Θεῷ παριστάμενοι· θεόφρονες Πατέρες ἡμῶν, τῶν πταισμάτων ἄφεσιν αἰτήσασθε τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Καὶ νῦν, Θεοτ. Ὅμοιον.

Εἰς ἰλὺν ἐνεπάγην ἁμαρτιῶν· καὶ οὐκ ἔστιν ὑπόστασις ἐν ἐμοί· δεινὰς κατεπόντισε ζάλαις τῶν πταισμάτων μου· ἀλλ' ὡς τεκοῦσα Λόγον, τὸν μόνον φιλάνθρωπον, ἐπ' ἐμὲ τὸν δοῦλόν σου ἐπίβλεψον, δέομαι· ῥῦσαι ἁμαρτίας, καὶ παθῶν ψυχοφθόρων, καὶ πάσης κακώσεως τοῦ ἀλάστορος, Δέσποινα, ἵνα ψάλλω γηθόμενος· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα ὁ δοῦλός σου.

Ὠδὴ δ'. Ἐξ ὄρους κατασκίου Λόγε.

Λαμπτὴρ κοσμοφανὴς ὁ θεῖος Ἱλαρίων· ὄρος γνωστικὸν ὁ μέγας Ἰουστῖνος· μεθ' ὧν Ἱέραξ τιμάσθω, καὶ Ἰβησίων, οἱ Ἀριστόκλειοι σὺν τῷ Ἰωσήφ.

Καὶ Ἱερεμίας ἤστραψε τῷ βίῳ· ὤφθη δὲ καὶ θεῖος μέγα Ἰσχυρίων, μεθ' ὧν πυρσεύει Καρίων, Κόπρης, καὶ Κάστωρ, Κασσιανὸς δὲ δὴ ἀμφοῖν παγκαλλής.

Ἄγαμαι Καλλίστου τὰς χρυσολογίας· αἰνῶ τὰς Λαυρεντίου ἀγαθοεργίας· τὴν εὐπραξίαν Λογγίνου διαφημίζω· καταγεραίρω τὰς τοῦ Λὼτ ἀρετάς.

Λεόντιον ὑμνῶ, βυθὸν θεολογίας. Μάξιμον δὲ μέλπω, πέλαγος δογμάτων. Μαρκιανοῦ ἐγκαλλώπισμά τε, καὶ Μάρκον τὸν εὐπειθῆ, καὶ τὸν θεάκουστον.

Γέρας ἀρετῶν Μακάριος ὁ Μέγας, ὁ Πολιτικὸς δὲ χρῆμα εὐσεβείας ἀνακηρύττεται τούτοις Μάρκος ὁ πάνυ· σὺν Δαλματίῳ, ὁ αἰθίοψ Μωσῆς.

Μαρτινιανοῦ, καὶ Μάλχου μεγαλύνω τοὺς ὑπὲρ ἁγνείας δρόμους τε, καὶ ἄθλους· τὸ εὐπραγὲς δὲ Μαρκέλλου τοῦ ποιμενάρχου· τιμῶ καὶ Μίλλην τὸν νεκρέγερτον.

Μάρτυρες Χριστοῦ ἀπαύστοις ἱκεσίαις τῷ δημιουργῷ προσάγετε, καὶ Κτίστῃ ὑπὲρ εἰρήνης τοῦ Κόσμου, καὶ τῶν τιμώντων ὑμῶν τὴν μνήμην ἐν τοῖς ᾄσμασι.

Δόξα.

Ξένον ὅτι ἓν, καὶ τρία ἡ Θεότης· ὅλη ἐν τρισὶ προσώποις ἀμερίστως, Πατὴρ, Υἱὸς γὰρ, καὶ Πνεῦμα ἅγιόν ἐστι, τὰ προσκυνούμενα ἐν φύσει μιᾷ.

Θεοτοκίον.

Χαῖρε τοῦ Θεοῦ εὐρύχωρον χωρίον· χαῖρε κιβωτὲ τῆς νέας Διαθήκης· χαῖρε ἡ στάμνος, τὸ μάννα ἐξ ἧς ἐδόθη πᾶσι βροτοῖς τὸ ἐπουράνιον.

Ὁ Εἱρμός.

Ἐξ ὄρους κατασκίου, Λόγε, ὁ Προφήτης τῆς μόνης Θεοτόκου μέλλοντος σαρκοῦσθαι, θεοπτικῶς κατενόησε, καὶ ἐν τρόμῳ ἐδοξολόγει σου τὴν δύναμιν.

Ὠδὴ ε'. Τῆς των παθων με αχλυος.

Τοῦ ἐν Ἐδὲμ Παραδείσου δεῦτε ἴδωμεν ἄνθη ἀείζωα, τὰ θεοβλαστούργητα Πατέρων σπουδάσματα, ὧν ὑπάρχει μόνος γεωργὸς ὁ Κύριος.

Νείλου τοῖς ῥείθροις τῶν λόγων καταρδεύεται πᾶσα νοερὰ ψυχὴ, Ναυκρατίου, Νίκωνος τοῖς βίοις λαμπρύνεται, σὺν Ναθαναὴλ δὲ, καὶ Νιθέρων τέρπει αὐτήν.

Ξενοφῶν σὺν υἱέσιν ἀρεταῖς ἀπαστράπτων, φωτίζει ἡμᾶς, μέγας δὲ Ὀρσίσιος, ὑπὲρ δὲ Οὐνούφριος· τὸν Ποιμένα δὲ τίς ἀξιολογήσει βροτῶν;

Παμβὼ καὶ πράξει, καὶ λόγῳ μακαριζέσθω ἀξίως, ὡς ὑψηλός· ἔργων δὲ τοὺς δαίμονας, Πιτύλιος ὁ ἔνδοξος, δοξαζέσθω ἴσα ὁ λαμπρὸς Πινούφριος.

Ἀξιοχρέως τιμάσθω ὁ περίδοξος ὄντως Παφνούτιος, Πίωρ, Πατερμούθιος, Παῦλος ὁ ἁπλούστατος, Πιτυροῦν ὁ μέγας, καὶ πατέρων ἔξαρχος.

Λαμπρῶς ἐγκωμιαζέσθω ὁ φωσφόρος φωστὴρ ὁ Παχώμιος, Παλάμων ὁ συναθλος, ὁ θεῖος Πετρώνιος, Πασαρίων σὺν τούτοις θείαις ἐξυμνείσθω ᾠδαῖς.

Δόξα.

Ταῖς ὑποστάσεσι τρία, εἰ καὶ φύσει τὸ ἓν, Θεότης ἐστὶν· ᾗ βεβαπτίσμεθα, καὶ οἷσ-

περ

περ πιστευόμενον, ὁ Πατὴρ, ὁ Λόγος, καὶ τὸ Πνεῦμα τὸ συμφυές.

Θεοτοκίον.

Η῾ Διὰ λόγου τὸν Λόγον ὑπὲρ λόγον τεκοῦσα, παρακαλοῦμεν, αὐτὸν ἱκετεύουσα μὴ παύσῃ, δεόμεθα, ἐκ κινδύνων ἀεὶ ῥύσασθαι τὴν ποίμνην σου.

Ο῾ Εἱρμός.

ΤΗ῀ς τῶν παθῶν με ἀχλύος, ὡς ἐκ νυκτὸς βαθυτάτης λυτρούμενος, ὀρθρίζειν ἀξίωσον ,, τὸ πνεῦμα μου, δέομαι, ἐν φωτὶ ἡμέρας τῶν ,, σῶν προσταγμάτων, Χριστέ.

Ω᾿δὴ ϛ'. Συνεχόμενον δέξαι με φιλάνθρωπε.

ΘΑυμαστοὶ οἱ πανσέβαστοι Πατέρες ἡμῶν, ὧν οἱ θεῖοι ἆθλοι, ὧν τὰ παλαίσματα, ὧν αἱ ἰάσεις· τίς γὰρ, πλὴν τούτων, ἔδειξε περάτων ἰσχύν;

ΡΑββουλᾶς ὁ θαυμάσιος, καὶ Ῥοῦφος ὁμοῦ, καὶ Σισώης ἅμα ὁ ἰσάγγελος ἀνευφημείσθω· μεθ' ὧν ὁ θεῖος Ε᾿ρεδος, καὶ Σιλουανός.

ΟΥ᾿ρανὸς τετραφώσφορος ἐφάνη ἐν γῇ ἡ δὶς δύο αὕτη Συμεώνιος ὁμωνυμία· οἱ ἐν τοῖς στύλοις τρεῖς εἰσί, καὶ εἷς ὁ Σαλός.

ΜΕ᾿σον ἄστρων ὡς Η῾᾿λιος, ὧν ἦν ἀρχηγὸς ὁ ἡγιασμένος Σάββας, ἤστραψε· μεθ' ὃν αὐγάζει καὶ Σεραπίων πράξεσι, σὺν τῷ Σιλβανῷ.

ΣΑρματᾶς, καὶ Τιμόθεος, Τιθόης ὁμοῦ, σὺν Υ῾περεχίῳ, καὶ Φαρμούθιος, Φωκᾶς, Χαρίτων, Χαιρήμων, Ψόης ὑμνείσθω, καὶ Ω῏ρ ὁ σοφός.

Η῾ Α῾γία, καὶ ἔνδοξος Πατέρων πληθὺς, ἡ μνημονευθεῖσα, καὶ ἀνώνυμος, ῥῦσαι κινδύνων τοὺς πόθῳ τὰ μνημόσυνα τελοῦντας ὑμῶν.

Δόξα.

ΣΕ` Τριὰς ὑπεράρχιε, καὶ θεία μονὰς, φῶς, καὶ φῶτα μέλπω, ζωὴν, καὶ ζωὰς, νοῦν, λόγον, Πνεῦμα ἅγιόν τε, καὶ ἅγια, τὸν ἕνα Θεόν.

Θεοτοκίον.

ΕΚ τῆς ῥίζης ἀνέτειλέ σου ἄνθος ζωῆς. Ι᾿εσσαὶ προπάτωρ ἀνασκίρτησον· ὁ σώζων Κόσμον ἐκ τῆς ἁγνῆς νεάνιδος, Χριστὸς ὁ Θεός.

Ο῾ Εἱρμός.

ΣΥνεχόμενον δέξαι με, φιλάνθρωπε, ἐκ πταισμάτων πολλῶν, καὶ προσπίπτοντα τοῖς ,, οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην, Κύριε, σῶ- ,, σόν με.

Κοντάκιον ἦχος πλ. δ'. Ω῾ς ἀπαρχὰς τῆς.

Ω῾Σ εὐσεβείας κήρυκας, καὶ ἀσεβείας φιμωτρα, τῶν θεοφόρων τὸν δῆμον ἐφαίδρυνας, τὴν ὑφήλιον λάμποντας, ἐν εἰρήνῃ τελείᾳ τῶν αὐτῶν ἱκεσίαις τοὺς σὲ δοξάζοντας, καὶ μεγαλύνοντας διαφύλαξον, ψάλλοντάς σοι, Κύριε, Α᾿λληλούϊα.

Ο῾ Οἶκος.

ΤΟῖς τοῦ βίου τερπνοῖς ἐνατένισα, λογισμοῖς θεωρῶν τὰ γινόμενα, καὶ μετρήσας αὐτῶν τὰ ἐπώδυνα, τὴν ζωὴν τῶν βροτῶν ἐταλάνισα· ὑμᾶς δὲ μόνους ἐμακάρισα, τοὺς μερίδα καλὴν ἐπιλεξαμένους, τὸ παθεῖν τῷ Χριστῷ, καὶ μένειν σὺν αὐτῷ, καὶ συμψάλλειν ἀεὶ τῷ προφήτῃ Δαβὶδ, Α᾿λληλούϊα.

Τὸ Συναξάριον· στίχ.

Ψυχαῖς Δικαίων, ὧν ἀεὶ μνήμη μένει.

Χοὰς μυρούσας προσκομίζω τοὺς λόγους.

ΤΗ῏ αὐτῇ ἡμέρᾳ μνείαν ἐπιτελοῦμεν πάντων τῶν ἐν ἀσκήσει λαμψάντων Α῾γίων, ἀνδρῶν τε, καὶ Γυναικῶν· ἠρέμα γὰρ διὰ τῶν προηγησαμένων ἡμᾶς Ε᾿ορτῶν οἱ θεοφόροι Πατέρες παιδαγωγήσαντες, καὶ ἑτοίμους παρασκευάσαντες εἰς τὸ στάδιον, καὶ τῆς τρυφῆς, καὶ τοῦ κόρου ἀπαγαγόντες, καὶ τῷ τῆς μελλούσης Κρίσεως φόβῳ ἡμᾶς στοιχειώσαντες, διά τε τῆς Τυροφάγου Ε῾βδομάδος, ὡς χρεὼν, προκαθάραντες, δεξιῶς καὶ τὰς δύο νηστείας ἐν μέσῳ ἔθεντο, ἵνα κατ' ὀλίγον ἡμᾶς πρὸς αὐτὴν ἐρεθίσωσιν, ἰδοὺ καὶ τοὺς ὁσίως πάντας βεβιωκότας, καὶ ἄλλως, διὰ πόνων πολλῶν, καὶ καμάτων ἄνδρας τε ὁμοῦ, καὶ γυναῖκας εἰς μέσον προτίθενται· ὡς ἂν διὰ τῆς αὐτῶν μνείας, καὶ τῶν παλαισμάτων εὐτονωτέρους ἡμᾶς ποιήσωσι πρὸς τὸ στάδιον, ἔχοντας τοὺς ἐκείνων βίους ὑπογραμμόν τινα, καὶ ὁδηγὸν, καὶ τὴν ἐξ αὐτῶν συμμαχίαν, καὶ ἀρωγὴν ἐπισπώμενοι, πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀποδυσώμεθα· ἀναλογιζόμενοι, ὅτι καὶ αὐτοὶ τῆς αὐτῆς ἡμῖν φύσεως ἐκοινώνησαν. Ω῞σπερ γὰρ οἱ στρατηγοὶ, τῶν στρατευμάτων παραταξαμένων, καὶ ἤδη κατὰ μέτωπον ἱσταμένων, λόγοις, καὶ παραδείγμασι, καὶ ἀρχαίων μνήμαις ἀνδρῶν ἀρίστως στρατηγησάντων, καὶ ἀνδρεισαμένων, τὸν ἴδιον στρατὸν ἐρεθίζουσι· κἀντεῦθεν ἐκεῖνοι νευρούμενοι τῇ τῆς νίκης ἐλπίδι ὁλοψύχως ἐπαποδύονται, οὕτω καὶ νῦν οἱ θεοφόροι Πατέρες σοφῶς διαπράττονται. Τὸ γὰρ ἄρρεν, καὶ θῆλυ διὰ τῶν ὁσίως βιωσάντων πρὸς τοὺς πνευματικοὺς ἀγῶνας νευρώσαντες, οὕτω πρὸς τὸ τῆς νηστείας προάγουσι στάδιον· ἵνα ὡς πρὸς ἀρχέτυπον οὐ φαῦλον, τὸν ἐκείνων ἡμεῖς ἀφορῶντες βίον, τὰς πολυειδεῖς, καὶ διαφόρους ἐργαζώμεθα ἀρετὰς, καθὼς ἑκάστῳ δύναμις πρόσεστι· προηγουμένως μὲν τὴν ἀγάπην, καὶ τὴν μετὰ νοὸς γινομένην ἀποχὴν τῶν ἀσέμνων ἔργων, καὶ πράξεων, καὶ τὴν νηστείαν αὐτὴν οὐ τῶν βρωμάτων δηλαδὴ μόνον, ἀλλὰ καὶ τῆς γλώσσης, καὶ τοῦ θυμοῦ, καὶ τῶν ὀφθαλμῶν, καὶ ἁπλῶς εἰπεῖν, τὴν παντὸς κακοῦ ἀργίαν, καὶ ἀλλοτρίωσιν. Διὰ ταύτην τὴν αἰτίαν οἱ ἅγιοι Πατέρες τὴν παροῦσαν τῶν Α῾γίων πάντων Μνήμην ἐνταῦθα κατέταξαν, τοὺς διὰ νηστείας, καὶ ἄλλων καλῶν ἔργων καὶ Χρηστῶν, Θεῷ εὐαρε-

ἀπεσχηκότας προσάγοντες· παρορῶντες ἡμᾶς διὰ τῆς τούτων εἰκόνος πρὸς τὸ τῶν ἀρετῶν στάδιον· καὶ γυναίκας κατὰ τῶν παθῶν, καὶ δαιμόνων ὁπλίζεσθαι, καὶ τινα τρόπον ὑποτιθέμενοι, ὡς εἰ καὶ ἡμεῖς τὴν ἴσην αὐτοῖς σπουδὴν προβαλλώμεθα, οὐδὲν ἐμποδών ἐστι πρᾶξαι, ὅσα καὶ αὐτοὶ διεπράξαντο· καὶ τῶν αὐτῶν ἀξιωθῆναι γερῶν· τῆς αὐτῆς γὰρ καὶ οὗτοι ἡμῖν ἐκοινώνησαν φύσεως· Περὶ μέν τοι τῆς Τυροφάγου φασί τινες, τὸν βασιλέα Ἡράκλειον ταύτην συντάξαι, κρεοφάγιον οὖσαν τὸ πρότερον· κατὰ Χοσρόου γὰρ, καὶ Περσῶν ἐπὶ ἓξ ἔτεσιν ἐκστρατεύσας, ηὔξατο τῷ Θεῷ, εἰ κατ' ἐκείνων ἰσχύσει, ταύτην μεταστρέψαι, καὶ μεταξὺ νηστείας, καὶ τρυφῆς καταστῆσαι, ὃ καὶ ἐποίησεν· Ἐγὼ δὲ οἶμαι, καὶ τούτου συμβάντος ἴσως, τοῖς Ἁγίοις ἐπινοηθῆναι καὶ ταύτην Πατράσι, διὰ προκάθαρσίν τινα· ὡς ἂν μὴ ἐκ κρεῶν, καὶ ἀδηφαγίας, αὐτίκα εἰς ἄκραν ἀσιτίαν ἀγόμενοι δυσχεραίνωμεν· καὶ ἄλλως, τὴν σωματικὴν ἕξιν βλαπτώμεθα, ἀλλ' ἠρέμα, καὶ κατὰ μικρὸν τῶν λιπαινόντων, καὶ ἡδυνόντων ἀφεστηκότες, καθάπερ ἵπποι δυσήνιοι διὰ τῆς ὑφειμένης βρώσεως, καὶ τὸν χαλινὸν τῆς νηστείας ὑποδεξώμεθα· ὡς γὰρ ἐπὶ τὴν ψυχὴν διὰ τῶν παραβολῶν ἐποίησαν, οὕτω δὴ καὶ ἐπὶ τὸ σῶμα ἐμηχανήσαντο, τὰ πρὸς τὴν νηστείαν ἐμποδὼν κατὰ βραχὺ περιτέμνοντες. Ταῖς τῶν Ὁσίων σου πάντων πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ'. Ὁ τοὺς παῖδας δροσίσας ἐν.

Δεῦτε προσοίσωμεν ὕμνους κατὰ χρέος γυναιξὶ, ταῖς ὁσίως βιωσάσαις, καὶ ἰσαγγέλως, ὧν ἱκεσίαις κράξωμεν· ὁ Θεὸς σῶσον πάντας ἡμᾶς.

Ἡ Χριστοφόρος Βρυαίνη σὺν τῇ θείᾳ Φεβρωνίᾳ τιμάσθω, καὶ Θωμαΐδι, καὶ Ἱερεία· καὶ Πλατωνὶς δὲ ᾀδέσθω· σὺν αὐταῖς καὶ Μελανθία πιστῶς.

Ταῖς ἀγγελόφροσιν αἶνος Εὐπραξίαις, σὺν δυσὶ Θεοδώραις. Ἀναστασίαις ταῖς πανολβίαις ὕμνος, καὶ δόξα ἄπαυστος, θαυμαστῶς λατρευσάσαις Θεῷ.

Ἡ Αἰγυπτία Μαρία φῶς ἐν Κόσμῳ· καὶ ἡ Μαρῖνος κληθεῖσα, ἄστρον ὤφθη τῇ Οἰκουμένῃ· ἡ Εὐφροσύνη Ἥλιος ἀρεταῖς ἀπαστράπτουσα.

Πυρσοφαὴς Θεοδούλη ἐν τῷ βίῳ, καὶ αὐγάζει ἐν ἀσκήσει Ἰουλίττα, καὶ συνεκλάμπει πράξεσιν Ἰσιδώρα ἡ πανόλβιος.

Ἡ Οὐρανόφρων Μαρίνη νῦν τιμάσθω σὺν τῇ μεγάλῃ Μακρίνῃ. Συγκλητικὴ δὲ, καὶ ἡ Σάρρα σὺν τῇ Ἰούσῃ ᾄσμασιν, ὡς σοφαὶ, ἀνυμνείσθωσαν.

Πελαγία ὁ ἄγγελος Κυρίου. Ταϊσία ὁ λύχνος τῆς μετανοίας συνᾳδέσθω, καὶ εἴ τις ἄλλη ἔλλαμψε γυναικῶν ἐν ἀσκήσει.

Δόξα.

Σὺν τῷ Υἱῷ τὸν Πατέρα προσκυνοῦμεν, καὶ τὸ ἅγιον Πνεῦμα ὁμοφρόνως δοξολογοῦντες πιστῶς βοῶμεν· δόξα σοι Τριὰς μονὰς ὁ Θεὸς ἡμῶν.

Θεοτόκε Παρθένε, ἡ τεκοῦσα τὸν τοῦ Κόσμου Σωτῆρα, καὶ Δεσπότην, εὐλογημένη· αὐτὸν δυσώπει πάντοτε, οἰκτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός.

Ὁ τοὺς παῖδας δροσίσας ἐν καμίνῳ, καὶ Παρθένον φυλάξας τὴν τεκοῦσαν σε μετὰ τόκον· „ εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τοὺς ποιμένας, καὶ σοφοὺς Διδασκάλους, Ἱεράρχας Χριστοῦ τῆς Ἐκκλησίας σὺν τοῖς Ὁσίοις πάντες ἀνυμνήσωμεν, Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Κατὰ χρέος Βασίλειος ὁ μέγας· καὶ σὺν τούτῳ ὁ πολύαθλος ὄντως ὑμνείσθω Ἀθανάσιος ἐν ᾄσμασι, μετὰ Γρηγορίου τοῦ θεολογίας ἐξάρχοντος ἁπάντων.

Ἰωάννην τὸ χρυσόρρημον στόμα, σὺν Κυρίλλοις τοῖς θεοσόφοις στύλοις δοξάσωμεν, ὡσαύτως καὶ Ἡσύχιον ἄλλον θεολόγον σὺν τῷ θεηγόρῳ, καὶ θείῳ Μελετίῳ.

Γρηγορίῳ δόξα τῷ Νυσσαέων σὺν τοῖς δύο θαυματουργοῖς Πατράσι· καὶ ὁ σοφὸς τὰ θεῖα Ἐπιφάνιος σὺν Ἀμφιλοχίῳ τῷ λαμπρῷ φωστῆρι ὑμνείσθω εἰς αἰῶνας.

Μητροφάνην τὸν Ἱερέων κλέος σὺν Νεκταρίῳ, Ἀττικῷ, Γενναδίῳ· μεθ' ὧν, καὶ Ἀνατόλιον ὑμνήσωμεν, τοὺς ζωολαμπτῆρας, ἅμα Εὐσεβίῳ, καὶ Πρόκλῳ τοῖς πανσόφοις.

Νικολάῳ τῷ ἱεροκήρυκι, Σωφρονίῳ τῷ ὄντως μελιγλώττῳ· σὺν Εὐλαλίῳ ᾆδε καὶ Διάδοχον, ἅμα Εὐσταθίῳ, Ἰουβεναλίῳ τοῖς πατροκορυφαίοις.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Ὡς μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς Τριάδα τοῖς προσώποις σε σέβω, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα τὸ πανάγιον· ἄναρχον τὸ κράτος τῆς σῆς Βασιλείας δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

Σὺ τὸ ὄρος τοῦ Θεοῦ ἀνεδείχθης Θεοτόκε, ἐν ᾧ Χριστὸς οἰκήσας, θείους ναοὺς εἰργάσατο τοὺς ψάλλοντας. Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Αἰνοῦμεν, εὐλογοῦμεν.

Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ τόκον τὸν τῆς Ἀειπαρθένου, τῷ Μωϋσῇ μυ-
„ στήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυ-
„ ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ

Digitized by Google

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα ἐν ὄρει.

Τίς τὴν παρρησίαν ἐρεύξεται Ἀμβροσίου; τοῦ Ἱεροθέου δὲ πρὸς τὴν σοφίαν ἐξείποι, καὶ Ἀλεξάνδρων τῶν θεοσόφων Πατέρων τὴν ὑπὲρ τῆς πίστεως στερρότητα.

Φαίδιμος ὁ θεῖος Σπυρίδων ὁ θεοφόρος, σὺν τῷ Ἀντιπάτρῳ, Παμβῷ, Παλλαδίῳ, καὶ Νόννῳ, Ἱερωνύμῳ, καὶ Γερμανῷ τῷ παντίμῳ, ὡς θεοφωστῆρες ἀνυμνείσθωσαν.

Ὁ Πολὺς τὰ θεῖα Διονύσιος τιμάσθω, ὡς τῶν οὐρανίων μύστης· ὁ πολύαθλος Κλήμης, Φλαβιανός τε, καὶ Παῦλος ὁ μέγας· τῆς ὁμολογίας οἱ προκήρυκες.

Μιχαὴλ συντάδην ὑμνείσθω σὺν Ταρασίῳ· Νικηφόρος αὖθις σὺν Θεοδώρῳ τῷ πάνυ, καὶ Θεοφάνης, ὁ Ἱερώνυμος ὄντως οἱ ὑπασπισταὶ τῶν χαρακτήρων Χριστοῦ.

Πέτρος, καὶ Ἰγνάτιος οἱ ὄντως θεοφόροι, ὡς Χριστοῦ ἀπόστολοι, καὶ ἱεράθλοι ὄντες, ἀνυμνείσθωσαν ἅμα σὺν Πολυκάρπῳ, καὶ Κυπριανῷ τῷ ἱερομάρτυρι.

Ὅσιοι Πατέρες, καὶ Ἱεράρχαι Κυρίου, σὺν Ἱερομάρτυσι, καὶ Γυναιξὶν ἁγίαις, ὀνομαστοί, καὶ ἀνώνυμοι πάντες εὔξασθε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα.

Ὁ Εἷς ἐν Τριάδι Θεός, δόξα σοι ἀπαύστως· εἷς γὰρ καὶ Θεὸς ἕκαστον, ἀλλ' εἷς τῇ φύσει τέλειος, ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ Πνεῦμα, τοῖς τρισσοφαέσιν ἰδιώμασι.

Θεοτοκίον.

Βάτον καιομένην πυρί, καὶ μὴ φλεγομένην προεώρα πάλαι Μωσῆς ἐν Σιναίῳ τῷ ὄρει, τὴν θεόδεκτόν σου γαστέρα, Παρθένε, ὑποδεχομένην τὸ ἀκήρατον πῦρ.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ ἐν πυρί, καὶ βάτῳ, τόκον τὸν τῆς Ἀειπαρ„θένου εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν ὕμνοις ἀσι„γήτοις μεγαλύνωμεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτ.

Οἱ Κόσμον ἀρνησάμενοι, καὶ τὸν σταυρὸν ἀράμενοι πλῆθος Ὁσίων Πατέρων, σὺν τοῖς χοροῖς τῶν Μαρτύρων, Ἱεραρχῶν ὁμήγυρις, καὶ Γυναικῶν τὸ σύνταγμα, ἡμᾶς καταφαιδρύνατε, τοῦ ἀνυμνῆσαι ἀξίως ὑμῶν τὴν πάμφωτον μνήμην.

Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Τοὺς ἐν ἀσκήσει λάμψαντας θεοφόρους Πατέρας, καὶ Ἱεράρχας, ἅμα τε Γυναικῶν τὰς ὁσίας, καὶ τῶν Ἱερομαρτύρων τὰς χορείας ἐν ὕμνοις φαιδρῶς ἀνευφημήσωμεν, ὅπως ἀγαθύμεν, καὶ ταῖς εὐχαῖς τούτων, καὶ πρεσβείαις τῆς Θεοτόκου τὸν δρόμον διανύσωμεν εὐμαρῶς τῆς νηστείας.

Εἰς τοὺς Αἴνους, ἱστῶμεν στίχους δ'. καὶ ψάλλομεν προσόμοια· ἦχος πλαγ. δ'.

Ὁ ἐν Ἐδὲμ Παράδεισος.

Τὴν τῶν Πατέρων, ἅπαντες, πληθὺν ὁσίως ἀσκήσασαν ἐν ᾠδαῖς ἐγκωμιάσωμεν πιστοί· τοὺς Ἱεράρχας δὲ Χριστοῦ εὐφημήσωμεν ᾄσμασι θεοφρόνως, ὁμόψυχοι, ἀδελφοί· ἐν ἐγκρατείᾳ γὰρ ἔζησαν, καὶ ἐν νηστείᾳ καθαρᾷ, καὶ τοῦ Χριστοῦ κατήγγειλαν τὸ Εὐαγγέλιον ἡμῖν· μεθ' ὧν ἀνυμνήσωμεν Γυναικῶν τὰς θεοφόρους, καὶ λαμπράς, τὴν αὐτῶν πολιτείαν θεοπρεπῶς ζηλοῦντες ἐν ψυχῇ· ἵνα εὕρωμεν ἐκεῖ πλημμελημάτων τὴν συγχώρησιν.

Τοὺς ἐν ἀσκήσει λάμψαντας φαιδρῶς, ὁσίως τε ζήσαντας εὐφημήσωμεν ἐνδόξως, ἀδελφοί· ὡς βιωτεύσαντας καλῶς, πρὸς ζωὴν τὴν αἰώνιον εὐσεβῶς μετοικισθέντας ἐν χαρᾷ, πρὸς λῆξιν τὴν ἀνώλεθρον, καὶ μακαρίαν τὴν ἐκεῖ, δι' ἀρετῆς, καὶ σεμνότητος εὐθυδρομήσαντας ἰδοὺ ἀξίως τιμήσωμεν, ὅπως τύχωμεν ἐλέους ἐκ Θεοῦ τῇ αὐτῶν παρακλήσει, καὶ αἰωνίου δόξης, καὶ χαρᾶς, καὶ ῥυσθῶμεν τῆς ἐκεῖ ἀπαραιτήτου κολάσεως.

Ἱεραρχῶν ἁπάντων ὁ χορός, Δικαίων ὁμήγυρις, Ἀσκητῶν τε, καὶ ὁσίων Γυναικῶν τῶν βιωσάντων εὐσεβῶς, δυσωπηθέντες χάριτι, ἱκετεύσατε τὸν μόνον ἀγαθόν, καὶ πανοικτίρμονα Κύριον τοῦ οἰκτειρῆσαι καὶ ἡμᾶς· καὶ τῆς ἐκεῖ κατακρίσεως ῥυσθείημεν διὰ παντὸς ταῖς προσευχαῖς ὑμῶν, σοφοί, καὶ μελλούσης ἀπολαύσεως τρυφῆς δικαίως· εἰς αἰῶνας αἰώνων ἀγαλλιώμεθα καὶ ἡμεῖς, αἶνον ὕμνοις ἀπαύστως τῷ ζωοδότῃ ἀνακράζοντες.

Θεοπρεπῆ πανήγυριν, πιστοί, κροτήσωμεν σήμερον ἐν τῇ μνήμῃ τῶν ἁγίων ἀφθόνως Ἱεραρχῶν, καὶ Ἀσκητῶν, καὶ Ἱερομαρτύρων, καὶ ὁσίων Γυναικῶν, καὶ εὐσεβῶν, τῶν γὰρ φθαρτῶν καταφρονήσαντες, καὶ τῶν προσκαίρων ἀληθῶς, καὶ ὡς ἀρχὴν ἡγήσαντο, καὶ ὥσπερ σκύβαλα αὐτά· ἵνα κερδήσωσι τὸν Χριστόν, καὶ τὰ βασίλεια αὐτοῦ, καὶ τὰ θεῖα ἐκεῖνα, ἃ ὀφθαλμὸς οὐκ εἶδεν, οὐδὲ ἤκουσε ποτέ· ὧν πρεσβείαις ὁ Θεὸς ῥῦσαι φθορᾶς τὰς ψυχὰς ἡμῶν.

Δόξα ἰδιόμελον, ἦχος πλ. δ'.

Ὅσιοι Πατέρες, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν κατορθωμάτων ὑμῶν· δι' ὧν ἐν τοῖς Οὐρανοῖς εὕρατε μισθὸν τῶν καμάτων ὑμῶν· τῶν δαιμόνων ἐλύσατε τὰς φάλαγγας, τῶν Ἀγγέλων ἐφθάσατε τὰ τάγματα, ὧν τὸν βίον ἀμέμπτως ἐζηλώσατε· παρρησίαν ἔχοντες πρὸς Κύριον, εἰρήνην αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον ἦχος ὁ αὐτός.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν,



Digitized by Google

μῶν, πρεσβείαις Δέσποινα μετὰ τῶν σῶν Ὁσίων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν λειτουργίαν Τυπικὰ· καὶ ἀπὸ τοῦ Κανόνος Ὠδὴ γ΄. καὶ ϛ΄. Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δ΄.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στιχ. Αἱ ὑψώσεις τοῦ Θεοῦ ἐν τῷ λάρυγγι αὐτῶν.

Ὁ Ἀπόστολος. Πρὸς Ῥωμαίους ἐπιστολῆς.

Ἀδελφοί, Τὰ τῆς εἰρήνης διώκωμεν, καὶ τὰ τῆς οἰκοδομῆς τῆς εἰς ἀλλήλους. Μὴ ἕνεκεν βρώματος κατάλυε τὸ ἔργον τοῦ Θεοῦ. Πάντα μὲν καθαρά, ἀλλὰ κακὸν τῷ ἀνθρώπῳ, τῷ διὰ προσκόμματος ἐσθίοντι. Καλὸν τὸ μὴ φαγεῖν κρέας, μὴ δὲ πιεῖν οἶνον, μὴ δὲ ἐν ᾧ ὁ ἀδελφός σου προσκόπτει, ἢ σκανδαλίζεται, ἢ ἀσθενεῖ. Σὺ πίστιν ἔχεις; κατὰ σαυτὸν ἔχε ἐνώπιον τοῦ Θεοῦ. Μακάριος ὁ μὴ κρίνων ἑαυτὸν ἐν ᾧ δοκιμάζει. Ὁ δὲ διακρινόμενος, ἐὰν φάγῃ, κατακέκριται, ὅτι οὐκ ἐκ πίστεως· πᾶν δὲ ὃ οὐκ ἐκ πίστεως, ἁμαρτία ἐστί. Τῷ δὲ δυναμένῳ ὑμᾶς στηρίξαι κατὰ τὸ Εὐαγγέλιόν μου, καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ, κατὰ ἀποκάλυψιν μυστηρίου, χρόνοις αἰωνίοις σεσιγημένου, φανερωθέντος δὲ νῦν, διά τε Γραφῶν προφητικῶν, κατ᾽ ἐπιταγὴν τοῦ αἰωνίου Θεοῦ, εἰς ὑπακοὴν πίστεως, εἰς πάντα τὰ Ἔθνη γνωρισθέντος, μόνῳ σοφῷ Θεῷ, διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

Τῶν Ὁσίων.

Ὁ Καρπὸς δὲ τοῦ πνεύματος, Ἀδελφοί, ἐστὶν, ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πρᾳότης, ἐγκράτεια· κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος. Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι, καὶ ταῖς ἐπιθυμίαις· εἰ ζῶμεν πνεύματι, πνεύματι καὶ στοιχῶμεν· μὴ γινώμεθα κενόδοξοι, ἀλλήλους προσκαλούμενοι, ἀλλήλοις φθονοῦντες. Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος ἔν τινι παραπτώματι, ὑμεῖς οἱ πνευματικοί, καταρτίζετε τὸν τοιοῦτον ἐν πνεύματι πρᾳότητος, σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς· ἀλλήλων τὰ βάρη βαστάζετε, καὶ οὕτως ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ.

Ἀλληλούϊα, ἦχος β΄. Προκείμενον. Πεφυτευμένοι ἐν τῷ οἴκῳ Κυρίου, στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον. Εἶπεν ὁ Κύριος, προσέχετε τὴν ἐλεημοσύνην· τέλος, εἰς τοὺς αἰῶνας. Ἀμήν. Καὶ τῶν Ὁσίων. Εἶπεν ὁ Κύριος, πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι.

Τῇ Κυριακῇ τῆς Τυροφάγου, ἡ ἀκολουθία τοῦ Ἀδάμ· τῷ Σαββάτῳ Ἑσπέρας εἰς τὸ λυχνικὸν μετὰ τὸν προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τό, Μακάριος ἀνήρ, τὸ κάθισμα ὅλον· εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ι΄. Καὶ ψάλλομεν τῆς Ὀκτωήχου στιχηρὰ ἀναστάσιμα γ΄. καὶ ἀνατολικὰ γ΄. καὶ τοῦ Τριωδίου, ἦχος πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Ὁ Πλάσας με Κύριος χοῦν ἐκ τῆς γῆς προσλαβών, με ζωηρῷ φυσήματι ψυχώσας ἐζώωσε, καὶ ἐτίμησεν ἐπὶ γῆς ἄρχοντα ὁρατῶν ἁπάντων, καὶ Ἀγγέλοις ὁμοδίαιτον. Σατὰν δὲ ὁ δόλιος ὀργάνῳ τὸν ὄφιν χρησάμενος, ἐν βρώσει ἐδελέασε, καὶ Θεοῦ τῆς δόξης ἐχώρισε· καὶ τῷ κατωτάτῳ θανάτῳ παραδέδωκεν εἰς γῆν· ἀλλ᾽ ὡς Δεσπότης, καὶ εὔσπλαγχνος, πάλιν ἀνακάλεσαι.

Στολὴν θεΰφαντον ἀπεξεδύθην ὁ τάλας, σοῦ τὸ θεῖον πρόσταγμα παρακούσας, Κύριε, συμβουλίᾳ ἐχθροῦ· καὶ συκῆς φύλλα δέ, καὶ τοὺς δερματίνους νῦν χιτῶνας περιβέβλημαι· ἱδρῶτι κέκριμαι ἄρτον μοχθηρὸν κατεσθίειν γάρ· ἀκάνθας, καὶ τριβόλους δὲ φέρειν μοι ἡ γῆ κεκατήρατο· ἀλλ᾽ ὁ ἐν ὑστέροις τοῖς χρόνοις ἐκ Παρθένου σαρκωθεὶς ἀνακαλέσας, εἰσάγαγε πάλιν εἰς Παράδεισον.

Παράδεισε πάντιμε, ὡραιότατον κάλλος, Θεόκτιστον σκήνωμα, εὐφροσύνη ἄληκτε, καὶ ἀπόλαυσις, δόξα τῶν Δικαίων, Προφητῶν τερπνότης, καὶ Ἁγίων οἰκητήριον, ἤχῳ τῶν φύλλων σου πλάστην τὸν τῶν ὅλων ἱκέτευε, τὰς πύλας ὑπανοῖξαι μοι, ἃς τῇ παραβάσει ἀπέκλεισα, καὶ ἀξιωθῆναι, τοῦ ξύλου τῆς ζωῆς μεταλαβεῖν, καὶ τῆς χαρᾶς, ἧς τὸ πρότερον ἐν σοὶ κατετρύφησα.

Ἀδὰμ ἐξωστράκισται παρακοῇ Παραδείσου, καὶ τρυφῆς ἐκβέβληται, γυναικὸς τοῖς ῥήμασιν ἀπατώμενος, καὶ γυμνὸς κάθηται τοῦ χωρίου, οἴμοι, ἐναντίον ὀδυρόμενος· διὸ σπουδάσωμεν πάντες τὸν καιρὸν ὑποδέξασθαι νηστείας, ὑπακούοντες εὐαγγελικῶν παραδόσεων· ἵνα διὰ τούτων εὐάρεστοι γινόμενοι Χριστῷ, τοῦ Παραδείσου τὴν οἴκησιν πάλιν ἀπολάβωμεν.

Δόξα. ἦχος πλ. β΄.

Ἐκάθισεν Ἀδὰμ ἀπέναντι τοῦ Παραδείσου, καὶ τὴν ἰδίαν γύμνωσιν θρηνῶν ὠδύρετο· οἴμοι, τὸν ἀπάτῃ πονηρᾷ πεισθέντα, καὶ κλαπέντα, καὶ δόξης μακρυνθέντα· οἴμοι, τὸν ἁπλότητι γυμνόν, νῦν δὲ ἠπορημένον· ἀλλ᾽ ὦ Παράδεισε, οὐκ ἔτι σου τῆς τρυφῆς ἀπολαύσω· οὐκ ἔτι ὄψομαι τὸν Κύριον, καὶ Θεόν μου, καὶ πλάστην· εἰς γῆν γὰρ ἀπελεύσομαι, ἐξ ἧς καὶ προσελήφθην· ἐλεῆμον, οἰκτίρμον, βοῶ σοι, ἐλέησόν με τὸν παραπεσόντα.

Καὶ νῦν Θεοτοκ. τὸ πρῶτον τοῦ ἤχου, Φῶς ἱλαρόν.



Digitized by Google

Εἴσοδος. Προκείμενον, ὁ Κύριος ἐβασίλευσεν, εἰς τὴν Λιτὴν, ὡς σύνηθες τὸ ἰδιόμ. τοῦ Ἁγίου τῆς Μονῆς.

Δόξα· ἦχος πλ. β'.

Ἥλιος ἀκτῖνας ἔκρυψεν, ἡ Σελήνη σὺν τοῖς ἄστροις εἰς αἷμα μετεστράφη, ὄρη ἐφρίξαν, βουνοὶ ἐτρόμαξαν, ὅτε Παράδεισος ἐκλείσθη· ἐκβαίνων ὁ Ἀδὰμ χερσὶ τύπτων τὰς ὄψεις, ἔλεγεν. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

Καὶ νῦν· Θεοτοκ. Ὅμοιον.

Μυστικῶς ἀνυμνοῦμέν σε, Θεοτόκε Μαρία· ἀνεδείχθης γὰρ θρόνος τοῦ μεγάλου Βασιλέως, σκηνὴ παναγία, τῶν Οὐρανῶν πλατυτέρα, Χερουβὶμ ἅρμα, ἀνωτέρα δὲ τῶν Σεραφίμ, νυμφὼν δόξης· ἐκ σοῦ γὰρ προῆλθε σαρκωθεὶς ὁ πάντων Θεός· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στιχ. τῆς Ὀκτωήχου· καὶ τὰ κατὰ α. β'.

Δόξα· ἦχος πλ. β'.

Ἐξεβλήθη Ἀδὰμ τοῦ Παραδείσου διὰ τῆς βρώσεως· διὸ καὶ καθεζόμενος ἀπέναντι τούτου, ὠδύρετο ὀλολύζων ἐλεεινῇ τῇ φωνῇ, καὶ ἔλεγεν. Οἴμοι, τί πέπονθα ὁ τάλας ἐγώ; μίαν ἐντολὴν παρέβην τὴν τοῦ Δεσπότου· καὶ τῶν ἀγαθῶν παντοίων ἐστέρημαι. Παράδεισε ἁγιώτατε, ὁ δι' ἐμὲ πεφυτευμένος, διὰ τὴν Εὔαν κεκλεισμένος, ἱκέτευε τὸν σὲ ποιήσαντα, κἀμὲ πλάσαντα· ὅπως τῶν σῶν ἀνθέων πλησθήσωμαι· διὸ καὶ πρὸς αὐτὸν ὁ Σωτήρ. Τὸ ἐμὸν πλάσμα οὐ θέλω ἀπολέσθαι, ἀλλὰ βούλομαι τοῦτο σώζεσθαι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν: ὅτι τὸν ἐρχόμενον πρός με οὐ μὴ ἐκβάλλω ἔξω.

Καὶ νῦν, Θεοτοκίον Ὅμοιον.

Ὁ Ποιητὴς, καὶ λυτρωτής μου, πάναγνε, Χριστὸς ὁ Κύριος ἐκ τῆς σῆς νηδύος προελθὼν, ἐμὲ ἐνδυσάμενος, τῆς πρώην κατάρας τὸν Ἀδὰμ ἠλευθέρωσε· διό σοι, πάναγνε, ὡς τοῦ Θεοῦ Μητρί τε, καὶ Παρθένῳ ἀληθεῖ βοῶμεν ἀσιγήτως τὸ χαῖρε τοῦ Ἀγγέλου· Χαῖρε Δέσποινα, προστασία, καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Τὸ Νῦν ἀπολύεις, τὸ Τρισάγιον. Ἀπολυτίκιον, Θεοτόκε Παρθένε ἐκ γ΄· καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς ἀγρυπνίας. Εἰς τὸν Ὄρθρον, Θεὸς Κύριος· τὸ Ἀναστάσιμον τροπάριον δίς. Καὶ νῦν. Θεοτοκ. ἡ σύνηθες στιχολογ. Ἀρχόμεθα δὲ ἀναγινώσκειν τὸ βιβλίον τῆς ἑξαημέρου τοῦ Χρυσοστόμου· τὰ Εὐλογητάρια, καὶ οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, τὸ Πᾶσα πνοή· καὶ ἑωθινὸν Εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν'.

Δόξα· ἦχος πλ. δ'.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα. ὀρθρίζει γὰρ τὸ πνεῦμά μου πρὸς ναὸν τὸν ἅγιόν σου· ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ' ὡς οἰκτίρμων, κάθαρον εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν. Ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

Εἶτα, ἦχος πλ. β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς Κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ, βοῶ σοι· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Κανόνες τῆς Ὀκτωήχου, ὁ ἀναστάσιμος, ὁ σταυροθεοτοκίος, καὶ τῆς Θεοτόκου εἰς η'. καὶ τοῦ Τριωδίου εἰς ς'.

Ὠδὴ α'. ἦχος πλ. β'.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ.

Δεῦρο ψυχή μου ἀθλία, κλαῦσον τὰ σοὶ πεπραγμένα, σήμερον μνημονεύουσα τῆς πρὶν ἐν Ἐδὲμ γυμνώσεως, δι' ἧς ἐξεβλήθης τῆς τρυφῆς, καὶ τῆς ἀλήκτου χαρᾶς.

Ὑπὸ πολλῆς εὐσπλαγχνίας, καὶ οἰκτιρμῶν, πλαστουργὲ τῆς κτίσεως, καὶ τῶν ὅλων ποιητὰ, ἐκ χοὸς ζωώσας με, τὸ πρὶν ἐντέλλω, σὲ ὑμνεῖν σὺν τοῖς Ἀγγέλοις σου.

Διὰ χρηστότητος πλοῦτον σὺ Φυτουργὲ, πλαστουργὲ, καὶ Κύριε, Παραδείσου τὴν τρυφὴν ἐν Ἐδὲμ, κελεύων με τρυφᾶν τῶν ὡραίων, καὶ τερπνῶν, καὶ μὴ ῥεόντων καρπῶν.

Οἴμοι ψυχή μου ἀθλία, τῶν ἐν Ἐδὲμ ἀπολαύειν εἴληφας ἐξουσίαν ἐκ Θεοῦ· μὴ φαγεῖν δὲ γνώσεως καρπὸν προσετάγης· ἵνα τί παρέβης νόμον Θεοῦ;

Θεοτοκίον.

Θεοχυῆτορ Παρθένε, ὡς τοῦ Ἀδὰμ κατὰ γένος θυγάτηρ, κατὰ χάριν δὲ Χριστοῦ τοῦ Θεοῦ γεννήτειρα, ἐμὲ τὸν ἐξόριστον Ἐδὲμ νῦν ἀνακάλεσαι.

Καταβασίας δὲ λέγομεν τοὺς Εἱρμοὺς τοῦ παρόντος Κανόνος.

Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ ἐν ἀβύσσῳ, ἴχνεσι τὸν διώκτην Φαραὼ καθορῶν ποντούμενον, Θεῷ ἐπινίκιον ᾠδὴν ἐβόα. Ἄσωμεν.

Ὠδὴ γ'. Οὐκ ἔστιν ἅγιος ὡς σὺ, Κύριε.

Ὄφις ὁ δόλιος ποτὲ τὴν τιμήν μου φθονήσας, ἐψιθύρισε δόλον τῆς Εὔας ἐν τοῖς ὠσίν· ἐξ ἧς ἐγὼ πλανηθεὶς, ἐξωρίσθην, οἴμοι, τοῦ χώρου τῆς ζωῆς.

Τὴν χεῖρα τείνας προπετῶς, ἐγευσάμην τοῦ ξύλου τοῦ τῆς γνώσεως, οὗπερ, προσέταξέ μοι Θεὸς, μὴ δ' ὅλως μεταλαβεῖν, καὶ τῆς θείας δόξης ἀπερρίφην πικρῶς.

Οἴμοι

Digitized by Google

Οἴμοι, ἀθλία μου ψυχὴ, πῶς οὐκ ἔγνως τὸν δόλον; πῶς οὐκ ᾔσθου τῆς πλάνης, καὶ τοῦ φθόνου τοῦ ἐχθροῦ; ἀλλ' ἐσκοτίσθης τὸν νοῦν, καὶ παρέβης ἐντολὴν τοῦ κτίστου σου.

Θεοτοκίον.

Ἐλπὶς, καὶ σκέπη μου, σεμνὴ, ἡ τὴν γύμνωσιν πάλαι περιστείλασα μόνη, τὴν τοῦ πεσόντος Ἀδὰμ τῷ τοκετῷ σου, ἁγνὴ, ἀφθαρσίαν αὖθις με ἀμφίασον.

Καταβασία.

Οὐκ ἔστιν ἅγιος ὡς σὺ, Κύριε ὁ Θεός μου, ὁ ὑψώσας τὸ κέρας τῶν πιστῶν σου ἀγαθὲ, „ καὶ στερεώσας αὐτοὺς ἐν τῇ πέτρᾳ τῆς ὁμολογίας „ σου.

Κάθισμα ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Ἐξεβλήθη ὁ Ἀδὰμ τοῦ Παραδείσου τῆς τρυφῆς διὰ βρώσεως πικρᾶς, ἐν ἀκρασίᾳ ἐντολὴν μὴ φυλάξας τὴν τοῦ Δεσπότου, καὶ κατεκρίθη ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη αὐτός· ἱδρῶτι δὲ πολλῷ ἐσθίειν ἄρτον αὐτοῦ· διὸ ἡμεῖς ποθήσωμεν ἐγκράτειαν, ἵνα μὴ ἔξω θρηνήσωμεν τοῦ Παραδείσου, ὥσπερ ἐκεῖνος, ἀλλ' εἰς αὐτὸν εἰσελευσώμεθα.

Ἕτερον, ἦχος δ'. Ὁ ὑψωθεὶς.

Νῦν ὁ καιρὸς τῶν ἀρετῶν ἐπεφάνη, καὶ ἐπὶ θύραις ὁ κριτὴς, μὴ στυγνάσωμεν, ἀλλὰ δεῦτε νηστεύοντες προσάξωμεν δάκρυα, κατάνυξιν, καὶ ἐλεημοσύνην· κράζοντες, ἡμάρτομεν ὑπὲρ ψάμμον θαλάσσης· ἀλλ' ἄνες πᾶσι, πάντων λυτρωτὰ, ἵνα καὶ σχῶμεν τὸν ἄφθαρτον στέφανον.

Θεοτοκίον Ὅμοιον.

Οὐ σιωπήσωμέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰ μὴ γὰρ σὺ προΐστασο πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων; τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεὶ ἐκ παντοίων δεινῶν.

Εἶτα ἀνάγνωσις τοῦ λόγου Εἰς τὴν πληγὴν τῆς χαλάζης. Οὗ ἡ ἀρχή. Τί λύετε τάξιν ἐπαινουμένην, Καὶ ποιοῦμεν στάσεις δύο.

Ὠδὴ δ'. Χριστός μου δύναμις.

Τιμῆς ἠξίωμαι ἐγὼ ὁ ἄθλιος παρὰ σοῦ τοῦ Δεσπότου ἐν τῇ Ἐδέμ· οἴμοι, πῶς πεπλάνημαι; καὶ διαβόλῳ φθονηθεὶς ἀπερρίφθην τοῦ προσώπου σου;

Ἐμὲ θρηνήσατε Ἀγγέλων τάγματα, Παραδείσου τὰ κάλλη, καὶ τῶν φυτῶν τῶν ἐκεῖ εὐπρέπεια, τὸν πλανηθέντα δυστυχῶς, καὶ Θεοῦ ἀποσκιρτήσαντα.

Λειμὼν μακάριε, φυτὰ θεόφυτα, Παραδείσου τερπνότης νῦν ἐπ' ἐμὲ δάκρυα σταλάξατε ἐκ φύλλων, ὥσπερ ὀφθαλμῶν, τὸν γυμνὸν, καὶ ξένον δόξης Θεοῦ.

Οὐκέτι βλέπω σε, οὐκ ἀπολαύω σου τῆς ἡδίστης, καὶ θείας μαρμαρυγῆς, πάντιμε Παράδεισε· γυμνὸς γὰρ ἔρριμμαι εἰς γῆν, παροργίσας τὸν ποιήσαντα.

Θεοτοκίον.

Ἁγία Δέσποινα, ἡ διανοίξασα Παραδείσου τὰς πύλας πᾶσι πιστοῖς, ἃς Ἀδὰμ ἀπέκλεισε διὰ παραβάσεώς ποτε, πύλας ἐλέους μοι διάνοιξον.

Καταβασία.

Χριστός μου δύναμις, Θεὸς, καὶ Κύριος· ἡ σεπτὴ Ἐκκλησία θεοπρεπῶς μέλπει, ἀνακρά„ ζουσα ἐκ διανοίας καθαρᾶς, ἐν Κυρίῳ ἑορτά„ ζουσα.

Ὠδὴ ε'. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Φθονήσας πάλαι μοι ὁ ἐχθρὸς τῆς ἐν Παραδείσῳ εὐτυχοῦς ἀναστροφῆς ὁ μισάνθρωπος, ὄφεως ἐν εἴδει με ὑπεσκέλισε, καὶ δόξης ἀϊδίου ξένον με ἔδειξε.

Θρηνῶ, καὶ κόπτομαι τὴν ψυχὴν, καὶ τοῖς ὀφθαλμοῖς ἐπιζητῶ πλήθη δακρύων προσίεσθαι· ὅταν ἀποβλέψω, καὶ καταμάθω μου τὴν γύμνωσιν, ἣν ἔσχον ἐκ παραβάσεως.

Ἐκ γῆς ἐπλάσθην χερσὶ Θεοῦ, αὖθις δ' ἐπιστρέφειν πρὸς τὴν γῆν, ἐγὼ ὁ ἄθλιος ἤκουσα· τίς ἐμὲ μὴ κλαύσῃ τὸν ἀπωσθέντα Θεοῦ; καὶ τῆς Ἐδὲμ τὸν ᾅδην ἀνταλλαξάμενον;

Θεοτοκίον.

Νυμφῶνα δόξης σε μυστικὸν πάντες καταγγέλλομεν πιστοὶ, Θεοκυῆτορ πανάμωμε· ὅθεν δυσώπησε, ἁγνὴ, πεσόντα με, νυμφῶνα Παραδείσου οἰκεῖον ποίησον.

Καταβασία.

Τῷ θείῳ φέγγει σου, ἀγαθὲ, τὰς τῶν ὀρθριζόντων σοι ψυχὰς πόθῳ καταύγασον· δέο„ μαι, σὲ εἰδέναι Λόγε Θεοῦ, τὸν ὄντως Θεὸν, „ ἐκ ζόφου τῶν πταισμάτων ἀνακαλούμενον.

Ὠδὴ ς'. Τοῦ βίου τὴν θάλασσαν.

Στολήν μοι ἐνέδυσας θεοΰφαντον, Σωτὴρ, ἐν τῇ Ἐδὲμ ὡς εὔσπλαγχνος· ἐγὼ δὲ σου παριδὼν τὴν ἐντολὴν πεισθεὶς τῷ ἀλάστορι, καὶ γυμνὸς καθεωράθην ὁ ταλαίπωρος.

Ψυχὴ παναθλία μου ἐμακρύνθης ἐκ Θεοῦ διὰ ἀπροσεξίας σου. Παραδείσου ἐστέρησαι τῆς τρυφῆς. Ἀγγέλων κεχώρισαι, εἰς φθορὰν κατηνέχθης, ὢ τοῦ πτώματος.

Ἐλέησον, οἰκτίρμον, παντοκράτορ ὁ Θεὸς, τῶν σῶν χειρῶν τὸ ποίημα· μὴ παρίδῃς με, δέομαι, ἀγαθὲ, τὸν ἀποχωρίσαντα ἐμαυτὸν τῆς χορείας τῶν Ἀγγέλων σου.

Θεοτοκίον.

Μαρία θεόκλητε, ἡ κυρία τοῦ παντὸς, ὡς τεκοῦσα Κύριον, Βασιλέα τῶν ὅλων, καὶ λυτρωτὴν, αἰχμάλωτον ὄντα με Παραδείσου τῆς δόξης ἀνακάλεσαι.

Καταβασία.

Τοῦ βίου τὴν θάλασσαν ὑψουμένην καθορῶν τῶν πειρασμῶν τῷ κλύδωνι, τῷ εὐδίῳ λι-

„ μένει σου προσδραμόντος, βοᾷ σοι, ἀνάγαγε ἐκ φθορᾶς τὴν ζωήν μου πολυέλεε.

Κοντάκιον, ἦχος πλ. β'.

ΤΗς σοφίας ὁδηγὲ, φρονήσεως χορηγὲ, τῶν ἀφρόνων παιδευτὰ, καὶ πτωχῶν ὑπερασπιστὰ, στήριξον, συνέτισον τὴν καρδίαν μου, Δέσποτα, σὺ δίδου μοι λόγον ὁ τοῦ Πατρὸς Λόγος· ἰδοὺ γὰρ τὰ χείλημου οὐ μὴ κωλύσω ἐν τῷ κράζειν σοι. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

Ὁ Οἶκος.

ἘΚάθισεν Ἀδὰμ τότε, καὶ ἔκλαυσεν ἀπέναντι τῆς τρυφῆς τοῦ Παραδείσου, χερσὶ τύπτων τὰς ὄψεις, καὶ ἔλεγεν. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

ἸΔὼν Ἀδὰμ τὸν Ἄγγελον ὠθήσαντα, καὶ κλείσαντα τὴν τοῦ θείου κήπου θύραν, ἀνεστέναξε μέγα, καὶ ἔλεγεν. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

ΣΥνάλγησον, Παράδεισε, τῷ κτήτορι πτωχεύσαντι, καὶ τῷ ἤχῳ σου τῶν φύλλων ἱκέτευσον τὸν πλάστην, μὴ κλείσῃ σε. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

ΠΑράδεισε πανάρετε, πανάγιε, πανόλβιε· ὁ δὶ Ἀδὰμ πεφυτευμένος, καὶ διὰ τὴν Εὔαν κεκλεισμένος, ἱκέτευσον Θεὸν διὰ τὸν παραπεσόντα. Ἐλεῆμον, ἐλέησόν με τὸν παραπεσόντα.

Τὸ Συναξάριον· στίχ.

Κόσμος γενάρχαις πικρὰ συνθρηνησάτω,
Βρώσει γλυκείᾳ συμπεσὼν πεπτωκόσι.

ΤΗ αὐτῇ ἡμέρᾳ ἀνάμνησιν ποιούμεθα τῆς ἀπὸ τοῦ Παραδείσου τῆς τρυφῆς ἐκπτώσεως τοῦ πρωτοπλάστου Ἀδάμ· ἣν οἱ θειότατοι, καὶ ἅγιοι Πατέρες ἡμῶν πρὸ τῆς ἁγίας ἐνέταξαν Τεσσαρακοστῆς, ὡσανεὶ αὐτοῖς δεικνύοντες πράγμασιν, ὅσον τὸ τῆς νηστείας φάρμακον τῇ ἀνθρωπίνῃ φύσει ὠφέλιμον· καὶ ὅσον πάλιν τὸ ἀπὸ τῆς ἀδδηφαγίας, καὶ ἀνηκοΐας αἰσχρόν. Παραλείψαντες οὖν οἱ Πατέρες τὰ κατὰ μέρος ἐν Κόσμῳ διὰ τούτων γινόμενα, ἄπειρα ὄντα, τὸν πρωτόπλαστον Ἀδὰμ προτιθέασιν, ὅσον κακὸν πέπονθεν ἐκ τοῦ μὴ πρὸς ὀλίγον νηστεῦσαι, κἀντεῦθεν καὶ τῇ ἡμῶν ἐπεισήγαγε φύσει, σαφῶς προδεικνύοντες· καὶ ὅτι πρῶτον ἐν ἀνθρώποις Θεοῦ παράγγελμα, τὸ τῆς νηστείας καλόν· ὃ μὴ φυλάξας ἐκεῖνος, ἀλλὰ τῇ γαστρὶ εἴξας, μᾶλλον δὲ τῷ πλάνῳ ὄφει διὰ τῆς Εὔας, οὐ μόνον Θεὸς οὐ γέγονεν, ἀλλὰ καὶ τὸν θάνατον ἐπεσπάσατο, καὶ τῆς λύμης τῷ παντὶ γένει μετέδωκε. Διὰ γοῦν τὴν τοῦ πρώτου Ἀδὰμ τρυφὴν, ὁ Κύριος ἡμέρας νενήστευκε τεσσαράκοντα, καὶ ὑπήκοος γέγονεν· οὗ χάριν, καὶ ἡ παροῦσα ἁγία Τεσσαρακοστὴ τοῖς ἁγίοις Ἀποστόλοις ἐπενοήθη· ἵνα ὃ μὴ φυλάξας ἐκεῖνος πέπονθεν, ἀπολέσας τὴν ἀφθαρσίαν, φυλάξαντες ἡμεῖς, ἀπολαύσωμεν διὰ τῆς νηστείας·

Ἄλλως τε καθὼς καὶ προέφημεν, ὁ σκοπὸς τῶν Ἁγίων οὗτός ἐστιν· ἵνα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους ἔργα γενόμενα τῷ Θεῷ ἐν βραχεῖ περιλήψωνται· ἐπεὶ δὲ πάντων τῶν καθ' ἡμᾶς αἴτιον ἡ παράβασις, καὶ ἡ ἐκ τῆς τρυφῆς ἔκπτωσις τοῦ Ἀδὰμ, κατὰ τοῦτον τὸν λόγον ταύτην νῦν προτιθέασι· μνήμην ἡμῶν ποιουμένων ἐκείνης, ἵνα φύγωμεν οὐ μόνον τὴν ἀκρασίαν, ἀλλὰ καὶ τὴν ὀλιγάρκειαν ἐν παντὶ ζηλώσωμεν. Τῇ ἕκτῃ μὲν οὖν ἡμέρᾳ ὁ Ἀδὰμ ἐπλάσθη χειρὶ Θεοῦ. τιμηθεὶς καὶ εἰκόνι διὰ τοῦ ἐμφυσήματος· καὶ λαβὼν τὴν ἐντολὴν, αὐτίκα, ἄχρι καὶ ἓξ ὡρῶν τῷ Παραδείσῳ διέτριψεν· εἶτα παραβὰς ταύτην, ἐκεῖθεν ἐξώσθη. Ὁ μέντοι Ἑβραῖος Φίλων, ἑκατὸν, φησὶ, χρόνους τὸν Ἀδὰμ ἐν τῷ Παραδείσῳ πεποιηκέναι· ἄλλοι δὲ, ἑπτὰ ἡμέρας, ἢ χρόνους, φασὶ, διὰ τὴν τοῦ ἑπτὰ τιμήν· ὅτι δὲ τῇ ἕκτῃ ὥρᾳ τὰς χεῖρας ἤπλωσε, καὶ τοῦ καρποῦ ἥψατο, ἐδήλωσε καὶ ὁ νέος Ἀδὰμ Χριστὸς, τῇ ἕκτῃ ὥρᾳ, καὶ ἡμέρᾳ τὰς παλάμας ἁπλώσας ἐν Σταυρῷ, τὸν ἐκείνου ἰώμενος ὄλεθρον· Μέσον δὲ φθορᾶς, καὶ ἀφθαρσίας δεδημιούργητο· ἵν' ὁποτέρωσε νεύσῃ τῇ προαιρέσει, ἐκεῖνο δὴ καὶ προσκτήσαιτο, ἦν μὲν γὰρ δυνατὸν Θεῷ, καὶ ἀναμάρτητον ποιῆσαι, ἀλλ' ἵνα εἴη καὶ τῆς αὐτοῦ προαιρέσεως τὸ κατόρθωμα· διὰ τοῦτο τὸν νόμον δίδωσι, πάντων μὲν ἅπτεσθαι τῶν φυτῶν, τοῦ δὲ, μή· ἴσως, τὴν ἐκ πάντων κτισμάτων τῆς θείας δυνάμεως γινομένην ἐπίγνωσιν ἐννοεῖν· τὴν δὲ περὶ τῆς φύσεως τοῦ Θεοῦ, οὐδαμῶς· Ὃ δὴ καὶ ὁ θεολόγος Γρηγόριος, ἐννοίας θείας τὰ ξύλα, φιλοσοφῶν εἶναι, καὶ τὸ φυτὸν θεωρίαν· ἤγουν, ἐπέτρεψε, φησὶν, ὁ Θεὸς τῷ Ἀδὰμ, περὶ πάντων μὲν τῶν ἄλλων στοιχείων, καὶ ποιοτήτων ἑτέρων μεριμνᾶν, καὶ ἀναπολεῖσθαι τῷ νῷ, καὶ δοξάζειν Θεὸν ἐντεῦθεν· αὕτη γὰρ ἡ ὄντως τρυφή· ἴσως δὲ, καὶ περὶ τῆς ἑαυτοῦ φύσεως· περὶ μέντοι Θεοῦ, τίς τε τὴν φύσιν, καὶ ποῦ, καὶ πῶς τὸ πᾶν ἐκ τοῦ μὴ ὄντος παρήγαγε, μηδ' ὅλως ζητεῖν· ὁ δὲ τἆλλα μὲν ἀφεὶς, τὰ περὶ Θεοῦ μᾶλλον ἐρευνῶν ἦν, καὶ τὴν ἐκείνου φύσιν ἀκριβῶς περιεργαζόμενος· ὡς οὖν ἔτι ἀτελὴς ὢν, καὶ ἀπλήστατος, καὶ νήπιος ἐν τοῖς τοιούτοις, ἐξέπεσε· τοῦ Σατὰν διὰ τῆς Εὔας φαντασίαν αὐτῷ ἐμβεβληκότος θεώσεως. Ὁ δὲ μέγας, καὶ θεῖος Χρυσόστομος, διπλῆν τινα δύναμιν τὸ ξύλον ἐκεῖνο ἔχειν, φησί· καὶ ἐν γῇ, λέγει, τὸν Παράδεισον εἶναι, καὶ νοητὸν αὐτὸν, καὶ αἰσθητὸν φιλοσοφεῖ, καθάπερ ἦν Ἀδὰμ, καὶ ἀμφότερα φθορᾶς, καὶ ἀφθαρσίας ἐν μεταιχμίῳ· ὁμοῦ καὶ τὴν γραφὴν διασώζων, καὶ οὐδὲ πάλιν ἐπιμένων τῷ γράμματι. Λέγουσι δέ τινες, τὸ ξύλον ἐκεῖνο τῆς παρακοῆς εἶναι συκήν· ὅτι γνόντες αὐτίκα τὴν γύμνωσιν, φύλλοις ἐκείνης χρησάμενοι ἐσκεπάσθησαν. Διὰ τοῦτο καὶ ὁ Χριστὸς, ὡς αἰτίαν γενομένην ταύτην τῆς παραβάσεως, κατηράσατο· ἔχει γάρ τινα, καὶ πρὸς τὴν ἁμαρ-

τίαν

τίαν ἐμφέρειαν· πρῶτον μὲν, τὸ γλυκάζον· εἶτα, τὸ ἀπὸ τῶν φύλλων τραχύ· καὶ τὸ κολλᾶδες διὰ τοῦ γάλακτος· εἰσὶ δὲ, οἳ, καὶ τὸ ξύλον ἐκεῖνο, τὴν μετὰ τῆς Εὔας τοῦ Ἀδὰμ ὁμιλίαν, καὶ γνῶσιν ἐπενόησαν οὐ καλῶς· παραβὰς οὖν, καὶ τὴν θνητὴν ἐνδυσάμενος σάρκα, καὶ τὴν κατάραν λαβὼν, ἐξώσθη τοῦ Παραδείσου· καὶ φλογίνη ῥομφαία τούτου τὴν πύλην προσετάχθη φυλάττειν· ὁ δὲ ἀπέναντι καθήμενος ἔκλαιεν, ὅσων ἀγαθῶν ἐστέρηται, διὰ τὸ μὴ πρὸς καιρὸν νηστεῦσαι· καὶ τὸ ἐξ ἐκείνου σύμπαν γένος τῶν ἴσων ἐκείνῳ μετέχει· ἕως οὗ ὁ πλάσας ἡμᾶς τὴν ἡμετέραν ἐλεήσας φύσιν, αὐτὸν λυμαινόμενος τὸν Σατανος, ἐκ Παρθένου γεννηθεὶς ἁγίας, καὶ ἀρίστως πολιτευσάμενος, τὴν ὁδόν τε ἡμῖν ὑποδείξας διὰ τῶν ἐναντίων ἐκείνῳ, νηστείας δηλαδὴ, καὶ ταπεινώσεως· καὶ νικήσας τεχνιέντως τὸν ἡμᾶς ἀπατήσαντα, πάλιν εἰς τὸ ἀρχαῖον ἀξίωμα ἤγαγε. Πάντα οὖν ταῦτα οἱ θεοφόροι Πατέρες παραστῆσαι βουλόμενοι διὰ τοῦ Τριῳδίου παντὸς, πρῶτα μὲν τὰ τῆς παλαιᾶς προτιθέασιν· ὧν πρῶτον, ἡ δημιουργία, καὶ ἡ ἐκ τῆς τρυφῆς ἔκπτωσις τοῦ Ἀδὰμ, ἧς ἀρτίως τὴν μνήμην ποιούμεθα· εἶτα καὶ τῶν λοιπῶν, διὰ τῶν Μωσαϊκῶν, καὶ Προφητικῶν, καὶ πλέον τῶν Δαυϊτικῶν λόγων· καί τινα τέως τῶν τῆς χάριτος ἐπιβάλλοντες· εἶτα κατὰ τάξιν, καὶ τὰ τῆς νέας Διαθήκης· ὧν πρῶτος ἐστὶν ὁ Εὐαγγελισμὸς, οἰκονομία Θεοῦ ἀρρήτῳ, ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ σχεδὸν ἀεὶ εὑρισκόμενος· διά τε Λαζάρου, καὶ τῶν Βαΐων, καὶ τῆς ἁγίας, καὶ μεγάλης Ἑβδομάδος, τῶν ἱερῶν ἀναγινωσκομένων Εὐαγγελίων, αὐτῶν τε τῶν ἁγίων, καὶ σωτηριωδῶν Παθῶν τοῦ Χριστοῦ καταλεπτὸν ὑμνουμένων· εἶτα καὶ τῆς Ἀναστάσεως, καὶ τῶν λοιπῶν, μέχρι τῆς καθόδου τοῦ Πνεύματος, τῶν ἱερῶν Πράξεων διαγορευουσῶν, ὅπως τὸ κήρυγμα γέγονε, καὶ τοὺς Ἁγίους πάντας συνήγαγεν· αἱ γὰρ πράξεις τὴν Ἀνάστασιν βεβαιοῦσι διὰ τὰ θαύματα. Ἐπεὶ γοῦν διὰ τὸ μὴ ἅπαξ τὸν Ἀδὰμ νηστεῦσαι, τοσαῦτα πεπένθαμεν, προτίθεται νῦν ἡ τούτου ἀνάμνησις εἰς τὴν εἴσοδον τῆς ἁγίας Τεσσαρακοστῆς· ἵνα μεμνημένοι ὅσον κακὸν τὸ μὴ νηστεῦσαι εἰσήγαγε, σπουδάσωμεν τὴν νηστείαν περιχαρῶς ὑποδέξασθαι, καὶ διαφυλάττειν· ὡς ἂν οὗ ἠστόχησεν ὁ Ἀδὰμ, τῆς θεώσεως δηλαδὴ, ἡμεῖς δι᾽ αὐτῆς ἐπιτύχωμεν ὀδυρόμενοι, καὶ νηστεύοντες, καὶ ταπεινούμενοι, ἕως οὗ ὁ Θεὸς ἡμᾶς ἐπισκέψηται· τούτων γὰρ ἄνευ, οὐ ῥᾴδιον λαβεῖν, ὃ ἀπωλέσαμεν· Ἰστέον δὲ, ὡς ἀποδεκατισμός ἐστιν αὕτη ἡ ἁγία, καὶ μεγάλη Τεσσαρακοστὴ τοῦ ὅλου ἐνιαυτοῦ· ἐπειδὴ γὰρ ἀπὸ ῥαθυμίας ἀεὶ νηστεύειν, καὶ τῶν κακῶν ἀργεῖν οὐχ αἱρούμεθα, ὥς τι θέρος ψυχῶν, ταύτην οἱ Ἀπόστολοι, καὶ οἱ θεῖοι Πατέρες παρέδωκαν· ὡς ἂν, ὅσα διὰ τοῦ ἐνιαυτοῦ ὅλου ἄτοπα διεπραξάμεθα, νῦν συντριβόμενοι, καὶ διὰ νηστείας ταπεινούμενοι, ἀπαλείψωμεν. Ἣν καὶ φυλάττειν ὀφείλομεν ἀκριβέστερον, ἀλλὰ δὴ, καὶ τὰς λοιπὰς τρεῖς, τὴν τῶν ἁγίων, φημὶ, Ἀποστόλων, τὴν τῆς Θεοτόκου, καὶ τοῦ Τεσσαρακονθημέρου· πρὸς γὰρ τὰς τέσσαρας τοῦ χρόνου ὥρας, καὶ τὰς τεσσαρακοστὰς οἱ θεῖοι Πατέρες ἐκδεδώκασι· ταύτην πλέον τιμήσαντες, διὰ τὰ ἅγια Πάθη· καὶ ὅτι ὁ Χριστὸς ταύτην ἐνήστευσε, καὶ ἐδοξάσθη· καὶ Μωϋσῆς τεσσαράκοντα ἡμέρας νηστεύσας, τὸν Νόμον ἔλαβε, καὶ Ἠλίας αὐτὸς, καὶ Δανιὴλ, καὶ ὅσοι δόκιμοι παρὰ τοῦ Θεοῦ. Ὅτι δὲ καλὸν ἡ νηστεία, δείκνυσιν ἐκ τοῦ ἐναντίου ὁ Ἀδάμ· διὰ ταύτην οὖν τὴν αἰτίαν, ἡ τοῦ Ἀδὰμ ἐξορία ἐνταῦθα τοῖς ἁγίοις Πατράσιν ἐπενοήθη. Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς τρυφῆς τοῦ Παραδείσου ἡμᾶς καταξίωσον, καὶ ἐλέησον ὡς μόνος φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ ζ΄. Δροσοβόλον μὲν τὴν κάμινον.

Ὁ Δεσπόζων τῶν αἰώνων πάντων Κύριος, ὁ πλάσας με βουλήματι σοῦ, φθονηθέντα με τοῦ δολίῳ δράκοντι ποτὲ, καὶ σὲ παροργίσαντα Σωτὴρ, μὴ ὑπερίδῃς ὁ Θεὸς, ἀλλ᾽ ἀνακάλεσαί με.

Τὰ τοῦ αἴσχους περικείμενος ἐνδύματα, οἴμοι ἀντὶ στολῆς φωταυγοῦς ἀποκλαίομαι τὴν ἐμὴν ἀπώλειαν Σωτὴρ, καὶ πίστει βοῶ σοι ἀγαθὲ, μὴ ὑπερίδῃς ὁ Θεὸς, ἀλλ᾽ ἀνακάλεσαί με.

Ἐτραυμάτισεν ὁ ὄφις ὁ παμπόνηρος ὅλην με τὴν ψυχὴν πονηρῶς. Παραδείσου δὲ τῆς τρυφῆς ἐξόριστον ποιεῖ, ἀλλ᾽ ὦ εὐσυμπάθητε Σωτὴρ, μὴ ὑπερίδῃς ὡς Θεὸς, ἀλλ᾽ ἀνακάλεσαί με.

Θεοτοκίον.

Τὴν ἱκέσιόν μου δέησιν, παναμώμε, πρόσδεξαι συμπαθείᾳ τῇ σῇ· καὶ συγχώρησιν τῶν πταισμάτων δίδου μοι ἁγνὴ, ἐν θρήνοις βοῶντι ἐκτενῶς, μὴ ὑπερίδῃς ἀγαθὴ, ἀλλ᾽ ἀνακάλεσαί με.

Καταβασία.

Δροσοβόλον μὲν τὴν κάμινον εἰργάσατο Ἄγγελος τοῖς ὁσίοις παισί· τοὺς Χαλδαίους δὲ
,, καταφλέγον πρόσταγμα Θεοῦ, τὸν τύραννον ἔπει-
,, σε βοᾷν, Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων
,, ἡμῶν.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Δωρεαῖς πολυτρόποις πάλαι τετίμηκας τὸ χειρῶν σου τὸ ἔργον, μόνε φιλάνθρωπε· δράκων δὲ δεινὸς συριγμῷ ἐδελέασεν, οἴμοι, τῶν προσόντων καλῶν ἀπογυμνώσας.

Ἵνα τί συμβουλίας πικρᾶς ἀκήκοας; καὶ τῆς θείας ἐγένου ψήφου παρήκοος; οἴμοι, ταπεινὴ ψυχὴ, Θεὸν λυπήσασα, ὃν ἀεὶ δοξάζειν, ἐπάχθης σὺν Ἀγγέλοις.

Ἐρπε-

Ἑρπετῶν, καὶ θηρίων δεσπότης γέγονας, ἑρπετοῦ ψυχοφθόρῳ πῶς προσωμίλησας; σύμβουλον λαβὼν, ὡς εἴθε, τὸν ἀλάστορα· ὦ τῆς σῆς ἀπάτης ψυχή μου παναθλία.

Θεοτοκίον.

Φωτοφόρον σκηνὴν σε Θεοῦ σαρκώσεως ἀνυμνοῦμεν, Μαρία θεοχαρίτωτε· ὅθεν με δεινῶς σκοτισθέντα τοῖς πάθεσι λάμψον, φῶς ἐλέους, ἐλπὶς ἀπηλπισμένων.

Αἰνοῦμεν, εὐλογοῦμεν. Καταβασία.

Ἐκ φλογὸς τοῖς ὁσίοις δρόσον ἐπήγασας, καὶ δικαίου θυσίαν ὕδατι ἔφλεξας· ἅπαντα γὰρ
„ δρᾷς Χριστὲ, μόνον τῷ βούλεσθαι· σὲ ὑπερυψοῦ-
„ μεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Γλυκὺς εἰς γεῦσιν καρπὸς τῆς γνώσεως ἐν τῇ Ἐδὲμ ἐφάνη μοι πλησθέντι τῆς βρώσεως, εἰς χολὴν δὲ γέγονε τὸ τέλος αὐτῆς· οἴμοι, ψυχὴ ἀθλία, πῶς ἀκρασία σε τῆς τοῦ Παραδείσου ἑστίας ξένον πεποίηκε;

Θεὲ τῶν ὅλων, ἐλέους Κύριε, εἰς τὴν ἐμὴν ταπείνωσιν εὐσπλάγχνως ἐπίβλεψον, καὶ μὴ πόῤῥω πέμψῃς με τῆς θείας Ἐδὲμ, ὅπως βλέπων τὰ κάλλη, ὅθεν ἐκπέπτωκα, σπεύσω, πάλιν θρήνοις προσλαβεῖν, ἅπερ ἀπώλεσα.

Θρηνῶ, στενάζω, καὶ ἀποδύρομαι, τὸ Χερουβὶμ φλογίνῃ τῇ ῥομφαίᾳ θεώμενος τῆς Ἐδὲμ τὴν εἴσοδον φυλάττειν ταχθὲν πᾶσι τοῖς παραβάταις, οἴμοι, ἀπρόσιτον, εἰ μὴ σὺ ἀκώλυτον, Σωτὴρ, ταύτην ποιήσεις μοι.

Θαῤῥῶ τῷ πλήθει τῷ τοῦ ἐλέους σου, Χριστὲ Σωτὴρ, καὶ θείας ἐκ πλευρᾶς σου τῷ αἵματι, δι᾽ οὗ καθηγίασας τὴν φύσιν βροτῶν, ἠνοίξας δὲ τὰς πύλας τοῖς σοὶ λατρεύουσι, τὰς τοῦ Παραδείσου, ἀγαθὲ, τὰς πρὶν κλεισθείσας Ἀδάμ.

Θεοτόκιον.

Ζωῆς ἡ πύλη, ἡ ἀδιόδευτος, ἡ νοητὴ, Παρθένε Θεοτόκε ἀνύμφευτε, Παραδείσου πύλας μοι κλεισθείσας τὸ πρὶν, ἄνοιξον ταῖς πρεσβείαις, ὅπως δοξάζω σε τὴν μετὰ Θεὸν μου βοηθὸν, καὶ κραταιὰν προσφυγήν.

Καταβασία.

Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον, ὃν οὐ τολμᾷ Ἀγγέλων ἀτενίσαι τὰ τάγματα· διὰ σοῦ
„ δὲ, πάναγνε, ὡράθη βροτοῖς Λόγος σεσαρκω-
„ μένος, ὃν μεγαλύνομεν σὺν ταῖς οὐρανίαις στρα-
„ τιαῖς, σὲ μακαρίζοντες.

Ἐξαποστειλάριον ἀναστάσιμον, καὶ τὸ παρόν.

Γυναῖκες ἀκουτίσθητε.

Τῆς ἐντολῆς σου, Κύριε, παρήκουσα ὁ ἄθλιος, καὶ γυμνωθεὶς τῆς σῆς δόξης, αἰσχύνης πέπλησμαι, οἴμοι, καὶ τῆς τρυφῆς ἐκβέβλημαι τοῦ Παραδείσου εὔσπλαγχνε, ἐλεῆμον, ἐλέησον τὸν στερηθέντα δικαίως τῆς ἀγαθότητος τῆς σῆς.

Ἕτερον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Ἀπῳκισθέντες, Κύριε, Παραδείσου τὸ πρότερον διὰ τῆς ξύλου βρώσεως, ἀντεισήγαγες πάλιν διὰ Σταυροῦ, καὶ τοῦ πάθους σου, Σωτὴρ, καὶ Θεέ μου· δι᾽ οὗ ἡμᾶς ὀχύρωσον τὴν νηστείαν πληρῶσαι ἀγωνοπρεπῶς, καὶ τὴν θείαν ἔγερσιν προσκυνῆσαι, τὸ Πάσχα τὸ σωτήριον, σῆς τεκούσης πρεσβείαις.

Εἰς τοὺς Αἴνους στιχ. τῆς Ὀκτωήχου ἀναστάσιμα δ'. Καὶ ἀνατολικὸν ἕν. Καὶ τοῦ Τριῳδίου ταῦτα τὰ ἰδιόμελ. Ἦχος πλ. α'.

Οἴμοι, ὁ Ἀδὰμ ἐν θρήνῳ κέκραγεν, ὅτι ὄφις, καὶ γυνὴ θεϊκῆς παῤῥησίας με ἔξωσαν, καὶ Παραδείσου τῆς τρυφῆς ξύλου βρῶσις ἠλλοτρίωσεν· οἴμοι, οὐ φέρω λοιπὸν τὸ ὄνειδος· ὁ ποτὲ βασιλεὺς τῶν ἐπιγείων πάντων κτισμάτων, Θεοῦ νῦν αἰχμάλωτος ὤφθην ὑπὸ μιᾶς ἀθέσμου συμβουλῆς· καὶ ὁ ποτὲ δόξαν ἀθανασίας ἠμφιεσμένος τῆς νεκρώσεως τὴν δορὰν, ὡς θνητὸς, ἐλεεινῶς περιφέρω· οἴμοι, τίνα τῶν θρήνων συνεργάτην ποιήσομαι; ἀλλὰ σὺ φιλάνθρωπε, ὁ ἐκ γῆς δημιουργήσας με, εὐσπλαγχνίαν φορέσας, τῆς δουλείας τοῦ ἐχθροῦ ἀνακάλεσαι, καὶ σῶσόν με.

Στιχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ· Ὁ αὐτός.

Τὸ στάδιον τῶν ἀρετῶν ἠνέῳκται· οἱ βουλόμενοι ἀθλῆσαι, εἰσέλθετε, ἀναζωσάμενοι τὸν καλὸν τῆς νηστείας ἀγῶνα· οἱ γὰρ νομίμως ἀθλοῦντες, δικαίως στεφανοῦνται· καὶ ἀναλαβόντες τὴν πανοπλίαν τοῦ Σταυροῦ, τῷ ἐχθρῷ ἀντιμαχησώμεθα, ὡς τεῖχος ἄῤῥηκτον κατέχοντες τὴν πίστιν, καὶ ὡς θώρακα τὴν προσευχὴν, καὶ περικεφαλαίαν τὴν ἐλεημοσύνην, ἀντὶ μαχαίρας τὴν νηστείαν, ἥτις ἐκτέμνει ἀπὸ καρδίας πᾶσαν κακίαν· ὁ ποιῶν ταῦτα, τὸν ἀληθινὸν κομίζεται στέφανον παρὰ τοῦ Παμβασιλέως Χριστοῦ ἐν τῇ ἡμέρᾳ τῆς Κρίσεως.

Στιχ. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοί· Ἦχος πλ. β'.

Ἀδὰμ τοῦ Παραδείσου διώκεται, τροφῆς μεταλαβὼν ὡς παρήκοος. Μωσῆς θεόπτης ἐχρημάτισε, νηστείᾳ τὰ ὄμματα τῆς ψυχῆς καθηράμενος· διὸ τοῦ Παραδείσου οἰκήτορες γενέσθαι ἐπιποθοῦντες, ἀπαλλαχθῶμεν τῆς ἀλυσιτελοῦς τροφῆς, καὶ Θεὸν καθορᾶν ἐφιέμενοι, μωσαϊκῶς τὴν τετράδα τῆς δεκάδος νηστεύσωμεν· προσευχῇ, καὶ τῇ δεήσει εἰλικρινῶς προσκαρτεροῦντες, κατευνάσωμεν τῆς ψυχῆς τὰ παθήματα, ἀποσβέσωμεν τῆς σαρκὸς τὰ οἰδήματα, κοῦφοι πρὸς τὴν ἄνω πορείαν μετίωμεν, ὅπου αἱ τῶν Ἀγγέλων χορεῖαι ἀσιγήτοις φωναῖς τὴν ἀδιαίρετον ἀνυμνοῦσι Τριάδα. Καθορᾶν τὸ ἀμήχανον κάλλος, καὶ δεσποτικὸν ἐκεῖ ἀξίωσον ἡμᾶς, Υἱὲ Θεοῦ ζωοδότα, τοὺς ἐπὶ σοὶ πεποιθότας συγχο-

ρεῦσαι

Digitized by Google

ρεῦσαι ταῖς τῶν Ἀγγέλων στρατιαῖς· ταῖς τῆς τεκούσης σε Μητρὸς Χριστὲ πρεσβείαις, καὶ Ἀποστόλων, καὶ τῶν Μαρτύρων, καὶ τῶν Ὁσίων.

Στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος· ἦχος πλ. β'.

Ἔφθασε καιρὸς, ἡ τῶν πνευματικῶν ἀγώνων ἀρχὴ, ἡ κατὰ τῶν δαιμόνων νίκη, ἡ πάνοπλος ἐγκράτεια, ἡ τῶν Ἀγγέλων εὐπρέπεια, ἡ πρὸς Θεὸν παῤῥησία· δι' αὐτῆς γὰρ Μωϋσῆς γέγονε τῷ Κτίστῃ συνόμιλος, καὶ φωνὴν ἀοράτως ἐν ταῖς ἀκοαῖς ὑπεδέξατο. Κύριε, δι' αὐτῆς ἀξίωσον καὶ ἡμᾶς, προσκυνῆσαί σου τὰ Πάθη, καὶ τὴν ἁγίαν Ἀνάστασιν, ὡς φιλάνθρωπος.

Δόξα, τὸ αὐτὸ, καὶ νῦν, θεοτοκ.

Ὑπερευλογημένη ὑπάρχεις Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος ὁ ᾅδης ᾐχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ Εὔα ἠλευθέρωται, ἡ κατάρα νενέκρωται, ὁ θάνατος τεθανάτωται, καὶ ἡμεῖς ἐζωοποιήθημεν· διὸ ἀνυμνοῦντες βοῶμέν σοι. Εὐλογητὸς Χριστὸς ὁ Θεὸς, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Δοξολογία μεγάλη, καὶ ἡ συνήθως Λιτὴ ἐν τῷ Νάρθηκι· ἐν ᾗ ψάλλομεν καὶ τὸ ἑωθινὸν ἰδιόμ. συνάπτομεν δὲ καὶ τὴν πρώτην Ὥραν· καὶ ἀναγινώσκονται αἱ Κατηχήσεις τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου, καὶ Ἀπόλυσις· εἰς τὴν Λειτουργίαν τυπικά. Ἐκ τῶν Μακαρισμῶν τοῦ Ἤχου τροπάρια δ'. Καὶ ἐκ τοῦ Κανόνος τῆς ἡμέρας τοῦ Τριωδίου· ᾠδὴ ς'. Προκείμενον, ἦχος πλ. δ'.

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Ἀδελφοί, Νῦν ἐγγύτερον ἡμῶν ἡ σωτηρία, ἢ ὅτε ἐπιστεύσαμεν· ἡ νὺξ προέκοψεν, ἡ δὲ ἡμέρα ἤγγικεν· ἀποθώμεθα οὖν τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτὸς, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· μὴ κώμοις, καὶ μέθαις, μὴ κοίταις, καὶ ἀσελγείαις, μὴ ἔριδι, καὶ ζήλῳ· ἀλλ' ἐνδύσασθε τὸν Κύριον Ἰησοῦν Χριστὸν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις λογισμῶν· ὃς μὲν πιστεύει, φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν, λάχανα ἐσθίει· ὁ ἐσθίων, τὸν μὴ ἐσθίοντα μὴ ἐξουθενείτω· καὶ ὁ μὴ ἐσθίων, τὸν ἐσθίοντα μὴ κρινέτω· ὁ Θεὸς γὰρ αὐτὸν προσελάβετο· σὺ τίς εἶ, ὁ κρίνων ἀλλότριον οἰκέτην; τῷ ἰδίῳ Κυρίῳ στήκει, ἢ πίπτει· σταθήσεται δὲ, δυνατὸς γάρ ἐστιν ὁ Θεὸς, στῆσαι αὐτόν.

Ἀλληλουϊάριον, ἦχος δ'. Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Εὐαγγέλιον κατὰ Ματθαῖον· Εἶπεν ὁ Κύριος ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν· καὶ ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου, Κοινωνικὸν, **Αἰνεῖτε τὸν Κύριον**. Δεῖ εἰδέναι, ὅτι ἀπὸ ταύτης τῆς Κυριακῆς μέχρι τῆς Ὑψώσεως τοῦ τιμίου Σταυροῦ σχολάζει ὁ Πολυέλεος· ψάλλεται δὲ μόνον ἐν ταῖς ἀγρυπνίαις τῶν δεσποτικῶν Ἑορτῶν.

Τῇ αὐτῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ λυχνικὸν οὐ στιχολογοῦμεν. Ἀλλ' εὐθὺς μετὰ τὸν προοιμιακὸν ψαλμὸν, ψάλλομεν τὸ **Κύριε ἐκέκραξα**. εἰς τὸν ἦχον τοῦ τυχόντος ἤχου τῆς Ὀκτωήχου, ἱστῶντες, στίχ. ι. καὶ ψάλλομεν στιχηρὰ Κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. Καὶ τοῦ Τριωδίου προσόμοια γ'. ἦχος β'. Ἄγγελος μὲν τὸ χαῖρε.

Ποίημα κυρίου Ἰωσήφ.

Ἐγκράτεια τὴν σάρκα ταπεινῶσαι πάντες σπουδάσωμεν, τὸ θεῖον ὑπερχόμενοι στάδιον τῆς ἀμώμου νηστείας· καὶ εὐχαῖς, καὶ δάκρυσι Κύριον τὸν σώζοντα ἡμᾶς ἐκζητήσωμεν· καὶ λήθην τῆς κακίας παντελῆ ποιήσωμεν, βοῶντες. Ἡμάρτομέν σοι, σῶσον ὡς πάλαι Νινευΐτας Χριστὲ Βασιλεῦ· καὶ κοινωνοὺς ἡμᾶς οὐρανίου Βασιλείας ποίησον εὔσπλαγχνε.

Ἐμαυτὸν ἀπελπίζω, ἐννοῶν τὰ ἔργα μου, Κύριε, τὰ πάσης τιμωρίας ἐπάξια· ἰδοὺ γὰρ παραβλέψας τὰ σεπτά σου, Σῶτερ, ἐντάλματα, ἀσώτως μου τὸν βίον ἐξήνλωσα· διὸ καθικετεύω, μετανοίας ὄμβροις με καθάρας, νηστείᾳ, καὶ δεήσει, ὡς μόνος ἐλεήμων, ἐκλάμπρυνον· καὶ μὴ βδελύξῃ με, εὐεργέτα τῶν ἁπάντων, καὶ ὑπεράγαθε.

Ἕτερον τοῦ κυρίου Θεοδώρου. ἦχος β'.

Τῶν ὑπὲρ νοῦν δωρεῶν.

Τὸν τῆς νηστείας καιρὸν φαιδρῶς ἀπαρξώμεθα, πρὸς ἀγῶνας πνευματικοὺς ἑαυτοὺς ὑποβάλλοντες ἁγνίσωμεν τὴν ψυχὴν, τὴν σάρκα καθάρωμεν· νηστεύσωμεν, ὥσπερ ἐν τοῖς βρώμασιν, ἐκ παντὸς πάθους, τὰς ἀρετὰς τρυφῶντες τοῦ πνεύματος, ἐν αἷς διατελοῦντες πόθῳ ἀξιωθείημεν πάντες, κατιδεῖν τὸ πάνσεπτον Πάθος Χριστοῦ τοῦ Θεοῦ, καὶ τὸ ἅγιον Πάσχα, πνευματικῶς ἐναγαλλιώμενοι.

Εἶτα τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν θεοτ. Εἴσοδος μετὰ τοῦ θυμιατοῦ. Φῶς ἱλαρὸν.

Προκείμενον, ἦχος πλ. δ'.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.

Ἡ σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου, στίχ. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν. Καὶ πάλιν

γεγω-

Digitized by Google

γεγωνοτέρα φωνῇ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου· ἡ Ἐκτενὴ· τὸ Καταξίωσον Κύριε· μετάνοιαι γ΄. αἱ αἰτήσεις παρὰ τοῦ Ἱερέως. Καὶ μετὰ τὴν Ἐκφώνησιν ἰδιόμ. Δεῖ εἰδέναι, ὅτι ἐν πάσαις ταῖς Κυριακαῖς τῆς ἁγίας Μ΄ εἰς τὸ λυχνικὸν γίνεται Εἴσοδος διὰ τὰ μεγάλα Προκείμενα· εἰς τὸ στίχ. ἰδιόμ. ἦχος δ΄.

Ἔλαμψεν ἡ χάρις σου Κύριε· ἔλαμψεν ὁ φωτισμὸς τῶν ψυχῶν ἡμῶν· ἰδοὺ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ καιρὸς μετανοίας· ἀποθώμεθα τὰ ἔργα τοῦ σκότους, καὶ ἐνδυσώμεθα τὰ ὅπλα τοῦ φωτός· ὅπως διαπλεύσαντες τὸ τῆς νηστείας μέγα πέλαγος, εἰς τὴν τριήμερον Ἀνάστασιν καταντήσωμεν τοῦ Κυρίου, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ σώζοντος τὰς ψυχὰς ἡμῶν.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου τὸν κατοικοῦντα ἐν τῷ Οὐρανῷ· ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν Κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς Κυρίας αὐτῆς, οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς. Καὶ δυσδέομεν αὐτό. Εἶτα τὸ Μαρτυρικὸν· στίχ. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν, τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις. Τὸ μάρτ.

Ὁ Ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν ἁγίων σου Χριστὲ ὁ Θεός, ὑπ' αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος. Δόξα. Καὶ νῦν, θεοτοκ. προσόμοιον· ἦχος ὁ αὐτός.

Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῶν Ἀγγέλων αἱ τάξεις σε, Θεομῆτορ, δοξάζουσι· τὸν Θεὸν γὰρ πάναγνε ἀπεκύησας, τὸν σὺν Πατρί, καὶ τῷ Πνεύματι ἀεὶ συνυπάρχοντα, καὶ Ἀγγέλων στρατιὰς ἐκ μὴ ὄντος βουλήματι ὑποστήσαντα· ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς τῶν ὀρθοδόξως σε ἀνυμνούντων παναχράντε.

Νῦν ἀπολύεις· τὸ Παναγία Τριάς· τὸ Πάτερ ἡμῶν· καὶ τὰ παρόντα τροπ. ἦχος β΄.

Θεοτόκε Παρθένε Χαῖρε κεχαριτωμένη Μαρία, ὁ Κύριος μετὰ σοῦ, εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.

Καὶ ποιοῦμεν μετάνοιαν μίαν. Δόξα.

Βαπτιστὰ τοῦ Χριστοῦ, πάντων ἡμῶν μνήσθητι, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· σοὶ γὰρ ἐδόθη χάρις πρεσβεύειν ὑπὲρ ἡμῶν.

Μετάνοιαν μίαν. Καὶ νῦν.

Ἱκετεύσατε ὑπὲρ ἡμῶν, ἅγιοι Ἀπόστολοι, καὶ Ἅγιοι πάντες, ἵνα ῥυσθῶμεν κινδύνων, καὶ θλίψεων· ὑμᾶς γὰρ θερμοὺς προστάτας πρὸς τὸν Σωτῆρα κεκτήμεθα.

Μετάνοιαν μίαν. Τὸ παρὸν λέγεται χωρὶς μετανοίας, καὶ μέλους.

Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν καταφεύγομεν Θεοτόκε· τὰς ἡμῶν ἱκεσίας μὴ παρίδῃς ἐν περιστάσει· ἀλλ' ἐκ κινδύνων λύτρωσαι ἡμᾶς, μόνη ἁγνή, μόνη εὐλογημένη.

Τὸ Κύριε ἐλέησον Μ΄. πραεῖα φωνῇ, καὶ μετ' ἰσότητος πάντες. Ἐκφωνεῖ ὁ Ἱερεύς, λέγων. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας.

Καὶ ἡ Εὐχή.

Ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον· τὴν Πίστιν στήριξον, τὰ Ἔθνη πράϋνον· τὸν Κόσμον εἰρήνευσον· τὴν ἁγίαν Μονὴν ταύτην καλῶς διαφύλαξον· τοὺς προαπελθόντας Πατέρας, καὶ ἀδελφοὺς ἡμῶν ἐν σκηναῖς δικαίων τάξον· καὶ ἡμᾶς ἐν μετανοίᾳ, καὶ ἐξομολογήσει περίλαβε, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Καὶ ποιοῦμεν τὰς γ΄. μεγάλας μετανοίας, καὶ λέγομεν καὶ τὴν Εὐχὴν τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἐφραὶμ τοῦ Σύρου.

Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου, Πνεῦμα ἀργίας, περιεργίας, φιλαρχίας, καὶ ἀργολογίας μή μοι δῷς, Πνεῦμα δὲ σωφροσύνης, ταπεινοφροσύνης, ὑπομονῆς, καὶ ἀγάπης χάρισαί μοι τῷ σῷ δούλῳ. Ναὶ Κύριε Βασιλεῦ δώρησαί μοι τοῦ ὁρᾶν τὰ ἐμὰ πταίσματα, καὶ μὴ κατακρίνειν τὸν ἀδελφόν μου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Καὶ ἀσπαζόμεθα τὰς ἁγίας Εἰκόνας ἐν τοῖς στασίοις ἡμῶν, ὡς συνήθως· καὶ λέγει ὁ Πρεσβύτερος τὸ Δόξα σοι ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι. καὶ γίνεται Εὐχὴ ὑπὸ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις. Οὗτος ὁ τύπος ὀφείλει γίνεσθαι κατὰ πᾶσαν Κυριακὴν ἑσπέραν ἕως τῆς πέμπτης Κυριακῆς τῶν Νηστειῶν. Ἰστέον δέ, ὅτι μίαν ἡμέραν τῆς ἁγίας Μ΄. ἐπεσκεμμένως, καὶ ἀκριβῶς διεθέμεθα, ἔστω αὕτη τύπος, καὶ ὑπόδειγμα, καὶ κανὼν ἔμψυχος, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, πάσης τῆς ἁγίας Μ΄. Χρὴ εἰδέναι, ὅτι ἐὰν γένηται, Ἀδελφὸν ἐκδημῆσαι πρὸς Κύριον ἐν ταῖς ἁγίαις ταύταις ἡμέραις διὰ μέσης τῆς Ἑβδομάδος, παννυχὶς οὐ γίνεται τὸ τρίτον αὐτοῦ ἕως τῇ Παρασκευῇ ἑσπέρας· τότε γὰρ τελεῖται ἡ παννυχὶς αὐτοῦ ὁμοίως, καὶ τῷ Σαββάτῳ ἡ Λειτουργία αὐτοῦ. τὸ δὲ ἑπτὸν Σάββατον γίνονται τὰ ἔννατα αὐτοῦ, κἂν λαγχάνῃ, κἄντε μή. Τὰ δὲ τεσσαρακοστὰ αὐτοῦ γίνονται, ὅταν ὁ ἀριθμὸς τῶν ἡμερῶν αὐτοῦ πληρωθῇ· αἱ δὲ προσφοραί, καὶ αἱ μνῆμαι αὐτοῦ ἄρχονται ἀπὸ τῆς νέας Κυριακῆς μέχρι συμπληρώσεως ἡμερῶν μ΄.



Digitized by Google

Τῇ β'. τῆς α'. Ἑβδομάδος εἰς τὸν Ὄρθρον σημαίνει βραδύτερον· διὰ τὴν τῆς ἑσπέρας παράκλησιν, καὶ συναγόμεθα πάντες κατὰ τὸν τύπον ἐν τῇ Ἐκκλησίᾳ. Εἶθ' οὕτως ἀνίσταται ὁ Ἱερεὺς, καὶ ποιεῖ τὴν συνήθη μετάνοιαν τῷ Προεστῶτι, καὶ εἰσέρχεται εἰς τὸ ἅγιον Βῆμα. Καὶ λαβὼν θυμιατὸν, ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης, καὶ θυμιῶν σταυροειδῶς, λέγει. Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, καὶ ἡμῶν ἐπιφωνούντων τὸ Ἀμήν. Ψάλλεται Τρισάγιον χωρὶς μετανοιῶν. Μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ μετὰ τὸ, Ἀμήν. Τὸ, Κύριε ἐλέησον ιβ'. καὶ εὐθὺς, τό. Δόξα τῇ ἁγίᾳ, καὶ ὁμοουσίῳ, καὶ ζωοποιῷ, καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Καὶ ψάλλεται ὁ Ἑξάψαλμος χωρὶς μετανοιῶν, μετὰ πάσης προσοχῆς, καὶ φόβου Θεοῦ, καὶ οὐκ ἔχει ἐξουσίαν τὶς πτύσαι, ἢ βῆξαι· ὡσαύτως συλλαλοῦντες, καὶ δυσωποῦντες ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν. Ἔπειτα Συναπτὴ ὑπὸ τοῦ Διακόνου, καὶ ὁ Ἱερεὺς ἐκφωνεῖ. Εἶτα ψάλλει ὁ ταχθεὶς Μοναχὸς τὸ Ἀλληλούϊα εἰς τὸν τυχόντα ἦχον, καὶ ἡμεῖς τὰ Τριαδικὰ τοῦ ἤχου· ἢ τὰ ἴδια πρὸς μίαν· ἢ ὡσαύτως τὸ ἓν, ὡς δόξει τῷ Προεστῶτι· ψάλλονται δὲ μετὰ μέλους, μεγαλοφώνως, καὶ ἀργῶς. Εἶτα στιχολογοῦμεν τὸ ἓν κάθισμα τοῦ Ψαλτηρίου· κατὰ δὲ Ἀντίφωνον, Ἀλληλούϊα, ποιοῦμεν μετανοίας γ'. οἱ πάντες ἐξ ἴσου. Εἰς τὸ α'. καθίσματα κατανυκτικὰ τῆς Ὀκτωήχου, Ἔπειτα Ἀνάγνωσις εἰς τὸν ἅγιον Ἐφραίμ. Μετὰ δὲ τὴν β'. στιχολογίαν κάθισμα τοῦ Τριῳδίου τοῦ κυρίου Ἰωσήφ· ἦχος β'.

Εὐσπλαγχνίας ὑπάρχουσα.

Τῆς νηστείας τῇ θείᾳ ἀπαρχῇ κατάνυξιν κτησώμεθα ψυχῆς, ἐκβοῶντες. Δέσποτα Χριστὲ, τὴν προσευχὴν ἡμῶν δέξαι, ἐκλεκτὸν ὥσπερ θυμίαμα, καὶ ῥῦσαι, δεόμεθα, δυσώδους φθορᾶς ἡμᾶς, καὶ κολάσεως φρικτῆς, ὁ μόνος ὑπάρχων εὐδιάλλακτος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν θεοτοκίον Ὅμοιον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι· ὡς ποτὲ ὁ Γαβριὴλ, ὁ τῶν Ἀσωμάτων ἀρχιστράτηγος.

Καὶ πάλιν Ἀνάγνωσις εἰς τὸν ἅγιον Ἐφραίμ. Μετὰ δὲ τὴν γ'. στιχολογ. καθίσματα· τοῦ κυρίου Θεοδώρου· ἦχος β'. Τὴν ἄχραντον εἰκ.

Τὴν πάνσεπτον ἐγκράτειαν ἐναρξώμεθα φαιδρῶς· ἀκτῖνας ἀπολάμποντες τῶν ἁγίων ἐντολῶν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν· ἀγάπης τὴν λαμπρότητα, προσευχῆς τὴν ἀστραπὴν, ἁγνείας καθαρότητα, ἀνδρείας τὴν ἰσχύν· ὅπως λαμπροφόροι προφθάσωμεν εἰς τὴν ἁγίαν, καὶ τριήμερον Ἀνάστασιν, τὴν καταλάμπουσαν ἀφθαρσίαν τῷ Κόσμῳ,

Δόξα, τὸ αὐτὸ, καὶ νῦν· θεοτοκίον Ὅμοιον.

Τὴν ἄμαχον πρεσβείαν σου κεκτημένος ἐν δεινοῖς, λυτροῦμαι τῶν θλιβόντων με παρ' ἐλπίδα θαυμαστῶς, ὦ Μῆτερ Θεοῦ ἡμῶν. προφθάνεις γὰρ σὺ πάντοτε τοῖς αἰτοῦσι σε πιστῶς, τὸν ζόφον ἐκδιώκουσα τῶν πολλῶν ἁμαρτιῶν· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Δέξαι Δέσποινα βραχεῖα χαριστήρια· ἀνθ' ὧν ὑπάρχεις μοι ἐν πᾶσι βοήθεια.

Εἶτα ὁ Ν'. καὶ ἡ συνήθης Εὐχή. Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Εἶτα Ἐκφώνησις· καὶ εὐθὺς, Τῷ Κυρίῳ ᾄσωμεν, εἰς τὸν ἦχον τοῦ Κανόνος τοῦ Μηναίου, τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου· ψάλλομεν δὲ αὐτὸν μετὰ τοῦ Εἱρμοῦ εἰς ς'. ἀπὸ δὲ τοῦ στίχ. τοῦ, Τότε ἐσπούδασαν ἡγεμόνες Ἐδώμ· εἰσέρχονται τὰ Τριῴδια, καὶ λέγομεν τὰ δ'. τροπ. τοῦ κυρίου Ἰωσήφ· εἰς δὲ τὸ, Κύριος βασιλεύων τῶν αἰώνων, ἄρχεται τὸ Τριῴδιον τοῦ κυρίου Θεοδώρου· καὶ ψάλλομεν ὁ εἷς χορὸς, τὸ ἓν τροπ. ὁ δὲ ἕτερος, τὸ ἄλλο. Εἶθ' οὕτως ἑνουμένων τῶν δύο Χορῶν, δοξάζομεν ὑψηλοτέρᾳ φωνῇ, καὶ ψάλλομεν τὸ Τριαδικὸν τροπάριον τοῦ Τριῳδίου, Καὶ νῦν, θεοτοκίον, καὶ πάλιν ὑψηλοτέρᾳ τῇ φωνῇ λέγομεν τὸ, Δόξα σοι. καὶ ψάλλομεν τὸ ἕτερον τροπ. τοῦ κυρίου Θεοδώρου. Ἐπεὶ γὰρ ἀνὰ ί, τροπάρια ἔχει ἡ ᾠδὴ, ὕστερον δὲ λέγομεν Καταβασίαν τὸν Εἱρμὸν τοῦ δευτέρου Κανόνος· οὕτω ποιοῦμεν ἐφ' ὅλην τὴν ἁγίαν Μ'. Ἀπὸ δὲ γ'. ᾠδῆς κάθισμα τοῦ Μηναίου, εἰς δὲ τὴν ς'. ᾠδὴν, κάθισμα μαρτυρικὸν τοῦ ἤχου, καὶ Ἀνάγνωσις εἰς τὸ Συναξάριον τοῦ Μηναίου τῆς ἡμέρας· τὸ Τριῴδιον τοῦ κυρίου Ἰωσήφ, ᾠδὴ α'. ἦχος β'. Δεῦτε λαοὶ, ἐν ταύτῃ στιχολογῆται ἡ α'. ᾠδὴ τῶν Ὠδῶν.

Πῶς τὴν ἐμὴν νῦν ἀποκλαύσομαι ἔκπτωσιν; ποίαν ἀρχὴν ποιήσομαι τῆς σωτηρίας μου, ὁ ἀσώτως βιώσας; οἰκτίρμων, ὥσπερ, οἶδας, κρίμασι σῶσόν με.

Ἴδε καιρὸς, ἰδοὺ ἡμέρα σωτήριος ἡ τῆς νηστείας εἴσοδος, ψυχὴ γρηγόρησον, καὶ παθῶν τὰς εἰσόδους ἀπόκλεισον, Κυρίῳ ἐνατενίζουσα.

Ἁμαρτιῶν ἡ τρικυμία χειμάζουσα, ἐπὶ βυθὸν καθέλκει με τῆς ἀπογνώσεως· ἀλλὰ σὺ τῷ πελάγει προσέχω τοῦ ἐλέους, σῶσόν με Κύριε.

Μόνος ἐγὼ τῇ ἁμαρτίᾳ δεδούλωμαι· μόνος ἐγὼ τοῖς πάθεσι θύρας ἠνέῳξα, εὐδιάλλακτε Λόγε, ἐπίστρεψόν με, σῶσόν τῇ εὐσπλαγχνίᾳ σου.



Digitized by Google

Θεοτοκίον.

Ἡ τὴν πηγὴν τῆς ἀπαθείας κυήσασα, τραυματισθέντα πάθεσι, Κόρη, θεράπευσον· καὶ πυρὸς αἰωνίου ἐξάρπασόν με, μόνη Θεοχαρίτωτε.

Ἕτερον Τριῴδιον τοῦ κυρίου Θεοδώρου ἦχος β', καὶ Εἱρμὸς ὁ αὐτός.

Δεῦτε λαοί, σήμερον ὑποδεξώμεθα τῶν νηστειῶν τὸ χάρισμα, ὡς θεοδώρητον καιρὸν τῆς μετανοίας· ἐν ταύτῃ τὸν Σωτῆρα ἱλεωσώμεθα.

Ἔφθασε νῦν, ἐπέστη ὁ τῶν ἀγώνων καιρός· τὸ τῆς νηστείας στάδιον, προθύμως ἅπαντες ἀπαρξώμεθα ταύτης, τὰς ἀρετὰς Κυρίῳ ὡς δῶρα φέροντες.

Δόξα.

Μονὰς ἁπλῆ, τρίφωτε, ἀρχικωτάτη ἑνάς. παρθενεστάτη, πάνζωε, Θεὲ, καὶ Κύριε, Πατὴρ ὁ παντοκράτωρ, ὁ Υἱός, καὶ τὸ Πνεῦμα, σῶζε τοὺς σέβοντάς σε.

Θεοτοκίον.

Τὸ τοῦ Θεοῦ ἅγιον ὄρος ὑμνήσωμεν, Μαρίαν τὴν ἀμίαντον, ἐξ ἧς ἀνέτειλεν ὁ τῆς Δικαιοσύνης Ἥλιος τοῖς ἐν σκότει Χριστός, ἡ πάντων ζωή.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἅρμα πυρὸς ἔλαβεν Ἠλίαν τὸν θαυμαστόν, νηστείᾳ ὁπλισάμενον, Μωσῆν ἀνέδειξε θεατὴν τῶν ἀρρήτων· καὶ ἡμεῖς ταύτην ἑλόντες ὀψόμεθα τὸν Χριστόν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Βρῶσιν Ἀδὰμ ἔφαγε, καὶ Παραδείσου αὐτὸν ἡ ἀκρασία ἔξωσεν· ἡμᾶς δὲ, Κύριε, ἡ νηστεία λαβοῦσα, ἀξίους μετανοίας δείξοι, φιλάνθρωπε.

Ὁ Εἱρμός.

Δεῦτε λαοί, ᾄσωμεν ᾆσμα Χριστῷ τῷ Θεῷ, τῷ διελόντι θάλασσαν, καὶ ὁδηγήσαντι τὸν
„ λαόν, ὃν ἀνήγαγε δουλείας Αἰγυπτίων, ὅτι δεδόξα-
„ σται.

Ἐν τῇ ζ'. ᾠδῇ Τὸ μαρτυρικὸν τοῦ ἤχου.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Πυρποληθέντα ἡδοναῖς, καὶ ψυχῆς τὸ ὀπτικὸν ἀμαυρωθέντα, τῷ πυρὶ τοῦ σοῦ φόβου ἀνακαινίσας Χριστὲ, φωτί με σωτηρίας αὔγασον, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Κόρον μισήσασα παθῶν, ἐπιάσθητι καλῶν τῇ καρυκείᾳ, καὶ ἡδύνθητι μᾶλλον τῇ ἐκ νηστείας τρυφῇ, πικρίας ἡδονῶν ἐκκλίνουσα, ταπεινὴ ψυχή μου, καὶ ζήσῃ εἰς αἰῶνας.

Ἐπωρωμένος τὴν ψυχήν, καὶ τῇ μέθῃ τῶν παθῶν ἐσκοτισμένος, οὐδαμῶς ἀτενίζω πρὸς σὲ τὸν μόνον Θεόν· διό με οἴκτειρον, καὶ φώτισον, καὶ τῆς μετανοίας ὑπάνοιξόν μοι πύλας.

Θεοτοκίον.

Ἡ οὐρανώσασα ἡμῶν τὴν γεώδη, καὶ φθαρτὴν, ἁγνὴ, οὐσίαν τῇ θερμῇ σου πρεσβείᾳ, κατορθωθῆναι ἡμῶν ἐντεύξεις, καὶ δεήσεις ποίησον, πρὸς τὸν σόν, καὶ πάντων Θεόν, καὶ βασιλέα.

Εἱρμὸς ἄλλος. Τὸν πάλαι δροσίσαντα.

Φαιδρῶς εἰσδεξώμεθα τῆς νηστείας τὴν εἴσοδον πιστοί, καὶ μὴ σκυθρωπάσωμεν, ἀλλὰ νιψώμεθα τὰ πρόσωπα ἡμῶν. ἀπαθείας τῷ ὕδατι, εὐλογοῦντες, καὶ ὑπερυψοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐλαίῳ ἀλείψαντες συμπαθείας ψυχῆς τὴν κεφαλὴν, μὴ βαττολογήσωμεν, τῷ Πατρὶ ἡμῶν τῷ ἐν τοῖς Οὐρανοῖς προσευχὰς ἀναπέμποντες, εὐλογοῦντες, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Ἀΐδιον, ἄναρχον τὸν Πατέρα ὑμνήσωμεν πιστοί. Υἱὸν δὲ συνάναρχον, καὶ Πνεῦμα συνεκλάμψαν ἐκ Πατρὸς, ὁμοούσια πρόσωπα, μιᾶς ὄντα τῆς παντοδυνάμου ἀρχῆς, καὶ ἐξουσίας.

Θεοτοκίον.

Μαρία θεόκλητε, ἱλαστήριον ὄντως τῶν πιστῶν, ἐκ σοῦ γὰρ ἡ ἄφεσις παρέχεται τοῖς πᾶσι δαψιλῶς· τὸν Υἱόν σου, καὶ Κύριον μὴ ἐλλίπῃς εὐμενιζομένη ὑπὲρ τῶν σὲ ὑμνούντων·

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νηστεύσας ὁ Κύριος τεσσαράκοντα μέσον ἡμερῶν, τὰς νῦν ἀφιέρωσε, καὶ ἡγίασεν ἡμέρας, ἀδελφοί· ἐν αἷς φθάσαντες, κράζομεν. Εὐλογεῖτε, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν πάλαι δροσίσαντα τῶν Ἑβραίων τοὺς παῖδας ἐν φλογί, καὶ φλέξαντα Κύριον τοὺς
„ Χαλδαίους παραδόξως ἐν αὐτῇ, ἀνυμνήσωμεν
„ λέγοντες. Εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας
„ τοὺς αἰῶνας.

Καὶ στιχολογεῖται ἡ Τιμιωτέρα.

Ὠδὴ θ'. Τὸν ἐκ Θεοῦ Θεὸν Λόγον.

Ἡ τῆς νηστείας ἡμέρα ἀποχὴ ἁμαρτίας γενέσθω σοι ψυχή, καὶ πρὸς Θεὸν νεῦσις ὁμοῦ, καὶ οἰκείωσις. ὅπως φύγῃς κακίας τὰ βάραθρα, καὶ μόνας τὰς ὁδοὺς, τὰς φερούσας, ποθήσῃς, πρὸς τὴν ἐκεῖ κατάπαυσιν.

Καὶ λογισμοῖς ὀλισθήσας, καὶ σαρκὶ πλημμελήσας, ὀδύρομαι, καὶ στένω, καὶ βοῶ· σῶσόν με Κύριε, σῶσόν με ἀνεξίκακε μόνε, καὶ μὴ καταδικάσῃς με εἰς πῦρ τῆς γεέννης ἐκείνης τῆς καταδίκης ἄξιον.

Τὸν φωτεινὸν τῆς νηστείας ἐνδυθέντες χιτῶνα, κραιπάλης σκοτεινὸν, καὶ δυσαχθὲς ἀποδυσώμεθα ἔνδυμα. καὶ φαιδροὶ γεγονότες ταῖς θείαις ἀρεταῖς, τὰ φωταυγῆ τοῦ Σωτῆρος ἐν πίστει ὀψόμεθα παθήματα.

Θεοτοκίον.

Ἐξασθενήσασαν πάσαις προσβολαῖς τῶν κακίστων δαιμόνων τὴν ἀθλίαν μου ψυχὴν ἴασαι, ἄχραντε Δέσποινα, ἰατρὸν τετοκυῖα Χριστὸν, τὸν

απο-

Digitized by Google

ἀπολύτρωσιν ἡμῶν τῶν εἰδότων σε Κόριον, Παρθένον ἀδιάφθορον.

Εἱρμὸς ἄλλος. Τὴν ὑπερφυῶς σαρκί.

Νῦν ἐπέστη ὁ καιρὸς τῶν ἁγίων νηστειῶν, ἐναρξώμεθα ταύτης ἐν καλαῖς ἀναστροφαῖς· Εἰς κρίσεις γὰρ, καὶ μάχας μὴ νηστεύετε, φησίν.

Ἐν τῷ ὄρει τῷ Χωρὴβ τῇ νηστείᾳ καθαρθεὶς, εἶδε Θεὸν Ἠλίας, Καθαρθῶμεν καὶ ἡμεῖς νηστείᾳ τὴν καρδίαν, καὶ ὀψόμεθα Χριστόν.

Δόξα.

Μίαν φύσιν προσκυνῶ, τρία πρόσωπα ὑμνῶ, ἕνα Θεὸν τῶν ὅλων, τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἀΐδιον ἀρχήν.

Θεοτοκίον.

Ἡ ἁγνὴ παιδοποιεῖς, ἡ Παρθένος γαλουχεῖς· πῶς ἐν ταυτῷ τὰ δύο, παρθενεύεις τίκτουσα; Θεός ἐστιν ὁ δράσας, μὴ ἐκζήτει μοι τὸ πῶς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡμέρα μία μὲν, φησὶ, βίος ὅλος γηγενῶν, τοῖς κάμνουσιν ἐκ πόθου τεσσαράκοντα εἰσὶν ἡμέραι τῆς νηστείας, ἃς τελέσωμεν φαιδρῶς.

Ὁ Εἱρμός.

Τὴν ὑπερφυῶς σαρκὶ συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα Λόγον, ἐν ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν πιστοί.

Εἶτα, τό.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον, καὶ παναμώμητον, καὶ Μητέρα τοῦ Θεοῦ ἡμῶν, τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Μετάνοιαν μίαν. Καὶ τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τοὺς Αἴνους, εἰς τὸ, Πᾶσα πνοὴ· στίχ. οὐ ψάλλομεν· μετὰ δὲ τὸ εἰπεῖν τὸ, Σοὶ δόξα πρέπει Κύριε ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Δόξα σοι τῷ δείξαντι τὸ φῶς, καὶ φωτίσαντι τὸν Κόσμον· ἀπερχόμεθα ἐν τοῖς ψιαθίοις ἡμῶν, οἱ δύο Χοροὶ, καὶ ἱστάμενοι ἐν ἰσότητι, ἀρχόμεθα τοῦ Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· καὶ τὰ λοιπὰ, μετὰ πραείας, καὶ ἴσης τῆς φωνῆς πάντες ποιοῦντες καὶ μετανοίας γ'. πληρουμένων δὲ αὐτῶν, λέγει ὁ Ἱερεὺς τὰς Αἰτήσεις· μετὰ δὲ τὴν Ἐκφώνησιν ἀρχόμεθα τοῦ ἰδιομέλου τοῦ Τριῳδίου τῆς ἡμέρας. Τῇ Δευτέρᾳ πρωῒ εἰς τὸν στίχ. ἰδιόμελον· ἦχος πλ. α'.

Ἐλήλυθεν ἡ νηστεία, ἡ Μήτηρ τῆς σωφροσύνης, ἡ κατήγορος τῆς ἁμαρτίας, καὶ συνήγορος τῆς μετανοίας, ἡ πολιτεία τῶν Ἀγγέλων, καὶ σωτηρία τῶν ἀνθρώπων· οἱ πιστοὶ ἀνακράξωμεν, ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Στίχ.

Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου Κύριε, καὶ ἠγαλλιασάμεθα, καὶ εὐφράνθημεν ἐν πάσαις ταῖς ἡμέραις ἡμῶν, εὐφρανθείημεν, ἀνθ' ὧν ἡμερῶν ἐταπείνωσας ἡμᾶς, ἐτῶν ὧν εἴδομεν κακά. Καὶ ἴδε ἐπὶ τοὺς δούλους σου, καὶ ἐπὶ τὰ ἔργα σου, καὶ ὁδήγησον τοὺς υἱοὺς αὐτῶν. Καὶ διατοῦμεν αὐτό. Εἶτα στίχ. Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς· καὶ τὰ ἔργα τῶν χειρῶν ἡμῶν κατεύθυνον ἐφ' ἡμᾶς, καὶ τὸ ἔργον τῶν χειρῶν ἡμῶν κατεύθυνον.

Εἶτα, τὸ μάρτυς.

Εὐλογημένος ὁ στρατὸς τοῦ Βασιλέως τῶν Οὐρανῶν· εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ Ἀθλοφόροι, ἀλλὰ ἀγγελικὴν ἀξίαν ἑαυτοῦ φθάσαι, τῶν σωμάτων καταφρονήσαντες· καὶ διὰ τῶν παθημάτων τῆς τῶν Ἀσωμάτων ἀξιωθέντες τιμῆς· εὐχαῖς αὐτῶν, Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν τοῦ Θεοῦ Μητέρα, καὶ Παρθένον ἁγνὴν, καὶ τῶν Χερουβὶμ ἁγιωτέραν ἐν φωναῖς ᾀσμάτων μεγαλύνομεν· ὅτι ψυχῇ, καὶ σώματι Θεοτόκον ὁμολογοῦμεν, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον· πρέσβευε πάναγνε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἶτα τὸ, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου ὕψιστε· τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. Τὸ Τρισάγιον. Μετανοίας γ'. τὸ, Παναγία Τριάς· τὸ, Πάτερ ἡμῶν· μετὰ δὲ τὸ εἰπεῖν τὸν Ἱερέα, τὸ, Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία· λέγομεν χορ.

Ἐν τῷ Ναῷ ἑστῶτες τῆς δόξης σου, ἐν Οὐρανῷ ἑστάναι νομίζομεν, Θεοτόκε πύλη ἐπουράνιε, ἄνοιξον ἡμῖν τὴν θύραν τοῦ ἐλέους σου.

Καὶ λέγομεν τὸ, Κύριε ἐλέησον μ'. εἶτα ἀπέρχεται ὁ Ἱερεὺς, καὶ λέγει. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν. Ἐπουράνιε Βασιλεῦ. Μετὰ δὲ τοῦτο ἱστάμεθα καθ' ἑαυτοὺς ἐν τῷ ἰδίῳ λογισμῷ λέγοντες τὴν Εὐχὴν τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἐφραίμ· τὸ, Κύριε καὶ Δέσποτα τῆς ζωῆς μου· μετὰ τῶν συνήθως μετανοιῶν. Ἐν δὲ τῇ ιβ'. μετανοίᾳ λεγομένη πάλιν τὴν Εὐχὴν ὡσαύτως, καὶ ἀνιστάμεθα. Εἶτα ἄρχεται ὁ Προεστὼς, Δεῦτε προσκυνήσωμεν. γ'. καὶ μετανοίας γ'. καὶ συνάπτομεν τὴν πρώτην Ὥραν· καὶ πληρουμένου τοῦ γ'. ψαλμοῦ, λέγομεν τὸ Ἀλληλούϊα, καὶ μετανοίας γ'. Δεῖ εἰδέναι, ὅτι τὰς Δευτέρας πάσας τῆς ἁγίας Μ'. εἰς τὴν πρώτην Ὥραν οὐ στιχολογοῦμεν· τὰς δὲ λοιπὰς ἡμέρας στιχολογοῦμεν, καὶ ποιοῦμεν καθ' ἓν Ἀντίφωνον μετανοίας γ'. Ψάλλει δὲ ὁ ταχθεὶς Μοναχὸς Προκείμενον εἰς ἦχον πλ. β'.

Τὸ πρωῒ, εἰσάκουσον τῆς φωνῆς μου, ὁ Βασιλεύς μου, καὶ ὁ Θεός μου.

Καὶ ἡμῶν ἀνταποκρινομένων, ὁ αὐτὸς ποιεῖ γονυκλισίαν ἐπὶ γῆς, ὡσαύτως καὶ εἰς τοὺς λοιποὺς



Digitized by Google

δύο στίχους, στίχ. α΄. **Τὰ ῥήματά μου ἐνώτισαι Κύριε·** στίχ. β΄. **Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε.** Καὶ πάλιν. **Τὸ πρωῒ εἰσάκουσον τῆς φωνῆς μου.**

Δόξα. Καὶ νῦν.

**Τί σε καλέσωμεν ὦ κεχαριτωμένη; Οὐρανόν; Ὅτι ἀνέτειλας τὸν Ἥλιον τῆς Δικαιοσύνης. Παράδεισον; Ὅτι ἐβλάστησας τὸ ἄνθος τῆς ἀφθαρσίας. Παρθένον; Ὅτι ἔμεινας ἄφθορος. Ἁγνὴν Μητέρα; Ὅτι ἔσχες ταῖς ἀγκάλαις Υἱὸν, τὸν πάντων Θεόν. αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

Καὶ μετανοίας γ΄. Εἶθ᾽ οὕτω.

**Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου πᾶσα ἀνομία.**

Καὶ δευτεροῦμεν αὐτό.

**Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.**

Πάλιν τὸ αὐτὸ ἐκ δευτέρου.

**Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου, καὶ δίδαξόν με τὰ δικαιώματά σου.**

Τοῦτο δὲ λέγομεν ἐκ τρίτου μεγαλοφώνως, καὶ ἀργῶς.

**Πληρωθήτω τὸ στόμα μου αἰνέσεώς σου Κύριε, ὅπως ὑμνήσω τὴν δόξαν σου, ὅλην τὴν ἡμέραν τὴν μεγαλοπρέπειάν σου.**

Τὸ Τρισάγιον· μετανοίας γ΄. **Παναγία Τριάς·** μετὰ δὲ τὸ **Πάτερ ἡμῶν·** ἐκφωνεῖ ὁ Ἱερεύς· **Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία·** καὶ μετὰ τὸ. **Ἀμήν,** λέγομεν τὸ παρὸν τροπάριον.

**Ταχὺ προκατάλαβε, πρὶν δουλωθῆναι ἡμᾶς ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν, Χριστὲ ὁ Θεός· ἄνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν, πῶς ἰσχύει ὀρθοδόξων ἡ Πίστις πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.**

Τὸ, **Κύριε ἐλέησον** μ΄. καὶ λέγομεν τὴν Εὐχήν. **Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ·** τὸ, **Κύριε ἐλέησον** γ΄. Δόξα. Καὶ νῦν. **Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ.** Ὁ Ἱερεύς. **Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ εὐλογῆσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεῆσαι ἡμᾶς·** καὶ ποιοῦμεν μετανοίας γ΄. μεγάλας, λέγοντες καὶ τὴν Εὐχήν, ὡς προγέγραπται. Εἶθ᾽ οὕτω, καὶ τὰς ιβ΄. ἐν δὲ τῇ ιβ΄. λέγομεν τὴν Εὐχήν, ὡς εἴρηται· καὶ μικρὸν ἡσυχάζοντες, ἄρχεται ὁ Προεστὼς τὸ Τρισάγιον, καὶ μετανοίας γ΄. καὶ ἀσπαζόμεθα τὰς ἁγίας Εἰκόνας, τὸ, **Πάτερ ἡμῶν·** τὸ, **Κύριε ἐλέησον** ιβ΄. καὶ ἡ Εὐχή, τό.

**Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν, τὸ φωτίζον, καὶ ἁγιάζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν Κόσμον· σημειωθήτω ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, ἵνα ἐν αὐτῷ ὀψώμεθα φῶς τὸ ἀπρόσιτον· καὶ κατεύθυνον τὰ διαβήματα ἡμῶν πρὸς ἐργασίαν τῶν ἐντολῶν σου· πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων. Ἀμήν.**

Καὶ γίνεται Ἀπόλυσις.

Εἶτα ἐξερχόμεθα λιτανεύοντες ἐν τῷ Νάρθηκι· κἀκεῖσε λέγονται αἱ συνήθως Εὐχαί, καὶ ἀναγινώσκονται αἱ Κατηχήσεις τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου ὑπὸ τοῦ Προεστῶτος, ἢ ὑπὸ τοῦ Ἐκκλησιάρχου, ὡς προγέγραπται, ἤγουν ἐν τῇ Δ΄, καὶ τῇ Παρασκευῇ· καὶ γίνεται τέλος, καὶ Ἀπόλυσις. Οὗτος ὁ τύπος γίνεται κατὰ πᾶσαν τὴν ἁγίαν Μ΄. ἐν τῷ Ὄρθρῳ, καὶ ἐν τῇ α΄. Ὥρᾳ. Περὶ δὲ ὥραν γ΄. κρούει τὸ σιδηροῦν γ΄. ὁ Κανδηλάπτης, καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, ποιοῦντες πρὸ τῆς ἐνάρξεως τοῦ καθ᾽ ἑνὸς ἡμῶν ἐνώπιον τῶν ἁγίων Θυρῶν μετανοίας γ΄. καὶ ἀσπαζόμενοι τὰς ἁγίας Εἰκόνας· εἶτα καὶ ἑτέραν μίαν. Ὁμοίως καὶ εἰς τοὺς Χοροὺς πρὸς μίαν. Εὐλογήσαντος δὲ τοῦ Ἱερέως, καὶ ἀρχομένων ἡμῶν τοῦ Τρισαγίου, γίνονται μετάνοιαι γ΄. μετὰ δὲ τὸ **Πάτερ ἡμῶν,** ἐκφωνεῖ ὁ Ἱερεύς. **Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία·** καὶ μετὰ τὸ **Ἀμήν,** τὸ, **Κύριε ἐλέησον** ιβ΄. **Δεῦτε προσκυνήσωμεν** γ΄. καὶ μετανοίας γ΄. καὶ στιχολογεῖται ἡ γ΄. Ὥρα ὡς συνήθως· εἰς δὲ τὸ τέλος τοῦ τρίτου ψαλμοῦ, εἰς τὸ **Ἀλληλούϊα** μετανοίας γ΄. καὶ ἀρχόμεθα τῆς στιχολογίας. Καθ᾽ ἓν δὲ Ἀντίφωνον ποιοῦμεν μετανοίας γ΄. καὶ μετὰ τὴν συμπλήρωσιν τοῦ Καθίσματος ψάλλομεν τὸ παρὸν τροπάριον, ἦχος πλ. β΄.

**Κύριε, ὁ τὸ πανάγιόν σου Πνεῦμα ἐν τῇ τρίτῃ ὥρᾳ τοῖς Ἀποστόλοις σου καταπέμψας, τοῦτο, ἀγαθὲ, μὴ ἀντανέλῃς ἀφ᾽ ἡμῶν, ἀλλ᾽ ἐγκαίνισον ἡμῖν δεομένοις σου.**

Καὶ ἡμῶν ἀντιφωνούντων, ποιοῦμεν γονυκλισίαν ἀπὸ γῆς· ὡσαύτως καὶ εἰς τοὺς λοιποὺς δύο στίχους· στίχ. **Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός.** στίχ. **Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου.**

Δόξα. Καὶ νῦν· καὶ μετανοίας γ΄.

**Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.**

Καὶ εὐθὺς ἀναγινώσκομεν εἰς τὴν Κλίμακα· Ἄρχεται δὲ ἀπὸ τοῦ νῦν ὁ ταχθεὶς Μοναχὸς ἀφυπνίζειν τοὺς ἀδελφοὺς καθ᾽ ὅλην τὴν ἁγίαν Μ΄. Διέρχεται δὲ ἠρέμα, καὶ ἐπιβλέπει τοὺς ὑπνοῦντας, καὶ διεγείρει πρὸς τὴν ἀκρόασιν κατὰ τὸν παρακολουθήσαντα τύπον, μετὰ δὲ τὴν Ἀνάγνωσιν.

**Κύριος ὁ Θεὸς εὐλογητὸς, εὐλογητὸς Κύριος ἡμέραν καθ᾽ ἡμέραν· κατευοδώσαι ἡμῖν ὁ Θεὸς τῶν σωτηρίων ἡμῶν· ὁ Θεὸς ἡμῶν, ὁ Θεὸς τοῦ σώζειν.**

Τὸ Τρισάγιον, καὶ μετανοίας γ΄. καὶ μετὰ τὸ Τρισάγιον ἐκφωνεῖ ὁ Ἱερεύς. **Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία.**

Καὶ

Καὶ μετὰ τὸ Ἀμὴν, ψάλλομεν τὰ παρόντα τροπάρια εἰς ἦχον πλ. δ΄.

Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν Οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.

Δόξα.

Ταχεῖαν, καὶ σταθηρὰν δίδου παραμυθίαν τοῖς δούλοις σου Ἰησοῦ, ἐν τῷ ἀκηδιάσαι τὰ πνεύματα ἡμῶν· μὴ χωρίζου τῶν ψυχῶν ἡμῶν ἐν θλίψεσι, μὴ μακρύνου τῶν φρενῶν ἡμῶν ἐν περιστάσεσιν· ἀλλ' ἀεὶ ἡμᾶς πρόφθασον, ἔγγισον ἡμῖν, ἔγγισον ὁ πανταχοῦ, ὥσπερ καὶ τοῖς Ἀποστόλοις σου πάντοτε συνεῖς, οὕτω καὶ τοῖς σὲ ποθοῦσιν ἕνωσον σαυτὸν, οἰκτίρμον· ἵνα συνημμένοι, σὲ ὑμνῶμεν, καὶ δοξολογῶμεν τὸ πανάγιον Πνεῦμα.

Καὶ νῦν.

Ἡ Ἐλπὶς, καὶ προστασία, καὶ καταφυγὴ τῶν Χριστιανῶν, τὸ ἀκαταμάχητον τεῖχος, τῶν καταπονουμένων ὁ λιμὴν ὁ ἀχείμαστος σὺ εἶ Θεοτόκε ἄχραντε· ἀλλ' ὡς τὸν Κόσμον σώζουσα τῇ ἀπαύστῳ πρεσβείᾳ σου, μνήσθητι καὶ ἡμῶν, Παρθένε πανύμνητε.

Τὸ Κύριε ἐλέησον μ΄. καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πᾶ. Τὸ Κύριε ἐλέησον γ΄. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Τὸ, Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ· καὶ ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Ποιοῦμεν μετανοίας γ΄. λεγομένης καὶ τῆς προγεγραμμένης Εὐχῆς. Ὁμοίως καὶ τὰς λοιπὰς ιβ΄, ἀργῶς, διὰ τὸ ἰσάζειν πάντας, καὶ μεθ' ἡσυχίας μικρὸν εὐχόμενοι, ἄρχεται ὁ Προεστὼς τῆς Εὐχῆς ταύτης.

Δέσποτα Θεὲ Πάτερ, παντοκράτορ, Κύριε Υἱὲ μονογενὲς Ἰησοῦ Χριστὲ, καὶ ἅγιον Πνεῦμα, μία Θεότης, μία δύναμις, ἐλέησόν με τὸν ἁμαρτωλόν· καὶ οἷς ἐπίστασαι, κρίμασι σῶσόν με τὸν ἀνάξιον δοῦλόν σου· ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ δὲ Κανδηλάπτης βαλὼν τὴν συνήθως μετάνοιαν τῷ Προεστῶτι ἀπέρχεται, καὶ κρούει τὸ σήμαντρον ἐξ· καὶ μετὰ τὴν συμπλήρωσιν τῆς Εὐχῆς, Δεῦτε προσκυνήσωμεν γ΄. καὶ μετανοίας γ΄. καὶ στιχολογοῦμεν τὴν ἕκτην Ὥραν· εἰς δὲ τὴν πλήρωσιν τοῦ τρίτου ψαλμοῦ, εἰς τὸ Ἀλληλούϊα, μετανοίας γ΄. καὶ ἀρχόμεθα τῆς στιχολογ. καὶ στιχολογοῦμεν κάθισμα ἕν· καθ' ἓν δὲ Ἀντίφωνον, Ἀλληλούϊα, καὶ μετανοίας γ΄. μετὰ δὲ τὴν στιχολογ. ψάλλομεν τὸ παρὸν τροπάρ. εἰς ἦχον β΄.

Ὁ Ἐν ἕκτῃ ἡμέρᾳ τε καὶ ὥρᾳ τῷ Σταυρῷ προσηλώσας τὴν ἐν τῷ Παραδείσῳ τολμηθεῖσαν τῷ Ἀδὰμ ἁμαρτίαν, καὶ τῶν πταισμάτων ἡμῶν τὸ χειρόγραφον διάρρηξον, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Στίχ. α΄. Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου· στίχ. Ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα, καὶ ὁ Κύριος εἰσήκουσέ μου· ποιοῦντες καὶ τὰς μετανοίας, ὡς προγέγραπται.

Δόξα. Καὶ νῦν.

Ὅτι οὐκ ἔχομεν παῤῥησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα, σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις Μητρὸς πρὸς εὐμένειαν Δεσπότου· μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος· ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Καὶ μετανοίας γ΄.

Εἶτα ψάλλομεν τὸ τροπ. τῆς Προφητείας, τὸ εἰς τὴν ἕκτην Ὥραν, εἰς ἦχον πλ. α΄.

Κύριε, Κύριε, ὃν πάντα φρίττει, καὶ τρέμει ἀπὸ προσώπου τῆς δυνάμεώς σου· σοὶ προσπίπτομεν ἀθάνατε· σοῦ δεόμεθα Ἅγιε, σῶσον τὰς ψυχὰς ἡμῶν πρεσβείαις τῶν Ἁγίων σου.

Δόξα. Καὶ νῦν.

Καὶ δυσωποῦμεν αὐτό. Προκείμενον ἦχος δ΄. ψαλμὸς α΄. Γινώσκει Κύριος ὁδὸν δικαίων, στίχ. Μακάριος ἀνὴρ, ὃς οὐκ ἐπορεύθη ἐν βουλῇ ἀσεβῶν.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ὅρασις, ἣν εἶδεν Ἡσαΐας υἱὸς Ἀμὼς, ἣν εἶδε κατὰ τῆς Ἰουδαίας, καὶ κατὰ Ἱερουσαλὴμ, ἐν βασιλείᾳ Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἄχαζ, καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς Ἰουδαίας. Ἄκουε Οὐρανὲ, καὶ ἐνωτίζου ἡ γῆ, ὅτι Κύριος ἐλάλησεν· υἱοὺς ἐγέννησα, καὶ ὕψωσα, αὐτοὶ δέ με ἠθέτησαν, ἔγνω βοῦς τὸν κτησάμενον, καὶ ὄνος τὴν φάτνην τοῦ Κυρίου αὐτοῦ, Ἰσραὴλ δέ με οὐκ ἔγνω· καὶ ὁ λαός με οὐ συνῆκεν. Οὐαὶ, ἔθνος ἁμαρτωλὸν, λαὸς πλήρης ἁμαρτιῶν, σπέρμα πονηρὸν, υἱοὶ ἄνομοι, ἐγκατελίπατε τὸν Κύριον, καὶ παρωργίσατε τὸν ἅγιον τοῦ Ἰσραήλ. Τί ἔτι πληγῆτε, προστιθέντες ἀνομίαν; πᾶσα κεφαλὴ εἰς λύπην, καὶ πᾶσα καρδία εἰς πόνον· ἀπὸ ποδῶν ἕως κεφαλῆς, οὐκ ἔστιν ἐπ' αὐτῷ ὁλοκληρία, οὔτε τραῦμα, οὔτε μώλωψ, οὔτε πληγὴ φλεγμαίνουσα· οὐκ ἔστι μάλαγμα ἐπιθεῖναι, οὔτε ἔλαιον, οὔτε καταδέσμους. Ἡ γῆ ὑμῶν ἔρημος· αἱ πόλεις ὑμῶν πυρίκαυστοι· τὴν χώραν ὑμῶν ἐνώπιον ὑμῶν ἀλλότριοι κατεσθίουσιν αὐτήν· καὶ ἠρήμωται κατεστραμμένη ὑπὸ λαῶν ἀλλοτρίων· ἐγκαταλειφθήσεται ἡ θυγάτηρ Σιὼν, ὡς σκηνὴ ἐν ἀμπελῶνι, καὶ ὡς ὀπωροφυλάκιον ἐν σικυηράτῳ, ὡς πόλις πολιορκουμένη, καὶ εἰ μὴ Κύριος Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενήθημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν. Ἀκούσατε λόγον Κυρίου, ἄρχοντες Σοδόμων, προσέχετε νόμον Θεοῦ, λαὸς Γομόῤῥας. Τί μοι πλῆθος τῶν θυσιῶν ὑμῶν; λέγει Κύριος, πλήρης εἰμὶ ὁλο-

ὁλοκαυτωμάτων κριῶν, καὶ στέαρ ἀρνῶν· καὶ αἷμα ταύρων, καὶ τράγων οὐ βούλομαι· οὐδ᾽ ἂν ἔρχησθε ὀφθῆναί μοι· τίς γὰρ ἐξεζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν; πατεῖν τὴν αὐλήν μου οὐ προσθήσεσθε. Ἐὰν φέρητέ μοι σεμίδαλιν, μάταιον θυμίαμα, βδέλυγμά μοί ἐστι. Τὰς νεομηνίας ὑμῶν, καὶ τὰ σάββατα, καὶ ἡμέραν μεγάλην οὐκ ἀνέχομαι· νηστείαν, καὶ ἀργίαν, καὶ τὰς ἑορτὰς ὑμῶν μισεῖ ἡ ψυχή μου, ἐγενήθητέ μοι εἰς πλησμονήν· οὐκ ἔτι ἀνήσω τὰς ἁμαρτίας ὑμῶν. Ὅταν τὰς χεῖρας ὑμῶν ἐκτείνητε πρός με, ἀποστρέψω τοὺς ὀφθαλμούς μου ἀφ᾽ ὑμῶν, καὶ ἐὰν πληθύνητε τὴν δέησιν, οὐκ εἰσακούσομαι ὑμῶν, αἱ γὰρ χεῖρες ὑμῶν, αἵματος πλήρεις. Λούσασθε, καὶ καθαροὶ γίνεσθε, ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ τῶν ψυχῶν ὑμῶν ἀπέναντι τῶν ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηριῶν ὑμῶν, μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανὸν, καὶ δικαιώσατε χήραν· καὶ δεῦτε, καὶ διαλεχθῶμεν, λέγει Κύριος· καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ· ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ· Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. Ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Προκείμενον, ἦχος βαρύς· ψαλμὸς β΄ Δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοί. Καὶ γίνεται Ἀνάγνωσις εἰς τὸν Κλίμακα. Εἶτα τὸ τροπάριον.

Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ οἰκτιρμοί σου Κύριε, ὅτι ἐπτωχεύσαμεν σφόδρα· βοήθησον ἡμῖν ὁ Θεὸς, ὁ Σωτὴρ ἡμῶν, ἕνεκεν τῆς δόξης τοῦ ὀνόματός σου. Κύριε ῥῦσαι ἡμᾶς, καὶ ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Τὸ Τρισάγιον, μετανοίας γ΄. τὴν Ἐκφώνησιν, καὶ τὰ παρόντα τροπάρια εἰς ἦχον β΄.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεός· ἐπὶ σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ Ἔθνη κράζοντα. Κύριε, δόξα σοι.

Δόξα.

Τὴν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ εὐδόκησας ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι. Χαρᾶς ἐπλήρωσας τὰ πάντα, ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Καὶ νῦν.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς, Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα, δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ Χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριὴλ, ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Τὸ Κύριε ἐλέησον μ΄. καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ ὥρᾳ, Κύριε ἐλέησον γ΄. Δόξα. Καὶ νῦν, Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ· καὶ ὁ Ἱερεὺς στίχ. Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ εὐλογῆσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεῆσαι ἡμᾶς· καὶ ποιοῦμεν μετανοίας μεγάλας γ΄. εὐχόμενοι καθ᾽ ἑαυτοὺς, λέγομεν καὶ τὴν προγεγραμμένην Εὐχὴν, τοῦ ἁγίου Ἐφραίμ. Εἶθ᾽ οὕτω, καὶ τὰς λοιπὰς ιβ΄. ἀργῶς, διὰ τὸ ἰστάζειν πάντας· πληρουμένης δὲ τῆς ιβ΄. ἀνιστάμεθα καθ᾽ ἑαυτοὺς, καὶ ἄρχεται ὁ Προεστὼς τοῦ τελευταίου Τρισαγίου, μετανοίας γ΄. καὶ ἀσπαζόμεθα τὰς ἁγίας Εἰκόνας. Μετὰ δὲ τὸ, Πάτερ ἡμῶν. Τὸ, Κύριε ἐλέησον ιβ΄. Εἶτα, Δόξα σοι ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν δόξα σοι· καὶ γίνεται Ἀπόλυσις. Οὗτος ὁ τύπος, καὶ ἡ τάξις ὀφείλει γίνεσθαι κατὰ πᾶσαν τὴν ἁγίαν Μ΄. ἐν ταῖς Τριτέκταις. Δεῖ εἰδέναι, ὅτι μετὰ τὴν Ἀπόλυσιν ἐξερχόμενοι τῆς Ἐκκλησίας ἀπερχόμεθα μετὰ πάσης ἡσυχίας ἐν τοῖς ἰδίοις κελλίοις, καὶ οὐκ ἔξεστιν ἡμῖν συντυχίας πρὸς ἀλλήλους ποιεῖν· κεκώλυται γὰρ παρὰ τῶν ἁγίων Πατέρων, ὃ καὶ ὀφείλομεν φυλάσσειν κατὰ πᾶσαν σύναξιν. Περὶ δὲ ὥραν ἐννάτην κρούει ὁ Κανδηλάπτης τὴν θ΄. καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, καὶ εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ Τρισαγίου, μετανοίας γ΄. μετὰ δὲ τὸ, Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ Ἱερεὺς, Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ μετὰ τὸ, Ἀμὴν, τὸ, Κύριε ἐλέησον ιβ΄. τὸ, Δεῦτε προσκυνήσωμεν γ΄. μετανοίας γ΄. καὶ ψάλλομεν τὴν ἐννάτην Ὥραν, τὸν ψαλμὸν, εἰς δὲ τὸ τέλος τοῦ γ΄. ψαλμοῦ, εἰς τὸ, Ἀλληλούϊα, μετανοίας γ΄. καὶ ἀρχόμεθα τῆς στιχολογ. τοῦ Καθίσματος· καθ᾽ ἓν δὲ Ἀντίφωνον, μετανοίας γ΄. μετὰ δὲ τὴν συμπλήρωσιν τῆς στιχολογίας ψάλλομεν τὸ παρὸν τροπάριον εἰς ἦχον πλ. δ΄.

Ὁ ἐν τῇ ἐννάτῃ ὥρᾳ δι᾽ ἡμᾶς σαρκὶ τοῦ θανάτου γευσάμενος, νέκρωσον τῆς σαρκὸς ἡμῶν τὸ φρόνημα, Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Στίχ. α΄. Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου.

Στίχ. β΄. Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε. Ποιοῦντες καὶ τὰς ἐν τούτοις μετανοίας.

Δόξα. Καὶ νῦν.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς ἐκ Παρθένου, καὶ σταύρωσιν ὑπομείνας, ἀγαθὲ, ὁ θανάτῳ τὸν θάνατον σκυλεύσας, καὶ ἔγερσιν δείξας ὡς Θεὸς, μὴ παρίδῃς, οὓς ἔπλασας τῇ χειρί σου· δεῖξον τὴν φιλανθρωπίαν σου ἐλεῆμον, δέξαι τὴν τεκοῦσάν σε Θεοτόκον πρεσβεύουσαν ὑπὲρ ἡμῶν, καὶ σῶσον, Σωτὴρ ἡμῶν, λαὸν ἀπεγνωσμένον.

Μετανοίας γ΄. Καὶ γίνεται Ἀνάγνωσις πάλιν εἰς τὸ Κλίμακα. Καὶ μετὰ τὴν Ἀνάγνωσιν, λέγομεν τὸ παρόντα στίχ.

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος, διὰ τὸ ὄνομά σου τὸ ἅγιον· καὶ μὴ διασκεδάσῃς τὴν δια-

διαθήκην σου· καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ' ἡμῶν, διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ, καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου.

Τρισάγιον, Παναγία Τριάς. Πάτερ ἡμῶν, μετανοίας γ'.

Ἐκφωνεῖ ὁ Ἱερεύς, Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία· καὶ μετὰ τό, Ἀμήν, ψάλλομεν τὰ παρόντα τροπάρια, εἰς ἦχον πλ. δ'.

Βλέπων ὁ Λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν· Εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθείς, ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο. Ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου Κύριε ἐν τῇ Βασιλείᾳ σου.

Δόξα.

Ἐν μέσῳ δύο λῃστῶν ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου· τοῦ μέν, καταγομένου εἰς ᾅδην τῷ βάρει τῆς βλασφημίας· τοῦ δέ, κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας. Χριστὲ ὁ Θεὸς δόξα σοι.

Καὶ νῦν.

Τὸν ἀμνόν, καὶ ποιμένα, καὶ Σωτῆρα τοῦ Κόσμου ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα· Ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν· τὰ δὲ σπλάγχνα μου φλέγονται ὁρῶσά σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ Υἱός, καὶ Θεός μου.

Τό, Κύριε ἐλέησον μ'. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ· ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Καὶ ποιοῦμεν τὰς γ'. μεγάλας μετανοίας, λέγοντες καθ' ἑαυτούς, καὶ τὴν προδηλωθεῖσαν Εὐχὴν τοῦ ὁσίου Ἐφραίμ. Εἶθ' οὕτως ἱστάμεθα κατὰ τὴν τάξιν εἰς τοὺς Χορούς, καὶ ἀπάρχεται ὁ Χορός, ᾧ ἐπιλαγχάνει ἐνάρξασθαι, εἰς ἦχον πλ. δ'.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε. Καὶ ψάλλομεν τοὺς Μακαρισμοὺς μετὰ μέλους, καὶ μεγαλοφώνως, καὶ ἀργῶς, εἰς τὸν αὐτὸν ἦχον.

Μακάριοι οἱ πτωχοὶ τῷ Πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ Βασιλεία τῶν οὐρανῶν.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοὶ ἐλεηθήσονται.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστὶν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Μακάριοί ἐστε, ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν, ψευδόμενοι ἕνεκεν ἐμοῦ.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βα.

Καὶ νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ.

Εἶθ' οὕτως ἑνουμένων τῶν δύο Χορῶν ἐν τοῖς ψαλτικοῖς, λέγομεν ὑψηλοτέρᾳ φωνῇ, τό,

Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου· μετάνοιαν μίαν.

Μνήσθητι ἡμῶν Δέσποτα, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου· μετάνοιαν μίαν.

Μνήσθητι ἡμῶν Ἅγιε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου· μετάνοιαν μίαν· καὶ λέγομεν.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ Οὐρανός, καὶ ἡ γῆ τῆς δόξης σου.

Στίχος.

Προσέλθετε πρὸς αὐτόν, καὶ φωτίσθητε, καὶ τὰ πρόσωπα ὑμῶν οὐ μὴ καταισχυνθῇ.

Καὶ πάλιν.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖ σε, καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ Οὐρανός, καὶ ἡ γῆ τῆς δόξης σου.

Δόξα.

Χορὸς ἁγίων Ἀγγέλων, καὶ Ἀρχαγγέλων μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων ὑμνεῖ σε, καὶ λέγει. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαώθ· πλήρης ὁ Οὐρανός, καὶ ἡ γῆ τῆς δόξης σου.

Καὶ νῦν.

Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα παντοκράτορα.

Ἄνες, ἄφες, συγχώρησον ὁ Θεός, τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, τὰ ἐν λόγῳ, τὰ ἐν ἔργῳ, τὰ ἐν γνώσει, καὶ ἀγνοίᾳ· τὰ πάντα ἡμῖν συγχώρησον, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Πάτερ

Digitized by Google

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ Βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν Οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς· τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Μετὰ δὲ τό, Πάτερ ἡμῶν, τὸ Κοντάκιον ὡς συνήθως, τὸ εἰς τὴν ἡμέραν τῆς Ἑβδομάδος. Δόξα· καὶ λέγομεν τὰ παρόντα.

Μετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.

Καὶ νῦν.

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς· ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι· τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

Τό, Κύριε ἐλέησον μ΄. καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον γ΄. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ· καὶ λέγεται στίχος παρὰ τοῦ Ἱερέως. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς. Καὶ ποιοῦμεν τὰς γ΄. μεγάλας μετανοίας, καὶ τὰς ιβ΄. Εἶθ' οὕτως εὐχόμεθα ἡσύχως. Καὶ ἄρχεται ὁ Προεστὼς τό, Δεῦτε προσκυνήσωμεν γ΄. καὶ μετανοίας γ΄. καὶ ψάλλομεν τὸν ργ΄. ψαλμὸν τοῦ Ἑσπερινοῦ. Ἐξέρχεται δὲ ὁ Κανδηλάπτης, καὶ κρούει τὸ μέγα σήμαντρον. Ὁ δὲ Ἱερεὺς λέγει καθ' ἑαυτὸν τὰς συνήθεις Εὐχὰς τοῦ λυχνικοῦ· μετὰ δὲ τὸ τέλος τοῦ Προοιμιακοῦ ψαλμοῦ, εἰς τό, Ἀλληλούϊα, μετανοίας γ΄. Καὶ στιχολογοῦμεν τά, Πρὸς Κύριον· καθ' ἓν δὲ Ἀντίφωνον ποιοῦμεν μετανοίας γ΄.

Τῇ β΄. τῆς α΄. Ἑβδομάδος, εἰς τὸ λυχνικὸν μετὰ τὸν Προοιμιακὸν ψαλμόν, στιχολογοῦμεν τά, Πρὸς Κύριον· εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Τριῳδίου, Ποίημα τοῦ κυρίου Ἰωσήφ, ἦχος β΄.

Πάντα ὑπερέ.

Πᾶσαν ἁμαρτίαν διεπραξάμην, πάντας ὑπερέβην τῇ ἀσωτείᾳ· ἐὰν θελήσω μετανοῆσαι, οὐκ ἔχω δακρύων ὀχετούς· ἐὰν ῥαθύμως καὶ νῦν βιώσω, κολάσει ὑπόδικός εἰμι· ἀλλὰ δός μοι διόρθωσιν μόνε ἀγαθὲ ὁ Θεός, καὶ ἐλέησόν με.

Ὅμοιον.

Ὄμβρους μοι παράσχου, Χριστέ, δακρύων ἐν τῇ τῆς νηστείας τερπνῇ ἡμέρᾳ· ὅπως πενθήσω, καὶ ἀποπλύνω τὸν ῥύπον τὸν ἐκ τῶν ἡδονῶν, καὶ ἐποφθῶ σοι κεκαθαρμένος, ἡνίκα Κριτὴς ἐξ Οὐρανοῦ μέλλῃς ἔρχεσθαι, Κύριε, κρῖναι τοὺς βροτούς, ὡς Κριτής, καὶ δίκαιος μόνος.

Ἕτερον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. α΄.

Ὅσιε Πάτερ.

Δεῦτε, προθύμως τὸ στερρὸν ὅπλον τῆς νηστείας ἔχοντες, ὡς θυρεόν, πᾶσαν μεθοδείαν πλάνης τοῦ ἐχθροῦ ἀποστρέψωμεν, πιστοί. μὴ θελχθῶμεν ταῖς ἡδοναῖς τῶν παθῶν, μὴ τὸ πῦρ τῶν πειρασμῶν δειλιάσωμεν· δι' ὧν Χριστὸς ὁ φιλάνθρωπος βεβαίοις τῆς ὑπομονῆς στεφανώσει ἡμᾶς, ὅθεν παρρησίᾳ προσευχόμενοι προσπίπτωμεν κραυγάζοντες, αἰτούμενοι εἰρήνην, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα. Καὶ νῦν, θεοτοκ. τό, Φῶς ἱλαρόν. Ἕτερον Προκείμενον· ψαλ. γ΄. ἦχος πλ. β΄. Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου· στίχος· Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με;

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανόν, καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος, καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός, γενηθήτω φῶς, καὶ ἐγένετο φῶς· καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ φωτός, καὶ ἀναμέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος, καὶ ὕδατος· καὶ ἐγένετο οὕτω· καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα· καὶ διεχώρισεν ὁ Θεὸς ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος, τοῦ ὑποκάτω τοῦ στερεώματος· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα Οὐρανόν· καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός, συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά, καὶ ἐγένετο οὕτω· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ Οὐρανοῦ εἰς τὰς συναγωγάς, καὶ ὤφθη ἡ ξηρά· καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας· καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα· καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ, καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτω· καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου,

Digitized by Google

χόρτου σπεῖρον σπέρμα κατὰ γένος, καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν· οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα τρίτη.

Προκείμενον β'. ψαλμὸς δ'. ἦχος πλ. α'. Κύριος εἰσακούσεταί μου, ἐν τῷ κεκραγέναι με πρὸς αὐτ. Στίχ. Ἐν τῷ ἐπικαλεῖσθαί με· εἰσάκουσόν μου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΠΑροιμίαι Σολομῶντος υἱοῦ Δαβὶδ, ὃς ἐβασίλευσεν ἐν Ἰσραὴλ, γνῶναι σοφίαν, καὶ παιδείαν, καὶ νοῆσαι λόγους φρονήσεως· δέξασθαί τε στροφὰς λόγων, νοῆσαί τε δικαιοσύνην ἀληθῆ, καὶ κρίμα κατευθύνειν· Ἵνα δῷ ἀκάκοις πανουργίαν· παιδὶ δὲ νέῳ αἴσθησίν τε, καὶ ἔννοιαν. Τῶνδε γὰρ ἀκούσας σοφὸς, σοφώτερος ἔσται· ὁ δὲ νοήμων κυβέρνησιν κτήσεται. Νοήσει τε παραβολὴν, καὶ σκοτεινὸν λόγον, ῥήσεις τε σοφῶν, καὶ αἰνίγματα. Ἀρχὴ σοφίας φόβος Κυρίου, σύνεσις δὲ ἀγαθὴ πᾶσι τοῖς ποιοῦσιν αὐτήν· εὐσέβεια δὲ εἰς Θεὸν ἀρχὴ αἰσθήσεως, σοφίαν δὲ, καὶ παιδείαν ἀσεβεῖς ἐξουθενήσουσιν. Ἄκουε υἱὲ παιδείαν πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου. Στέφανον γὰρ χαρίτων δέξῃ σῇ κορυφῇ, καὶ κλοιὸν χρύσεον περὶ σῷ τραχήλῳ· Υἱὲ, μή σε πλανήσωσιν ἀσεβεῖς ἄνδρες, μηδὲ βουληθῇς. Ἐὰν παρακαλέσωσί σε, λέγοντες. Ἐλθὲ μεθ' ἡμῶν· κοινώνησον αἱμάτων· κρύψωμεν δὲ εἰς γῆν ἄνδρα δίκαιον ἀδίκως· καταπίωμεν δὲ αὐτὸν, ὥσπερ ᾅδης ζῶντα, καὶ ἄρωμεν τὸ μνημόσυνον αὐτοῦ ἀπὸ τῆς γῆς· τὴν κτῆσιν αὐτοῦ τὴν πολυτελῆ καταλαβώμεθα· πλήσωμεν δὲ οἴκους ἡμετέρους σκύλων· Τὸν δὲ κλῆρον σου βάλε ἐν μέσῳ ἡμῶν, κοινὸν δὲ βαλάντιον κτησώμεθα πάντες, καὶ μαρσίππιον ἓν γενηθήτω πάντων ἡμῶν· υἱέ μου, μὴ πορευθῇς ἐν ὁδῷ μετ' αὐτῶν· ἔκκλινον δὲ τὸν πόδα σου ἐκ τῶν τρίβων αὐτῶν· οἱ γὰρ πόδες αὐτῶν εἰς κακίαν τρέχουσι, καὶ ταχινοὶ εἰσὶ τοῦ ἐκχέαι αἷμα. Οὐ γὰρ ἀδίκως ἐκτείνεται δίκτυα πτερωτοῖς. Αὐτοὶ γὰρ οἱ αἱμάτων μετέχοντες, θησαυρίζουσιν ἑαυτοῖς κακά· ἡ δὲ καταστροφὴ ἀνδρῶν παρανόμων κακή. Αὗται αἱ ὁδοί εἰσι πάντων τῶν συντελούντων τὰ ἄνομα· τῇ γὰρ ἀσεβείᾳ τὴν ἑαυτῶν ψυχὴν ἀφαιροῦνται· σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παρρησίαν ἄγει.

Τὸ, Καταξίωσον Κύριε, καὶ μετανοίας γ'.

Εἰς δὲ τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, ἦχος γ'.

ΝΗστεύσωμεν νηστείαν δεκτὴν, εὐάρεστον τῷ Κυρίῳ, ἀληθὴς νηστεία ἡ τῶν κακῶν ἀλλοτρίωσις· ἐγκράτεια γλώσσης, θυμοῦ ἀποχὴ, ἐπιθυμιῶν χωρισμὸς, καταλαλιᾶς, ψεύδους, καὶ ἐπιορκίας· ἡ τούτων ἔνδεια νηστεία ἐστὶν ἀληθὴς, καὶ εὐπρόσδεκτος.

Θεοτοκίον.

Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου, τὸν κατοικοῦντα ἐν τῷ Οὐρανῷ· ἰδοὺ ὡς ὀφθαλμοὶ δούλων εἰς χεῖρας τῶν Κυρίων αὐτῶν, ὡς ὀφθαλμοὶ παιδίσκης εἰς χεῖρας τῆς Κυρίας αὐτῆς· οὕτως οἱ ὀφθαλμοὶ ἡμῶν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, ἕως οὗ οἰκτειρῆσαι ἡμᾶς.

Καὶ διασώζομεν αὐτό. Εἶτα τὸ μαρτυρ.

Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, ὅτι ἐπὶ πολὺ ἐπλήσθημεν ἐξουδενώσεως· ἐπὶ πλεῖον ἐπλήσθη ἡ ψυχὴ ἡμῶν· τὸ ὄνειδος τοῖς εὐθηνοῦσι, καὶ ἡ ἐξουδένωσις τοῖς ὑπερηφάνοις.

ΜΕγάλη τῶν Μαρτύρων σου, Χριστὲ, ἡ δύναμις, ἐν μνήμασι γὰρ κεῖνται, καὶ πνεύματα διώκουσι, καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν, τῇ πίστει τῆς Τριάδος ἀγωνισάμενοι ὑπὲρ τῆς εὐσεβείας.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

ΘΕοτόκε, ἡ προστασία πάντων τῶν δεομένων· εἰς σὲ θαρροῦμεν, εἰς σὲ καυχώμεθα· ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστι· πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ ἀχρείων δούλων σου.

Εἶτα ποιεῖ ὁ Κανονάρχης τὴν συνήθως μετάνοιαν εἰς τοὺς Χορούς. Ὡσαύτως καὶ οἱ δύο Χοροί, τὸ, Νῦν ἀπολύεις, τὸ Τρισάγιον, καὶ μετανοίας γ'. Ὁ Ἱερεὺς, Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία· καὶ μετὰ τὸ, Ἀμήν. Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη· μετάνοιαν μίαν. Δόξα. Βαπτιστὰ τοῦ Χριστοῦ, μετάνοιαν μίαν. Καὶ νῦν. Ἱκετεύσατε ὑπὲρ ἡμῶν· μετάνοιαν μίαν. Εἶθ' οὕτως. Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν, λέγεται πραείᾳ φωνῇ, καὶ ἄνευ μετανοίας, καὶ μέλους. Κύριε ἐλέησον μ'. ἡσύχῳ φωνῇ. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ· ὁ Ἱερεύς. Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ἐπουράνιε Βασιλεῦ, τοὺς πιστοὺς Βασιλεῖς ἡμῶν στερέωσον· καὶ λέγομεν καὶ τὴν Εὐχὴν μυστικῶς τοῦ ὁσίου Ἐφραίμ· τὸ, Κύριε, καὶ Δέσποτα τῆς ζωῆς μου· καὶ ποιοῦμεν τὰς γ'. μεγάλας μετανοίας, καὶ τὰς μικρὰς ιβ'. καὶ πάλιν τὴν προειρημένην Εὐχὴν, καὶ μετάνοιαν μίαν· τὸ Τρισάγιον· καὶ ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία· τὸ, Κύριε ἐλέησον ιβ'.

Εἶθ' οὕτως ἡ παροῦσα Εὐχή.

ΠΑναγία Τριὰς, τὸ ὁμοούσιον κράτος, ἡ ἀδιαίρετος Βασιλεία, ἡ πάντων τῶν ἀγαθῶν αἰτία, εὐδόκησον δὴ καὶ ἐπ' ἐμοὶ τῷ ἁμαρτωλῷ· στήριξον, συνέτισον τὴν καρδίαν μου, καὶ πᾶσαν ἄφελε μου τὴν βεβηλότητα· φώτισόν μου τὴν διάνοιαν, ἵνα διαπαντὸς δοξάζω, ὑμνῶ, καὶ προσκυνῶ, καὶ λέγω· Εἷς Ἅγιος, εἷς Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς ἀμήν.

Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος, λέγομεν αὐτὸ ἐκ τρίτου, καὶ μετανοίας γ'. Δόξα. Καὶ νῦν. Εὐλογήσω

τὸν Κύριον ἐν παντὶ καιρῷ. Ὅταν δὲ ἱστῶμεν τράπεζαν, λέγομεν τὸν ψαλμὸν, τὸν ρμδʹ. τὸ Ὑψώσω σε ὁ Θεός μου, ὁ Βασιλεύς μου· καὶ γίνεται Ἀπόλυσις. Ἐξερχόμενοι δὲ ἐν τῷ Νάρθηκι, ψάλλομεν ὡς συνήθως τὸ στιχηρὸν τοῦ Ἁγίου, Δόξα, Καὶ νῦν, Θεοτόκιον. Λέγονται δὲ καὶ ὑπὸ τοῦ Ἱερέως αἱ συνήθεις Εὐχαί· καὶ γίνεται Ἀπόλυσις. Αὕτη ἡ Ἀκολουθία γίνεται τοῦ λυχνικοῦ, μὴ οὔσης Προηγιασμένης· οὐ γὰρ παρελάβομεν ποιεῖν Προηγιασμένην μέχρι τῆς Τετάρτης, διὰ τὸ νηστεύειν ἐκ παραδόσεως πᾶσαν τὴν ἀδελφότητα· οἱ δὲ δυνάμενοι, μενέτωσαν νήστεις ἕως τῆς Παρασκευῆς. Ὅταν δὲ γίνεται Προηγιασμένη, ποιεῖ ὁ Ἱερεὺς ἐν ἑκάστῳ Ἀντιφώνῳ τῆς στιχολογ. μικρὰν Συναπτήν· εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στιχ. ιʹ. ἀπὸ τοῦ, Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου, εἰς τὸν ἦχον τοῦ ἰδιομέλου τῆς ἡμέρας, δευτεροῦντες αὐτό. Εἶτα τὸ μαρτ. εἰς τὸν αὐτὸν ἦχον· ἔπειτα τὰ γʹ. προσόμοια τοῦ Τριῳδίου· καὶ τὰ γʹ. τοῦ Μηναίου, δευτεροῦντες τὸ ἕν· καὶ γίνεται Εἴσοδος μετὰ κηρῶν, καὶ θυμιατοῦ· τὸ Φῶς ἱλαρόν. Προκείμενον. Καὶ ἡ Γένεσις. Εἶτα τὸ βʹ. Προκείμενον. Καὶ ἐν τῷ τελευταίῳ στίχῳ ἐκφωνεῖ ὁ Διάκων. Κελεύσατε. Λαβὼν δὲ ὁ Ἱερεὺς τὸ θυμιατὸν, καὶ κηρὸν εἰς τὴν εὐώνυμον αὐτοῦ χεῖρα, ἵσταται κατενώπιον τῆς ἁγίας Τραπέζης, καὶ λέγει, Σοφία, ὀρθοί, φῶς Χριστοῦ φαίνει πᾶσι· καὶ ὁ ψάλτης, Παροιμιῶν τὸ Ἀνάγνωσμα· καὶ μετὰ τὴν συμπλήρωσιν, λέγει ὁ Ἱερεύς. Εἰρήνη σοι· καὶ ὁ Διάκων, Σοφία· καὶ εὐθὺς· τὸ, Κατευθυνθήτω ἔξωθεν ὁ Δομέστικος μετὰ τῶν στίχων· στίχ. αʹ. Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου· στίχ. βʹ. Θοῦ Κύριε φυλακὴν τῷ στόματί μου· στίχ. γʹ. Μὴ ἐκκλίνῃς τὴν καρδίαν μου· ὅταν δὲ ψάλλῃ ὁ Δομέστικος, ἡμεῖς ἐπὶ γόνυ κείμεθα εὐχόμενοι· ὅταν δὲ ἡμεῖς ἀνιστῶμεν, κλίνει αὐτὸς τὸ γόνυ. Εἶτα λέγει ὁ Διάκων τὰς αἰτήσεις τῆς Ἐκτενῆς· ἡμεῖς δὲ ποιοῦμεν μετανοίας γʹ. καὶ γίνεται ἡ Ἀκολουθία τῶν Προηγιασμένων. Εἰδέναι χρὴ, ὅτι μετὰ τὴν πρόοδον τῶν Ἁγίων Δώρων, πληρουμένου τοῦ, Νῦν αἱ Δυνάμεις, ποιοῦμεν μετανοίας γʹ. ἀσκεπεῖς ὄντες· αἴρει δὲ ὁ Ἱερεὺς τὰ καλύμματα ἐκ τῶν Ἁγίων, καὶ σκεπάζει αὐτὰ μετὰ τῆς Ἀναφορᾶς, ἤτοι τοῦ Ἀέρος. Οὕτω γὰρ καλεῖν εἰώθασιν αὐτὰ ἐν τοῖς τῶν Ἱεροσολύμων μέρεσιν· ὅταν δὲ πληρώσῃ τὸ, Πάτερ ἡμῶν, καὶ μέλλει ὑψῶσαι τὸν Ἅγιον Ἄρτον, οὐκ ἀνακαλύπτει αὐτὸν, ἀλλὰ κεκαλυμμένων ὄντων τῶν Ἁγίων, εἰσάγει τὰς χεῖρας αὐτοῦ ὁ Ἱερεὺς δέει πολλῷ, καὶ ἁπτόμενος τοῦ Ἁγίου Ἄρτου, ἐκφωνεῖ. Τὰ Προηγιασμένα Ἅγια τοῖς ἁγίοις· εἶθ' οὕτως ἀνακαλύπτει αὐτὰ, τὴν συνήθως στάσιν ἀποπληρῶν· μετὰ δὲ τὴν Ὀπισθάμβωνον Εὐχὴν, Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον, μετανοίας γʹ. καὶ τὸ, Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ, μεταδίδοται ἡμῖν τὸ κατακλαστὸν, καὶ Ἀπόλυσις. Οἱ δὲ μεταλαμβάνοντες, διακλύονται ὕδατος. Αὕτη ἡ Ἀκολουθία γίνεται καθ' ὅλην τὴν ἁγίαν Μʹ. Προηγιασμένης οὔσης. Εἰσερχόμενοι δὲ ἐν τῇ τραπέζῃ, ἐσθίομεν ξηροφαγίαν, πίνομεν καὶ ζωμὸν μετὰ μέλιτος, τῇ Τετάρτῃ δηλονότι. Τῇ δὲ Πέμπτῃ τῆς αὐτῆς Ἑβδομάδος τράπεζαν οὐκ ἱστῶμεν, ἀλλὰ μένομεν νηστεύοντες ἄχρι τῆς Παρασκευῆς· τότε γὰρ ἐσθίομεν, εἰσερχόμενοι εἰς τὴν τράπεζαν. Δεῖ εἰδέναι, ὅτι τὰ Διακονικὰ τῶν φωτιζομένων, καὶ ἡ Εὐχὴ ἀπὸ τῆς δʹ. ἄρχονται τῆς Μεσονηστίμου, καὶ λέγονται μέχρι τῆς μεγάλης δʹ. οὐ μόνον ἐν ταῖς Προηγιασμέναις, ἀλλὰ καὶ ἐν αὐτοῖς τοῖς Σάββασι, καὶ ταῖς Κυριακαῖς, εἰς τοῦ Χρυσοστόμου δηλονότι τὴν Λειτουργίαν, καὶ τοῦ μεγάλου Βασιλείου. Χρὴ γινώσκειν, ὅτι ἐν τῇ Λάβρᾳ τοῦ ὁσίου Πατρὸς ἡμῶν Σάββα οὐ ψάλλομεν Ἀπόδειπνα εἰς τὴν Ἐκκλησίαν, ἀλλ' ἐν τοῖς κελλίοις ψάλλομεν ἕκαστος· οὕτω γὰρ παρελάβομεν· εἰς δὲ τὰ Κοινόβια τῆς Παλαιστίνης ψάλλονται τὰ Ἀπόδειπνα οὕτω· περὶ δὲ ὥραν, εἰσέρχεται ὁ Κανδηλάπτης· καὶ ποιήσας μετάνοιαν τῷ Προεστῶτι, κρούει τὸ σήμαντρον ιβʹ. Καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ· καὶ ποιήσαντες ἕκαστος τὰς διατεταγμένας μετανοίας, καὶ μικρὸν καθησθέντες, εἰς τὸ πάντας, ἢ τοὺς πλείονας συναχθῆναι, ἀναστὰς ὁ Ἱερεὺς ἀπὸ τῆς καθέδρας αὐτοῦ, καὶ ποιήσας τὴν συνήθη μετάνοιαν τῷ Ἡγουμένῳ, ποιεῖ Εὐλογητόν. Καὶ ἡμεῖς ἀρχόμεθα τοῦ Τρισαγίου μετὰ μετανοιῶν ὡς ἔθος. Ὁμοίως καὶ εἰς τὸ, Δεῦτε προσκυνήσωμεν μετανοίας γʹ. καὶ εὐθὺς λέγομεν τὸν ξθʹ. ψαλμὸν τὸ, Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες· εἶθ' οὕτως ἀρχόμεθα τοῦ μεγάλου Κανόνος, ποιοῦντες αὐτὸν τμήματα δʹ. καθ' Εἱρμὸν, ὡς πληροῦσθαι τοῦτον τῇ εʹ. ἑσπέρας. Ἀφ' ἕκτης Ὠδῆς· καθίσμ. κατανυκτικὰ εἰς ἦχον πλ. βʹ. Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς. Δόξα, Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην· μετὰ δὲ τὴν τοῦ Κανόνος συμπλήρωσιν ἀρχόμεθα τοῦ δʹ. ψαλμοῦ, Ἐν τῷ ἐπικαλεῖσθαί με, εἰσήκουσάς μου ὁ Θεός· ὡσαύτως καὶ τοὺς ἑτέρους ψαλμοὺς τῶν Ἀποδείπνων· εἰς τὸ, Ἀλληλούϊα, μετανοίας γʹ. καὶ αὖθις ἀρχόμεθα τῆς ἑτέρας στάσεως, τὸ, Πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου· καὶ τοὺς λοιποὺς δύο ψαλμοὺς, λέγοντες ἐν τῷ τέλει τούτων, Ἀλληλούϊα· καὶ ποιοῦμεν μετανοίας γʹ. εἶτα ἄρχεται ὁ Χορὸς ὁ λαβὼν ἀπὸ τοῦ Ἑσπερινοῦ τὴν ἀρχὴν τὸ, Μεθ' ἡμῶν ὁ Θεός· καὶ λέγομεν τοὺς τοιούτους στίχους μεγαλοφώνως, καὶ μετὰ μέλους, λέγοντος τοῦ ἑνὸς Χοροῦ, καὶ ἀποκρινομένου τοῦ ἑτέρου. Ὁμοίως καὶ τὸ, Ἡ ἀσώματος φύσις, τὰ Χερουβίμ. Τὸ δὲ, Πιστεύω εἰς ἕνα Θεὸν, χθαμαλῇ τῇ φωνῇ· εἶτα,

ὁ ἐναρ-

ὁ ἐναρξάμενος Χορὸς τὸ, Παναγία Δέσποινα Θεοτόκε, πρέσβευε ὑπὲρ ἡμῶν· καὶ ποιεῖ ὁ ἕτερος Χορὸς μετάνοιαν· καὶ ἀνισταμένου τοῦ ἑτέρου Χοροῦ, καὶ ἀποκρινομένου, ποιεῖ ὁ ἕτερος μετάνοιαν, ὡσαύτως καὶ εἰς τοὺς λοιποὺς παρακλητικοὺς στίχους ἅπαντας, ὅταν δὲ εἴπωμεν τὸ, Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, ψάλλουσιν οἱ δύο Χοροὶ ἐπίσης, καὶ μετανοίας γʹ. εἶτα Τρισάγιον χωρὶς μετανοιῶν· καὶ λέγομεν τὰ παρόντα τροπάρια εἰς ἦχον βʹ. ἃ καὶ ψάλλομεν μεγαλοφώνως, καὶ μετὰ μέλους. Φώτισον τοὺς ὀφθαλμούς μου. Δόξα, Ἀντιλήπτωρ τῆς ψυχῆς μου. Καὶ νῦν, Ὅτι οὐκ ἔχομεν παῤῥησίαν. Ἰστέον δὲ ὅτι εὑρίσκεται ἔν τισι τῶν Τυπικῶν, ἐκ δευτέρου ψάλλεσθαι, εἰ βουλητὸν τῷ Προεστῶτι, ὑπὸ τῶν δύο Χορῶν τὸ, Φώτισον τοὺς ὀφθαλμούς μου Χριστὲ ὁ Θεός. Οὐκ οἴδαμεν δὲ τοῦτο γινόμενον ἐν οὐδεμιᾷ τῶν Μονῶν. Εἰσὶ δὲ καὶ ἕτερα τροπάρια, ἃ καὶ ψάλλονται ἡμέραν παρ᾽ ἡμέραν εἰς ἦχον πλ. δʹ. ἤγουν τῇ Τρίτῃ, καὶ τῇ Πέμπτῃ ἑσπέρας· εἰσὶ δὲ ταῦτα. Τῶν ἀοράτων ἐχθρῶν μου τὸ ἄϋπνον· στιχ. Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου. Ὡς φοβερὰ ἡ Κρίσις σου Κύριε. Δόξα. Δάκρυά μοι δὸς ὁ Θεὸς, ὥς ποτε. Καὶ νῦν, Τὴν ἀκαταίσχυντον, Θεοτόκε, ἐλπίδα σου. Τὸ, Κύριε ἐλέησον μʹ. Ὁ στιχ. παρὰ τοῦ Ἱερέως, καὶ ἡ Εὐχή. Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς. Τινὰ δὲ τῶν Τυπικῶν ὁρίζουσι μετὰ τὸ θεοτοκίον, καὶ τὸ, Κύριε ἐλέησον, τὸν στιχ. μόνον λέγεσθαι παρὰ τοῦ Ἱερέως, καὶ παρ᾽ ἡμῶν τὴν Εὐχὴν τὴν, Δέσποτα Θεὲ Πάτερ παντοκράτορ, ὅπερ, οὐκ ἁρμόζει, δοκεῖ μοι, καταλιμπάνεσθαι· ἐν μὲν τῇ τοιαύτῃ στάσει τὸ, Κύριε, Κύριε, ὁ ῥυσάμενος ἡμᾶς. Ἐν δὲ τῇ τελευταίᾳ, τὸ, Δέσποτα Θεὲ Πάτερ παντοκράτορ. Εἶθ᾽ οὕτω, Δεῦτε προσκυνήσωμεν γʹ. καὶ ψάλλομεν τὸν νʹ. καὶ τὸν ραʹ. ψαλμὸν, τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου πρὸς σὲ ἐλθέτω· καὶ τὸ, Κύριε παντοκράτορ ὁ Θεὸς τῶν Πατέρων ἡμῶν. Τρισάγιον, καὶ μετανοίας γʹ. ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία, καὶ μετὰ τὸ, Ἀμὴν, λέγομεν τὰ τροπάρια ταῦτα χῦμα εἰς ἦχον πλ. βʹ. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς. Δόξα, Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην τὸ, Κύριε ἐλέησον μʹ. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ· ὁ Ἱερεύς. Δι᾽ εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν, καὶ ἡ Εὐχή. Δέσποτα Θεὲ, Πάτερ παντοκράτορ, Κύριε, καὶ Τὸ, Δεῦτε προσκυνήσωμεν γʹ. καὶ μετανοίας γʹ. Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου. Καὶ τὸ, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου· τὸ, Δόξα ἐν ὑψίστοις Θεῷ· τὸ, Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν ἐν γενεᾷ, καὶ γενεᾷ· ἐγὼ εἶπα, Κύριε ἐλέησόν με. Καταξίωσον Κύριε ἐν τῇ νυκτὶ ταύτῃ. Εἶτα τὸ, Τρισάγιον, τὸ, Παναγία Τριάς· τὸ, Πάτερ ἡμῶν. Ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστιν ἡ Βασιλεία. Εἶτα ψάλλομεν μεγαλοφώνως, καὶ ἀργῶς, εἰς ἦχον πλ. βʹ.

Κύριε τῶν δυνάμεων μεθ᾽ ἡμῶν γενοῦ. ἄλλον γὰρ ἐκτός σου βοηθὸν ἐν θλίψεσιν οὐκ ἔχομεν. Κύριε τῶν Δυνάμεων ἐλέησον ἡμᾶς.

Καὶ ἀποκρίνεται τὸ αὐτὸ ὁ ἕτερος Χορός. Καὶ λέγει ὁ ἐναρξάμενος Χορὸς στιχ. Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ· καὶ πάλιν τὸ τροπ. Εἶτα καὶ ὁ ἕτερος Χορὸς τὸ τροπ. ἐν ἑκάστῳ στίχῳ. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν πέντε στίχων, λέγουσιν οἱ δύο Χοροὶ ὁμοῦ τὸν αʹ. στίχον, καὶ τροπάριον, Εἶτα ἄρχεται ὁ ἐναρξάμενος Χορός. Δόξα τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τῷ ἁγίῳ Πνεύματι. Κύριε, εἰ μὴ τοὺς Ἁγίους σου εἴχομεν πρεσβευτὰς, καὶ τήν. Καὶ νῦν. Πολλὰ τὰ πλήθη τῶν ἐμῶν, Θεοτόκε, πταισμάτων. Παναγία Θεοτόκε, τὸν χρόνον τῆς ζωῆς μου τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι· τὸ, Κύριε ἐλέησον μʹ. καὶ ἡ Εὐχή. Ὁ ἐν παντὶ καιρῷ, καὶ πάσῃ, τὸ, Κύριε ἐλέησον γʹ. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν τῶν Χερουβίμ. Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ, ὁ Ἱερεύς. Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς, καὶ εὐλογῆσαι ἡμᾶς· ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ᾽ ἡμᾶς, καὶ ἐλεῆσαι ἡμᾶς· καὶ ποιοῦμεν τὰς ιεʹ. μετανοίας ὡς συνήθως, καὶ μετὰ τῆς Εὐχῆς τοῦ ὁσίου Ἐφραίμ. Εἶτα τὸ Τρισάγιον, καὶ μετανοίας γʹ. μετὰ δὲ τὸ, Πάτερ ἡμῶν, τὸ, Κύριε ἐλέησον ιβʹ. λέγομεν τὴν Εὐχὴν, ποίημα Παύλου μοναχοῦ Μονῆς τῆς Εὐεργέτιδος· τὸ, Ἄσπιλε, ἀμόλυντε· καὶ τὸ, Καὶ δὸς ἡμῖν Δέσποτα.

Δεῖ εἰδέναι, ὅτι τὰ πλείονα τῶν Τυπικῶν, καὶ ἡ συνήθεια ὁρίζουσι, μετὰ τὸ τελευταῖον Τρισάγιον, πίπτειν ἅπαντας ἐπὶ γῆς, καὶ λέγειν τὸν Ἱερέα μεγαλοφώνως τὴν ἐν τῷ μεγάλῳ Ἑσπερινῷ Εὐχήν. Δέσποτα πολυέλεε Κύριε Ἰησοῦ Χριστὲ, ὁ Θεὸς ἡμῶν· ἐν ᾗ καὶ τὴν Ἀπόλυσιν. Καὶ οὕτω ποιήσας μετάνοιαν ὁ Προεστὼς ἐπὶ γῆς, λέγει τοῖς Ἀδελφοῖς. Εὐλογεῖτε Πατέρες ἅγιοι, συγχωρήσατέ μοι τῷ ἁμαρτωλῷ, εἴ τι ἥμαρτον λόγῳ, ἔργῳ, διανοίᾳ, καὶ πάσῃ μου τῇ αἰσθήσει. Καὶ ἀνταποκρινόμεθα ἡμεῖς, ὁ Θεὸς συγχωρήσοι σοι Πάτερ ἅγιε· καὶ ἄρχεται ἀπὸ τοῦ ἀριστεροῦ Χοροῦ κατὰ τάξιν εἷς, καὶ εἷς ποιεῖν ὁμοίως, καὶ αἰτεῖσθαι, καὶ λαμβάνειν συγχώρησιν, μέχρις ἂν πληρωθῶσι πάντες· καὶ οὕτως ἄρχεται ὁ Ἱερεὺς λέγειν. Εὐξώμεθα ὑπὲρ τῶν κραταιῶν, καὶ ἁγίων ἡμῶν Αὐθεντῶν, καὶ Βασιλέων, καὶ τὰ ἑξῆς· ὡς ἐν τῇ χρονείᾳ διατάξει διείληπται.

Καὶ μετὰ ταῦτα, ὁ συνήθως στίχος παρὰ τοῦ Προεστῶτος, καὶ ἡ πρὸς αὐτὸν παρὰ πάντων ὁμοίως μετάνοια· καὶ οὕτως ἀπερχόμεθα ἕκαστος ἐν τῇ ἰδίᾳ κέλλῃ. Αὕτη ἡ τάξις γίνεται καθ᾽ ὅλην

τὴν ἁγίαν Μ'. ἐν τοῖς Ἀποδείπνοις. Ἰστέον, ὅτι τοῦ Προεστῶτος τὸν στίχον λέγοντος, ἡμεῖς τὸ, **Εὐλόγησον,** ἀποκρινόμεθα, λαβόντες τὴν συγχώρησιν, καὶ παράθεσιν. Δεῖ δὲ τὸν Ἐκκλησιάρχην καὶ τοῦτο σκοπεῖν ἀκριβῶς, ἵνα, ὅταν τὰ Ἀπόδειπνα ἀπολύωσιν, ὑπάρχειν ἀκμὴν ἡμέρας. Ἰδοὺ, ὡς προγέγραπται, μίαν ἡμέραν τῶν ἁγίων Νηστειῶν ἀκριβῶς ἐξετάσαντες, παρεθήκαμεν τῇ ἀγάπῃ ἡμῶν, τήν τε ποσότητα τῆς ψαλμῳδίας, καὶ τὰς ἐν αὐτῇ τυπωθείσας παρὰ τῶν ἁγίων Πατέρων μετανοίας· ἃς οὐκ ἔξεστι παραλογίζεσθαι, οὐδὲ τὸν ἄγαν νομοθετῆν. Ποσοῦνται δὲ αἱ ἐν τῇ Ἐκκλησίᾳ γινόμεναι μετάνοιαι; τοῦ νυχθημέρου τριακόσιαι, ἄνευ τοῦ μεσονυκτικοῦ. Παρελάβομεν δὲ ἐν τῇ Παλαιστίνῃ, καὶ ἐν τοῖς ἰδίοις κελλίοις ἕκαστον ψάλλειν τὸ Ψαλτήριον· καὶ οἱ μὲν δυνάμενοι, τελειοῦσιν αὐτὸ τὸ νυχθήμερον, οἱ δὲ τρὶς τῆς Ἑβδομάδος, οἱ δὲ δίς. Μετανοίας δὲ ποιεῖν, ὅσας ἑκάστῳ κατὰ τὴν ἰδίαν δύναμιν ὁ Προεστὼς τυπώσει.

Εὐχὴ μετὰ τὸ, **Ἄσπιλε, ἀμόλυντε.**

Τοῖς μισοῦσι, καὶ ἀδικοῦσιν ἡμᾶς συγχώρησον Κύριε φιλάνθρωπε· τοῖς ἀγαθοποιοῦσιν ἀγαθοποίησον· τοῖς ἀδελφοῖς πᾶσι, καὶ ἰδίοις χάρισαι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον· τοὺς ἐν ἀσθενείᾳ ἐπίσκεψαι, καὶ ἴασιν δώρησαι· τοὺς ἐν θαλάσσῃ κυβέρνησον. Μνήσθητι Κύριε, πάντων τῶν προκεκοιμημένων Πατέρων, καὶ Ἀδελφῶν ἡμῶν, καὶ ἀνάπαυσον αὐτοὺς, ἔνθα ἐπισκοπεῖ τὸ φῶς τοῦ προσώπου σου· μνήσθητι, Κύριε τῶν ἀδελφῶν ἡμῶν τῶν αἰχμαλώτων, καὶ λύτρωσαι αὐτοὺς ἀπὸ πάσης περιστάσεως· τοῖς ἐντειλαμένοις ἡμῖν τοῖς ἀναξίοις, εὔχεσθαι ὑπὲρ αὐτῶν, συγχώρησον, καὶ ἐλέησον· τοῖς διακονοῦσι, καὶ ἐλεοῦσιν ἡμᾶς χάρισαι πάντα τὰ πρὸς σωτηρίαν αἰτήματα, καὶ ζωὴν τὴν αἰώνιον· μνήσθητι Κύριε, καὶ τῆς ἡμῶν ἐλεεινότητος, καὶ ἀθλιότητος, καὶ φώτισον ἡμῶν τὸν νοῦν ἐν τῷ φωτὶ τῆς γνώσεως τοῦ ἁγίου σου Εὐαγγελίου, καὶ ὁδήγησον ἡμᾶς ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου, πρεσβείαις τῆς παναχράντου σου Μητρὸς, καὶ πάντων σου τῶν Ἁγίων, Ἀμήν.

Π· Αναγία Δέσποινα Θεοτόκε, ἀπόδιωξον τοὺς πονηροὺς, καὶ ἀκαθάρτους λογισμοὺς ἀπὸ τῆς ἀθλίας, καὶ ταλαιπώρου μου ψυχῆς, καὶ καρδίας, καὶ κατάσβεσόν μου τὴν φλόγα τῶν παθῶν, καὶ ἐλέησόν με, ὅτι ἀσθενὴς, καὶ ταλαίπωρος εἰμὶ ἐγώ· καὶ ῥῦσαί με ἀπὸ τῶν ἐπερχομένων μοι πονηρῶν ἐνθυμήσεων, καὶ προσλήψεων· ὅτι ὑπερευλογημένη ὑπάρχεις, καὶ τὸ ὄνομά σου τὸ ἅγιον δεδοξασμένον εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ὑπερένδοξε Ἀειπάρθενε Θεοτόκε, Μήτηρ Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, προσάγαγε τὴν ἡμετέραν προσευχὴν τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν, ἵνα σώσῃ διὰ σοῦ τὰς ψυχὰς ἡμῶν.

Ἡ Ἐλπίς μου ὁ Θεός, καταφυγή μου ὁ Χριστὸς, σκέπη μου τὸ Πνεῦμα τὸ ἅγιον, Τριὰς ἁγία σῶσόν με.

Τῇ Δευτέρᾳ τῆς α'. Ἑβδομάδος Ἑσπέρας· εἰς τὸ Ἀπόδειπνον μετὰ τὸ εἰπεῖν τὸ Τρισάγιον. τὸ, **Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες,** καὶ τὰ λοιπὰ, ψάλλομεν τὸν παρόντα μέγαν Κανόνα, ποίημα τοῦ ἁγίου Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης, τοῦ Ἱεροσολυμίτου. Ὠδὴ α'. ἦχος πλαγ. β'. ὁ Εἱρμός. Ποιοῦμεν δὲ καθ' ἓν τροπάριον μετανοίας γ'. λέγοντες τὸν παρόντα στίχον. **Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με·** τὸν Εἱρμὸν δίς.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν·
„ Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν· ἐνδό-
„ ξως γὰρ δεδόξασται.

Δίς.

Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με.

Πόθεν ἄρξομαι θρηνεῖν τὰς τοῦ ἀθλίου μου βίου πράξεις; ποίαν ἀπαρχὴν ἐπιθήσω, Χριστὲ, τῇ νῦν θρηνῳδίᾳ; ἀλλ', ὡς εὔσπλαγχνος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

Δεῦρο τάλαινα ψυχὴ, σὺν τῇ σαρκί σου τῷ πάντων Κτίστῃ ἐξομολογοῦ, καὶ ἀπόσχου λοιπὸν τῆς πρὶν ἀλογίας, καὶ προσάγαγε Θεῷ ἐν μετανοίᾳ δάκρυα.

Τὸν πρωτόπλαστον Ἀδὰμ τῇ παραβάσει παραζηλώσας, ἔγνων ἐμαυτὸν γυμνωθέντα Θεοῦ, καὶ τῆς ἀϊδίου Βασιλείας, καὶ τρυφῆς διὰ τὰς ἁμαρτίας μου.

Οἴμοι, τάλαινα ψυχὴ, τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ; εἶδες γὰρ κακῶς, καὶ ἐτρώθης πικρῶς, καὶ ἥψω τοῦ ξύλου, καὶ ἐγεύσω προπετῶς τῆς παραλόγου βρώσεως.

Ἀντὶ Εὔας αἰσθητῆς ἡ νοητή μοι κατέστη Εὔα, ὁ ἐν τῇ σαρκὶ ἐμπαθὴς λογισμὸς, δεικνὺς τὰ ἡδέα, καὶ γευόμενος ἀεὶ τῆς πικρᾶς καταπόσεως.

Ἐπαξίως τῆς Ἐδὲμ προσεξερρίφη, ὡς μὴ φυλάξας μίαν σου, Σωτὴρ, ἐντολὴν ὁ Ἀδάμ· ἐγὼ δὲ τί πάθω, ἀθετῶν διαπαντὸς τὰ ζωηρά σου λόγια;

Δόξα.

Ὑπερούσιε Τριὰς, ἡ ἐν μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ, ὡς εὔσπλαγχνος, μοι δὸς δάκρυα κατανύξεως.

Θεοτοκίον.

Θεοτόκε ἡ ἐλπὶς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς Δέσποινα ἁγνὴ, μετανοοῦντα δέξαι με.

Ὠδὴ

Ὠδὴ β'. ὁ Εἱρμός.

Πρόσεχε Οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα. Δίς.

Πρόσεχε Οὐρανὲ, καὶ λαλήσω· γῆ ἐνωτίζου φωνῆς μετανοούσης Θεῷ, καὶ ἀνυμνούσης αὐτόν.

Πρόσχες μοι ὁ Θεὸς ὁ Σωτήρ μου ἱλέῳ ὄμματί σου, καὶ δέξαι μου τὴν θερμὴν ἐξομολόγησιν.

Ἡμάρτηκα ὑπὲρ πάντας ἀνθρώπους, μόνος ἡμάρτηκά σοι· ἀλλ' οἴκτειρον, ὡς Θεὸς, Σῶτερ, τὸ ποίημά σου.

Μορφώσας μου τῇ τῶν παθῶν ἀμορφίᾳ, ταῖς φιληδόνοις ὁρμαῖς ἐλυμηνάμην τοῦ νοῦ τὴν ὡραιότητα.

Ζάλη με τῶν κακῶν περιέχει, εὔσπλαγχνε Κύριε· ἀλλ' ὡς τῷ Πέτρῳ, κἀμοὶ τὴν χεῖρα ἔκτεινον.

Ἐσπίλωσα τὸν τῆς σαρκός μου χιτῶνα, καὶ κατερρύπωσα τὸ κατ' εἰκόνα, Σωτὴρ, καὶ καθ' ὁμοίωσιν.

Ἠμαύρωσα τῆς ψυχῆς τὸ ὡραῖον ταῖς τῶν παθῶν ἡδοναῖς· καὶ ὅλως ὅλον τὸν νοῦν χοῦν ἀπετέλεσα.

Διέρρηξα νῦν τὴν στολήν μου τὴν πρώτην, ἣν ἐξυφάνατό μοι ὁ πλαστουργὸς ἐξ ἀρχῆς, καὶ ἔνθεν κεῖμαι γυμνός.

Ἐνδέδυμαι διερρηγμένον χιτῶνα, ὃν ἐξυφάνατό μοι ὁ ὄφις τῇ συμβουλῇ, καὶ καταισχύνομαι.

Τὰ δάκρυα, τὰ τῆς πόρνης, οἰκτίρμον, κἀγὼ προβάλλομαι. Ἱλάσθητί μοι, Σωτὴρ, τῇ εὐσπλαγχνίᾳ σου.

Προσέβλεψα τοῦ φυτοῦ τὸ ὡραῖον, καὶ ἠπατήθην τὸν νοῦν· καὶ ἄρτι κεῖμαι γυμνὸς, καὶ καταισχύνομαι.

Ἐτέκταινον ἐπὶ τὸν νῶτόν μου πάντες οἱ ἀρχηγοὶ τῶν κακῶν, μακρύνοντες κατ' ἐμοῦ τὴν ἀνομίαν αὐτῶν.

Δόξα.

Ἕνα σε ἐν τρισὶ τοῖς προσώποις Θεὸν ἁπάντων ὑμνῶ, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα τὸ ἅγιον.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε Παρθένε, μόνη πανύμνητε, ἱκέτευε ἐκτενῶς εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὠδὴ γ'. ὁ Εἱρμός.

Ἐπὶ τὴν ἀσάλευτον, Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον.

Πῦρ παρὰ Κυρίου ποτὲ Κύριος ἐπιβρέξας, τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Εἰς τὸ ὄρος σώζου, ψυχὴ, ὥσπερ ὁ Λὼτ ἐκεῖνος, καὶ εἰς Σηγὼρ προανασώθητι.

Φεῦγε ἐμπρησμὸν, ὦ ψυχὴ, φεῦγε Σοδόμων καῦσιν· φεῦγε φθορὰν θείας φλογώσεως.

Ἥμαρτόν σοι μόνος ἐγὼ, ἥμαρτον ὑπὲρ πάντας, Χριστὲ Σωτὴρ, μὴ ὑπερίδῃς με.

Σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς, ζήτησόν με τὸν ἄρνα, καὶ πλανηθέντα μὴ παρίδῃς με.

Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς, σὺ εἶ ὁ πλαστουργός μου· ἐν σοὶ, Σωτὴρ, δικαιωθήσομαι.

Ἐξομολογοῦμαί σοι, Σωτὴρ, ἥμαρτόν σοι ἀμέτρως· ἀλλ' ἄνες, ἄφες μοι, ὡς εὔσπλαγχνος.

Δόξα.

Ὦ Τριὰς μονὰς ὁ Θεὸς, σῶσον ἡμᾶς ἐκ πλάνης, καὶ πειρασμῶν, καὶ περιστάσεων.

Θεοτοκίον.

Χαῖρε θεοδόχε γαστὴρ, χαῖρε θρόνε Κυρίου, χαῖρε ἡ Μήτηρ τῆς ζωῆς ἡμῶν.

Ὠδὴ δ'. ὁ Εἱρμός.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκ„τεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν· „ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ „δυνάμει σου, Κύριε.

Δίς.

Τὰ ἔργα σου μὴ παρίδῃς, τὸ πλάσμα σου μὴ παρόψῃ, δικαιοκρίτα· εἰ καὶ μόνος ἥμαρτον, ὡς ἄνθρωπος, ὑπὲρ πάντα ἄνθρωπον φιλάνθρωπε· ἀλλ' ἔχεις, ὡς Κύριος πάντων, τὴν ἐξουσίαν ἀφιέναι ἁμαρτήματα.

Ἐγγίζει ψυχὴ τὸ τέλος, ἐγγίζει, καὶ οὐ φροντίζεις, οὐχ ἑτοιμάζῃ; ὁ καιρὸς συντέμνει, διανάστηθι· ἐγγὺς ἐπὶ θύραις ὁ κριτής ἐστιν· ὡς ὄναρ, ὡς ἄνθος, ὁ χρόνος τοῦ βίου τρέχει· τί μάτην ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου, τὰς πράξεις σου, ἃς εἰργάσω, ἀναλογίζου, καὶ ταύτας ἐπ' ὄψεσι προσάγαγε, καὶ σταγόνας στάλαξον δακρύων σου· εἰπὲ παῤῥησίᾳ τὰς πράξεις, τὰς ἐνθυμήσεις Χριστῷ, καὶ δικαιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ ἁμάρτημα, οὐδὲ πρᾶξις, οὐδὲ κακία, ἣν ἐγὼ, Σωτὴρ, οὐκ ἐπλημμέλησα, κατὰ νοῦν, καὶ λόγον, καὶ προαίρεσιν, καὶ θέσει, καὶ γνώμῃ, καὶ πράξει ἐξαμαρτήσας, ὡς ἄλλος οὐδεὶς πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην, ἐντεῦθεν κατεδικάσθην ἐγὼ ὁ τάλας ὑπὸ τῆς οἰκίας συνειδήσεως, ἧς οὐδὲν ἐν Κόσμῳ βιαιότερον. Κριτὰ λυτρωτά μου, καὶ γνῶστα, φεῖσαι, καὶ ῥῦσαι, καὶ σῶσόν με τὸν δείλαιον.

Ἡ κλίμαξ, ἣν εἶδε πάλαι ὁ μέγας ἐν πατριάρχαις, δεῖγμα, ψυχή μου, πρακτικῆς ὑπάρχει ἐπιβάσεως, γνωστικῆς τυγχάνει ἀναβάσεως· εἰ θέλεις οὖν πράξει, καὶ γνώσει, καὶ θεωρίᾳ βιοῦν, ἀνακαινίσθητι.

Τὸν καύσωνα τῆς ἡμέρας ὑπέμεινε δι' ἔνδειαν ὁ Πατριάρχης, καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε, καθ' ἡμέραν κλέμματα ποιούμενος· ποιμαί-

Digitized by Google

ποιμαίνων, ποικίλων, δούλων, ἵνα τὰς δύο γυναῖκας εἰσαγάγηται.

ΓΥναῖκάς μοι δύο νόει, τὴν πρᾶξίν τε, καὶ τὴν γνῶσιν ἐν θεωρίᾳ· τὴν μὲν Λείαν, πρᾶξιν, ὡς πολύτεκνον, τὴν Ῥαχὴλ δὲ, γνῶσιν, ὡς πολύπονον· καὶ γὰρ ἄνευ πόνων, οὐ πρᾶξις, οὐ θεωρία, ψυχὴ, κατορθωθήσεται.

Δόξα.

ΑΜέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε τὴν τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ συνθρονον, βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Θεοτοκίον.

ΚΑὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις δι' ἀμφοτέρων φύσει Παρθένος· ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα, Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις, ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ ε'. ὁ Εἱρμός.

ἘΚ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με, Σωτὴρ, ποιεῖν τὸ θέλημά σου.

Δίς.

ἘΝ νυκτὶ τὸν βίον μου διῆλθον ἀεί· σκότος γὰρ γέγονε, καὶ βαθεῖα μοι ἀχλὺς ἡ νὺξ τῆς ἁμαρτίας· ἀλλ' ὡς ἡμέρας υἱὸν, Σωτὴρ, ἀνάδειξόν με.

ΤὸΝ Ῥουβὶμ μιμούμενος ὁ τάλας ἐγὼ, ἔπραξα ἄθεσμον, καὶ παράνομον βουλὴν κατὰ Θεοῦ ὑψίστου, μιάνας κοίτην ἐμὴν, ὡς τοῦ πατρὸς ἐκεῖνος.

ἘΞομολογοῦμαί σοι, Χριστὲ Βασιλεῦ· Ἥμαρτον, ἥμαρτον, ὡς οἱ πρὶν τὸν Ἰωσὴφ ἀδελφοὶ πεπρακότες, τὸν τῆς ἁγνείας καρπὸν, καὶ τὸν τῆς σωφροσύνης.

ὙΠὸ τῶν συγγενῶν ἡ δικαία ψυχὴ δέδοτο, πέπρατο εἰς δουλείαν ὁ γλυκὺς εἰς τύπον τοῦ Κυρίου· αὐτὴ δὲ ὅλη, ψυχὴ, ἐπράθης τοῖς κακοῖς σου.

ἸΩσὴφ τὸν δίκαιον, καὶ σώφρονα νοῦν μίμησαι, τάλαινα, καὶ ἀδόκιμε ψυχὴ, καὶ μὴ ἀκολασταίνου ταῖς παραλόγοις ὁρμαῖς ἀεὶ παρανομοῦσα.

ΕἸ καὶ λάκκῳ ᾤκησε ποτὲ Ἰωσὴφ, Δέσποτα Κύριε, ἀλλ' εἰς τύπον τῆς ταφῆς, καὶ τῆς ἐγέρσεώς σου· ἐγὼ δὲ τί σοι ποτὲ τοιοῦτο προσενέγκω;

Δόξα.

ΣΕ Τριὰς δοξάζομεν, τὸν ἕνα Θεόν, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· ἁπλῆ οὐσία, μονὰς ἀεὶ προσκυνουμένη.

Θεοτοκίον.

ἘΚ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε, Μητροπάρθενε, Θεὸς, ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ς'. ὁ Εἱρμός.

ἘΒόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Δίς.

ΤᾺ δάκρυα, Σωτὴρ, τῶν ὀμμάτων μου. καὶ τοὺς ἐκ βάθους στεναγμοὺς καθαρῶς προσφέρω, βοώσης τῆς καρδίας· ὦ Θεὸς ἡμάρτηκά σοι, ἱλάσθητί μοι.

ἘΞένευσας, ψυχὴ, τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν, καὶ Ἀβειρών· ἀλλὰ, Φεῖσαι, κράζον ἐξ ᾅδου κατωτάτου, ἵνα μὴ τὸ χάσμα τῆς γῆς σε συγκαλύψῃ.

ὩΣ δάμαλις, ψυχὴ, παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραὶμ, ὡς δορκὰς ἐκ βρόχων ἀνάσωσον τὸν βίον, πτερωθεῖσα πράξει τὸν νοῦν, καὶ θεωρίᾳ.

Ἡ Χεὶρ ἡμᾶς Μωσέως πιστώσεται, ψυχὴ, πῶς δύναται Θεὸς λεπρωθέντα βίον λευκᾶναι, καὶ καθᾶραι· καὶ μὴ ἀπογνῷς σεαυτὴν, κἂν ἐλεπρώθης.

Δόξα.

ΤΡιάς εἰμι ἁπλῆ, ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη, ὁ Πατὴρ, φησι, καὶ Υἱὸς, καὶ θεῖον Πνεῦμα.

Θεοτοκίον.

Ἡ Μήτρα σου Θεὸν ἡμῖν ἔτεκε μεμορφωμένον καθ' ἡμᾶς· ἀλλ' ὡς Κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον.

ΨΥχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεὸς ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὠδὴ ζ'.

Ἡ Μάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Δίς.

Ἡ Μάρτηκα, ἐπλημμέλησα, καὶ ἠθέτησα τὴν ἐντολήν σου· ὅτι ἐν ἁμαρτίαις προήχθην, καὶ προσέθηκα τοῖς μώλωψι τραῦμα ἐμοί· ἀλλ' αὐτός με ἐλέησον, ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

ΤᾺ κρύφια τῆς καρδίας μου ἐξηγόρευσά σοι τῷ Κριτῇ μου, ἴδε μου τὴν ταπείνωσιν, ἴ-

δε

δὲ καὶ τὴν θλῖψιν μου, καὶ πρόσχες τῇ κρίσει μου νῦν· καὶ αὐτός με ἐλέησον, ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

Σαῦλ ποτε ὡς ἀπώλεσε τοῦ πατρὸς αὐτοῦ, ψυχή, τὰς ὄνους, πάρεργον τὸ βασίλειον εὗρε πρὸς ἀνάρρησιν· ἀλλ' ὅρα μὴ λάθῃς σεαυτήν, τὰς κτηνώδεις ὀρέξεις σου προκρίνουσα τῆς Βασιλείας Χριστοῦ.

Δαβίδ ποτε ὁ πατρόθεος, εἰ καὶ ἥμαρτε διπλῶς, ψυχή μου, βέλει μὲν τοξευθεὶς τῆς μοιχείας, τῷ δὲ δόρατι ἁλοὺς τῆς τοῦ φόνου ποινῆς· ἀλλ' αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς, ταῖς κατὰ γνώμην ὁρμαῖς.

Συνῆψε μὲν ὁ Δαβίδ ποτε ἀνομήματι τὴν ἀνομίαν· φόνῳ γὰρ τὴν μοιχείαν ἐκίρνα, τὴν μετάνοιαν εὐθὺς παραδείξας διπλῆν· ἀλλ' αὐτὴ πονηρότερα εἰργάσω, ψυχή, μὴ μεταγνοῦσα Θεῷ.

Δαβίδ ποτε ἀνεστήλωσε συγγραψάμενος, ὡς ἐν εἰκόνι, ὕμνον, δι' οὗ τὴν πρᾶξιν ἐλέγχει, ἣν εἰργάσατο, κραυγάζων. Ἐλέησόν με, σοὶ γὰρ μόνῳ ἐξήμαρτον τῷ πάντων Θεῷ, αὐτὸς καθάρισόν με.

Δόξα.

Τριὰς ἁπλῆ, ἀδιαίρετε, ὁμοούσιε, μονὰς ἁγία, φῶτα, καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον, ὑμνεῖται Θεὸς ἡ Τριάς· ἀλλ' ἀνύμνησον, δόξασον ζωήν, καὶ ζωάς, ψυχή, τὸν πάντων Θεόν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, Θεογεννῆτορ, ὅτι τῆς ἀχωρίστου Τριάδος ἀπεκύησας τὸν ἕνα, Υἱόν, καὶ Θεόν· καὶ αὐτὴ προηνέωξας ἡμῖν τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Ὠδὴ η'. ὁ Εἱρμός.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφίμ, πᾶσα πνοή,
„ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε
„ εἰς πάντας τοὺς αἰῶνας.

Δίς.

Ἡμαρτηκότα, Σωτήρ, ἐλέησον, διέγειρόν μου τὸν νοῦν πρὸς ἐπιστροφήν, δέξαι μετανοοῦντα, οἰκτείρησον βοῶντα. Ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Ὁ διφρηλάτης Ἠλίας ἅρματι, ταῖς ἀρεταῖς ἐπιβάς, ὡς εἰς Οὐρανὸν ἤγετο ὑπεράνω ποτὲ τῶν ἐπιγείων· τούτου οὖν, ψυχή μου, τὴν ἄνοδον ἀναλογίζου.

Ὁ Ἐλισσαῖος ποτὲ δεξάμενος τὴν μηλωτὴν Ἠλιοῦ, ἔλαβε διπλῆν χάριν παρὰ Κυρίου· αὐτὴ δέ, ὦ ψυχή μου, ταύτης οὐ μετέσχες τῆς χάριτος δι' ἀκρασίαν.

Τοῦ Ἰορδάνου τὸ ῥεῖθρον πρότερον τῇ μηλωτῇ Ἠλιοῦ δι' Ἐλισσαιοῦ ἔστη ἔνθα, καὶ ἔνθα· αὐτὴ δέ, ὦ ψυχή μου, ταύτης οὐ μετέσχες τῆς χάριτος δι' ἀκρασίαν.

Ἡ Σωμανῖτις ποτὲ τὸν δίκαιον ἐξένισεν, ὦ ψυχή, γνώμῃ ἀγαθῇ· σὺ δὲ οὐκ εἰσῴκισας, οὐ ξένον, οὐχ ὁδίτην· ὅθεν τοῦ νυμφῶνος ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.

Τοῦ Γιεζῆ ἐμιμήσω, τάλαινα, τὴν γνώμην τὴν ῥυπαρὰν πάντοτε, ψυχή· οὗ τὴν φιλαργυρίαν ἀπόθου, κἂν ἐν γήρει· φεῦγε τῆς γεέννης τὸ πῦρ, ἐκστᾶσα τῶν κακῶν σου.

Δόξα.

Ἄναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθέ, Πνεῦμα τὸ εὐθές. Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν, καὶ κτίζον, Τριὰς μονὰς ἐλέησόν με.

Θεοτοκίον.

Ὡς ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρὶς τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου ἡ σὰρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον ἐν ἀληθείᾳ σὲ τιμῶμεν.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ
„ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις, διό σε
„ πᾶσαι αἱ γενεαί, ὡς Θεόνυμφον Μητέρα, ὀρθο-
„ δόξως μεγαλύνομεν.

Δίς.

Ὁ νοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται, νοσεῖ τὸ Πνεῦμα· ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις· διό μοι τάλαινα ψυχή, τί ποιήσεις ὅταν ἔλθῃ ὁ Κριτὴς ἀνερευνῆσαι τὰ σά;

Μωσέως παρήγαγον, ψυχή, τὴν κοσμογένεσιν, καὶ ἐξ ἐκείνου πᾶσαν ἐνδιάθετον γραφὴν ἱστοροῦσάν σοι δικαίους, καὶ ἀδίκους· ὧν τοὺς δευτέρους, ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα.

Ὁ Νόμος ἠσθένησεν, ἀργεῖ τὸ Εὐαγγέλιον, Γραφὴ δὲ πᾶσα ἐν σοὶ παρημέληται, Προφῆται ἠτόνησαν, καὶ πᾶς δικαίου λόγος· αἱ τραυματίαι σου, ὦ ψυχή, ἐπληθύνθησαν, οὐκ ὄντος ἰατροῦ, τοῦ ὑγιοῦντός σε.

Τῆς νέας παράγων σοι Γραφῆς τὰ ὑποδείγματα, ἐνάγοντά σε, ψυχή, πρὸς κατάνυξιν· δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου, καὶ ἐξιλέωσαι Χριστὸν προσευχαῖς τε, καὶ νηστείαις, καὶ ἁγνείᾳ, καὶ σεμνότητι.

Χριστὸς ἐνηνθρώπησε, καλέσας εἰς μετάνοιαν λῃστάς, καὶ πόρνας· ψυχή, μετανόησον, ἡ θύρα ἠνέῳκται τῆς Βασιλείας ἤδη, καὶ προαρπάζουσιν αὐτὴν φαρισαῖοι, καὶ Τελῶναι, καὶ μοιχοὶ μεταποιούμενοι.

Χριστὸς ἐνηνθρώπησε, σαρκὶ προσομιλήσας μοι, καὶ πάντα, ὅσα ὑπάρχει τῆς φύσεως, βουλήσει ἐπλήρωσε, τῆς ἁμαρτίας δίχα, ὑπογραμμόν σοι, ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων τῆς αὐτοῦ συγκαταβάσεως.

Χρι-

Digitized by Google

Χριστὸς Μάγους ἔσωσε, ποιμένας συνεκάλεσε, νηπίων δήμους ἀπέδειξε μάρτυρας, Πρεσβύτην ἐδόξασε, καὶ γηραλαίαν Χήραν· ὧν οὐκ ἐζήλωσας, ψυχή, οὐ τὰς πράξεις, οὐ τὸν βίον, ἀλλ' οὐαί σοι ἐν τῷ κρίνεσθαι.

Νηστεύσας ὁ Κύριος ἡμέρας τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε, δεικνὺς τὸ ἀνθρώπινον, ψυχὴ μὴ ἀθυμήσῃς· ἄν σοι προσβάλλῃ ὁ ἐχθρός, προσευχῇ τε, καὶ νηστείᾳ, ἐκποδὼν ἀποκρουσθήτω σοι.

Δόξα.

Πατέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ Θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν, Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν· ὡς φῶς, καὶ φῶτα, καὶ ζωήν, καὶ ζωὰς ζωοποιοῦσαν, καὶ φωτίζουσαν τὰ πέρατα.

Θεοτοκίον.

Τὴν πόλιν σου φύλαττε, Θεογεννῆτορ πανάγνε, ἐν σοὶ γὰρ αὕτη πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα, τροποῦται πάντα πειρασμόν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Ἀνδρέα σεβάσμιε, καὶ Πάτερ τρισμακάριστε, ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν σὲ ὑμνούντων· ἵνα ῥυσθῶμεν πάσης ὀργῆς, καὶ θλίψεως, καὶ φθορᾶς, καὶ πταισμάτων λυτρωθῶμεν οἱ τιμῶντες σου τὴν μνήμην ἀεί.

Εἶτα ψάλλομεν οἱ δύο Χοροί. Ἀπόρου συλλήψεως, ὁ τόκος ἀνήρ. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Ἀποδείπνων.

Τῇ Τρίτῃ τῆς α'. Ἑβδομάδος ἐν τῷ Ὄρθρῳ, εἰς τὴν δευτέραν στιχολ. κάθισ. ἦχος β'.

Ὑπερευλογημένη.

Ὑπερευλογημένη ἡ χάρις τῆς πανσέπτου νηστείας. Μωϋσῆς γὰρ δι' αὐτῆς ἐδοξάσθη, καὶ νόμον τὸν ἐν γράμματι, ἐν πλαξὶν ὑπεδέξατο, τοῦ πυρὸς δυνατώτεροι παῖδες νέοι ἀνεδείχθησαν· ἐν αὐτῇ οὖν κατασβέσωμεν τῆς σαρκὸς πάθη φλογίζοντα, Χριστῷ τῷ Σωτῆρι βοῶντες, Ἐπιστροφὴν ἡμῖν πᾶσι δώρησαι, καὶ ῥῦσαι τῆς γεέννης.

Δόξα, ἕτερον· ἦχος ὁ αὐτός.

Εὐσπλαγχνίας ὑπάρ.

Μετανοίας ἐφέστηκε καιρός, ἐγκρατείας ἐπιδεῖξαι καρπούς, ὦ ψυχή μου· βλέψον πρὸς τοὺς πρὶν μετανοήσαντας, κράξον τῷ Χριστῷ, Ἥμαρτον, σῶσόν με, ὡς ἔσωσας, Δέσποτα, Τελώνην στενάξαντα ἐκ καρδίας, ἀγαθέ, ὁ μόνος ὑπάρχων πολυέλεος.

Καὶ νῦν Θεοτοκίον. Ὅμοιον.

Προστασία θερμὴ Χριστιανῶν, τὸν Υἱόν σου ἱκέτευε ἀεὶ Θεοτόκε, πάσης κακουργίας, καὶ δεινότητος ῥύσασθαι ἡμᾶς τοῦ πολεμήτορος, καὶ δοῦναι συγχώρησιν ἡμῖν, ὧν ἡμάρτομεν, διὰ σπλάγχνα οἰκτιρμῶν ταῖς σαῖς ἱκεσίαις, Μητροπάρθενε.

Εἰς τὴν γ'. στιχολ. κάθισ. ἦχος πλ. δ'.

Κύριε, τὴν σωτήριον ἐγκράτειαν διανύοντες, βοῶμέν σοι, Κατάνυξον ἡμῶν τὰς καρδίας τῶν δούλων σου, καὶ πρόσδεξαι τὰς ἐν φόβῳ εὐχὰς ἡμῶν, παρέχων ἡμῖν εὔδρομον τὸ τῆς νηστείας στάδιον, ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό, Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Τὸν συνάναρχον Λόγον.

Ἡ τὸ ἄνθος τὸ θεῖον ῥίζα βλαστήσασα, κιβωτέ, καὶ λυχνία, καὶ στάμνε πάγχρυσε, ἁγία τράπεζα, ζωῆς τὸν ἄρτον φέρουσα, ὡς Υἱόν σου, καὶ Θεόν, ἐκδυσώπησον αὐτὸν σὺν τῷ ἁγίῳ Προδρόμῳ, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τοὺς Θεοτόκον ὁμολογοῦντας σε.

Ὁ Κανὼν τοῦ Μηναίου· Καὶ τὸ Τριῴδιον.

Ὠδὴ β'. ἦχος β'. καὶ στιχολογεῖται ἡ ᾠδή.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι, ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ κορέσας Ἰσραηλίτην λαόν, „ καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας τοῖς βροτοῖς, ἵνα „ τὸν πάλαι τῇ φθορᾷ πεπτωκότα φορέσας, ἑλκύσω „ πρὸς ἐμαυτὸν δι' ἄφατον ἔλεος.

Νῆψον, γρηγόρησον, στέναξον, δάκρυσον, διὰ νηστείας ὅλον τῆς ἁμαρτίας τὸν φόρτον, ψυχή, ἀπόρριψον· τῇ θερμῇ μετανοίᾳ ἀπόφυγε τὸ πῦρ, καὶ διὰ πένθους τῶν παθῶν τὸν πενθήρη χιτῶνα διάρρηξον, τὴν στολὴν τὴν θείαν λαμβάνουσα.

Ὥρα προσέλθωμεν ἀρίστων πράξεων, διὰ νηστείας πάντες, τὰς χαμαιζήλους λιπόντες τῶν ἡδονῶν προσβολάς, καὶ εἰς γνόφον εἰσδύντες σεπτῶν θεωριῶν, μόνον ὀψώμεθα Χριστοῦ τὸ ἐράσμιον κάλλος, θεούμενοι μυστικῶς θείαις ἀναβάσεσιν.

Οἴμοι τί γένομαι, τί διαπράξομαι, τὴν ἁμαρτίαν πράττων, καὶ Δεσπότην οὐ φρίττων ὁ ἀσυνείδητος; διὰ τοῦτο πρὸ δίκης κατάδικός εἰμι· δικαιόκριτα ἀγαθέ, ἐπιστρέψας με σῶσον, τὸν ὑπὲρ πάντας βροτούς σε παραπικράναντα.

Θεοτοκίον.

Ἡ ἀγεώργητος γῆ, ἡ βλαστήσασα τὸν τοῦ παντὸς τροφέα, τὸν ὑπανοίγοντα χεῖρα, καὶ εὐδοκίᾳ τῇ αὐτοῦ ἐμπιπλῶντα πᾶν ζῶον ἰσχύϊ θεϊκῇ, στήριξον ἄρτῳ ζωτικῷ παραμυθίας καρδίας τῷ κόρῳ τῶν δυσχερῶν ἡμῶν παραπτώσεων.

Εἱρμὸς ἄλλος, ἦχος πλ. α'.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεός, ὁ σάρκα.

Δεῦτε συνέλθωμεν ἐν τῷ ταμείῳ τῆς ψυχῆς, Κυρίῳ τὰς εὐχὰς ἀποδιδόντες, καὶ βοῶντες, Πάτερ, ὁ ἐν Οὐρανοῖς, τὰ ὀφειλήματα ἡμῶν ἄνες, ὡς μόνος εὔσπλαγχνος.

Τὸ τῆς ψυχῆς ἡμῶν ἐν τῇ νηστείᾳ ἱλαρὸν δεικνύντες, μὴ στυγνάσωμεν τὴν τῶν πεποθημένων ἡμερῶν ἐξαλλαγήν, ὡς ἐκλάμπουσαν

ἡμῖν

ἡμῶν τῆς εὐσεβείας τὰ κατορθώματα.

Δόξα.

Ἄναρχε, ἄκτιστε, ἡ τρισυπόστατος μονὰς, Κυρία Βασιλεία τῶν αἰώνων· σὲ δοξάζει τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα πλῆθος Ἀγγέλων, καὶ πᾶσα φύσις βροτῶν.

Θεοτοκίον.

Σὲ τὸ πανάρετον κλέος τοῦ γένους ἡμῶν ὑμνοῦμεν· διὰ σοῦ γὰρ ἐθεώθημεν, Παρθένε, καὶ γὰρ ἔτεκες ἡμῖν τὸν Σωτῆρα, καὶ Θεὸν, Χριστὸν τὸν λύσαντα τῆς κατάρας ἡμᾶς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τίς πῦρ ἀπέσβεσε, τίς φράττει στόματα θηρῶν; νηστεία, ἡ τοὺς παῖδας ἐκ καμίνου ῥυσαμένη, καὶ προφήτην Δανιὴλ ἐκ λεόντων τῆς βορᾶς, ἣν ἀσπασώμεθα καὶ ἡμεῖς, ἀδελφοί.

Ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ σάρκα ἐνδυσάμενος βουλήσει ἑκουσίᾳ· ἵνα σώσω τὸν
„ Ἀδὰμ, τὸν ἐκ πλάνης πεσόντα τῇ παραβάσει
„ διὰ τοῦ ὄφεως.

Ὠδὴ η'. Τοῦ ἐν τῇ βάτῳ Μωσῇ.

Ὕπνον ἀπόθου, ψυχὴ, τῆς δεινῆς ῥαθυμίας, καὶ προθύμως γρηγόρει πρὸς τὰς θείας ἐντολὰς, ἐγγίζει ὁ νυμφίος, λαμπαδηφόρος σπεῦσον αὐτῷ προσυπαντῆσαι.

Τραυματισθέντα δεινῶς ἡδονῶν τῇ ῥομφαίᾳ, τῇ μοτώσει, οἰκτίρμων, τῆς εὐσπλάγχνου σου ῥοπῆς ἰάτρευσόν με, Λόγε, ὅπως σε εὐχαρίστως δοξάζω εἰς αἰῶνας.

Ἀπὸ παθῶν βλαβερῶν, ἀπὸ φθόνου, καὶ μίσους, ἀπὸ πάσης κακίας ἐγκρατεύθητι, ψυχὴ, σιτίοις τρεφομένη, τοῖς τὴν τρυφὴν τὴν ἄνω ἀΰλως προξενοῦσι.

Θεοτοκίον.

Ἐρρύνητορ ἁγνὴ, τῆς ψυχῆς μου τὰ ἕλκη, καὶ καρδίας τὰ πάθη, καὶ νοὸς τὰς ἐκτροπὰς θεράπευσον, ὡς μόνη ἁμαρτωλῶν βοηθὸς, καὶ προτεθυμημένων τεῖχος.

Εἱρμὸς ἄλλος. Τὸν ποιητὴν τῆς κτίσεως.

Ἐν ἐγκρατείᾳ ἅπαντες τὰς ψυχὰς πτερώσαντες, ἐν τοῖς Οὐρανοῖς εὐχὰς εὐπροσδέκτους προσάξωμεν Κυρίῳ.

Πνεῦμα τῆς κατανύξεως λαβόντες, δακρύσωμεν πρὸς λύτρον ψυχῶν, ἀνυμνολογοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν.

Τριὰς ἡ ὁμοούσιος, καὶ μονὰς ἡ ἄκτιστος, καὶ πάντων Θεός, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἱκετηρίαν ποίησον ὑπὲρ τῶν ὑμνούντων σε, πανάχραντε, ῥυσθῆναι παντοίων πειρασμῶν, καὶ κινδύνων.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τρυφὴν πλουσίου πτύσαντες, δεῦτε, τῷ Λαζάρῳ συνησθῶμεν· ἵνα ἡμᾶς θάλψῃ τοῦ Ἀβραὰμ ὁ κόλπος.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν ποιητὴν τῆς κτίσεως, ὃν φρίττουσιν Ἄγγελοι, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τῶν γηγενῶν τίς.

Τῶν γηγενῶν τίς οὕτως ὀλισθήσας Θεὸν παρώργησέ ποτε; τίς ταῖς ὁρμαῖς τῆς κακίας ἐξηκολούθησε, καὶ καταγώγιον ὤφθη τῆς ἁμαρτίας, ὥσπερ ἐγὼ ὁ τάλας; ἀλλ' ὁ Θεὸς ὁ θελητὴς τοῦ ἐλέους σύ με οἰκτείρον.

Θεοειδῶν Ἀγγέλων αἱ δυνάμεις τὸν ἀδιάλλακτον Θεὸν ἐκδυσωπήσατε, σῶσαι ψυχὴν εἰς πέλαγος βιωτικῶν τε ἡδονῶν, καὶ τρικυμίαις παθῶν χειμαζομένην, καὶ προσβολαῖς τῶν ἐναντίων πνευμάτων κινδυνεύουσαν.

Δεῦρο ψυχὴ, πτεροῖς κουφιζομένη διὰ νηστείας ἀρετῶν, τῆς χαμαιζήλου κακίας ὑπεξανάστηθι, καὶ θεωρίαις ἐντρύφα ταῖς φανοτάταις, τρυφὴν ταῖς προξενούσαις τῶν ἀρετῶν, θεοειδὴς γινομένη διὰ πίστεως.

Θεοτοκίον.

Τίς ἀκουστὰς ποιήσει τὰς αἰνέσεις σου, τῆς τεκούσης ὑπὲρ νοῦν τὸν αἰνετὸν, καὶ Δεσπότην, ἁγνὴ, καὶ Κύριον, ὃν ὑπεραινοῦσιν Ἀγγέλων ταξιαρχίαι· αὐτὸν οὖν ἐκδυσώπει ὑπὲρ λαοῦ ἡμαρτηκότος, Παρθένε ἀπειρόγαμε.

Εἱρμὸς ἄλλος. Ἡσαΐα χόρευε.

Ὁ καιρὸς εὐπρόσδεκτος, ἡ ἡμέρα τῆς σωτηρίας, προσάξωμεν τῷ Θεῷ δῶρα ἀρετῶν, ἐν ᾧ ἀποθέμενοι τὰ τοῦ σκότους ἔργα, ἀδελφοί, ἐπενδυσώμεθα ἔργα φωτὸς, καθὼς Παῦλος βοᾷ.

Δεῦτε, ὡς ὁ Κύριος ἐν νηστείᾳ εἷλε τὸν ἐχθρὸν, ἐν τούτῳ καὶ ἡμεῖς θραύσωμεν αὐτοῦ τὰ βέλη, καὶ ἔνεδρα, Ὀπίσω μου ὕπαγε Σατὰν, ἕκαστος λέγοντες, ἐν τῷ μέλλειν ἐκπειράζειν ἡμᾶς.

Δόξα.

Ὁμοουσιότητι, ἀνυμνῶ σε, ἄναρχε Τριὰς, σεπτὴ, ζωαρχικὴ, ἄτμητε μονὰς, Πατὴρ ὁ ἀγέννητος, καὶ γεννητὲ Λόγε, καὶ Υἱὲ, Πνεῦμα ἅγιον ἡμᾶς σῶσον τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Ὑπὲρ νοῦν ὁ τόκος σου, Θεομῆτορ, ἀνδρὸς γὰρ ἄνδρες ἡ σύλληψις ἐν σοὶ, καὶ παρθενικῶς ἡ κύησις γέγονε, καὶ γὰρ Θεός ἐστιν ὁ τεχθείς· ὃν μεγαλύνοντες, σὲ Παρθένε μακαρίζομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νηστείᾳ προβάλλοντες τῶν εὐχῶν ὄρει καὶ ἡμεῖς, καρδίᾳ καθαρᾷ ἴδωμεν Θεὸν, τὰς πλάκας δεχόμενοι τῶν ἐντολῶν, ἔνδον, ὡς Μωσῆς,

στῆς, δόξῃ ἀστράπτοντες τῷ προσώπῳ τῆς ἀγάπης αὐτοῦ.

Ὁ Εἱρμός.

Ἡσαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρί, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουήλ, Θεόν τε, καὶ „ ἄνθρωπον, ἀνατολὴ ὄνομα αὐτῷ, ὃν μεγαλύ„ νοντές σε, Παρθένε, μακαρίζομεν.

Τὸ φωταγωγικόν. Εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας Δίς. ἦχος γ'.

Ἀρξώμεθα, λαοί, τῆς ἀμώμου νηστείας, ἥτις ἐστὶ τῶν ψυχῶν σωτηρία· δουλεύσωμεν τῷ Κυρίῳ ἐν φόβῳ· ἐλαίῳ εὐποιΐας τὰς κεφαλὰς ἀλείψωμεν, καὶ ὕδατι ἁγνείας τὰ πρόσωπα νιψώμεθα· μὴ βαττολογήσωμεν ἐν ταῖς προσευχαῖς, ἀλλ' ὡς ἐδιδάχθημεν, οὕτω βοήσωμεν. Πάτερ ἡμῶν, ὁ ἐν τοῖς Οὐρανοῖς, ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὡς φιλάνθρωπος.

Μαρτ.

Βασιλέων, καὶ τυράννων τὸν φόβον ἀπώσαντο οἱ Χριστοῦ στρατιῶται, καὶ εὐθαρσῶς, καὶ ἀνδρείως αὐτὸν ὡμολόγησαν, τὸν ἁπάντων Κύριον, Θεόν, καὶ Βασιλέα ἡμῶν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα.

Θεοτόκε, ἡ προστασία πάντων τῶν δεομένων, εἰς σὲ θαῤῥοῦμεν, εἰς σὲ καυχώμεθα, ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστι· πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ ἀχρείων δούλων σου.

Εἰς τὴν Τριθέκτην τροπάριον τῆς Προφητείας· ἦχος α'.

Ὅτι πάροικοι ἐσμὲν ἐν τῇ γῇ, καθὼς πάντες οἱ πατέρες ἡμῶν, τὸ βραχὺ τῆς ζωῆς ἡμῶν ἀναμάρτητον φύλαξον, Σωτὴρ ἡμῶν, καὶ ἐλέησον ἡμᾶς, ὡς φιλάνθρωπος.

Προκείμενον ἦχος δ'. Ψαλμὸς ε'.

Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου.

Στίχ. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε· ἐὰν δὲ μὴ θέλητε, μηδὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται· τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα. Πῶς ἐγένετο πόρνη πόλις πιστὴ Σιών, πλήρης κρίσεως; ἐν ᾗ δικαιοσύνη ἐκοιμήθη, ἐν αὐτῇ νῦν δὲ φονευταί. Τὸ ἀργύριον ὑμῶν ἀδόκιμον, οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι, οἱ ἄρχοντές σου ἀπειθοῦσι, κοινωνοὶ κλεπτῶν, ἀγαπῶντες δῶρα, διώκοντες ἀνταπόδομα, ὀρφανοὺς οὐ κρίνοντες, καὶ κρίσει χηρῶν οὐ προσέχοντες· Διὰ τοῦτο τάδε λέγει Κύριος, ὁ δεσπότης Σαβαώθ, ὁ δυνάστης τοῦ Ἰσραήλ· οὐαὶ τοῖς ἰσχύουσιν ἐν Ἱερουσαλήμ· οὐ παύσεται γάρ μου ὁ θυμὸς ἐν τοῖς ὑπεναντίοις, καὶ κρίσιν ἐκ τῶν ἐχθρῶν μου ποιήσω, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ σέ, καὶ πυρώσω σε εἰς καθαρόν· τοὺς δὲ ἀπειθοῦντας ἀπολέσω· καὶ ἀφελῶ πάντας ἀνόμους ἀπὸ σοῦ, καὶ πάντας ὑπερηφάνους ταπεινώσω, καὶ ἐπιστήσω τοὺς κριτάς σου, ὡς τὸ πρότερον, καὶ τοὺς συμβούλους σου, ὡς τὸ ἀπ' ἀρχῆς, καὶ μετὰ ταῦτα κληθήσῃ πόλις δικαιοσύνης μητρόπολις πιστὴ Σιών· μετὰ γὰρ κρίματος σωθήσεται ἡ αἰχμαλωσία αὐτῆς, καὶ μετὰ ἐλεημοσύνης· Καὶ συντριβήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οἱ ἐγκαταλιπόντες τὸν Κύριον συντελεσθήσονται. Διότι νῦν αἰσχυνθήσονται ἐν τοῖς εἰδώλοις αὐτῶν, ἃ αὐτοὶ ἠβούλοντο· καὶ αἰσχυνθήσονται ἐν τοῖς γλυπτοῖς αὐτῶν, ἐφ' οἷς αὐτοὶ ἐπεποίθησαν· καὶ αἰσχυνθήσονται ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτῶν, ἐφ' οἷς αὐτοὶ ἐβουλεύσαντο· Ἔσται γὰρ ὡς τερέβινθος ἀποβεβληκυῖα τὰ φύλλα αὐτῆς, καὶ ὡς παράδεισος ὕδωρ μὴ ἔχων· καὶ ἔσται ἡ ἰσχὺς αὐτῶν ὡς καλάμη στυππίου, καὶ ἡ ἐργασία αὐτῶν ὡς σπινθῆρες πυρός, καὶ κατακαυθήσονται οἱ ἄνομοι, καὶ οἱ ἁμαρτωλοὶ ἅμα, καὶ οὐκ ἔσται ὁ σβέσων· Ὁ λόγος ὁ γενόμενος πρὸς Ἡσαΐαν υἱὸν Ἀμμὼς περὶ Ἰουδαίας, καὶ περὶ Ἱερουσαλήμ· Ὅτι ἔσται ἐν ταῖς ἐσχάταις ἡμέραις ἐμφανὲς τὸ ὄρος Κυρίου, καὶ ὁ οἶκος τοῦ Θεοῦ ἐπ' ἄκρων τῶν ὀρέων, καὶ ὑψωθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ ἥξουσιν ἐπ' αὐτὸ πάντα τὰ ἔθνη· καὶ πορεύσονται λαοὶ πολλοί, καὶ ἐροῦσι· δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν αὐτῇ.

Προκείμενον, ἦχος δ'. Ψαλμὸς ς'.

Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.

Στίχ. Ἐλέησόν με Κύριε, ὅτι ἀσθενής εἰμι.

Τῇ Τρίτῃ Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια τοῦ Τριῳδίου, ἦχος β'.

Ὡς ὡραῖος Χριστέ.

Βρώσει πάλαι πικρᾷ ἐξῳκισθέντες Παραδείσου, ἐγκρατείᾳ τῶν παθῶν ἐπισπευσώμεθα εἰσοικισθῆναι, ἀνακράζοντες τῷ Θεῷ ἡμῶν· ὁ Σταυρῷ τανύσας παλάμας σου, ὄξος πιών, χολῆς τε γευσάμενος, καὶ ὀδύνας καρτερήσας, τὰς ἐκ τῶν ἥλων, τὰς πικροτάτας ἡδονὰς πάσας ἐκ τῶν ψυχῶν ἡμῶν ἐξήλωσας, διὰ σπλάγχνα οἰκτιρμῶν σῶσον τοὺς δούλους σου.

Ὅμοιον.

Ξύλου βρώσει ποτὲ ἀπῳκισθέντες Παραδείσου, τῷ Σταυρῷ σου πρὸς αὐτὸν εἰσῳκίσθημεν· ὃν εἰς πρεσβείαν σοι προσάγοντες, πολυέλεε, καὶ πιστῶς σου πάντες δεόμεθα· πηγὰς δακρύων ἡμῖν νῦν κατάπεμψον ἐν καιρῷ τῆς ἐγκρατείας, τὸν ῥύπον πάντα ἐκκαθαιρούσας τῶν παθῶν, καὶ τῶν πταισμάτων ἡμῶν· ἵνα πάντες σοι βοῶμεν ἐκτενῶς, Κύριε δόξα σοι.

Ἄλλο,

Ἄλλο, ἦχος ὁ αὐτός.

Τῶν πεπραγμένων μοι.

Τῆς ἐγκρατείας τὴν τρυφὴν κἀμοὶ, Λόγε, χάρισαι, ὡς τῷ Ἀδὰμ τὸν Παράδεισόν ποτε· ἐκ πάσης σου γεύεσθαι ἐντολῆς ὁ Θεὸς ἡμῶν, καὶ ἀπέχεσθαι ἀεὶ καρποῦ, ἧς ἀπέφηνας ἁμαρτίας, ἵνα ζωηφόρον πάθος σου τοῦ Σταυροῦ ἐν χαρᾷ προφθάσω.

Καὶ τοῦ Μωυσέως γ΄. Δόξα. Καὶ νῦν. Θεοτ. Ἑσπέρας προκείμενον· ἦχος πλ. β΄. Ψαλμὸς ζ΄.

Κύριε ὁ Θεός μου, ἐπὶ σοὶ ἤλπισα.

Στίχ. Σῶσόν με ἐκ πάντων τῶν διωκόντων με.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπεν ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀναμέσον τῆς ἡμέρας, καὶ ἀναμέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα, καὶ εἰς καιροὺς, καὶ εἰς ἡμέρας, καὶ εἰς ἐνιαυτοὺς, καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας, καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτὸς, καὶ τοὺς ἀστέρας· καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς, καὶ ἄρχειν τῆς ἡμέρας, καὶ τῆς νυκτὸς, καὶ διαχωρίζειν ἀναμέσον τοῦ φωτὸς, καὶ ἀναμέσον τοῦ σκότους· καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη. Καὶ εἶπεν ὁ Θεὸς, ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν, καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς, κατὰ τὸ στερέωμα τοῦ Οὐρανοῦ· καὶ ἐγένετο οὕτω. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα, καὶ πᾶσαν ψυχὴν ζώων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένος αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος· καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλά· καὶ εὐλόγησεν αὐτὰ ὁ Θεὸς λέγων· Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις· καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη.

Προκείμενον, Ψαλμὸς η΄. ἦχος πλ. α΄.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστόν.

Στίχ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Σοφία ἐν ἐξόδοις ὑμνεῖται, ἐν δὲ πλατείαις παῤῥησίαν ἄγει· ἐπ᾽ ἄκρων δὲ τειχέων κηρύσσεται, ἐπὶ δὲ πύλαις δυναστῶν προσεδρεύει· ἐπὶ δὲ πύλαις πόλεως θαῤῥοῦσα λέγει· Ὅσον ἂν χρόνον ἄκακοι ἔχωνται τῆς δικαιοσύνης, οὐ καταισχυνθήσονται· οἱ δὲ ἄφρονες τῆς ὕβρεως ὄντες ἐπιθυμηταὶ, ἀσεβεῖς γενόμενοι, ἐμίσησαν αἴσθησιν, καὶ ὑπεύθυνοι ἐγένοντο ἐλέγχοις. Ἰδοὺ προήσομαι ὑμῖν ἐμῆς βουλῆς ῥῆσιν, διδάξω δὲ τὸν ἐμὸν λόγον ὑμᾶς. Ἐπειδὴ ἐκάλουν, καὶ οὐχ ὑπηκούσατε, καὶ ἐξέτεινον λόγους, καὶ οὐ προσείχετε, ἀλλὰ ἀκύρους ἐποιεῖτε ἐμὰς βουλὰς, τοῖς δὲ ἐμοῖς ἐλέγχοις οὐ προσείχετε. Τοιγαροῦν κἀγὼ τῇ ὑμετέρᾳ ἀπωλείᾳ ἐπιγελάσομαι, ἐπιχαροῦμαι δὲ, ἡνίκα ἂν ἔρχηται ὑμῖν ὄλεθρος, καὶ ὡς ἂν ἀφίκηται ὑμῖν θόρυβος ἄφνω, ἡ δὲ καταστροφὴ ὁμοίως καταιγίδι παρῇ, ἢ ὅταν ἔρχηται ὑμῖν θλῖψις, καὶ πολιορκία. Ἔσται γὰρ ὅταν ἐπικαλέσησθέ με, ἐγὼ δὲ οὐκ εἰσακούσομαι ὑμῶν· ζητήσουσί με κακοὶ, καὶ οὐχ εὑρήσουσιν· ἐμίσησαν γὰρ σοφίαν, τὸν δὲ φόβον Κυρίου οὐ προείλοντο, οὐδὲ ἤθελον ἐμαῖς προσέχειν βουλαῖς· ἐμυκτήριζον δὲ ἐμοὺς ἐλέγχους. Τοιγαροῦν ἔδονται τῆς ἑαυτῶν ὁδοῦ τοὺς καρποὺς, καὶ τῆς αὐτῶν ἀπιμίας πλησθήσονται. Ἀνθ᾽ ὧν γὰρ ἠδίκουν νηπίους, φονευθήσονται· καὶ ἐξετασμὸς ὀλέσει ἀσεβεῖς· ὁ δὲ ἐμοῦ ἀκούων, κατασκηνώσει ἐπ᾽ ἐλπίδι, καὶ ἡσυχάσει ἀφόβως ἀπὸ παντὸς κακοῦ.

Εἰς τὸν στίχ. Τὸ ἰδιόμελον τῆς ἡμέρας δίς, καὶ τὸ σύνηθες· ἦχος πλ. δ΄.

Νηστείαν, οὐκ ἀποχὴν βρωμάτων μόνον τελέσωμεν, ἀλλὰ παντὸς ὑλικοῦ πάθους ἀλλοτρίωσιν· ἵνα τὴν καθ᾽ ἡμῶν τυραννοῦσαν σάρκα δουλώσαντες, ἄξιοι γενώμεθα τῆς τοῦ ἀμνοῦ μεταλήψεως, τοῦ ὑπὲρ τοῦ Κόσμου σφαγέντος ἑκουσίως, Υἱοῦ τοῦ Θεοῦ, καὶ πνευματικῶς ἑορτάσωμεν τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος ἀνάστασιν, εἰς ὕψος ἀρθέντες ἀρετῶν ἐν φαιδρότητι, καὶ τῇ τρυφῇ τῶν ἀρίστων ἔργων, εὐφραίνοντες τὸν φιλάνθρωπον.

Μαρτ.

Οἱ Μάρτυρές σου Κύριε ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων διὰ τὴν μέλλουσαν ζωὴν, ταύτης κληρονόμοι ἀνεδείχθησαν· ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, Σταυροθεοτ.

Ὢ τοῦ παραδόξου θαύματος, ὢ μυστηρίου καινοῦ, ὢ φρικτῆς ἐγχειρήσεως· ἡ Παρθένος ἔλεγεν, ἐν Σταυρῷ σε ὡς ἔβλεψεν ἐν μέσῳ δύο λῃστῶν κρεμάμενον, ὃν ἀνωδύνως φρικτῶς ἐκύησεν, ἔκλαιε λέγουσα. Οἴμοι, τέκνον φίλτατον, πῶς ὁ δεινὸς δῆμος, καὶ ἀχάριστος Σταυρῷ σε προσήλωσε; Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς ἐδηλώθη.

Τῇ Τρίτῃ τῆς α΄. Ἑβδομάδος, εἰς τὰ Ἀπόδειπνα. μετὰ τὸ εἰπεῖν τὸ Τρισάγιον, καὶ τὸ, Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου· ψάλλομεν τὸν μέγαν Κανόνα.

Ὠδὴ α΄. ἦχος πλ. β΄. ὁ Εἱρμός. Δίς.

Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν. Θεὸς

„ τοῦ Πατρός μου, καὶ ὑψοῦτε αὐτόν, ἐνδόξως γὰρ
„ δεδόξασται.

ΤΗ'ν τοῦ Κάϊν ὑπελθὼν μιαιφονίαν τῇ προαιρέσει, γέγονα φονεὺς συνειδότι ψυχῆς, ζωώσας τὴν σάρκα, καὶ στρατεύσας κατ' αὐτῆς ταῖς πονηραῖς μου πράξεσι.

ΤΗ͂ς τοῦ Ἄβελ, Ἰησοῦ, οὐχ ὡμοιώθην δικαιοσύνῃ· δῶρα σοι δεκτὰ οὐ προσήξά ποτε, οὐ πράξεις ἐνθέους, οὐ θυσίαν καθαρὰν, οὐ βίον ἀνεπίληπτον.

ΩΣ ὁ Κάϊν καὶ ἡμεῖς, ψυχὴ ἀθλία, τῷ πάντων κτίστῃ πράξεις ῥυπαρὰς, καὶ θυσίαν ψεκτὴν, καὶ ἄχρηστον βίον προσηγάγομεν ὁμοῦ, διὸ καὶ κατεκρίθημεν.

ΤΟ'ν πηλὸν, ὁ κεραμεὺς, ζωοπλαστήσας ἐνέθηκάς μοι σάρκα, καὶ ὀστᾶ, καὶ πνοὴν, καὶ ζωήν· ἀλλ' ὦ ποιητά μου, λυτρωτά μου, καὶ κριτὰ, μετανοοῦντα δέξαι με.

ΕΞαγγέλλω σοι, Σωτὴρ, τὰς ἁμαρτίας, ἃς εἰργασάμην, καὶ τὰς τῆς ψυχῆς, καὶ τοῦ σώματός μου πληγὰς, ἃς οἱ ἔνδον μιαιφόνοι λογισμοὶ λῃστρικῶς μοι ἐπέθηκαν.

ΕἸ καὶ ἥμαρτον, Σωτὴρ, ἀλλ' οἶδα ὅτι φιλάνθρωπος εἶ· πλήττεις συμπαθῶς, καὶ σπλαγχνίζῃ θερμῶς, δακρύοντα βλέπεις, καὶ προστρέχεις, ὡς Πατὴρ, ἀνακαλῶν τὸν Ἄσωτον.

Δόξα.

ΥΠερούσιε Τριὰς, ἡ ἐν μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς εὔσπλαγχνός μοι δὸς δάκρυα κατανύξεως.

Θεοτοκίον.

ΘΕοτόκε, ἡ ἐλπὶς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς Δέσποινα ἁγνὴ, μετανοοῦντα δέξαι με.

Ὠδὴ β'. ὁ Εἱρμός. Δίς.

ΠΡόσεχε Οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημή-
„ σαντα.

ΚΑτέῤῥαψε τοὺς δερματίνους χιτῶνας ἡ ἁμαρτία κἀμοὶ, γυμνώσασά με τῆς πρὶν θεοϋφάντου στολῆς.

ΠΕρίκειμαι τὸν στολισμὸν τῆς αἰσχύνης, καθάπερ φύλλα συκῆς, εἰς ἔλεγχον τῶν ἐμῶν αὐτεξουσίων παθῶν.

ΕΣτόλισμαι κατεστιγμένον χιτῶνα, καὶ ἡμαγμένον αἰσχρῶς τῇ ῥύσει τῆς ἐμπαθοῦς καὶ φιληδόνου ζωῆς.

ΥΠέπεσα τῇ τῶν παθῶν ἀλγηδόνι, καὶ τῇ ἐνύλῳ φθορᾷ· καὶ ἔνθεν νῦν ὁ ἐχθρὸς καταπιέζει με.

ΦΙλόϋλον, καὶ φιλοκτήμονα βίον τῆς ἀκτησίας, Σωτὴρ, προκρίνας, νῦν τὸν βαρὺν κλοιὸν περίκειμαι.

ΕΚόσμησα τὸ τῆς σαρκὸς ἀνδρείκελον τῇ τῶν αἰσχρῶν λογισμῶν ποικίλῃ περιβολῇ, καὶ κατακρίνομαι.

ΤΗ͂ς ἔξωθεν ἐπιμελῶς εὐκοσμίας μόνης ἐφρόντισα, τῆς ἔνδον ὑπεριδὼν θεοτυπώτου σκηνῆς.

ΚΑτέχωσα τῆς πρὶν εἰκόνος τὸ κάλλος, Σῶτερ, τοῖς πάθεσιν· ἀλλ' ὡς ποτὲ τὴν δραχμὴν ἀναζητήσας, εὑρέ.

ΗΜάρτηκα, ὥσπερ ἡ Πόρνη βοῶ σοι, Μόνος ἡμάρτηκά σοι· ὡς μύρον δέχου, Σωτὴρ, κἀμοῦ τὰ δάκρυα.

ἹΛάσθητι, ὡς ὁ Τελώνης βοῶ σοι, Σῶτερ ἱλάσθητί μοι· οὐδεὶς γὰρ τῶν ἐξ Ἀδὰμ, ὡς ἐγὼ, ἥμαρτέ σοι.

Δόξα.

ἝΝα σε ἐν τρισὶ τοῖς προσώποις Θεὸν ἁπάντων ὑμνῶ, τὸν Πατέρα, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα τὸ ἅγιον.

Θεοτοκίον.

ἌΧραντε Θεοτόκε Παρθένε, μόνη πανύμνητε, ἱκέτευε ἐκτενῶς εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὠδὴ γ'. ὁ Εἱρμὸς Δίς.

ΣΤερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου· ὅτι μόνος ἅγιος ὑπάρχεις, καὶ Κύριος.

ΠΗγὴν ζωῆς κέκτημαί σε τοῦ θανάτου τὸν καθαιρέτην, καὶ βοῶ σοι ἐκ καρδίας μου πρὸ τοῦ τέλους, Ἥμαρτον, ἱλάσθητι, σῶσόν με.

ἩΜάρτηκα, Κύριε, ἡμάρτηκά σοι, ἱλάσθητί μοι· οὐ γάρ ἐστιν, ὅς τις ἥμαρτεν ἐν ἀνθρώποις, ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι.

ΤΟὺς ἐπὶ Νῶε, Σωτὴρ, ἀσελγηκότας ἐμιμησάμην, τὴν ἐκείνων κληρωσάμενος κατάκρισιν ἐν κατακλυσμῷ καταδύσεως.

ΤΟ'ν Χὰμ ἐκεῖνον, ψυχὴ, τὸν πατραλοίαν μιμησαμένη, τὴν αἰσχύνην οὐκ ἐκάλυψας τοῦ πλησίον, ὀπισθοφανῶς ἀνακάμψασα.

ΤΟ'ν ἐμπρησμὸν ὥσπερ Λὼτ φεῦγε, ψυχή μου, τῆς ἁμαρτίας, φεῦγε Σόδομα, καὶ Γόμοῤῥα, φεῦγε φλόγα πάσης παραλόγου ὀρέξεως.

ἘΛέησον, Κύριε, ἐλέησόν με, ἀναβοῶ σοι, ὅτε ἥξεις μετ' Ἀγγέλων σου, ἀποδοῦναι πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Δόξα.

ΤΡιὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε, φύσις ἡ ἐν τριάδι ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον πίστει προσκυνοῦντας τὸ κράτος σου.

Θεοτοκίον.

ΤΟ'ν ἐκ Πατρὸς ἀχρόνως Υἱὸν ἐν χρόνῳ, Θεογεννῆτορ, ἀπειράνδρως ἀπεκύησας· ξένον θαῦμα, μείνασα Παρθένος θηλάζουσα.

Ὠδὴ δ'. ὁ Εἱρμός. Δίς.

ἈΚήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκ-
„ τεσθαι,

» πεῖθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγχον,
» Ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ
» δυνάμει σου Κύριε.

Γρηγόρησον, ὦ ψυχή μου, ἀρίστευσον ὡς ὁ μέγας ἐν Πατριάρχαις· ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως, ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν, καὶ φθάσῃς τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ, καὶ γένῃ μεγαλέμπορος.

Τοὺς δώδεκα Πατριάρχας ὁ μέγας ἐν πατριάρχαις παιδοποιήσας, μυστικῶς ἐστήριξέ σοι κλίμακα πρακτικῆς, ψυχή μου, ἀναβάσεως· τοὺς παῖδας ὡς βάθρα, τὰς βάσεις ὡς ἀναβάσεις πανσόφως ὑποθέμενος.

Ἡσαῦ τὸν μεμισημένον ζηλοῦσα, ψυχή, ἀπέδου τῷ πτερνιστῇ σου τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια, καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας· καὶ δὶς ἐπτερνίσθης, ἀθλία, πράξει, καὶ γνώσει, διὸ νῦν μετανόησον.

Ἐδὼμ ὁ Ἡσαῦ ἐκλήθη διὰ ἄκραν θηλυμανίας ἐπιμιξίαν· ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος, καὶ ταῖς ἡδοναῖς καταπιλούμενος, Ἐδὼμ ὠνομάσθη, ὃ λέγεται θέρμανσις ψυχῆς φιλαμαρτήμονος.

Ἰὼβ τὸν ἐπὶ κοπρίας ἀκούσασα, ὦ ψυχή μου, δικαιωθέντα· τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας, τὸ στερρὸν οὐκ ἔσχες τῆς προθέσεως ἐν πᾶσιν, οἷς ἔγνως, οἷς εἶδες, οἷς ἐπειράσθης, ἀλλ' ὤφθης ἀκαρτέρητος.

Ὁ πρότερον ἐπὶ θρόνου, γυμνὸς νῦν ἐπὶ κοπρίας καθηλκωμένος, ὁ πολὺς ἐν τέκνοις, καὶ περίβλεπτος, ἄπαις, ἀφαιρέοικος ἀφνίδιον, παλάτιον γὰρ τὴν κοπρίαν, καὶ μαργαρίτας τὰ ἕλκη ἐλογίζετο.

Δόξα.

Ἀμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις, θεολογῶ σε τὴν τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ σύνθρονον, βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τριττῶς ὑμνολογούμενον.

Θεοτοκίον.

Καὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις διὰ ἀμφοτέρων φύσει Παρθένος· ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα. Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις, ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ ε΄. ὁ Εἱρμός. Δίς.

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προ-
» στάγμασί σου, καὶ δίδαξόν με, Σωτήρ, ποιεῖν τὸ
» θέλημά σου.

Τοῦ Μωσέως ἤκουσας τὴν θῖβιν, ψυχή, ὕδασι, κύμασι φερόμενον ποταμοῦ, ὡς ἐν θαλάμῳ πάλαι, φυγοῦσαν δρᾶμα πικρὸν βουλῆς φαραωνίτου.

Εἰ τὰς μαίας ἤκουσας κτεινούσας ποτὲ ἄνηβον τὸ, τάλαινα, τὴν ἀρρενωπὸν, ψυχή, τῆς σωφροσύνης πρᾶξιν, νῦν, ὡς ὁ μέγας Μωσῆς, θήλαζε τὴν σοφίαν.

Ὡς Μωσῆς ὁ μέγας, τὸν αἰγύπτιον νοῦν πατάξασα, τάλαινα, οὐκ ἀπέκτεινας, ψυχή, καὶ πῶς οἰκήσεις, λέγε, τὴν ἔρημον τῶν παθῶν διὰ τῆς μετανοίας;

Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς, δεῦρο δή, μίμησαι τὴν αὐτοῦ διαγωγήν, ἵνα καὶ τῆς ἐν βάτῳ θεοφανείας, ψυχή, ἐν θεωρίᾳ γένῃ.

Τὴν Μωσέως ῥάβδον εἰκόνιζε, ψυχή, πλήττουσαν θάλασσαν, καὶ πηγνύουσαν βυθὸν τύπῳ Σταυροῦ τοῦ θείου· δι' οὗ δυνήσῃ καὶ σὺ μεγάλα ἐκτελέσαι.

Ἀαρὼν προσέφερε τὸ πῦρ τῷ Θεῷ ἄμωμον, ἄδολον, ἀλλ' Ὀφνί, καὶ Φινεές, ὡς σύ, ψυχή, προσῆγον ἀλλότριον τῷ Θεῷ, ῥερυπωμένον βίον.

Δόξα.

Σέ, Τριὰς δοξάζομεν, τὸν ἕνα Θεόν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ Πνεῦμα· ἁπλῆ οὐσία, μονὰς ἀεὶ προσκυνουμένη.

Θεοτοκίον.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε, Μητροπάρθενε, Θεός, ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ϛ΄. ὁ Εἱρμός.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεόν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Τὰ κύματα, Σωτήρ, τῶν πταισμάτων μου, ὡς ἐν θαλάσσῃ ἐρυθρᾷ ἐπαναστραφέντα ἐκάλυψέ με ἄφνω, ὡς τοὺς Αἰγυπτίους ποτέ, καὶ τοὺς τριστάτας.

Ἀγνώμονα, ψυχή, τὴν προαίρεσιν ἔσχες ὡς πρὶν ὁ Ἰσραήλ, τοῦ γὰρ θείου μάννα προέκρινας ἀλόγως τὴν φιλήδονον τῶν παθῶν ἀδηφαγίαν.

Τὰ φρέατα, ψυχή, προετίμησας τῶν Χαναναίων ἐννοιῶν, τῆς φλεβὸς τῆς πέτρας, ἐξ ἧς ὁ τῆς σοφίας ὡς κρατὴρ προχέει κρουνοὺς θεολογίας.

Τὰ ὕεια κρέα, καὶ τοὺς λέβητας, καὶ τὴν αἰγύπτιον τροφὴν τῆς ἐπουρανίου προέκρινας, ψυχή μου, ὡς ὁ πρὶν ἀγνώμων λαὸς ἐν τῇ ἐρήμῳ.

Ὡς ἔπληξε Μωσῆς ὁ θεράπων σου ῥάβδῳ τὴν πέτραν, τυπικῶς τὴν ζωοποιόν σου πλευρὰν προδιετύπου, ἐξ ἧς πάντες πόμα ζωῆς, Σωτήρ, ἀντλοῦμεν.

Ἐρευ-

Digitized by Google

Ἐρεύνησον, ψυχή, κατανόησον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας τὴν γῆν, ὁποία ἐστι, καὶ κατοίκησον ἐν αὐτῇ δι' εὐνομίας.

Δόξα.

Τριάς εἰμι ἁπλῆ ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη, ὁ Πατὴρ φησι, καὶ Υἱός, καὶ θεῖον Πνεῦμα.

Θεοτοκίον.

Ἡ Μήτρα σου Θεὸν ἡμῖν ἔτεκε μεμορφωμένον καθ' ἡμᾶς, ἀλλ' ὡς κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον.

Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὠδὴ ζ. ὁ Εἱρμός. Δίς.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Ἡ Κιβωτὸς ὡς ἐφέρετο ἐπὶ δίφρου, Ὀζὰν ἐκεῖνος, ὅτε, ἀναστραφέντος τοῦ μόσχου, μόνον ἥψατο, Θεοῦ ἐπειράθη ὀργῆς, ἀλλ' αὐτοῦ τὴν αὐθάδειαν φυγοῦσα, ψυχή, σέβου τὰ θεῖα καλῶς.

Ἀκήκοας τοῦ Ἀβεσσαλὼμ, πῶς τῆς φύσεως ἀντεξανέστη; ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις, αἷς ἐξύβριζε τὴν κοίτην Δαβὶδ τοῦ πατρός, ἀλλ' αὐτὴ ἐμιμήσω τὰς αὐτοῦ ἐμπαθεῖς, καὶ φιληδόνους ὁρμάς.

Ὑπέταξας τὸ ἀδούλωτόν σου ἀξίωμα τῷ σώματί σου, ἄλλον γὰρ Ἀχιτόφελ εὑροῦσα τὸν ἐχθρὸν, ψυχή, συνῆλθες ταῖς τούτου βουλαῖς, ἀλλ' αὐτὰς διεσκέδασεν αὐτὸς ὁ Χριστός, ἵνα σὺ πάντως σωθῇς.

Ὁ Σολομὼν ὁ θαυμάσιος, ὁ καὶ χάριτος σοφίας πλήρης, οὗτος τὸ πονηρὸν ἐναντίον τοῦ Θεοῦ ποτε ποιήσας, ἀπέστη αὐτοῦ· ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον, ψυχή, προσωμοίωσας.

Ταῖς ἡδοναῖς ἐξελκόμενος τῶν παθῶν αὐτοῦ, κατερρυπαίνετο, οἴμοι, ὁ ἐραστὴς τῆς σοφίας, ἐραστὴς πορνῶν γυναικῶν, καὶ ξένος Θεοῦ· ὃν αὐτὴ ἐμιμήσω κατὰ νοῦν, ὦ ψυχή, ἡδυπαθείαις αἰσχραῖς.

Τὸν Ῥοβοὰμ παρεζήλωσας ἀλογήσαντα βουλὴν πατρῴαν, ἅμα δὲ καὶ τὸν κάκιστον δοῦλον Ἱεροβοὰμ, τὸν πρὶν ἀποστάτην, ψυχή· ἀλλὰ φεῦγε τὴν μίμησιν, καὶ κράζε Θεῷ, Ἥμαρτον, οἰκτείρησόν με.

Δόξα.

Τριὰς ἁπλῆ, ἀδιαίρετε, ὁμοούσιε, μονὰς ἁγία· φῶτα, καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον, ὑμνεῖται Θεὸς ἡ Τριάς· ἀλλ' ἀνύμνησον, δόξασον ζωὴν, καὶ ζωάς, ψυχή, τὸν πάντων Θεόν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, Θεογεννῆτορ· ὅτι τῆς ἀχωρίστου Τριάδος ἀπεκύησας τὸν ἕνα, Υἱὸν, καὶ Θεόν· καὶ αὐτὴ προηνέῳξας ἡμῖν τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Ὠδὴ η. ὁ Εἱρμός. Δίς.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ,
„ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Σὺ τὸν Ὀζίαν, ψυχή, ζηλώσασα, τὴν τούτου λέπραν ἐν σοὶ ἔσχες ἐν διπλῷ· ἄτοπα γὰρ λογίζῃ, παράνομα δὲ πράττεις, ἄφες ἃ κατέχεις, καὶ πρόσδραμε τῇ μετανοίᾳ.

Τοὺς Νινευΐτας, ψυχή, ἀκήκοας μετανοοῦντας Θεῷ, σάκκῳ, καὶ σποδῷ· τούτους οὐκ ἐμιμήσω, ἀλλ' ὤφθης σκαιοτέρα πάντων τῶν πρὸ νόμου, καὶ μετὰ νόμον ἐπταικότων.

Τὸν ἐν τῷ λάκκῳ βορβόρου ἤκουσας Ἱερεμίαν, ψυχή, πόλιν τὴν Σιὼν θρήνοις καταβοῶντα, καὶ δάκρυα ζητοῦντα· μίμησαι τὸν τούτου θρηνώδη βίον, καὶ σωθήσῃ.

Ὁ Ἰωνᾶς εἰς Θαρσεῖς ἀπέδραμε, προγνοὺς τὴν ἐπιστροφὴν τῶν Νινευϊτῶν· ἔγνω γὰρ, ὡς προφήτης, Θεοῦ τὴν εὐσπλαγχνίαν, ὅθεν παρεζήλου, τὴν προφητείαν μὴ ψευσθῆναι.

Τὸν Δανιὴλ ἐν τῷ λάκκῳ ἤκουσας, πῶς ἔφραξε, ὦ ψυχή, στόματα θηρῶν, ἔγνωκας πῶς οἱ παῖδες, οἱ περὶ Ἀζαρίαν, ἔσβεσαν τῇ πίστει καμίνου φλόγα καιομένης.

Τῆς παλαιᾶς Διαθήκης ἅπαντας παρήγαγόν σοι, ψυχή, πρὸς ὑπογραμμόν· μίμησαι τῶν δικαίων τὰς φιλοθέους πράξεις· ἔκφυγε δὲ πάλιν τῶν πονηρῶν τὰς ἁμαρτίας.

Δόξα.

Ἄναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθὲ, Πνεῦμα τὸ εὐθές. Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν, καὶ κτίζον, Τριὰς μονὰς ἐλέησόν με.

Θεοτοκίον.

Ὡς ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρίς. τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου, ἡ σὰρξ συνεξυφάνθη, ὅθεν Θεοτόκον ἐν ἀληθείᾳ σε τιμῶμεν.

Ὠδὴ θ'. ὁ Εἱρμός. Δίς.

Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Χριστὸς ἐπειράζετο, Διάβολος ἐπείραζε δεικνὺς τοὺς λίθους, ἵνα ἄρτοι γένωνται, εἰς ὄρος ἀνή-

Digitized by Google

ἀνήγαγεν, ἰδεῖν τὰς βασιλείας τοῦ Κόσμου πάσας ἐν ῥοπῇ· φοβοῦ, ὦ ψυχή, τὸ δρᾶμα, νῆφε, εὔχου πᾶσαν ὥραν Θεῷ.

Τρυγὼν ἡ φιλέρημος, φωνὴ βοῶντος ἤχησε Χριστοῦ ὁ λύχνος, κηρύττων μετάνοιαν, Ἡρώδης ἠνόμησε σὺν τῇ Ἡρωδιάδι· βλέπε, ψυχή μου, μὴ παγῇς τῶν ἀνόμων ταῖς παγίσιν, ἀλλ' ἀσπάζου τὴν μετάνοιαν.

Τὴν ἔρημον ᾤκησε τῆς χάριτος ὁ Πρόδρομος, καὶ Ἰουδαία πᾶσα, καὶ Σαμάρεια, ἀκούοντες ἔτρεχον, καὶ ἐξωμολογοῦντο τὰς ἁμαρτίας ἑαυτῶν, βαπτιζόμενοι προθύμως, οὓς αὐτὴ οὐκ ἐμιμήσω, ψυχή.

Ὁ Γάμος μὲν τίμιος, ἡ κοίτη δὲ ἀμίαντος, ἀμφότερα γὰρ Χριστὸς προευλόγησε, σαρκὶ ἐσθιόμενος, καὶ ἐν Κανᾶ δὲ γάμῳ τὸ ὕδωρ οἶνον ἐκτελῶν, καὶ δεικνύων πρῶτον θαῦμα, ἵνα σὺ μετατεθῇς, ὦ ψυχή.

Παράλυτον ἔσφιγξε Χριστὸς τὴν κλίνην ἄραντα, καὶ νεανίσκον θανέντα ἐξήγειρε, τῆς χήρας τὸ κύημα, καὶ τοῦ Ἑκατοντάρχου, καὶ Σαμαρείτιδι φανείς, τὴν ἐν πνεύματι λατρείαν σοί, ψυχή, προεζωγράφησεν.

Αἱμόρρουν ἰάσατο ἀφῇ κρασπέδου Κύριος, λεπροὺς καθῆρε, τυφλούς, καὶ χωλεύοντας φωτίσας ἀνώρθωσε, κωφούς τε, καὶ ἀλάλους, καὶ τὴν συγκύπτουσαν χαμαὶ ἐθεράπευσε τῷ λόγῳ, ἵνα σὺ σωθῇς, ἀθλία ψυχή.

Δόξα.

Πατέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν. Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν· τὸ φῶς, καὶ φῶτα, καὶ ζωήν, καὶ ζωὰς ζωοποιοῦσαν, καὶ φωτίζουσαν τὰ πέρατα.

Θεοτοκίον.

Τὴν πόλιν σου φύλαττε, Θεογεννῆτορ πάναγνε, ἐν σοὶ γὰρ αὕτη πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα· τροποῦται πάντα πειρασμόν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Ἀνδρέα σεβάσμιε, καὶ Πάτερ τρισμακάριστε, ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν σὲ ὑμνούντων, ἵνα ῥυσθῶμεν πάσης ὀργῆς, καὶ θλίψεως, καὶ φθορᾶς, καὶ πταισμάτων λυτρωθῶμεν, οἱ τιμῶντες σου τὴν μνήμην ἀεί.

Εἶτα ψάλλομεν οἱ δύο Χοροί. Ἀπόρου συλλήψεως, ὁ τόκος ἄνερ. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Ἀποδείπνων.

Τῇ Τετάρτῃ τῆς α. Ἑβδομάδος ἐν τῷ Ὄρθρῳ, εἰς τὴν α. στιχολογ. κάθισ. τῆς Ὀκτωήχου, μετὰ δὲ τὴν δευτέραν στιχολ. κάθισ. ἦχος β.

Ὁ εὐσχήμων Ἰωσήφ.

Ὁ τοῖς πάθεσι τοῖς σοῖς πᾶσιν ἀπάθειαν διδούς, φιλάνθρωπε, τὰ πάθη τῆς σαρκός μου νεκρώσας τῷ σῷ Σταυρῷ, τὸ θεῖον καταξίωσον πάθος ἰδεῖν, διὰ νηστείας εὐαρεστοῦντα τῇ δόξῃ σου· ἵνα λάβω πλουσίως τὸ μέγα ἔλεος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν σταυροθεοτ. ἦχ. ὁ αὐτός.

Εὐσπλαγχνίας ὑπάρ.

Ἡ Παρθένος, καὶ Μήτηρ σου, Χριστέ, ἐπὶ ξύλου ὁρῶσα σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, Υἱέ μου, ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν Σταυρῷ πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Εἰς τὴν γ'. στιχολ. κάθισ. ἦχος ὁ αὐτός.

Τὸν ζωοποιόν.

Τὸν φωτοποιὸν καιρόν, ὃν νῦν ἀφιερώσας, καὶ ἐδωρήσω ἡμῖν τῆς ἐγκρατείας, Κύριε, σὺ ἀξίωσον ἡμᾶς ἐν κατανύξει πάντας εἰλικρινῶς περαιώσασθαι, εἰρηνεύοντας τοῦ Σταυροῦ τῇ ἰσχύϊ, μόνε φιλάνθρωπε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, σταυροθεοτ. ἦχ. ὁ αὐτός.

Εὐσπλαγχνίας.

Τῷ τιμίῳ Σταυρῷ τοῦ Υἱοῦ σου φυλαττόμενοι, Δέσποινα ἁγνὴ Θεοτόκε, πᾶσαν προσβολὴν τοῦ πολεμήτορος ἅπαντες ῥαδίως ἐκτρεπόμεθα· διό σε κατὰ χρέος μακαρίζομεν, ὡς Μητέρα τοῦ φωτός, καὶ μόνην ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἶτα· ὁ Ν'. ὁ Κανὼν τοῦ Μηναίου, Καὶ τὸ Τριῴδιον, Στιχολογοῦμεν δὲ τὴν γ'. ᾠδήν.

Ὠδὴ γ'. ἦχ. β'. Ἐξήνθησεν ἡ ἔρημος.

Σταυρώσωμεν τὰ μέλη δι' ἐγκρατείας, νήψωμεν εἰς προσευχάς, ὡς γέγραπται, καὶ κατ' ἴχνος πολιτευσώμεθα τοῦ παθόντος, καὶ πάθη ἐκθανατώσαντος.

Ἐμέσαντες τὴν ἔμπικρον ἁμαρτίαν, σπεύσωμεν, τῷ τὴν χολὴν θελήματι γευσαμένῳ εὐαρεστῆσαι Χριστῷ, τῷ Σταυρῷ καθελόντι τὸν ἀρχέκακον.

Συνήθειαν λαβοῦσα ἡ ἁμαρτία, ἕλκει με εἰς παντελῆ ἀπώλειαν· ἀλλὰ σύ με ἐκ ταύτης λύτρωσαι τῷ Σταυρῷ σου, οἰκτίρμον πολυέλεε.

Θεοτοκίον.

Δεσπόζουσα ἁπάντων τῶν ποιημάτων Δέσποινα, ὡς τὸν Δεσπότην τέξασα, τῆς δουλείας με ἐλευθέρωσον τοῦ δολίου, καὶ μόνου πολεμήτορος.

Εἱρμὸς ἄλλος· ἦχος ὁ αὐτός.

Στερέωσον ἡμᾶς ἐν σοὶ Κύριε.

Τὸ ξύλον τοῦ Σταυροῦ τὴν ἐγκράτειαν τῷ Κόσμῳ ἐξήνθησεν, ἣν ἐκ πόθου ἀσπασάμενοι, τρυφήσωμεν παγκαρπίαν τῶν θείων ἐντολῶν τοῦ Χριστοῦ.

Ἐγκρά-

Digitized by Google

Ἐγκράτειαν παθῶν καὶ νῦν φέροντες, τὴν σάρκα σταυρώσωμεν τῷ Κυρίῳ, καὶ νεκρὸν αὐτῆς τὸ φρόνημα ἀποδείξωμεν πάντες τῇ ἐνθέῳ ζωῇ.

Δόξα.

Τὰ τρία τῆς μιᾶς μορφῆς πρόσωπα δοξάζω, Πατέρα, Υἱὸν, καὶ Πνεῦμα, ἓν τὸ κράτος τῆς Θεότητος. Βασιλείαν ἁπάντων, καὶ λαμπρότητα.

Θεοτοκίον.

Ὁ τόκος σου, ἁγνὴ, φρικτὸς πέφυκε. Θεὸς γὰρ ὑπάρχει ἐνανθρωπήσας, ὁ ἀνάρχως ἐκ Πατρὸς γεννηθεὶς, καὶ ἐκ σοῦ ἐπ' ἐσχάτων πλὴν ἀνδρὸς κυηθείς.

Τὴν σταύρωσιν ὑμνῶ, καὶ τὴν λόγχευσιν τῆς θείας πλευρᾶς σου, ἐξ ἧς τὸ πόμα τὸ ἀθάνατον ἀρύομαι καθ' ἑκάστην, Χριστὲ, καὶ ἁγιάζομαι.

Ὁ Εἱρμός.

Στερέωσον ἡμᾶς ἐν σοὶ, Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου
» ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων
» σε.

Ὠδὴ η'. Κάμινός ποτε πυρὸς ἐν Βαβυ.

Κάμινος παθῶν φλογίζει τὴν ψυχήν μου· ἀλλὰ τῇ δρόσῳ τοῦ ἐλέους σου ταύτην καταμάρανον, ὁ πηγάσας ἀπαθείας κρουνοὺς, πλευρᾶς ἐξ ἀκηράτου σου, σταυρούμενος, εὐεργέτα, διὰ πολλὴν συγκατάβασιν.

Ὕψωσας ἡμᾶς πεσόντας εἰς κακίαν τῇ ἐν Σταυρῷ σου ἀνυψώσει, Χριστὲ, ὅθεν ὀλισθήσαντα ἁμαρτίας εἰς τὰ βάραθρα ἀνάγαγε, καὶ στήριξον, πέτρα με σωτηρίας, ὅπως δοξάζω τὸ κράτος σου.

Λόγχῃ σου, Χριστὲ, παθῶν τὴν σηπεδόνα ἀποκαθάρας τῆς καρδίας μου, ὅλον με ὑγίωσον, ὃν ὁ ὄφις ἐξαυμάτωσεν ὀδοῦσιν ἰοβόλοις, καὶ δίδου μοι, ἀκλονήτως θείας πρὸς τρίβους πορεύεσθαι.

Θεοτοκίον.

Σὲ τὴν φαεινὴν λαμπάδα, καὶ λυχνίαν· ἐν ᾗ τὸ πῦρ τῆς Θεότητος οἰκῆσαν ἐφώτισε τοὺς νυκτώδει συσχεθέντας φθορᾷ, ἀμίαντε, γεραίρομεν ἅπαντες εὐλογοῦντες, εὐλογημένη, τὸν τόκον σου.

Εἱρμὸς ἄλλος. Τῷ ἐν τῇ βάτῳ Μωσῇ.

Τὸν μεταξὺ τῶν λῃστῶν σταυρωθέντα ἐν ξύλῳ, καὶ τῇ λόγχῃ νυγέντα τὴν ζωήρρυτον πλευρὰν, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐκείνων πᾶσαν τὴν γῆν κρατηθεὶς παρέστης, ἐρραπίσθης, ἐπαίχθης, ἐν Σταυρῷ ἀνηρτήθης, φθορᾶς με ἀπαλλάττων τῆς πάλαι ἁμαρτίας εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Θεότης μία Τριὰς, ἡ ἀμέριστος φύσις, μεριστὴ δὲ προσώποις, τὸ ἀνώλεθρον κράτος, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα, σὲ ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Θεοκυῆτορ ἁγνὴ, ἡ οὐράνιος πύλη, ἡ σωτήριος θύρα, πάντων τῶν Χριστιανῶν τὴν δέησιν πρόσδεχου, τῶν σὲ μακαριζόντων εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σταυρὲ Χριστοῦ, ὁ λῃστὴν ὁδηγήσας πρὸς πίστιν, καὶ ἐμὲ πρὸς τὸν δρόμον εὐτόνως τῶν νηστειῶν ἀξίωσον προφθάσαι εἰς τὴν προσκύνησίν σου, καὶ ζωοποιηθῆναι.

Αἰνοῦμεν, εὐλογοῦμεν. ὁ Εἱρμός.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ τῆς Παρθένου τὸ θαῦμα ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντά
» ποτε ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάν-
» τας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἀνάρχου Γεννήτορος.

Ἡλίου φαιδρότερον νηστεία ἀναλάμψασα, ἡ πολύφωτος χάρις εὐαγγελίζεται πᾶσι τοῦ Σταυροῦ τὰς ἀκτῖνας, καὶ τὰς αὐγὰς τοῦ τιμίου πάθους, καὶ τῆς ἀναστάσεως τὴν ἡμέραν, τὸ σωτήριον.

Ἁγνείαν ποθήσωμεν, πορνείαν ἀποφύγωμεν, τὴν ὀσφὺν σωφροσύνῃ περιζωσώμεθα· ὅπως καθαροὶ ἐποφθῶμεν τῷ καθαρῷ, καὶ μόνῳ ἐκ πάντων ζητοῦντι τὴν κάθαρσιν, τῷ σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Χριστὲ, ἐκ τοῦ φόβου σου καθήλωσον τὰς σάρκας μου, ὁ Σταυρῷ προσηλώσας τὴν ἁμαρτίαν Ἀδάμ· λῦσον τῶν κακῶν μου τὴν δέσιν· τοῦ πονηροῦ συνέτριψον τὰ βέλη τῇ λόγχῃ σου, Δέσποτα, καὶ τῆς τούτου βλάβης ῥῦσαί με.

Θεοτοκίον.

Κριτὴν δικαιότατον, καὶ μόνον εὐδιάλλακτον ἡ τεκοῦσα, Παρθένε, Χριστὸν τὸν Κύριον, ῥῦσαί με τῆς κρίσεως, Κόρη, καὶ τοῦ πυρὸς, καὶ τῆς τιμωρίας, ἥν μοι προεξένησεν ἁμαρτίας ἡ ἀπόλαυσις.

Ἄλλος. Τὴν ἁγνὴν, καὶ ἄχραντον.

Ὢ τῆς εὐσπλαγχνίας σου, ὅτι Σταυρὸν ὑπέστης, ἥλους, καὶ λόγχην, Κύριε, δι' ἐμὲ τὸν κατάκριτον φθορᾷ, διὸ ὑμνῶ σε, Χριστέ.

Τὸν Σταυρὸν, τὸν κάλαμον, τοὺς ἥλους, καὶ τὴν λόγχην, τὰ ζωηρά σου πάθη, πᾶς ὁ λαὸς προσκυνοῦντες, ἐν ᾠδαῖς, Χριστὲ, ὑμνοῦμέν σε.

Δόξα.

Μονὰς τρισυπόστατε, Τριὰς ἑνικωτάτη, Κυριαρχία φύσις, ἰσοκλεὴς, Πάτερ, Υἱὲ, καὶ θεῖον Πνεῦμα, σῶσον πάντας ἡμᾶς.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Χαίροις ἱλαστήριον τοῦ Κόσμου, Θεοτόκε, ἐν ᾧ προσφεύγοντες πάντες ἁμαρτωλοὶ πρὸς Θεόν, καταλλαγὰς ἀεὶ εὑρίσκομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῷ Σταυρῷ σου, Κύριε, κἀμὲ ἐνδυναμώσας, τὴν νηστειῶν μοι δώρησαι, ἀγαθὲ, εὐοδινῶς ἀποπληρῶσαι τὴν περίοδον.

Ὁ Εἱρμός.

Τὴν ἁγνὴν, καὶ ἄχραντον Μητέρα, καὶ Παρθένον, ᾠδαῖς ᾀσμάτων ἅπαντες οἱ πιστοὶ εὐσεβῶς Θεοτόκον μεγαλύνομεν.

Τὸ φωταγωγικόν Εἰς τὸν στίχ. τὸ ἰδιόμελον Δίς. ἦχος πλ. δ'.

Νηστείᾳ τῶν λογισμῶν τὰ πάθη δεῦτε δουλώσωμεν, πνευματικαῖς ἑαυτοὺς πτέρυξι περιστείλαντες· ἵνα τὴν τοῦ ἐχθροῦ κινουμένην ζάλην κοῦφοι περάσαντες, ἄξιοι γενώμεθα τῆς τοῦ Σταυροῦ προσκυνήσεως, τοῦ ὑπὲρ τοῦ Κόσμου σφαγιασθέντος ἑκουσίως Υἱοῦ τοῦ Θεοῦ, καὶ πνευματικῶς ἑορτάσωμεν τὴν ἐκ νεκρῶν τοῦ Σωτῆρος Ἀνάστασιν, ἐπ' ὄρους ἀρθέντες, Μαθηταῖς συνδοξάσωμεν τὸν ἐξουσίαν λαβόντα πᾶσαν, Υἱὸν ἐκ Πατρὸς τὸν φιλάνθρωπον.

Μαρτ.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ Σταυροῦ, ἀπελάβετε τὴν χάριν τῆς αἰωνίου ζωῆς· τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι, εὐφραίνεσθε· καὶ νῦν τὰ αἵματα ὑμῶν γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν, πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Τί τὸ ὁρώμενον θέαμα, ὃ τοῖς ἐμοῖς ὀφθαλμοῖς καθορᾶται, ὦ Δέσποτα; ὁ συνέχων ἅπασαν κτίσιν ξύλῳ ἀνηρτήθης; καὶ θανατοῦσαι ὁ πᾶσιν νέμων ζωήν; ἡ Θεοτόκος κλαίουσα ἔλεγεν, ὅτε ἑώρακεν ἐν Σταυρῷ ὑψούμενον τὸν ἐξ αὐτῆς ἀῤῥήτως ἐκλάμψαντα Θεὸν, καὶ ἄνθρωπον.

Καὶ ἡ α. Ὥρα, μετὰ τῆς στιχολογ. Καὶ αἱ συνήθως μετάνοιαι, καὶ Ἀπόλυσις.

Εἰς δὲ τὴν τριτέκτην Ὥραν τροπάριον τῆς Προφητείας, ἦχος δ'.

Οἶδας τὸ πλάσμα ἡμῶν, οἶδας τὴν ἀσθένειαν ἡμῶν, φιλάνθρωπε· ἡμάρτομεν, ἀλλ' οὐκ ἀπέστημεν σοῦ ὁ Θεός, οὐδὲ διεπετάσαμεν χεῖρας ἡμῶν πρὸς Θεὸν ἀλλότριον, φεῖσαι ἡμῶν τῇ σῇ ἀγαθότητι, εὔσπλαγχνε.

Καὶ δευτεροῦμεν αὐτό. Εἶτα, Προκείμενον, ἦχος δ'. Ψαλμὸς θ'.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου.

Στίχ. Εὐφρανθήσομαι, καὶ ἀγαλλιάσομαι ἐν σοί.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλήμ: καὶ κρινεῖ ἀναμέσον τῶν Ἐθνῶν, καὶ ἐλέγξει λαὸν πολύν. Καὶ συγκόψουσι τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας αὐτῶν εἰς δρέπανα· καὶ οὐ λήψεται ἔθνος ἐπὶ ἔθνος μάχαιραν· καὶ οὐ μάθωσιν ἔτι πολεμεῖν. Καὶ νῦν σὺ οἶκος τοῦ Ἰακὼβ, δεῦτε, καὶ πορευθῶμεν ἐν τῷ φωτὶ Κυρίου· ἀνῆκε γὰρ τὸν λαὸν αὐτοῦ, τὸν οἶκον τοῦ Ἰακὼβ, ὅτι ἐνεπλήσθη ἡ χώρα αὐτῶν ὡς τὸ ἀπ' ἀρχῆς κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων, καὶ τέκνα πολλὰ ἀλλόφυλα ἐγενήθη αὐτοῖς. Ἐνεπλήσθη γὰρ ἡ χώρα αὐτῶν ἀργυρίου, καὶ χρυσίου, καὶ οὐκ ἦν ἀριθμὸς τῶν θησαυρῶν αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ αὐτῶν ἵππων, καὶ οὐκ ἦν ἀριθμὸς τῶν ἁρμάτων αὐτῶν· καὶ ἐνεπλήσθη ἡ γῆ βδελυγμάτων, τῶν ἔργων τῶν χειρῶν αὐτῶν· καὶ προσεκύνησαν, οἷς ἐποίησαν οἱ δάκτυλοι αὐτῶν· καὶ ἔκυψεν ἄνθρωπος, καὶ ἐταπεινώθη ἀνήρ· καὶ οὐ μὴ ἀνήσω αὐτούς. Καὶ νῦν εἰσέλθετε εἰς τὰς πέτρας, καὶ κρύπτεσθε εἰς τὴν γῆν ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Οἱ γὰρ ὀφθαλμοὶ Κυρίου ὑψηλοί, ὁ δὲ ἄνθρωπος ταπεινός· καὶ ταπεινωθήσεται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

Προκείμενον. Ψαλμὸς ι. ἦχος πλ. β'.

Δίκαιος Κύριος, καὶ δικαιοσύνας ἠγάπησε.

Στίχ. Ἐπὶ τῷ Κυρίῳ πέποιθα, πῶς ἐρεῖτε.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Ὡρῶν ὡς προετάχθη, καὶ Ἀπόλυσις.

Τῇ δ'. τῆς α. Ἑβδομάδος Ἑσπέρας μετὰ τὸν προοιμιακὸν, στιχολογοῦμεν τὰ, πρὸς Κύριον, καὶ ποιοῦμεν τὰς συνήθως μετάνοιας.

Εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὸ ἰδιόμ. τῆς ἡμέρας, ἦχος πλ. δ'.

Νηστεύοντες ἀδελφοὶ σωματικῶς, νηστεύσωμεν καὶ πνευματικῶς, λύσωμεν πάντα σύνδεσμον ἀδικίας, διαῤῥήξωμεν στραγγαλιὰς βιαίων συναλλαγμάτων, πᾶσαν συγγραφὴν ἄδικον διασπάσωμεν, δῶσωμεν πεινῶσιν ἄρτον, καὶ πτωχοὺς ἀστέγους εἰσαγάγωμεν εἰς οἴκους, ἵνα λάβωμεν παρὰ Χριστοῦ τοῦ Θεοῦ τὸ μέγα ἔλεος.

Δευτεροῦμεν αὐτό· εἶτα τὸ Μαρτ.

Εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος, πρέπει τοῖς Ἁγίοις· ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας διὰ σὲ τὸν κλίναντα Οὐρανοὺς, καὶ καταβάντα· ἐξέχεον τὸ αἷμα αὐτῶν διὰ σὲ, τὸν κενώσαντα σαυτὸν, καὶ μορφὴν δούλου λαβόντα, ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι· ὧν ταῖς εὐχαῖς κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Εἶτα τὰ προσόμοια τοῦ Κυρίου Ἰωσὴφ, ἦχος β'.

Ὡς ὡραίοις Χριστέ.

Φεγγοβόλους ὑμᾶς, ὡς ἀστραπὰς, εἰς πάντα Κόσμον Ἰησοῦς ὁ νοητὸς ὄντως ἥλιος ἐξαποστείλας, ἀπημαύρωσε ταῖς λαμπρότησι τοῦ ὑμῶν ἐνθέου κηρύγματος πλάνης τὸ σκότος, θεόπται Ἀπόστολοι, καὶ ἐφώτισε τοὺς ἐν ζόφῳ τῆς ἀγνωσίας κεκρατημένους πονηρῶς, ὅνπερ ἐκδυσωπήσατε, καταπέμψαι καὶ ἡμῖν τὸν φωτισμὸν, καὶ τὸ μέγα ἔλεος.

Ἕτερον τοῦ αὐτοῦ ὅμοιον.

Ἀρετῶν Ἠλιοῦ προσεπιβὰς ἅρματι θείῳ, τῇ νηστείᾳ λαμπρυνθεὶς ἀνεφέρετο ἐπὶ τὸ ὕψος τὸ οὐράνιον· τοῦτον ζήλωσον, ταπεινὴ ψυχή μου, καὶ νήστευσον πάσης κακίας, καὶ φθόνου, καὶ ἔριδος, καὶ τρυφῆς ἐπιῤῥεούσης, καὶ ἡδονῆς. ὅπως ὀδύνην χαλεπὴν ἐκφύγῃς διαιωνίζουσαν τῆς γεέννης, ἐκβοῶσα τῷ Χριστῷ, Κύριε δόξα σοι.

Ἕτερον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. α'.

Ὅσιε Πάτερ.

Ἀπόστολοι θεῖοι, τοῦ Κόσμου θερμότατοι πρεσβευταὶ, καὶ τῶν ὀρθοδόξων προασπισταὶ, ἔχοντες παῤῥησίας τὸ κράτος πρὸς Χριστὸν τὸν Θεὸν ἡμῶν, ὑπὲρ ἡμῶν αἰτήσασθε, δεόμεθα, πανσεβάσμιοι, ἵνα τῶν νηστειῶν τὸν ἀγαθὸν καιρὸν εὐμαρῶς ποιησώμεθα, καὶ τῆς ὁμοουσίου Τριάδος τὴν χάριν δεξώμεθα, μεγαλοκήρυκες ἔνδοξοι, εὔχεσθε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ τοῦ Μηναίου τροπάρια δ'. Δόξα. Καὶ νῦν, θεοτ. Καὶ γίνεται Εἴσοδος μετὰ τοῦ θυμιατοῦ· τὸ, Φῶς ἱλαρόν· καὶ εὐθὺς, ἑσπέρας Προκείμενον. Ψαλμὸς ια'. ἦχος πλ. δ'.

Σὺ Κύριε φυλάξαις ἡμᾶς.

Στίχ. Σῶσόν με Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπεν ὁ Θεός, ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα, καὶ ἑρπετὰ, καὶ θηρία τῆς γῆς· καὶ τὰ κτήνη, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος· καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος αὐτῶν, καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν· καὶ εἶδεν ὁ Θεὸς ὅτι καλά. Καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ Οὐρανοῦ, καὶ τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς, καὶ πάντων τῶν ἑρπετῶν. τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ' εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν, καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεὸς, λέγων. Αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς, καὶ ἄρχετε τῶν ἰχθύων τῆς θαλάσσης, καὶ τῶν πετεινῶν τοῦ Οὐρανοῦ, καὶ πάντων τῶν κτηνῶν, καὶ πάσης τῆς γῆς· καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς. Καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς· καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ Οὐρανοῦ, καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ πνοὴν ζωῆς· καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν· καὶ ἐγένετο οὕτως. Καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ ἡμέρα ἕκτη. Καὶ συνετελέσθησαν ὁ Οὐρανὸς, καὶ ἡ γῆ, καὶ πᾶς ὁ κόσμος αὐτῶν· καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε· καὶ κατέπαυσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε. Καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

Προκείμενον, Ψαλμὸς ιβ'. ἦχος πλ. β'.

Ἐπίβλεψον, εἰσάκουσόν μου Κύριε ὁ Θεός μου.

Στίχ. Ἕως πότε Κύριε ἐπιλήσῃ μου εἰς τέλος;

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ἐὰν δεξάμενος ῥῆσιν ἐμῆς ἐντολῆς κρύψῃς παρὰ σεαυτῷ, ἐπακούσεται σοφίας τὸ οὖς σου, καὶ παραβαλεῖς καρδίαν σου εἰς σύνεσιν, παραβαλεῖς δὲ αὐτὴν εἰς νουθέτησιν τῷ υἱῷ σου· ἐὰν γὰρ τὴν σοφίαν ἐπικαλέσῃ, καὶ τῇ συνέσει δῷς φωνήν σου· καὶ ἐὰν ζητήσῃς αὐτὴν ὡς ἀργύριον, καὶ ὡς θησαυροὺς ἐξερευνήσῃς αὐτήν, τότε συνήσεις φόβον Κυρίου, καὶ ἐπίγνωσιν Θεοῦ εὑρήσεις· ὅτι Κύριος δίδωσι σοφίαν, καὶ ἀπὸ προσώπου αὐτοῦ, γνῶσις, καὶ σύνεσις· καὶ θησαυρίζει τοῖς κατορθοῦσι σωτηρίαν· ὑπερασπιεῖ δὲ τὴν πορείαν αὐτῶν, τοῦ φυλάξασθαι ὁδοὺς δικαιωμάτων, καὶ ὁδὸν εὐλαβουμένων αὐτὸν διαφυλάξει. Τότε συνήσεις δικαιοσύνην, καὶ κρῖμα, καὶ κατορθώσεις πάντας ἄξονας ἀγαθούς. Ἐὰν γὰρ ἔλθῃ ἡ σοφία εἰς σὴν διάνοιαν, ἡ δὲ αἴσθησις τῇ σῇ ψυχῇ καλὴ εἶναι δόξῃ, βουλὴ καλὴ φυλάξει σε· ἔννοια δὲ ὁσία τηρήσει σε· ἵνα ῥύσηταί σε ἀπὸ ὁδοῦ κακῆς, καὶ ἀπὸ ἀνδρὸς λαλοῦντος μηδὲν πιστόν. Ὢ οἱ ἐγκαταλιπόντες ὁδοὺς εὐθείας, τοῦ πορευθῆναι ἐν ὁδοῖς σκότους· ὢ οἱ εὐφραινόμενοι ἐπὶ κακοῖς, καὶ χαίροντες ἐπὶ διαστροφῇ κακῇ· ὧν αἱ τρίβοι σκολιαὶ, καὶ καμπύλαι αἱ τροχιαὶ αὐτῶν, τοῦ μακράν σε ποιῆσαι ἀπὸ ὁδοῦ εὐθείας, καὶ ἀλλότριον τῆς δικαίας γνώμης· υἱέ, μή σε καταλάβῃ βουλὴ κακὴ, ἡ ἀπολείπουσα διδασκαλίαν νεότητος, καὶ διαθήκην θείαν ἐπιλελησμένη· ἔθετο γὰρ παρὰ τῷ θανάτῳ τὸν οἶκον αὐτῆς, καὶ παρὰ τῷ ᾅδῃ μετὰ τῶν γηγενῶν τοὺς ἄξονας αὐτῆς· Πάντες οἱ πορευόμενοι ἐν αὐτῇ οὐκ ἀναστρέψουσιν, οὐδὲ μὴ καταλάβωσι τρίβους εὐθείας· οὐ γὰρ καταλαμβάνονται

Digitized by Google

νουνται ὑπὸ ἐνιαυτῶν ζωῆς· εἰ γὰρ ἐπορεύοντο τρίβους ἀγαθὰς, εὕροσαν ἂν τρίβους τὰς τῶν δικαίων λείας· χρηστοὶ ἔσονται οἰκήτορες γῆς, ἄκακοι δὲ ὑπολειφθήσονται ἐν αὐτῇ· ὅτι εὐθεῖς κατασκηνώσουσι γῆν, καὶ ὅσιοι ὑπολειφθήσονται ἐν αὐτῇ· ὁδοὶ δὲ ἀσεβῶν ἐκ γῆς ὀλοῦνται· οἱ δὲ παράνομοι ἐξολοθρευθήσονται ἀπ' αὐτῆς.

Καὶ εὐθὺς τὸ, Κατευθυνθήτω. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Ὡσαύτως καὶ ἡ Ἀκολουθία τῶν Ἀποδείπνων ἐν τῷ καιρῷ, ὡς συνήθως.

Τῇ Τετάρτῃ τῆς α. Ἑβδομάδος, Εἰς τὸ Ἀπόδειπνον, μετὰ τὸ εἰπεῖν τὸ, Τρισάγιον, καὶ τὸ, Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, καὶ τὰ λοιπά· ψαλλομένου τὸν παρόντα μέγαν Κανόνα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου· ποιουμένων δὲ καθ' ἓν τροπ. μετανοίας γ'. λέγοντες, καὶ στίχ. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με.

Ὠδὴ α. ἦχος πλ. β'. ὁ Εἱρμὸς Δίς.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν· » Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν· ἐνδόξως » γὰρ δεδόξασται.

Ἐκ νεότητος, Σωτὴρ, τὰς ἐντολάς σου ἐπαρωρησάμην, ὅλον ἐμπαθῶς ἀμελῶν, ῥαθυμῶν· παρῆλθον τὸν βίον· διὸ κράζω σοι, Σωτὴρ, κἂν ἐν τῷ τέλει σῶσόν με.

Ἐρριμμένον με, Σωτὴρ, πρὸ τῶν θυρῶν σου κἂν ἐν τῷ γήρει, μή με ἀπορρίψῃς εἰς ᾅδου κενόν· ἀλλὰ πρὸ τοῦ τέλους, ὡς φιλάνθρωπος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

Τὴν οὐσίαν μου, Σωτὴρ, καταναλώσας ἐν ἀσωτείᾳ, ἔρημος ὑπάρχω καρπῶν εὐσεβῶν· λιμώττων δὲ κράζω· Ὁ πατὴρ τῶν οἰκτιρμῶν προφθάσας σύ με οἴκτειρον.

Ὁ λῃσταῖς περιπεσὼν ἐγὼ ὑπάρχω τοῖς λογισμοῖς μου· ὅλως ὑπ' αὐτῶν τετραυμάτισμαι νῦν, ἐπλήσθην μωλώπων, ἀλλ' αὐτός μοι ἐπιστὰς, Χριστὲ Σωτὴρ, ἰάτρευσον.

Ἱερεύς με προϊδὼν ἀντιπαρῆλθε, καὶ ὁ λευΐτης βλέπων ἐν δεινοῖς ὑπερεῖδε γυμνόν· ἀλλ' ὁ ἐκ Μαρίας ἀνατείλας Ἰησοῦς, σὺ ἐπιστάς με οἴκτειρον.

Σύ μοι δίδου φωταυγῆ ἐκ θείας ἄνωθεν προμηθείας χάριν, ἐκφυγεῖν τῶν παθῶν σκοτασμόν· καὶ ᾆσαι προθύμως τοῦ σοῦ βίου τὰ τερπνὰ, Μαρία, διηγήματα. Δόξα.

Ὑπερούσιε Τριὰς, ἡ ἐν μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνος, μοι δὸς δάκρυα κατανύξεως.

Θεοτοκίον.

Θεοτόκε, ἡ ἐλπὶς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιὸν ἀπ' ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ, ὡς Δέσποινα ἁγνὴ, μετανοοῦντά δέξαι με.

Ὠδὴ β'. ὁ Εἱρμὸς Δίς.

Πρόσεχε Οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημή» σαντα.

Ὠλίσθησα, ὡς ὁ Δαβὶδ ἀκολάστως, καὶ βεβορβόρωμαι· ἀλλ' ἀπόλουσαι κἀμὲ, Σωτὴρ, τοῖς δάκρυσί μου.

Οὐ δάκρυα, οὐδὲ μετάνοιαν ἔχω, οὐδὲ κατάνυξιν· αὐτός μοι ταῦτα, Σωτὴρ, ὡς Θεὸς δώρησαι.

Ἀπώλεσα τὸ πρωτόκτιστον κάλλος, καὶ τὴν εὐπρέπειάν μου· καὶ ἄρτι κεῖμαι γυμνὸς, καὶ καταισχύνομαι.

Τὴν θύραν σου μὴ ἀποκλείσῃς μοι τότε, Κύριε· ἀλλ' ἄνοιξόν μοι αὐτὴν, μετανοοῦντι σοι.

Ἐνώτισαι τοὺς στεναγμοὺς τῆς ψυχῆς μου, καὶ τῶν ἐμῶν ὀφθαλμῶν προσδέχου τὰς σταλαγμοὺς, Κύριε, καὶ σῶσόν με.

Δόξα.

Φιλάνθρωπε, ὁ θέλων πάντας σωθῆναι, σὺ ἀνακάλεσαί με· καὶ δέξαι ὡς ἀγαθὸς μετανοοῦντά με.

Θεοτοκίον.

Ἄχραντε, Θεοτόκε Παρθένε, μόνη πανύμνητε, ἱκέτευε ἐκτενῶς, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Εἱρμὸς Δίς.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς· ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου τῇ μόνῃ δεξιᾷ, καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεός· ἐνωτίζου, ψυχή μου, τοῦ Κυρίου βοῶντος, καὶ ἀποσπάσθητι τῆς προτέρας ἁμαρτίας, καὶ φοβοῦ ὡς δυσκαστὴν, ὡς κριτὴν, καὶ Θεόν.

Τίνι ὡμοιώθης, πολυαμάρτητε ψυχή; οἴμοι, τῷ πρώτῳ Κάϊν, καὶ τῷ Λάμεχ ἐκείνῳ, λιθοκτονήσασα τὸ σῶμα κακουργίαις, καὶ κτείνασα τὸν νοῦν ταῖς παραλόγοις ὁρμαῖς.

Πάντας τοὺς πρὸ νόμου παραδραμοῦσα, ὦ ψυχὴ, τῷ Σὴθ οὐχ ὡμοιώθης, οὐ τὸν Ἐνὼς ἐμιμήσω, οὐ τὸν Ἐνὼχ τῇ μεταθέσει, οὐ τὸν Νῶε· ἀλλ' ὤφθης πενιχρὰ τῆς τῶν δικαίων ζωῆς.

Μόνη ἐξήνοιξας τοὺς καταῤῥάκτας τῆς ὀργῆς τοῦ Θεοῦ σου, ψυχή μου, καὶ κατέκλυσας πᾶσαν, ὡς γῆν, τὴν σάρκα, καὶ τὰς πράξεις, καὶ τὸν βίον, καὶ ἔμεινας ἐκτὸς τῆς σωστικῆς κιβωτοῦ.



Digitized by Google

Τῆς Ὁσίας.

Ὅλῃ προθυμίᾳ, πόθῳ προσέδραμες Χριστῷ, τὴν πρὶν τῆς ἁμαρτίας ὁδὸν ἀποστραφεῖσα, καὶ ἐν ἀβάτοις ταῖς ἐρήμοις τρεφομένη, καὶ τούτου καθαρῶς τελοῦσα θείας ἐντολάς.

Δόξα.

Ἄναρχε, ἄκτιστε Τριάς, ἀμέριστε μονάς, μετανοοῦντά με δέξαι, ἡμαρτηκότα σῶσον. σόν εἰμι πλάσμα, μὴ παρίδῃς, ἀλλὰ φεῖσαι, καὶ ῥῦσαι τοῦ πυρὸς τῆς καταδίκης με.

Θεοτοκίον.

Ἄχραντε Δέσποινα, Θεογεννῆτορ, ἡ ἐλπὶς τῶν εἰς σὲ προστρεχόντων, καὶ λιμὴν τῶν ἐν ζάλῃ, τὸν ἐλεήμονα, καὶ κτίστην, καὶ Υἱόν σου ἱλέωσαι κἀμοὶ ταῖς ἱκεσίαις ταῖς σαῖς.

Ὠδὴ γ'. ὁ Εἱρμὸς Δίς.

Στερέωσον Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου· ὅτι μόνος ἅγιος ὑπάρχεις, καὶ Κύριος.

Τὴν εὐλογίαν τοῦ Σὴμ οὐκ ἐκληρώσω, ψυχὴ ἀθλία· οὐ πλατεῖαν τὴν κατάσχεσιν, ὡς Ἰάφεθ, ἔχεις ἐν τῇ γῇ τῆς ἀφέσεως.

Ἐκ γῆς Χαρρὰν ἔξελθε, τῆς ἁμαρτίας, ψυχή μου, δεῦρο εἰς γῆν ῥέουσαν ἀείζωον ἀφθαρσίαν, ἣν ὁ Ἀβραὰμ ἐκληρώσατο.

Τὸν Ἀβραὰμ ἤκουσας πάλαι, ψυχή μου, καταλιπόντα γῆν πατρῴαν, καὶ γενόμενον μετανάστην, τούτου τὴν προαίρεσιν μίμησαι.

Ἐν τῇ δρυῒ τῇ Μαμβρῇ φιλοξενήσας ὁ Πατριάρχης τοὺς Ἀγγέλους, ἐκληρώσατο μετὰ γήρας τῆς ἐπαγγελίας τὸ θήραμα.

Τὸν Ἰσαὰκ, τάλαινα, γνοῦσα, ψυχή μου, καινὴν θυσίαν μυστικῶς ὁλοκαρπούμενον τῷ Κυρίῳ, μίμησαι αὐτοῦ τὴν προαίρεσιν.

Συνέχομαι κλύδωνι, καὶ τρικυμίᾳ, μῆτερ, πταισμάτων· ἀλλ' αὐτή με νῦν διάσωσον· καὶ πρὸς ὅρμον θείας μετανοίας εἰσάγαγε.

Τὸν Ἰσμαὴλ ἤκουσας, νῆφε, ψυχή μου, ἐκδιωχθέντα, ὡς παιδίσκης ἀποκύημα· βλέπε, μήπως ὅμοιόν τι πάθῃς, λαγνεύουσα.

Ὁσία τοῦ Θεοῦ.

Ἱκέσιον δέησιν καὶ νῦν, Ὁσία, προσαγαγοῦσα πρὸς τὴν εὔσπλαγχνον πρεσβείαις σου Θεοτόκον, ἄνοιξον τὰς θείας εἰσόδους μοι.

Δόξα.

Τριὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε φύσις, ἡ ἐν τριάδι ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον πίστει προσκυνοῦντας τὸ κράτος σου.

Θεοτοκίον.

Τὸν ἐκ Πατρὸς ἄχρονον Υἱὸν ἐν χρόνῳ, Θεογεννῆτορ, ἀπειράνδρως ἀπεκύησας· ξένον θαῦμα, μείνασα Παρθένος, θηλάζουσα.

Ὠδὴ δ'. ὁ Εἱρμὸς Δίς.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου, Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκ-
„ τεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν·
„ Ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα
„ τῇ δυνάμει σου Κύριε.

Τὸ σῶμα κατερρύπωται, τὸ πνεῦμα κατεσπίλωται, ὅλως ἡλκώθην· ἀλλ' ὡς ἰατρὸς, Χριστὲ, ἀμφότερα διὰ μετανοίας μοι θεράπευσον, ἀπόλουσον, κάθαρον, πλῦνον, δεῖξον, Σωτήρ μου, χιόνος καθαρώτερον.

Τὸ σῶμά σου, καὶ τὸ αἷμα, σταυρούμενος, ὑπὲρ πάντων ἔθηκας, Λόγε· τὸ μὲν σῶμα, ἵνα ἀναπλάσῃς με, τὸ δὲ αἷμα, ἵνα ἀποπλύνῃς με, τὸ πνεῦμα παρέδωκας, ἵνα ἐμὲ προσάξῃς, Χριστὲ, τῷ σῷ Γεννήτορι.

Εἰργάσω τὴν σωτηρίαν ἐν μέσῳ τῆς γῆς, οἰκτίρμον, ἵνα σωθῶμεν· ἑκουσίως ξύλῳ ἀνεσταυρώθης, ἡ Ἐδὲμ κλεισθεῖσα ἀνεῴγνυται· τὰ ἄνω, τὰ κάτω, ἡ κτίσις, τὰ ἔθνη πάντα σωθέντα προσκυνοῦσί σε.

Γενέσθω μοι κολυμβήθρα τὸ αἷμα, τὸ ἐκ πλευρᾶς σου, ἅμα καὶ πόμα, τὸ πηγάσαν ὕδωρ τῆς ἀφέσεως, ἵνα ἑκατέρωθεν καθαίρωμαι· χριόμενος, πίνων, ὡς χρίσμα, καὶ πόμα, Λόγε, τὰ ζωηρά σου λόγια.

Κρατῆρα ἡ Ἐκκλησία ἐκτήσατο τὴν πλευράν σου τὴν ζωηφόρον, ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἀνέβλυσε κρουνὸς τῆς ἀφέσεως, καὶ γνώσεως, εἰς τύπον τῆς πάλαι, τῆς νέας, τῶν δύο ἅμα Διαθηκῶν, Σωτὴρ ἡμῶν.

Γυμνός εἰμι τοῦ νυμφῶνος, γυμνός εἰμι καὶ τοῦ γάμου, ἅμα καὶ δείπνου· ἡ λαμπὰς ἐσβέσθη ὡς ἄνελαιος, ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι· τὸ δεῖπνον ἐβρώθη, ἐγὼ δὲ χεῖρας, καὶ πόδας δεθεὶς, ἔξω ἐκβέβλημαι.

Δόξα.

Ἀμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε, τὴν τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Θεοτοκίον.

Καὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις δι' ἀμφοτέρων φύσει Παρθένος· ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα. Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις, ποιεῖ γὰρ, ὅσα βούλεται.

Ὠδὴ ε'. ὁ Εἱρμὸς Δίς.

Ἐκ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προ-
„ στάγμασί σου, καὶ δίδαξόν με, Σωτὴρ, ποιεῖν
„ τὸ θέλημά σου.

Ὡς βαρὺς τὴν γνώμην Φαραὼ τῷ πικρῷ γέγονα, Κύριε, Ἰαννῆς, καὶ Ἰαμβρῆς, τὴν ψυχὴν, καὶ τὸ σῶμα, καὶ ὑποβρύχιον νοῦν, ἀλλὰ βοήθησόν μοι.



Digitized by Google

Τῷ πηλῷ συμπέφυρμαι ὁ τάλας τὸν νοῦν· πλῦνόν με, Δέσποτα, τῷ λουτῆρι τῶν ἐμῶν δακρύων, δέομαί σου, τὴν τῆς σαρκός μου στολὴν λευκάνας ὡς χιόνα.

Ἐὰν ἐρευνήσω μου τὰ ἔργα, Σωτὴρ, ἅπαντα ἄνθρωπον ὑπερβάντα ἐμαυτὸν ὁρῶ ταῖς ἁμαρτίαις, ὅτι ἐν γνώσει φρονῶν, ἥμαρτον, οὐκ ἀγνοίᾳ.

Φεῖσαι, φεῖσαι, Κύριε, τοῦ πλάσματός σου. ἥμαρτον, ἄνες μοι ὁ τῇ φύσει καθαρὸς, αὐτὸς ὑπάρχει ἔξω ῥύπου.

Δι' ἐμὲ, Θεὸς ὢν, ἐμορφώθης ἐμὲ, ἔδειξας θαύματα, ἰασάμενος λεπροὺς, καὶ παραλύτους σφίγξας, αἱμόῤῥους στήσας, Σωτὴρ, ἁφῇ κρασπέδου ῥύσιν.

Ὁσία τοῦ Θεοῦ.

Ῥεῖθρον Ἰορδάνιον περάσασα, εὗρες ἀνάπαυσιν, τὴν ἀνώδυνον, σαρκὸς ἡδονὴν ἐκφυγοῦσα· ἧς καὶ ἡμᾶς ἐξελοῦ ταῖς προσευχαῖς, Ὁσία.

Δόξα.

Σὲ, Τριὰς, δοξάζομεν τὸν ἕνα Θεόν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα, ἁπλῆ οὐσία, μονὰς ἀεὶ προσκυνουμένη.

Θεοτοκίον.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε, Μητροπάρθενε, Θεὸς, ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ς'. ὁ Εἱρμὸς Δίς.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεὸν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἀντίστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς, τὸν Ἀμαλὴκ, τῆς σαρκὸς τὰ πάθη, καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλοὺς λογισμοὺς ἀεὶ νικῶσα.

Διάβηθι τοῦ χρόνου τὴν ῥέουσαν φύσιν, ὡς πρὶν ἡ κιβωτὸς, καὶ τῆς γῆς ἐκείνης γενοῦ ἐν κατασχέσει τῆς ἐπαγγελίας, ψυχὴ, Θεὸς κελεύει.

Ὡς ἔσωσας τὸν Πέτρον βοήσαντα, σῶσον προφθάσας με, Σωτὴρ, τοῦ θηρὸς με ῥῦσαι ἐκτείνας σου τὴν χεῖρα, καὶ ἀνάγαγε τοῦ βυθοῦ τῆς ἁμαρτίας.

Λιμένα σε γινώσκω γαλήνιον, Δέσποτα, Δέσποτα Χριστὲ, ἀλλ' ἐκ τῶν ἀδύτων βυθῶν τῆς ἁμαρτίας, καὶ τῆς ἀπογνώσεώς με, προφθάσας, ῥῦσαι.

Δόξα.

Τριάς εἰμι ἁπλῆ, ἀδιαίρετος, διαιρετὴ προσωπικῶς· καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη· ὁ Πατήρ φησι, καὶ Υἱὸς, καὶ θεῖον Πνεῦμα.

Θεοτοκίον.

Ἡ μήτρα σου Θεὸν ἡμῖν ἔτεκε, μεμορφωμένον καθ' ἡμᾶς, ἀλλ' ὡς κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον.

Ψυχή μου, ψυχή μου ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεὸς, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὠδὴ ζ'. ὁ Εἱρμὸς Δίς.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Τοῦ Μανασσῆ ἐπισωρεύσας τὰ ἐγκλήματα τῇ προαιρέσει, στήσασα, ὡς βδελύγματα, πάθη, καὶ πληθύνουσα, ψυχὴ, προσοχθίσματα, ἀλλ' αὐτοῦ τὴν μετάνοιαν ζηλοῦσα, θερμῶς, κτῆσαι κατάνυξιν.

Τὸν Ἀχαὰβ παρεζήλωσας τοῖς μιάσμασι, ψυχή μου, οἴμοι, γέγονας σαρκικῶν μολυσμάτων καταγώγιον, καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν· ἀλλ' ἐκ βάθους σου στέναξον, καὶ λέγε Θεῷ τὰς ἁμαρτίας σου.

Ἐκλείσθη σοι Οὐρανὸς, ψυχὴ, καὶ λιμὸς Θεοῦ κατέλαβέ σε, ὅτε τοῖς Ἠλιοῦ τοῦ Θεσβίτου, ὡς ὁ Ἀχαὰβ, ἠπείθησας λόγοις ποτέ· ἀλλὰ τῇ Σαρεφθίᾳ ὁμοιώθητι, θρέψον Προφήτου ψυχήν.

Ἐνεπύρισεν Ἠλιοῦ ποτε τοὺς πεντήκοντα τῆς Ἰεζάβελ, ὅτε τοὺς τῆς αἰσχύνης πρεσβύτας κατηνάλωσεν εἰς ἔλεγχον τοῦ Ἀχαάβ· ἀλλὰ φεῦγε τὴν μίμησιν τῶν δύο, ψυχὴ, καὶ κραταιώθητι.

Δόξα.

Τριὰς ἁπλῆ, ἀδιαίρετος, ὁμοούσιος μονὰς ἁγία, φῶτα, καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον, ὑμνεῖται Θεὸς ἡ Τριάς· ἀλλ' ἀνύμνησον, δόξασον ζωὴν, καὶ ζωὰς, ψυχὴ, τὸν πάντων Θεόν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε Θεογεννῆτορ· ὅτι τῆς ἀχωρίστου Τριάδος ἀπεκύησας τὸν ἕνα Υἱὸν, καὶ Θεὸν, καὶ αὐτὴ προηνέῳξας ἡμῖν τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Ὠδὴ η'. ὁ Εἱρμὸς Δίς.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ, καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δικαιοκρῖτα Σωτὴρ ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρὸς, καὶ τῆς ἀπειλῆς, ἧς μέλλω ἐν τῇ κρίσει δικαίως ὑποστῆναι· ἄνες μοι πρὸ τέλους διὰ ἀρετῆς, καὶ μετανοίας.

Ω'Σ ὁ Λῃστὴς ἐκβοῶ σοι, μνήσθητι· ὡς Πέτρος κλαίω πικρῶς, ἄνες μοι, Σωτὴρ· κράζω ὡς ὁ Τελώνης, δακρύω ὡς ἡ Πόρνη· δέξαι μου τὸν θρῆνον, καθὼς ποτε τῆς Χαναναίας.

ΤΗ'ν σηπεδόνα, Σωτὴρ, θεράπευσον τῆς ταπεινῆς μου ψυχῆς, μόνε ἰατρὲ μάλαγμά μοι ἐπίθες, καὶ ἔλαιον, καὶ οἶνον, ἔργα μετανοίας, κατάνυξιν μετὰ δακρύων.

ΤΗ'ν Χαναναίαν κᾀγὼ μιμούμενος, ἐλέησόν με, βοῶ τῷ υἱῷ Δαβίδ, ἅπτομαι τοῦ κρασπέδου ὡς ἡ αἱμοῤῥοοῦσα· κλαίω ὡς ἡ Μάρθα, καὶ ἡ Μαρία ἐπὶ Λαζάρου.

Δόξα.

Α'Ναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθὲ, Πνεῦμα τὸ εὐθὲς, Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν, καὶ κτίζον, Τριὰς μονὰς, ἐλέησόν με.

Θεοτοκίον.

Ω'Σ ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρὶς τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου ἡ σὰρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον ἐν ἀληθείᾳ σὲ τιμῶμεν.

Ω'δὴ θ'. ὁ Εἱρμὸς Δίς.

Α'Σπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ
›› ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι
›› αἱ γενεαὶ, ὡς θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

ΤΑ'ς νόσους ἰώμενος, πτωχοῖς εὐηγγελίζετο Χριστὸς ὁ Λόγος, χωλοὺς ἐθεράπευε, τελώναις συνήσθιεν, ἁμαρτωλοῖς ὡμίλει, τῆς Ἰαείρου θυγατρὸς τὴν ψυχὴν προμεταστᾶσαν ἐπανήγαγεν ἀφῇ τῆς χειρός.

ΤΕλώνης ἐσώζετο, καὶ Πόρνη ἐσωφρόνιζε, καὶ Φαρισαῖος αὐχῶν κατεκρίνετο· ὁ μὲν γάρ. Ἱλάσθητι, ἡ δὲ, Ἐλέησόν με· ὁ δὲ ἐκόμπαζε, βοῶν· ὁ Θεὸς εὐχαριστῶ σοι, καὶ ἑξῆς τὰ τῆς ἀνοίας ῥητά.

ΖΑκχαῖος Τελώνης ἦν, ἀλλ' ὅμως διεσώζετο, καὶ Φαρισαῖος ὁ Σίμων ἐσφάλλετο· καὶ Πόρνη ἐλάμβανε τὰς ἀφεσίμους λύσεις παρὰ τοῦ ἔχοντος ἰσχὺν, ἀφιέναι ἁμαρτίας, ἣν, ψυχή, σπεῦσον μιμήσασθαι.

ΤΗ'ν Πόρνην, ὦ τάλαινα ψυχή μου, οὐκ ἐζήλωσας, ἥτις λαβοῦσα μύρου τὸ ἀλάβαστρον, σὺν δάκρυσιν ἤλειφε τοὺς πόδας τοῦ Κυρίου, ἐξέμαξε δὲ ταῖς θριξὶ, τῶν ἀρχαίων ἐγκλημάτων τὸ χειρόγραφον ῥηγνύντος αὐτῆς.

ΤΑ'ς πόλεις, αἷς ἔδωκε Χριστὸς τὸ Εὐαγγέλιον, ψυχή μου, ἔγνως, ὅπως κατηράθησαν· φοβοῦ τὸ ὑπόδειγμα, μὴ γένῃ ὡς ἐκεῖναι· ταῖς ἐν Σοδόμοις γὰρ αὐτὰς, ὁ Δεσπότης παρεικάσας, ἕως ᾅδου κατεδίκασε.

ΜΗ' χείρων, ὦ ψυχή μου, φανῇς δι' ἀπογνώσεως τῆς Χαναναίας τὴν πίστιν ἀκούσασα, δι' ἧς τὸ θυγάτριον λόγῳ Θεοῦ ἰάθη. Υἱὲ Δαβίδ, σῶσον κᾀμὲ, ἀναβόησον ἐκ βάθους τῆς καρδίας, ὡς ἐκείνη, Χριστῷ.

Δόξα.

ΠΑτέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν, Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν, ὡς φῶς, καὶ φῶτα, καὶ ζωὴν, καὶ ζωὰς ζωοποιοῦσαν, καὶ φωτίζουσαν τὰ πέρατα.

Θεοτ.

ΤΗ'ν πόλιν σου φύλαττε, Θεογεννῆτορ πανάγνε, ἐν σοὶ γὰρ αὕτη πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα, τροποῦται πάντα πειρασμὸν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Α'γιε τοῦ Θεοῦ.

Α'Νδρέα μακάριε, καὶ Πάτερ τρισμακάριστε, Ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ, δεόμενος ὑπὲρ τῶν σε ὑμνούντων· ἵνα ῥυσθῶμεν πάντες ὀργῆς, καὶ θλίψεως, καὶ φθορᾶς, καὶ πταισμάτων λυτρωθῶμεν οἱ τιμῶντες σου τὴν μνήμην ἀεί.

Εἶτα ψάλλομεν οἱ δύο Χοροί. Α'σπόρου συλλήψεως ὁ τόκος ἀνέρ, Καὶ ἡ λοιπὴ Α'κολουθία τῶν Α'ποδείπνων.

* * *

Τῇ Πέμπτῃ τῆς α'. Ε'βδομάδος ἐν τῷ Ο'ρθρῳ· μετὰ τὴν α'. στιχολ. καθίσ. Α'ποστολικὰ τῆς Ο'κτωήχου δύο, καὶ θεοτ. Εἶτα Α'νάγνωσις· Εἰς τὴν δευτέραν στιχολ. κάθισ. ἦχος β'.

Ο' σοφίσας ὑπέρ.

Ο' Φωστῆρας ἐν τοῖς πέρασι τοὺς Μαθητὰς ἀναδείξας τῷ κηρύγματι, Λόγε Θεοῦ, τὰς καρδίας ἡμῶν φώτισον φωτὶ ἀρετῶν, καὶ νηστείᾳ κάθαρον, δίδους μετάνοιαν ἐπιστροφῆς τοῖς δούλοις σου, εἰς τὸ δοξάζειν σε, Σωτὴρ, ὁ μόνος ὑπάρχων ὑπεράγαθος.

Δόξα, τὸ αὐτό· Καὶ νῦν, θεοτ.

ἦχος ὁ αὐτός.

ΘΕοτόκε μὴ παρίδῃς με δεόμενον ἀντιλήψεως τῆς ὑπὸ σοῦ, ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου, ἐλέησόν με.

Εἰς τὴν γ'. στιχολ. κάθισ. ἦχος πλ. α'.

Α'γιωτέρα τῶν Χερουβὶμ, θεοφόρε.

ΤΗ'ν φαιδροτέραν τῶν ἀρετῶν, τὴν συμπολίτην τῶν Οὐρανῶν ἐγκράτειαν, δυσωποῦμέν σε τῶν Α'ποστόλων τὴν δωδεκάδα, πρέσβευε εἰρηνικῶς διανύσαι, καὶ κομίσασθαι τοὺς καρποὺς τῆς σωτηρίας· ὑμεῖς γὰρ ὄντως τῶν γηγενῶν ὑπάρχετε κραταίωμα, καὶ καταφυγὴ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τὸ αὐτό· Καὶ νῦν θεοτ. Ο'μοιον.

Α'Γιωτέρα τῶν Χερουβὶμ, ὑψηλοτέρα τῶν Οὐρανῶν, πανύμνητε Θεοτόκε, σὲ ἐν ἀληθείᾳ ὁμολογοῦν-

λογοῦντες ἔχομεν ἁμαρτωλοὶ σωτηρίαν, καὶ εὑρίσκομεν ἐν πειρασμοῖς προστασίαν, διὸ μὴ παύσῃ ὑπὲρ ἡμῶν πρεσβεύουσα, κραταίωμα, καὶ καταφυγὴ τῶν ψυχῶν ἡμῶν.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου εἰς ς'. καὶ τὰ τριῴδια εἰς τὴν τάξιν αὐτῶν. Καὶ στιχολογεῖται ἡ ᾠδὴ τοῦ Ψαλτηρίου, Τὸ Τριῴδιον Ἰωσήφ· ᾠδὴ δ'. ἦχος β'.

Ἐλήλυθας ἐκ Παρθένου.

Ἐγκρατείας τὰς αὐγὰς δεχομένη, ἀστράφθητι ψυχή, καὶ ἀπόφυγε τῆς ἁμαρτίας τὴν ζόφωσιν· ὅπως ἀνατείλῃ σοι ἡ τῆς ἀφέσεως αἴγλη θείῳ Πνεύματι.

Ἀγκίστρῳ με ἡδονῆς δελεάσας ὁ δόλιος, αἰχμάλωτον ἥρπασεν· ἀλλ' οἱ τὸν Κόσμον Ἀπόστολοι λόγῳ σαγηνεύσαντες, ἐκ τοῦ αὐτοῦ με κακίας ἐκλυτρώσατε.

Ἐδείχθητε τοῦ Ἡλίου τῆς δόξης αὐγάσματα, Ἀπόστολοι ἔνδοξοι, πλάνης αὐχμὸν ἀπελαύνοντες· κἀμὲ οὖν φωτίσατε, τὸν ὑπὸ πάσης κακίας σκοτιζόμενον.

Θεοτοκίον.

Κεκράζομαι ἐν νυκτί, καὶ ἡμέρᾳ θλιβόμενος πρὸς σέ, καὶ ῥυσθήσομαι, καὶ ἡδονῶν ὑπερβήσομαι, τείχους, καὶ σωθήσομαι, τῇ σῇ, Παρθένε, δυνάμει τειχιζόμενος.

Εἱρμὸς ἄλλος Τριῴδιον τοῦ Κυρίου Θεοδώρου, ἦχ. πλ. δ'. Τὰ ἔργα τῆς οἰκονομίας.

Τοῦ Ἡλίου τῆς Δικαιοσύνης ὑπάρχοντες Ἀπόστολοι λαμπηδόνες παμφαεῖς, φωτίζετε τὸν περίγειον Κόσμον, τὸν ζόφον τῆς ἀπάτης διώκοντες.

Λύρα ὄντες τοῦ Σωτῆρος πνευματοκίνητος, Ἀπόστολοι γνωρισθέντες ἐπὶ γῆς, τὸ εὔηχον μελουργεῖτε ὑμῶν ἔπος, καὶ Κόσμον πρὸς Θεὸν ἐπιστρέφετε.

Δόξα.

Τὴν Τριάδα ἐν μοναδικῇ οὐσιότητι δοξάζοντες ἕνα Κύριον Θεόν, ὑμνήσωμεν τὸν ἀγέννητον Πατέρα, Υἱὸν τὸν γεννητόν, καὶ τὸ Πνεῦμα τὸ ζῶν.

Θεοτοκίον.

Παρθένος ἐν γαστρὶ συνέλαβε, Κύριε, καὶ ἔτεκέ σε τὸν Ἐμμανουήλ, ἐξῆλθες γὰρ εἰς σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς Χριστούς σου, φιλάνθρωπε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀποστόλων δωδεκὰς ἡ θεία, καὶ πάνσεπτος, ἱκέτευε τὸν Χριστὸν ὑπὲρ ἡμῶν, δεόμεθα, διελθεῖν ἡμᾶς εὐτόνως τὸ τεσσαρακονθήμερον στάδιον.

Ὁ Εἱρμός.

Τὰ ἔργα τῆς οἰκονομίας σου Κύριε ἐξέστησαν τὸν προφήτην Ἀββακούμ, ἐξῆλθες γὰρ εἰς „σωτηρίαν λαοῦ σου, τοῦ σῶσαι τοὺς χριστούς σου ἐ„λήλυθας.

Ὠδὴ η'. Τῷ δόγματι.

Νηστεύσωμεν πᾶσαν ἡδονήν, παίνοντες τὰς αἰσθήσεις νηστείᾳ, καὶ κατανύξεως πόμα θερμῶς πιώμεθα, ψάλλοντες. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τῆς στάσεως, τῆς ἐκ δεξιῶν, γενέσθαι με κοινωνόν, δυσωπεῖτε, ὅταν καθίσητε κρῖναι βροτοὺς σὺν Χριστῷ, Ἀπόστολοι, τὸν πολλαῖς ἁμαρτίαις, καὶ κρίσει ὑπεύθυνον.

Ἐν ἅρματι θείων ἀρετῶν, νηστείᾳ καθαρθέντες, ἐπιβάντες, καὶ πρὸς αἰθέριον ὕψος τὸν νοῦν πτερώσωμεν, ψάλλοντες. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον. Θεοτ.

Διέμεινας ἄφλεκτος, τὸ πῦρ τεκοῦσα τῆς Θεότητος, Παρθένε, ἀλλὰ κατάφλεξον πάθη ψυχῶν τῶν πίστει βοώντων σοι τὴν φωνὴν τοῦ Ἀγγέλου, χαρᾶς μόνη πρόξενε.

Εἱρμὸς ἄλλος. Οἱ ὅσιοί σου.

Τοῦ Πνεύματος τὰς σάλπιγγας, τοῦ Χριστοῦ τοὺς Μαθητὰς ἀνυμνοῦντες, βοῶμεν. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὡς πρεσβευτὰς τοῦ Κόσμου, καὶ πλάνης φυγαδευτάς, τοὺς Μαθητὰς ὑμνοῦμεν Χριστοῦ, Εὐλογεῖτε, βοῶντες, τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Τριάδα παναγίαν, τὴν ἐν Πατρί, καὶ Υἱῷ καὶ Πνεύματι, ὑμνοῦντες, ψάλλομεν, Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον,

Τὸν ἄρρητόν σου τόκον πάντες ὑμνοῦμεν βροτοί, εὐσεβῶς ἐκβοῶντες, ἁγνή. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀπόστολοι πρεσβεύσατε, ἐν εἰρήνῃ ἡμᾶς τὰς ἱλαστηρίους ἡμέρας τελεῖν. Εὐλογεῖτε, βοῶντας, τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ, Χριστέ, ἀνυμνοῦντες ἔλεγον. Εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Ἡ τὸν ἀχώρητον Θεόν.

Ἀπερριμμένος ἡδονῶν ἀφανὲς εἰς πέλαγος, τὴν τῆς σῆς εὐσπλαγχνίας ἄβυσσον προσκαλοῦμαι, κυβερνῆτά με σῶσον.

Τῆς εὐσπλαγχνίας ἡ πηγὴ δός μοι νῦν κατάνυξιν, στεναγμόν, ὅπως ἀποκλαύσωμαι τῶν κακῶν μου τὰς ἀπείρους θαλάσσας.

Τῶν Μαθητῶν σου, Ἰησοῦ, ταῖς σεπταῖς δεήσεσι τὴν σεπτήν, δίδου μοι, Ἀνάστασιν προσκυνῆσαι, καὶ τὰ θεῖά σου Πάθη.

Θεοτοκίον.

Ἡ Οὐρανώσασα ἡμῶν τὸ γεῶδες φύραμα τῇ ἐν σοὶ τοῦ Θεοῦ, παναμώμητε, ἐνοικήσει, ῥῦσαι πάντας κινδύνων.

Εἱρμὸς

Digitized by Google

Εἱρμὸς ἄλλος. Μεγαλύνομέν σε Χριστέ.

ΕΚ τῶν πηγῶν προφητικῶς τῶν τοῦ Σωτῆρος ἐξαντλήσαντες οἱ Ἀπόστολοι ὕδωρ ἀθανασίας, τοῖς διψῶσι δόγματα ζωῆς ποτίζουσι πάντοτε.

ΤΟῦ Βασιλέως Οὐρανῶν φανέντες ἄρχοντες Ἀπόστολοι, ὑπετάξατε πᾶσαν τὴν Οἰκουμένην, τοῦτον μόνον σέβειν, προσκυνεῖν, καὶ δοξολογεῖν ὡς Θεόν.

Δόξα.

ΤΡιὰς ἀμέριστε μονάς, ἡ παντουργός, καὶ παντοδύναμος, ὁ Πατήρ, ὁ Υἱός, καὶ τὸ ἅγιον Πνεῦμα, σὺ Θεός μου, Κύριος, καὶ φῶς, καὶ σὲ ἀνυμνοῦν προσκυνῶ.

Θεοτοκίον.

ΣΕ, Μητροπάρθενε ἁγνή, μακαριοῦμεν γενεαὶ γηγενῶν· ὅτι γέγονας ἱλαστήριον Κόσμου, τὸν Σωτῆρα, καὶ δημιουργὸν ἀῤῥήτως κυήσασα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΩν Ἀποστόλων ὁ χορός, τοὺς ἀνυμνοῦντάς σε περίσωζε, καὶ ἀξίωσον ἐν κατανύξει καρδίας τὰς ἡμέρας πάσας διελθεῖν τῶν φωτοποιῶν νηστειῶν.

Ὁ Εἱρμός.

ΜΕγαλύνομεν, Χριστέ, τὴν σὴν πανάμωμον Μητέρα ἁγνήν· ὅτι ἔτεκέ σε ὑπερφυῶς κατὰ σάρκα, πάσης πλάνης, καὶ καταφθορᾶς ἡμᾶς λυτρωσάμενον.

Τὸ φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας καὶ τὸ συνήθες Δίς, ἦχος γ΄.

ΚΎριε ἐμοὶ τῷ ἁμαρτωλῷ ἔθου μετάνοιαν, ἐμὲ τὸν ἀνάξιον σῶσαι βουλόμενος ἀμετρήτῳ ἐλέει σου· σοὶ προσπίπτω δεόμενος, ἐν νηστείαις τὴν ψυχήν μου σύγκαψον, ὅτι πρὸς σὲ κατέφυγα τὸν μόνον πολυέλεον.

Μαρτ.

ὩΣ φωστῆρες ἐν Κόσμῳ λάμπετε καὶ μετὰ θάνατον, ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι, ἔχοντες παῤῥησίαν Χριστὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΘΕοτόκε, ἡ προστασία πάντων τῶν δεομένων, εἰς σὲ θαῤῥοῦμεν, εἰς σὲ καυχώμεθα, ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστί, πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ ἀχρείων δούλων σου.

Εἰς τὴν Τριτέκτην, Τροπάριον τῆς Προφητείας, ἦχος α΄.

ὉΡατῶν, καὶ ἀοράτων ἐχθρῶν ῥῦσαι ἡμᾶς, Κύριε, μήποτε εἴπωσι τὰ Ἔθνη, ποῦ ἐστιν ὁ Θεὸς αὐτῶν; γνώτωσαν, Δέσποτα, ὅτι παρορᾷς ἁμαρτίας λαοῦ σου μετανοοῦντος.

Προκείμενον. Ψαλμὸς ιγ. ἦχος α΄.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν τοῦ λαοῦ, στίχ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

ὙΨωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· ἡμέρα γὰρ Κυρίου Σαβαὼθ παραγίνεται ἐπὶ πάντα ὑβριστήν, καὶ ὑπερήφανον, καὶ ἐπὶ πάντα ὑψηλόν, καὶ μετέωρον, καὶ ταπεινωθήσονται· καὶ ἐπὶ πᾶσαν κέδρον τοῦ Λιβάνου τὴν ὑψηλήν, καὶ μετέωρον. καὶ ἐπὶ πᾶν δένδρον βαλάνου Βασάν, καὶ ἐπὶ πᾶν ὄρος ὑψηλόν· καὶ ἐπὶ πάντα πύργον ὑψηλόν, καὶ ἐπὶ πᾶν τεῖχος ὑψηλόν· καὶ ἐπὶ πᾶν πλοῖον θαλάσσης, καὶ ἐπὶ πᾶσαν θέαν κάλλους πλοίων, καὶ ταπεινωθήσεται πᾶς ἄνθρωπος, καὶ πεσεῖται τὸ ὕψος τῶν ἀνθρώπων, καὶ ὑψωθήσεται Κύριος μόνος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ τὰ χειροποίητα, πάντα κατακρύψουσιν, εἰσενέγκαντες εἰς τὰ σπήλαια, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, καὶ εἰς τὰς τρώγλας τῆς γῆς, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν. Τῇ γὰρ ἡμέρᾳ ἐκείνῃ ἐκβαλεῖ ἄνθρωπος τὰ βδελύγματα αὐτοῦ τὰ ἀργυρᾶ, καὶ τὰ χρυσᾶ, ἃ ἐποίησαν ἑαυτοῖς εἰς τὸ προσκυνεῖν τοῖς ματαίοις, καὶ ταῖς νυκτερίσι, τοῦ ἐλθεῖν εἰς τὰς τρώγλας τῆς στερεᾶς πέτρας, καὶ εἰς τὰς σχισμὰς τῶν πετρῶν, ἀπὸ προσώπου τοῦ φόβου Κυρίου, καὶ ἀπὸ τῆς δόξης τῆς ἰσχύος αὐτοῦ, ὅταν ἀναστῇ θραῦσαι τὴν γῆν.

Προκείμενον, Ψαλμὸς ιδ΄ ἦχ. δ΄.

Κύριε, τίς παροικήσει ἐν τῷ σκηνώματί σου;

Στίχ. Πορευόμενος ἄμωμος, καὶ ἐργαζόμενος δικαιοσύνην.

Τῇ ε΄ Ἑσπέρας εἰς τὸ λυχνικόν, ἡ συνήθης στιχολ. εἰς τό, Κύριε ἐκέκραξα στιχη. προσόμοια τοῦ Τριωδίου· ἦχος β΄. Τὸν φωτισμὸν ἡμῶν, τὸν φω. Ἰωσήφ.

ΤΟν σκοτισθέντα με ταῖς ἀπάταις τοῦ πολεμήτορος, Χριστέ μου, φώτισον, ὁ σκοτίσας Σταυρῷ κρεμάμενος Ἥλιον ποτέ, καὶ λάμψας τοῖς πιστοῖς φῶς ἀληθινὸν ἀφέσεως σαφῶς· ὅπως πορευόμενος ἐν τῷ φωτὶ τῶν προσταγμάτων, φθάσω καθαρῶς τῆς Ἀναστάσεως τῆς σῆς τὴν αὐγὴν τὴν σωτήριον.

Ὅμοιον.

ΚΑθάπερ ἄμπελος ἐπὶ ξύλου, Σωτήρ, κρεμάμενος, οἶνον ἐπότισας ἀφθαρσίας, Χριστέ, τὰ πέρατα· ὅθεν ἐκβοῶ, τῇ μέθῃ με δεινῶς τῶν ἁμαρτιῶν σκοτούμενον ἀεὶ γλυκέος κατανύξεως ἀληθινῆς πότισας· νηστεύειν με ἐξ ἡδονῶν νῦν ἐνδυνάμωσον, Σωτήρ, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Ἐπ-

Ἕτερον προσόμοιον τοῦ Κυρίου Θεοδώρου.

Ἦχος ὁ αὐτός. Ὢ τοῦ μεγίστου μυστηρίου.

Ὢ Τοῦ Σταυροῦ σου τῇ δυνάμει· οὗτος ἐξώθησε τῇ Ἐκκλησίᾳ τὴν ἐγκράτειαν, τὴν ἐν Ἐδὲμ ποτε Ἀδὰμ ἀκρασίαν πρόρριζον ἐκτίλασαν· θάνατον μὲν ἐκείνη ἐπεισήγαγε τοῖς βροτοῖς, ἀλλ' οὗτος ἀφθάρτως ἐκβλύζει τὴν ἀθανασίαν τῷ Κόσμῳ, ὡς ἐκ πηγῆς ἄλλης τῆς τοῦ Παραδείσου τῇ κατακαινώσει τοῦ σοῦ ζωηρρύτου αἵματος ὁμοῦ τε, καὶ ὕδατος, ὅθεν τὰ πάντα ἐζωοποιήθη. δι' οὗ ἡμῖν νηστείας τὴν τρυφὴν γλύκανον ὁ Θεὸς Ἰσραὴλ, ὁ ἔχων τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ'. Δόξα, Καὶ νῦν, θεοτ. Ἑσπέρας Προκείμενον Ψαλ. ιε'. ἦχ. δ'.

Εὐλογήσω τὸν Κύριον τὸν συνετίσαντά με.

Στίχ. Φύλαξόν με Κύριε, ὅτι ἐπὶ σοὶ ἤλπισα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Αὕτη ἡ βίβλος γενέσεως Οὐρανοῦ τε, καὶ γῆς, ὅτε ἐγένετο ἡμέρα, ᾗ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν, καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ, πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν· καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν· πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς. Καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν. Καὶ ἐφύτευσεν ὁ Θεὸς Παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε· καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν, καὶ καλὸν εἰς βρῶσιν· καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ Παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ, καὶ πονηροῦ. Ποταμὸς δὲ ἐξεπορεύετο ἐξ Ἐδὲμ ποτίζειν τὸν Παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχὰς, ὄνομα τῷ ἑνὶ, Φισὼν, οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐϊλάτ. ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος· καὶ ὄνομα τῷ δευτέρῳ, Γεὼν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας· καὶ ὁ ποταμὸς ὁ τρίτος, Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων· ὁ δὲ ποταμὸς ὁ τέταρτος, Εὐφράτης. Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ Παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν, καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν, καὶ πονηρὸν, οὐ φάγεσθε ἀπ' αὐτοῦ· ᾗ δ' ἂν ἡμέρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε· καὶ εἶπε Κύριος ὁ Θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ' αὐτόν. Καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ πετεινὰ τοῦ Οὐρανοῦ καὶ τὰ θηρία τοῦ ἀγροῦ· καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτά· καὶ πᾶν, ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ.

Προκείμενον, Ψαλμὸς ις'. ἦχ. δ'.

Φύλαξόν με, Κύριε, ὡς κόρην ὀφθαλμοῦ.

Στίχ. Εἰσάκουσον Κύριε δικαιοσύνης μου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ἐμῶν νόμων μὴ ἐπιλανθάνου· τὰ δὲ ῥήματά μου τηρείτω σὴ καρδία· μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς, καὶ εἰρήνην προσθήσουσί σοι. Ἐλεημοσύναι, καὶ πίστεις μὴ ἐκλιπέτωσάν σε· ἄφαψαι δὲ αὐτὰς ἐπὶ σῷ τραχήλῳ· γράψον αὐτὰς ἐπὶ πλακὸς καρδίας σου, καὶ εὑρήσεις χάριν· προνοοῦ καλὰ ἐνώπιον Θεοῦ, καὶ ἀνθρώπων. Ἴσθι πεποιθὼς ἐπὶ Κύριον ἐν ὅλῃ καρδίᾳ· ἐπὶ δὲ σῇ σοφίᾳ μὴ ἐπαίρου· ἐν πάσαις ταῖς ὁδοῖς σου, γνώριζε αὐτήν· ἵνα ὀρθοτομῇ τὰς ὁδούς σου· ὁ δὲ πούς σου μὴ προσκόψῃ· μὴ ἴσθι φρόνιμος παρὰ σεαυτῷ· φοβοῦ δὲ τὸν Κύριον, καὶ ἔκκλινον ἀπὸ παντὸς κακοῦ· τότε ἴασις ἔσται τῷ σώματί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου· τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων, καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιοσύνης· ἵνα πιμπλῶνται τὰ ταμεῖα σου πλησμονῆς σίτου, οἴνῳ δὲ αἱ ληνοί σου ἐκβλύζωσιν. Υἱὲ, μὴ ὀλιγώρει παιδείας Κυρίου· μηδὲ ἐκλύου, ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος, παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν, ὃν παραδέχεται· μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν· καὶ θνητὸς, ὃς εἶδε φρόνησιν· κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου, καὶ ἀργυρίου θησαυρούς· τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν. οὐκ ἀντιτάξεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἀγαπῶσιν αὐτήν· πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστι. μῆκος γὰρ βίου, καὶ ἔτη ζωῆς ἐν τῇ δεξιᾷ αὐτῆς· ἐν δὲ τῇ ἀριστερᾷ αὐτῆς πλοῦτος, καὶ δόξα· ἐκ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη· νόμον δὲ, καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ· αἱ ὁδοὶ αὐτῆς ὁδοὶ καλαί· καὶ πᾶσαι αἱ τρίβοι αὐτῆς ἐν εἰρήνῃ· ξύλον ζωῆς ἐστι πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς, καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν, ὡς ἐπὶ Κύριον ἀσφαλής.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας Δίς· ἦχ. δ'.

Οἱ ποθοῦντες τοῦ θείου Πάσχα μετασχεῖν, οὐκ ἀπ' Αἰγύπτου, ἀλλ' ἐκ Σιὼν ἀρχομένου, τὴν τῆς ἁμαρτίας ζύμην ἐξάρωμεν τῇ μετανοίᾳ· περιζωσώμεθα τὰς ὀσφύας ἡμῶν τῇ νεκρώσει τῶν ἡδονῶν· καλλωπίσωμεν τοὺς πόδας ὑποδήμασι κωλυτικοῖς ἐκ πάσης ὁδοῦ πονηρᾶς, καὶ στηριχθῶμεν τῇ βακτηρίᾳ τῆς πίστεως· μὴ ζηλώσωμεν τοὺς ἐχθροὺς τοῦ δεσποτικοῦ Σταυροῦ, θεοποιοῦντες τὴν γαστέρα· ἀλλ' ἀκολουθήσωμεν τῷ διὰ νηστείας ἡμῖν τὴν κατὰ τοῦ δια-

βόλου νίκην ὑποδείξαντι Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Μαρτ.

Ὁ Ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν Μαρτύρων σου Χριστὲ ὁ Θεὸς, ὑπ᾽ αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, Καὶ νῦν, σταυροθεοτ. ἦχ. ὁ αὐτὸς

Ὡς γενναῖον ἐν μάρτυσιν.

Ἐν Σταυρῷ σε ὡς ἑώρακε κρεμάμενον, Κύριε, ἡ ἀμνάς, καὶ Μήτηρ σου, ἐξεπλήττετο, καὶ τί τὸ ὅραμα, ἔλεγεν, Υἱὲ ποθεινότατε; ταῦτά σοι ὁ ἀπειθὴς δῆμος ἀνταποδίδωσιν ὁ παράνομος· ὁ πολλῶν σου θαυμάτων ἀπολαύσας· ἀλλὰ δόξα τῇ ἀρρήτῳ συγκαταβάσει σου, Δέσποτα.

Καὶ ἡ λοιπὴ Ἀκολουθία κατὰ τὸ συνήθες.

Τῇ Πέμπτῃ τῆς πρώτης Ἑβδομάδος, εἰς τὸ Ἀπόδειπνον, μετὰ τὸ εἰπεῖν τὸ Τρισάγιον· καὶ τὸ, **Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες,** καὶ τὰ λοιπά, ψάλλομεν τὸν παρόντα μέγαν Κανόνα τοῦ ὁσίου Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου· ποιοῦμεν δὲ καθ᾽ ἓν τροπάριον μετανοίας γ΄. λέγοντες καὶ στίχ. Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με.

Ὠδὴ α΄. ἦχος πλ. β΄. ὁ Εἱρμός. Δίς.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτος μου Θεὸς, καὶ δοξάσω αὐτόν,
» Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν, ἐνδόξως
» γὰρ δεδόξασται.

Ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ αἴρων πάντων τὰς ἁμαρτίας, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνος, μοι δὸς δάκρυα κατανύξεως.

Σοὶ προσπίπτω, Ἰησοῦ, ἡμάρτηκά σοι, ἱλάσθητί μοι, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δὸς δάκρυα κατανύξεως.

Μὴ εἰσέλθῃς μετ᾽ ἐμοῦ ἐν κρίσει, φέρων μου τὰς πρακτέα, λόγους ἐκζητῶν, καὶ εὐθύνων ὁρμάς· ἀλλ᾽ ἐν οἰκτιρμοῖς σου παρορῶν μου τὰ δεινά, σῶσόν με, παντοδύναμε.

Μετανοίας ὁ καιρὸς, προσέρχομαί σοι τῷ πλαστουργῷ μου· ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνος μοι δὸς δάκρυα κατανύξεως.

Τὴν οὐσίαν τῆς ψυχῆς καταναλώσας τῇ ἁμαρτίᾳ, ἔρημός εἰμι ἀρετῶν εὐσεβῶν· λιμώττων δὲ κράζω, Ὁ ἐλέους χορηγὸς προφθάσας, σύ με οἰκτείρησον.

Ὁσία τοῦ Θεοῦ.

Ὑποκύψασα Χριστοῦ τοῖς θείοις νόμοις, τούτῳ προσῆλθες, τὰς τῶν ἡδονῶν ἀκαθέκτους ὁρμὰς λιποῦσα, καὶ πᾶσαν ἀρετὴν εὐλαβῶς, ὡς μίαν ἐκατόρθωσας.

Δόξα.

Ὑπερούσιε Τριὰς, ἡ ἐν μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνός μοι δὸς δάκρυα κατανύξεως.

Θεοτοκίον.

Θεοτόκε, ἡ ἐλπὶς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς Δέσποινα ἁγνή, μετανοοῦντα δέξαι με.

Ὠδὴ β΄. ὁ Εἱρμός Δίς.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας
» πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου τῇ μόνῃ δεξιᾷ,
» καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Ἄνδρα ἀπέκτεινα, φησὶν, εἰς μώλωπα ἐμοί, καὶ νεανίσκον εἰς τραῦμα, Λάμεχ θρηνῶν ἐβόα· σὺ δὲ οὐ τρέμεις, ὦ ψυχή μου, ῥυπωθεῖσα τὴν σάρκα, καὶ τὸν νοῦν καταμολύνασα.

Πύργον ἐσοφίσω οἰκοδομῆσαι, ὦ ψυχή, καὶ ὀχύρωμα πῆξαι ταῖς σαῖς ἐπιθυμίαις, εἰ μὴ συνέχεεν ὁ κτίστης τὰς βουλάς σου, καὶ κατέαξεν εἰς γῆν τὰ μηχανήματά σου.

Ὢ πῶς ἐζήλωσα Λάμεχ, τὸν πρώην φονευτήν, τὴν ψυχήν, ὥσπερ ἄνδρα, τὸν νοῦν, ὡς νεανίσκον, ὡς ἀδελφὸν δέ μου τὸ σῶμα ἀποκτείνας, ὡς Κάϊν ὁ φονεύς, ταῖς φιληδόνοις ὁρμαῖς.

Ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ ποτὲ, ἀνομίαν ὀργῶσαν πυρπολήσας Σοδόμων· σὺ δὲ τὸ πῦρ ἐξέκαυσας τὸ τῆς γεέννης, ἐν ᾧ μέλλεις, ὦ ψυχή, συγκατακαίεσθαι.

Τέτρωμαι, πέπληγμαι, ἰδοὺ τὰ βέλη τοῦ ἐχθροῦ, τὰ κατατρώσαντά μου τὴν ψυχήν, καὶ τὸ σῶμα· ἰδοὺ τὰ τραύματα, τὰ ἕλκη, αἱ πηρώσεις βοῶσι τὰς πληγὰς τῶν αὐθαιρέτων μου παθῶν.

Ὁσία τοῦ Θεοῦ.

Ἥπλωσας χεῖρας σου πρὸς τὸν οἰκτίρμονα Θεὸν, Μαρία ἐν ἀβύσσῳ κακῶν βυθιζομένη· καὶ ὡς τῷ Πέτρῳ φιλανθρώπως χεῖρα βοηθείας ἐξέτεινε, τὴν σὴν ἐπιστροφὴν πάντως ζητῶν.

Δόξα.

Ἄναρχε, ἄκτιστε Τριὰς, ἀμέριστε μονὰς, μετανοοῦντά με δέξαι, ἡμαρτηκότα σῶσον, σόν εἰμι πλάσμα, μὴ παρίδῃς· ἀλλὰ φεῖσαι, καὶ ῥῦσαι τοῦ πυρὸς τῆς καταδίκης με.

Θεοτοκίον.

Ἄχραντε Δέσποινα, Θεογεννῆτορ, ἡ ἐλπὶς τῶν εἰς σὲ προστρεχόντων, καὶ λιμὴν τῶν ἐν ζάλῃ, τὸν ἐλεήμονα, καὶ Κτίστην, καὶ Υἱόν σου ἱλέωσαι κἀμοὶ ταῖς ἱκεσίαις ταῖς σαῖς.

Ὠδὴ

Ὠδὴ γ΄. ὁ Εἱρμὸς Δίς.

ΣΤερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου· ὅτι μόνος ἅγιος ὑπάρχεις, καὶ Κύριος.

ΤΗ Ἄγαρ πάλαι, ψυχή, τῇ Αἰγυπτίᾳ παρομοιώθης, δουλωθεῖσα τὴν προαίρεσιν, καὶ τεκοῦσα νέον Ἰσμαὴλ, τὴν αὐθάδειαν.

ΤΗν Ἰακὼβ κλίμακα ἔγνως, ψυχή μου, δεικνυμένην ἀπὸ γῆς πρὸς τὰ οὐράνια· τί μὴ ἔσχες βάσιν ἀσφαλῆ, τὴν εὐσέβειαν;

ΤΟν Ἱερέα Θεοῦ, καὶ βασιλέα μεμονωμένον, τοῦ Χριστοῦ τὸ ἀφομοίωμα τοῦ ἐν Κόσμῳ βίου ἐν ἀνθρώποις μιμήθητι.

ΕΠίστρεψον, στέναξον, ψυχὴ ἀθλία, πρινὴ τοῦ βίου πέρας λάβῃ ἡ πανήγυρις, πρὶν τὴν θύραν κλείσῃ τοῦ νυμφῶνος ὁ Κύριος.

ΜΗ γένῃ στήλη ἁλὸς, ψυχή, στραφεῖσα εἰς τὰ ὀπίσω, τὸ ὑπόδειγμα φοβείτω σε τῶν Σοδόμων· ἄνω εἰς Σηγὼρ διασώθητι.

ΤΗν δέησιν, Δέσποτα, τῶν σε ὑμνούντων μὴ ἀπορρίψῃς, ἀλλ' οἰκτείρησον φιλάνθρωπε, καὶ παράσχου πίστει αἰτουμένοις τὴν ἄφεσιν.

Δόξα.

ΤΡιὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε φύσις ἡ ἐν τριάδι ὑμνουμένη ὑποστάσεων· ἡμᾶς σῶσον πίστει προσκυνοῦντας τὸ κράτος σου. Θεοτ.

ΤΟν ἐκ Πατρὸς ἄχρονον Υἱὸν, ἐν χρόνῳ, Θεογεννῆτορ, ἀπειράνδρως ἀπεκύησας· ξένον θαῦμα, μείνασα Παρθένος θηλάζουσα.

Ὠδὴ δ΄. ὁ Εἱρμὸς Δίς.

ΑΚήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν· ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ δυνάμει σου, Κύριε.

Ο Χρόνος, ὁ τῆς ζωῆς μου, ὀλίγος, καὶ πλήρης πόνων, καὶ πονηρίας· ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

ΒΑσίλειον τὴν ἀξίαν, διάδημα, καὶ πορφύραν ἠμφιεσμένος, πολυκτήμων ἄνθρωπος, καὶ δίκαιος, πλούτῳ ἐπιβρίθων, καὶ βοσκήμασιν, ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν, τὴν βασιλείαν πτωχεύσας, ἀπεκείρατο.

ΕΙ δίκαιος ἦν ἐκεῖνος, καὶ ἄμεμπτος παρὰ πάντας, καὶ οὐκ ἀπέδρα τὰ τοῦ πλάνου ἔνεδρα, καὶ σκάμματα, σὺ φιλαμαρτήμων οὖσα, τάλαινα ψυχή, τί ποιήσεις, ἐάν τι τῶν ἀδοκήτων συμβῇ, ἐπενεχθῆναί σοι;

ΥΨήγορος νῦν ὑπάρχω, θρασὺς δὲ καὶ τὴν καρδίαν, εἰκῇ, καὶ μάτην, μὴ τῷ Φαρισαίῳ συγκαταδικάσῃς με, μᾶλλον τοῦ Τελώνου τὴν ταπείνωσιν παράσχου μοι, μόνε οἰκτίρμων, δικαιοκρίτα, καὶ τούτῳ συναρίθμησον.

ΕΞήμαρτον, ἐνυβρίσας τὸ σκεῦος τὸ τῆς σαρκός μου, οἶδα, οἰκτίρμων· ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

ΑΥτείδωλον ἐγενόμην, τοῖς πάθεσι τὴν ψυχήν μου καταμολύνας· ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

ΟΥκ ἤκουσα τῆς φωνῆς σου, παρήκουσα τῆς γραφῆς σου, τοῦ νομοθέτου· ἀλλ' ἐν μετανοίᾳ με παράλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

Ὁσία τοῦ Θεοῦ.

ΜΕγάλων ἀτοπημάτων εἰς βάθος κατενεχθεῖσα, οὐ κατεσχέθης· ἀλλ' ἀνέδραμες λογισμῷ κρείττονι πρὸς τὴν ἀκροτάτην διὰ πράξεως σαφῶς ἀρετὴν, παραδόξως Ἀγγέλων φύσιν, Μαρία, καταπλήξασα. Δόξα.

ΑΜέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε, τὴν τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον. Θεοτ.

ΚΑὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις δι' ἀμφοτέρων φύσει Παρθένος· ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα· Θεὸς, ὅπου θέλει, νικᾶται φύσεως τάξις, ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ ε΄. ὁ Εἱρμὸς Δίς.

ΕΚ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με, Σωτὴρ, ποιεῖν τὸ θέλημά σου.

ΤΗν χαμαὶ συγκύπτουσαν μιμοῦ, ὦ ψυχή, πρόσελθε, πρόσπεσον τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἵνα σε ἀνορθώσῃ, καὶ βηματίσῃς ὀρθῶς τὰς τρίβους τοῦ Κυρίου.

ΕΙ καὶ φρέαρ, Δέσποτα, ὑπάρχεις βαθὺ, βλῦσόν μοι νάματα ἐξ ἀχράντων σου φλεβῶν, ἵν', ὡς ἡ Σαμαρεῖτις, μηκέτι πίνων διψῶ, ζωῆς γὰρ ῥεῖθρα βρύεις.

ΣΙλωὰμ γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε, ἵνα νίψωμαι κἀγὼ τὰς κόρας τῆς καρδίας, καὶ ἴδω σε νοερῶς, τὸ φῶς τὸ πρὸ αἰώνων.

Ὁσία τοῦ Θεοῦ.

ΑΣυγκρίτῳ ἔρωτι, πανόλβιε, ξύλον ποθήσασα προσκυνῆσαι τοῦ Σταυροῦ, ἠξίωσαι τοῦ πόθου· ἀξίωσον οὖν κἀμὲ, τυχεῖν τῆς ἄνω δόξης. Δόξα.

ΣΕ Τριὰς δοξάζομεν, τὸν ἕνα Θεόν. Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· ἁπλῆ οὐσία, μονὰς ἀεὶ προσκυνουμένη.



Digitized by Google

Θεοτοκίον.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου, ἄφθορε, ἄνανδρε, Μητροπάρθενε, Θεὸς ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ϛ΄. ὁ Εἱρμός. Δίς.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεόν, καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου· καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Ἐγώ εἰμι, Σωτήρ, ἣν ἀπώλεσας πάλαι βασίλειον δραχμήν· ἀλλ᾽ ἀνάψας λύχνον, τὸν Πρόδρομόν σου, Λόγε, ἀναζήτησον, καὶ εὑρὲ τὴν σὴν εἰκόνα.

Ἀνάστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς, τὸν Ἀμαλήκ, τῆς σαρκὸς τὰ πάθη, καὶ τοὺς Γαβαωνίτας, τοὺς ἀπατηλοὺς λογισμοὺς ἀεὶ νικῶσα.

Ὁσία τοῦ Θεοῦ.

Ἵνα παθῶν τὴν φλόγα κατασβέσῃς, δακρύων ἔβλυζες ἀεὶ ὀχετούς, Μαρία, ψυχὴν πυρπολουμένη· ὧν τὴν χάριν νέμοις κἀμοὶ τῷ σῷ οἰκέτῃ.

Ὁσία τοῦ Θεοῦ.

Ἀπάθειαν ἐκτήσω οὐράνιον δι᾽ ἀκροτάτης ἐπὶ γῆς πολιτείας, Μῆτερ, διὸ τοὺς σὲ ὑμνοῦντας ἐκ παθῶν ῥυσθῆναι, πρεσβείαις σου δυσώπει.

Δόξα.

Τριάς εἰμι ἁπλῆ ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη· ὁ Πατήρ φησι, καὶ Υἱός, καὶ θεῖον Πνεῦμα.

Θεοτοκίον.

Ἡ μήτρα σου Θεὸν ἡμῖν ἔτεκε μεμορφωμένον καθ᾽ ἡμᾶς· ἀλλ᾽ ὡς κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον.

Ψυχή μου, ψυχή μου ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός, ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὠδὴ ζ΄. ὁ Εἱρμός. Δίς.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου· οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδῴης ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Ἐξέλιπον αἱ ἡμέραι μου, ὡς ἐνύπνιον ἐγειρομένου· ὅθεν ὡς Ἐζεκίας δακρύω ἐπὶ κλίνης μου, προστεθῆναί μοι χρόνους ζωῆς· ἀλλὰ τίς Ἠσαΐας παραστήσεταί σοι, ψυχή, εἰμὴ ὁ πάντων Θεός;

Προσπίπτω σοι, καὶ προσάγω σοι, ὥσπερ δάκρυα, τὰ ῥήματά μου· ἥμαρτον, ὡς οὐχ ἥμαρτε Πόρνη, καὶ ἠνόμησα, ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς· ἀλλ᾽ οἰκτείρησον, Δέσποτα, τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με.

Κατέχωσα τὴν εἰκόνα σου, καὶ παρέφθειρα τὴν ἐντολήν σου, ὅλον ἀπημαυρώθη τὸ κάλλος, καὶ τοῖς πάθεσιν ἐσβέσθη, Σωτήρ, ἡ λαμπάς, ἀλλ᾽ οἰκτείρας, ἀπόδος μοι, ὡς ψάλλει Δαβίδ, τὴν ἀγαλλίασιν.

Ἐπίστρεψον, μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα, λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι, σὺ γινώσκεις μου τὰ κρύφια, μόνε Σωτήρ, καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαβίδ, κατὰ τὸ ἔλεός σου.

Ὁσία τοῦ Θεοῦ.

Βοήσασα πρὸς τὴν ἄχραντον Θεομήτορα πρίν, ἀπεκρούσω λύσσαν παθῶν βιαίως ἐνοχλούντων, καὶ κατῄσχυνας ἐχθρὸν τὸν πτερνίσαντα· ἀλλὰ δὸς νῦν βοήθειαν ἐκ θλίψεως κἀμοὶ τῷ δούλῳ σου.

Ὃν ἔστερξας, ὃν ἐπόθησας, δι᾽ ὃν ἔτηξας σάρκας, Ὁσία, αἴτησαι νῦν Χριστὸν ὑπὲρ δούλων, ὅπως ἵλεως γενόμενος πᾶσιν ἡμῖν, εἰρηναίαν κατάστασιν βραβεύσει τοῖς σεβομένοις αὐτόν.

Δόξα.

Τριὰς ἁπλῆ, ἀδιαίρετε, ὁμοούσιε μονὰς ἁγία, φῶτα, καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον ὑμνεῖται Θεὸς ἡ Τριάς· ἀλλ᾽ ἀνύμνησον, δόξασον ζωήν, καὶ ζωάς, ψυχή, τὸν πάντων Θεόν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, Θεογεννῆτορ· ὅτι τῆς ἀχωρίστου Τριάδος ἀπεκύησας τὸν ἕνα, Υἱόν, καὶ Θεόν· καὶ αὐτὴ προηνέῳξας ἡμῖν τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Ὠδὴ η΄. ὁ Εἱρμός. Δίς.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι, καὶ φρίττει τὰ Χερουβίμ, καὶ τὰ Σεραφίμ, πᾶσα πνοή, καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τὸ τῶν δακρύων, Σωτήρ, ἀλάβαστρον ὡς μύρον, καταχέω ἐπὶ κεφαλῆς, κράζω σοι, ὡς ἡ Πόρνη, τὸ ἔλεον ζητοῦσα, δέησιν προσάγω, καὶ ἄφεσιν αἰτῶ λαβεῖν με.

Εἰ καὶ μηδεὶς, ὡς ἐγώ, σοι ἥμαρτεν, ἀλλ᾽ ὅμως δέξαι κἀμέ, εὔσπλαγχνε Σωτήρ· φόβῳ μετανοοῦντα, καὶ πόθῳ κεκραγότα, ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Φεῖσαι, Σωτήρ, τοῦ ἰδίου πλάσματος, καὶ ζήτησον, ὡς ποιμήν, τὸ ἀπολωλὸς πρόβατον, πλανηθέντα ἐξάρπασον τοῦ λύκου· ποίησόν με θρέμμα ἐν τῇ νομῇ τῶν σῶν προβάτων.

Ὅταν Κριτὴς καθίσῃς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου, Χριστέ, ὢ ποῖος φόβος τότε, καμίνου καιομένης, πάντων δε-

Digitized by Google

δειλιώντων τὸ ἄσυλον τοῦ Βήματός σου;

Ὁσία τοῦ Θεοῦ.

Η Τοῦ φωτὸς τοῦ ἀδύτου Μήτηρ σε φωτίσασα, σκοτασμοῦ ἔλυσε παθῶν, ὅθεν εἰσδεδεγμένη τοῦ Πνεύματος τὴν χάριν, φώτισον, Μαρία, τοὺς σὲ πιστῶς ἀνευφημοῦντας.

ΘΑῦμα καινὸν κατιδὼν, ἐξίστατο ὁ θεῖος ὄντως ἐν σοὶ, Μῆτερ, Ζωσιμᾶς· ἄγγελον γὰρ ἑώρα ἐν σώματι, καὶ θάμβους ὅλος ἐπληροῦτο, Χριστὸν ὑμνῶν εἰς τοὺς αἰῶνας.

Δόξα.

ΑΝαρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθὲ, Πνεῦμα τὸ εὐθές. Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν, καὶ κτίζον, Τριὰς μονὰς ἐλέησόν με.

Θεοτοκίον.

ΩΣ ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρὶς τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου ἡ σὰρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον ἐν ἀληθείᾳ σὲ τιμῶμεν.

Ὠδὴ θʹ. ὁ Εἱρμός. Δίς.

ΑΣπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

ΣΠλαγχνίσθητι, σῶσόν με, υἱὲ Δαβὶδ ἐλέησον, ὁ δαιμονῶντας λόγῳ ἰασάμενος, φωνὴν δὲ τὴν εὔσπλαγχνον, ὡς τῷ Ληστῇ μοι φράσον· ἀμὴν σοι λέγω, μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ, ὅταν ἔλθω ἐν τῇ δόξῃ μου.

ΛΗστὴς κατηγόρει σοι, Ληστὴς ἐθεολόγει σοι, ἀμφότεροι γὰρ σταυρῷ συνεκρέμαντο, ἀλλ' ὦ πολυεύσπλαγχνε, ὡς τῷ πιστῷ Ληστῇ σου, τῷ ἐπιγνόντι σε Θεὸν, κἀμοὶ ἄνοιξον τὴν θύραν τῆς ἐνδόξου Βασιλείας σου.

Η Κτίσις συνείχετο, σταυρούμενόν σε βλέπουσα, ὄρη, καὶ πέτραι φόβῳ διερρήγνυντο, καὶ γῆ συνεσείετο, καὶ ᾅδης ἐγυμνοῦτο, καὶ συνεσκότασε τὸ φῶς ἐν ἡμέρᾳ καθορῶν σε, Ἰησοῦ, προσηλωμένον σαρκί.

ΑΞίους μετανοίας καρποὺς μὴ ἀπαιτήσῃς με, ἡ γὰρ ἰσχύς μου ἐν ἐμοὶ ἐξέλιπε, καρδίαν μοι δώρησαι ἀεὶ συντετριμμένην, πτωχείαν δὲ πνευματικὴν, ἵνα ταῦτά σοι προσοίσω, ὡς δεκτὴν θυσίαν, μόνε, Σωτήρ.

ΚΡιτά μου, καὶ γνῶστά μου, ὁ μέλλων πάλιν ἔρχεσθαι σὺν τοῖς Ἀγγέλοις, κρῖναι Κόσμον ἅπαντα, ἱλέῳ σου ὄμματι τότε ἰδών με, φεῖσαι, καὶ οἰκτείρησόν με, Ἰησοῦ, τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν τῶν ἀνθρώπων ἁμαρτήσαντα.

Ὁσία τοῦ Θεοῦ.

ΑΠάντας ἐξέστησας τῇ ξένῃ πολιτείᾳ σου, Ἀγγέλων τάξεις, βροτῶν τὰ συστήματα, ἀΰλως βιώσασα, καὶ φύσιν ὑπερβᾶσα· ἀνθ' ὧν ἀΰλως τοῖς ποσὶν ἐπιβαίνουσα, Μαρία, Ἰορδάνην διεπέρασας.

Ὁσία τοῦ Θεοῦ.

ΤΟν Κτίστην ἱλέωσαι ὑπὲρ τῶν εὐφημούντων σε, ὁσία Μῆτερ, ῥυσθῆναι κακώσεων, καὶ θλίψεων, τῶν κύκλῳ συνεπιτιθεμένων· ἵνα ῥυσθέντες τῶν πειρασμῶν, μεγαλύνωμεν ἀπαύστως τὸν δοξάσαντά σε Κύριον.

Ἀνδρέου.

ΑΝδρέα σεβάσμιε, καὶ Πάτερ τρισμακάριστε, ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν σὲ ὑμνούντων· ἵνα ῥυσθῶμεν πάσης ὀργῆς, καὶ θλίψεως, καὶ φθορᾶς, καὶ πταισμάτων λυτρωθῶμεν οἱ τιμῶντές σου τὴν μνήμην ἀεί.

Δόξα.

ΠΑτέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν, Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν, ὡς φῶς, καὶ φῶτα, καὶ ζωὴν, καὶ ζωὰς ζωοποιοῦσαν, καὶ φωτίζουσαν τὰ πέρατα.

Θεοτοκίον.

ΤΗν πόλιν σου φύλαττε, Θεογεννῆτορ ἄχραντε, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα τροποῦται πάντα πειρασμὸν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Εἶτα ψάλλομεν οἱ δύο Χοροί. Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνέρ. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Ἀποδείπνων.

Τῇ Παρασκευῇ τῆς αʹ. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικά· μετὰ δὲ τὴν πρώτην στιχολ. λέγομεν κάθισ. σταυρώσιμα τῆς Ὀκτωήχου, καὶ θεοτοκίον· μετὰ δὲ τὴν βʹ. στιχολ. κάθ. τοῦ Κυρίου Ἰωσήφ· ἦχ. βʹ.

Ὁ εὐσχήμων Ἰωσήφ.

Ο Τοῖς πάθεσι τοῖς σοῖς πᾶσιν ἀπάθειαν διδοὺς, τὰ πάθη τῆς σαρκός μου νεκρώσας τῷ Σταυρῷ τῷ θείῳ, καταξίωσον, ἰδεῖν καὶ τὴν σεπτὴν Ἀνάστασίν σου, Κύριε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, σταυροθεοτ.

ΤΩ τιμίῳ Σταυρῷ τοῦ Υἱοῦ σου φυλαττόμενοι, Δέσποινα ἁγνὴ Θεοτόκε, πᾶσαν προσβολὴν τοῦ πολεμήτορος ἅπαντες ῥᾳδίως ἐκτρεπόμεθα· διὸ κατὰ χρέος σε ἀεὶ μακαρίζομεν ὡς Μητέρα τοῦ Θεοῦ, καὶ μόνην ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Μετὰ δὲ τὴν γʹ. στιχολ. κάθισ. τοῦ Κυρίου Θεοδώρου· ἦχος βʹ. Εὐσπλαγχνίας ὑπάρ.

ΤΗς ἁγνείας ὑπάρχων ἡ πηγὴ, τῇ νηστείᾳ συντήρησον ἡμᾶς, ἐλεῆμον· βλέψον εἰς ἡμᾶς τοὺς σοὶ προσπίπτοντας· προέχες τῇ ἐπάρσει τῶν χειρῶν ἡμῶν, ὁ τείνας τὰς παλάμας σου,

ἐν

Digitized by Google

ἐν ξύλῳ σταυρούμενος ὑπὲρ πάντων γηγενῶν, ὁ τῶν ἀσωμάτων μόνος Κύριος.

Δόξα, τὸ αὐτό. Καὶ νῦν σταυροθεοτ. Ὅμοιον.

Η' Παρθένος, καὶ Μήτηρ σου, Χριστὲ, ἐπὶ ξύλου ὁρῶσα σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, Υἱέ μου, ἔλεγε, τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον ἑκουσίως ἐν Σταυρῷ πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου εἰς ϛ'. καὶ τοῦ Τριῳδίου εἰς τὴν τάξιν αὐτῶν· στιχολογοῦμεν καὶ τὴν ε'. Ὠδὴν συνήθως, Ὠδὴ ε'. ἦχος β'. Ὁ φωτισμὸς τῶν ἐν σκότει κειμένων.

ΤΗ'ν ἐν ἐμοὶ καθορῶν ἁμαρτίαν ὁ δολιόφρων σπεύδει, καὶ συμπράττει τῇ ἁμαρτίᾳ: χαίρει γὰρ ὄντως τῇ ἐμῇ ἀπωλείᾳ· ἀλλὰ σύ μοι δίδου διόρθωσιν, Σῶτερ, εἰς ἐκείνου ἀναίρεσιν, δέομαι.

Ο' Τὰς ἀρχὰς θριαμβεύσας τοῦ σκότους ἐν τῷ Σταυρῷ σου, τούτων ἐξελοῦ με τῆς κακουργίας, τὸν ἐμπεσόντα εἰς βυθὸν ἁμαρτίας, καὶ εἰς βόθρον ἀτόπων πράξεων, σοῦ δὲ τῷ ἐλέει σωθῆναι ἐλπίζοντα.

Ο' Νεκρωθεὶς ἐν Σταυρῷ ἡπλωμένος, τὴν νεκρωθεῖσαν ζώωσον ψυχήν μου τῇ ἁμαρτίᾳ· καὶ τὴν σεπτήν σου ἐξανάστασιν φθάσαι ἐν εἰρήνῃ, Χριστὲ, ἀξίωσον, πράττοντα τὰ σὰ ἐμμελῶς δικαιώματα.

Θεοτοκίον.

Ο' Φωτισμὸς τῆς ἐμῆς ἀσθενείας, ἡ σωτηρία τῆς ἀμαυρωθείσης, Ἁγνὴ, ψυχῆς μου, σῶσόν με, σῶσον ἀπολλύμενον, Κόρη, καὶ χιτῶνα τῆς ἀφθαρσίας με ἔνδυσον, φθαρέντα δεινοῖς πλημμελήμασιν.

Εἱρμὸς ἄλλος, ἦχος ὁ αὐτός.

Τῆς νυκτὸς διελθούσης, ἤγγικεν.

ΣΥ' ἐν πάθει κενοῦ σαρκὶ σταυρωθῆναι κατεδέξω, μόνε ἀθάνατε, τὸ ἀνθρώπινον γένος ἀπαθανατίζων, καὶ ἀναμορφούμενος, Κύριε.

ΤΗ'ν τοῦ πάθους σου ὕβριν ἡ κτίσις ὁρῶσα, ὅλη μετεβάλλετο, Κύριε, Ἰουδαίων θρηνοῦσα τὴν μιαιφονίαν, ἀλλ' ἠνέχου, σῶσαι τὰ σύμπαντα. Δόξα.

Ω' Τριὰς παναγία, σὺ ἡμῶν λατρεία, σὺ καὶ προσφυγὴ, καὶ κραταίωμα· τοῖς ἐν φύσει μιᾷ σε ἀνυμνολογοῦσιν, ἱλασμὸν πταισμάτων κατάπεμψον.

Θεοτοκίον.

ΠΟλυώνυμε κόρη, χαίροις Θεοτόκε, κιβωτὲ, καὶ στάμνε, καὶ τράπεζα, φωτοφόρε λυχνία, πυρίμορφε βάτε, ὄρος τοῦ Θεοῦ τὸ κατάσκιον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΚΟ'σμῳ, καὶ τοῖς ἐν Κόσμῳ χαίρειν προσειπόντες, νῦν ὡς τῷ Χριστῷ συσταυρούμενοι, ὑπομείνωμεν ὕβριν, χλεύην, καὶ τὰ ἄλλα, ἵνα σὺν αὐτῷ δοξασθῶμεν.

Ὁ Εἱρμός.

ΤΗ'ς νυκτὸς διελθούσης, ἤγγικεν ἡ ἡμέρα, καὶ τὸ φῶς τῷ Κόσμῳ ἐπέλαμψε, διὰ τοῦτο
„ ὑμνεῖ σε τάγματα Ἀγγέλων, καὶ δοξολογοῦσί σε,
„ Κύριε.

Ὠδὴ η'. Τὸν ἐν καμίνῳ τοῦ πυρός.

Ο' Ταπεινώσας σεαυτὸν, ἀνυψώθης ἐν Σταυρῷ δι' εὐσπλαγχνίαν, ἀνυψῶν τὸν πεσόντα βρώσει τοῦ ξύλου ποτέ· διό σε, μόνε ὑπεράγαθε, τὸν δεδοξασμένον ὑμνοῦμεν εἰς αἰῶνας.

Α'Προσεξίας νυσταγμῷ ἁμαρτίας τὸν βαρὺν ὑπέστην ὕπνον· ἀλλὰ σὺ ὁ ὑπνώσας ἐπὶ Σταυροῦ δι' ἐμὲ, Χριστέ μου, ἔγειρον πτωθέντα με· μή με καταλάβῃ ἡ νὺξ ἡ τοῦ θανάτου.

Ε'Κτυφλωθεὶς ταῖς ἡδοναῖς, περιφέρω τὴν ψυχὴν ἐσκοτισμένην, καὶ γελᾷ καθορῶν με ὁ δολιόφρων ἐχθρός· διό με φώτισον, καὶ λύτρωσαι τούτου κακίας, Χριστὲ, εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Ε'Ν ἀμελείᾳ τὴν ζωὴν δαπανήσας, νυσταγμῷ τῆς ἁμαρτίας τὴν ψυχὴν ἐβαρύνθην, τῇ ἀκοιμήτῳ δέ σου πρεσβείᾳ προστρέχω, μὴ δῷς με εἰς θάνατον, Κόρη πανάχραντε, ὑπνῶσαι.

Ἄλλος. Τὸν ἐν τῇ βάτῳ Μωσῇ.

Α'Κάνθαις στεφανωθεὶς, καὶ στολὴν ἐκ πορφύρας ἐνδυσάμενος, ὤφθης ὡραιότατος, Χριστὲ, τῷ κάλλει ὑπὲρ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων, τῇ δόξῃ ἀπαστράπτων.

ΧΟλὴν, καὶ ὄξος πιὼν, δύο ῥεῖθρα προχέεις ζωῆς, καὶ ἀφθαρσίας ἐκ τῆς θείας πλευρᾶς σου τοῖς πιστοῖς σε ὑμνοῦσι, καὶ δοξολογοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

ΘΕότης μία Τριὰς, ἡ ἀμέριστος φύσις, μεριστὴ δὲ προσώποις, τὸ ἀνώλεθρον κράτος, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα, σὲ ἀνυμνολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΘΕογεννῆτορ ἁγνὴ, ἡ οὐράνιος πύλη, ἡ σωτήριος θύρα, πάντων τῶν Χριστιανῶν τὴν δέησιν προσδέχου, τῶν σὲ μακαριζόντων εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΣΤαυρὲ, τὸ σκῆπτρον Χριστοῦ, Ἐκκλησίας τὸ κέρας, Βασιλέων τὸ νῖκος, φύλαξ τῶν Χριστιανῶν· αὐτὸς εἶ φωτισμός μου, αὐτὸς καὶ καύχημά μου εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟ'ν ἐν τῇ βάτῳ Μωσῇ τῆς Παρθένου τὸ θαῦμα ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντά ποτε
„ ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας
„ τοὺς αἰῶνας.

Ὠδὴ

Ὠδὴ θʹ. Ηʹ τὸν πρὸ ἡλίου φω.

Τὴν λελιθωμένην ψυχήν μου ταῖς ἀτόποις ἐνθυμήσεσι τοῦ ῥαντισμοῦ τοῦ αἵματός σου κάθαρον, θεῖε Λόγε, καὶ κοινωνὸν τῆς δόξης σου μὲ ποίησον· ὁ δι' ἐμὲ τὴν ἄδοξον καθυπομείνας, Χριστὲ, σταύρωσιν.

Ὅλος κατεκάμφθην τῷ βάρει τῶν ἀτόπων, Χριστὲ, πράξεων· καὶ συνθρυπτάζων κράζω σοι, φιλάνθρωπε· τῆς ψυχῆς μου τοὺς ἀνιάτους μώλωπας θεράπευσον τῷ σῷ τιμίῳ Αἵματι, ἵνα ὑμνῶ σου τὴν Θεότητα.

Βρῶμα τὴν κακίαν, καὶ πόμα τὴν ἀμέλειαν ποιούμενος ὁ κατὰ πάντα μάτην ἀδιόρθωτος, τῶν βρωμάτων τῇ ἀποχῇ ἀγάλλομαι, οὐ γὰρ τοιαύτην, ἔφησε, νηστείαν ἴσασθαι, ὁ Κύριος. Θεοτοκίον.

Τὴν τῆς ἀποτόμου ἀρχαίας ἀναίρεσιν ἀποφάσεως, καὶ τῆς προμήτορος τὴν ἐπανόρθωσιν· τὴν τοῦ γένους τῆς πρὸς Θεὸν αἰτίαν οἰκειώσεως, τὴν πρὸς τὸν Κτίστην γέφυραν, σὲ, Θεοτόκε, μεγαλύνομεν.

Εἱρμὸς ἄλλος. Τὴν ἁγνὴν, καὶ ἄχραντον.

Ξύλῳ σταυρωθέντος σου, ἡ κτίσις ἐδονεῖτο. Θεὸς ὑπάρχων, πέπονθας σαρκικῶς διὰ σπλάγχνα οἰκτιρμῶν, ἵνα σώσῃς ἡμᾶς.

Τοῦ Σταυροῦ σου, Κύριε, ἡ δύναμις μεγάλη· καὶ γὰρ τυποῦντες τοῦτον ἐν αὐτοῖς, εὐθὺς δαιμόνων τὴν ἰσχὺν ἀποκρουόμεθα.

Δόξα.

Μονὰς τρισυπόστατε, Τριὰς ἑνικωτάτη Κυριαρχία, φύσις ἰσοκλεὴς, Πάτερ, Υἱὲ, καὶ θεῖον Πνεῦμα, σῶσον πάντας ἡμᾶς.

Θεοτοκίον.

Χαῖρε ἱλαστήριον τοῦ Κόσμου, Θεοτόκε· ἐν ᾧ προστρέχοντες πάντες ἁμαρτωλοὶ πρὸς Θεὸν, καταλλαγὰς ἀεὶ εὑρισκόμεθα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῦ Σταυροῦ σου, Κύριε, τῇ θείᾳ δυναστείᾳ ἐνίσχυσόν με, ἄμωμον, καὶ ἁγνὸν τὸν καιρόν σοι τῆς νηστείας προσενέγκασθαι.

Ὁ Εἱρμός.

Τὴν ἁγνὴν, καὶ ἄχραντον Μητέρα, καὶ Παρθένον ᾠδαῖς ᾀσμάτων ἅπαντες οἱ πιστοὶ, ὡς Θεοτόκον, μεγαλύνομεν.

Τὸ φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ ἰδιόμελον· ἦχος πλ. δʹ.

Τὸ τῆς νηστείας διάγγελμα περιχαρῶς ὑποδεξώμεθα· εἰ γὰρ ταύτην ὁ προπάτωρ διεφυλάξατο, τὴν τῆς Ἐδὲμ ἔκπτωσιν οὐκ ἂν ὑπέστημεν· ὡραῖος ἦν εἰς ὅρασιν, καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας καρπός· μὴ συναρπασθῶμεν τοῖς βλεφάροις· μηδὲ γλυκανθήτω ἡμῶν ὁ φάρυγξ τοῖς τιμωμένοις βρώμασι· μετὰ δὲ τὴν μετάληψιν ἀτιμαζομένοις· φύγωμεν τὴν ἀκρασίαν, καὶ τοῖς μετὰ κόρον πάθεσιν οὐχ ὑποβληθῶμεν· ἐνσημανθῶμεν τῷ Αἵματι τοῦ ὑπὲρ ἡμῶν ἀχθέντος εἰς θάνατον ἑκουσίως· καὶ οὐ μὴ θίγῃ ἡμῶν ὁ ὀλοθρευτής· καὶ φαγοῦμεν Πάσχα Χριστοῦ τὸ ἱερώτατον εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Μαρτ.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι; Χερουβὶμ, ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστός· Σεραφίμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν. Ἀγγέλους; τὸ γὰρ σῶμα ἀπεστράφητε. Δυνάμεις; ἐνεργεῖτε ἐν τοῖς θαύμασι· πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα, πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Ὡς τοῦ παραδόξου.

Ὡς ἔβλεψέ σε σταυρούμενον ἐν τῷ κρανίῳ, Σωτὴρ, ἠλλοιοῦτο ἡ σύμπασα κτίσις, καὶ συνείχετο, δονουμένη μὴ φέρουσα· ἡ δὲ Παρθένος ἁγνὴ, καὶ Μήτηρ σου ὀδυρομένη, σοὶ ἀνεβόησεν· οἴμοι ὦ τέκνον μου, Σῶτερ μου γλυκύτατε, τί τὸ καινὸν τοῦτο, καὶ παράδοξον, καὶ ξένον θέαμα;

Τὸ, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία· ἡ ά. Ὥρα ἄνευ στιχολογ.

Εἰς τὴν Τριθέκτην τὸ τροπάριον τῆς Προφητείας· ἦχος πλ. δʹ.

Τὸν πολυαμάρτητον ἡμῶν βίον, καὶ τὸν ἀμετανόητον τρόπον οἰκτιρμοῖς προκατάλαβε, Κύριε· ἐκτός σου ἄλλον οὐκ οἴδαμεν ζωῆς, καὶ θανάτου δεσπόζοντα· σῶσον ὡς φιλάνθρωπος.

Προκείμενον. Ψαλ. ιζ. ἦχος δʹ.

Ἀγαπήσω σε Κύριε, ἡ ἰσχύς μου.

Στιχ. Ὁ Θεός μου, βοηθός μου, καὶ ἐλπίς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἰδοὺ ὁ Δεσπότης Κύριος Σαβαὼθ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας, καὶ Ἱερουσαλὴμ ἰσχύοντα, καὶ ἰσχύουσαν, ἰσχὺν ἄρτου, καὶ ἰσχὺν ὕδατος, γίγαντα, καὶ ἰσχύοντα, καὶ ἄνθρωπον πολεμιστὴν, καὶ δικαστὴν, καὶ προφήτην, καὶ στοχαστὴν, καὶ πρεσβύτερον, καὶ πεντηκόνταρχον· καὶ θαυμαστὸν σύμβουλον, καὶ σοφὸν ἀρχιτέκτονα, καὶ συνετὸν ἀκροατήν· καὶ ἐπιστήσω νεανίσκους ἄρχοντας αὐτῶν, καὶ ἐμπαῖκται κυριεύσουσιν αὐτῶν· καὶ συμπεσεῖται ὁ λαὸς, ἄνθρωπος πρὸς ἄνθρωπον, καὶ ἄνθρωπος πρὸς τὸν πλησίον αὐτοῦ· προσκόψει τὸ παιδίον πρὸς τὸν πρεσβύτην, καὶ ὁ ἄτιμος πρὸς τὸν ἔντιμον· ὅτι ἐπιλήψεται ἄνθρωπος τοῦ ἀδελφοῦ αὐτοῦ, ἢ τοῦ οἰκείου τοῦ πατρὸς αὐτοῦ, λέγων· ἱμάτιον ἔχεις, ἀρχηγὸς ἡμῶν γενοῦ, καὶ τὸ βρῶμα τὸ ἐμὸν ὑπὸ σὲ ἔστω· καὶ ἀποκριθεὶς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐρεῖ· οὐκ ἔσομαί σου ἀρχηγός· οὐ γάρ ἐστιν ἐν τῷ οἴκῳ μου ἄρτος, οὐδὲ ἱμάτιον· οὐκ ἔσομαι ἀρχηγὸς τοῦ λαοῦ τούτου· ὅτι ἀνεῖται Ἱερουσαλὴμ, καὶ Ἰουδαία συμπέπτωκε· καὶ αἱ γλῶσσαι αὐτῶν μετὰ ἀνομίας τὰ πρὸς Κύριον ἀπειθοῦντες· διότι ἐταπεινώθη ἡ δόξα αὐτῶν.

Digitized by Google

αὐτῶν· καὶ ἡ αἰσχύνη τοῦ προσώπου αὐτῶν ἀντέστη αὐτοῖς· τὴν δὲ ἁμαρτίαν αὐτῶν, ὡς Σοδόμων, ἀνήγγειλαν, καὶ ἐνεφάνισαν· οὐαὶ τῇ ψυχῇ αὐτῶν, διότι βεβούλευνται βουλὴν πονηρὰν καθ' ἑαυτῶν, εἰπόντες· δήσωμεν τὸν δίκαιον, ὅτι δύσχρηστος ἡμῖν ἐστι· τοίνυν τὰ γεννήματα τῶν ἔργων αὐτῶν φάγονται· οὐαὶ τῷ ἀνόμῳ· πονηρὰ συμβήσεται αὐτῷ κατὰ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ· λαός μου, οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς· καὶ οἱ ἀπαιτοῦντες κυριεύσουσιν ὑμῶν· λαός μου, οἱ μακαρίζοντες ὑμᾶς, πλανῶσιν ὑμᾶς· καὶ τὸν τρίβον τῶν ποδῶν ὑμῶν ταράσσουσιν· ἀλλὰ νῦν καταστήσεται εἰς κρίσιν Κύριος· καὶ στήσει εἰς κρίσιν τὸν λαὸν αὐτοῦ· αὐτὸς γὰρ Κύριος εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων τοῦ λαοῦ, καὶ μετὰ τῶν ἀρχόντων αὐτοῦ.

Προκείμενον, Ψαλ. ιη΄. ἦχος πλ. β΄.

Κύριε βοηθέ μου, καὶ λυτρωτά μου.

Στιχ. Οἱ Οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ.

Ἰστέον, ὅτι τὴν Ἀκολουθίαν τοῦ Μηναίου τοῦ λαχόντος Ἁγίου τῷ Σαββάτῳ, καὶ τῇ Κυριακῇ ψάλλεται εἰς τὸ Ἀπόδειπνον, ἢ ὅτε βούλεται ὁ Ἐκκλησιάρχης.

Τῇ Παρασκευῇ Ἑσπέρας εἰς τὸ λυχνικὸν, μετὰ τὴν συνήθη στιχολογ. εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν στιχη. τὸ ἰδιόμελον τῆς ἡμέρας δίς· ἦχος πλ. α΄.

Δεῦτε πιστοὶ, ἐπεργασώμεθα ἐν φωτὶ τὰ ἔργα τοῦ Θεοῦ, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν· πᾶσαν ἄδικον συγγραφὴν ἀφ' ἑαυτῶν τοῦ πλησίον ἀφελώμεθα, μὴ τιθέντες πρόσκομμα τούτῳ εἰς σκάνδαλον· ἀφήσωμεν τῆς σαρκὸς τὴν εὐπάθειαν, αὐξήσωμεν τῆς ψυχῆς τὰ χαρίσματα· δώσωμεν ἐνδεέσιν ἄρτον, καὶ προσέλθωμεν Χριστῷ, ἐν μετανοίᾳ βοῶντες· ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς.

Εἶτα ψάλλομεν καὶ τὰ δ΄. Μαρτυρικὰ τοῦ τυχόντος Ἤχου. Ἔπειτα ἰδιόμελα δ΄. τοῦ ἁγίου Θεοδώρου ἀνὰ μίαν, ἦχος β΄.

Δεῦτε, φιλομάρτυρες πάντες, πνευματικῶς εὐφρανθῶμεν, καὶ πανηγυρίσωμεν· σήμερον γὰρ προτίθεται τράπεζαν μυστικὴν ὁ μάρτυς Θεόδωρος, εὐφραίνουσαν τοὺς φιλεόρτους ἡμᾶς, τοῦ βοῆσαι πρὸς αὐτόν· χαίροις ἀθλοφόρε ἀήττητε, ὁ τὰς ἀπειλὰς τῶν τυράννων ἐπὶ γῆς καταστρεψάμενος· χαίροις ὁ τὸ πήλινόν σου σῶμα διὰ Χριστὸν τὸν Θεὸν ἐκδεδωκὼς ταῖς βασάνοις· χαίροις ὁ ἐν ποικίλοις κινδύνοις δόκιμος στρατιώτης ἀναδειχθεὶς τῆς οὐρανίου στρατιᾶς· διὸ δυσωποῦμέν σε Μαρτύρων ἐγκαλλώπισμα, πρέσβευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Τὴν θεοδώρητον χάριν τῶν θαυμάτων σου, Μάρτυς Θεόδωρε, πᾶσιν ἐφαπλοῖς τοῖς πίστει σοι προστρέχουσι· δι' ἧς εὐφημοῦμέν σε, λέγοντες· αἰχμαλώτους λυτροῦσαι, θεραπεύεις νοσοῦντας· πενομένους πλουτίζεις, καὶ διασώζεις πλέοντας· μάταιον δρασμὸν ἐπέχεις οἰκετῶν· καὶ ζημίας φανέρωσιν ποιεῖς τοῖς συλληθεῖσιν, ἀθλητά· καὶ στρατιώτας παιδεύεις, τῆς ἁρπαγῆς ἀπέχεσθαι· νηπίοις χαρίζεις συμπαθῶς τὰ αἰτήματα, θερμὸς εὑρίσκῃ προστάτης τοῖς ἐπιτελοῦσι σου τὸ ἱερὸν μνημόσυνον· μεθ' ὧν καὶ ἡμῖν, ἀθλητὰ ἱερώτατε, τοῖς ἀνυμνοῦσί σου τὸ μαρτύριον αἴτησαι παρὰ Χριστοῦ τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.

Δῶρον Θεοῦ ὑπέρτατον ἀνεδείχθης, Μάρτυς Θεόδωρε· ὅτι καὶ μετὰ τέλος, ὡς ζῶν, τοῖς προστρέχουσι παρέχεις τὰς αἰτήσεις· ὅθεν υἱὸν ἁρπαγέντα γυναικὸς ποτὲ δορυάλωτον ἐν ἀλλοτρίῳ στρατῷ, ἐπιστᾶσα ἡ χήρα τοῖς δάκρυσι τὸν Ναόν σου κατέβρεχεν· αὐτὸς δὲ, ὡς συμπαθὴς, ἐφ' ἵππῳ λευκῷ ἐπιβὰς, ταύτης τὸν παῖδα ἀοράτως παρέστησας· καὶ μετὰ τοῦτο, καὶ σὺν τούτῳ ἐνεργῶν τοῖς θαύμασιν οὐκ ἔληξας· ἀλλ' αἴτησαι Χριστὸν τὸν Θεὸν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἦχος ὁ αὐτός.

Θείων δωρεῶν ἐπώνυμόν σε γεραίρω, τρισμάκαρ Θεόδωρε· τοῦ φωτὸς γὰρ τοῦ θείου ἄδυτος φωστὴρ ἀναδειχθεὶς, κατέλαμψας ἄθλοις σου τὴν σύμπασαν κτίσιν· καὶ πυρὸς ἀκμαιότερος φανεὶς, τὴν φλόγα κατέσβεσας· καὶ τοῦ δολίου δράκοντος τὴν κάραν συνέτριψας· διὸ ἐν τοῖς ἄθλοις σου Χριστὸς ἐπικαμφθεὶς, ἐστεφάνωσε τὴν θείαν κάραν σου, Μεγαλομάρτυς ἀθλητά· ὡς ἔχων παρρησίαν πρὸς Θεὸν ἐκτενῶς ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. β΄.

Ὀργάνῳ χρησάμενος ὁ δυσμενὴς τῷ συναποστάτῃ τυράννῳ, δι' ἐπινοίας χαλεπῆς τὸν νηστείᾳ καθαγνιζόμενον λαὸν εὐσεβῆ τοῖς ἐκ μιαρῶν θυσιῶν κεχραμένοις βρώμασιν ἐπειρᾶτο καταμιαίνειν· ἀλλ' αὐτὸς τὸ ἐκείνου μηχάνημα σοφωτέρᾳ διέλυσας ἐπινοίᾳ, ὄναρ ἐπιστὰς τῷ τότε Ἀρχιερεῖ· καὶ τὸ βαθὺ τῆς γνώμης ἀνακαλύπτων, καὶ τὸ ἄτοπον τοῦ ἐγχειρήματος ὑποδηλῶν· καὶ δή σοι χαριστήρια θύοντες, σωτῆρα ἐπιγραφόμεθα, ἐτήσιον ἀνάμνησιν τοῦ γενομένου ποιούμενοι· καὶ τὸ λοιπὸν ἐξαιτούμενοι τῶν ἐπινοιῶν τοῦ πονηροῦ ἀβλαβεῖς περισώζεσθαι ταῖς πρὸς Θεόν σου πρεσβείαις, Μάρτυς Θεόδωρε.

Καὶ νῦν, Θεοτ. τὸ α΄. τοῦ ἤχου τοῦ ὕφους.

Εἴσοδος, Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον ψαλμὸς ιθ΄. ἦχος πλ. α΄. Ἐπακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως. Στίχ.

Ὑπι-

Digitized by Google

Ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι, καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ Οὐρανοῦ, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ· καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ἀνεπλήρωσε σάρκα ἀντ᾽ αὐτῆς· καὶ ᾠκοδόμησε Κύριος ὁ Θεὸς τὴν πλευρὰν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδὰμ, εἰς γυναῖκα, καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ· καὶ εἶπεν Ἀδὰμ, τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνὴ, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη· ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ, καὶ τὴν μητέρα, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν· καὶ ἦσαν οἱ δύο γυμνοὶ ὅ, τε Ἀδὰμ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο· Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ; καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ Παραδείσῳ φαγούμεθα· ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ Παραδείσου, εἶπεν ὁ Θεὸς, οὐ μὴ φάγητε ἀπ᾽ αὐτοῦ, οὐδὲ μὴ ἅψησθε αὐτοῦ ἵνα μὴ θανάτῳ ἀποθάνητε· καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· οὐ θανάτῳ ἀποθανεῖσθε· ᾔδει γὰρ ὁ Θεὸς, ὅτι ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ, καὶ ἔσεσθε ὡς Θεοὶ, γινώσκοντες καλὸν, καὶ πονηρόν· καὶ εἶδεν ἡ γυνὴ, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν· καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν, καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι· καὶ λαβοῦσα ἡ γυνὴ ἀπὸ τοῦ καρποῦ αὐτοῦ, ἔφαγε· καὶ ἔδωκε τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς, καὶ ἔφαγον· καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν, ὅτι γυμνοὶ ἦσαν· καὶ ἔρραψαν φύλλα συκῆς, καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα· καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ Παραδείσῳ τὸ δειλινόν· καὶ ἐκρύβησαν ὅ, τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ Παραδείσου· καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ. Ἀδὰμ ποῦ εἶ; καὶ εἶπε· τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ Παραδείσῳ, καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην· καὶ εἶπεν αὐτῷ· τίς ἀνήγγειλέ σοι, ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι, τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες; καὶ εἶπεν Ἀδάμ· ἡ γυνὴ ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον· καὶ εἶπεν ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον· καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος εἶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς· ἐπὶ τῷ στήθει, καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ἔχθραν θήσω ἀναμέσον σοῦ, καὶ ἀναμέσον τῆς γυναικὸς, καὶ ἀναμέσον τοῦ σπέρματός σου, καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν· καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου, καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει· καὶ τῷ Ἀδὰμ εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου· ἀκάνθας, καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ· ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης· ὅτι γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ· καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωὴ, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

Προκείμενον. Ψαλμὸς κ΄. ἦχος πλ. β΄.

Ὑψώθητι Κύριε ἐν τῇ δυνάμει σου, ᾄσομεν.

Στίχ. Κύριε ἐν τῇ δυνάμει σου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ὁ Θεὸς τῇ σοφίᾳ ἐθεμελίωσε τὴν γῆν· ἡτοίμασε δὲ Οὐρανοὺς ἐν φρονήσει· ἐν αἰσθήσει αὐτοῦ ἄβυσσοι ἐρράγησαν· νέφη δὲ ἐρρύει δρόσον· υἱὲ μὴ παραρρυῇς, τήρησον δὲ ἐμὴν βουλὴν, καὶ ἔννοιαν, ἵνα ζήσῃ ἡ ψυχή σου, καὶ χάρις ᾖ ἐπὶ σῷ τραχήλῳ· ἔσται δὲ ἴασις ταῖς σαρξί σου, καὶ ἐπιμέλεια τοῖς ὀστέοις σου· ἵνα πορεύῃ πεποιθὼς ἐν εἰρήνῃ πάσας τὰς ὁδούς σου· ὁ δὲ πούς σου μὴ προσκόπτῃ· ἐὰν γὰρ κάθῃ, ἄφοβος ἔσῃ· ἐὰν δὲ καθεύδῃς, ἡδέως ὑπνώσεις, καὶ οὐ φοβηθήσῃ πτόησιν ἐπελθοῦσαν, οὐδὲ ὁρμὰς ἀσεβῶν ἐπερχομένας, ὁ γὰρ Κύριος ἔσται ἐπὶ πασῶν ὁδῶν σου, καὶ ἐρείσει σὸν πόδα, ἵνα μὴ σαλευθῇς· μὴ ἀπόσχου εὖ ποιεῖν ἐνδεῆ· ἡνίκα ἂν ἔχῃ ἡ χείρ σου βοηθεῖν, μὴ εἴπῃς, ἐπανελθὼν ἐπάνηκε, καὶ αὔριον δώσω, δυνατοῦ σου ὄντος εὖ ποιεῖν· οὐ γὰρ οἶδας, τί τέξεται ἡ ἐπιοῦσα· μὴ τεκτήνῃ ἐπὶ σὸν φίλον κακὰ, παροικοῦντα, καὶ πεποιθότα ἐπὶ σοί· μὴ φιλεχθρήσῃς πρὸς ἄνθρωπον μάτην, ἵνα μήτι εἰς σὲ ἐργάσηται κακόν·. μὴ κτήσῃ κακῶν ἀνδρῶν ὀνείδη, μηδὲ ζηλοῦ τὰς ὁδοὺς αὐτῶν, ἀκάθαρτος γὰρ ἔναντι Κυρίου πᾶς παράνομος· ἐν δὲ δικαίοις οὐ συνεδριάζει· κατάρα Κυρίου ἐν οἴκοις ἀσεβῶν, ἐπαύλεις δὲ δικαίων εὐλογοῦνται. Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν.

Τὸ, Καταξίωσον. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς



Bayerische Staatsbibliothek München

Digitized by Google

Πεφημασμένων. Μετὰ δὲ τὴν Ὀπισθάμβωνον Εὐχὴν ψάλλομεν τὸν παρόντα ἱκετήριον Κανόνα τοῦ ἁγίου Θεοδώρου. Προτιθέντες δὲ καὶ Κόλυβα, λέγομεν τό, Κύριε εἰσάκουσον τῆς προσευχῆς μου.

Εἶτα τὸ, Θεὸς Κύριος. Καὶ εὐθὺς, τὸ παρὸν Τροπάριον, ἦχος β΄.

Μεγάλα τὰ τῆς πίστεως κατορθώματα, ἐν τῇ πηγῇ τῆς φλογὸς, ὡς ἐπὶ ὕδατος ἀναπαύσεως ὁ ἅγιος Μάρτυς Θεόδωρος ἠγάλλετο· πυρὶ γὰρ ὁλοκαυτωθεὶς, ὡς ἄρτος ἡδὺς τῇ Τριάδι προσενήνεκται, ταῖς αὐτοῦ ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτ.

Πάντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ, Θεοτόκε, μυστήρια, τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινὸν, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθὺς ὁ Ν. εἶτα ὁ παρὼν Κανὼν, οὗ ἡ ἀκροστιχίς· Θεοῦ σε μέλπω δωρεὰν ἐπώνυμον· ᾠδὴ α΄. ἦχ. πλ. δ΄. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν. Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Θεοῦ σε, Θεόδωρε, ἐραστὴν εἰδὼς, καὶ τῷ πόθῳ τῷ ἀφύκτῳ συνδεθεὶς, ψυχήν τε, καὶ σῶμα, καὶ τοὺς λόγους τῶν ἐγκωμίων ἀνατίθημι.

Ἐγράφετο δόγμα θεοστυγὲς, θυσίαν εἰδώλοις, καὶ οὐ ζῶντι φέρειν Θεῷ, ἀλλ' ἤχθης οὐ θύσων, ἀθλοφόρε, τῷ δὲ Θεῷ προσαχθησόμενος.

Ὁ Ἔρωτι θείῳ καθηλωθεὶς, Θεοῦ τοῦ ὑψίστου τοῦ Υἱοῦ τοῦ μονογενοῦς, Θεόδωρε μάρτυς, ἐστρατεύθης, καὶ τῶν βραβείων οὐ διήμαρτες.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων, καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς, τὸν Κτίστην γὰρ τούτων, ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ὠδὴ γ΄. Σὺ εἶ τὸ στερέωμα.

Ὕμνον ἐκ χειλέων μου, καὶ ἐξ ὀδυνηρᾶς δέησιν φέρω ψυχῆς, ἣν κατοικτειρήσαις, ἀθλοφόρε Θεόδωρε.

Σάρκα καθυπέταξας τῷ αὐτοκράτορι, ἔνδοξε μάρτυς, νοΐ, καὶ δι' ἀμφοτέρων θεραπεύεις τὸν κτίσαντα.

Ἔστης ἐπὶ βήματος τυραννικοῦ, Χριστὸν ἄνακτα θεολογῶν, θύειν γὰρ κιβδήλοις ἀπηρνήσω, Θεόδωρε.

Θεοτοκίον.

Σὲ πάντες κεκτήμεθα καταφυγὴν, καὶ τεῖχος ἀεὶ, Χριστιανοὶ, σὲ δοξολογοῦμεν ἀσιγήτως, ἀνύμφευτε.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

Μυστηρίων γευσάμενος θείων ἐν συνέσει, μάρτυς Θεόδωρε, ἀνεπαίσχυντον ἀνάρρυσιν τῆς Θεοῦ γεννήσεως ὡμολόγησας.

Ἐμπαθῆ τὴν Θεότητα ᾤοντο τοῖς πάθεσιν οἱ λατρεύοντες, οὓς ἐν πνεύματι διήλεγξας, ἀθλητὰ Θεόδωρε, φωτιζόμενος.

Ἀγρευτὴν δι' ἐντάξεως τῶν σὲ ἀνυμνούντων, μάκαρ Θεόδωρε, ἐκ ποικίλων περιστάσεων, καὶ παθῶν γενέσθαι, ἱκετεύομεν.

Θεοτοκίον.

Ἡ τὸν στάχυν βλαστήσασα τὸν ζωοποιὸν ἀνήροτος ἄρουρα, τὸν παρέχοντα τῷ Κόσμῳ ζωὴν, Θεοτόκε, σῶζε τοὺς ὑμνοῦντάς σε.

Ὠδὴ ε΄. Ὀρθρίζοντες βοῶ.

Ποθεῖτε τὸν ποθήσαντα Κύριον, ἐπιφώνεις, ἀθλητὰ Θεόδωρε, τοῖς συναθλοῦσί σοι Μάρτυσιν.

Ὡς ζήλῳ, ἀθλοφόρε, πυρούμενος τὴν καρδίαν, θεὰν τὴν ψευδώνυμον σὺν τῷ τεμένει κατέφλεξας.

Δυνάμει ἀηττήτῳ, Θεόδωρε ἀθλοφόρε, βαρβάρων θρασύτητα, κάμοῦ τὰ πάθη ἀνάλωσον.

Θεοτοκίον.

Παρθένον μετὰ τόκον ὑμνοῦμέν σε, Θεοτόκε, σὺ γὰρ τὸν Θεὸν Λόγον σαρκὶ τῷ Κόσμῳ ἐκύησας.

Ὠδὴ ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς χαῦνον, ὡς ἀσθενὲς θεῶν ματαίων τὸ φρύαγμα, πρὸς ἄμυναν ἑαυτῶν, ἀνθρώπων ἐδέετο, ἐνστάσει νικώμενον ἀψευδῶν μαρτύρων, κηρυττόντων τὴν ἀλήθειαν.

Δίς.

Ῥωσθεὶς δυνάμει Θεοῦ, Μαρτύρων κλέος Θεόδωρε, τὰς στρέβλας τῶν ἀσεβῶν, νηπίων τοξεύματα ἑώρας, μακάριε, τὸ διαιωνίζον τῶν μελλόντων προορώμενος.

Θεοτοκίον.

Ῥυσθήσομαι τῶν δεινῶν πταισμάτων ταῖς ἱκεσίαις σου, Θεογεννῆτορ ἁγνὴ, καὶ τεύξομαι, πάναγνε, τῆς θείας ἐλλάμψεως τοῦ ἐκ σοῦ ἀφράστως σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Τὸ Κοντάκιον, ἦχος πλ. δ΄.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα ἔνδον λαβὼν, ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας, πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐμαστίχθης τὸ σῶμα ὑπὲρ τοῦ μαστιχθέντος Λόγου σαρκὶ δι' ἡμᾶς, καὶ τούτῳ εὐχαρίστως γηθόμενος ἐβόας, ἀθλοφόρε Θεόδωρε, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὡς ἐν τάφῳ ἐτέθη, καὶ ἑκὼν ἐσφραγίσθη ὁ λυτρωτὴς τοῦ παντὸς· εἱρκτῇ ἐσφραγισμένῃ παρῴκησας, κραυγάζων, ἀθλοφόρε Θεόδωρε, ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Νε-

Digitized by Google

Νεκρωθεὶς, καὶ τὰ πάθη τῆς σαρκὸς προαιρέσει ἐκτιναξάμενος, οὐ βρώσει, ἀθλοφόρε, τῷ πόθῳ δὲ τῷ θείῳ, ἐμμελῶς τρεφόμενος· ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Ἐν φρουρᾷ, ἀθλοφόρε, ὥσπερ ἐν τῇ καμίνῳ τοὺς νεανίας ποτὲ, ὁ εἷς τῆς ἀκηράτου Τριάδος σὲ θαῤῥύνει ὀραθεὶς, ἀναμέλποντα, ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Θεοτοκίον.

Τὴν ἡμῶν σωτηρίαν, ὡς ἠθέλησας, Σῶτερ, οἰκονομήσασθαι, ἐν μήτρᾳ τῆς Παρθένου κατῴκησας, τῷ Κόσμῳ ἣν προστάτιν ἀνέδειξας· ὁ τῶν Πατέρων ἡμῶν Θεός.

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Πεπηρωμένος ἔννοιαν τῶν ἀνόμων ὁ ἔξαρχος, τῷ θεοσεβεῖ σοι ἀσεβῶς ἐπέπληττε· τί μάτην εἰς ἄνθρωπον βιοθανῆ, ἀνόητε, ἔθου τὰς ἐλπίδας; ἀλλὰ σὺ ἀνεβόας· οἱ παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε.

Ὡς νουνεχὴς, καὶ φρόνιμος οἰκονόμος τῆς χάριτος, τῇ δεδωρημένῃ ἐκ Θεοῦ σοι χάριτι ἐβόας, Θεόδωρε, τῷ ἀσεβῶς προστάσσοντι, αὕτη μοι αἰχυόν, καὶ τοῖς μέλπουσιν ἥττω· οἱ παῖδες εὐλογεῖτε.

Δίς.

Νεανικῶς ἠγώνισαι, ἀποτόμως διήλεγξας· τί ἀνοηταίνεις, τῷ τυράννῳ ἔκραζες, προστάττων τοῖς κτίσμασι ψευδολατρεῖν, τὸν κτίσαντα ἐγκαταλιπόντες; ἀλλ' ἐγὼ ἀναμέλπω, οἱ παῖδες εὐλογοῦσιν, Ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Σωματικαῖς μορφώσεσι, καὶ ποικίλοις αἰνίγμασι, καὶ συμβολικαῖς, καὶ τυπικαῖς ἐμφάσεσι τὴν σὴν προεμήνυον οἱ θεηγόροι γέννησιν, τὴν ὑπερφυᾶ, καὶ θαυμαστήν σου, Παρθένε· διό σε γηθέντες εὐσεβῶς ἀνυμνοῦμεν, Χριστὸν ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Σὲ τὴν ἀπειρόγαμον.

Ὕλη μαρτυρίου σου Θεοῦ, Θεόδωρε, ὁ πόθος, ὅθεν σοι καὶ γέγονε τῷ ἐν ξύλῳ τὸ σῶμα πυρὶ, δι' οὗ πρὸς τὸ θεῖον χαίρων πῦρ ἐξεδήμησας, ἀθλοφόρε θεραπευτὰ Θεοῦ Θεόδωρε.

Μάρτυς παναοίδιμε κατέφλεξας, οὐ κατεφλέχθης· σὺ γὰρ τὴν ἀπάτην ἔφλεξας, τῷ Θεῷ δὲ παρέστασαι ζῶν, καὶ ἐν αὐτῷ μαρτυρικῶς εὐφραινόμενος, ἀθλοφόρε θεραπευτὰ Θεοῦ Θεόδωρε.

Ἕνα σε γινώσκομεν Χριστὸν, τὸν ἕνα τῆς Τριάδος ἐν δυσὶ τελείαις φύσεσι, τὸν λαόν σου διάσωσον, τοῦτον ὃν ἐκτήσω τῷ τιμίῳ σου αἵματι, Θεοδώρου τοῦ ἀθλοφόρου ταῖς ἐντεύξεσι.

Θεοτ.

Σὲ τὴν τὸν ἀόρατον Θεὸν βαστάσασαν ἀγκάλαις, τὸν ἐν Οὐρανοῖς ὑμνούμενον ὑπὸ πάσης Δυνάμεως, καὶ διὰ σοῦ ἡμῖν δωρούμενον πάντοτε σωτηρίαν ἐν περιστάσει, μεγαλύνομεν.

Ὁ Εἱρμός.

Σὲ τὴν ἀπειρόγαμον Θεοῦ Μητέρα, καὶ Παρθένον· σὲ τὴν ὑπὲρ νοῦν κυήσασαν διὰ λόγου τὸν ὄντως Θεὸν, τὴν ὑψηλοτέραν τῶν ἀχράντων Δυνάμεων, ἀσιγήτοις δοξολογίαις μεγαλύνομεν.

Καὶ εὐθὺς τὸ Τρισάγιον. καὶ τὸ τροπάριον τοῦ Ἁγίου τὸ, **Μεγάλα τὰ τῆς πίστεως κατορθώματα.** Δόξα, τὸ Κοντάκιον τοῦ Ἁγίου, ἦχ. πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας, πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

Ὡς προστασίαν ἅπαντες, καὶ κραταιὰν ἀντίληψιν οἱ ἐπταικότες κεκτήμεθα, πάναγνε, σοῦ τὴν θερμὴν βοήθειαν, Παρθενομῆτορ Μαρία, Χριστιανῶν σωτηρία· διὸ μὴ παύσῃ ὑπὲρ ἡμῶν δυσωποῦσα τὸν Σωτῆρα, δωρήσασθαι τὴν συγχώρησιν.

Καὶ γίνεται ἡ εὐλόγησις τῶν Κολύβων. Εἶτα, **Εἴη τὸ ὄνομα Κυρίου,** καὶ τὸ, **Εὐλογήσω τὸν Κύριον,** καὶ δίδοται τὸ κατακλαστὸν παρὰ τοῦ Ἱερέως, καὶ Ἀπόλυσις. Καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, μεταλαμβάνοντες οἴνου, καὶ ἐλαίου διὰ τὸν Ἅγιον. Τοῦτο γὰρ παρελάβομεν εἰς τὴν Λαύραν τοῦ Ὁσίου πατρὸς ἡμῶν Σάββα, καὶ τοῦ Κοινοβίου τοῦ Ὁσίου, καὶ μεγάλου Εὐθυμίου· ἀλλ' οὐ ποιοῦμεν αὐτὸ νῦν διὰ τὸ τῆς ἡμέρας αἰδέσιμον. Δεῖ γινώσκειν, ὅτι ἐν πάσαις ταῖς Παρασκευαῖς τῆς ἁγίας, καὶ μεγάλης Τεσσαρακοστῆς εἰς τὸ Ἑσπερινὸν, καὶ εἰς τὸ Ἀπόδειπνον μετανοίας οὐ ποιοῦμεν, εἰ μὴ τὰς τετυπωμένας ἐν τῇ Προηγιασμένῃ· ἤγουν, μετὰ τὸ, **Κατευθυνθήτω,** μετανοίας γ'. μετὰ τὴν Εἴσοδον τῶν ἁγίων Δώρων μετανοίας γ'. καὶ εἰς τὸ, Εἴη τὸ ὄνομα Κυρίου, μετανοίας γ'. Ἐν δὲ τοῖς Ἀποδείπνοις ψάλλομεν τοὺς ἀναπαυσίμους Κανόνας τοῦ ἐνορδίνου ἤχου ἐν τῷ Κοιμητηρίῳ. Τοὺς δὲ Κανόνας τοῦ Μηναίου, ἤγουν τοῦ παρόντος Σαββάτου, καὶ τῆς Κυριακῆς ψάλλομεν, ὅταν δοκεῖ τῷ Ἐκκλησιάρχῃ. Τὸν μὲν ἕνα ψάλλομεν ἐν τοῖς Ἀποδείπνοις τῆς Παρασκευῆς. Τὸν δὲ ἕτερον Κανόνα ψάλλομεν ἐν τῷ Ἀποδείπνῳ τῆς Κυριακῆς, οὕτω ποιοῦμεν ἐν πάσαις ταῖς Παρασκευαῖς Ἑσπέρας τῆς ἁγίας, καὶ μεγάλης Τεσσαρακοστῆς.

Σαββάτῳ Πρώτῳ τῶν ἁγίων Νηστειῶν εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ἑξάψαλμον ψάλλομεν τὸ, Θεὸς **Κύριος**, εἰς ἦχον β'. καὶ λέγομεν τὸ τροπ. τοῦ ἁγίου Θεοδώρου ἐκ δευτέρου. **Μεγάλα τὰ τῆς** πί-

πίστεως κατορθώματα· καὶ τὸ θεοτ. ἅπαξ. Πάντα ὑπὲρ ἔννοιαν, καὶ ἡ συνήθως στιχολ. μετὰ δὲ τὴν πρώτην στιχολ. ψάλλομεν καθίσ. μαρτυρικὰ τῆς Ὀκτωήχου τοῦ τυχόντος ἤχου μετὰ καὶ τοῦ Θεοτοκίου. Μετὰ δὲ τὴν β΄. στιχολ. ψάλλομεν τὰ παρόντα καθίσ. τοῦ ἁγίου Θεοδώρου.

Ἦχος γ΄. Θείας πίστεως.

ΖΈων πίστεως ὀρθοδοξίᾳ, πλάνην ἔσβεσας κακοδοξίας, καταργήσας τῶν εἰδώλων τὸ ἄθεον, καὶ ὁλοκαύτωμα θεῖον γενόμενος, θαυματουργίαις δροσίζεις τὰ πέρατα. Μάρτυς ἔνδοξε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον κάθ. τοῦ Ἁγίου Ὅμοιον.

ΘΕῖον δῶρον σε πρὸς σωτηρίαν πάσῃ δέδωκε τῇ Οἰκουμένῃ ὁ ἐν τοῖς ἄθλοις δυναμώσας σε Κύριος, τὰς ψυχικὰς ἡμῶν νόσους ἰώμενος, καὶ τῶν σωμάτων τὰ πάθη τροπούμενος, Μάρτυς Θεόδωρε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὁ αὐτός.

ΗῙ Τὸν ἀχώρητον Θεὸν ἐν μήτρᾳ σου, Παρθένε ἄχραντε, κυοφορήσασα, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς ἀρρεύστως ἀνατείλαντα Λόγον ἐνυπόστατον, καὶ Υἱὸν ὁμοούσιον· τοῦτον ἐκδυσώπησον σὺν Προφήταις, καὶ Μάρτυσιν, Ὁσίοις, Ἀσκηταῖς, καὶ Δικαίοις, δοῦναι ἡμῖν λύσιν πλημμελημάτων.

Εἶτα ἀναγινώσκομεν τὸ Μαρτύριον τοῦ Ἁγίου. Τὸ δὲ Ἐγκώμιον τοῦ ἁγίου Γρηγορίου Νύσσης ἀναγινώσκεται εἰς τὴν τράπεζαν, καθ᾽ οὕτως ὁ Ν. καὶ ὁ Κανὼν τοῦ Ἁγίου τῆς Μονῆς κατ᾽ ἦχον μετὰ τῶν Εἱρμῶν εἰς ϛ΄. καὶ τοῦ ἁγίου Θεοδώρου εἰς η΄. στιχολογοῦμεν δὲ καί, τῷ Κυρίῳ ᾄσωμεν, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς. Τήρων ὁ κλεινός, δόξα πρώτῳ Σαββάτῳ· ἐν δὲ τοῖς πρώτοις τροπαρίοις τοῦ Κανόνος ἑτέρα ἀκροστιχίς. Ὁ Ἰωάννης· ποίημα τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἰωάννου Μητροπολίτου Εὐχαΐτων.

Ὠδὴ α΄. ἦχ. δ΄. Ἀνοίξω τὸ στόμα μου.

ΟῙ Πάντων ἐπέκεινα σὲ τὴν ἀρρήτως γεννήσασαν ἁπάντων προέθηκε τῶν ἑαυτοῦ ἐκλεκτῶν, ὅθεν σήμερον τὸν τούτου στεφανίτην ὑμνοῦντες, πανύμνητε, σοὶ προεξάρχομεν.

ΤΟν μέγαν ἐν Μάρτυσι, τὸν ἀθλητὴν τὸν ὑπέρλαμπρον, τὸν ὀνομαστότατον, καὶ περιβόητον, τὸν ἐν θαύμασιν ἀπ᾽ ἄκρων γῆς εἰς ἄκρον ἐπίσημον ᾄσμασι μέλψω Θεόδωρον.

ΗῙ Μέρα εὐφρόσυνος ἐν ταῖς πενθήμοις ἀνέτειλε, καὶ τὴν σκυθρωπότητα τούτων ἐφαίδρυνε, προεόρτια, προοίμια μακρόθεν, ἐκλάμψασα χάριτι τοῦ θείου Μάρτυρος.

ΡἉντίζει καθάρσια τὴν Ἐκκλησίαν τοῖς αἵμασι τὸ ἅγιον σφάγιον, ὃ προσελάβετο ὁ τεθυμμένος, καὶ θῦμα δεδειγμένος, τὸν ὑπεραθλήσαντα τῆς θείας δόξης αὐτοῦ.

Θεοτοκίον.

ΩῬαῖον κἂν ἄωρον τὸ ἑορτάζειν νενόμισται. ἡ γὰρ ὡραΐσασα τὰ πάντα, Δέσποινα, καὶ νῦν ἔδειξε τῆς μνήμης κοινωνοῦσα τῷ προκινδυνεύοντι ταύτης δι᾽ αἵματος.

Ἕτερος Κανὼν τοῦ αὐτοῦ Εὐχαΐτων.

Ὠδὴ α΄. ἦχ. πλ. β΄. Ὡς ἐν ἠπείρῳ πεζεύσας.

ΟῙ Θαυμαστὸς ἐν Ἁγίοις ὄντως Θεὸς ἐν ἐμοὶ θαυμάστωσον τὰ ἐλέη σου, Χριστέ, λόγον μοι δωρούμενος, ὡς ἂν τὰ θαυμάσια τοῦ σοῦ αἰνέσω Μάρτυρος.

ΤΟ στερρὸν ἐν τοῖς ἄθλοις, καὶ καρτερὸν ἐν τοῖς πόνοις ἔδειξας, ἀθλοφόρε τοῦ Χριστοῦ· τὸ ταχὺ δὲ πάλιν ἐφ᾽ ἡμᾶς βοηθείας φανερὸν τῆς σῆς, Θεόδωρε.

ΤΗν εὐσεβῆ τῶν Πατέρων πίστιν ψυχῆς τῆς αὐτοῦ ὁ τύραννος ἀπωσάμενος κακῶς, ἀσεβῆ ἠθέλησε βουλήν, τῷ Θεῷ προσκεκρουκὼς ἀεὶ πορεύεσθαι.

Θεοτοκίον.

ΘΕορρημόνων προρρήσεις πάλαι ἀνδρῶν ἐπὶ σοὶ πεπλήρωνται, Μητροπάρθενε, σαφῶς, ὡς Θεὸν τεκοῦσα ἀληθῆ, καὶ Θεὸν ἀληθινὸν ὑπερφυῶς, καὶ φρικτῶς.

Καταβασία.

ἈΝοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

ἸΔεῖν τὴν ἡμέραν τοῦ Υἱοῦ σου ποθῶν ὁ χριστώνυμος λαός, εἰς τύπον ταύτης, Δέσποινα, τῇ νῦν προεορτάζουσι, σὲ φέρουσαν ὑπόθεσιν, καὶ τὸν κλεινὸν ἀθλοφόρον σου.

ΝΙκᾷ πᾶσι τρόποις τὰ βελτίω, ὁ μέγιστος γὰρ ἐν ἀθληταῖς εἰς εὐφροσύνην ἤμειψε τὴν τοῦ καιροῦ κατήφειαν, καὶ εὐαγοῦς τὸ σύντονον νηστείας τρέψας εἰς ἄνεσιν.

ΟἸκεῖον, καὶ πρέπον σοι τὸ δῶρον, καὶ γὰρ ἐξ οἰκείων, ἀθλητά, οὓς γὰρ αὐτὸς κατῴκισας ἐν ταύτῃ τῇ μερίδι σου, περιχαρῶς τὰ δῶρα σοι τὰ τῶν ἐπαίνων προσάγομεν.

ΚἈλλίστην κρηπῖδα καταβάλλου ταῖς σαῖς ἀριστείαις, ἀριστεῦ, τὸν θῆρα τὸν ὀλέθριον, τὸν πῦρ, καὶ φόνον πνέοντα καταβαλών, ὡς πάρεργον ὑπερφυοῦς γενναιότητος.

ΛΥτήσας ὁ νέος ἀποστάτης, κατ᾽ ἴσον δεινῶς τῷ παλαιῷ, καθάρματα τοῖς βρώμασιν ὥσπερ ἰὸν συνέφυρεν· ἀλλὰ ψευσθεὶς ὁ δείλαιος, κατεσοφίσθη τῷ Μάρτυρι.

Θεοτοκίον.

ἘΠλήσθη μὲν σύμπασα, Παρθένε, τοῦ γνῶναι τὸν Κύριον ἡ γῆ, ἐκ σοῦ τῷ Κόσμῳ φανέντα,

Digitized by Google

τα, ἀλλὰ τοῖς θείοις Μάρτυσι χάρις πολλὴ κρατυνάσι δι' ἑαυτῶν τὴν ἀλήθειαν.

Ἄλλος. Οὐκ ἔστιν ἅγιος.

Ὁ Πρὶν τῆς Εὔας τοῖς ὠσὶ ψιθυρίσας δολίως, τὸν Ἀδὰμ δι' αὐτῆς δὲ ἀπατήσας δολερῶς· αὐτὸς καὶ νῦν τὸν ἰὸν τῆς κακίας πρὸς ἀπάτην κέχηκε.

Τὸν δόλον εἶχε κατ' αὐτοῦ, ἔστρεφε τὴν μανίαν, καὶ τῶν εὐθυνόντων καιρὸν ἐζήτει εὑρεθῆ, καθ' ὃν τὸ μύσος τελεῖν ἐμελέτα ὁ παρανομώτατος.

Τῶν ἡμερῶν ἡ ἀπαρχὴ τῶν ἁγίων ἐπέστη, νηστειῶν, ἐν αἷς ἅπας χριστιανὸς ἑαυτὸν δι' ἐγκρατείας πολλῆς ἐκκαθαίρει, πάντων ἀπεχόμενος.

Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου κραταιά, σκέπη, καὶ προστασία. Παναγία Παρθένε, μὴ παρίδῃς, ἀγαθή, τὴν δέησιν οἰκετῶν, τῶν ἐκ πόθου σὲ μακαριζόντων ἀεί.

Καταβασία.

Τοὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα, καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας
„ πνευματικὸν στερέωσον ἐπὶ τῇ θείᾳ δόξῃ σου,
„ στεφάνων δόξης ἀξίωσον.

Κάθισ. ἦχος πλ. δ'. Τὴν Σοφίαν τοῦ Λόγου.

Θεϊκὴν πανοπλίαν ἀναλαβών, καὶ εἰδώλων τὴν πλάνην καταβαλών, Ἀγγέλους διήγειρας εὐφημεῖν τοὺς ἀγῶνάς σου· τῷ γὰρ θείῳ πόθῳ τὸν νῦν πυρπολούμενος, τοῦ ἐν πυρὶ θανάτου στερρῶς καταφρονήσας· ὅθεν φερωνύμως τοῖς αἰτοῦσι σε νέμεις τὰ θεῖα δωρήματα, ἰαμάτων χαρίσματα, ἀθλοφόρε Θεόδωρε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ὅμοιον.

Μαξιμίνου θωπείαις μὴ ἐκλυθείς, τοῦ Χριστοῦ δὲ τοῖς λόγοις ἀνδρειωθείς, εἰδώλων τὰ τεμένη ἐν πυρὶ ἀποτεφρώσας, ἀθλητικῶς νικήσας καλῶς τὸν ἀντίπαλον, προφητικῶς διῆλθες τὸ πῦρ ὡς ἐν ὕδατι· ὅθεν ἐπαξίως ἀμοιβὴν τῶν ἀγώνων πηγάζεις ἰάματα τοῖς αἰτοῦσιν ἐκ πίστεως, ἀθλοφόρε Θεόδωρε· πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην σου.

Καὶ νῦν, Θεοτ. Ὅμοιον.

Ὡς πανάμωμος νύμφη τοῦ ποιητοῦ, ὡς ἀπείρανδρος Μήτηρ τοῦ λυτρωτοῦ, δοχεῖον ὡς ὑπάρχουσα τοῦ ὑψίστου, πανύμνητε, ἀνομιῶν με ὄντα αἰσχρὸν καταγώγιον, καὶ ἐν γνώσει γενόμενον τοῖς δαίμοσι παίγνιον, ἀπέδυσον, καὶ τῆς τούτων κακουργίας με ῥῦσαι, λαμπρὸν οἰκητήριον δι' ἀρετῆς ἀπαρτίσασα, φωτοδόχε ἀκήρατε δίωξον τὸ νέφος τῶν παθῶν, καὶ τῆς ἄνω λαμπρότητος ἀξίωσον, καὶ ἀκιβδήλου αἴγλης φωτὸς ἀνεσπέρου σου.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ὢ Καινῆς, καὶ παραδόξου μίξεώς τε, καὶ κράσεως· παρθενίᾳ τόκον λύσας τεχθεὶς ὁ θεάνθρωπος, ταῖς σωτηρίαις δὲ ἡμέραις τὴν εὐφροσύνην, τὸν οἰκεῖον τιμῶν ἀθλητήν, ἐγκατέμιξεν.

Ἴδε πῶς Χριστὸν ἐφίλει ὁ Χριστῷ στρατευόμενος· τοὺς ἐχθροὺς γὰρ τούτου ζήλῳ, καὶ πυρὶ κατηνάλωσε· καὶ ἑαυτὸν τελευταῖον καλλιέρημα, καὶ δεκτὸν αὐτῷ θῦμα προθύμως ἀπέδωκε.

Νικηφόρος ἐκ τῶν ἄθλων ὁ γεννάδας ἀνέλυσε, παρρησίᾳ λόγων, καὶ ὑπεροψίᾳ κολάσεων τοὺς θεατὰς καταπλήξας, καὶ γενόμενος πάσῃ κτίσει καινόν, καὶ παράδοξον θέατρον.

Ὁ Στῦν μὲν οὐ συνετρίβη τοῦ Θεοῦ, καὶ Δεσπότου μου. ὢ μακροθυμίας, καὶ μετὰ τὴν νέκρωσιν πάσχοντα· τὸν δὲ αὐτοῦ στρατιώτην πῦρ δεξάμενον, καὶ ζοχὸς ηὐλαβήθη θανόντος προσάψασθαι.

Συνθανόντες τῷ Δεσπότῃ τῆς ζωῆς οἱ θεράποντες, καὶ συναναστάντες ζῶσι παρ' αὐτῷ νῦν αἰώνια, καὶ τῷ Υἱῷ τὴν Μητέρα συνδοξάζουσι· εὐλογοῦντες Πατέρα, Υἱόν, Πνεῦμα ἅγιον.

Ἄλλος. Χριστός μου δύναμις.

Βουλὴν βουλεύεται ὁ ἀσεβέστατος· καὶ σκοπεῖται, ὡς ὄντως ἐστὶ φρικτή· ἔγνω γὰρ ὁ δείλαιος διὰ βρωμάτων μιαρῶν τὸν λαὸν καταμολύνειν Χριστοῦ.

Εἰς ἔργον ἤνεγκεν βουλὴν τὴν ἄθεσμον, συστελλῆναι προστάξας τῶν καθαρῶν ἐδεσμάτων ἔνθεσιν, καὶ προστεθῆναι ἃ αὐτὸς κατεμόλυνε τοῖς αἵμασι.

Γέγονεν ἔκπυστον, καὶ διαβόητον τὸ ἀνόμημα πᾶσι χριστιανοῖς· ὅθεν ὥς τις ἐπέγνωσε, καὶ συνδέδραμε πάντων ὁμοῦ εἰς Ναὸν Κυρίου ἅγιον.

Θεοτοκίον.

Τὴν σὲ κυήσασαν τὸν προαιώνιον ἐκ Πατρὸς γεννηθέντα νῦν οἱ πιστοὶ πρέσβιν προβαλλόμεθα· ταύτης δεήσεσι καμφθείς, εὐμενὴς γενοῦ τοῖς δούλοις σου.

Καταβασία.

Ὁ Καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου Θεότητος, ἐν νεφέλῃ κούφῃ ἦλθεν Ἰησοῦς ὁ ὑ-
„ πέρθεος τῇ ἀκηράτῳ παλάμῃ, καὶ διέσωσε
„ τοὺς κραυγάζοντας, δόξα Χριστὲ τῇ δυνάμει σου.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ἀνοίγεται σήμερον τὰ πρόθυρα τῆς χάριτος, καὶ ἡ καταπαύσιμος νῦν αὕτη προοικονίζει τὴν ἀναστάσιμον· οὕτω λαμπροφόρος τὴν λαμπρὰν Δέσποιναν γεραίρουσα, καὶ τὸν ἔνδοξον Μάρτυρα.

Δω-

Δωρεῖται φερώνυμον δῶρον Θεὸς Θεόδωρον τοῖς ἠγαπηκόσι τοῦ φανέντος ἠγαπημένου τὴν ἐπιφάνειαν, παραδόξων ἔργων ποιητὴν, θείων τε δυνάμεων αὐτουργὸν ἐργασάμενον.

Οὐδὲν πρὸς τὸν Μάρτυρα τὰ τόξα, καὶ τὰ βέλη σου, ἐχθρὲ τῆς ἀνθρώπων σωτηρίας, καὶ τεθνηκὼς γὰρ, ζῇ, καὶ ἐγρήγορε, καὶ τοῖς κακουργήμασι τοῖς σοῖς ἀντικαθιστάμενος, σώζει πάντα ὀρθόδοξον.

Θεοτοκίον.

Ξενίζον ἦν πρότερον τὸ θαῦμα τῆς Θεόπαιδος, ταῖς τῶν ἀθλητῶν δὲ μαρτυρίαις εἴληφε πίστιν τὴν ἀναμφίβολον, καὶ τὸ πιστευόμενον ἀεὶ μένει θαυμαζόμενον, καὶ πιστῶς προσκυνούμενον.

Ἄλλος. Τῷ θείῳ φέγγει σου ἀγαθέ.

Ὁ τότε τοίνυν ἀρχιερεὺς ὅλος θαμβηθεὶς, τοῦ ἀσεβοῦς ὡς ἔγνω τὸ διαβούλιον, ὕμνοις ἐν παννύχοις Θεὸν ἱκέτευε, μὴ παριδεῖν εἰς τέλος λαὸν, τὸν κλῆρον αὐτοῦ.

Ἀλλ' ὁ ταχὺς ὄντως βοηθὸς τῶν ἐν ἀληθείᾳ, καὶ θερμῇ προσκαλουμένων, δεήσεις αὐτῶν οὐ παρεῖδεν ὅλως, ἀλλὰ τάχιστα αὐτοῖς ἐργάζεται τὴν λύσιν τοῦ ἐγχειρήματος.

Ἐκ τῶν ὑψίστων ὁ βοηθὸς πέμπεται ὡς τάχιστα πρὸς γῆν, ὁ ἀθλοφόρος Θεόδωρος, καὶ τῷ ἀρχιποίμενι ἐποπτάνεται, τὴν λύσιν ἐκδιδάσκων τῆς παρανόμου βουλῆς.

Θεοτοκίον.

Οὐδεὶς προστρέχων ἐπὶ τὴν σὴν, Δέσποινα, ἀντίληψιν θερμῶς καταισχυνθήσεται πώποτε, ἀλλ' αἰτεῖται χάριν, καὶ δῶρον δέχεται, πρὸς τὸ συμφέρον θᾶττον τῆς ἐξαιτήσεως.

Καταβασία.

Ἐξέστη τὰ σύμπαντα ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ, ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν
›› ἐπὶ πάντων Θεὸν, καὶ τέτοκας ἄχρονον Υἱὸν,
›› πᾶσι τοῖς ὑμνοῦσί σε σωτηρίαν βραβεύουσα.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην, καὶ πάντιμον.

Νηστεύειν, Σῶτερ, οὐ δύνανται οἱ φίλοι, καὶ υἱοὶ τοῦ νυμφῶνός σου, σὲ τὸν νυμφίον γὰρ σὺν τῇ Μητρί, καὶ τῷ φίλῳ σου ξενίζουσι παρόντα, καὶ θεραπεύουσιν.

Ἀπέστη Θεοῦ τοῦ σώζοντος, ἀπέστη καὶ φρενῶν ὁ δυσώνυμος, καὶ πρὸς ἀπόνοιαν κατεξανέστη τῆς πίστεως· ἀλλ' ἀντὶ ταύτης εὗρε τὸν μεγαλώνυμον.

Παθῶν κατέστη σοφώτερος, καὶ δράσας ὁ γενναῖος θερμότερος, τὴν πρὸς τυράννους γὰρ πάλην, καὶ νίκην καλῶς ἀσκηθεὶς, οὐδὲ θανὼν ἀπέστη τοῦ κατορθώματος.

Θεοτοκίον.

Ῥυσθέντες σήμερον, Δέσποινα, κινδύνου ψυχοφθόρου τῷ θαύματι τοῦ ἀθλοφόρου σου μετὰ τὴν θείαν πρόνοιαν, τὴν χάριν ἀμφοτέροις ἀντιτεθείκαμεν.

Ἄλλος. Τοῦ βίου τὴν θάλασσαν.

Τὸ ξένον θαμβούμενος τῆς ὁράσεως τῆς σῆς ἀρχιερεὺς ἀντέφησε· σὺ τίς εἶ, Κύριε, ὁ λαλῶν ἐμοί; γνώρισον, καὶ δίδαξον, πῶς εὑρήσωμεν θᾶττον τὴν βοήθειαν.

Θεόδωρος ἔφησεν, ἐγὼ πέφυκα σαφῶς ὁ ἀθλητής. καὶ ἄκουσον· σῖτον ἑψήσας μέρισον τοῖς λαοῖς, καὶ οὕτω σωθήσεσθε κεχραμένων βρωμάτων τοῦ ἀλάστορος.

Ὢς μέγα τὸ θαῦμά σου, καὶ παράδοξος ἡ σὴ ἀντίληψις, Θεόδωρε· διὸ θαρροῦντες πάντες, εἰλικρινῶς πρὸς σὲ καταφεύγομεν, καὶ δεόμεθα σῶσον τοὺς οἰκέτας σου.

Θεοτοκίον.

Φωτὸς οἰκητήριον, καὶ δοχεῖον καθαρὸν τοῦ Λόγου ἐχρημάτισας Πατρὸς τῇ εὐδοκίᾳ, καὶ τῇ ἐν σοὶ ἐπισκέψει Πνεύματος τοῦ ἁγίου, διό με φωταγώγησον.

Καταβασία.

Τὴν θείαν ταύτην, καὶ πάντιμον τελοῦντες ἑορτὴν οἱ θεόφρονες τῆς Θεομήτορος, δεῦ-
›› τε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχ-
›› θέντα Θεὸν δοξάζοντες.

Κοντάκιον ἰδιόμελον ἦχ. πλ. δ'.

Πίστιν Χριστοῦ ὡσεὶ θώρακα, ἔνδον λαβὼν ἐν καρδίᾳ σου, τὰς ἐναντίας δυνάμεις κατεπάτησας, πολύαθλε, καὶ στέφει οὐρανίῳ ἐστέφθης αἰωνίως, ὡς ἀήττητος.

Ὁ Οἶκος.

Τὸν ἐν θρόνῳ φωτὸς ἐποχούμενον, εὐχαρίστως ἐν πίστει ὑμνοῦμέν σε· ὅτι δώρημα θεῖον δεδώρηται τὸν γενναῖον τοῖς ἄθλοις Θεόδωρον, τὸν ἐν τῷ βίῳ τρισμακάριστον, ὡς ὑπέρμαχον ὄντα τῆς ἀληθείας· εὐσεβεῖ λογισμῷ κεκτημένος Χριστὸν, ἀνεδείχθη κραταιὸς νικητὴς κατὰ τοῦ δολεροῦ, ὡς ἀήττητος.

Τὸ Συναξάριον· στίχοι. Τροφῇ κολύβων ἐστιᾷ Τήρων πόλιν. Τροφὴν τιθεὶς ἀπρακτον ἠλιγισμένην.

Τῇ αὐτῇ ἡμέρᾳ, Σαββάτῳ πρώτῳ τῶν Νηστειῶν, τὸ διὰ τῶν Κολύβων παράδοξον θαῦμα τοῦ ἁγίου, καὶ ἐνδόξου Μεγαλομάρτυρος Θεοδώρου τοῦ Τήρωνος ἑορτάζομεν, ὅπερ ἔσχε τὴν ἀρχὴν γίνεσθαι οὕτως. Ἰουλιανοῦ τοῦ παραβάτου, μετὰ Κωνστάντιον τὸν τοῦ μεγάλου Κωνσταντίνου υἱὸν, τὰ σκῆπτρα τῆς Βασιλείας κρατήσαντος, καὶ ἀπὸ Χριστοῦ εἰς εἰδωλολατρείαν μεταθεμένου, διωγμὸς κατὰ Χριστιανῶν ἐγείρεται μέγιστος ἐμφανῶς τε ἅμα, καὶ ἀφανῶς· ἀπειπὼν οὖν ὁ δυσσεβὴς τοῦ κολάζειν ὠμῶς, ὁμοῦ δὲ καὶ ἀναφανδὸν ἀπάνθρωπος, οὕτω πειράζειν Χριστιανοὺς, αἰσχυνόμενός τε, καὶ ὑπειδόμενος, ἵνα μὴ προστίθωνται πλείονες, κεκρυμμένως πῶς μιᾶναι τούτους ὁ δόλιος, καὶ ἀνόσιος ἐβουλεύσατο· ὅθεν καὶ τηρήσας,

ὡς

ὡς τὸ ἡμέτερον ἔθνος Χριστοῦ κατὰ τὴν πρώτην τῶν ἁγίων Νηστειῶν Ἑβδομάδα μᾶλλον ἁγνίζεται, καὶ προσανέχει Θεῷ, τὸν Ἔπαρχον τῆς πόλεως μετακαλεσάμενος, κελεύει, τὰ πιπρασκόμενα συνήθη ὤνια ἐκ τοῦ μέσου ἀπαγαγεῖν· ἕτερα δὲ ὤνια προτεθῆναι τῇ ἀγορᾷ, ἄρτους δηλονότι, καὶ πόματα, τοῖς ἐκ τῶν θυσιῶν αὐτοῦ αἵμασι ταῦτα πρότερον ἀναμίξαντα, καὶ ἐν τῷ φυράματι ἐκμιάναντα· ὡς ἂν ἀπὸ νηστείας ταῦτ' ὠνούμενοι, μᾶλλον ἐν τῇ καθάρσει μιαίνοιντο· αὐτίκα τοίνυν ὁ Ἔπαρχος εἰς ἔργον ἄγει τὸ προσταχθὲν· καὶ προτίθησι τὰ ἐκ τῶν θυσιῶν, καὶ ἀλισγημάτων μεμιασμένα βρωτὰ, καὶ ποτὰ ἐν πάσῃ τῇ ἀγορᾷ· ἀλλ' ὁ πάντα ὁρῶν τοῦ Θεοῦ ὀφθαλμὸς, καὶ δρασσόμενος τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν, καὶ ἡμῶν τῶν δούλων αὐτοῦ ἀεὶ προμηθούμενος, καὶ τὰς μυσαρὰς τοῦ παραβάτου καθ' ἡμῶν ἐπινοίας διέλυσε· τῷ γὰρ τῆς πόλεως ἀρχιερεῖ Εὐδοξίῳ οὐκ ὀρθῶς καὶ ταῦτα τὸ σέβας τυγχάνοντι ἐπιπέμπει τὸν μέγαν αὐτοῦ ἀθλοφόρον Θεόδωρον, τὸν ἀπὸ τοῦ Τηρωνικοῦ τάγματος Τήρωνα ἐπονομαζόμενον, καὶ δῆτα ὕπαρ, οὐκ ὄναρ αὐτῷ ἐπιστὰς, οὑτωσίπως φησίν· ὅσον τάχος διεγερθεὶς, τὸ τοῦ Χριστοῦ συνάγαγε ποίμνιον, καὶ κέλευε ἀσφαλῶς μηδένα μηδέν τι τῶν ἐν τῇ ἀγορᾷ προβεβλημένων ὠνήσασθαι· θυσιῶν γὰρ αἵμασι ταῦτα παρὰ τοῦ ἀσεβεστάτου Βασιλέως μεμίανται· τοῦ δὲ διαπορουμένου, καὶ διερωτῶντος, καὶ πῶς ἂν ῥᾷδιον εἴη τοῦτο τοῖς μὴ εὐπόροις οἴκοθεν ἔχουσι, μὴ ἀπὸ τῶν τῇ ἀγορᾷ προβεβλημένων ὠνήσασθαι; ὁ Ἅγιος Κόλυβα χορηγήσας, φησὶν, αὐτοῖς τὴν ἔνδειαν παραμύθησαι· τοῦ δὲ διαπορουμένου, καὶ ἀγνοοῦντος, καὶ τί ἂν εἴη ταῦτα, διαπυνθανομένου, τὰ Κόλυβα; ὁ μέγας Θεόδωρος φησί· τὸν ἑψητὸν σῖτον· οὕτω γὰρ ἡμεῖς ἐν Εὐχαΐταις λέγειν εἰώθαμεν· ἐξακριβούμενος δὲ ὁ Πατριάρχης, τίς ἂν εἴη οὗτος, ὁ τοῦ χριστωνύμου λαοῦ προμηθούμενος, ὁ Ἅγιος αὖθις, ὁ τοῦ Χριστοῦ μάρτυς Θεόδωρος, ἔφη, ὁ παρ' αὐτοῦ βοηθὸς ὑμῖν ἀρτίως ἀποσταλείς· διεγερθεὶς οὖν εὐθέως ὁ Πατριάρχης, καὶ τῷ πλήθει ἀναγγείλας τὰ ὁραθέντα, καὶ οὕτω διαπραξάμενος, τὸ τοῦ Χριστοῦ ποίμνιον ἀλύμαντον τῆς τοῦ ἐχθροῦ, καὶ παραβάτου διετήρησεν ἐπινοίας· ὁ δὲ τὴν αὐτοῦ ἐνέδραν ἀπιδὼν ἐλεγχθεῖσαν, καὶ τὸ μηδὲν ἀνύσασαν, καὶ ἱκανῶς αἰσχυνθεὶς, προβληθῆναι καὶ πάλιν τὰ συνήθη τῇ ἀγορᾷ προσέταξεν ὤνια· ὁ μέντοι τοῦ Χριστοῦ λαὸς, τῆς Ἑβδομάδος ἤδη ἐπιτελεσθείσης, τὴν εὐχαριστίαν ἀποτινύντες τῷ εὐεργέτῃ, καὶ μάρτυρι, κατὰ τόδε τὸ Σάββατον διὰ Κολύβων τὴν αὐτοῦ μνήμην γεγηθότες ἐποίησαν· ἔκτοτε οὖν οἱ πιστοὶ καὶ μέχρι τοῦ δεῦρο τὸ θαῦμα ἀνανεούμενοι, ἵνα μὴ ἐξίτηλον τὸ τοσοῦτον ἔργον τοῦ Μάρτυρος τῷ χρόνῳ γίνηται, τὸν μέγαν Θεόδωρον διὰ Κολύβων γεραιρόμενοι· τοῦτον δὲ τὸν μέγαν ὁ δυσσεβὴς Βρίγκας ἐπὶ Μαξιμιανοῦ ἐμαρτύρησεν, αἰκισθέντα πρότερον, εἶτα τὸν Ναὸν τῆς θεᾶς ἐκείνων ἐμπρήσαντα, καὶ τοῖς πένησι τὸν κόσμον αὐτῆς διαμερισάμενον· τινῶν δὲ καὶ εἰς λόγους αὐτῷ ἐλθόντων, καὶ μεταπεισθῆναι βουλομένων αὐτὸν, καὶ συμβουλευόντων, οὐκ οὖν ἠνείχετο, πολλὰ τοίνυν παθὼν, ὕστερον καμίνου ἀναφθείσης μεγάλης, κατ' αὐτῆς ἀκοντίζεται· μήτε δ' ἐξ ἐκείνης παθὼν, ἐν μέσῳ ταύτης τῷ Θεῷ τὸ πνεῦμα παρέθετο. Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς, Ἀμήν.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν τὴν...

Νόμον ἔφησας, μὴ κεῖσθαι τοῖς δικαίοις σου· δίκαιε Δέσποτα, ὅθεν ἡ Μήτηρ ἡ σὴ, καὶ ὁ πολυθαύμαστος οὗτος θεράπων σου τῇ φαιδρότητι τῆς μνήμης τούτων σήμερον νόμους λύουσι νηστείας.

Ὡς ἡδίστη, καὶ μεγάλη, καὶ χαρμόσυνος ἡ νῦν πανήγυρις, ἣν ὁ Μαρτύρων ἡμῖν κάλλιστος, καὶ μέγιστος νῦν ἐσχεδίασεν ἑνὶ θαύματι, ἐξ ἀκαθάρτων ἄχραντον τοῦ Χριστοῦ λαὸν τελέσας.

Τὸν πρὸς δράκοντας δεινοὺς ἀντιταξάμενον, καὶ κατισχύσαντα τὸν ψυχοφθόρον τε, καὶ τὸν λυμαινόμενον ἔμψυχα στόματα, ἀναδησώμεθα ἐπινικίοις ᾄσμασι, καὶ στεφάνων ἐγκωμίοις.

Θεοτοκίον.

Ὁ γενάρχης μὲν προγνοὺς τὴν ψυχολέτειραν βρῶσιν οὐκ ἔφυγεν, ὁ σὸς δὲ πιστὸς λαὸς παρὰ τοῦ σοῦ Μάρτυρος προδιδαχθεὶς, καὶ φυγὼν τὴν ὀλέθριον τροφὴν, σὺν τούτῳ, Δέσποινα, τὰ σωτήρια σοι θύει.

Ἄλλος. Δροσοβόλον.

Δροσοβόλος ἀθυμίας, καὶ φλογώσεως νεφέλη ὤφθης, ἔνδοξε, καὶ διέσωσας ἐκ καμίνου τῆς τυραννικῆς κραυγάζοντας πάντας τοὺς πιστούς· εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

Βασιλεῦ παρανομώτατε αἰσχύνθητι. καὶ ἐμφραγείη στόμα τὸ σὸν, τὸ μελετῆσαν καθ' ἡμῶν παράνομον βουλήν· κατέλυσε γάρ σου τὴν ἰσχὺν ὁ βασιλεύων Βασιλεὺς, καὶ πάντων Κύριος.

Ἰουλιανὲ ἀνόητε, καρδία σου ὅλη κακίας πέπλησται· φαρμακεύεται δὲ παρὰ τοῦ σοφοῦ ἡμῶν Θεοῦ χυθεῖσα δολίως καθ' ἡμῶν, τῶν ἐκβοώντων πρὸς αὐτὸν, τὴν χάριν νέμει σαφῶς.

Θεοτοκίον.

Ὑπὲρ λόγον σου ἡ σύλληψις γεγένηται, καὶ ὑπὲρ νοῦν ὁ τόκος σου, παναμώμητε. Θεὸν γὰρ ἐγέννησας σαρκὶ, τὸν σώσαντα πάντας ἐκ φθορᾶς, εὐλογημένη διὸ νῦν Θεοτόκε, σὲ δοξάζομεν.

Κα-

Digitized by Google

Καταβασία.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεόφρονες παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλὴν ἀνδρείως πατήσαντες, ἔχαιρον ψάλλοντες· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. Λυτρωτὰ τοῦ παντός.

Ἡ χαρὰ τῇ γεννήσει πληρώσασα τὰ οὐράνια, καὶ τὰ ἐπίγεια, τῇ τοῦ καιροῦ συγνότητι χάριν εὔκαιρον νέμει τῷ στεφανίτῃ, συγκροτοῦσα λαμπρῶς τὴν ἑορτήν.

Σαββατίσωμεν, ἄνθρωποι, σήμερον, ἐκ τῶν κόπων τῶν χθὲς καταπαύοντες, διὰ τὸν εὐλογήσαντα τὴν παροῦσαν ἡμέραν τῇ καταπαύσει, καὶ τῇ νῦν πανηγύρει τοῦ Μάρτυρος.

Ἀληθῶς τοῦτο πρῶτον ἐν Σάββασι, καὶ Σαββάτων ἂν λέγοι τὸ Σάββατον μαρτυρικῆς τε χάριτος, καὶ δυνάμεως θείας ἐμπεπλησμένον, σωτηρίας μεγίστης ἀνάκλησις.

Βασιλέως Θεοῦ ἁγνοῖς βρώμασι, Βασιλείας ἀθέσμου μιάσματα ὁ καθαρὸς κατήργησε, παραδόξῳ τε τρόπῳ θαυματουργίας τὴν ἁγίαν ἑβδόμην ἡγίασε.

Θεοτοκίον.

Βεβαιοῖ τὸ σόν, κόρη, μυστήριον τῶν Μαρτύρων ὁ πρόθυμος θάνατος· ὡς γὰρ Θεῷ πιστεύσαντες, τῷ τεχθέντι, κἂν πάθος ἑκὼν ὑπέστη, ἑαυτοὺς οἱ γενναῖοι κατέθυσαν.

Ἄλλος. Ἐκ φλογὸς τοῖς.

Ἐκ φλογὸς ὡς ἐρύσθης μάρτυς Θεόδωρε θεϊκῇ δυναστείᾳ, οὕτω καὶ νῦν ἡμᾶς ἔσωσας αὐτὸς ἐπιστασίᾳ θείᾳ σου τῆς τοῦ παρανόμου βουλῆς κακομηχάνου.

Τὸ ἑσπέρας ηὐλίσθη κλαυθμὸς τοῖς δούλοις σου πονηρᾶς ἐξ ἐνέδρας τοῦ ἀποστάτου ἡμῶν, ἀλλ' εἰς τὸ πρωῒ ἀγαλλίασις ἔλαμψε, Μάρτυς καρτερόφρων θερμῇ σου βοηθείᾳ.

Λυτρωτήν σε εὑρόντες οἱ ἐν κινδύνοις ἡμεῖς ἐμπεσόντες, καὶ ῥύστην τῆς τοῦ ἐχθροῦ μηχανῆς, Μάρτυς τοῦ Χριστοῦ ἀθλοφόρε Θεόδωρε, σὲ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἀποροῦσι νοῦς ἀνθρώπων τῆς σῆς λοχείας, ἁγνή, τὸ μυστήριον φράσαι, καὶ διὰ τοῦτο σὲ πίστει εὐσεβῶς, ὡς Θεοτόκον, σέβομεν, καὶ δοξολογοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καταβασία.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ ὁ τόκος τῆς Θεοτόκου διεσώσατο· τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος τὴν Οἰκουμένην ἅπασαν ἤγειρε ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὁ τόκος σου ἄφθορος ἐδεί.

Συντρέχει τὰ πλήθη πανταχόθεν ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τὴν ἔνοικον χάριν τοῦ προλάμποντος ἐν δόξῃ πάντων Μαρτύρων, σὺν τῇ Δεσποίνῃ τῶν ἁπάντων μεγαλύνομεν.

Ἀνδρίζου Χριστοῦ ἡ Ἐκκλησία, καὶ κράτει τῶν μάτην πολεμούντων, τοῦ Χριστοῦ γὰρ οἱ φίλοι καὶ παρόντες σου προκήδονται, καὶ ἀπόντες, ὡς ὁ γενναῖος, ᾧ τελεῖς τὰ χαριστήρια.

Τὸν δόξαντα πάλαι τεθνηκέναι, τὰ πράγματα ζῆν, καὶ μετὰ τέλους, καὶ τῆς πίστεως πάλιν προστατεῖν μετὰ τοῦ ἴσου δείκνυσι ζήλου, ὃν οἱ πλουτοῦντες εὐεργέτην μεγαλύνομεν.

Θεοτοκίον.

Ὡς θείαν σφραγῖδα σε τοῖς ὕμνοις, τὴν ἐσφραγισμένην Θεοῦ βίβλον, ἐπιτίθημι φέρων, καὶ συνάγω τοὺς ἐπαίνους εἰς σέ, Παρθένε, οὕτω δοξάζων ἐπὶ πλέον τὸν σὸν Μάρτυρα.

Ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύνατον.

Καλῶς ἐδείχθης πρόμαχος, ἔνδοξε, καὶ κραταιὰ ἀντίληψις ἡμῖν τοῖς τιμῶσί σου τὴν σεπτήν, καὶ ἀοίδιμον μνήμην νῦν, καὶ τῶν σῶν ἀθλημάτων τὰ κατορθώματα, καὶ τὴν γενομένην εἰς ἡμᾶς θείαν ἀντίληψιν.

Τὸ σόν, παμμάκαρ, θαῦμα, Θεόδωρε, τὸ τελεσθὲν ἁγίαις ἐπομβρείαις ἐξᾴδεται εἰς τὸν σύμπαντα Κόσμον, μακάριε· ὅθεν καὶ ἐτησίως συναθροιζόμενοι, δόξαν ἀναπέμπομεν Χριστῷ, τῷ σὲ δοξάσαντι.

Ὁρῶν τὸν πόθον τῶν εὐφημούντων σε, Μάρτυς Χριστοῦ, τὴν χάριν ἀντιδώρησαι μείζονα· καὶ τὴν πίστιν εἰδώς, ὅση πέφυκεν, ἔνδοξε, μὴ ἐλλίπῃς πρέσβυς θερμότατος, Μάρτυς, καὶ μεσίτης πρὸς Θεὸν ἡμῶν δεικνύμενος.

Θεοτοκίον.

Ὑμνεῖν, Παρθένε, σὲ οὐ παυόμεθα τὴν βοηθόν, τὴν σκέπην. τὴν ταχεῖαν ἀντίληψιν· τὴν προστάτιν ἡμῶν ἀκαταίσχυντον· τήρησον σοὺς οἰκέτας, πάσης κακώσεως, πάσης μηχανῆς τοῦ πονηροῦ ἐκλυτρουμένη ἀεί.

Καταβασία.

Ἅπας γηγενὴς σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω, χαίροις παμμακάριστε Θεοτόκε, ἁγνή, Ἀειπάρθενε.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συν.

Στεφανηφόρος Ἅγιε, παρεστὼς σὺν Ἀγγέλοις τῷ τοῦ Χριστοῦ νῦν Βήματι, καὶ φωτὸς τοῦ ἐκεῖθεν πληρούμενος, ἀθλοφόρε, τὴν εἰρήνην τῷ Κόσμῳ ἀδιαλείπτως πρέσβευε, καὶ ἡμῖν σωτηρίαν τοῖς εὐσεβῶς τὴν φωτοφόρον μνήμην σου ἐκτελοῦσι, Θεόδωρε πανόλβιε, Μάρτυς ἠγλαϊσμένε.

Θεοτοκίον.

Ἐν τῇ γαστρί σου Κύριος ἀπολλύμενον Κόσμον φθορᾶς ἀνακαλέσασθαι βουληθείς, ὥσπερ οἶδεν, ἐσκήνωσε, Θεοτόκε· σωτηρίαν οὖν

πάν-

Digitized by Google

πάντες βοῶντες, ἐκβοῶμέν σοι· χαῖρε τὸ τοῦ Ἀγγέλου πανευκλεὲς, γυναιξὶν ἐν πάσαις εὐλογημένη, καὶ γὰρ χαρὰν ἐκύησας πάσῃ τῇ Οἰκουμένῃ.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δʹ. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια, ἦχ. αʹ.

Τῶν οὐρανίων ταγμάτων.

ΤΟν ἀριστέα τῆς ἄνω στρατολογίας, πιστοὶ, ὡς καρτερὸν ὁπλίτην τῆς ἡμῶν εὐσεβείας, συμφώνως συνελθόντες, ᾠδαῖς μυστικαῖς εὐφημήσωμεν, λέγοντες, ἀξιοθαύμαστε Μάρτυς τοῦ Ἰησοῦ, εὔχου ὑπὲρ τῶν τιμώντων σε.

ΤΗ φερωνύμῳ σου κλήσει δῶρον Θεοῦ ἀληθῶς, τοῖς θλιβομένοις πᾶσι θυμηδία ἐδόθης, Θεόδωρε τρισμάκαρ, πᾶς γὰρ τῷ σῷ προσπελάζων Ναῷ, ἀληθῶς μετ' εὐφροσύνης λαμβάνων τὰς ἀμοιβὰς τῶν θαυμάτων σου, γεραίρει Χριστόν.

ΤΗς εὐσεβείας τὸν πλοῦτον, καὶ τὴν λαμπρότητα ἀθλητικοῖς καμάτοις σεαυτῷ θησαυρίσας, πᾶσαν τὴν ἰσχύν σου δῶρον δεκτὸν τῷ Θεῷ προσενήνοχας· ἀναπληρῶν ἐν τοῖς ἄθλοις μετὰ σπουδῆς θεοδώρητόν σου πρόσκλησιν.

ΤΗ παμφαεῖ πανηγύρει τοῦ θείου Μάρτυρος εὐωχηθῶμεν πάντες, καὶ πιστῶς εὐφρανθῶμεν, φιλέορτοι, τιμῶντες φαιδρὰν ἑορτὴν τῆς αὐτοῦ τελειώσεως, ᾀσματικῶς ἀνυμνοῦντες τὸν Ἰησοῦν, τὸν δοξάσαντα τὴν μνήμην αὐτοῦ.

Δόξα· ἦχος πλ. βʹ.

ΑΓιωσύνης δωρεὰ, καὶ πλοῦτος θείας ζωῆς πεφανέρωσαι τῷ Κόσμῳ, Θεόδωρε. Χριστὸς γάρ σου, σοφὲ, τὴν μνήμην ἐδόξασεν· ἐν ᾗ συμφώνως οἱ πιστοὶ γεγηθότες, ὑμνοῦμεν τοὺς ἀγῶνας τῶν πόνων σου.

Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΘΕοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς, σὲ ἱκετεύομεν, πρέσβευε, Δέσποινα, μετὰ τοῦ Ἀθλοφόρου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὸν στίχ. στιχη. ἰδιόμ. τοῦ Ἁγίου γʹ. ἦχος δʹ.

ΧΟρεύουσι στίφη Μαρτύρων χαρμονικῶς νῦν ἐν τῷ τεμένει σου, ἀθλοφόρε Θεόδωρε, καὶ Ἀγγέλων τὰ τάγματα τοὺς ἄθλους κροτοῦσι τῆς καρτερίας σου, καὶ αὐτὸς ὁ στεφοδότης Χριστὸς πάρεστι, πλουτοποιὰ χαρίσματα τοῖς ὑμνῳδοῖς δεξιᾷ παρεχόμενος· ὃν ποθήσας, ἐζήτεις, καὶ εὑρὼν, ὡμίλησας ὅνπερ ἐπόθησας, ὃν ἱκέτευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Στίχος.

Εὐφρανθήσεται δίκαιος· ἦχ. ὁ αὐτός.

ΗΚαθαρὰ, καὶ πανάμωμος νηστεία ἐπιδημήσασα νῦν πρὸς ἡμᾶς, μαρτυρικῶν θαυμάτων τελετὴν συνεστήσατο· διὰ γὰρ νηστείας τῶν ψυχικῶν μολυσμῶν, καὶ ῥύπων ἐκκαθαιρόμεθα· καὶ διὰ τῶν μαρτυρικῶν σημείων, καὶ ἄθλων γενναίως κατὰ τῶν παθῶν ἀνδριζόμεθα· ὅθεν καὶ τῆς ἱερᾶς ἐγκρατείας τῇ χάριτι φωτιζόμενοι, καὶ ταῖς θαυματουργίαις Θεοδώρου τοῦ Μάρτυρος τῇ πρὸς Χριστὸν στηριζόμεθα πίστει· αἰτούμενοι αὐτὸν, σωτηρίαν βραβεῦσαι ταῖς ψυχαῖς ἡμῶν.

Στίχος.

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει.

ΤΗ μαρτυρικῇ σου πρὸς Θεὸν παῤῥησίᾳ, Θεόδωρε, τὸ τοῦ ἀποστάτου κατὰ τῆς Χριστοῦ πίστεως μηχάνημα μάταιον ἀπετέλεσας· ὑπέρμαχος τῷ εὐσεβοῦντι χρηματίσας λαῷ, δι' ἐπιστασίας φρικτῆς τῶν μεμολυσμένων βρωμάτων θυσίαις εἰδωλικαῖς αὐτοὺς λυτρωσάμενος, ὅθεν σε, καὶ ὡς εἰδώλων καθαιρέτην, καὶ ὡς τοῦ ποίμνης Χριστοῦ Σωτῆρα, καὶ φύλακα, καὶ προστάτην ἡμῶν εὐεπήκοον τιμῶντες δεόμεθα ἐν ᾄσμασιν, ἱλασμὸν, καὶ φωτισμὸν διὰ σοῦ δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν.

Δόξα, ἦχος πλ. δʹ.

ΑΘλητικὴν ἀνδρείαν εὐσεβῶς καθοπλισθεὶς, ἀθλοφόρε Χριστοῦ, καὶ λογικὴν λατρείαν μυστικῶς ὑπερμαχῶν τῇ δυνάμει αὐτοῦ· τῶν εἰδώλων τὸ ἀσεβὲς, καὶ τῶν τυράννων τὸ ἀπηνὲς ἀσθενὲς ἀπέδειξας, καταφρονῶν τῶν βασάνων, καὶ τοῦ προσκαίρου πυρός· ἀλλ' ὦ θείων δωρεῶν, καὶ πρᾶγμα, καὶ ὄνομα τῇ πρεσβείᾳ σου σῶζε τοὺς ἐκτελοῦντας τὴν μνήμην σου.

Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΔΕσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς ἀπὸ πάσης ἀνάγκης, καὶ θλίψεως.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου. Συνάπτομεν καὶ τὴν πρώτην Ὥραν. Εἰς Λειτουργίαν Τυπικὰ, καὶ ἐκ τοῦ Κανόνος τοῦ Ἁγίου ᾠδὴ γʹ. καὶ ςʹ. Προκείμενον ἦχ. βαρύς. Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον ὁ Θεὸς φωνῆς μου.

Ὁ Ἀπόστολος τῆς ἡμέρας πρῶτον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου.

ΠΟλυμερῶς, καὶ πολυτρόπως πάλαι ὁ Θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς Προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν Υἱῷ· ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ· δι' ἑαυτοῦ καθαρισμὸν ποιησάμενος τῶν ἁμαρτιῶν ἡμῶν, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλοσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν Ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοὺς κεκληρονόμηκεν ὄνομα· τίνι γὰρ εἶπέ ποτε τῶν Ἀγγέλων. Υἱός μου εἶ σὺ, ἐγὼ σήμερον γεγέννηκά σε; καὶ πάλιν· ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν· ὅταν δὲ πάλιν εἰσαγάγῃ τὸν πρωτότοκον



Digitized by Google

εἰς τὴν Οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες Ἄγγελοι Θεοῦ· καὶ πρὸς μὲν τοὺς Ἀγγέλους λέγει, ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν Υἱόν, ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς Βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· καὶ σὺ κατ' ἀρχὰς Κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οἱ Οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτούς, καὶ ἀλλαγήσονται· σὺ δὲ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσι.

Τοῦ Ἁγίου. Πρὸς Τιμόθεον β'.

Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι τῇ ἐν Χριστῷ Ἰησοῦ· καὶ ἃ ἤκουσας παρ' ἐμοῦ διὰ πολλῶν μαρτύρων, ταῦτα παράθου πιστοῖς ἀνθρώποις, οἵτινες ἱκανοὶ ἔσονται, καὶ ἑτέρους διδάξαι· σὺ οὖν κακοπάθησον ὡς καλὸς στρατιώτης Ἰησοῦ Χριστοῦ· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ· ἐὰν δὲ καὶ ἀθλῇ τις, οὐ στεφανοῦται, ἐὰν μὴ νομίμως ἀθλήσῃ· τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· νόει ἃ λέγω· δῴη γάρ σοι ὁ Κύριος σύνεσιν ἐν πᾶσι· μνημόνευε Ἰησοῦν Χριστὸν ἐγηγερμένον ἐκ νεκρῶν ἐκ σπέρματος Δαβὶδ κατὰ τὸ εὐαγγέλιόν μου, ἐν ᾧ κακοπαθῶ μέχρι δεσμῶν ὡς κακοῦργος· ἀλλ' ὁ λόγος τοῦ Θεοῦ οὐ δέδεται· διὰ τοῦτο πάντα ὑπομένω διὰ τοὺς ἐκλεκτούς· ἵνα καὶ αὐτοὶ σωτηρίας τύχωσι, τῆς ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν μετὰ δόξης αἰωνίου.

Ἀλληλούϊα ἦχος δ'. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει. Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τοῦ Ἁγίου. Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον. Δεῖ εἰδέναι· ὅτι δὶς ἐν τῇ ἁγίᾳ Τεσσαρακοστῇ παρελάβομεν ἰδίαν ὀψάριον, τῇ Ἑορτῇ τοῦ Εὐαγγελισμοῦ, καὶ τῆς Βαϊοφόρου.

Τῷ Σαββάτῳ Ἑσπέρας ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια, ἦχος α'.

Τῶν οὐρανίων ταγμάτων.

Νῦν εὐσεβείας τὸ σέλας πᾶσιν ἐφήπλωται, διασκεδάζον πλάνην ἀσεβείας, ὡς νέφος· φωτίζον δὲ καρδίας τῶν εὐσεβῶν· δεῦτε πάντες, προσπέσωμεν εὐσεβοφρόνως Εἰκόνας Χριστοῦ σεπτὰς προσκυνοῦντες οἱ ὀρθόδοξοι.

Ἱεροτύποις εἰκόσι νῦν ὡραΐζεται, ὡς νύμφη κοσμηθεῖσα ἡ Χριστοῦ Ἐκκλησία, καὶ πάντας συγκαλεῖται πνευματικῶς ἑορτάσαι, συνελθόντες μεν, ἐν ὁμονοίᾳ, καὶ πίστει χαρμονικῶς μεγαλύνοντες τὸν Κύριον.

Κόσμος ὁ σύμπας εὐφραίνει, ἰδοὺ γὰρ Κύριος καθεῖλεν ἀπὸ ὕψους ἀσεβείας τὸ κράτος ἀρρήτῳ προμηθείᾳ, καὶ ταπεινοὶ ἀνυψώθημεν σήμερον ὀρθοδοξίας πρὸς πίστιν δι' εὐσεβοῦς Βασιλίδος ὁδηγούμενοι.

Πρὸς τὸ πρωτότυπον φέρει, φησὶ Βασίλειος, τιμὴ ἡ τῆς Εἰκόνος, διὰ τοῦτο ἐν σχέσει τιμῶμεν τὰς Εἰκόνας Σωτῆρος Χριστοῦ, τῶν Ἁγίων ἁπάντων, ἵνα αὐτῶν δεδραγμένοι, μήποτε νῦν δυσσεβείᾳ ὑποχθείημεν.

Δόξα. Καὶ νῦν, Θεοτοκίον Ὅμοιον.

Ὁ τῇ ἀνάρχῳ, καὶ θείᾳ φύσει ἀόρατος, βροτὸς ὡράθη, Κόρη, ἐξ ἁγνῶν σου αἱμάτων δι' ἄκραν εὐσπλαγχνίαν, οὗ τῆς σαρκὸς γεγραφότες τὴν μίμησιν, τιμητικῶς προσκυνοῦμεν πάντες πιστοί, εὐσεβῶς καὶ μεγαλύνομεν.

Ἀποστίχ. προσόμοιον, ἦχος β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Αἵρεσις φθοροποιοῦ φυγόντες κακοδόξων ὀρθοδοξίας φέγγει, καρδίας ἐλλαμφθῶμεν, πιστοί, Θεὸν δοξάζοντες.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ.

Ἀρείου δολερὰ κατήργηται ἀπάτη, Μακεδονίου, Πέτρου, Σεβήρου τε, καὶ Πύρρου, καὶ λάμπει φῶς θεσπέσιον.

Στίχ.

Προσκυνήσατε αὐτῷ ἐν.

Οὐκ ἔτι δυσσεβῶν αὐχεῖ τὸ νόθον δόγμα, Θεὸς γὰρ ὀρθοδόξοις τῇ νεύσει Θεοδώρας ῥάβδον ἰσχύος δίδωσι.

Δόξα. Καὶ νῦν, Θεοτ. Ὅμοιον.

Ὑψώσας ταπεινῶν τὸ κέρας, Θεοτόκε, τεκοῦσα Θεὸν Λόγον· ὅθεν πιστῶς σε πάντες τιμῶντες μεγαλύνομεν.

Τροπάρ.

Τὴν ἄχραντον Εἰκόνα σου, καὶ γίνεται Ἀπόλυσις.

Τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας· ἐν τῷ Σαββάτῳ Ἑσπέρας εἰς τὸν μέγαν Ἑσπερινὸν μετὰ τὴν συνήθη στιχολ. τὸ, Κύριε ἐκέκραξα, εἰς τὸν ἦχον τῆς Ὀκτωήχου, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα γ'. καὶ ἀνατολικὰ γ'. καὶ τοῦ Τριῳδίου προσόμοια δ'. ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Σὲ τὸν ἀκατάληπτον πρὸ ἑωσφόρου ἀνάρχως ἐξ ἀΰλου λάμψαντα, ἀσωμάτου τε γαστρὸς τοῦ Γεννήτορος, οἱ Προφῆται, Κύριε, οἱ τῷ σῷ Πνεύματι ἐμπνευσθέντες προηγόρευσαν, παιδίον ἔσεσθαι ἐξ ἀπειρογάμου σαρκούμενον, ἀνθρώποις συναπτόμενον, καὶ τοῖς ἐπὶ γῆς καθορώμενον·

Digitized by Google

νον· δι' ὧν, ὡς οἰκτίρμων, ἐλλάμψεως ἀξίωσον τῆς σῆς τοὺς ἀνυμνοῦντας τὴν ἄφραστον σου σεπτὴν Ἀνάστασιν.

Ὅμοιον.

ΛΌγῳ σε κηρύξαντες οἱ θεηγόροι Προφῆται, καὶ ἔργοις τιμήσαντες, ἀτελεύτητον ζωὴν ἐκαρπώσαντο· τῇ γὰρ κτίσει, Δέσποτα, παρὰ σὲ τὸν κτίσαντα μὴ λατρεύειν καρτερήσαντες, τὸν Κόσμον ἅπαντα εὐαγγελικῶς ἀπεστράφησαν· καὶ σύμμορφοι γεγόνασιν, οὗπερ προηγόρευσαν πάθους σου· ὧν ταῖς ἱκεσίαις ἀξίωσον ἀμέμπτως διελθεῖν τὸ τῆς ἐγκρατείας τὸ στάδιον, μόνε πολυέλεε.

ΦΎσει ἀπερίγραπτος τῇ θεϊκῇ σου ὑπάρχων, ἐπ' ἐσχάτων, Δέσποτα, σαρκωθεὶς ἠξίωσας περιγράφεσθαι· τῆς σαρκὸς προσλήψει γὰρ, καὶ τὰ ἰδιώματα ἀνελάβου ταύτης ἅπαντα, διὸ τὸ εἶδος σου, τὸ τῆς ἐμφερείας ἐγγράφοντες, σχετικῶς ἀσπαζόμεθα, πρὸς τὴν σὴν ἀγάπην ὑψούμενοι, καὶ τῶν ἰαμάτων τὴν χάριν ἀπαντλοῦμεν ἐξ αὐτοῦ, τῶν Ἀποστόλων ἑπόμενοι θείαις παραδόσεσιν.

ΥΠέρτιμον κόσμησιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία τῶν σεπτῶν ἀπείληφε, καὶ ἁγίων Εἰκόνων τοῦ Σωτῆρος Χριστοῦ· καὶ τῆς Θεομήτορος, καὶ Ἁγίων πάντων φαιδροτάτην ἀνασήλωσιν, δι' ἧς φαιδρύνεται, καὶ καταγλαΐζεται χάριτι, καὶ σκότος ἀποβάλλεται τῶν αἱρετικῶν ἐκδιώκουσα· καὶ ἀγαλλομένη, δοξάζει τὸν φιλάνθρωπον Θεὸν, τὸν δι' αὐτὴν ὑπομείναντα πάθη τὰ ἑκούσια.

Δόξα· ἦχος β'.

ΗΧάρις ἐπέλαμψε τῆς ἀληθείας· τὰ προτυπούμενα πάλαι σκιωδῶς νῦν ἀναφανδὸν ἐκτετέλεσται· ἰδοὺ γὰρ ἡ Ἐκκλησία τὴν ἔνσωμον Εἰκόνα Χριστοῦ, ὡς ὑπερκόσμιον κόσμον ἐπαμφιέννυται, τῆς σκηνῆς τοῦ μαρτυρίου τὸν τύπον προϋπογράφουσα· καὶ τὴν ὀρθόδοξον πίστιν κατέχουσα· ἵνα ὃν σεβόμεθα, τούτου καὶ τὴν Εἰκόνα διακρατοῦντες μὴ πλανώμεθα· ἐνδυσάτωσαν αἰσχύνην οἱ οὕτω μὴ πιστεύοντες· ἡμῖν γὰρ δόξα τοῦ σαρκωθέντος ἡ μορφὴ εὐσεβῶς προσκυνουμένη, οὐ θεοποιουμένη· ταύτην κατασπαζόμενοι, πιστοὶ, βοήσωμεν· ὁ Θεὸς σῶσον τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου.

Καὶ νῦν· Θεοτ. τὸ α'. τοῦ ἐνδιατάκτου ἤχου. Εἰς τὴν Λιτὴν δὲ ὡς συνήθως τὸ ἰδιόμ. τοῦ Ἁγίου τῆς Μονῆς. Δόξα, ἦχος β'.

ΧΑίρετε Προφῆται τίμιοι, οἱ τὸν νόμον Κυρίου καλῶς διαταξάμενοι, καὶ τῇ πίστει φανέντες ἀπόρθητοι στῦλοι ἀκλινεῖς· ὑμεῖς γὰρ, καὶ μεσῖται ὤφθητε τῆς νέας Διαθήκης Χριστοῦ, καὶ μεταστάντες πρὸς Οὐρανὸν αὐτὸν ἱκετεύσατε, εἰρηνεῦσαι τὸν Κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

ΤΗν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Εἰς τὸν στίχον τῆς Ὀκτωήχου.

Δόξα, ἰδιόμ. ἦχος β'.

ΟΙ ἐξ ἀσεβείας εἰς εὐσέβειαν προβάντες, καὶ τῷ φωτὶ τῆς γνώσεως ἐλλαμφθέντες, ψαλμικῶς τὰς χεῖρας κροτήσωμεν, εὐχαριστήριον αἶνον Θεῷ προσάγοντες· καὶ τὰς ἐν τοίχοις, καὶ πίναξι, καὶ ἱεροῖς σκεύεσιν ἐγχαραχθείσας ἱερὰς Χριστοῦ Εἰκόνας τῆς Παναγνου, καὶ πάντων τῶν Ἁγίων τιμητικῶς προσκυνήσωμεν· ἀποβαλλόμενοι τὴν δυσσεβῆ τῶν κακοδόξων θρησκείαν· ἡ γὰρ τιμὴ τῆς Εἰκόνος, ὥς φησι Βασίλειος, ἐπὶ τὸ πρωτότυπον διαβαίνει, αἰτούμενοι ταῖς πρεσβείαις τῆς ἀχράντου σου Μητρὸς, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ πάντων τῶν Ἁγίων, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν, Θεοτ.

Τῆς Ὀκτωήχου εἰς τὸν αὐτὸν ἦχον.

ΩΘαύματος καινοῦ πάντων τῶν πάλαι θαυμάτων· τίς γὰρ ἔγνω μητέρα ἄνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν· ὃν ὡς βρέφος, πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Τροπάριον, Θεοτόκε Παρθένε. Καὶ ἡ λοιπὴ ἀκολουθία τῆς Ἀγρυπνίας, εἰς τὸν Ὄρθρον, εἰς τὸ, Θεὸς Κύριος· τροπάριον τὸ ἀναστάσιμον Δίς.

Δόξα, τὸ παρόν· ἦχος β'.

ΤΗν ἄχραντον Εἰκόνα σου προσκυνοῦμεν, ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν· βουλήσει γὰρ ηὐδόκησας, σαρκὶ ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν, παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Καὶ νῦν, Θεοτ.

ΠΆντα ὑπὲρ ἔννοιαν, πάντα ὑπερένδοξα τὰ σὰ, Θεοτόκε, μυστήρια· τῇ ἁγνείᾳ ἐσφραγισμένη, καὶ παρθενίᾳ φυλαττομένη, Μήτηρ ἐγνώσθης ἀψευδὴς, Θεὸν τεκοῦσα ἀληθινόν· αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἡ συνήθως στιχολ. καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς σύνηθες· Κανόνες οἱ ἀναστάσιμοι, τῆς Θεοτόκου, καὶ τοῦ Τριῳδίου εἰς ς'. Ποίημα τοῦ Κυρίου Θεοφάνους. Οὗ ἡ ἀκροστιχίς. Σήμερον εὐσεβίης θεοφεγγέος ἤλυθεν αἴγλη· Ὠδὴ α'. ἦχ. δ'.

Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος.

ΣΚιρτῶντες μετ' εὐφροσύνης σήμερον, πιστοὶ, βοήσωμεν, ὡς θαυμαστὰ τὰ ἔργα σου, Χρι-

ςὲ, καὶ μεγάλη ἡ δύναμις, ὁ τὴν ἡμῶν ὁμόνοιαν, καὶ συμφωνίαν ἐργασάμενος·

ΗΜέραν χαρμονικὴν, θεόφρονες, δεῦτε τελέσωμεν, νῦν Οὐρανὸς εὐφραίνεται, καὶ γῆ, καὶ Ἀγγέλων τὰ τάγματα, καὶ τῶν βροτῶν συστήματα διαφερόντως ἑορτάζοντα.

ΜΕγίστην εὐεργεσίαν βλέποντες, χεῖρας κροτήσωμεν, τὰ διεστῶτα μέλη τοῦ Χριστοῦ συνηγμένα πρὸς ἕνωσιν, καὶ τὸν Θεὸν αἰνέσωμεν, τὸν τὴν εἰρήνην πρυτανεύσαντα.

ΕΔόθη τῇ Ἐκκλησίᾳ σήμερον τὰ νικητήρια θεοκινήτῳ νεύσει, καὶ βουλῇ Μιχαὴλ, Θεοδώρας τε, τῶν εὐσεβῶς τῆς πίστεως ἀντεχομένων Βασιλέων ἡμῶν.

Θεοτοκίον.

ΡΟμφαίαι τῶν δυσσεβῶν ἐξέλιπον σαφῶς αἱρέσεων· τὸν γὰρ Ναόν σου, πάναγνε σεμνὴ, ἐν Εἰκόσι κοσμούμενον πανευσεβῶς θεώμενοι, νῦν πανιέρως ἀγαλλόμεθα.

Καταβασία.

ΘΑλάσσης τὸ ἐρυθραῖον πέλαγος ἀβρόχοις ἴχνεσιν ὁ παλαιὸς πεζεύσας Ἰσραὴλ, σταυροτύποις Μωσέως χερσὶ τοῦ Ἀμαλὴκ τὴν δύναμιν ἐν τῇ ἐρήμῳ ἐτροπώσατο.

Ὠδὴ γ΄. Εὐφραίνεται ἐπὶ σοί.

ΟΥ'κέτι τῶν ἀσεβῶν αἱρετικῶν νῦν ἡ ὀφρὺς αἴρεται· ἡ γὰρ Θεοῦ δύναμις τὴν ὀρθοδοξίαν ἐκράτυνε.

ΝΕφέλαι προφητικῶς ζωοποιὸν ἐξ Οὐρανοῦ σήμερον δρόσον ἡμῖν ῥαννάτωσαν ἐπὶ τῇ ἐγέρσει τῆς πίστεως.

ΕΥ'ήχως αἱ μυστικαὶ τῶν Ἀποστόλων τοῦ Χριστοῦ σάλπιγγες ὑψοφυῶς βοάτωσαν τῶν σεπτῶν Εἰκόνων ἀνόρθωσιν.

ΥΜνήσωμεν τὸν Χριστὸν, τὸν ἀναδείξαντα ἡμῖν Ἄνακτας θεοσεβῆ, φιλόχριστον σὺν τῷ θεοσέπτῳ βλαστήματι.

Θεοτοκίον.

ΣΚηνήν σου τὴν ἱερὰν καταλαβόντες οἱ πιστοὶ, πάναγνε, φωτοειδεῖ χάριτι νῦν καταυγασθῆναι δεόμεθα.

Καταβασία.

ΕΥ'φραίνεται ἐπὶ σοὶ ἡ Ἐκκλησία σου Χριστὲ κράζουσα· σύ μου ἰσχὺς, Κύριε, καὶ καταφυγὴ, καὶ στερέωμα.

Κάθισ. ἦχος α΄. Χορὸς ἀγγελικός.

ΤΗ'ν θείαν σου μορφὴν ἐν Εἰκόνι τυποῦντες, τὴν προσκύνησιν, Χριστὲ, ἀειδήλως βοῶμεν τὰ θαύματα τὰ ἄῤῥητα, τὴν ἑκούσιον σταύρωσιν, ὅθεν δαίμονες ἀποδιώκονται φόβῳ, καὶ κακόδοξοι ἐν κατηφείᾳ θρηνοῦσιν, ὡς τούτων συμμέτοχοι.

Δόξα, Ὅμοιον.

ΜΟρφὰς τῶν Προφητῶν, Ἀποστόλων τὰ εἴδη, Μαρτύρων ἱερῶν, καὶ Ἁγίων ἁπάντων Εἰκόνας, καὶ μορφώματα ἱερῶς ὡραΐζεται, τοῦ Νυμφίου δὲ τοῦ νοητοῦ, καὶ τῆς νύμφης ἀγλαΐζεται ταῖς νοεραῖς ἀγλαΐαις ἡ Μήτηρ, ἡ ἄνω Σιών.

Καὶ νῦν, Θεοτ.

ΤΟῖς πόθῳ σου, σεμνὴ, τὴν ἁγίαν Εἰκόνα τιμῶσι, καὶ Θεοῦ ἀληθῆ σε Μητέρα συμφώνως καταγγέλλουσι, καὶ πιστῶς προσκυνοῦσι σε φύλαξ φάνηθι, καὶ κραταιὰ προστασία, ἀποστρέφουσα πᾶν δυσχερὲς πόῤῥω τούτων, ὡς πάντα ἰσχύουσα.

Ὠδὴ δ΄. Ἐπαρθέντα σε ἰδοῦσα.

ΕΠιφοιτήσει τῇ θείᾳ τοῦ Παρακλήτου τὸν σὸν Ναὸν ἁγίασον, καὶ τῇ παρουσίᾳ τούτου τῆς αἱρέσεως τὴν πλάνην ἀπέλασον, Λόγε τοῦ Θεοῦ πολυέλεε.

ΒΙαιοτάτης ῥυσάμενος δυσσεβείας τὸν σὸν λαὸν, ἀνάδειξον τῷ τῆς εὐσεβείας ζήλῳ πυρπολούμενον, καὶ πίστει κραυγάζοντα, δόξα τῇ δυνάμει σου Κύριε.

ΙΕροτύποις μορφώσεσι τῶν Εἰκόνων, τῶν τοῦ Χριστοῦ θεώμενοι, καὶ τῆς Θεοτόκου, τύποις καταλάμποντα τὰ θεῖα σκηνώματα, ἱεροπρεπῶς ἀγαλλόμεθα,

ΗΒασίλισσα στεφάνῳ κεκοσμημένη τῷ ἀληθεῖ ποθήσασα Χριστοῦ βασιλείαν, τούτου ἀνιστόρησεν Εἰκόνα τὴν ἄχραντον, καὶ τὰ τῶν Ἁγίων μορφώματα.

Θεοτοκίον.

ΣΕσαρκωμένον τεκοῦσα τὸν θεῖον Λόγον, θεοπρεπὲς ἁγίασμα, Κεχαριτωμένη, τούτου ἀναδέδειξαι· διό σου τὸ Τέμενος τὸ φωτοειδὲς ἐγκαινίζομεν.

Καταβασία.

ΕΠαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς Δικαιοσύνης, ἔστη ἐν τῇ „ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα, δόξα τῇ δυ- „ νάμει σου Κύριε.

Ὠδὴ ε΄. Σὺ Κύριέ μου φῶς.

ΘΟῦ Κύριε τῇ σῇ Ἐκκλησίᾳ κραταίωμα ἀκλόνητον, διαμένειν εἰς αἰῶνα αἰῶνος τῷ σάλῳ τῶν αἱρέσεων.

ΕΙ'ς ἅπασαν τὴν γῆν ἡ φαιδρότης ἐξέλαμψε τῆς ἄνωθεν δεδομένης τοῖς πιστοῖς εὐφροσύνης, καὶ θείας ἀντιλήψεως.

ΟΜόνος ἀγαθὸς, καὶ πηγὴ ἀγαθότητος, σὺ ὕψωσον ὀρθοδόξων Βασιλέων τὸ κέρας, τιμώντων τὴν Εἰκόνα σου.

ΦΩ'ς ἄδυτον ἡμῖν εὐσεβείας ἀνέτειλεν θεσπίσματι θεοπνεύστῳ τῶν πιστῶν Βασιλέων, καὶ νεύματι θεόφρονι.

Θεοτοκίον.

ΕΓκαίνισον ἡμῖν τὴν ἀρχαίαν εὐπρέπειαν, πανάχραντε Θεομῆτορ, καὶ τὸν οἶκόν σου τοῦτον ἁγίασον σῇ χάριτι.

Κατα-

Καταβασία.

ΣΥ Κύριέ μου φῶς εἰς τὸν Κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπιστρέφον ἐκ ζοφώδους ἀγνοίας τοὺς πίστει ἀνυμνοῦντάς σε.

Ὠδὴ ϛ'. Θύσω σοι μετὰ φωνῆς αἰνέσεως.

ΓΡάφεται, καὶ τιμᾶται πιστῶς προσκυνούμενος ὁ χαρακτὴρ τοῦ Δεσπότου, καὶ λαμβάνει πάλιν ἡ Ἐκκλησία, παρρησίᾳ εὐσεβῶς τὸν Σωτῆρα δοξάζουσα.

Δίς.

ΓΥμνοῦται κατηφείας, καὶ σκότους αἱρέσεως ἡ τοῦ Χριστοῦ Ἐκκλησία, καὶ φορεῖ χιτῶνα τῆς εὐφροσύνης, καὶ τῇ θείᾳ, καὶ φωσφόρῳ πυκάζεται χάριτι.

ΕΥκλείας τῆς ἀρχαίας ἐλλάμψεως ἔτυχε τῶν ὀρθοδόξων ὁ δῆμος, Θεοδώρας νεύσει τῆς Βασιλίδος, καὶ τοῦ ταύτης υἱοῦ Μιχαὴλ Αὐτοκράτορος.

Θεοτοκίον.

Ὁ Πάλαι μαρτυρίου προστάξας γενέσθαι σκηνήν, ὡς ἐν σκηνῇ λογικῇ σοι κατοικεῖ ὁ μόνος δεδοξασμένος· ὁ δοξάζων τὸν Ναόν σου, Παρθένε, τοῖς θαύμασι.

Καταβασία.

ΘΥσω σοι μετὰ φωνῆς αἰνέσεως, Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη τῷ δι' οἶκτον ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι Αἵματι.

Κοντάκιον ἰδιόμ. ἦχος πλ. δ'.

Ὁ Ἀπερίγραπτος Λόγος τοῦ Πατρὸς ἐκ σοῦ, Θεοτόκε, περιεγράφη σαρκούμενος, καὶ τὴν ῥυπωθεῖσαν εἰκόνα εἰς τὸ ἀρχαῖον ἀναμορφώσας, τῷ θείῳ κάλλει συγκατέμιξεν· ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν ἔργῳ, καὶ λόγῳ ταύτην ἀνιστοροῦμεν.

Ὁ Οἶκος.

ΤΟῦτο τὸ τῆς οἰκονομίας μυστήριον, πάλαι Προφῆται θειωδῶς ἐμπνευσθέντες, δι' ἡμᾶς, τοὺς εἰς τὰ τέλη τῶν αἰώνων καταντήσαντας, προκατήγγειλαν, τῆς τούτου τυχόντες ἐλλάμψεως· γνῶσιν οὖν θείαν παρ' αὐτοῦ λαβόντες, ἕνα Κύριον τὸν Θεὸν γινώσκομεν ἐν τρισὶν ὑποστάσεσι δοξαζόμενον· καὶ αὐτῷ μόνῳ λατρεύοντες, μίαν Πίστιν, ἓν Βάπτισμα ἔχοντες, Χριστὸν ἐνδεδύμεθα. Ἀλλ' ὁμολογοῦντες τὴν σωτηρίαν ἔργῳ, καὶ λόγῳ, ταύτην ἀνιστοροῦμεν.

Τὸ Συναξάριον· στίχ. Τὰς οὐ πρεπόντως ἐξορίστους Εἰκόνας Χαίρω πρεπόντως προσκυνουμένας βλέπων.

ΤΗ͂ αὐτῇ ἡμέρᾳ Κυριακῇ πρώτῃ τῶν Νηστειῶν, τὴν Ὀρθοδοξίαν, ἤτοι τὴν ἀναστήλωσιν τῶν ἁγίων, καὶ σεπτῶν Εἰκόνων ἡ Ἐκκλησία τοῦ Χριστοῦ ἑορτάζειν παρέλαβε, γενομένην παρὰ Μιχαὴλ, καὶ Θεοδώρας τῆς ἁγίας, καὶ μακαριωτάτης Βασιλίδος, καὶ τοῦ ἁγίου Μεθοδίου Πατριάρχου Κωνσταντινουπόλεως, γέγονε δὲ οὕτως. Λέοντος τοῦ Ἰσαύρου ἐξ ὀνηλασίας, καὶ τοῦ χειρωνακτικοῦ βίου τὰ σκῆπτρα τῆς Βασιλείας κρατήσαντος, κατὰ Θεοῦ παραχώρησιν, ὁ ἐν ἁγίοις Γερμανὸς τηνικαῦτα τῶν οἰάκων τῆς Ἐκκλησίας ἐπειλημμένος, εὐθὺς μεταστέλλεται παρ' ἐκείνου, καὶ ἀκούει, ὡς ἐμοὶ δοκεῖ, Δέσποτα, τὰς ἁγίας Εἰκόνας μηδέν τι διαφέρειν εἰδώλων· κέλευε οὖν, ὅτι τάχος ἐκ μέσου ταύτας ἀπαγαγεῖν, εἰ ἀληθεῖς εἰσὶ τῶν Ἁγίων αἱ μορφαὶ, ἀλλ' εἰς τὸ μετεωρότερον ἀναρτάσθωσαν, ἵνα μὴ ταύταις, ἁμαρτίαις ἐγκυλινδούμενοι πάντοτε, μολύνωμεν ἀσπαζόμενοι· ὁ δὲ Πατριάρχης τοῦ τοσούτου μίσους τὸν Βασιλέα ἀπέτρεπε· μὴ σύγε λέγων, ὦ Βασιλεῦ· λυτῆσαι μὲν γάρ τινά ποτε κατὰ τῶν ἁγίων Εἰκόνων ἀκούομεν· Κόνωνα δὲ εἶναι αὐτῷ τὸ ἐπώνυμον· ὁ δὲ, ἀλλ' ἐγώ, φησιν, ἔτι νήπιος ὢν, ἐκαλούμην· μὴ πειθόμενον τοίνυν συνθέσθαι τὸν Πατριάρχην, ὑπερόριον τίθησι· καὶ τὸν ὁμόφρονα τούτου ἀντικαθίστησιν Ἀναστάσιον· καὶ οὕτω τηνικαῦτα τὴν κατὰ τῶν ἁγίων Εἰκόνων μάχην παρρησιάζεται. Λέγεται δὲ, Ἑβραίους πρῶτα τὸ τοιοῦτον μῖσος αὐτῷ ὑποθεῖναι, ἔκ τινος μαγγανείας προειπόντας τὴν εἰς τὴν Βασιλείαν ἀναγωγήν· ἡνίκα πένης ὤν, μετ' αὐτῶν διὰ τῆς ὀνηλασίας τὸ ζῆν διεπραγματεύετο· ἐκείνου δὲ τὸ ζῆν κακῶς ἀπορρήξαντος, ὁ ἐξ ἐκείνου ὠμότερος σκύμνος, ὁ κοπρώνυμος Κωνσταντῖνος τῆς Ἀρχῆς καὶ πλέον τῆς κατὰ τῶν ἁγίων Εἰκόνων λύττης διάδοχος γίνεται· καὶ τί χρὴ λέγειν ὅσα, καὶ οἷα οὗτος ὁ παράνομος διεπράξατο; πλὴν ἀλλὰ κακείνου αἴσχιστον τελευτήσαντος, ὁ ἐκ τῆς Χαζάρας υἱὸς ἐκείνου εἰς τὴν Βασιλείαν καθίσταται, ἐπεὶ δὲ καὶ αὐτὸς τὸ ζῆν κακῶς ἐξεμέτρησεν, Εἰρήνη, Καὶ Κωνσταντῖνος τῆς Ἀρχῆς κληρονόμοι γίνονται· οὗτοι ὑπὸ Ταρασίῳ τῷ ἁγιωτάτῳ Πατριάρχῃ καθοδηγούμενοι, τὴν ἑβδόμην Σύνοδον συγκροτοῦσι, καὶ τὰς ἁγίας Εἰκόνας πάλιν ἡ τοῦ Χριστοῦ Ἐκκλησία ἀπολαμβάνει, τούτων δὲ τὴν Βασιλείαν ἀποθεμένων, ὁ ἀπὸ γενικοῦ Νικηφόρος ἀνάγεται, εἶτα Σταυράκιος ὁ υἱὸς, μεθ' ὃν Μιχαὴλ ὁ Ῥαγγαβὲ τὰς θείας Εἰκόνας σεβόμενοι, τὸν Μιχαὴλ ὁ θηριώδης Λέων ὁ Ἀρμένιος διαδέχεται· ὃς ὑπὸ Μοναχοῦ τινὸς Ἐγκλείστου, καὶ δυσσεβοῦς δόλῳ διαφθαρεὶς, τὴν δευτέραν εἰκονομαχίαν ἐγείρει, καὶ πάλιν ἄκοσμος ἡ τοῦ Θεοῦ Ἐκκλησία γνωρίζεται· τοῦτον ὁ Ἀμοραῖος διαδέχεται Μιχαὴλ, τὸν δὲ πάλιν Θεόφιλος ὁ υἱὸς τῆς κατ' Εἰκόνων μανίας, τοὺς λοιποὺς ἐν δευτέρῳ θέμενος· οὗτος οὖν ὁ Θεόφιλος πολλοὺς τῶν ἁγίων Πατέρων ποιναῖς, καὶ κολάσεσιν ἀλλοκότοις ἐκδεδωκὼς, ὑπὲρ Εἰκόνων δηλαδὴ τῶν σεπτῶν, δικαιοσύνης τε ὡς ἐπὶ μᾶλλον ἀντεποιεῖτο, ὡς

ζητή-

Digitized by Google

ὡς ζητήσαντα ποτὲ, εἴ τις ἐστὶν ἐν τῇ πόλει δι᾽ ὄχλου ἑτέρῳ γινόμενος, μηδένα ἐπὶ πολλαῖς, ὥς φασι, ταῖς ἡμέραις εὑρεῖν, ἐπεὶ δὲ δύο καὶ δέκα αὐταρκήσας ἐνιαυτοὺς, καὶ δυσεντερίας νόσῳ καταχυθεὶς, διαῤῥήσεσθαι τῆς ζωῆς ἔμελλε, τὸ στόμα αὐτοῦ ὑπὲρ λίαν ἀνέῳγεν, ὡς καὶ αὐτὰ τὰ ἔγκατα ἔνδοθεν διαφαίνεσθαι· ἡ δ᾽ αὐγοῦστα Θεοδώρα περιαλγὴς τῷ συμβεβηκότι γινομένη, μόλις πρὸς ὕπνον τρέπεται· καὶ ὄναρ ὁρᾷ τὴν ἄχραντον Θεοτόκον, βρέφος ἐναγκαλισμένην τὸ προαιώνιον, ὑπὸ λαμπροφανῶν περιστοιχιζομένην Ἀγγέλων, Θεόφιλον δὲ τὸν ταύτης εὐνέτην ὑπ᾽ αὐτῶν μαστιζόμενον, καὶ ὀνειδιζόμενον, ὡς οὖν ἀνῆκε ταύτην ὁ ὕπνος, καὶ Θεόφιλος μικρὸν ἐπαναγαγὼν ἐξεβόησεν· οὐαίμοι τῷ ἀθλίῳ, διὰ τὰς ἁγίας Εἰκόνας μαστίζομαι· αὐτίκα τίθησιν ἐπάνω αὐτοῦ τὴν τῆς Θεοτόκου Εἰκόνα ἡ Βασιλὶς, δεομένη ταύτης σὺν δάκρυσιν, ὀψὲ μὲν Θεόφιλος, καίπερ οὕτως ἔχων, ὁρῶν τινὰ τῶν περιεστώτων ἐγκόλπιον φέροντα, δραξάμενος αὐτοῦ κατησπάζετο, καὶ αὐτίκα τὸ κατὰ τῶν Εἰκόνων φρυάξαν στόμα, καὶ ὁ ἀνέδην κεχηνὼς λάρυγξ εἰς τὴν προτέραν ἕξιν μετεσκευάζετο, καὶ τῆς συνεχούσης ἀνάγκης, καὶ βίας ἐπαύσατο, καὶ ὕπνωσε, καλὸν εἶναι ὁμολογήσας τὸ τὰς ἁγίας Εἰκόνας τιμᾶσθαί τε, καὶ σεβάζεσθαι· ἐξενέγκασα τοίνυν ἡ Βασιλὶς ἐκ τῶν αὐτῆς κιβωτίων τὰς σεπτὰς, καὶ ἁγίας Εἰκόνας, ἀσπάζεσθαι, καὶ ὅλῃ ψυχῇ τιμᾶν, τὸν Θεόφιλον παρεσκεύαζε· μετὰ μικρὸν οὖν ἐκλείπει τὸ ζῆν ὁ Θεόφιλος, ἡ δὲ Θεοδώρα τοὺς ἐν ὑπερορίᾳ, καὶ φυλακαῖς πάντας ἀνακαλεσαμένη, ἐν ἀδείᾳ διάγειν ἐκέλευσε· καὶ καταστρέφεται μὲν τοῦ Πατριαρχικοῦ θρόνου Ἰωάννης, ὁ καὶ Ἰαννὴς ὁ μαντιάρχης, καὶ δαιμονιάρχης μᾶλλον, ἢ Πατριάρχης· ὁ δὲ τοῦ Χριστοῦ ὁμολογητὴς Μεθόδιος ἀνεισοι τοῦτον, πολλὰ παθὼν πρότερον, καὶ ἐν τάφῳ ζῶν καθειρχθείς· τούτων δὲ οὕτως ἐχόντων, ἐπίσκεψίς τις γίνεται θεία Ἰωαννικίῳ τῷ μεγάλῳ, ἐν τοῖς τοῦ Ὀλύμπου ὄρεσιν ἀσκουμένῳ· ὁ γὰρ μέγας ἀσκητὴς Ἀρσαάκιος γινόμενος πρὸς αὐτὸν, ὁ Θεός με πρὸς σὲ ἀπέστειλε, λέγει· ὡς ἂν πρὸς τὸν ὁσιώτατον ἄνδρα Ἡσαΐαν τὸν Ἔγκλειστον ἐν Νικομηδίᾳ ἐλθόντες, παρ᾽ αὐτοῦ μάθωμεν, ὅσα φίλα Θεῷ, καὶ ἁρμόζοντα τῇ αὐτοῦ Ἐκκλησίᾳ, καὶ δὴ πρὸς τὸν ὁσιώτατον Ἡσαΐαν γενόμενοι, ἀκούουσι παρ᾽ αὐτοῦ, τάδε λέγει Κύριος, ἰδοὺ ἤγγικε τὸ τέλος τῶν ἐχθρῶν τοῦ ἐμοῦ ἐκτυπώματος, ὑμεῖς οὖν πρὸς τὴν Βασίλισσαν Θεοδώραν, ἀλλὰ δὴ καὶ πρὸς τὸν Πατριάρχην γεγονότες Μεθόδιον, λέξατε οὕτω, παῦσον πάντας τοὺς ἀνιέρους, καὶ οὕτω σὺν Ἀγγέλοις θυσίαν μοι προσενέγκοις, μορφῆς ἐμῆς τὴν Εἰκόνα, καὶ τοῦ Σταυροῦ σεβαζόμενος· ταῦτα ἀκούσαντες, τὴν Κωνσταντίνου εὐθέως καταλαμβάνουσι, καὶ τὰ εἰρημένα Μεθοδίῳ τῷ Πατριάρχῃ, καὶ τοῖς ἐκλεκτοῖς ἅπασι τοῦ Θεοῦ καταγγέλλουσιν, οἱ δ᾽ ἀθροισθέντες πρὸς τὴν Βασίλισσαν παραγίνονται, καὶ καταπειθῆ ταύτην ἐν πᾶσιν εὑρίσκουσιν· ἐκ πατέρων γὰρ ἦν εὐσεβὴς, καὶ φιλόθεος, αὐτίκα τοίνυν ἡ Βασιλὶς τὴν τῆς Θεοτόκου Εἰκόνα τοῦ τραχήλου ἀπῃωρημένην ἐξενεγκοῦσα, πάντων ὁρώντων, ἠσπάζετο, λέγουσα· εἴ τις ταύτας οὐ προσκυνεῖ, καὶ ἀσπάζεται σχετικῶς, οὐ λατρευτικῶς, οὐχ ὡς Θεοὺς, ἀλλ᾽ ὡς εἰκόνας τῶν ἀρχετύπων διὰ τὸν πόθον, εἴη τὸ ἀνάθεμα· οἱ δὲ μεγάλην χαρὰν ἐχάρησαν, ἀνταιτεῖται δὲ καὶ αὕτη αὐτοὺς ὡς ἂν δέησιν ὑπὲρ τοῦ ἀνδρὸς αὐτῆς Θεοφίλου ποιήσωσιν· οἱ δὲ τὴν πίστιν αὐτῆς ἰδόντες, καίπερ ἀπαναινόμενοι, πείθονται δ᾽ ὅμως, καὶ δὴ ὁ ἐν ἁγίοις Μεθόδιος τὸν λαὸν πάντα συναγαγὼν, καὶ τὸν κλῆρον ἅπαντα, καὶ τοὺς Ἀρχιερεῖς ἐν τῇ μεγάλῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ, ἐκεῖσε παραγίνεται, ἐν οἷς ἦσαν καὶ οἱ λογάδες οὗτοι, οἱ ἐξ Ὀλύμπου, ὁ μέγας Ἰωαννίκιος, καὶ Ἀρσαάκιος, Ναυκράτιός τε, καὶ οἱ μαθηταὶ Θεοδώρου τοῦ Στουδίτου, καὶ ὁ τοῦ μεγάλου Ἀγροῦ Θεοφάνης, καὶ Θεόδωρος οἱ γραπτοὶ, καὶ ὁμολογηταὶ, Μιχαὴλ ὁ ἁγιοπολίτης, καὶ Σύγκελλος, καὶ ἄλλοι πλεῖστοι δέησιν ὁλονύκτιον ὑπὲρ Θεοφίλου ποιοῦνται πρὸς τὸν Θεὸν, πάντων εὐχομένων μετὰ δακρύων, καὶ συντόνου δεήσεως, καὶ τοῦτο δι᾽ ὅλης τῆς πρώτης Ἑβδομάδος ἐπετελεῖτο τῶν Νηστειῶν, καὶ αὐτῆς τῆς Βασιλίσσης Θεοδώρας τὰ αὐτὰ ταῦτα μετὰ γυναικῶν, καὶ τοῦ λοιποῦ διαπραττομένης λαοῦ· τούτων δὲ οὕτως ἐχόντων, Θεοδώρα ἡ Βασιλὶς περὶ ὄρθρον αὐγάζοντα τῆς Παρασκευῆς εἰς ὕπνον τραπεῖσα, ἔδοξεν εὑρεθῆναι παρὰ τὸν κίονα τοῦ Σταυροῦ, καί τινας μετὰ θορύβου διερχομένους, τὴν ὁδὸν παριέναι, διάφορα κολαστηρίων ὄργανα περιφέροντας, μέσον δὲ τούτων ἀγόμενον δέσμιον καὶ τὸν Βασιλέα Θεόφιλον, ὄπισθεν περιηγκωνισμένον τὰς χεῖρας· τοῦτον δὲ γνωρίσασα, συνείπετο καὶ αὐτὴ τοῖς ἀπάγουσιν· ἐπεὶ δὲ ἄχρι τῆς χαλκῆς πύλης ἔφθασαν, εἶδεν ὑπερφυῆ τὴν ὄψιν ἄνδρα τινὰ καθήμενον ἔμπροσθεν τῆς Εἰκόνος τοῦ Χριστοῦ, οὗ κατέναντι τὸν Θεόφιλον ἔστησαν· τούτου δὲ τῶν ποδῶν ἁψαμένη ἡ Βασιλὶς, ὑπὲρ τοῦ Βασιλέως ἱκέτευεν· ὁ δὲ μόλις ἀνοίξας τὸ στόμα, μεγάλη σου ἡ πίστις, γύναι, φησί· γίνωσκε οὖν, ὡς διὰ τὰ δάκρυά σου, καὶ τὴν πίστιν, ἔτι δὲ καὶ διὰ τὴν παράκλησιν, καὶ ἱκεσίαν τῶν δούλων μου, καὶ τῶν Ἱερέων μου, συγγνώμην δίδωμι Θεοφίλῳ τῷ ἀνδρί σου· εἶτα λέγει καὶ τοῖς ἀπάγουσι· λύσατε αὐτὸν, καὶ παράδοτε τῇ γυναικὶ αὐτοῦ· ἡ δὲ τοῦτον λαβοῦσα, ὑπεχώρησεν ἀγαλλιωμένη, καὶ χαίρουσα· καὶ αὐτίκα ὁ ὕπνος ταύτην ἀνίησι, καὶ ταῦτα μὲν Θεοδώρα ἡ Βασιλὶς ἐθεάσατο· ὁ δὲ Πατριάρχης Μεθόδιος,

Βα-

τῶν εὐχῶν, καὶ δεήσεων ὑπὲρ αὐτοῦ γινομένων, χάρτην καινὸν λαβὼν, ἔγραψεν ἐν αὐτῷ πάντων τῶν αἱρετικῶν Βασιλέων τὰ ὀνόματα, ἐντάξας καὶ αὐτοῦ τοῦ Θεοφίλου, καὶ ὑποκάτω τῆς ἁγίας Τραπέζης λαβὼν ἅπαντα ἔθετο, περὶ δὲ τὴν Παρασκευὴν ὁρᾷ καὶ αὐτὸς Ἄγγελόν τινα φοβερὸν τὸν μέγαν εἰσιόντα Νεών· καὶ πρὸς αὐτὸν γενόμενον, φάναι λέγεται, εἰσηκούσθη ἡ δέησίς σου Ἐπίσκοπε, καὶ συγγνώμης ἔτυχεν ὁ Βασιλεὺς Θεόφιλος, μηκέτι οὖν τοῦ λοιποῦ περὶ τούτου δυσώχλει τὸ Θεῖον, ὁ δὲ πειρώμενος, εἰ ἀληθὲς τὸ ὁρώμενον, τῆς στάσεως ὑποβὰς, καὶ τὸν χάρτην λαβὼν, καὶ ἀνελιξάμενος, εὗρεν, ὢ Θεοῦ κριμάτων, ἀπαληλειμμένον Θεόθεν παντάπασι τὸ τοῦ Θεοφίλου ὄνομα· τοῦτο μαθοῦσα ἡ Βασιλὶς, ὑπερήσθη λίαν, καὶ τῷ Πατριάρχῃ διαμηνύεται, πάντα τὸν λαὸν συναθροῖσαι μετὰ τῶν τιμίων Σταυρῶν, καὶ τῶν ἁγίων Εἰκόνων ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, ὡς ἂν ὁ κόσμος τῶν ἁγίων Εἰκόνων ταύτῃ ἀποδοθείη, καὶ τὸ καινὸν τεράστιον ἅπασι γνωρισθείη, καὶ δὴ πάντων μικροῦ δεῖν ἐν τῇ Ἐκκλησίᾳ συναθροισθέντων μετὰ κηρῶν, καὶ ἡ Βασιλὶς σὺν τῷ υἱῷ παραγίνεται, καὶ Λιτῆς ἐκεῖθεν γενομένης μετὰ τῶν ἁγίων Εἰκόνων, καὶ τῶν θείων, καὶ σεβασμίων τοῦ Σταυροῦ ξύλων, καὶ τοῦ ἱεροῦ, καὶ θείου Εὐαγγελίου, ἄχρι καὶ τοῦ λεγομένου Μιλίου ἐξῆλθον, τὸ, Κύριε ἐλέησον ἀνακράζοντες, καὶ οὕτω πάλιν ἀναστραφέντες ἐν τῇ Ἐκκλησίᾳ, τὴν θείαν Λειτουργίαν ἐπετέλεσαν, ἀναστηλωθεισῶν τῶν ἁγίων, καὶ σεβασμίων Εἰκόνων παρὰ τῶν δηλημμένων Ἁγίων ἀνδρῶν, ἀνακηρυχθέντων μὲν τῶν εὐσεβούντων, καὶ ὀρθῶς δοξαζόντων, τῶν δὲ ἐναντίων ἀσεβούντων, καὶ μὴ τὴν τῶν ἁγίων Εἰκόνων τιμὴν ἀποδεχομένων, ἀποκηρυχθέντων, καὶ παραδοθέντων τῷ Ἀναθέματι· καὶ ἔκτοτε ὥρισαν οὗτοι οἱ ἅγιοι Ὁμολογηταὶ ἐτήσιον οὕτω ταύτην τὴν ἱερὰν πανήγυριν γίνεσθαι, ἵνα μή ποτε καὶ αὖθις τῇ αὐτῇ δυσσεβείᾳ ἐμπέσωμεν. Ἡ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρὸς πρεσβείαις τῶν ἁγίων σου Ὁμολογητῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ἐν τῇ καμίνῳ.

ΣΥγχορευέτω τῆς Ἐκκλησίας τῇ φαιδρότητι πόθῳ θεϊκῷ Ἀγγέλων ἡ στρατιὰ θεοφρόνως ἀναμέλπουσα, εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου, Κύριε.

ἩἘκκλησία τῶν πρωτοτόκων, καὶ πανηγύρεις χαίρει, θεαμένη νῦν τὸν θεῖον λαὸν ὁμοφρόνως ἀναμέλποντα, εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου, Κύριε.

ΛΕλυτρωμένοι τῆς πρὶν ἀχλύος τῆς αἱρέσεως νεύσει Θεοδώρας τῆς ἀξιοπρεποῦς Βασιλίδος, ἀναμέλπομεν, εὐλογημένος εἶ ἐν τῷ Ναῷ τῆς δόξης σου, Κύριε.

Θεοτοκίον.

ΥΠὲρ τὰς ἄνω χοροστασίας ἤρθης, πάναγνε, μόνη γενομένη Μήτηρ τοῦ παντουργοῦ, γηθέντες οὖν κραυγάζομεν, εὐλογημένη σὺ ἐν γυναιξὶν ὑπάρχεις, παναμώμη Δέσποινα.

Καταβασία.

ἘΝ τῇ καμίνῳ Ἀβραμιαῖοι παῖδες τῇ περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον, ἢ τῇ φλογὶ,
„ πυρπολούμενοι ἐκραύγαζον, εὐλογημένος εἶ ἐν
„ τῷ Ναῷ τῆς δόξης σου, Κύριε.

Ὠδὴ η'. Χεῖρας ἐκπετάσας Δανιήλ.

ΘΕσμοὺς Ἐκκλησίας πατρικοὺς διαφυλάττοντες, Εἰκόνας γράφομεν, καὶ ἀσπαζόμεθα στόμασι, καὶ καρδίᾳ, καὶ θελήματι, τῶν τοῦ Χριστοῦ, καὶ τῶν αὐτοῦ Ἁγίων κράζοντες, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ἘΠὶ τὸ πρωτότυπον σαφῶς τὴν τῆς Εἰκόνος τιμὴν, καὶ τὴν προσκύνησιν ἀναβιβάζοντες σέβομεν, θεηγόρων τοῖς διδάγμασιν ἀκολουθοῦντες, τῷ Χριστῷ πίστει κραυγάζομεν, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

ΝΟῦν καταυγασθεῖσα φωτισμῷ τοῦ θείου Πνεύματος σεπτὴ Βασίλισσα, καρποὺς θεόφρονας ἔχουσα, τὴν εὐπρέπειαν ἠγάπησε τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, καὶ ὡραιότητα, εὐλογοῦσα ἅμα πιστοῖς Ἰησοῦν τὸν θεάνθρωπον.

Θεοτοκίον.

ἈΚτῖσι φωτὸς τοῦ νοητοῦ καταλαμπόμενος ὁ θεῖος Οἶκός σου, κατασκιάζει νῦν ἅπαντας τῇ νεφέλῃ τῇ τοῦ Πνεύματος, καὶ ἁγιάζει τοὺς πιστοὺς συμφώνως ψάλλοντας, εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.

Καταβασία.

ΧΕῖρας ἐκπετάσας Δανιὴλ, λεόντων χάσματα ἐν λάκκῳ ἔφραξε, πυρὸς δὲ δύναμιν
„ ἔσβεσαν ἀρετὴν περιζωσάμενοι οἱ εὐσεβείας ἐ-
„ ρασταὶ παῖδες κραυγάζοντες, εὐλογεῖτε πάντα
„ τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ'. Λίθος ἀχειρότμητος.

ἹΕρογραφίαις Εἰκόνων κεκοσμημένην καθορῶντες πάλιν τὴν σεπτὴν Ἐκκλησίαν μετ' εὐλαβείας πάντες προσδράμωμεν, καὶ τῷ Χριστῷ βοήσωμεν, σὲ μεγαλύνομεν Τρισάγιε.

ΓΈρας, καὶ τιμὴν κεκτημένη ἡ Ἐκκλησία, τὸν Σταυρόν σου, καὶ τὰς σεβασμίους Εἰκόνας, καὶ τῶν Ἁγίων τὰ ἐκτυπώματα, μετ' εὐφροσύνης, Δέσποτα, καὶ θυμηδίας μεγαλύνει σε.

ΛΑμπρυνον τῇ θείᾳ σου δόξῃ τοὺς Βασιλεῖς ἡμῶν, οἰκτίρμον, καὶ παρεμβολαῖς ἀγγελικαῖς, καὶ πανοπλίαις τούτους περίφραξον, τὴν τῶν Ἐθνῶν θρασύτητα καθυποτάσσων αὐτοῖς, Δέσποτα.

Θεοτοκίον.

ἭΡθη τῆς προμήτορος Εὔας ἡ καταδίκη, Θεοτόκε, ὅτι σὺ τὸν πάντων Δεσπότην ἀνερμηνεύ-

μεμαθότας, ἁγνὴ, γεγεννηκυῖας, ὧ νῦν τὴν ἐμφέρειαν ἐν ταῖς Εἰκόσιν ἀσπαζόμεθα,

Καταβασία.

ΛΙ'θος ἀχειρότμητος ὄρους ἐξ ἀλαξεύτου σοῦ, Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς
„ συνάψας τὰς διεστώσας φύσεις, διὸ ἐπαγαλλόμενοι, σὲ, Θεοτόκε, μεγαλύνομεν,

Ἐξαποστειλάριον τὸ ἑωθινὸν ἀναστάσιμον, ἅπαξ, καὶ τὰ παρόντα.

Τοῖς Μαθηταῖς.

ΣΚιρτήσατε, κροτήσατε, μετ᾽ εὐφροσύνης ἄσατε, ὡς θαυμαστά σου, καὶ ξένα, Χριστὲ, βοῶντες τὰ ἔργα, καὶ τίς ἰσχύσει ἐξειπεῖν, Σῶτερ, τὰς δυναστείας σου, τῶν νῦν ἡμῶν ὁμόνοιαν, καὶ συμφωνίαν εἰς μίαν ἑνώσαντος Ἐκκλησίαν.

Θεοτοκίον.

ΡΟμφαῖαι νῦν ἐξέλιπον τῆς δυσμενοῦς αἱρέσεως, καὶ τὸ μνημόσυνον ταύτης ἐξηφανίσθη μετ᾽ ἤχου, τὸν γὰρ Ναόν σου, πάναγνε, πανευπρεπῶς θεώμενοι κεκοσμημένον χάρισι τῶν σεβασμίων Εἰκόνων, χαρᾶς πληρούμεθα πάντες.

Εἰς τοὺς Αἴνους στιχ. ἀναστάσιμα δ΄. Καὶ ἀνατολικὸν, Καὶ τοῦ Τριῳδίου προσόμοια γ΄. ἦχος δ΄. Ἔδωκας σημείωσιν.

ΕΝ σοὶ νῦν ἀγάλλεται ἡ Ἐκκλησία, φιλάνθρωπε, τῷ νυμφίῳ, καὶ κτίστῃ αὐτῆς, τῷ ταύτην θελήματι θεοπρεπεστάτῳ ἐξ εἰδώλων πλάνης λυτρωσαμένῳ, καὶ σαυτῷ ἁρμοσαμένῳ τιμίῳ Αἵματι, φαιδρῶς ἀπολαμβάνουσαν τὴν ἱερὰν ἀναστήλωσιν τῶν Εἰκόνων, καὶ χαίρουσα, σὲ ὑμνεῖ, καὶ δοξάζει πιστῶς.

Στιχ. Ἐξομολογήσομαί σοι Κύριε.

ΣΑρκὸς τὸ ἐκτύπωμα ἀναστηλοῦντες σου, Κύριε, σχετικῶς ἀσπαζόμεθα, τὸ μέγα μυστήριον τῆς Οἰκονομίας τῆς σῆς ἐκδηλοῦντες, οὐ γὰρ δοκήσει, ὡς φασὶν, οἱ θεομάχοι παῖδες τοῦ Μάνεντος, ἡμῖν ὤφθης, φιλάνθρωπε, ἀλλ᾽ ἀληθείᾳ, καὶ φύσει σαρκὸς δι᾽ αὐτῆς ἀναγόμενοι πρὸς σὸν πόθον, καὶ ἔρωτα.

Στιχ. Εὐφρανθήσομαι.

ΗΜέρα χαρμόσυνος, καὶ εὐφροσύνης ἀνάπλεως πεφανέρωται σήμερον, φαιδρότης δογμάτων γὰρ τῶν ἀληθεστάτων ἀστράπτει, καὶ λάμπει ἡ Ἐκκλησία τοῦ Χριστοῦ κεκοσμημένη ἀναστηλώσεσιν Εἰκόνων τῶν ἁγίων νῦν, ἐκτυπωμάτων καὶ λάμψεσι· καὶ ὁμόνοια γίνεται τῶν πιστῶν θεοβραβεύτως.

Στιχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου.

Καὶ ψαλλόμενον τὸ ἰδιόμελον τῆς ἡμέρας.

ἦχος πλ. β΄.

ΜΩσῆς τῷ καιρῷ τῆς ἐγκρατείας νόμον ἐδέξατο, καὶ λαὸν ἐπεσπάσατο. Ἠλίας νηστεύσας, Οὐρανοὺς ἀπέκλεισε, τρεῖς δὲ παῖδες Ἀβραμιαῖοι τύραννον παρανομοῦντα διὰ νηστείας ἐνίκησαν, δι᾽ αὐτῆς καὶ ἡμᾶς, Σωτὴρ, ἀξίωσον τῆς Ἀναστάσεως τυχεῖν οὕτω βοῶντας. Ἅγιος ὁ Θεὸς, Ἅγιος ἰσχυρὸς, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν, Ὑπερευλογημένη ὑπάρχεις. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις, καὶ ἡ Λιτὴ ἐν τῷ Νάρθηκι ὡς συνήθως, ψαλλομένου τοῦ ἑωθινοῦ στιχ. Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ τοῦ Ἤχου, καὶ ἀπὸ τοῦ Κανόνος τῆς ἡμέρας. Προκείμενον ἦχος δ΄. ᾠδὴ τῶν Πατέρων.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων.

Στιχ. Ὅτι δίκαιος εἶ ἐπὶ πᾶσι.

Πρὸς Ἑβραίους.

ΑΔελφοὶ, πίστει Μωσῆς μέγας γενόμενος, ἠρνήσατο λέγεσθαι υἱὸς θυγατρὸς Φαραὼ, μᾶλλον ἑλόμενος συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ, ἢ πρόσκαιρον ἔχειν ἁμαρτίας ἀπόλαυσιν, μείζονα πλοῦτον ἡγησάμενος τῶν Αἰγύπτου θησαυρῶν τὸν ὀνειδισμὸν τοῦ Χριστοῦ· ἀπέβλεπε γὰρ εἰς τὴν μισθαποδοσίαν· καὶ τί ἔτι λέγω; ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Γεδεὼν, Βαράκ τε, καὶ Σαμψὼν, καὶ Ἰεφθάε, Δαβίδ τε, καὶ Σαμουὴλ, καὶ τῶν Προφητῶν, οἳ διὰ πίστεως κατηγωνίσαντο Βασιλείας, εἰργάσαντο δικαιοσύνην, ἐπέτυχον ἐπαγγελιῶν, ἔφραξαν στόματα λεόντων, ἔσβεσαν δύναμιν πυρὸς, ἔφυγον στόματα μαχαίρας, ἐνεδυναμώθησαν ἀπὸ ἀσθενείας, ἐγενήθησαν ἰσχυροὶ ἐν πολέμῳ, παρεμβολὰς ἔκλιναν ἀλλοτρίων· ἔλαβον γυναῖκες ἐξ ἀναστάσεως τοὺς νεκροὺς αὐτῶν, ἄλλοι δὲ ἐτυμπανίσθησαν, οὐ προσδεξάμενοι τὴν ἀπολύτρωσιν, ἵνα κρείττονος ἀναστάσεως τύχωσιν· ἕτεροι δὲ ἐμπαιγμῶν, καὶ μαστίγων πεῖραν ἔλαβον, ἔτι δὲ δεσμῶν, καὶ φυλακῆς· ἐλιθάσθησαν, ἐπρίσθησαν, ἐπειράσθησαν, ἐν φόνῳ μαχαίρας ἀπέθανον, περιῆλθον ἐν μηλωταῖς, ἐν αἰγείοις δέρμασιν, ὑστερούμενοι, θλιβόμενοι, κακουχούμενοι, ὧν οὐκ ἦν ἄξιος ὁ Κόσμος, ἐν ἐρημίαις πλανώμενοι, καὶ ὄρεσι, καὶ σπηλαίοις, καὶ ταῖς ὀπαῖς τῆς γῆς· καὶ οὗτοι πάντες μαρτυρηθέντες διὰ τῆς πίστεως οὐκ ἐκομίσαντο τὴν ἐπαγγελίαν, τοῦ Θεοῦ περὶ ἡμῶν κρεῖττόν τι προβλεψαμένου, ἵνα μὴ χωρὶς ἡμῶν τελειωθῶσιν.

Ἀλληλούϊα, ἦχος πλ. δ΄.

Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν αὐτοῦ.

Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν.

Αἰνεῖτε τὸν Κύριον.

Χρὴ εἰδέναι, ὅτι μετὰ τὴν Ἀπόλυσιν τοῦ Ὄρθρου λιτανεύομεν κοινῶς μετὰ τοῦ ἁγίων τοῦ Σταυροῦ ξύλων, καὶ τῶν σεπτῶν Εἰκόνων καὶ ἀπερχόμεθα ἐν τόπῳ ὡρισμένῳ, ὅπου δεῖ ἀναγινώσκειν τὸ Συνοδικὸν, προάγομεν δὲ, καὶ ἀναστρέφοντες ἡμῶν,

μων, ψάλλομεν τὸν παρόντα Κανόνα· ποίημα τοῦ ἁγίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου, ᾠδὴ ά. ἦχ. πλ. β΄.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι.

Χαριστήριον ᾠδὴν τῷ εὐεργέτῃ Θεῷ τῶν ὅλων ᾄσωμεν, πιστοὶ, ὅτι ἤγειρε σωτήριον κέρας, Βασιλείαν κραταιὰν, Ὀρθοδοξίας πρόμαχον.

Ἐπεφάνη ἀληθῶς ἡ θεία χάρις τῇ Οἰκουμένῃ, δόξα, καὶ τιμὴ πεφανέρωται· σκιρτᾷ Ἐκκλησία, δεξαμένη τὴν στολὴν τῆς ἑαυτῆς γυμνώσεως.

Τὸν χιτῶνα τοῦ Χριστοῦ διερρηγμένον ὑπὸ τοῦ πλάνου, καὶ φαρμακουργοῦ Ἰωάννου, τὸν πρὶν, οἱ θεῖοι Πατέρες ἐξυφάναντες σαφῶς, τῇ Ἐκκλησίᾳ ἔδωκαν.

Τοῦ Κυρίου τὴν μορφὴν ἀπολαβοῦσα ἡ Ἐκκλησία, χαίρει, καὶ σκιρτᾷ σὺν τοῖς τέκνοις αὐτῆς, ὡς νίκης βραβεῖα δεξαμένη παρ' αὐτοῦ Ὀρθοδοξίας σύμβολα.

Αἰσχυνθήτωσαν λοιπὸν, καὶ ἐντραπείτωσαν μεμηνότες. Λῆξιξ ὁ δεινὸς, καὶ Ἀντώνιος σὺν τῷ Ἰωάννῃ, καὶ Θεοδώροιν ἀμφοῖν, οἱ ἀρνηταὶ τῆς πίστεως.

Ἰαννὴς, καὶ Ἰαμβρὴς ἀνθεστηκότες τῷ νομοθέτῃ πάλαι Μωϋσῇ κατῃσχύνθησαν, νυνὶ δὲ ὁ πλάνος Ἰωάννης ἀληθῶς σὺν Ἀντωνίῳ δείκνυται.

Σὺ διέρρηξας, Χριστὲ, τὴν ζωοειδῆ τῶν θεομάχων, καὶ τὸν στολισμὸν ἀποδέδωκας τῇ σῇ Ἐκκλησίᾳ, ὑπὲρ ἧς, ὡς ἀγαθὸς, τὸ Αἷμά σου ἐξέχεας.

Δόξα.

Σὲ, Τριὰς, θεολογῶ, καὶ προσκυνῶ σου τὸ θεῖον κράτος, ῥῦσαι πειρασμῶν ἐκ παντοίων με, εἰς σὲ γὰρ πιστεύω, τὸν Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ πανάγιον.

Θεοτοκίον.

Τὴν βασίλειον στολὴν ἐκ σοῦ, Παρθένε, Θεὸς φορέσας, ὤφθη τοῖς βροτοῖς ἀνθρωπόμορφος, διπλοῦς κατ' οὐσίαν, οὗ τὸ εἶδος τῆς μορφῆς ἥνπερ ἐν προσκυνήσει ἔχομεν.

Ὠδὴ γ΄. Στερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν.

Εὐφραίνεσθε ἅπαντες χοροὶ Πατέρων, καὶ Ἀποστόλων, καθορῶντες τὴν προσκύνησιν τῶν Εἰκόνων, ἥνπερ ἐμφανῶς παρεδώκατε.

Τὸ κάλλος μου ἔλαβον, καὶ τὴν στολήν μου ἐνεδυσάμην, ἐκβοάτω ἡ παναμώμος Ἐκκλησία, ἥνπερ Ἰωάννης ἐξέδυσεν.

Αἰσχύνθητε ἄνομοι, αἱρεσιάρχαι λοῦντες, κατὰ Κυρίου· ἐσαρκώθη, καὶ ἐφάνη γὰρ ἐν Εἰκόνι, ἥνπερ χριστικῶς ἀσπαζόμεθα.

Τὰ βέβηλα δόγματα, καὶ τὰς ἀθέσμους διδασκαλίας Ἰωάννου τοῦ παράφρονος τίς ἐξείποι, τρόπους δελφικοὺς ἐκτιθέμενος;

Ἀνάθεμα Λήζικι, καὶ Ἰωάννῃ σὺν Ἀντωνίῳ. Θεοδώρῳ τῷ ἀθέῳ τε, καὶ βλασφήμῳ, ἅμα Θεοδότῳ παράφρονι.

Τὰ αἵματα κράζουσι, τὰ ἐκχυθέντα ὑπὲρ τῆς θείας σαρκοφόρου ὁμοιώσεως τοῦ Δεσπότου, ἅπερ Ἰωάννης ἐξέχεεν.

Ἐδίωξε Κύριος τὴν ζωοειδῆ τῶν ἀλλοτρίων, καὶ ἀπέδωκε τὰ ἴδια τοῖς ἰδίοις, δόξα τῇ αὐτοῦ ἀγαθότητι.

Δόξα.

Τὴν ἄναρχον θέλησιν, καὶ ἐξουσίαν, καὶ Βασιλείαν τῆς Τριάδος προσκυνήσωμεν ὀρθοδόξως, Ἄρειον ἀεὶ στηλιτεύοντες.

Θεοτοκίον.

Κυρίως σε Δέσποιναν ὁμολογοῦμεν, Θεὸν τεκοῦσαν, μὴ προσέχοντες τοῖς ῥήμασι Νεστορίου, ἀλλὰ τῶν Πατέρων τοῖς δόγμασιν.

Ὠδὴ δ΄. Ἀκήκοεν ὁ Προφήτης.

Ἀγάλλου ἡ Ἐκκλησία, καὶ πᾶσα πόλις, καὶ χώρα ἐν εὐφροσύνῃ, ἀνοιγέσθω νῦν τὰ ἀσκητήρια, καὶ οἱ παρθενῶνες καλλωπίζεσθε, τὰ Λείψανα, καὶ Εἰκονίσματα τῶν Μαρτύρων ἀξίως προσκυνείσθωσαν.

Χριστὸς ἡμᾶς προσκαλεῖται, συνέλθετε νῦν προθύμως, θεῖοι Πατέρες, καὶ τὴν θέαν τῆς αὐτοῦ σαρκώσεως ἀποστολικῶς ἀνιστορήσατε, τὰ θαύματα, καὶ τὰ παθήματα, καθὼς γράφει τὸ θεῖον Εὐαγγέλιον.

Ἀθροίσθητε γεγηθότες τὰ πλήθη τῶν Μοναζόντων ἐν παῤῥησίᾳ, ἐὰν γὰρ κακῶς ἰσχύσωσι, πάλιν ἡττηθήσονται οἱ δείλαιοι, καὶ ἣν ἂν βουλὴν βουλεύσωνται οἱ τοιοῦτοι, διασκεδάσει Κύριος.

Αἱ μάστιγες τῶν Πατέρων, τὰ αἵματα τῶν μωλώπων ἔλειψαν ὄντως, ἐξορίαι συνεχεῖς ἐπαύσαντο, καὶ εἰρήνη πᾶσι πολιτεύεται, οὐκέτι ἰσχύσει τὸ δρᾶμα τῆς γοητείας, Θεὸς γὰρ μεθ' ἡμῶν ἐστιν.

Ἡ ἄμπελος τῆς κακίας ἐξέτεινε τὰ κλήματα τῆς ἀσεβείας, καὶ τὸν βότρυν τὸν πικρὸν ἐξηνθήσε, καὶ θυμὸς δράκοντος ὁ οἶνος αὐτῶν, ἐξ οὗ τὸν λαὸν τοῦ Κυρίου ἐπότισαν ὄντως τὴν θολερὰν κακόνοιαν.

Ἐμίαναν τὸν Ναόν σου ἀθέσμοις χειροτονίαις διὰ χρημάτων, καὶ κανονικῶς οὗτοι ἐκβέβληνται, καὶ τῆς θείας δόξης ἐκπεπτώκασιν ὁ Σίμων ὁ μάγος, σὺν τούτῳ καὶ Ἰωάννης, καὶ ὁ δεινὸς Ἀντώνιος.

Τοὺς θῆρας, καὶ θεομάχους Ἀντώνιον τὸν βέβηλον, καὶ παραβάτην Ἰωάννην τὸν σατανογνώμονα, καὶ τῆς Ἐκκλησίας πολεμήτορα, ὡς λύκους βαρεῖς συνελθόντες, Ἀναθέματι, πιστοὶ, ἀναβοήσωμεν.



Digitized by Google

Δόξα.

Ἡ ἄκτιστος μοναρχία, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα, σὲ προσκυνοῦμεν, ὃν τὰ Χερουβὶμ τὰ πολυόμματα, καὶ τὰ Σεραφὶμ τὰ ἑξαπτέρυγα ὑμνοῦσι, κραυγάζοντα, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, ὦ παντοκράτορ ὕψιστε.

Θεοτοκίον.

Ἁγίων ἁγιωτέρα, καὶ πάντων ὑψηλοτέρα τῶν ποιημάτων μόνη ἀνεδείχθης Μητροπάρθενε, ὡς αὐτὸν κυήσασα τὸν πλάστην σου· διὸ τὴν ἁγίαν μορφήν σου, Θεογεννῆτορ, ἐν προσκυνήσει ἔχομεν.

Ὠδὴ ε'. Ἐκ νυκτὸς ὀρθρίζοντα φιλάνθρωπε.

Ὁ Χριστὸς νενίκηκε, σκιρτάτω ἡ γῆ, πέπαυται θόρυβος, πέπαυται καὶ ὁ κλαυθμὸς τῶν τοῦ Κυρίου δούλων, ἡ πίστις δὲ πανταχοῦ τοῦ Κόσμου ἐφηπλώθη.

Ἐν εἰκόνι βλέποντες τὸν σταυρωθέντα, σέβοντες στέργομεν, ἀσπαζόμενοι Χριστὸν, καὶ τὰ αὐτοῦ σημεῖα, καὶ προσκυνοῦμεν αὐτὰ, οὐχ ὡς θεοὺς τιμῶντες.

Πνεῦμα τὸ πολύρρημον, καὶ βλάσφημον Ληζικος πέπαυται, τὸ λαλοῦν διαπαντὸς ἡμέραν καθ' ἡμέραν κατὰ τῆς θείας μορφῆς Χριστοῦ, καὶ τῶν Ἁγίων.

Ἵνατι, Ζηλόθλιε, μεμίσηκας μόρφωσιν ἄχραντον τῆς σαρκώσεως Χριστοῦ, καὶ τῶν Ἁγίων πάντων· μὴ γὰρ εἰδώλοις κωφοῖς οἱ πιστοὶ προσκυνοῦμεν.

Ἀσεβείας ὄργανα τυγχάνοντες ἤθροισαν Σύνοδον ἱερέων ἀσεβῶν κατὰ Θεοῦ ὑψίστου, ὡς Ἰουδαῖοι τὸ πρὶν, Ἄννας, καὶ Καϊάφας.

Ἐν ἡμέρᾳ κρίσεως, παναθλιε, στήσονται ἔλεγχοι τῆς ἀθέου σου ψυχῆς, ὁ δῆμος τῶν Πατέρων, ὧνπερ ἀμέτροις πληγαῖς ἐγύμνωσας τὰς σάρκας.

Ἐκκλησίαι ἅπασαι βοήσουσι, κράζουσαι ἅπασαι, στερηθεῖσαι ὑπὸ σοῦ τῆς μορφῆς τοῦ Κυρίου, καὶ τῶν Ἁγίων αὐτοῦ τὰς ἱερὰς Εἰκόνας.

Δόξα.

Ἡ τὸ πᾶν συνέχουσα τῷ κράτει σου, δόξα σοι, δόξα σοι, Ζωοποιὲ (ἰσοπόστατε) μονὰς, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα. τοὺς πεποιθότας εἰς σὲ ῥῦσαι παντοίας βλάβης.

Θεοτοκίον.

Ὡς χρυσοκαλλώπιστον λυχνίαν σε, Δέσποινα, σεβόμεθα, τὴν τὸ φῶς τὸ νοητὸν γεννήσασαν τῷ Κόσμῳ, καὶ τὴν ζοφώδη ἀχλὺν μειώσασαν, Παρθένε.

Ὠδὴ ς'. Ἐβόησα ἐν ὅλῃ.

Ἐβόησαν οἱ ἄγρυπνοι φύλακες τῆς Ἐκκλησίας τοῦ Χριστοῦ πρὸς αὐτὸν, αἰτοῦντες, δοθῆναι τὴν εἰρήνην, καὶ εἰσήκουσε, καὶ προσέσχε τῇ δεήσει.

Διήλεγκται τοῦ πλάνου τὰ θήρατρα ταῖς τῶν Πατέρων διδαχαῖς, καὶ Θεὸς ὑμνεῖται σαρκὶ μεμορφωμένος ὁ ἀπερίγραπτος Θεότητι ὑπάρχων.

Οἱ συνεργοὶ τῆς πλάνης αἰσχύνθητε, καὶ ἀπολέσθωσαν ὁμοῦ σὺν τῷ Ἀντωνίῳ Θεόδοτος, καὶ Λῆζιξ, καὶ Θεόδωρος, ὁ βυθὸς τῆς ἀπωλείας.

Τὸ στόμα σου διήνοιξας, ἄθλιε, οὐκ ἐν ᾠδαῖς πνευματικαῖς, ἀλλ' ἐν βλασφημίαις κατὰ τοῦ σοῦ Δεσπότου, ἀποθέμενος τὴν σεπτὴν εἰκονουργίαν.

Διέστρεψας Πατέρων τὰ δόγματα, καὶ Ἀποστόλων διδαχὰς, ἀλλὴν ἄλλως γράφων κατὰ τὴν σὴν θρησκείαν τὴν παράνομον, Ἰωάννη χριστομάχε.

Σοῦ ὁ καπνὸς δακρύων ἐνέπλησε τῶν εὐσεβούντων ὀφθαλμούς· ἀλλὰ τῷ ἀνέμῳ τῶν θείων διδασκάλων διεσκέδασται, ματαιόφρον Ἰωάννη.

Σὺ τὴν στολὴν τὴν θείαν διέρρηξας, ὥσπερ ὁ Ἄρειος τὸ πρὶν τὸν Χριστοῦ χιτῶνα, διὸ τῆς Ἐκκλησίας πόρρω βέβλησαι, ἐκβληθεὶς καθάπερ κύων.

Δόξα.

Μίαν ἀρχὴν δοξάζω Θεότητος ἐν ὑποστάσεσι τρισίν· εἷς Θεὸς γάρ ἐστι, Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα, κἂν διῄρηται χαρακτῆρσι, καὶ προσώποις.

Θεοτοκίον.

Προφητικῶς, ἁγνὴ θεοδόξαστε, πύλη ἐδείχθης τοῦ Θεοῦ, ἐξ ἧς ἐγεννήθη αὐτὸς ὁ ποιητής σου, μετὰ τόκον σε, ὡς τὸ πρὶν, διαφυλάξας.

Ὠδὴ ζ'. Ἡμάρτομεν, ἠνομήσαμεν.

Τὴν κάμινον τῆς αἱρέσεως νῦν κατέσβεσεν ἡ θεία χάρις, φλέγουσα νοουμένους Χαλδαίους, καὶ δροσίζουσα Τριάδος θεράποντας, τετραπλαῖς ἑβδομάδεσιν ἐτῶν αὐτὴν διακρατήσασαν.

Πεποίκιλται, περιβέβληται, κεκαλλώπισται ἡ Ἐκκλησία μόρφωσιν τοῦ Δεσπότου τῶν ὅλων, τῆς σαρκώσεως, καὶ τῶν παθημάτων αὐτοῦ, καὶ τὰ σύμβολα φέρουσα εἰς τέλος, κατὰ τοὺς θείους θεσμούς.

Ἑόρταζε, πανηγύριζε ὁ χριστώνυμος λαὸς Κυρίου, βλέπων τὴν Ἐκκλησίαν καὶ πάλιν διαλάμπουσαν τὸ κάλλος τῆς θείας μορφῆς· ἣν, Θεὸς ὢν, ἐφόρεσεν ὡς ἄνθρωπος διὰ τὸ σῶσαι ἡμᾶς.

Ἐπτώχευσε, καὶ ἐπείνασε, καὶ ἐδίψησε σαρκὶ ὁ Λόγος, ταῦτα τῆς ἀνθρωπίνης οὐσίας ἰδιώματα, δι' ὧν περιγράφεται, οὗτος δὲ τῇ Θεότητι ἁπλοῦς ἐστι, καὶ ἀπερίγραπτος.

Κατήργηται τὰ τέρατα, καὶ μαντεύματα τοῦ χριστομάχου, ἴσος γὰρ τῶν Ἑλλήνων ἐδείχθη,

θη, ὑψαυχούμενος τοῖς τούτων συγγράμμασιν, ἃ δικαίως ἐλίκμησαν, καθάπερ αἱ τῶν δικαίων φωναί.

ΤΑ κρύφια, καὶ παμβέβηλα, καὶ ψυχόλεθρα διδάγματά σου ποία ἐκδιηγήσεται γλῶσσα, ἢ τὴν προῤῥησιν τῆς ἐγγαστριμύθου σου, Ἰωάννη ψευδώνυμε, καὶ πρόδρομε τοῦ ἀντιχρίστου Σατάν;

ΟΥκ ἔδει σε, ὦ παράνομε, ὀνομάζεσθαι τοιαύτην κλῆσιν, μᾶλλον δὲ Πυθαγόραν, καὶ Κρόνον, καὶ Ἀπόλλωνα, ἢ τινὰ τῶν ἄλλων θεῶν, ὧν τὸν βίον ἐζήλωσας, τερπόμενος ταῖς ἀσελγείαις αὐτῶν.

Δόξα.

ΑΓιον, παντοδύναμον. ἀκατάληπτον, πιστοί, Τριάδα πάντες Πατέρα, Υἱὸν, καὶ Πνεῦμα προσκυνήσωμεν, καὶ θεολογήσωμεν· ἀσυγχύτως κραυγάζοντες, Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Θεός.

Θεοτοκίον.

ΠΑνύμνητε, πολυδόξαστε, Μητροπάρθενε Θεοκυῆτορ, λύτρωσαι χαλεπῶν ἐγκλημάτων τοὺς τιμῶντας σου τὴν ἄχραντον κύησιν, οὐ γὰρ ἄλλην βοήθειαν κεκτήμεθα, πλὴν σοῦ Θεόνυμφε.

Ὠδὴ η'. Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσιν.

ΠΡοφητικῶς ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν, πιστοὶ, πάντες μυστικῶς, αὕτη γὰρ ἡ ἡμέρα, ἐν ᾗ Χριστὸς ὁ Λόγος τὴν ἰδίαν στολὴν ἀπέδωκε τῇ Ἐκκλησίᾳ.

ΠΟλεμικῶς ὥσπερ παρετάξαντο κατὰ Χριστοῦ τῆς μορφῆς ὁμοθυμαδὸν Λήξιξ, καὶ Ἰωάννης, τὸ ζεῦγος τοῦ Βελίαρ, πελέκει κακίας ἐγκόψαντες τὴν Ἐκκλησίαν.

ΤΙς μὴ θρηνήσει τὸ μέγα τόλμημα, τὴν θείαν βλέπων μορφὴν, τὴν ἐν τῇ χαλκῇ πύλῃ τοῦ παλατίου ὑπὸ ἀνδρῶν ἀνόμων λίθοις βαλλομένην τῇ διδαχῇ τοῦ Ἰωάννου;

ΠΩς οὐ συνῆκας, τυφλὲ πανάθλιε, ἐσκοτισμένε τὸν νοῦν, τὴν ὑπερουράνιον βλέπων κεκοσμημένην Χριστοῦ τῷ χαρακτῆρι, ἀλλὰ μόνος ἔχεις τὸ φρόνημα τῶν Ἰουδαίων;

ΣΥ παντελῶς καθελεῖν ἐνόμισας τῶν θείων Ἐκκλησιῶν τὴν σαρκολαμπῆ μόρφωσιν τοῦ Κυρίου, καὶ τῶν Ἁγίων πάντων· ἀλλ' ἡ θεία χάρις καθεῖλε σου τὴν τυραννίδα.

ΤΑ ἱερὰ τῶν ἁγίων Λείψανα, καὶ τὰς Εἰκόνας αὐτῶν, Λήξιξ ὁ δεινὸς ἅμα τῷ Ἰωάννῃ, οὐδ' ὅλως προσκυνεῖσθαι, ἔφασκον ἀνόμως οἱ ἀρνηταὶ τῆς εὐσεβείας.

Δόξα.

ΠΑντουργικὴν Θεαρχίαν σέβοντες ἐν χαρακτῆρσι τρισὶ πάντες εὐσεβῶς, ἄναρχον τὸν Πατέρα, συνάναρχον τὸν Λόγον, Πνεῦμα συνεκλάμπον δοξάσωμεν εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

ΧΡιστιανῶν ἡ βεβαία γέφυρα, τὸ καύχημα τῶν πιστῶν, καὶ καταφυγὴ, Δέσποινα Θεοτόκε, αὐτὴ ὑπάρχεις μόνη, ἡ πάντας βοηθοῦσα, καὶ σώζουσα ἐκ τῶν κινδύνων.

Ὠδὴ θ'. Ἀπόρου συλλήψεως.

ΤΑ Ἔθνη κροτήσατε, χεροὶ Πατέρων σπεύσατε, οἱ Ἀσκηταὶ δὲ, καὶ οἱ ἐν τοῖς ὄρεσι συνέλθετε, ἥκετε οἱ διωχθέντες πάλαι ἀπὸ τῆς πλάνης, καὶ δυσσεβοῦς Ἰωάννου, στηλιτεῦσαι καὶ τὰς μαγείας, καὶ μαντεύματα.

ΕΥφραίνου ἡ ἔρημος, καὶ Οἰκουμένη ἅπασα, τὰ ὄρη πάντα γλυκασμὸν στάξατε, βουνοὶ ἀγαλλιᾶσθε, ὅτι Χριστὸς ὁ Λόγος εἰρήνην ἔδωκε τοῖς ἐν γῇ, καὶ ταῖς θείαις Ἐκκλησίαις τὴν ἑνότητα τῆς Πίστεως.

ΘΕὸς ἐκδικήσεων νῦν ἐπαῤῥησιάσατο, Χριστὸς ἐπέστη, ἐνισχύων σήμερον τοὺς θείους Διδασκάλους ἐν παῤῥησίᾳ λέγειν τὴν συγκατάβασιν αὐτοῦ, καὶ τὴν σάρκωσιν βεβαίως ἐν Εἰκόνι περιγράφεσθαι.

ΜΑκρόθυμε Κύριε, ὡς θαυμαστὰ τὰ ἔργα σου, τίς ἀριθμήσει τὴν φιλανθρωπίαν σου; πῶς βλέπων κτενομένους διὰ τὴν σὴν Εἰκόνα τοὺς Ἱερεῖς σου, καὶ Ἀσκητὰς, οὐ κατέφλεξας τοὺς πλάνους, ἀλλ' ἠνέσχου ὑβριζόμενος;

ΟΠήξας ἀσάλευτον τὴν Ἐκκλησίαν, Κύριε, καὶ πύλαι ᾅδου ταύτης οὐ κατίσχυσαν, αὐτὸς τὴν εἰρήνην σου παράσχου τῷ λαῷ σου, ἵνα σὲ πάντες εἰλικρινῶς ἐν μιᾷ δοξολογίᾳ προσκυνοῦμεν, καὶ δοξάζωμεν.

ΑΝάθεμα ἔστωσαν οἱ μὴ τιμῶντες, Δέσποτα, τὸν χαρακτῆρα τῆς σῆς σωματώσεως, πρὸ πάντων Ἰωάννης, ἅμα σὺν Ἀντωνίῳ, καὶ Θεοδώρῳ τῷ δυσσεβεῖ, Θεοδότῳ, καὶ τοῖς ἄλλοις ἀλάστορσι τῆς πίστεως.

ΟΔοὺς τὴν εἰρήνην σου τοῖς Ἀποστόλοις, Δέσποτα, καὶ νῦν παράσχου τὴν γαλήνην ἅπασι, συνάγων τῇ χειρί σου τοὺς διεσκορπισμένους, καὶ ὥσπερ πρόβατα λογικὰ συναρίθμησον τῇ μάνδρᾳ τῆς ἁγίας Ἐκκλησίας σου.

Δόξα.

ΔΟξάζω Θεότητα Πατρὸς, Υἱοῦ, καὶ Πνεύματος, τὴν μίαν φύσιν τρισὶν ὑποστάσεσιν, οὐσίαν ἀμέριστον, διεραιτὴν προσώποις, ὁμοβασίλειον παντουργὸν, πανσθενῆ τελεταρχίαν, τὴν συνέχουσαν τὰ σύμπαντα.

ΗΠάντων βοήθεια, καὶ σκέπη, καὶ ἀντίληψις, Θεοκυῆτορ, δεῖξον, ὅτι δύνασαι πρεσβεύειν ὑπὲρ πάντων εἰς σὲ καταφευγόντων, καὶ ἀπελαύνεις τοὺς δυσσεβεῖς τῇ δυνάμει τοῦ Υἱοῦ σου, ὡς γὰρ Μήτηρ πάντα δύνασαι.

Καὶ ὅτε φθάσωμεν τὸν ὁρισμένον τόπον, λέγομεν τὸ Ϛοπ.



Digitized by Google

Δόξα, καὶ νῦν. ἕτερον, ἦχος β.

ΚΑὶ ὁ χορὸς τῶν Προφητῶν μετὰ Μωσῆ, καὶ Ἀαρὼν εὐφροσύνῃ εὐφραίνεται σήμερον, ὅτι πέρας τῆς προφητείας προαγαγὼν, λάμπει ὁ Σταυρὸς, ἐν ᾧ ἡμᾶς ἔσωσας, αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ εὐθύς.

Τύπος τοῦ Συνοδικοῦ καθὼς λέγεται τὴν σήμερον τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας.

Καταλειφθέντων τῶν προοιμιακῶν.

ΤΊς Θεὸς μέγας, ὡς ὁ Θεὸς ἡμῶν; σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ ποιῶν θαυμάσια μόνος.

ΤΟὺς φαυλιστὰς γὰρ τῆς σῆς δόξης ἐξεμυκτήρισας, τοὺς τολμητὰς κατὰ τῆς Εἰκόνος, καὶ θρασεῖς δειλοὺς, καὶ πεφευγότας ἀπέδειξας.

ἈΛλ' ἡ μὲν εἰς Θεὸν εὐχαριστία, καὶ τὸ διαποτικὸν κατὰ τῶν ἀντιπάλων τρόπαιον ἐν τούτοις· τὰ δ' ἔργα κατὰ τῶν εἰκονομαχούντων ἆθλα τε, καὶ παλαίσματα ἕτερος λόγος, καὶ λογογραφία διεξοδικωτέρα δηλώσει, ὡς ἐν καταπαύσει δέ τινι τῇ μετὰ τὴν εἰρηνικὴν πάροδον, εἰς κατάσχεσιν τῆς νοητῆς Ἱερουσαλὴμ καθεστῶτες, μωσαϊκῇ τινι μιμήσει, μᾶλλον δὲ θεϊκῇ διαταλεύσει, οἷα στήλῃ τινὶ ἐκ μεγίστων λίθων συνηρμοσμένῃ, καὶ πρὸς ἀποδοχὴν γραφῆς διευθετισμένῃ ταῖς τῶν ἀδελφῶν καρδίαις· τάς τε εὐλογίας, αἳ ὀφείλονται τοῖς νομοφυλακοῦσι, καὶ τὰς ἀρὰς δὲ, αἷς ἑαυτοὺς ὑποβάλλουσιν οἱ παρανομοῦντες, δικαιοῦντε, καὶ ὀφειλόμενον δεῖν ᾠήθημεν ἀναγράψαι. διὸ φαμὲν τάδε.

ΤΩ͂ν τὴν ἔνσαρκον τοῦ Θεοῦ Λόγου παρουσίαν λόγῳ, στόματι, καρδίᾳ, καὶ νῷ, γραφῇ τε, καὶ εἰκόσιν ὁμολογούντων.

Αἰωνία ἡ μνήμη, [illegible]

ΤΩ͂ν εἰδότων τῆς Χριστοῦ μιᾶς, καὶ τῆς αὐτῆς ὑποστάσεως, τὸ ἐν οὐσίαις διάφορον, καὶ ταύτης τὸ κτιστόν τε, καὶ ἄκτιστον, τὸ ὁρατὸν, καὶ ἀόρατον, τὸ παθητὸν, καὶ ἀπαθὲς, τὸ περιγραπτὸν, καὶ ἀπερίγραπτον· καὶ τῇ μὲν θεϊκῇ οὐσίᾳ τὸ ἄκτιστον, καὶ τὰ ὅμοια προσαρμοζόντων, τῇ δὲ ἀνθρωπίνῃ φύσει τάτε ἄλλα, καὶ τὸ περιγραπτὸν ἀνομολογούντων καὶ λόγῳ, καὶ εἰκονίσμασιν.

Αἰωνία ἡ μνήμη, τρίς.

ΤΩ͂ν πιστευόντων, καὶ διακηρυττομένων, ἤτοι εὐαγγελιζομένων τοὺς λόγους ἐπὶ γραμμάτων, τὰ πράγματα ἐπὶ σχημάτων, καὶ εἰς μίαν ἑκάτερον συντελεῖν ὠφέλειαν, τήν τε διὰ λόγων ἀνακήρυξιν, καὶ τὴν δι' εἰκόνων τῆς ἀληθείας βεβαίωσιν,

Αἰωνία ἡ μνήμη, τρίς.

ΤΩ͂ν τὰς προφητικὰς ὁράσεις, ὡς αὐτὸ τὸ Θεῖον αὐτὰς ἐσχημάτιζε, καὶ διετύπου, εἰδότων, καὶ ἀποδεχομένων, καὶ πιστευόντων, ἅπερ ὁ τῶν προφητῶν χορὸς ἑωρακότες διηγήσαντο· καὶ τὴν διὰ τῶν Ἀποστόλων, καὶ εἰς Πατέρας διήκουσαν, ἐγγραφόν τε, καὶ ἄγραφον παράδοσιν κρατυνόντων, καὶ διὰ τοῦτο εἰκονιζόντων τὰ ἅγια, καὶ τιμώντων,

Αἰωνία ἡ μνήμη, τρίς.

ΟἹ Προφῆται ὡς εἶδον, οἱ Ἀπόστολοι ὡς ἐδίδαξαν, ἡ Ἐκκλησία ὡς παρέλαβεν, οἱ Διδάσκαλοι ὡς ἐδογμάτισαν, ἡ Οἰκουμένη ὡς συμπεφρόνηκεν, ἡ Χάρις ὡς ἔλαμψεν, ἡ Ἀλήθεια ὡς ἀποδέδεικται, τὸ ψεῦδος ὡς ἀπελήλαται, ἡ σοφία ὡς ἐπαρρησιάσατο, ὁ Χριστὸς ὡς ἐβραβεύσεν, οὕτω φρονοῦμεν, οὕτω λαλοῦμεν, οὕτω κηρύσσομεν, Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ τοὺς αὐτοῦ Ἁγίους ἐν λόγοις τιμῶντες, ἐν συγγραφαῖς, ἐν νοήμασιν, ἐν θυσίαις, ἐν ναοῖς, ἐν εἰκονίσμασι, τὸν μὲν, ὡς Θεὸν, καὶ Δεσπότην προσκυνοῦντες, καὶ σέβοντες, τοὺς δὲ, διὰ τὸν κοινὸν Δεσπότην, ὡς αὐτοῦ γνησίους θεράποντας τιμῶντες, καὶ τὴν κατὰ σχέσιν προσκύνησιν ἀπονέμοντες.

ΑΥ῞τη ἡ πίστις τῶν Ἀποστόλων· αὕτη ἡ πίστις τῶν Πατέρων· αὕτη ἡ πίστις τῶν Ὀρθοδόξων· αὕτη ἡ πίστις τὴν οἰκουμένην ἐστήριξεν.

ἘΠὶ τούτοις, τοὺς τῆς εὐσεβείας κήρυκας, ἀδελφικῶς τε, καὶ πατροποθήτως εἰς δόξαν, καὶ τιμὴν τῆς εὐσεβείας, ὑπὲρ ἧς ἠγωνίσαντο, ἀνευφημοῦμεν, καὶ λέγομεν.

ΓΕρμανοῦ, Ταρασίου, Νικηφόρου, καὶ Μεθοδίου, τῶν ὡς ἀληθῶς ἀρχιερέων Θεοῦ, καὶ τῆς ὀρθοδοξίας προμάχων, καὶ διδασκάλων,

Αἰωνία ἡ μνήμη γ'.

ΣΤεφάνου τοῦ ὁσιομάρτυρος καὶ ὁμολογητοῦ, τοῦ νέου,

Αἰωνία ἡ μνήμη γ'.

ἸΓνατίου, Ἰωάννου, Νικολάου, καὶ Γεωργίου τῶν τρισολβίων ὁμολογητῶν, καὶ Ἀρχιεπισκόπων, καὶ πάντων τῶν ὁμοφρονησάντων αὐτοῖς Ἐπισκόπων.

Αἰωνία ἡ μνήμη, τρίς.

ΘΕοδώρου τοῦ πανοσίου ἡγουμένου τοῦ Στουδίου.

Αἰωνία ἡ μνήμη γ'.

ΣΥμεὼν τοῦ ὁσιωτάτου Στυλίτου,

Αἰωνία ἡ μνήμη, γ'.

ΘΕοφάνους τοῦ ὁσιωτάτου ἡγουμένου τοῦ μεγάλου Ἀγροῦ.

Αἰωνία ἡ μνήμη γ'.

ΠΆντων τῶν Κηρύκων τῆς ἀληθείας.

Αἰωνία ἡ μνήμη, γ'.

ΑΥ῞ται ὡς εὐλογίαι πατέρων ἀπ' αὐτῶν εἰς ἡμᾶς τοὺς υἱοὺς ζηλοῦντας αὐτῶν τὴν εὐσέβειαν διαβαίνουσιν· ὡσαύτως δὲ καὶ αἱ ἀραὶ τοὺς παραλογίας, καὶ τῶν δεσποτικῶν αὐτῶν ὑπερόπτας καταλαμβάνουσι· διὸ κοινῇ πάντες ὅσον εὐσεβείας πλήρωμα, οὕτως αὐτοῖς τὴν ἀρὰν, ἣ αὐτοὶ ἑαυτοὺς ὑπεβάλλοντο, ἐπιφέρομεν.

Τοῖς

Τοῖς λόγῳ μὲν τὴν ἔνσαρκον οἰκονομίαν τοῦ Θεοῦ Λόγου δεχομένοις, ὁρᾷν δὲ ταύτην δι' εἰκόνων οὐκ ἀνεχομένοις, καὶ διὰ τοῦτο ῥήματι μὲν δῆθεν καταχηματιζομένοις, πράγματι δὲ τὴν σωτηρίαν ἡμῶν ἀρνουμένοις.

Ἀνάθεμα, α'.

Τοῖς τῷ ῥήματι τοῦ ἀπεριγράπτου κακῶς προσφυομένοις, καὶ διὰ τοῦτο μὴ βουλομένοις εἰκονογραφεῖσθαι τὸν παραπλησίως ἡμῖν σαρκὸς, καὶ αἵματος κεκοινωνηκότα Χριστὸν τὸν ἀληθινὸν Θεὸν ἡμῶν, καὶ ἐντεῦθεν φαντασιασταῖς δεικνυμένοις,

Ἀνάθεμα, α'.

Τοῖς τὴν καθ' ἑκάστην προσαγομένην Θυσίαν ὑπὸ τῶν παραλαβόντων ἀπὸ Χριστοῦ τὴν τῶν θείων μυστηρίων Ἱερουργίαν μὴ δεχομένοις τῇ ἁγίᾳ Τριάδι προσάγεσθαι, ὡς ἀντιφθεγγομένοις ἐντεῦθεν τοῖς ἱεροῖς, καὶ θείοις Πατράσι, Βασιλείῳ τε, καὶ τῷ Χρυσορρήμονι, οἷς συμφωνοῦσι καὶ οἱ λοιποὶ θεοφόροι πατέρες ἐν τοῖς οἰκείοις λόγοις τε, καὶ συγγράμμασιν,

Ἀνάθεμα, γ'.

Τοῖς τολμῶσι λέγειν, εἰκόνα εἶναι ἀντίτυπον τοῦ Σώματος, καὶ Αἵματος τοῦ Κυρίου τὴν διὰ τοῦ Ἱερέως προσφερομένην ἀναίμακτον Θυσίαν, καὶ οὐχὶ αὐτὸ τὸ Σῶμα, καὶ αὐτὸ τὸ Αἷμα τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὡς κενοῦσι τὸ τῆς φρικτῆς, καὶ θείας Ἱερουργίας μυστήριον, καὶ ἄλλην εἶναι ταύτην τῆς παρὰ τῆς ἐξ ἀρχῆς τῷ Σωτῆρι τετελεσμένην, εἰσάγουσι, καὶ ταῦτα τοῦ θείου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ χρυσορρήμονος διαφανοῦντος μίαν, καὶ τὴν αὐτὴν εἶναι, φάσκοντος, ἐν πολλαῖς τῶν τοῦ Ἱεροῦ Εὐαγγελίου, καὶ τῶν τοῦ μεγάλου Παύλου ῥητῶν ἐξηγήσεσιν.

Ἀνάθεμα, γ'.

Τῷ φρυαξαμένῳ συνεδρίῳ κατὰ τῶν σεπτῶν εἰκόνων. Ἀνάθεμα, γ'.

Τοῖς δεχομένοις τὰ δυσσεβῆ τῆς αἱρέσεως αὐτῶν λογύδρια,

Ἀνάθεμα, γ'.

Τοῖς ἐκλαμβάνουσι τὰς παρὰ τῆς θείας Γραφῆς ῥήσεις, τὰς κατὰ τῶν εἰδώλων, εἰς τὰς σεπτὰς εἰκόνας,

Ἀνάθεμα, γ'.

Τοῖς μὴ ἀσπαζομένοις, καὶ μὴ προσκυνοῦσι τὰς ἁγίας, καὶ σεπτὰς εἰκόνας,

Ἀνάθεμα, γ'.

Τοῖς βλασφημοῦσι, καὶ ἀποκαλοῦσι τὰς Ἱερὰς εἰκόνας, εἴδωλα,

Ἀνάθεμα, γ'.

Τοῖς λέγουσιν, ὅτι ὡς θεοῖς οἱ χριστιανοὶ ταῖς Εἰκόσι προσῆλθον.

Ἀνάθεμα, γ'.

Πᾶσι τοῖς Χριστιανοκατηγόροις, ἤγουν, Εἰκονοκλάσταις, Ἀνάθεμα, γ'.

Τοῖς λέγουσιν, ὅτι πλὴν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, ἄλλος ἡμᾶς ἐρρύσατο τῆς τῶν εἰδώλων πλάνης, Ἀνάθεμα, γ'.

Τοῖς τολμῶσι λέγειν, τὴν Καθολικὴν Ἐκκλησίαν εἴδωλα ποτὲ δεδέχθαι, ὡς ὅλον τὸ μυστήριον ἀναστρέπουσι, καὶ τὴν τῶν Χριστιανῶν ἐνυβρίζουσι πίστιν,

Ἀνάθεμα, γ'.

Εἴ τις Χριστὸν τὸν Θεὸν ἡμῶν περιγραπτὸν οὐχ ὁμολογεῖ κατὰ τὸ ἀνθρώπινον, καὶ ἐν εἰκόνι τοῦτον οὐ προσκυνεῖ,

Ἀνάθεμα, γ'.

Εἴ τις τὰς εὐαγγελικὰς ἐξηγήσεις τὰς στηλογραφικῶς γινομένας οὐ προσίεται,

Ἀνάθεμα, γ'.

Εἴ τις οὐ τιμᾷ, καὶ οὐκ ἀσπάζεται ταύτας εἰς ὄνομα τοῦ Κυρίου οὔσας, καὶ τῶν Ἁγίων αὐτοῦ. Ἀνάθεμα, γ'.

Εἴ τις πᾶσαν παράδοσιν ἐκκλησιαστικὴν ἔγγραφον, ἢ ἄγραφον ἀθετεῖ.

Ἀνάθεμα, γ'.

Θεοδοσίῳ τῷ ψευδωνύμῳ ἐπισκόπῳ, Σισινίῳ τῷ Πασιλλᾷ, καὶ Βασιλείῳ τῷ κακεμφάτῳ, τρικακκάβῳ.

Ἀνάθεμα, γ'.

Ἡ Τριὰς τῶν τριῶν τὰ δόγματα καθεῖλεν.

Θεοδότῳ, Ἀντωνίῳ, καὶ Ἰωάννῃ, ὡς Μάνεντι, Ἀπολλιναρίῳ, καὶ Εὐτυχεῖ, τοῖς φαντασιοσκόποις, καὶ δοκίταις.

Ἀνάθεμα, γ'.

Θεοδώρῳ τῷ Συρακουσῶν τῆς Σικελίας, τῷ ἐπιλεγομένῳ Κριθίνῳ, καὶ τοῖς συναποστατοῦσιν αὐτῷ, Ἀνάθεμα, γ'.

Ἀναστασίῳ, Κωνσταντίνῳ, καὶ Νικήτᾳ, τοῖς ἐπὶ τῶν Ἰσαύρων κατάρξασι τῶν αἱρέσεων, ὡς ἀνιέροις, καὶ ὁδηγοῖς ἀπωλείας.

Ἀνάθεμα, γ'.

Ἰωάννῃ Νικομηδείας, καὶ Κωνσταντίνῳ Νακωλείας τοῖς αἱρεσιάρχαις,

Ἀνάθεμα, γ'.

Ἐξουδένωσαν τὴν Εἰκόνα τοῦ Κυρίου, καὶ τῶν Ἁγίων αὐτοῦ· ἐξουδένωσεν αὐτοὺς ὁ Κύριος,

Ἀνάθεμα, γ'.

Ὅλοις τοῖς αἱρετικοῖς,

Ἀνά-

Ἀνάθεμα, γ'.

ΠΑσι τοῖς δυσσεβέσιν αὐτῶν λόγοις τε, καὶ συγγράμμασιν,

Ἀνάθεμα, γ'.

ἈΡείῳ τῷ πρώτῳ θεομάχῳ, καὶ ἀρχηγῷ τῶν αἱρέσεων,

Ἀνάθεμα, γ'.

ἈΕτίῳ, Εὐνομίῳ, Εὐδοξίῳ, Δημοφίλῳ, καὶ τοῖς μετ' αὐτοὺς ἐνδίκως λεγομένοις Ἀνομοίοις τε, καὶ Ἡμιαρείοις, καὶ πάσῃ τῇ μεμιασμένῃ ὁμηγύρει αὐτῶν,

Ἀνάθεμα, γ'.

ΜΑκεδονίῳ τῷ πνευματομάχῳ, σὺν τῷ θεοστυγεῖ Ἀπολλιναρίῳ, καὶ τοῖς ὁμόφροσιν, Ἀνάθεμα, γ'.

ΝΕστορίῳ τῷ ἀνθρωπολάτρῃ, σὺν τῇ ἀμφ' αὐτὸν ξυνωρίδι, Διοδώρῳ τε, καὶ Θεοδώρῳ, καὶ πᾶσι τὴν αὐτῶν τερατομυθίαν πρεσβεύουσιν, Ἀνάθεμα, γ'.

ΕὙτυχεῖ, Διοσκόρῳ, καὶ πάσῃ τῇ ἀκεφάλῳ αὐτῶν πληθύϊ μετὰ καὶ Σεβήρου τοῦ θεηλάτου, καὶ τοῦ ἀθεμίτου Ἰουλιανοῦ τοῦ Ἀλικαρνασέως.

Ἀνάθεμα, γ'.

ὨΡιγένει, Εὐαγρίῳ τε, καὶ Διδύμῳ, σὺν τῷ Μοψουεστίας τε Θεοδώρῳ, καὶ ταῖς αὐτῶν βλασφήμοις διδασκαλίαις,

Ἀνάθεμα, γ'.

ΚΥρῳ, Σεργίῳ, Πύῤῥῳ, Παύλῳ, καὶ τοῖς σὺν αὐτοῖς,

Ἀνάθεμα, γ'.

ΠΕτρῳ τῷ Κναφεῖ, καὶ παράφρονι, τῷ λέγοντι, ἅγιος ἀθάνατος ὁ σταυρωθεὶς δι' ἡμᾶς, Ἀνάθεμα, γ'.

ΠΕτρῳ, τῷ καὶ Λυκοπέτρῳ ἐπονομαζομένῳ, Εὐτυχίῳ τε, καὶ Σαβελλίῳ τοῖς κακόφροσιν,

Ἀνάθεμα, γ'.

ὍΛοις τοῖς Εὐτυχιανισταῖς, καὶ Μονοθελήταις, καὶ Ἰακωβίταις,

Ἀνάθεμα, γ'.

ΚΑὶ ἁπλῶς εἰπεῖν, πᾶσι τοῖς αἱρετικοῖς,

Ἀνάθεμα, γ'.

ΚΩνσταντίνου, καὶ Εἰρήνης τῆς μητρὸς αὐτοῦ, καὶ πάντων τῶν εὐσεβῶν, καὶ ὀρθοδόξων βασιλέων ἡμῶν, τῶν τὴν οὐράνιον βασιλείαν τῆς ἐπιγείου ἀνταλλαξαμένων.

Αἰωνία ἡ μνήμη, γ'.

ΘΕοδώρας τῆς μακαριωτάτης, καὶ θεοφιλεστάτης ἡμῶν βασιλίδος, τῆς τὴν ὀρθοδοξίαν, καὶ προσκύνησιν τῶν σεπτῶν εἰκόνων ἀνδρικῶς ἀναστηλωσάσης.

Αἰωνία ἡ μνήμη, γ'.

ΕὙδοκίας, καὶ Θεοφανοῦς, Θεοδώρας, καὶ Ἑλένης, Ἄννης, Εὐφροσύνης, Μαρίας τῆς διὰ τοῦ μοναχικοῦ σχήματος μετονομασθείσης Ξένης, καὶ Εἰρήνης τῆς διὰ τοῦ αὐτοῦ ἀγγελικοῦ σχήματος Εὐσεβείας μετακληθείσης, καὶ πασῶν τῶν εὐσεβεστάτων ἀοιδίμων Αὐγουστῶν.

Αἰωνία ἡ μνήμη, γ'.

ΠΑντων τῶν ἐν ὀρθοδοξίᾳ λαμψάντων, καὶ ὑπὲρ ταύτης ἔργοις, καὶ λόγοις, διδασκαλίαις τε, καὶ συγγράμμασιν ἀγωνισαμένων, τῆς τε τοῦ Χριστοῦ Ἐκκλησίας γνησίως προστάντων, καὶ ἀθλησάντων θεοφόρων Πατέρων, Διδασκάλων, Ὁμολογητῶν, καὶ Ἱεραρχῶν,

Αἰωνία ἡ μνήμη, τρίς.

Η' Ἁγία τριὰς αὐτοὺς ἐδόξασεν.

ΤΟύτων τοῖς ὑπὲρ εὐσεβείας μέχρι θανάτου ἄθλοις, καὶ ἀγωνίσμασι, καὶ διδασκαλίαις, ἡμᾶς παιδαγωγεῖσθαί τε, καὶ κρατύνεσθαι Θεὸν ἐκλιπαροῦντες, καὶ μιμητὰς τῆς ἐνθέου αὐτῶν πολιτείας, μέχρι τέλους ἀναδείκνυσθαι ἐκδυσωποῦντες, ἀξιωθείημεν τῶν ἐξαιτουμένων οἰκτιρμοῖς, καὶ χάριτι τοῦ μεγάλου, καὶ πρώτου Ἀρχιερέως Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν· πρεσβείαις τῆς ὑπερενδόξου δεσποίνης ἡμῶν Θεοτόκου, καὶ ἀειπαρθένου Μαρίας, τῶν θεοειδῶν Ἀγγέλων, καὶ πάντων τῶν Ἁγίων, Ἀμήν.

Τῇ Κυριακῇ Ἑσπέρας, εἰς τὸ λυχνικὸν ἱστῶμεν στίχ. ί. καὶ λέγομεν στιχ. κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. καὶ τοῦ Τριῳδίου προσόμοια τοῦ κυρίου Ἰωσήφ· ἦχος δ'.

Ἔδωκας σημείωσιν.

ΔΙδου μοι κατάνυξιν, καὶ τῶν κακῶν ἀλλοτρίωσιν, τελείαν διόρθωσιν, εἰς πάθη τοῦ σώματος νῦν βεβυθισμένῳ, καὶ μεμακρυμένῳ ἐκ σοῦ, Θεὲ Παμβασιλεῦ, καὶ μηδαμόθεν ἐλπίδα ἔχοντι, καὶ σῶσόν με τὸν ἄσωτον διὰ πολλὴν ἀγαθότητα, Ἰησοῦ παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον.

ΜΩσῆς ὁ θεσπέσιος διὰ νηστείας τεθέαται καθαρθεὶς τὸν ποθούμενον· τοῦτον οὖν ζηλώσασα, ταπεινὴ ψυχή μου, σπεῦσον ἐν ἡμέρᾳ τῆς ἐγκρατείας τῶν κακῶν ἐκκαθαρθῆναι, ὅπως τὸν Κύριον διδόντα σοι τὴν ἄφεσιν νῦν θεωρήσεις, ὑπάρχοντα ἀγαθὸν, καὶ φιλάνθρωπον, παντοδύναμον Κύριον.

Ἄλλος τοῦ κυρίου Θεοδώρου, ἦχ. πλ. β'.

Ἀρχαγγελικῶς ἀνυμνήσ.

ΤΑ τῶν νηστειῶν νῦν διέβδομα φαιδρῶς ἐναρξώμεθα, τελοῦντες ἡμέραν ἐξ ἡμέρας, ἀδιαλ-

δελφοί, ἅρμα πυρὸς ἐργασάμενοι ἡμῖν, ὡς Ἠλίας ὁ Θεσβίτης, τὰς τέσσαρας μεγάλας ἀρετάς, τὸν νοῦν ἀνυψώσωμεν ἀπαθείᾳ, τὴν σάρκα ὁπλίσωμεν τῇ ἁγνείᾳ, ζέοντες, καὶ νικῶντες τὸν ἐχθρόν.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα, καὶ νῦν, Θεοτ. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμ. ἦχ. πλ. β΄. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου. Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σὲ ἐκέκραξα. Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου. Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας. Καὶ πάλιν. Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμελον τῆς ἡμέρας Δίς, ἦχος πλ. δ΄.

Δεῦτε ἐκκαθάρωμεν ἑαυτοὺς ἐν ἐλεημοσύναις, καὶ οἰκτιρμοῖς πενήτων, μὴ σαλπίζοντες, μὴ δημοσιεύοντες ἡμῶν τὴν εὐποιΐαν· μὴ ἐπιγνώτω ἡ ἀριστερὰ τῆς δεξιᾶς τὸ ἔργον· μὴ σκορπίσῃ ἡ κενοδοξία τὸν καρπὸν τῆς ἐλεημοσύνης· ἀλλ᾽ ἐν κρυπτῷ τῷ τὰ κρυπτὰ εἰδότι κράζωμεν. Πάτερ, ἄφες τὰ παραπτώματα ἡμῶν, ὡς φιλάνθρωπος.

Μαρτ.

Μάρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Δόξα, καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς συνήθως. Ἰστέον, ὅτι ἀπὸ τῆς σήμερον ψάλλονται οἱ Κανόνες τοῦ Μηναίου ἐν τοῖς Ἀποδείπνοις, οἱ ἀπὸ τοῦ Σαββάτου τοῦ Λαζάρου μέχρι τῆς νέας Κυριακῆς τοῦ Θωμᾶ, ὁμοῦ μετὰ τῆς Θεοτόκου· ἀπὸ τρίτης ᾠδῆς, κάθισ. τοῦ Μηναίου, ἀφ᾽ ἕκτης, τῆς Θεοτόκου, καὶ μετὰ τὴν πλήρωσιν τοῦ Μηναίου, τὰ προσόμοια αὐτοῦ, καὶ Θεοτοκίον ὅμοιον. Προηγοῦνται δὲ οἱ Κανόνες τῆς Θεοτόκου.

Τῇ Δευτέρᾳ τῆς β΄. Ἑβδομάδος, εἰς τὴν πρώτην στιχολ. καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου, καὶ Θεοτοκίον· μετὰ δὲ τὴν δευτέραν στιχολ. καθίσ. ἦχ. δ΄.

Κατεπλάγη Ἰωσήφ.

Παραβάσεως καρπῷ θανατωθέντα τὴν ψυχὴν ζωοποίησον, Χριστέ, διὰ νηστείας ἀληθοῦς, καὶ μετανοίας μοι δέομαι, ὡς οἰκτίρμων, καὶ δίδου ἐν ὁδοῖς ἀεὶ πορεύεσθαι εὐθείαις, καὶ καλαῖς τῶν σῶν σεπτῶν ἐντολῶν, ὅπως τῆς θείας δόξης σου σὺν πᾶσιν ἐπιτυχὼν τοῖς ποθοῦσί σε, δοξολογῶ σου τὴν περὶ πάντα, Ἰησοῦ, ἀγαθότητα.

Θεοτ. Ὅμοιον.

Τρικυμίαις τῶν παθῶν ὁ ἀσυνείδητος ἐγὼ χειμαζόμενος, ἁγνή, ἐπικαλοῦμαί σε θερμῶς, μή με παρίδῃς τὸν δείλαιον ἀπολέσθαι, ἄβυσσον ἐλέους ἡ τεκοῦσα· πλὴν σοῦ γὰρ ἐλπίδα οὐ κέκτημαι· μὴ οὖν ἐχθροῖς ἐπίχαρμα, καὶ γέλως ὁ πεποιθώς σοι ὀφθήσομαι, καὶ γὰρ ἰσχύεις, ὅσα καὶ βούλει, ὡς Μήτηρ οὖσα τοῦ πάντων Θεοῦ.

Εἰς τὴν γ΄. στιχολ. κάθ. ἕτερον, ἦχος πλ. β΄.

Κύριε ἐλέησον ἡμᾶς.

Κύριε κατεύθυνον ἡμᾶς τὴν νηστείαν διανύοντας, ἁγιασμὸν ἡμῖν λάμψον, καὶ φωτισμὸν τῶν δικαιωμάτων σου, καὶ ἀξίωσον ἡμᾶς προσφέρειν σοι εὐπρόσδεκτον εὐχήν, τὸ γόνυ κλίνοντας· σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, καὶ ἡμεῖς υἱοί σου, καὶ σὲ φόβῳ ὑμνοῦμεν, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Θεοτ. ἦχος ὁ αὐτός.

Ἀρχὴ σωτηρίας ἡ τοῦ Γαβριὴλ προσηγορία πρὸς τὴν Παρθένον ἐγένετο· ἤκουσε γὰρ τό, Χαῖρε, οὐκ ἀπέφυγε τὸν ἀσπασμόν, οὐκ ἐδίστασεν, ὡς ἡ Σάῤῥα ἐν τῇ σκηνῇ· ἀλλ᾽ οὕτως ἔλεγεν, ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Ὁ Ν. ὁ Κανὼν τοῦ Μηναίου. Καὶ τὸ Τριῴδιον· στιχολογεῖται ἡ ᾠδὴ α΄. Ἰωσήφ, ἦχος δ΄.

Τριστάτας κραταιούς.

Ὁ Μόνος ἀγαθός, ἡ πηγὴ τοῦ ἐλέους, ὁ ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ αἴρων, ὡς Θεός, τὰ τοῦ Κόσμου ἐγκλήματα, σῶσόν με ἁμαρτημάτων τρικυμίᾳ ποντούμενον, μετανοίας πρὸς ὅρμον ἰθύνων με.

Νηστεία καθαρά, μακρυσμὸς ἁμαρτίας, ἀλλοτρίωσις παθῶν, ἀγάπη πρὸς Θεόν, προσευχῆς ἐπιμέλεια, δάκρυα σὺν κατανύξει, καὶ πενήτων προμήθεια, ταῦτα ὁ Χριστὸς ἐν Γραφαῖς ἐπηγγείλατο.

Πληγέντα τὴν ψυχὴν ἁμαρτίας ῥομφαίᾳ, καὶ κατάστικτον πολλοῖς ὑπάρχοντα κακοῖς, ἰατρὲ τῶν ψυχῶν ἡμῶν, ἴασαι, ὡς εὐεργέτης, ἐπιθείς μοι τὰ φάρμακα τῶν σοφῶν ἐντολῶν σου, φιλάνθρωπε.

Θεοτοκίον.

Ἀμόλυντε σκηνή, παναγία Παρθένε, μολυνθέντα με δεινῶν παθῶν ἐπαγωγαῖς τῇ πηγῇ τοῦ ἐλέους σου κάθαρον, καὶ δός μοι ὄμβρους κατανύξεως, Δέσποινα, ἁμαρτίας βυθὸν ἀφανίζουσα.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου, ἦχος πλ. β΄.

Βοηθός, καὶ σκεπαστής.

Ὡς μεθέορτον χαράν, καὶ δευτερεύουσαν Ἑβδομάδα τῶν φωτοποιῶν νηστειῶν, ἀδελφοί,

φοὶ, δεξάμενοι πόθῳ, ἀνυμνήσωμεν Χριστὸν, ἐνθέως εὐφραινόμενοι.

Κατανύξεως καιρὸν τὸν τῆς νηστείας νῦν εὑρηκότες, κλαύσωμεν σφοδρῶς, καὶ στενάξωμεν, πετάσωμεν χεῖρας πρὸς τὸν μόνον Λυτρωτὴν, τοῦ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα.

Τρισυπόστατε μονὰς, ἀρχικωτάτη Κυρία πάντων, τελεταρχικὴ, ὑπεράρχιε, αὐτὴ ἡμᾶς σῶσον, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ πανάγιον.

Θεοτοκίον.

Τίς ἐγέννησεν Υἱὸν, τὸν μὴ σπαρέντα πατρῴῳ νόμῳ; τοῦτον οὖν γεννᾷ ὁ Πατὴρ πλὴν Μητρὸς παράδοξον τέρας, σὺ γὰρ ἔτεκες, ἁγνὴ, Θεὸν ὁμοῦ, καὶ ἄνθρωπον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πῶς σου οἴσω τὴν ὀργὴν, Χριστέ μου, ὅταν εἰς κρίσιν ἔλθῃς; ποῖον δὲ εὕρω λόγον, δώσω ἐκεῖ; μὴ πράξας, μὴ δράσας τὸ σὸν θέλημα, Χριστέ; διὸ πρὸ τέλους ἄνες μοι.

Ὁ Εἱρμός.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτὸν.
„ Θεὸς τοῦ πατρός μου· καὶ ὑψώσω αὐτόν· ἐνδό-
„ ξως γὰρ δεδόξασται.

Ὠδὴ η΄. Λυτρωτὰ τοῦ παντός.

Παραδύων τοῦ βίου τὸ ἄστατον, ληστρικοῖς λογισμοῖς περιέπεσα, καὶ πληγωθεὶς προσσώζεσαι, ἰατρὲ τῶν νοσούντων, δίδου μοι χεῖρα, τῶν Ἁγίων σου πάντων δεήσεσι.

Χαλεπῆς ἁμαρτίας κλυδώνιον τὴν ἐμὴν συνταράσσει διάνοιαν, ὥσπερ τὸν Πέτρον σῶσόν με, Ἰησοῦ, μελῳδοῦντα, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ἐγκρατείᾳ τὰ πάθη νεκρώσωμεν, τῇ νηστείᾳ τὸ Πνεῦμα πτερώσωμεν, πρὸς Οὐρανὸν καὶ κράξωμεν κατανύξει καρδίας, ἡμάρτομέν σοι, ὁ Θεὸς ὡς οἰκτίρμων συγχώρησον.

Θεοτοκίον.

Ἐν γαστρί σου σκηνώσας ὁ ὕψιστος, Οὐρανῶν πλατυτέραν σε ἔδειξε, καὶ προστασίαν ἄμαχον τῶν βοώντων, Παρθένε, πάντα τὰ ἔργα εὐλογεῖτε, ὑμνεῖτε τὸν Κύριον.

Ἄλλος. Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσιν.

Τῆς τῶν παθῶν τυραννίδος, Κύριε, ἀδούλωτον τὴν ψυχὴν δεῖξον τὴν ἐμὴν, ἵνα ἐλευθερίως ποιῶν τὸ θέλημά σου, χαίρω, καὶ δοξάζω τὸ κράτος σου εἰς τοὺς αἰῶνας.

Τὴν τοῦ Ἠσαῦ ἀκρασίαν μίσησον, ψυχή μου, καὶ Ἰακὼβ ζήλου τὰ καλὰ, πτέρνισον τὸν Βελίαρ διὰ τῆς ἐγκρατείας, πλούτισον τὰ θεῖα, καὶ ὕμνησον εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Ἕνα Θεὸν κατ' οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διοριστικῶς, ἄλλας, ἀλλ' οὐκ ἀλλοίας, ἐπεὶ θεότης μία, ἐν τρισὶ καὶ τὸ κράτος, καὶ γὰρ Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα. Θεοτ.

Ἐκ φωτεινῆς προελθὼν νηδύος σου, ὡς νυμφίος ἐκ παστοῦ ἔλαμψε Χριστὸς, φῶς τοῖς ἐν σκότει μέγα, καὶ γὰρ δικαιοσύνης ἥλιος ἀστράψας, ἐφώτισεν, ἁγνὴ, τὸν κόσμον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὑ'δρ' ὁποτῶν οὐδεὶς ἠφρόνευσα τὸ, ὤφθη δὲ Νῶε γυμνὸς οἴνου πειραθείς· σπέρματα δὲ κακίας ὁ Λὼτ ἐντεῦθεν τίκτει· φεῦγε, ὦ ψυχή μου, τὴν μίμησιν, Χριστὸν ὑμνοῦσα.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Ὃν στρατιαὶ οὐρανῶν δοξάζουσιν, ὃν φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ, καὶ κτίσις ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Εὔα μὲν τῇ τῆς παρακοῆς.

Νηστεύσωμεν μῆνιδος παθῶν, τρυφήσωμεν τὴν ἀγάπην τὴν ἀνόθευτον, θρέψωμεν πένητας τῷ ἄρτῳ, τῇ θείᾳ σιτιζόμενοι χάριτι, καὶ δάκρυσι τὰ δάκρυα σβέσωμεν, τὰ τῆς μελλούσης ἀποφάσεως.

Ταλαίπωρε στέναξον ψυχὴ, σκυθρώπασον, μετανοίας τρόπους ἔνδειξον, νῦν ἐπὶ θύραις ἡ ἡμέρα, ὁ κρίνων ἀποτόμως καθέζεται, ἑκάστῳ ἀπονέμων τὰ ἄξια τῶν πεπραγμένων, καθὼς γέγραπται.

Οὐ κέκτημαι πράξεις ἀγαθὰς, ἐσπίλωσα τὸν χιτῶνα, ὅνπερ εἴληφα θείου βαπτίσματος ἐνδύσει· ἐν σκότει ἀγνωσίας πορεύομαι· φωτί με τοῦ προσώπου σου, Κύριε, ἀπεγνωσμένον νῦν ἀνόρθωσον.

Θεοτοκίον.

Μαρία Κυρία τοῦ παντὸς, παντοίοις με δουλωθέντα ἁμαρτήμασι σὺ ἐλευθέρωσον, Παρθένε, τὸν ἐλευθερωτὴν τῶν ψυχῶν ἡμῶν αὐτὴ γὰρ ὑπὲρ λόγον ἐκύησας· τὴν οὐσιώδη ἀγαθότητα.

Ἄλλος. Ἀσπόρου συλλήψεως.

Νῦν κακοπαθήσωμεν ὡς στρατιῶται τοῦ Χριστοῦ, ὅσον γὰρ, ὅσον ὁ καιρὸς παρέρχεται, οἱ στέφανοι πλέκονται τῶν ἀγωνιζομένων, οὓς ἀποδώσει ὁ Χριστὸς, ὅταν ἥξῃ μετὰ δόξης ἐπὶ γῆς, τοῦ κρῖναι πᾶσαν τὴν γῆν.

Ὅλος τετραυμάτισμαι, ὅλος, Χριστέ μου, ἥλκωμαι, ἰάτρευσόν μου τὰ ἕλκη, τὰ τραύματα, τὰ πάθη, τὰ δήγματα, τὰ ἐκ τῆς ἁμαρτίας· ἵνα ἀκούσω ὡς ὁ λεπρὸς τῆς φωνῆς σου τῆς ἁγίας, ὅτι θέλω, καθαρίσθητι.

Δόξα.

Μόνου μονογεννήτου μονογενοῦς Υἱὲ Πατρὸς, καὶ μόνος μόνου, φῶς φωτὸς ἀπαύγασμα,

μα, καὶ μόνον μόνως μόνου Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριον ὄντως ὄν· ὦ Τριὰς μονὰς ἁγία, σῶσόν με θεολογοῦντά σε.

Θεοτοκίον.

ΤΟ θαῦμα τοῦ τόκου σου ἐκπλήττει με, παναμώμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον; εἰπὲ, πῶς παρθενεύεις, γεννήσασα ὡς μήτηρ τὸ ὑπὲρ φύσιν; πίστει λαβὼν τὸ τικτόμενον προσκύνει, ὅσα θέλει γὰρ, καὶ δύναται.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΝΗστεία τὸν Μωσέα θεόπτην ἀπειργάσατο, Ἠλίαν πάλαι φλογερὸν ἡνίοχον, τὸν Παῦλον δὲ, ψυχή μου, φρικτὸν οὐρανοδρόμον· διὸ νηστεύσωμεν ἐκ κακῶν, καὶ εἰς ὕψος ἀπαθείας ἡμεῖς ἁρπαγησόμεθα.

Εἱρμός.

ΑΣπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις. Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις, διό σε πᾶσαι αἱ γενεαὶ, ὡς θεόνυμφον μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τὸ φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ ἰδιόμ. ἦχ. πλ. α΄. δίς.

ΘΑυμαστὸν ὅπλον ἡ προσευχὴ, καὶ νηστεία· αὕτη τὸν Μωσέα νομογράφον ἔδειξε, καὶ Ἠλίαν ἐν θυσίαις ζηλωτήν· ταύτῃ προσκαρτερήσαντες, πιστοὶ, τῷ Σωτῆρι βοήσωμεν· σοὶ μόνῳ ἡμάρτομεν· ἐλέησον ἡμᾶς.

Μαρτ.

ΕΥλογημένος ὁ στρατὸς τοῦ Βασιλέως τῶν οὐρανῶν· εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ ἀθλοφόροι, ἀλλὰ ἀγγελικὴν ἀξίαν ἔσπευδον φθάσαι, τῶν σωμάτων καταφρονήσαντες, καὶ διὰ τῶν παθημάτων τῆς τῶν ἀσωμάτων ἀξιωθέντες τιμῆς· εὐχαῖς αὐτῶν, Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΣΕ δυσωποῦμεν ὡς Θεοῦ μητέρα, εὐλογημένη, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν τριτέκτην τροπάριον τῆς προφητείας, ἦχος πλ. α΄.

ΟΠλάσας κατὰ μόνας τὰς καρδίας ἡμῶν, μνήσθητι, ὅτι χοῦς ἐσμὲν, μὴ καταδικάσῃς ἡμᾶς ἐν τοῖς κατωτάτοις τῆς γῆς, ἀναμάρτητε.

Προκείμενον, Ψαλ. κα΄. ἦχος πλ. β΄.

Οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν.

Στίχ. Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΤΑδε λέγει Κύριος. Ἐπιλάμψει ὁ Θεὸς τῇ ἡμέρᾳ ἐκείνῃ ἐν βουλῇ μετὰ δόξης ἐπὶ τῆς γῆς, τοῦ ὑψῶσαι, καὶ δοξάσαι τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ, καὶ ἔσται τὸ ὑπολειφθὲν ἐν Σιὼν, καὶ τὸ καταλειφθὲν ἐν Ἱερουσαλὴμ, ἅγιοι κληθήσονται πάντες οἱ γραφέντες εἰς ζωὴν ἐν Ἱερουσαλὴμ, ὅτι ἐκπλυνεῖ Κύριος τὸν ῥύπον τῶν υἱῶν, καὶ τῶν θυγατέρων Σιὼν, καὶ τὸ αἷμα ἐκκαθαριεῖ ἐκ μέσου αὐτῶν ἐν πνεύματι κρίσεως, καὶ πνεύματι καύσεως. Καὶ ἥξει Κύριος, καὶ ἔσται πᾶς τόπος τοῦ ὄρους Σιὼν, καὶ πάντα τὰ περικύκλω αὐτῆς σκιάσει νεφέλη ἡμέρας, καὶ ὡς καπνοῦ καὶ φωτὸς πυρὸς καιομένου νυκτὸς, καὶ πάσῃ τῇ δόξῃ σκεπασθήσεται, καὶ ἔσται εἰς σκιὰν ἀπὸ καύματος, καὶ ἐν σκέπῃ καὶ ἐν ἀποκρύφῳ ἀπὸ σκληρότητος καὶ ὑετοῦ. Ἄσω δὴ τῷ ἠγαπημένῳ ᾆσμα τοῦ ἀγαπητοῦ μου τῷ ἀμπελῶνί μου· ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ ἐν κέρατι, ἐν τόπῳ πίονι, καὶ φραγμὸν περιέθηκα, καὶ ἐχαράκωσα, καὶ ἐφύτευσα ἄμπελον Σωρὴκ, καὶ ᾠκοδόμησα πύργον ἐν μέσῳ αὐτοῦ, καὶ προλήνιον ὤρυξα ἐν αὐτῷ· καὶ ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, καὶ ἐποίησεν ἀκάνθας. Καὶ νῦν ἐνοικοῦντες ἐν Ἱερουσαλὴμ καὶ ἄνθρωπος τοῦ Ἰούδα, κρίνατε ἐν ἐμοὶ καὶ ἀναμέσον τοῦ ἀμπελῶνός μου· τί ποιήσω ἔτι τῷ ἀμπελῶνί μου, καὶ οὐκ ἐποίησα αὐτῷ; διότι ἔμεινα τοῦ ποιῆσαι σταφυλὴν, ἐποίησε δὲ ἀκάνθας· νῦν δὲ ἀναγγελῶ δὴ ὑμῖν, τί ποιήσω τῷ ἀμπελῶνί μου, ἀφελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς διαρπαγὴν, καὶ καθελῶ τὸν τοῖχον αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα, καὶ ἀνήσω τὸν ἀμπελῶνά μου, καὶ οὐ τμηθῇ, οὐδὲ μὴ σκαφῇ, καὶ ἀναβήσονται εἰς αὐτὸν, ὡς εἰς χέρσον ἄκανθαι, καὶ ταῖς νεφέλαις ἐντελοῦμαι τοῦ μὴ βρέξαι ὑετὸν εἰς αὐτόν, ὁ γὰρ ἀμπελὼν Κυρίου Σαβαὼθ, οἶκος τοῦ Ἰσραὴλ, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον.

Προκείμενον. Ψαλμὸς κβ΄. ἦχος πλ. β΄.

Ἡ ῥάβδος σου καὶ ἡ βακτηρία σου, αὗταί με παρεκάλεσαν.

Στίχ. Κύριος ποιμαίνει με, καὶ οὐδέν με ὑστερήσει.

Τῇ δευτέρᾳ ἑσπέρας εἰς τὸ λυχνικὸν μετὰ τὸν προοιμιακὸν Ψαλμὸν· στιχολογοῦμεν τὰ, Πρὸς Κύριον· εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχ. προσόμια τοῦ τριῳδίου, ποίημα τοῦ Κυρίου Ἰωσήφ· ἦχος πλ. δ΄.

Τί ὑμᾶς καλέσωμεν.

ΤΙνι ὡμοιώθης, ταλαίπωρε ῥαθυμοῦσα ὦ ψυχὴ, καὶ μὴ ποιοῦσα τὰ καλά; ἀλλὰ στέργουσα ἀεὶ τῇ τῶν κακῶν ἐπιμονῇ; ἡ κρίσις ἐπὶ θύραις, μετανόησον, νηστεία, καὶ δεήσει καθαγνίσθητι, τῷ δεσπότῃ σου βόησον, ἡμάρτηκά σοι, συγχώρησον, ὡς εὔσπλαγχνος, καὶ συγχώρησίν μοι δώρησαι.

Ὅμοιον.

ΕΧων ἀμέτρητον πέλαγος, τὰ πελάγη τῶν ἐμῶν ἁμαρτιῶν τὰ πονηρὰ ἀπόξήρανον, Χριστὲ, ὡς ἀναμάρτητος Θεὸς, καὶ δίδου τῇ καρ-



Digitized by Google

διὰ μου κατάνυξιν, χειμάῤῥους ἀνομίας ἀναστάλλουσαν, ἵνα ὑμνῶ, καὶ δοξάζω σου τὴν εὐσπλαγχνίαν τὴν ἄφατον, μακρόθυμε, εὐεργέτα τῶν ψυχῶν ἡμῶν.

Ἕτερον Κυρίου Θεοδώρου· ἦχος ὁ αὐτός.

Ὁ ἐν Ἐδὲμ παράδεισος,

Ὁ Ἀγαγὼν καὶ νῦν ἡμᾶς Θεὸς τοῦ χρόνου, περίοδον τῶν πανσέπτων νηστειῶν διατελεῖν, καὶ χαριτωσάμενος ἡμῖν, εἰς τὸ ἅγιον στάδιον τῆς δευτέρας ἑβδομάδος εἰσελθεῖν, αὐτὸς ἀξίωσον Κύριε, καὶ πρὸς τὸ μέλλον εὐδρομεῖν, τὸ σῶμα, καὶ τὴν ψυχὴν ἡμῶν χαριτῶν, καὶ δυναμῶν, ὅπως προφθάσωμεν, ἐκτελέσαντες τὸν δρόμον ἀνδρικῶς, τὴν κυρίαν ἡμέραν τῆς ἀναστάσεώς σου πάντες ἐν χαρᾷ, καὶ στεφανηφοροῦντες, ἀκαταπαύστως αἰνέσωμεν.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν, Θεοτ. Ἑσπέρας Προκείμενον, Ψαλμὸς κγ'. ἦχος δ'.

Κύριος κραταιὸς, καὶ δυνατός.

Στίχ. Τοῦ Κυρίου ἡ γῆ, καὶ τὸ πλήρωμα αὐτῆς.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ, καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους, καὶ ἐνέδυσεν αὐτούς, καὶ εἶπεν ὁ Θεὸς, ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ, καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ, καὶ ζήσεται εἰς τὸν αἰῶνα· καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη· καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς· καὶ ἔταξε τὰ Χερουβὶμ, καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς. Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα, ἔτεκε τὸν Κάϊν, καὶ εἶπεν· ἐκτησάμην ἄνθρωπον διὰ τοῦ Θεοῦ· καὶ προσέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ τὸν Ἄβελ, καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν· καὶ ἐγένετο μεθ' ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ, καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ, καὶ ἀπὸ τῶν στεάτων αὐτῶν· καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπὶ Ἄβελ, καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ· ἐπὶ δὲ Κάϊν, καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε, καὶ ἐλυπήθη Κάϊν λίαν, καὶ συνέπεσε τῷ προσώπῳ αὐτοῦ, καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Κάϊν, ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου; οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ.

Προκείμενον. Ψαλμὸς κδ'. ἦχ. πλ. β'.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με.

Στίχ. Πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν, δόξαν σοφοὶ κληρονομήσουσιν, οἱ δὲ ἀσεβεῖς ὕψωσαν ἀτιμίαν· ἀκούσατε παῖδες παιδείαν πατρὸς, καὶ προσέχετε γνῶναι ἔννοιαν, δῶρον γὰρ ἀγαθὸν δωροῦμαι ὑμῖν· τὸν ἐμὸν νόμον μὴ ἐγκαταλίπητε· υἱὸς γὰρ ἐγενόμην κἀγὼ πατρὶ ὑπήκοος, καὶ ἀγαπώμενος ἐν προσώπῳ μητρὸς, οἳ ἔλεγον, καὶ ἐδίδασκόν με· ἐρειδέτω ὁ ἡμέτερος λόγος εἰς σὴν καρδίαν, φύλασσε ἐντολὰς, μὴ ἐπιλάθῃ, μὴ δὲ παρίδῃς ῥῆσιν ἐμοῦ στόματος, μηδὲ ἐγκαταλίπῃς αὐτὴν, καὶ ἀνθέξεταί σου· ἐράσθητι αὐτῆς, καὶ τηρήσει σε· περιχαράκωσον αὐτὴν, καὶ ὑψώσει σε· τίμησον αὐτὴν ἵνα σε περιλάβῃ, ἵνα δῷ τῇ σῇ κεφαλῇ στέφανον χαρίτων, στεφάνῳ δὲ τρυφῆς ὑπερασπίσῃ σου· ἄκουε υἱὲ καὶ δέξαι ἐμοὺς λόγους, καὶ πληθυνθήσονται ἔτη ζωῆς σου, ἵνα σοὶ γένωνται πολλαὶ ὁδοὶ βίου· ὁδοὺς γὰρ σοφίας διδάσκω σε, ἐμβιβάζω δέ σε τροχιαῖς ὀρθαῖς, ἐὰν γὰρ πορεύῃ, οὐ συγκλεισθήσεταί σοι τὰ διαβήματα, ἐὰν δὲ τρέχῃς, οὐ κοπιάσεις· ἐπιλαβοῦ ἐμῆς παιδείας, μὴ ἀφῇς, ἀλλὰ φύλαξον αὐτὴν σεαυτῷ εἰς ζωὴν σου· ὁδοὺς ἀσεβῶν μὴ ἐπέλθῃς, μηδὲ ζηλώσῃς ὁδοὺς παρανόμων· ἐν ᾧ ἂν τόπῳ στρατοπεδεύσωσι, μὴ ἐπέλθῃς ἐκεῖ, ἔκκλινον δὲ ἀπ' αὐτῶν, καὶ παράλλαξον, οὐ γὰρ μὴ ὑπνώσωσιν, ἐὰν μὴ κακοποιήσωσιν, ἀφῄρηται ὁ ὕπνος αὐτῶν, καὶ οὐ κοιμῶνται, οἵδε γὰρ σιτοῦνται σῖτα ἀσεβείας, οἴνῳ δὲ παρανόμῳ μεθύσκονται, αἱ δὲ ὁδοὶ τῶν δικαίων ὁμοίως φωτὶ λάμπουσι, προπορεύονται καὶ φωτίζουσιν, ἕως κατορθώσῃ ἡ ἡμέρα, αἱ δὲ ὁδοὶ τῶν ἀσεβῶν σκοτειναὶ, οὐκ οἴδασι πῶς προσκόπτουσιν· υἱὲ ἐμῇ ῥήσει πρόσεχε, τοῖς δὲ ἐμοῖς λόγοις παράβαλε σὸν οὖς, ὅπως μὴ ἐκλίπωσί σε αἱ πηγαί σου, φύλασσε αὐτὰς ἐν καρδίᾳ, ζωὴ γάρ ἐστι τοῖς εὑρίσκουσιν αὐτὰς, καὶ πάσῃ σαρκὶ ἴασις.

Εἰς τὸν στίχ. Τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς, ἦχος γ'.

Τὴν πνευματικὴν νηστείαν νηστεύσωμεν, διαῤῥήξωμεν πᾶσαν στραγγαλιὰν· ἐκφύγωμεν δὲ καὶ τῶν σκανδάλων τῆς ἁμαρτίας, ἀφήσωμεν ἀδελφοῖς καὶ τὰ ὀφειλήματα, ἵνα καὶ ἡμῖν ἀφεθῇ τὰ παραπτώματα ἡμῶν, οὕτω γὰρ βοῆσαι δυνησόμεθα, κατευθυνθήτω ἡ προσευχὴ ἡμῶν ὡς θυμίαμα ἐνώπιόν σου Κύριε.

Μαρτ.

Προφῆται, καὶ Ἀπόστολοι Χριστοῦ, καὶ Μάρτυρες ἐδίδαξαν, ὑμνεῖσθαι Τριάδα ὁμοούσιον, καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Δόξα. Καὶ νῦν Θεοτ. ἦχος ὁ αὐτός.

Εἰς τέλος τῶν πενήτων σου μὴ ἐπιλάθῃ δέσποινα, ἀλλὰ ταῖς σαῖς πρεσβείαις μιλλούσης

ἡμᾶς

ἡμᾶς λύτρωσαι ἀπειλῆς, καὶ ἐνεστώσης βλάβης, καὶ τῆς ὀργῆς Κυρίου ἐξάρπασον, Θεοτόκε, σοὺς δούλους.

Τῇ τρίτῃ τῆς β΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικά, μετὰ τὴν πρώτην στιχολ. καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου μετὰ καὶ Θεοτοκίου· μετὰ δὲ τὴν β΄. στιχολ. λέγομεν τὰ παρόντα καθίσ. ἦχος πλ. δ΄. Ἀνέστης ἐκ νεκρῶν.

Τὰ πάθη χαλινῷ τῆς ἀμώμου νηστείας ἐπέχοντες, τὸν νοῦν πρὸς σεπτὰς θεωρίας πίστει τελειοτάτῃ ἀναπτερῶσαι, πάντες σπουδάσωμεν, ὅπως τῆς χαμαιζήλου τοῦ βίου τρυφῆς καταφρονήσωμεν, καὶ οὐρανίου τύχωμεν ζωῆς, καὶ θείας ἐλλάμψεως.

Θεοτοκίον Ὅμοιον.

Εἰς πέλαγος δεινὸν ἐμπεσὼν ἀθυμίας, ἐκ πλήθους πονηρῶν, καὶ ἀθέσμων μου ἔργων ἦλθον εἰς ἀπορίαν, καὶ ἀπογνώσει νυνὶ συνέχομαι· Δέσποινα Θεοτόκε, αὐτή με σῶσον, αὐτὴ βοήθησον, ἁμαρτωλῶν γὰρ σὺ ὁ ἱλασμός, καὶ κάθαρσις σωτήριος.

Εἰς τὴν γ΄. στιχολ. καθίσμ. ἦχος πλ. δ΄.

Ἀνέστης ἐκ νεκρῶν.

Προθεῖσα μυστικὴν ἡ νηστεία τράπεζαν, προτρέπεται ἡμᾶς δαψιλῶς ἐμφορηθῆναι· φάγωμεν, ὥσπερ βρῶσιν, τὰ ἀείζωα δῶρα τοῦ Πνεύματος· πίωμεν, ὥσπερ πόμα, τὰ τῶν δακρύων ῥεῖθρα θεόρρυτα, καὶ εὐφρανθέντες, αἶνον τῷ Θεῷ ἀπαύστως προσοίσωμεν.

Θεοτοκίον. Ὅμοιον.

Ἐκ πάσης ἀπειλῆς, καὶ κακίας ἀνθρώπων διάσωσον ἡμᾶς, παναγία παρθένε, σὲ γὰρ ἔχομεν σκέπην, καὶ προστασίαν οἱ καταφεύγοντες ἐπὶ σοί, Θεομῆτορ, καὶ τὸν τεχθέντα ἐκ σοῦ Θεὸν ἡμῶν, ὃν ἐκδυσώπει ῥύσασθαι ἡμᾶς κινδύνων, καὶ θλίψεων.

Τὸ Τριῴδιον τοῦ Κυρίου Ἰωσήφ, καὶ στιχολογεῖται ἡ ᾠδὴ τοῦ Ψαλτηρίου.

ᾨδὴ β΄. ἦχος πλ. δ΄. ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ἡμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρός, καὶ ἐκ τῆς
„ Παρθένου ἐπ᾽ ἐσχάτων δίχα ἀνδρὸς κυηθείς, καὶ
„ λύσας τὴν ἁμαρτίαν τοῦ προπάτορος Ἀδάμ,
„ ὡς φιλάνθρωπος.

Στέναξον, δάκρυσον, ψυχή, ἐπίστρεψον, μετανόησον, ἤγγικεν ἡ ἡμέρα, ἐπὶ θύραις ὁ Κριτής, πρὸς ἀπολογίαν ἑτοιμάζου, καὶ βόησον, ἡμάρτηκά σοι, οἰκτίρμων, ἐλεῆμον ἀγαθέ, σύ με οἴκτειρον.

Κόρον ἁμαρτίας, ψυχή μου, μίσησον τὸν ὀλέθριον, τρύφησον τῷ κόρῳ τῆς νηστείας ἐμμελῶς· τὰς σωτηριώδεις ἐντολὰς βρῶμα ποίησον, ἀπόλαυσιν προξενούσας αἰωνίων ἀγαθῶν διὰ πίστεως.

Ἄγγελοι, Δυνάμεις, Ἀρχαί, Ἀρχάγγελοι, Κυριότητες, Θρόνοι, Ἐξουσίαι, Χερουβίμ, καὶ Σεραφὶμ τὸν ἀγαθοδότην, καὶ Θεὸν ἱκετεύσατε, συγχώρησιν ὀφλημάτων, καὶ παθῶν ἀπαλλαγὴν δωρηθῆναι ἡμῖν.

Θεοτοκίον.

Ἡ μόνη κυήσασα τὸν ἄναρχον Λόγον, πανάμωμε, ἐκ σοῦ σαρκωθέντα, μὴ τραπέντα, ὅπερ ἦν· μείνασα Παρθένος μετὰ τόκον, ἀνύμφευτε, ἱκέτευε ὑπὲρ πάντων, λυτρωθῆναι ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν.

Θεοδώρου. Ἄλλος, ἦχος ὁ αὐτός.

Ἴδωμεν, ἔγνωμεν ὡς ἀγαθὸς ἡμῖν εἰς μετάνοιαν, ὃν καιρὸν ὥρισεν, ἀλλ᾽ ἐν τούτῳ ὁ Θεὸς προσδέξαι ἡμῶν τὰς προσευχάς, καὶ κατεύθυνον ἐνώπιόν σου, οἰκτίρμων, ὡς θυμίαμα καλόν, ὥσπερ θυσίαν δεκτήν.

Φρίττω, καὶ πτοοῦμαι, κατανοούμενος ὅσα ἥμαρτον, πῶς σοι ὑπαντήσω; πῶς ὀφθῶ σοι; φοβερέ, πῶς δὲ παραστῶ τῷ ἀδεκάστῳ σου βήματι; διὸ φεῖσαί μου, οἰκτίρμων, ἐν τῇ ὥρᾳ, ὅταν μέλλῃς κρῖναι πᾶσαν τὴν γῆν.

Δόξα.

Ὑπερτελεστάτη μονάς, ὑπέρθεε τρισυπόστατε, ἀγέννητε Πάτερ, καὶ Υἱὲ μονογενές, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθέν, δι᾽ Υἱοῦ δὲ φανέν, οὐσία μία, καὶ φύσις, Κυριότης Βασιλεία σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν.

Ἄρρητον τὸ θαῦμα τῆς σῆς κυήσεως Μητροπάρθενε, πῶς γὰρ καὶ λοχεύεις, καὶ ἁγνεύεις ἐν αὐτῷ; πῶς παιδοτοκεῖς, καὶ ἀγνοεῖς πεῖραν ὅλως ἀνδρός; ὡς οἶδεν ὁ ὑπὲρ φύσιν, ἐξ ἐμοῦ καινοπρεπῶς Λόγος Θεοῦ γεννηθείς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σὺ τοὺς Νινευΐτας μετανοήσαντας, καὶ νηστεύσαντας τῆς ἀπειλουμένης ἐπανήγαγες ὀργῆς, τοὺς δὲ Σοδομίτας ἐν πυρὶ ἀπετέφρωσας ἐν πλησμονῇ ἀσελγοῦντας, ἀλλὰ ῥῦσαί με, Χριστέ, τῆς ἀπειλῆς αὐτῶν.

Ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ καθιερώσας ἀπαρχὴν ὑμῖν δεκτήν, τὴν ἐξ ἡμερῶν ὅλου τοῦ ἔτους ἀποδεκάτωσιν, καὶ ταύτην δοὺς τῷ λαῷ μου εἰς ἐκλύτρωσιν παθῶν εἰς σωτηρίας ἀρχήν.

ᾨδὴ η΄. Οἱ θεοῤῥήμονες παῖδες.

Ὁ δικαιώσας στενάξαντα τὸν Τελώνην, ὁ οἰκτειρήσας τὴν Πόρνην ἀπὸ καρδίας δακρύσασαν, σῶσον, οἴκτειρον, Σῶτερ, ψυχὰς τῶν ὑμνούντων σε.

Καρποφορήσωμεν πράξεις ἐναρέτους διὰ νηστείας Κυρίῳ, καὶ βλαβερῶν ἀπεχόμενοι λο-

λογισμῶν, ἵνα ὅλως τρυφῆς ἐπιτύχωμεν.

ΟΙ τῶν Ἀγγέλων χοροί σε δυσωποῦσι, τῶν Ἀποστόλων οἱ δῆμοι, καὶ τῶν Μαρτύρων τὰ τάγματα. Ἰησοῦ, τῷ λαῷ σου συγχώρησιν δώρησαι.

Θεοτοκίον.

ΤΟ ἀλατόμητον ὄρος τὴν Παρθένον, τὴν φωτοφόρον λυχνίαν, τὴν ἀδιάβατον κλίμακα, καὶ Θεοῦ τὸ χωρίον, πιστοί, μακαρίσωμεν.

Εἱρμὸς ἄλλος. Τὸν ἐν ὄρει ἁγίῳ.

ΕΝ εὐσήμῳ ἡμέρᾳ ἐγκρατείας, δεῦτε, πάντες σαλπίσωμεν τοῖς ὕμνοις, καὶ ὡς τρυφῇ, τοῖς θείοις, ἐντρυφώμενοι ᾄσμασιν, ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν Κύριον εἰς πάντας τοὺς αἰῶνας.

ΤΙ'ς βιβρώσκει Θεοῦ ἄνθρωπον πάλαι; θὴρ ὁ λέων, ἐκ πλάνης τοῦ Προφήτου παρακοῆς τὰ βρώματα δεξάμενον, βλέπε οὖν ψυχή μου, μή σε ἀπατήσῃ γαστριμαργίας ὄφις.

Δόξα. Εὐλογοῦμεν Πατέρα Υἱὸν, καὶ ἅγιον.

ΩΣ μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς Τριάδα τοῖς προσώποις σε σέβω. Πάτερ, Υἱέ, καὶ Πνεῦμα τὸ πανάγιον, ἄναρχον τὸ κράτος τῆς σῆς Βασιλείας δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

ΣΥ τὸ ὄρος τοῦ Θεοῦ ἀνεδείχθης, Θεοτόκε, ἐν ᾧ Χριστὸς οἰκήσας, θείους ναοὺς εἰργάσατο τοὺς ψάλλοντας. Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΗ'ν νηστείαν, ὡς φύλακα ἁγνείας, καὶ Μητέρα ἀπαθείας τιμῶντες, δεῦτε λαοί, ἐκ πόθου ἀσπασώμεθα. Κύριον ὑμνοῦντες, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

ΤΟ'ν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ τόκον τὸν τῆς Ἀειπαρθένου τῷ Μωϋσῇ μυστήριον γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὸν προδηλωθέντα.

Η' Καλὴ νηστεία παίνουσα τὴν καρδίαν, στάχυν ἀρετῶν ὥριμον ἐνθέως ἐκβλαστάνει. ταύτην ποθήσωμεν ἐν ἁγίαις ἡμέραις, τὸν ἁγιασμὸν ὑποδεχόμενοι.

ΤΟ'ν ἐν ἁμαρτίαις πολλαῖς κατεσπιλωμένον, τετραυματισμένον ὁρῶν, καὶ κατακεκριμένον, ἐλεήμων, τῷ σῷ ἐλέει οἰκτείρας, σῶσον ἱκεσίαις τῶν Ἁγίων σου.

ΟΙ'μοι παναθλία ψυχή, πῶς ἀπολογήσῃ; ποία φρίκη σε λήψεται, Κριτοῦ καθεζομένου, μυριάδων παρισταμένων Ἀγγέλων; σπεῦσον οὖν, πρὸ τέλους μετανόησον.

Θεοτοκίον.

ΤΟ' βασιλικὸν ὄχημα, τὴν φαιδρὰν νεφέλην, ὄρος τὸ πιότατον, ὄρος τετυρωμένον, ἀπειρόγαμε, δυσωποῦμεν, Παρθένε, ἰάσαι τὰ πάθη τῶν ψυχῶν ἡμῶν.

Εἱρμὸς ὁ αὐτός.

Α'ληθῆ νηστείαν νηστεύσωμεν τῷ Κυρίῳ ὡς βρωμάτων ἐγκράτειαν, γλώσσης, θυμοῦ, καὶ ψεύδους, καὶ παντὸς ἄλλου ἀλλοτρίωσιν πάθους, ἵνα καθαρῶς τὸ Πάσχα ἴδωμεν.

ΣΥ τὸν Σαμουὴλ ἐβλάστησας καρπὸν ἡ νηστεία, σὺ ἐπιθλιβῆναι(?) Σαμψὼν τὸν μέγαν ἀριστέα, σὺ τελειοῖς Ἱερεῖς, καὶ Προφήτας, σὺ ἡμᾶς ἁγίασον, νηστεία σεμνή.

Δόξα.

ΤΟ' τρισσοφαὲς, Κύριε, τῆς σῆς μοναρχίας ἐκφαντορικαῖς λάμψεσιν εἰς νοῦν ἡμῶν ἀστράπτον, ἀπὸ πλάνης πολυειδοῦς ἐπιστρέφει πρὸς ἑνωτικὴν ἡμᾶς ἐνθέωσιν.

Καὶ νῦν.

ΣΥ' εἶ, Θεοτόκε, τὰ ὅπλα ἡμῶν, καὶ τεῖχος. σὺ εἶ ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων· σὲ νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ε'Χοντες τὸ Πνεῦμα τὸ ἅγιον τῆς νηστείας ἱστάτορα πλέοντες(?), τῶν αὐτοῦ χαρισμάτων ἐμφορηθῶμεν, καὶ δαψιλῶς ἐντρυφῶμεν, τοῦτον ἀνυμνοῦντες ὡς Θεὸν ἡμῶν.

Ὁ Εἱρμός.

ΤΟ'ν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ ἐν πυρὶ, καὶ βάτῳ τόκον τῆς Ἀειπαρθένου
,, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀσιγήτοις
,, μεγαλύνωμεν.

Τὸ φωταγωγικὸν τοῦ ἤχου, τῇ γ΄. πρωΐ. Εἰς τὸν στίχ. τὸ ἰδιόμ. ἦχ. πλ. α΄.

Ι'Να τί ῥαθυμοῦσα, ψυχή μου, τῇ ἁμαρτίᾳ δουλεύεις; καὶ ἵνα τί ἀσθενοῦσα, τῷ ἰατρῷ οὐ προστρέχεις; ἰδοὺ καιρὸς εὐπρόσδεκτος, ἰδοὺ σωτηρίας νῦν ἡμέρα ἀληθής· διεγέρθητι, νίψον σου τὸ πρόσωπον τοῖς τῆς μετανοίας δάκρυσι, καὶ ἐλαίῳ εὐποιΐας τὴν λαμπάδα φαίδρυνον, ὅπως εὕρῃς ἱλασμὸν παρὰ Χριστοῦ τοῦ Θεοῦ, καὶ τὸ μέγα ἔλεος.

Μάρτ.

ΟΙ' Ἀθλοφόροι σου, Κύριε, τὰς τάξεις τῶν Ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι, ταῖς βασάνοις ἐνεκαρτέρησαν· μονολόγιστον ἐλπίδα ἔχοντες τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν, ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

ΜΑκαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.



Digitized by Google

Εἰς τὴν Τριθέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. β'.

Ἀξίους ἀνυμνεῖν σε οὐκ ἔχομεν, ἀλλ' αἰτούμενοι δεόμενοι, μὴ συναπολέσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, εὐδιάλλακτε Κύριε.

Προκείμενον, Ψαλμὸς κε'. ἦχ. δ'.

Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου.

Στίχ. Κρῖνόν μοι Κύριε, ὅτι ἐγώ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Ὁ ἀμπελὼν Κυρίου Σαβαὼθ οἶκος τοῦ Ἰσραὴλ, καὶ ἄνθρωπος τοῦ Ἰούδα νεόφυτον ἠγαπημένον· ἔμεινα τοῦ ποιῆσαι κρίσιν, ἐποίησε δὲ ἀνομίαν, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν· οὐαὶ οἱ συνάπτοντες οἰκίαν πρὸς οἰκίαν, καὶ ἀγρὸν πρὸς ἀγρὸν ἐγγίζοντες, ἵνα τοῦ πλησίον ἀφέλωνταί τι· μὴ οἰκήσετε μόνοι ἐπὶ τῆς γῆς; ἠκούσθη γὰρ εἰς τὰ ὦτα Κυρίου Σαβαὼθ ταῦτα· ἐὰν γὰρ γένωνται οἰκίαι πολλαὶ, εἰς ἐρήμωσιν ἔσονται μεγάλαι καὶ καλαὶ, καὶ οὐκ ἔσονται οἱ ἐνοικοῦντες ἐν αὐταῖς· οὗ γὰρ ἐργῶνται δέκα ζεύγη βοῶν, ποιήσει κεράμιον ἓν, καὶ ὁ σπείρων ἀρτάβας ἓξ, ποιήσει μέτρα τρία· οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωῒ, καὶ τὸ σίκερα διώκοντες, οἱ μένοντες τὸ ὀψέ· ὁ γὰρ οἶνος αὐτοὺς συγκαύσει, μετὰ γὰρ κιθάρας, καὶ ψαλτηρίου, καὶ τυμπάνων, καὶ αὐλῶν τὸν οἶνον πίνουσι, τὰ δὲ ἔργα Κυρίου οὐκ ἐμβλέπουσι, καὶ τὰ ἔργα τῶν χειρῶν αὐτοῦ οὐ κατανοοῦσι· τοίνυν αἰχμάλωτος ὁ λαός μου ἐγενήθη, διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τὸν Κύριον, καὶ πλῆθος ἐγενήθη νεκρῶν, διὰ λιμὸν, καὶ δίψαν ὕδατος, καὶ ἐπλάτυνεν ὁ ᾅδης τὴν ψυχὴν αὐτοῦ, καὶ διήνοιξε τὸ στόμα αὐτοῦ, τοῦ μὴ διαλιπεῖν· καὶ καταβήσονται οἱ ἔνδοξοι, καὶ οἱ μεγάλοι, καὶ οἱ πλούσιοι, καὶ οἱ λοιμοὶ αὐτῆς, καὶ ὁ ἀγαλλιώμενος ἐν αὐτῇ· καὶ ταπεινωθήσεται ἄνθρωπος, καὶ ἀτιμασθήσεται ἀνὴρ, καὶ οἱ ὀφθαλμοὶ οἱ μετέωροι ταπεινωθήσονται· καὶ ὑψωθήσεται Κύριος Σαβαὼθ ἐν κρίματι, καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ.

Προκείμενον Ψαλμὸς κς'. ἦχος γ'.

Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου, ἀπὸ τίνος δειλιάσω.

Τῇ Τρίτῃ Ἑσπέρας στιχ. προσόμοια τοῦ κυρίου Ἰωσήφ· ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Σταυρῷ ἐξεπέτασας, Χριστὲ, τὰς ἀχράντους χεῖράς σου, ἐπισυνάγων τὰ πέρατα· διὸ κραυγάζω σοι· τὸν ἐσκορπισμένον νῦν μοι ἐπισυνάξον, αἰχμάλωτον ἑλκόμενον πάθεσι, καὶ παθημάτων με κοινωνὸν τῶν σῶν ἀνάδειξον, ἐγκρατείᾳ ὅλον καθαιρόμενον.

Ὅμοιον.

Τοὺς παῖδας σωμάτωσα ποτὲ ἡ νηστεία ἔδειξε δυνατωτέρους, ὡς γέγραπται, πυρὸς φλογίζοντος· ταπεινὴ ψυχή μου, νήστευσον ἀνάπλυσα ἐν σοὶ τὴν τοῦ Δεσπότου ἀγάπησιν, δι' ἧς τὴν μέλλουσαν ἐκφυγεῖν δυνήσῃ γέενναν, καὶ τὰ πάθη φλέξαι τὰ ὀλέθρια.

Ἕτερον στιχ. τοῦ Κυρίου Θεοδώρου, ἦχος γ'.

Γενναῖοι Μάρτυρες.

Καιρὸς εὐφρόσυνος τῆς νηστείας, διὸ ἁγνείας φωτοειδοῦς, καὶ ἀγάπης εἰλικρινοῦς, προσευχῆς φωταυγοῦς, καὶ πάσης ἄλλης ἀρετῆς ἐμφορηθέντες πλουσίως, φαιδρῶς ἐκβοήσωμεν. Σταυρὲ τοῦ Χριστοῦ πανάγιε, ὁ βλαστήσας τὴν τρυφὴν τῆς ζωῆς, πάντας καθαρᾷ σε προσκυνῆσαι καρδίᾳ ἀξίωσον ἡμᾶς, ἱλασμὸν ἡμῖν διδοὺς, καὶ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν. Θεοτοκίον,

Ἑσπέρας Προκείμενον. Ψαλμὸς κζ'. ἦχ. πλ. β'.

Σῶσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον.

Στίχ. Πρὸς σὲ Κύριε κεκράξομαι.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, διέλθωμεν εἰς τὸ πεδίον· καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν· καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Κάϊν· ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; καὶ εἶπεν, οὐ γινώσκω· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ; καὶ εἶπε Κύριος, τί πεποίηκας; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς· καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς, δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου, ὅτι ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι· στένων, καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς· καὶ εἶπε Κάϊν πρὸς Κύριον, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με, εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων, καὶ τρέμων ἐπὶ τῆς γῆς· καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με· καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός· οὐχ οὕτω· πᾶς ὁ ἀποκτείνας Κάϊν, ἑπτὰ ἐκδικούμενα παραλύσει· καὶ ἔθετο Κύριος ὁ Θεὸς σημεῖον τῷ Κάϊν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

Προκείμενον. Ψαλμὸς κη'. ἦχος βαρύς.

Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.

Στίχ. Ἐνέγκατε τῷ Κυρίῳ, υἱοὶ Θεοῦ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ἐμῇ σοφίᾳ πρόσεχε, ἐμοῖς δὲ λόγοις παράβαλλε σὸν οὖς, ἵνα φυλάξῃς ἔννοιαν ἀγαθήν· αἴσθησις δὲ ἐμῶν χειλέων ἐντέλλεταί σοι· μὴ πρόσεχε φαύλῃ γυναικί· μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης, ἣ πρὸς καιρὸν λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πι-

πι-

πικρότερον χολῆς εὑρήσεις, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου· τῆς γὰρ ἀφροσύνης οἱ πόδες κατάγουσι τοὺς χρωμένους αὐτῇ μετὰ θανάτου εἰς τὸν ᾅδην, τὰ δὲ ἴχνη αὐτῆς οὐκ ἐρείδεται· ὁδοὺς γὰρ ζωῆς οὐκ ἐπέρχεται· σφαλεραὶ δὲ αἱ τροχιαὶ αὐτῆς, καὶ οὐκ εὔγνωστοι· νῦν οὖν, υἱέ, ἄκουέ μου, καὶ μὴ ἀκύρους ποιήσῃς ἐμοὺς λόγους, μακρὰν ποίησον ἀπ᾽ αὐτῆς σὴν ὁδόν· μὴ ἐγγίσῃς πρὸς θύραις οἴκων αὐτῆς, ἵνα μὴ πρόῃ ἄλλοις ζωήν σου, καὶ σὸν βίον ἀνελεήμοσιν, ἵνα μὴ πλησθῶσιν ἀλλότριοι σῆς ἰσχύος, οἱ δὲ σοὶ πόνοι εἰς οἴκους ἀλλοτρίων ἔλθωσι, καὶ μεταμεληθήσῃ ἐπ᾽ ἐσχάτων, ἡνίκα ἂν κατατριβῶσι σάρκες σώματός σου, καὶ ἐρεῖς, πῶς ἐμίσησα παιδείαν, καὶ ἐλέγχους ἐξέκλινεν ἡ καρδία μου; οὐκ ἤκουον φωνὴν παιδεύοντός με, καὶ διδάσκοντός με, οὐδὲ παρέβαλον τὸ οὖς μου· παρ᾽ ὀλίγον ἐγενόμην ἐν παντὶ κακῷ, ἐν μέσῳ ἐκκλησίας, καὶ συναγωγῆς· πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας Δίς· ἦχος γ΄.

Ο Σαρκὶ σταυρωθεὶς, Κύριε, καὶ σαυτῷ συσταυρώσας τὸν παλαιὸν ἡμῶν ἄνθρωπον, τῇ δὲ λόγχῃ νυγεὶς τὴν πλευρὰν, καὶ τὸν ἀνθρωποκτόνον συνεκκεντήσας ὄφιν, καθήλωσον τῷ φόβῳ σου τὰς σάρκας μου, καὶ τῷ πόθῳ σου τρῶσον μου τὴν ψυχήν. ἵνα τὸ σὸν κατοπτριζόμενος πάθος, ἐγκρατῶς διανύσω τὴν τῆς νηστείας προθεσμίαν· μὴ μόνον γαστρὸς, ἀλλὰ καὶ τῶν ἄλλων εἰσόδων τῆς ἁμαρτίας κρατῶν, συντριβὴν δὲ καρδίας, καὶ πνεύματος ταπείνωσιν θύσω σοι περὶ τῶν προγεγονότων μοι πταισμάτων, ἀφ᾽ ὧν με ῥῦσαι, φιλάνθρωπε.

Μαρτ.

Προφῆται, καὶ Ἀπόστολοι Χριστοῦ, καὶ Μάρτυρες ἐδίδαξαν, ὑμνεῖσθαι Τριάδα ὁμοούσιον, καὶ ἐφώτισαν τὰ Ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Δόξα. Καὶ νῦν, Θεοτοκ. ἦχος ὁ αὐτός. Μεγάλη τῶν Μαρτύρων.

Ὁρῶσα τὸν ἐκ σοῦ τεχθέντα, παναμώμητε, κρεμάμενον ἐν ξύλῳ, ἠλάλαζες, βοῶσα· ποθεινότατόν μου τέκνον, ποῦ σου ἔδυ τὸ κάλλος τὸ φωσφόρον, ὃ ἐκαλλώπισε τῶν ἀνθρώπων τὴν φύσιν;

Τῇ δ΄. τῆς β΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ Τριαδικά, μετὰ τὴν α΄. στιχολ. καθίσμ. σταυρώσιμα τῆς Ὀκτωήχου, μετὰ δὲ τὴν β΄. στιχολ. λέγομεν τὰ παρόντα, ἦχος α΄.

Χριστὲ, ἐπὶ Σταυροῦ ἁπλωθεὶς, ἐνεκρώθης, νεκρώσας τὸν ἐχθρὸν, καὶ ἀρχέκακον ὄφιν, ζωώσας δὲ τοὺς δήγματι τῷ ἐκείνου τεθνήξαντας· ὅθεν δέομαι, τὴν νεκρωθεῖσαν ψυχήν μου, Σῶτερ, ζώωσον ἐν προσευχῇ, καὶ νηστείᾳ πρὸς σὲ ἀτενίζουσαν.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὡς εἶδεν ἐν σταυρῷ ἡ ἀμνάς σε τὸν ἀρνα κρεμάμενον, Χριστὲ, τῶν κακούργων ἐν μέσῳ, ἐβόα δακρύουσα, καὶ πικρῶς ὀλολύζουσα· τέκνον φίλτατον, τί τὸ ὁρώμενον θαῦμα; Μήτηρ ἄχραντε, ζωὴ παγκόσμιος, τοῦτο, ἐντρέφης, γνωσθήσεται.

Μετὰ τὴν γ΄. στιχολ. καθίσμ. ἦχος γ΄. τὴν ὡραιότητα.

Ἀσμάτων σάλπιγξι κατασαλπίσωμεν ἡμέραν εὔσημον, διεξερχόμενοι τῆς ἐγκρατείας τὸν καιρὸν, καὶ κράξωμεν, ἐκβοῶντες· αὕτη τῆς ζωῆς ἡμῶν ἐν τῷ Κόσμῳ ἐξήνθησεν, ἐναπομαράνασα ἀκρασίας τὸν θάνατον δυνάμει τοῦ Σταυροῦ σου, Χριστὲ Λόγε, ἐν ταύτῃ τοὺς δούλους σου φύλαττε.

Σταυροθεοτ. Ὅμοιον.

Τὸν ἐπονείδιστον, οἰκτίρμον, θάνατον διὰ σταυρώσεως ἑκὼν ὑπέμεινας· ὃν ἡ τεκοῦσά σε, Χριστὲ, ὁρῶσα, ἐτιτρώσκετο σπλάγχνα· ἀσπόρως γὰρ, μητρικῶς ἐπωδύρετο· ἧς ταῖς παρακλήσεσι, διὰ σπλάγχνα ἐλέους σου οἰκτέρησον, καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια εἰς τὴν τάξιν αὐτῶν, καὶ στιχολογεῖται ἡ ᾠδή· ᾠδὴ γ΄. τοῦ κυρίου Ἰωσήφ· ἦχος α΄. Στερεωθήτω ἡ καρδία μου.

Σταυρῷ παλάμας ἐξεπέτασας, τῆς τεθείσης πάλαι χειρὸς τοῦ Ἀδὰμ πρὸς τὸ τῆς γνώσεως φυτὸν, ἀναιρῶν τὸ ἁμάρτημα διὰ σπλάγχνα, οἰκτιρμῶν Λόγε Θεοῦ ὑπεράγαθε.

Στερέωσόν μου τὴν διάνοιαν κλονουμένην φθόνῳ τοῦ ὄφεως· τὰς τῶν παθῶν ἐπαγωγὰς τῷ σῷ πάθει ἀνάστειλον, ὁ παθὼν, καὶ τὴν ἀπάθειαν πιστοῖς χαρισάμενος.

Ἡ τῆς νηστείας χάρις ἔλαμψεν, ἀκρασίας σκότος διώκουσα· ἰδοὺ εὐπρόσδεκτος καιρὸς, καὶ ἡμέρα σωτήριος, μετανοίας ἐνδειξώμεθα καρποὺς, καὶ ζησόμεθα.

Θεοτοκίον.

Καταπιπτόντων ἐπανόρθωσις, ἡδονῶν κρημνῷ συμπλωθέντα με, καὶ ἁμαρτίαις χαλεπαῖς ἐμπεσόντα εἰς βάραθρα, ἐξανάστησον, ἁγνή, καὶ πρὸς ζωὴν καθοδήγησον.

Ἄλλος τοῦ κυρίου Θεοδώρου, ἦχος γ΄. Στερέωσον Κύριε τὰς καρδίας ἡμῶν.

Στερέωσον Κύριε τὰς καρδίας ἡμῶν τῷ σῷ Σταυρῷ, μὴ ἐκκλίνειν ἀπὸ σοῦ ἐπὶ λόγους πονηροὺς, ἢ εἰς πράξεις βδελυράς.



Digitized by Google

Τοῦ πάθους σου, Δέσποτα, ὁ Οὐρανὸς, καὶ ἡ γῆ αἰσθόμενοι, ἠλλοιοῦντο ἐμφανῶς, Βασιλέα τοῦ παντός σε δεικνύοντες ἀληθῶς.

Δόξα.

Ἰσότιμε, ἄναρχε, παναγία Τριὰς, ζωοποιὲ, καὶ ἀρχίζωτε μονὰς, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα με σῶσον.

Καὶ νῦν.

Μὴ ἐζόθεν, ἄνανδρε, τίκτεις μόνη Θεὸν, μὴ φθαρεῖσα παρθενίας τὸ ἁγνὸν, ἀλλὰ μείνασα σεμνὴ, ὥσπερ ἦς πρὸ τοῦ τόκου.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὴν κόκκινον χλαῖναν σου, ἥλους, καὶ τὸν Σταυρὸν, τὸν σπόγγον τε, καὶ τὴν λόγχην Ἰησοῦ προσκυνῶ, καὶ ἀνυμνῶ τὰ ζωώσαντα τὸ πᾶν.

Ὁ Εἱρμός.

Στερέωσον, Κύριε, τὰς καρδίας ἡμῶν, καὶ φώτισον εἰς τὴν σὴν ὑμνῳδίαν, τοῦ δοξάζειν σε, Σωτὴρ, εἰς τοὺς αἰῶνας ἅπαντας.

Ὠδὴ η΄. Τὸν τοὺς ὑμνολόγους.

Ὁ μετὰ ἀνόμων λογισθῆναι διὰ πλῆθος ἐλέους καταδεξάμενος, τὰς ἐμὰς ἁμαρτίας ἐξάλειψον ἐν πίστει, ὅπως σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Τῶν ἁμαρτιῶν μου τὸ χειρόγραφον τῇ σῇ διάρρηξον λόγχῃ, καὶ τῆς καρδίας μου τὰς ὀδύνας θεράπευσον, Κύριε, πληγείσης βέλει τῆς κακίας τῶν πονηρῶν δαιμόνων.

Μεμελανωμένην τὴν καρδίαν μου τῆς ἁμαρτίας τῷ λύθρῳ, τῷ σῷ ἀπόπλυνον ἐκ πλευρᾶς ἀποστάζοντι Αἵματι, Χριστὲ μου, ἵνα σε δοξάζω εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ἡ ἀγεωργήτως βλαστήσασα τὸν ἐπουράνιον στάχυν, τὸν διατρέφοντα θεϊκῇ δυναστείᾳ τὰ σύμπαντα, Παρθένε, ἔμπλησον πεινῶσαν τὴν ταπεινὴν ψυχήν μου.

Εἱρμὸς ἄλλος. Τὸν ἐν φλογὶ τοῖς.

Χαίροις Σταυρὲ, δι᾽ οὗ ἀνεγνωρίσθη μιᾷ ῥοπῇ Λῃστὴς θεολόγος κραυγάζων, μνήσθητί μου Κύριε ἐν τῇ σῇ Βασιλείᾳ· οὗπερ τῆς μερίδος κοινωνοὺς ἡμᾶς δεῖξον.

Σὺ λογχευθεὶς, τὴν φλογίνην ῥομφαίαν ἀνθυποστρέφεις, Χριστὲ, καὶ βροτοῖς ἐξανοίγεις πάλιν τὸν Παράδεισον· ἐν ᾧ καὶ εἰσιόντες, σοῦ τῆς ἀθανάτου ζωῆς ἀεὶ τρυφῶμεν.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Σὺν τῷ Πατρὶ τὸν Υἱὸν προσκυνοῦμεν, καὶ Πνεῦμα ἅγιον ἐν μιᾷ τῇ οὐσίᾳ ἀσιγήτως κράζοντες τοῖς πηλίνοις στόμασι, δόξα ἐν ὑψίστοις Θεῷ, τῷ ἐν Τριάδι.

Καὶ νῦν.

Παιδοτοκεῖς παρθενεύουσα μόνη Θεοχαρίτωτε· τὸ μυστήριον μέγα, φρικτὸν τὸ τεράστιον. Θεὸν γὰρ ἐγέννησας σεσωματωμένον τὸν Σωτῆρα τοῦ Κόσμου.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σταυρὲ Χριστοῦ, ἡ ἐλπὶς τῶν περάτων, διαπεράσαι ἡμᾶς γαληνῶς τὸ πέλαγος τῆς καλλίστης νηστείας, ἀξίωσον, σώσας ἐκ τρικυμίας πταισμάτων.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν Ἑβραίων συγκαταβάντα θεϊκῇ τῇ δυνάμει, καὶ ὀφθέντα

„ Κύριον, Ἱερεῖς εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς

„ πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὴν ζωοδόχον.

Νεανικῶς Ἐλισσαῖος ἀνέστησε νενεκρωμένον τὸν παῖδα, ὡς γέγραπται, καὶ ἡμεῖς νηστεύοντες, σαρκικὰ φρονήματα ἀπονεκρῶσαι, πιστοὶ, καταπειγθῶμεν, ἵνα ζωῆς τῆς ἐκεῖ ἐπιτύχωμεν.

Οἴ μοι ψυχὴ, φοβερὸν τὸ Κριτήριον, καὶ τοῦ Κριτοῦ ἡ φρικώδης ἀπόφασις· σπεῦσον, μετανόησον, Χριστῷ διαλλάγηθι, τῷ διὰ σὲ ἐν Σταυρῷ ἀναρτηθέντι, καὶ ῥυσαμένῳ πιστοὺς κατακρίσεως.

Τῆς μετανοίας μοι πύλας διάνοιξον, τὰς τῶν παθῶν μου εἰσόδους ἀπόκλεισον, ὁ Λῃστῇ τὴν εἴσοδον δείξας ἐπιβατὸν τοῦ Παραδείσου, Χριστὲ, τῇ σῇ σταυρώσει, ἵνα δοξάζω τὴν σὴν ἀγαθότητα.

Θεοτοκίον.

Ὅτι εἰς βάθη κακίας ἀπέρριμμαι, καὶ λογισμοῖς ἐναντίοις χειμάζομαι, δαίμοσι πειθόμενος, ἡδοναῖς δουλεύμενος, βοήθησόν μοι ἁγνὴ Παρθενομήτορ, πρὸς σωτηρίας ὁδὸν ὁδηγοῦσά με.

Εἱρμὸς ἄλλος. Ἐν Σιναίῳ τῷ ὄρει.

Παρεδόθης ἑκὼν, καὶ ὑπήγαγες ἑαυτὸν τοῖς φονευταῖς, κριτηρίῳ παρέστης τυπτόμενος, ἐξ ὧν ἔπλασας χειρῶν, ἐσταυρώθης, ἐπάγχθης, ἐλογχεύθης, Κύριε, ἔπαθες σώματι, πάντα ἐνεγκὼν συμπαθῶς, ἵνα σώσῃς ἡμᾶς.

Τῶν Ἀγγέλων οἱ δῆμοι ἐξόμαξαν, βλέποντές σε ἐν Σταυρῷ, οἱ φωστῆρες τὸ φέγγος ἀπέλιπον, καὶ ἐσείετο ἡ γῆ, ἐδονεῖτο τὰ πάντα τῇ ὕβρει σου, Κύριε, θείοις σου πάθεσιν εἰργάσω ἡμῖν ὁ Θεὸς τὸ σωτήριον.

Δόξα.

Τῇ οὐσίᾳ μονάς ἐστιν ἄτμητος ἡ ὑπέρθεος Τριὰς, ἑνουμένη τῇ φύσει μερίζεται τοῖς προσώποις ἰδικῶς, μὴ τμωμένη γὰρ τμᾶται, ἓν οὖσα τριοστεύεται, αὕτη Πατήρ ἐστιν, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν, ἡ φρουροῦσα τὸ πᾶν.

Καὶ νῦν.

Παιδοτόκον Παρθένον τίς ἤκουσε, καὶ μητέρα πλὴν ἀνδρός; Μαριὰμ ἐκτελεῖς τὸ τεράστιον, ἀλλὰ φράζε μοι τὸ πῶς; μὴ ἐρεύνα τὰ

βάθη

βάθη τῆς παιδοτριβίας, τοῦτο παναληθὲς, ὑπὲρ δὲ ἀνθρώπινον νοῦν ἡ κατάληψις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν.

ΤΩ͂ σῷ μώλωπι πάντες ἰάθημεν ἐκ πασῶν ἁμαρτιῶν, ἐν Σταυρῷ γὰρ ἀρθεὶς ἐξαυμάτωσας τὸν ἀρχέκακον ἐχθρὸν, ἀλλὰ ἀκατακρίτους ἡμᾶς καταξίωσον, καὶ τὴν Ἀνάστασιν φθάσαι, διανύσαντας τὸν τῆς νηστείας καιρόν.

Ὁ Εἱρμός.

ἘΝ Σιναίῳ τῷ ὄρει κατεῖδέ σε ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότη-
„ τος συλλαβοῦσαν ἐν γαστρί. Δανιὴλ δέ σε εἶ-
„ δεν ὄρος ἀλατόμητον, ῥάβδον βλαστήσασαν
„ Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαβίδ.

Τὸ Φωταγωγικὸν τοῦ Ἤχου, εἰς τὸν στίχ. τὸ ἰδιόμελον· ἦχος βαρύς.

Ὁ Διὰ Σταυροῦ σου, Κύριε, λύσας τὸν θάνατον, ἐπεισαχθέντα τῷ Κόσμῳ διὰ ξύλου βρώσιν, ἣν ἀπηγόρευσας ἐν Παραδείσῳ, αὐτὸς διὰ τῆς ἐνεστώσης νηστείας ἡμᾶς ῥῦσαι πάσης ἡδονῆς ψυχοφθόρου, καὶ ἀξίωσον ἐργάζεσθαι τὴν μένουσαν βρώσιν εἰς ζωὴν αἰώνιον, ἵνα τύχωμεν τῶν στεφάνων τῆς ἀφθάρτου τρυφῆς, ὧν ἡτοίμασας τοῖς ἀληθέσι νηστευταῖς, δεόμεθα.

Μαρτυρ.

ΦΩστῆρες ἀνεδείχθησαν Οἰκουμένης οἱ πανεύφημοι Ἀθλοφόροι, Χριστῷ βοῶντες, Κύριε δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. Οὐκέτι κωλύω.

ἘΝ ξύλῳ προσπαγέντα σε ἑκουσίως, ὡς ἑώρακεν ἡ παναμώμητος, θρηνῳδοῦσα ὕμνει τὸ κράτος σου.

Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. β'.

ὝΨιστε, ὁ ἐν Οὐρανοῖς κατοικῶν, ὁ κτίσας πᾶσαν πνοὴν σῶσον ἡμᾶς ὁ Θεός· ἐπὶ σοὶ γὰρ ἠλπίσαμεν, Σωτὴρ ἡμῶν.

Προκείμενον. Ψαλμὸς κθ'. ἦχος πλ. α'.

Πρὸς σὲ Κύριε κεκράξομαι.

Στίχ. Ὑψώσω σε Κύριε, ὅτι ὑπέλαβές με.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ὙΨωθήσεται Κύριος Σαβαὼθ ἐν κρίματι· καὶ ὁ Θεὸς ὁ ἅγιος δοξασθήσεται ἐν δικαιοσύνῃ· καὶ βοσκηθήσονται οἱ διηρπασμένοι ὡς ταῦροι, καὶ τὰς ἐρήμους τῶν ἀπειλημμένων ἄρνες φάγονται. Οὐαὶ οἱ ἐπισπώμενοι τὰς ἁμαρτίας ὡς σχοινίῳ μακρῷ, καὶ ὡς ζυγοῦ ἱμάντι δαμάλεως τὰς ἀνομίας· οἱ λέγοντες, τὸ τάχος ἐγγισάτω ἃ ποιήσει, ἵνα ἴδωμεν, καὶ ἐλθέτω ἡ βουλὴ τοῦ Ἁγίου Ἰσραὴλ, ἵνα γνῶμεν· οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρόν· οἱ τιθέντες τὸ φῶς σκότος, καὶ τὸ σκότος φῶς, οἱ τιθέντες τὸ πικρὸν γλυκὺ, καὶ τὸ γλυκὺ πικρόν· οὐαὶ οἱ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες· οὐαὶ οἱ ἰσχύοντες ὑμῶν, οἱ τὸν οἶνον πίνοντες, καὶ οἱ δυνάσται, οἱ κεραννύντες τὸ σίκερα, οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν δώρων, καὶ τὸ δίκαιον τοῦ δικαίου αἴροντες· διὰ τοῦτο ὃν τρόπον καυθήσεται καλάμη ὑπὸ ἄνθρακος πυρὸς, καὶ συγκαυθήσεται ὑπὸ φλογὸς ἀνειμένης, ἡ ῥίζα αὐτῶν ὡς χνοῦς ἔσται, καὶ τὸ ἄνθος αὐτῶν, ὡς κονιορτὸς ἀναβήσεται· οὐ γὰρ ἠθέλησαν τὸν νόμον Κυρίου Σαβαὼθ· ἀλλὰ τὸ λόγιον τοῦ Ἁγίου Ἰσραὴλ παρώξυναν. Καὶ ἐθυμώθη Κύριος Σαβαὼθ ὀργῇ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ ἐπέβαλε τὴν χεῖρα ἐπ' αὐτούς, καὶ ἐπάταξεν αὐτούς· καὶ παρωξύνθη τὰ ὄρη, καὶ ἐγενήθη τὰ θνησιμαῖα αὐτῶν ὡς κόπρια ἐν μέσῳ ὁδοῦ· καὶ ἐν πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ' ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή.

Προκείμενον. Ψαλμὸς λ'. ἦχος πλ. β'.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην.

Στίχ. Ἐν τῇ δικαιοσύνῃ σου.

Τῇ δ'. τῆς β'. Ἑβδομάδος, Ἑσπέρας· εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὸ παρὸν ἰδιόμελον, καὶ τὸ Μαρτυρικὸν, καὶ τὰ γ'. προσόμοια, καὶ τοῦ Μηναίου εἰς δ'. τὸ ἰδιόμελον Δίς· ἦχος α'.

ΤῊν πνευματικὴν, ἀδελφοὶ, ἀναλαβόντες νηστείαν, τῇ γλώσσῃ μὴ λαλεῖτε τὰ δόλια· μὴ δὲ τίθεσθε πρόσκομμα τῷ ἀδελφῷ εἰς σκάνδαλον· ἀλλὰ τῇ μετανοίᾳ φαιδρύναντες τὴν τῆς ψυχῆς λαμπάδα, τοῖς δάκρυσι βοήσωμεν τῷ Χριστῷ· ἄφες ἡμῖν τὰ παραπτώματα ἡμῶν, ὡς φιλάνθρωπος. Μαρ.

ΠΑνεύφημοι Μάρτυρες, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' Οὐρανὸς ὑπεδέξατο· ἠνοίγησαν ὑμῖν Παραδείσου πύλαι, καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε. Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρ. προσόμοια τοῦ κυρίου Ἰωσήφ· ἦχ. γ'. Μεγάλη τῶν Μαρτύρων.

ΤΩ͂ν θείων Ἀποστόλων, Κύριε, δεήσεσι, τὸν τῆς νηστείας χρόνον καλῶς ἡμᾶς τελέσαι κατανύξει διανοίας, καταξίωσον, ὡς ἀγαθὸς εὔσπλαγχνε, ἵνα σωζόμενοι, σὲ δοξάζωμεν πάντες.

Ὅμοιον.

ΜΕγάλη, καὶ φρικτή σου, Κύριε, ἡ ἔλευσις, ἐν ᾗ καθίσας, κρίσιν δικαίαν ἐκτελέσεις· μὴ οὖν κρίνῃς με τὸν κατακεκριμένον, ἀλλ' ὡς Θεὸς φεῖσαί μου τῶν Ἀποστόλων σου εὐπροσδέκτοις πρεσβείαις.

Ἕτερον στιχηρὸν προσόμοιον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

ΧΡιστοῦ οἱ Ἀπόστολοι, τῶν γηγενῶν οἱ φωστῆρες, θησαυροὶ κοσμόπλουτοι τῆς πανσόφου γνώσεως

τοῦ

τοῦ Θεοῦ ἡμῶν· τοὺς ὑμᾶς μέλποντας πειρασμῶν ῥύσαι ταῖς ἁγίαις προσευχαῖς ἡμῶν, καὶ τὸν καιρὸν ἡμῖν, τὸν τῶν νηστειῶν διεξάγετε· νεανικῶς βραβεύοντες ἐν εἰρήνῃ τὴν ζωὴν ἡμῶν· ἵνα εὐαρέστως προφθάσαντες τὸ πάθος τοῦ Χριστοῦ, ἐν παῤῥησίᾳ προσφέρωμεν ὕμνους τῷ Θεῷ ἡμῶν.

Καὶ τοῦ Μηναίου δ'. Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Ἑσπέρας Προκείμ. Ψαλμὸς λά. ἦχος πλ. β'.

Εὐφράνθητε ἐπὶ Κύριον, καὶ ἀγαλλιᾶσθε δίκαιοι.

Στίχ. Μακάριοι, ὧν ἀφέθησαν αἱ ἀνομίαι.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐξῆλθε Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναῒδ κατέναντι Ἐδέμ. Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα, ἔτεκε τὸν Ἐνώχ· καὶ ἦν οἰκοδομῶν πόλιν, καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ, Ἐνώχ. Ἐγεννήθη δὲ τῷ Ἐνὼχ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ. Καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας, ὄνομα τῇ μιᾷ, Ἀδὰ, καὶ ὄνομα τῇ δευτέρᾳ, Σελλά· καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων, καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον, καὶ κιθάραν. Σελλὰ δὲ καὶ αὐτὴ ἔτεκε, τὸν Θόβελ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ, καὶ σιδήρου· ἀδελφὴ δὲ Θόβελ, Νοεμά. Εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξὶν, Ἀδὰ, καὶ Σελλὰ, ἀκούσατε τῆς φωνῆς μου, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί, ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ, ἑβδομηκοντάκις ἑπτά· ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα, ἔτεκεν υἱὸν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα. Ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν· καὶ τῷ Σὴθ ἐγένετο υἱός· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ, Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

Προκείμενον. Ψαλμὸς λβ'. ἦχος ά.

Γένοιτο Κύριε τὸ ἔλεός σου.

Στίχ. Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, πίνε ὕδατα ἀπὸ σῶν ἀγγείων, καὶ ἀπὸ σῶν φρεάτων πηγῆς, ὑπερεκχείσθω σοι ὕδατα ἐκ τῆς σῆς πηγῆς· εἰς δὲ σὰς πλατείας διαπορευέσθω τὰ σὰ ὕδατα, ἔστω σοι μόνῳ ὑπάρχοντα, καὶ μηδεὶς ἀλλότριος μεταχέτω σοι. Ἡ πηγή σου τοῦ ὕδατος ἔστω σοι ἰδία· καὶ συνευφραίνου μετὰ γυναικὸς τῆς ἐκ νεότητός σου, ἔλαφος φιλίας, καὶ πῶλος σῶν χαρίτων ὁμιλείτω σοι, ἡ δὲ ἰδία ἡγείσθω σου, καὶ συνέστω σοι ἐν παντὶ καιρῷ· ἐν γὰρ τῇ ταύτης φιλίᾳ συμπεριφερόμενος, πολλοστὸς ἔσῃ· μὴ πολὺς ἴσθι πρὸς ἀλλοτρίαν, μὴ δὲ συνέχου ἀγκάλαις ταῖς μὴ ἰδίαις. Ἐνώπιον γάρ εἰσι τῶν τοῦ Θεοῦ ὀφθαλμῶν ὁδοὶ ἀνδρός· εἰς δὲ πάσας τὰς τροχιὰς αὐτοῦ σκοπεύει· παρανομίαι ἄνδρα ἀγρεύουσι, σειραῖς δὲ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται· οὗτος τελευτᾷ μετὰ ἀπαιδεύτων· ἐκ δὲ πλήθους τῆς ἑαυτοῦ βιότητος ἐξεῤῥίφη, καὶ ἀπώλετο δι' ἀφροσύνην. Υἱὲ, ἐὰν ἐγγυήσῃ σὸν φίλον, παραδώσεις ἐχθρῷ τὴν σεαυτοῦ χεῖρα· παγὶς γὰρ ἰσχυρὰ ἀνδρὶ τὰ ἴδια χείλη, καὶ ἁλίσκεται χείλεσιν ἰδίου στόματος. Ποίει, υἱὲ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου.

Καὶ εὐθὺς ἡ Προηγιασμένων Λειτουργία.

Τῇ Πέμπτῃ, εἰς τὸν Ὄρθρον τὰ Τριαδικὰ τοῦ λαχόντος ἤχου. Μετὰ τὴν ά. στιχολ. καθίσματα, ἀποστολικὰ τῆς Ὀκτωήχου, μετὰ καὶ Θεοτοκίου. Μετὰ δὲ τὴν β'. στιχολ. λέγομεν τὰ παρόντα καθίσμ. ἦχος γ'. Τὴν ὡραιότητα.

Χριστὸς ἡ ἄμπελος ὡραίους βότρυας ἡμᾶς ἐνέγκατο, γλυκὺν σωτήριον ἐναποστάζοντας τῇ γῇ, Ἀπόστολοι θεοφόροι· ὅθεν με λυτρώσατε ἡδονῶν μέθης, δέομαι, ῥεῖθρα κατανύξεως τῇ ψυχῇ μου δωρούμενοι τῇ θείᾳ τῆς νηστείας ἡμέρᾳ, ὅπως σωθεὶς, ζωῆς ἐπιτύχω.

Θεοτοκίον Ὅμοιον.

Τῆς συμπαθείας σου πλοῦτον ἀμέτρητον, καὶ δυναστείας σου κράτος τὸ ἄμαχον ἀναλαβόμενος εἰς νοῦν, προσέδραμον τῇ σκέπῃ σου· θλίψει συνεχόμενος, καὶ δεινῶς ἀπορούμενος, κράζω ἐκ βαθέων μου τῆς καρδίας σὺν δάκρυσι, Παρθένε Θεοτόκε, βοήθει μοι, ἡ μόνη τοῦ Κόσμου προστασία.

Μετὰ τὴν γ'. στιχολ. καθίσμ. ἦχος πλ. β'.

Κύριε, πρεσβείαις τῶν.

Κύριε, εὔσπλαγχνος γενοῦ ἡμῖν ἐν τούτῳ τῷ θείῳ καιρῷ, καὶ δάκρυα πηγάζειν σοι ἐκ καρδίας ἀξίωσον πάντοτε πρὸς ἔκπλυσιν μολυσμάτων ψυχικῶν, καὶ βλάστησιν τῶν ἁγίων ἐντολῶν, ὡς ἂν ἤτοι νηστεύοντες, ἐπαξίως εὐαρεστῶμέν σοι, καὶ τὸ πάνσεπτόν σου ἅπαντας πάθος ἰδεῖν εὐδόκησον εὐχαῖς τῶν σῶν κοσμοσώστων, Ἀποστόλων, δόξα σοι.

Θεοτοκίον, ἦχος ὁ αὐτός.

Τῆς εὐσπλαγχνίας:

Τῆς συμπαθείας τὴν πηγὴν, ἄχραντε σεμνὴ, Παρθενομῆτορ Θεοτόκε, πλουσίως ἐν ἡμῖν, ἁγνὴ, ἐπίχεε, καὶ δώρησαι ἡμῖν πταισμάτων ἄφεσιν· σὺ γὰρ εἶ προστασία ἡμῶν, καὶ θεία σκέπη.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴ-

Τετρῴδια, ᾠδὴ δ΄. τοῦ κυρίου Ἰωσήφ· ἦχος γ΄. Μὴ ἐν ποταμοῖς ὀργή.

ΜΕ'θην ἡδονῶν ψυχοφθόρον σβέσαντες, τὸ τῆς κατανύξεως πόμα διὰ νηστείας ἐμφορηθῶμεν.

ΝΗ'ψωσον, ψυχή, ἀκρασίαν βρώσεως, τρύφησον καλῶν θεωρίαις, ἵνα τῆς ἄνω τερπνῆς τύχῃς.

Α'Νθρακες πυρὸς τοῦ ἀΰλου πέλοντες, φλέξατε παθῶν μου τὴν ὕλην, θεῖοι Ἀπόστολοι τοῦ Σωτῆρος. Θεοτοκίον.

ΣΑ'ρκα τῷ Χριστῷ ἐκ τῆς σῆς δανείσασα, νέκρωσον σαρκός μου τὰ πάθη, ζωοκυῆτορ ἁγνὴ Παρθένε.

Ε'τερον Τετρῴδιον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. β΄. Α'κήκοεν ὁ Προφήτης.

ΗΔωδεκὰς Ἀποστόλων, Πέτρε, Παῦλε, Ἰάκωβε, καὶ Ἰωάννη. Ἀνδρέα, Βαρθολομαῖε, Φίλιππε, Θωμᾶ, καὶ Ματθαῖε, καὶ Ἰάκωβε, σὺν Σίμωνι, καὶ τῷ Ἰούδᾳ, λιτὰς ποιεῖτε τῷ Χριστῷ, σωθῆναι ἡμᾶς.

ΤΑ' δίκτυα τῶν δογμάτων χαλάσαντες ἐν θαλάσσῃ τοῦ βίου ξένως, πρὸς τρισὶν ἑκατὸν, καὶ πεντήκοντα, μυστικῶς τὰ ἔθνη, ὡς ἰχθύας τὸ πρὶν, ἠγρεύσατε, ταῦτα Κυρίῳ προσαγαγόντες, ἅγιοι Ἀπόστολοι.

Δόξα.

ΥἹὸν ἐκ Πατρὸς, καὶ Πνεῦμα δοξάζω ὡς ἐξ ἡλίου φῶς, καὶ ἀκτῖνα, τὸ μὲν γεννητῶς, ὅτι καὶ γέννημα, τὸ δὲ προβλητῶς, ὅτι καὶ πρόβλημα, συνάναρχον θείαν Τριάδα προσκυνουμένην ὑπὸ πάσης κτίσεως.

Θεοτοκίον.

ΠΑρθένος βρέφος τεκοῦσα, καὶ τὴν ἁγνείαν τηροῦσα, σεμνὴ σὺ ὤφθης, τὸν Θεὸν γεννήσασα, καὶ ἄνθρωπον, ἕνα τὸν αὐτὸν ἐν ἑκατέρᾳ μορφῇ, τὸ θαῦμά σου, Παρθενομῆτορ, ἐκπλήττει πᾶσαν ἀκοὴν, καὶ ἔννοιαν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ὙΜεῖς ἐστὲ φῶς τοῦ Κόσμου, καθὼς ὑμῖν Χριστὸς ἔφη, λάμψει τοῦ λόγου· ἀλλὰ ἱκετεύσατε, Ἀπόστολοι, τοῦ μεγαλοψύχως διανύσαι ἡμᾶς τὸ στάδιον τῆς ἐγκρατείας, καὶ προσκυνῆσαι τὴν αὐτοῦ Ἀνάστασιν.

Ὁ Εἱρμός.

ἈΚήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου, Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκ-
,, τεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν,
,, ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. Δόξα τῇ
,, δυνάμει σου Κύριε.

Ὠδὴ η΄. Τὸν ἐν φλογὶ τοῖς παισὶ τῶν.

ΘΑνατωθεὶς ταῖς πολλαῖς ἁμαρτίαις, νεκρὰν προσφέρω τὴν ψυχὴν ἐν τῷ βίῳ, διό με οἰκτείρατε ζωηφόροις πρεσβείαις ταῖς ὑμῶν, θεόπται Μαθηταὶ τοῦ Σωτῆρος.

ΠΕριχεθεὶς ἁμαρτίας ὁμίχλῃ, ᾅδῃ προσήγγισα ἀπογνώσεως ὄντως· διό με φωτίσατε, τοῦ Ἡλίου τῆς Δόξης μυστικαὶ ἀκτῖνες ὑπάρχοντες θεόπται.

ἈΠὸ παθῶν ἐγκρατεύου, καὶ σῴζου, ψυχὴ ταλαίπωρε· ἀποχὴ γὰρ βρωμάτων νηστεία ἀπρόσδεκτος τοῖς ὀρθῶς ἐκζητοῦσιν, εἰ μὴ καὶ σφαλμάτων διόρθωσις ὑπάρξῃ.

Θεοτοκίον.

ΒΆτον πυρὶ καιομένην Μωσῆς σε προεθεώρει, Θεομῆτορ Παρθένε· διό μου κατάσβεσον τῶν παθῶν τὰς καμίνους, καὶ πυρὸς γεέννης ἐξάρπασον, καὶ σῶσον.

Εἱρμὸς ἄλλος. Ὃν στρατιαὶ Οὐρανῶν.

ἘΞ Ἰακὼβ, ὡς τὸ δωδεκάφυλον, τῶν Ἀποστόλων ἐκ σοῦ ἄλλη δωδεκὰς ὤφθη, Χριστὲ, ἐν Κόσμῳ, δι' ἧς ἀπηχύνθη πᾶς πιστὸς ἐν λόγῳ, σὲ ἀνυμνεῖν εἰς τοὺς αἰῶνας.

ΤΟῦ νοητοῦ Φαραὼ τὰ ἅρματα βυθίσαντες μυστικῶς, ὡς ἐν ἐρυθρᾷ, τὸν λαὸν τοῦ Κυρίου πρὸς γῆν θεογνωσίας ἤξατε ὑμνοῦντα, Ἀπόστολοι, εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

ἝΝα Θεὸν κατ' οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διαιρετικῶς, ἄλλας, ἀλλ' οὐκ ἀλλοίας, ἐπεὶ Θεότης μία ἐν τρισὶ, τὸ κράτος, καὶ γὰρ Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα.

Θεοτόκιον.

ἘΚ φωτεινῆς προελθὼν νηδύος σου, ὡς νυμφίος ἐκ παστοῦ, ἔλαμψε Χριστὸς, φῶς τοῖς ἐν σκότει μέγα, καὶ γὰρ Δικαιοσύνης Ἥλιος ἀστράψας, ἐφώτισεν, ἁγνὴ, τὸν Κόσμον.

ΟἹ τοῦ Χριστοῦ μύσται, καὶ συγκάθεδροι ἐκτενῶς ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν πάντοτε δυσωποῦντες, καὶ νῦν παρακαλεῖτε· τὴν νηστείαν πᾶσαν εἰλικρινῶς ἀποπεράσαι.

Αἰνοῦμεν εὐλογοῦμεν. Ὁ Εἱρμός.

ὋΝ στρατιαὶ Οὐρανῶν δοξάζουσιν, ὃν φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφὶμ, πᾶσα πνοὴ,
,, καὶ κτίσις ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
,, πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐν Σιναίῳ τῷ ὄρει.

ΠΟταμοὶ γεγονότες Ἀπόστολοι τῆς πηγῆς τῆς νοητῆς, καὶ τὸ ὕδωρ τὸ ζῶν ἐκπορισάντες ἐν καρδίᾳ καθαρᾷ, τῆς ἐμῆς ἁμαρτίας τὰ ῥεῖθρα ξηράνατε ταῖς πρεσβείαις ὑμῶν, καὶ πρὸς σωτηρίας ὁδοὺς ὁδηγήσατε.

ἉΜαρτίας χειμάζει κλυδώνιον τὴν ἀθλίαν μου ψυχήν· δεξιὰν ὡς τῷ Πέτρῳ μοι ἔκτεινον, κυβερνῆτα ἀγαθὲ, μὴ βυθός με καλύψῃ ὁ τῆς ἀπογνώσεως, βρῶμα μὴ γένωμαι κήτους ψυχοφθόρου, Χριστὲ πολυέλεε.

ἈΠοστόλων χορὸς ἱκετεύει σε, Ἰησοῦ Παμβασιλεῦ· δυσωπεῖ σε Ἀγγέλων τὰ τάγματα,

διὰ

διὰ πλῆθος οἰκτιρμῶν τῷ λαῷ σου παράσχου κακῶν ἀπολύτρωσιν, βίου διόρθωσιν, καὶ τῆς Βασιλείας τῆς σῆς τὴν οἰκείωσιν.

Θεοτοκίον.

ΠΑρθενία, καὶ τόκος συνέδραμον ὑπὲρ φύσιν ἐπὶ σέ, κιβωτὲ τοῦ σεπτοῦ ἁγιάσματος, Μητροπάρθενε ἁγνή, διὸ πίστει βοῶ σοι, ὅλον με ἁγίασον, ὅλον ἐκλύτρωσαι πάσης ἐνεργείας παθῶν τῶν θλιβόντων με.

Εἱρμὸς ἄλλος. Ἀσπόρου συλλήψεως.

ΕΝ Κόσμῳ ὡς ἄσαρκοι, καὶ ἐν σαρκὶ ὡς Ἄγγελοι τὸν λόγον μόνον ἐν καρδίᾳ φέροντες, ἑλκύσατε τὰ ἔθνη εἰς Χριστοῦ μίαν πίστιν, σοφούς, καὶ ῥήτορας ὡς μωροὺς ἀπελέγξαντες τῇ γνώσει, παμμακάριστοι Ἀπόστολοι.

Ὁ Πέτρος τῆς πίστεως ἡ πέτρα, καὶ θεμέλιος, Παῦλος ὁ κῆρυξ, καὶ Ἐθνῶν διδάσκαλος, υἱοὶ τοῦ Ζεβεδαίου σὺν τῇ λοιπῇ ὀκτάδι, Χριστῷ πρεσβεύσατε ἐκτενῶς, εὐθέτως ἡμᾶς περάσαι τῆς νηστείας τὸ διάστημα.

Δόξα.

ΜΟνὰς μονογενῆτορ, μονογενοῦς Υἱοῦ Πατήρ, καὶ μόνε μόνου, φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνον Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριον, ὄντως ὄν· ὦ Τριάς, μονὰς ἁγία, σῶσόν με θεολογοῦντά σε.

Καὶ νῦν.

ΤΟ θαῦμα τοῦ τόκου σου ἐκπλήττει με, πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον; εἰπὲ πῶς παρθενεύεις, γεννήσασα ὡς μήτηρ; τὸ ὑπὲρ φύσιν πίστει λαβών, τὸ τικτόμενον προσκύνει, ὅσα θέλει γὰρ καὶ δύναται.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΔΥνάμει τοῦ Πνεύματος πρὸς Βασιλεῖς, καὶ Ἄρχοντας ἐκβεβηκότες, μηδ' ὅλως πτοούμενοι, οὐ πῦρ, οὐδὲ μάχαιραν, τροποῦτε πᾶσαν πλάνην, καὶ διασώζετε τοὺς βροτούς, στρατηγοὶ Κυρίου ὄντες, παμμακάριστοι Ἀπόστολοι.

Ὁ Εἱρμός.

ΑΣπόρου συλλήψεως, ὁ τόκος ἀνερμήνευτος μητρὸς ἀνάνδρου, ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις, διό σε πᾶσαι αἱ γενεαὶ ὡς Θεόνυμφον Μητέρα ὀρθοδόξως μεγαλύνουσι.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, εἰς τὸν στίχ. τὸ ἰδιόμελον Δίς, ἦχος πλ. δ'.

ΜΕτανοίας ὁ καιρός, καὶ ζωῆς αἰωνίου πρόξενος ἡμῖν ὁ τῆς νηστείας ἀγών, ἐὰν ἐκτείνωμεν χεῖρας εἰς εὐποιΐαν· οὐδὲν γὰρ οὕτω σώζει ψυχήν, ὡς ἡ μετάδοσις τῶν ἐπιδεομένων· ἡ ἐλεημοσύνη συγκεκραμένη τῇ νηστείᾳ ἐκ θανάτου ῥύεται τὸν ἄνθρωπον· αὐτὴν ἀσπασώμεθα, ἧς οὐδὲν ἴσον, ἱκανὴ γὰρ ὑπάρχει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Μαρτυρικόν.

ΤΟν θώρακα τῆς πίστεως ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ καθοπλίσαντες ἑαυτούς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε· τοῖς τυράννοις ἀνδρείως ἀντικατέστητε· καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε· νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε· πρεσβεύσατε Χριστῷ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος, ὁ αὐτός.

ΕΓώ, Παρθένε ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω, οἶδα ὅτι τεύξομαι τῆς σωτηρίας, δύνασαι γάρ, ἁγνή, βοηθῆσαί μοι.

Εἰς τὴν Τριθέκτην Τροπάριον τῆς Προφητείας· ἦχος ...

ΠΕπτωκότας ἀνάστησον ἡμᾶς, ἀποστραφέντας ἐπίστρεψον πρὸς σὲ ὁ Θεὸς ὡς φιλάνθρωπος, ὁ τῆς γῆς συνέχων τὰ πέρατα.

Προκείμενον Ψαλ. λγ'. ἦχος πλ. β'.

Ἐξεζήτησα τὸν Κύριον, καὶ ἐπήκουσέ μου.

Στίχ. Εὐλογήσω τὸν Κύριον ἐν παντὶ καιρῷ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΕΓένετο τοῦ ἐνιαυτοῦ, οὗ ἀπέθανεν Ὀζίας ὁ βασιλεύς, εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ, καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ. Καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ, ἓξ πτέρυγες τῷ ἑνί, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ κατεκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας· καὶ ταῖς δυσὶν ἐπέταντο· καὶ ἐκέκραγεν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἔλεγον. Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ· καὶ ἐπήρθη τὸ ὑπέρθυρον ἀπὸ τῆς φωνῆς, ἧς ἐκέκραγον, καὶ ὁ οἶκος ἐπλήσθη καπνοῦ. Καὶ εἶπον, ὦ τάλας ἐγώ, ὅτι κατανένυγμαι· ὅτι ἄνθρωπος ὤν, καὶ ἀκάθαρτα χείλη ἔχων, ἐν μέσῳ λαοῦ ἀκάθαρτα χείλη ἔχοντος ἐγὼ οἰκῶ· καὶ τὸν Βασιλέα Κύριον Σαβαὼθ εἶδον τοῖς ὀφθαλμοῖς μου. Καὶ ἀπεστάλη πρός με ἓν τῶν Σεραφίμ, καὶ ἐν τῇ χειρὶ εἶχεν ἄνθρακα, ὃν τῇ λαβίδι ἔλαβεν ἀπὸ τοῦ Θυσιαστηρίου, καὶ ἥψατο τοῦ στόματός μου, καὶ εἶπεν· ἰδοὺ ἥψατο τοῦτο τῶν χειλέων σου, καὶ ἀφελεῖ τὰς ἀνομίας σου, καὶ τὰς ἁμαρτίας σου περικαθαριεῖ· καὶ ἤκουσα τῆς φωνῆς Κυρίου, λέγοντος. τίνα ἀποστείλω; καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπον· ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με, καὶ εἶπε, πορεύθητι· καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε· ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσομαι αὐτούς· καὶ εἶπα, ἕως πότε Κύριε; καὶ εἶπεν, ἕως ἂν ἐρη-



Digitized by Google

ἐρημωθῶσι πόλεις, παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους, καὶ ἡ γῆ καταλειφθήσεται ἔρημος· καὶ μετὰ ταῦτα μακρυνεῖ ὁ Θεὸς τοὺς ἀνθρώπους, καὶ πληθυνθήσονται οἱ ἐγκαταλειφθέντες ἐπὶ τῆς γῆς.

Προκείμενον Ψαλμὸς λδ΄. ἦχ. πλ. β΄.

Ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου.

Στίχ. Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με.

Τῇ Πέμπτῃ τῆς β΄. Ἑβδομάδος. Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν τὰ παρόντα γ΄. προσόμοια τοῦ Τριῳδίου τοῦ κυρίου Ἰωσήφ· ἦχος δ΄.

Ἔδωκας σημείωσιν.

Πλευρὰν ἐκκεντούμενος, καὶ ἐπὶ ξύλου κρεμάμενος, τὴν ζωήν μοι ἐπήγασας, κακίᾳ τοῦ ὄφεως τῇ τοῦ ξύλου βρώσει τεθανατωμένῳ· ὅθεν δοξάζω σε, Χριστέ, καὶ ἱκετεύω τὴν εὐσπλαγχνίαν σου, παθῶν, καὶ τῆς ἐγέρσεως προσκυνητήν με ἀνάδειξον, κατανύξει τελέσαντα τῆς νηστείας τὸ στάδιον.

Ὅμοιον.

Ὁ Δαυὶδ ζευγίσαντα ἐκ τοῦ φυτοῦ τὸν πρωτόπλαστον Παραδείσου ἐξώρισας· παγεὶς δὲ ὡς ἄνθρωπος, ἐν τῷ ξύλῳ, Σῶτερ, τοῦτον εἰσοικίζει· διό σοι κράζω, λυτρωτά, τῶν ὀδυνῶν μου νῦν με ἐξάρπασον, νηστείᾳ καθάρας με, καὶ μετανοίᾳ, καὶ δάκρυσιν, Ἰησοῦ ὑπεράγαθε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν.

Ἕτερα τοῦ Κυρίου Θεοδώρου στιχηρὰ προσόμοια· ἦχος πλ. α΄. Κύριε, ἐπὶ Μωϋσέως.

Κύριε, τὸν ζωοποιόν σου Σταυρὸν ἀνυμνοῦμεν· ἔτος ζωὴν γὰρ ἐν τῷ Κόσμῳ ἐξήνθησε, τὸν θάνατον νεκρώσας, ὅν σοι καὶ νῦν εἰς πρεσβείαν προσάγομεν· ἐν ἡμέραις ἁγίαις κρατυνον ἡμᾶς νηστεύοντας, καὶ δώρησαι κατὰ παθῶν τὴν ἰσχύν, καὶ τῆς εἰρήνης τὸ τρόπαιον διὰ πλῆθος ἐλέους, φιλάνθρωπε.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα. Καὶ νῦν, θεοτ.

Ἑσπέρας Προκείμενον. Ψαλ. λε΄. ἦχ. δ΄.

Κύριε ἐν τῷ Οὐρανῷ τὸ ἔλεός σου.

Στίχ. Ἡ δικαιοσύνη σου ὡς ὄρη Θεοῦ.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Αὕτη ἡ Βίβλος γενέσεως ἀνθρώπων, ᾗ ἡμέρα ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ᾽ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἀδάμ, ᾗ ἡμέρα ἐποίησεν αὐτούς. Ἔζησε δὲ Ἀδάμ, ἔτη διακόσια τριάκοντα, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ, καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ, Σήθ· ἐγένοντο δὲ αἱ ἡμέραι Ἀδάμ, ἃς ἔζησε μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σήθ, ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδάμ, ἃς ἔζησεν, ἔτη ἐννακόσια τριάκοντα, καὶ ἀπέθανεν. Ἔζησε δὲ Σήθ ἔτη διακόσια πέντε, καὶ ἐγέννησε τὸν Ἐνώς· καὶ ἔζησε Σήθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνώς, ἔτη ἑπτακόσια ἑπτά, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας, καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σήθ, ἔτη ἐννακόσια δεκαδύο, καὶ ἀπέθανε. Καὶ ἔζησεν Ἐνὼς ἔτη ἑκατὸν ἐννενήκοντα, καὶ ἐγέννησε τὸν Καϊνᾶν· καὶ ἔζησεν Ἐνώς, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν, ἔτη ἑπτακόσια δεκαπέντε· καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνώς, ἔτη ἐννακόσια πέντε, καὶ ἀπέθανε. Καὶ ἔζησε Καϊνᾶν ἔτη ἑκατὸν ἑβδομήκοντα, καὶ ἐγέννησε τὸν Μαλελεήλ· καὶ ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαλελεήλ, ἔτη ἑπτακόσια τεσσαράκοντα, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Καϊνᾶν, ἔτη ἐννακόσια δέκα, καὶ ἀπέθανε. Καὶ ἔζησε Μαλελεήλ, ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Ἰάρεδ· καὶ ἔζησε Μαλελεήλ, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἰάρεδ, ἔτη ἑπτακόσια τριάκοντα, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαλελεήλ, ἔτη ὀκτακόσια ἐννενήκοντα πέντε, καὶ ἀπέθανε. Καὶ ἔζησεν Ἰάρεδ ἔτη ἑκατὸν ἑξήκοντα δύο, καὶ ἐγέννησε τὸν Ἐνώχ· καὶ ἔζησεν Ἰάρεδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνώχ, ἔτη ὀκτακόσια, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἰάρεδ, ἔτη ἐννακόσια ἑξήκοντα δύο, καὶ ἀπέθανε. Καὶ ἔζησεν Ἐνὼχ ἔτη ἑκατὸν ἑξήκοντα πέντε, καὶ ἐγέννησε τὸν Μαθουσάλα. Εὐηρέστησε δὲ Ἐνώχ, τῷ Θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα ἔτη διακόσια, καὶ ἐγέννησεν υἱούς, καὶ θυγατέρας· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνώχ, ἔτη τριακόσια ἑξήκοντα πέντε. Καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ· καὶ οὐχ εὑρίσκετο, διότι μετέθηκεν αὐτὸν ὁ Θεός.

Προκείμενον. Ψαλμὸς λς΄. ἦχος πλ. β΄.

Ὑπόμεινον τὸν Κύριον, καὶ φύλαξον τὴν ὁδὸν αὐτοῦ.

Στίχ. Μὴ παραζήλου ἐν πονηρευομένοις.

Παροιμιῶν.

Ποίει υἱέ, ἃ ἐγώ σοι ἐντέλλομαι, καὶ σώζου· ἥκεις γὰρ εἰς χεῖρας κακῶν διὰ σὸν φίλον, ἴσθι μὴ ἐκλυόμενος· παρόξυνε δὲ καὶ τὸν φίλον σου, ὃν ἐγγυήσω· μὴ δῷς ὕπνον σοῖς ὄμμασι· μὴ δὲ ἐπινυστάξῃς σοῖς βλεφάροις, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. Ἴθι πρὸς τὸν μύρμηκα ὦ ὀκνηρέ, καὶ ζήλωσον ἰδὼν τὰς ὁδοὺς αὐτοῦ, καὶ γενοῦ ἐκείνου σοφώτερος· ἐκείνῳ γὰρ γεωργίου μὴ ὑπάρχοντος, μὴ δὲ τὸν ἀναγκάζοντα ἔχων, μηδὲ ὑπὸ δεσπότην ὤν, ἑτοιμάζεται θέρους τὴν τροφήν, πολλήν τε ἐν τῷ ἀμητῷ ποιεῖται τὴν παράθεσιν. Ἢ πορεύθητι πρὸς τὴν μέλισσαν, καὶ μάθε

ὡς

ὡς ἐργάτης ἐστὶ, τήν τε ἐργασίαν ὡς σεμνὴν ποιεῖται, ἧς τοὺς πόνους βασιλεῖς, καὶ ἰδιῶται πρὸς ὑγίειαν προσφέρονται ποθεινὴ δὲ πᾶσίν ἐστι, καὶ περίβλεπτος, καί περ οὖσα τῇ ῥώμῃ ἀσθενὴς, τὴν σοφίαν τιμήσασα προήχθη. Ἕως τίνος, ὀκνηρὲ, κατάκεισαι; πότε δὲ ἐξ ὕπνου ἐγερθήσῃ; ὀλίγον μὲν ὑπνοῖς, ὀλίγον δὲ κάθησαι, μικρὸν δὲ νυστάζεις· ὀλίγον δὲ ἐναγκαλίζῃ χερσὶ στήθη· εἶτα παραγίνεταί σοι, ὥσπερ κακὸς ὁδοιπόρος, ἡ πενία, καὶ ἡ ἔνδεια, ὥσπερ ἀγαθὸς δρομεύς· ἐὰν δὲ ἄοκνος ᾖς, ἥξει ὥσπερ πηγὴ ὁ ἄμητός σου, ἡ δὲ ἔνδεια, ὥσπερ κακὸς δρομεὺς, ἀπαυτομολήσει. Ἀνὴρ ἄφρων, καὶ παράνομος, πορεύεται ὁδοὺς οὐκ ἀγαθάς· ὁ δ' αὐτὸς ἐννεύει ὀφθαλμῷ, σημαίνει δὲ ποδὶ, διδάσκει δὲ ἐν νεύμασι δακτύλων, διεστραμμένη καρδία τεκταίνεται κακὰ, ἐν παντὶ καιρῷ ὁ τοιοῦτος ταραχὰς συνίστησι πόλει· διὰ τοῦτο ἐξαπίνης ἔρχεται ἡ ἀπώλεια αὐτοῦ, διακοπὴ, καὶ συντριβὴ ἀνίατος, ὅτι χαίρει πᾶσιν, οἷς μισεῖ ὁ Κύριος· συντρίβεται δὲ δι' ἀκαθαρσίαν ψυχῆς. Ὀφθαλμὸς ὑβριστοῦ, γλῶσσα ἄδικος, χεῖρες ἐκχέουσαι αἷμα δικαίου, καὶ καρδία τεκταινομένη λογισμοὺς πονηροὺς, καὶ πόδες ἐπισπεύδοντες κακοποιεῖν· ἐκκαίει ψευδῆ μάρτυς ἄδικος, καὶ ἐπιπέμπει κρίσεις ἀναμέσον ἀδελφῶν· υἱὲ, φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας.
Δὶς ἦχος πλ. α'.

ΜΗ' νηστεύσαντες κατ' ἐντολὴν τοῦ κτίσαντος ἀπὸ τοῦ φυτοῦ τῆς γνώσεως οἱ πρωτόπλαστοι, τὸν ἐκ τῆς παραβάσεως θάνατον ἐκαρπώσαντο, τοῦ δὲ ξύλου τῆς ζωῆς, καὶ τοῦ Παραδείσου τῆς τρυφῆς ἀπεξενώθησαν· διὸ νηστεύσωμεν, πιστοὶ, ἀπὸ τροφῶν φθειρομένων, καὶ παθῶν ὀλεθρίων, ἵνα τὴν ἐκ τοῦ θείου Σταυροῦ ζωὴν τρυγήσωμεν, καὶ σὺν τῷ εὐγνώμονι Λῃστῇ πρὸς τὴν ἀρχαίαν ἐπανέλθωμεν πατρίδα, κομιζόμενοι παρὰ Χριστοῦ τοῦ Θεοῦ τὸ μέγα ἔλεος.

Μαρτ.

ΤΩ'Ν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως κατατολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ' Οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε, πανεύφημοι Μάρτυρες, ἔχοντες παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον Θεὸν, τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσατε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτὸς,
Χαίροις ἀσκητικῶν.

Α'ρνα τὸν ἑαυτῆς ἡ ἀμνὰς ποτὲ ὁρῶσα πρὸς σφαγὴν ἐπισπεύδοντα, προθύμως κατηκολούθει, ταῦτα βοῶσα αὐτῷ. Ποῦ πορεύεις τέκνον μου γλυκύτατον Χριστὲ; τίνος χάριν τὸν ταχὺν δρόμον τοῦτον, μακρόθυμε, τρέχεις ἀκώνως, Ἰησοῦ ποθεινότατε, ἀναμάρτητε, πολυέλεε Κύριε; δός μοι λόγον τῇ δούλῃ σου, Υἱέ μου παμφίλτατε, μή με παρίδῃς, οἰκτίρμων, σιγῶν ἐμὲ τὴν τεκοῦσάν σε, Θεὲ πανοικτίρμων, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Τῇ Παρασκευῇ τῆς β'. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τοῦ τυχόντος ἤχου. Μετὰ δὲ τὴν α'. στιχολ. καθίσμ. σταυρώσιμα τῆς Ὀκτωήχου, μετὰ καὶ Θεοτοκίου, μετὰ δὲ τὴν β'. στιχολογ. λέγομεν τὰ παρόντα καθίσ. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

ΝΗστείᾳ ὑψούμενοι τῶν χαμαιζήλων παθῶν, ὑψώσωμεν Κύριον τὸν ὑψωθέντα Σταυρῷ, καὶ Κόσμον ὑψώσαντα, πίωμεν ἐν αἰσθήσει κατανύξεως πόμα, λάβωμεν τὴν ἡμέραν καὶ νῦν, καὶ τὴν ὥραν, ἐν ᾗ τῷ αἰωνίῳ Κριτῇ παραστησόμεθα.

Σταυροθεοτ. Ὅμοιον.

Η' Ἄνυμφος Μήτηρ σου ὡς ἐθεάσατο σταυρῷ σε ὑψούμενον, ὀδυρομένη θρηνοῦσα τοιαῦτα ἐφθέγγετο· Τί τὸ καινὸν, καὶ ξένον τοῦτο, Υἱέ μου, θαῦμα; πῶς σε ἄνομος δῆμος τῷ σταυρῷ προσπηγνύει τὸν πάντων ζωὴν, φῶς μου γλυκύτατον;

Εἰς τὸν γ'. στιχολ. κάθισ. τοῦ κυρίου Θεοδώρου,
ἦχος πλ. α'.

Λάμπει σήμερον.

ΛΑ'μπει, Κύριε, ἡ χάρις ἡ τοῦ Σταυροῦ σου, ἅπασαν τὴν Οἰκουμένην ἀστράπτουσα, τὴν ἰσχὺν τῶν δαιμόνων ἐξαφανίζει, καὶ νηστείας δρόμον νῦν ὁμαλίζει· ἐν αὐτῇ δυνάμει, ἐλέησον ἡμᾶς.

Σταυροθεοτοκίον ἦχος ὁ αὐτός.

Τὸν συνάναρ.

Υ'ψωθέντα ἐν ξύλῳ ὡς ἐθεάσατο ἡ τεκοῦσά σε Μήτηρ ὠδίνων ἄνευθεν, καὶ ὠλοφύρετο κλαυθμῷ, καὶ ἀνεκραύγαζεν· οἴμοι, γλυκύτατε Υἱὲ, πληροῦμαι νῦν τὴν ψυχὴν, ἐν τῷ σταυρῷ καθορῶσά σε, ἐν μέσῳ δύο κακούργων δίκην κακούργου προσηλούμενον.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια εἰς τὴν τάξιν αὐτῶν τοῦ Κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή.

Ὠδὴ ε'. ἦχος δ'. Ἀσεβεῖς οὐκ ὄψονται.

ΕΚουσίως, Δέσποτα, ὑψωθεὶς ἐν Σταυρῷ, καὶ κατέῤῥαξας τὸν ἐχθρὸν ἑκουσίως, ὅθεν κατεῤῥαγμένον με ἡδονῶν εἰς βάραθρα εὐσπλαγχνίᾳ σου ἀνόρθωσον.

ΣΚοτισθέντα πάθεσιν ἀτόποις τὴν ψυχὴν φωταγώγησον, Ἰησοῦ, ὁ σκοτίσας Ἥλιον, Σταυρῷ

Digitized by Google

ρῷ τεινόμενος, καὶ φωτίσας ἅπαντα Οἰκουμένης τὰ πληρώματα.

Τὸ νηστείας πέλαγος ἐκπλεῦσαι γαληνῶς, καταξίωσόν με, Χριστὲ, κατευνάζων κύματα τῆς διανοίας μου, καὶ τῆς Ἀναστάσεως εἰς λιμένας ἐγκαθόρμισον.

Θεοτοκίον.

Τὴν ἁγνὴν ἁγνεύοντι τιμήσωμεν ναὶ, καλλονὴν τὴν τοῦ Ἰακὼβ, ταῖς ἐνθέοις πράξεσι καλλυνόμενοι, εὐσεβῶς ὑμνήσωμεν ὡς Μητέρα τοῦ Θεοῦ ἡμῶν.

Ἕτερον Τριῴδιον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. α΄.
Τοὺς ἐκ νυκτὸς προσκυνοῦντας.

Σὺ Σταυρωθεὶς, φθορᾶς ἀπαλλάττεις με, καὶ λογχευθεὶς, ἀπαθανατίζεις με· δοξάζω σου τὸ ἄφραστον ἔλεος, ὅτι ἦλθες Χριστὲ, ἵνα σώσῃς με.

Ἐν τῷ Σταυρῷ τείνας τὰς παλάμας σου, τὸν νοητὸν Ἀμαλὴκ ἀπέκτεινας, τὸν λαόν σου ἀνασώζων, Κύριε· διὰ τοῦτο ὑμνοῦμεν τὸ κράτος σου.

Δόξα.

Τὴν ἐν τρισὶ προσώποις Θεότητα μίαν Ἀρχὴν τὴν πανυπερούσιον ὑμνήσωμεν, τὸν Πατέρα ἄναρχον, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα ἅγιον.

Καὶ νῦν.

Ὃν Οὐρανὸς χωρεῖν οὐκ ἠδύνατο, σὺ ἐν γαστρὶ συλλαβοῦσα τέτοκας· ὢ τοῦ φρικτοῦ, καὶ ἀρρήτου θαύματος· διὸ πάντες ὑμνοῦμέν σε, ἄχραντε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ δι᾽ ἐμὲ ὑπομείνας σταύρωσιν, ὄξος πιὼν, καὶ εἰπὼν τετέλεσται, τέλεσόν μου τὸ νηστείας στάδιον, ἀξιῶν με ἰδεῖν σου τὴν Ἔγερσιν.

Ὁ Εἱρμός.

Τοὺς ἐκ νυκτὸς προσκυνοῦντάς σε, Χριστὲ, ἐλέησον, καὶ εἰρήνην δώρησαι, ὅτι φῶς, τὰ „ σὰ προστάγματα, καὶ ἐγένοντο ἰάματα τοῖς δού- „ λοις σου, φιλάνθρωπε.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Σταυρῷ προσπαγεὶς δι᾽ εὐσπλαγχνίαν, Λῃστῇ τὸν Παράδεισον ἠνέῳξας, νῦν δὲ λῃστευθέντα με δαίμονος δεινότητι, καὶ τῇ ψυχῇ ὁλόσωμον πληγὴν δεξάμενον ἰάτρευσον, ἀνοίξας μοι πύλας, τὰς τῆς μετανοίας τῇ σῇ φιλανθρωπίᾳ.

Νηστείᾳ λαμπρύναντες τὴν σάρκα, ψυχὴν ἀρεταῖς καταπιαίνωμεν· πένητας ἐκθρέψωμεν, πλοῦτον μὴ κενούμενον ἐν Οὐρανοῖς ὠνούμενοι, καὶ ἀνακράξωμεν, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῷ πάθει σου κτίσις ἐκλονήθη, Σταυρῷ σε θεασαμένη καθηλούμενον, Σῶτερ ὑπεράγαθε· ὅθεν ἱκετεύω σε, ταῖς προσβολαῖς κλονούμενον ἀεὶ τοῦ ὄφεως στερέωσον τὸν νοῦν μου, οἰκτίρμων, σοῦ τῶν θελημάτων ἐν ἀρραγεῖ τῇ πέτρᾳ.

Θεοτοκίον.

Ἡ Πύλη Θεοῦ ἡ κεκλεισμένη, ἣν μόνος διώδευσεν ὁ Κύριος, ἴθυνον πρὸς τρίβους με θείας, καὶ διάνοιξον τῆς σωτηρίας πύλας μοι, Θεοχαρίτωτε, πρὸς σὲ γὰρ καταφεύγω Παρθένε, μόνη προστασία τοῦ γένους τῶν ἀνθρώπων.

Εἱρμὸς ἄλλος. Τὸν ποιητὴν τῆς Κτίσεως.

Τὸ ξύλον τὸ πανάγιον, ἐν ᾧ σὺ Χριστέ μου ἐσταυρώθης, ὑμνῶν, ὑπερευλογῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Ἐν Γολγοθᾷ οἱ ἄνομοί σε, Χριστὲ, σταυρώσαντες, ἀπέκτειναν, ἀλλὰ ζῇς, καὶ σώζεις ἡμᾶς εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Ξενοπρεπῶς μερίζεται ἡ Τριὰς, καὶ μένει ἀμερὴς ὡς Θεὸς, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν, Θεοτοκίον.

Ἱκετηρίαν ποίησον ὑπὲρ τῶν ὑμνούντων σε, Πανάχραντε, ῥυσθῆναι παντοίων πειρασμῶν, καὶ κινδύνων.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῇ τοῦ Σταυροῦ σου, Κύριε, δυνάμει νευρώσας με, ἀξίωσον, εὐψύχως ἀνύσαι τὸν τῆς νηστείας δρόμον.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν ποιητὴν τῆς Κτίσεως, ὃν φρίττουσιν Ἄγγελοι, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Λίθος ἀχειρότμητος.

Λίθον σε τμηθέντα προεῖδεν ὄρους Προφήτης τῆς Παρθένου, Σῶτερ, διαρρήξαντα πέτρας τῇ σῇ σταυρώσει· διὸ βαρούμενον ἀναισθησίας λίθῳ με, ὡς πανοικτίρμων, ἐλευθέρωσον.

Νήστευσον κακίας, ψυχή μου, θείαν ἀγάπην ἐντρυφῶσα, θύραν ἀναπέτασον πάσαις καλῶν ἰδέαις, ἐναποφράττουσα τῆς πονηρίας εἴσοδον δι᾽ ἐγκρατείας, καὶ δεήσεως.

Ἐμὲ τὸν κατάκριτον σῶσον, ὁ κατακρίνας τῷ Σταυρῷ σου Δέσποτα Σωτήρ μου, τὴν ἔχθραν, καὶ μὴ γεέννης δείξῃς ὑπεύθυνον τὸν σπιλωθέντα πάθεσι, καὶ ἁμαρτίαις ἀμαυρούμενον.

Θεοτοκίον.

Φεῖσαί μου, Χριστὲ, ὅταν ἔλθῃς κρῖναι τὸν Κόσμον μετὰ δόξης· λῦσον τὴν ἀχλὺν τῶν κακῶν μου ταῖς ἱκεσίαις τῆς κυησάσης σε, καὶ κληρονόμον ποίησον τῆς οὐρανίου Βασιλείας σου.

Εἱρμὸς ἄλλος. Ἠσαΐα χόρευε.

Πάλιν τὸν Παράδεισον ὑπανοίγεις ἅπαξ σταυρωθεὶς, ἐν ᾧ μεταλαβὼν, χαίρω τῆς ζωῆς, θανάτου λυτρούμενος αἰωνίου τῆς δρακαίνης· ὅθεν, φιλάνθρωπε, ὡς Θεόν μου μεγαλύνω σε.

Τὸ κατάρας ὄργανον εὐλογίας δέδεικται σφραγὶς ὁ σὸς ζωοποιὸς, Κύριε, Σταυρὸς, ἐν

ᾧ κα-

Digitized by Google

ᾧ καθορῶντές σε, ζωούμεθα θνήξαντες τὸ πρίν, καὶ ἀνυμνοῦντές σε, ὡς Δεσπότην μεγαλύνομεν.

Δόξα.

Ὁμοουσιότητι ἀνυμνῶ σε, ἄναρχε Τριάς· σεπτὴ ζωαρχική, ἄτμητε μονάς. Πατὴρ ὁ ἀγέννητος, καὶ γεννητὲ Λόγε, καὶ Υἱέ. Πνεῦμα τὸ ἅγιον σῶσον ἡμᾶς τοὺς ὑμνοῦντάς σε.

Καὶ νῦν, Θεοτοκίον.

Ὑπὲρ νοῦν ὁ τόκος σου, Θεομῆτορ, ἄνευ γὰρ ἀνδρὸς ἡ σύλληψις ἐν σοί, καὶ παρθενικῶς ἡ κύησις γέγονε, καὶ γὰρ Θεός ἐστιν ὁ τεχθείς· ὃν μεγαλύνοντες, σὲ Παρθένε μακαρίζομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὁ Σταυρὸς ὁ τίμιος, ἡ ἰσχύς μου, καὶ καταφυγή· γενοῦ μοι φωτισμὸς νῦν ἐγκρατεύοντος· εὐφραίνων, καθαίρων με, ῥυόμενος ἀπὸ πειρασμῶν· ἵνα δοξάζων σε, τὸν Δεσπότην μεγαλύνω Χριστόν.

Ὁ Εἱρμός.

Ἠσαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρί· καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουήλ, Θεόν τε,
„ καὶ ἄνθρωπον, Ἀνατολὴ ὄνομα αὐτῷ· ὃν με-
„ γαλύνοντες, σὲ Παρθένε μακαρίζομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, Εἰς τὸν στίχ. τὸ ἰδιόμελον Δίς· ἦχος πλ. δʹ.

Ἡ Παθοκτόνος νηστεία παροῦσα τοὺς κακωθέντας ὑπὸ τῆς ἁμαρτίας ἰατρεύειν ἐπαγγέλλεται· ταύτην ὡς θεόσδοτον Βοηθὸν τιμήσωμεν, τὰς θεογράφους πλάκας διὰ Μωσέως δεξάμενοι· μὴ προκρίνωμεν τὴν συντρίψασαν αὐτὰς ἀκρασίαν, μὴ γενώμεθα μέτοχοι, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ· μὴ σκυθρωπάσωμεν Ἰουδαϊκῶς, ἀλλ᾽ ἐκκλησιαστικῶς φαιδρυνθῶμεν· μὴ Φαρισαϊκῶς ὑποκριθῶμεν, ἀλλ᾽ Εὐαγγελικῶς καλλωπισθῶμεν, ἐγκαυχώμενοι τῷ Σταυρῷ Χριστοῦ, τοῦ λυτρωτοῦ τῶν ψυχῶν ἡμῶν.

Μαρτ.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι; Χερουβίμ; ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστός. Σεραφίμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν. Ἀγγέλους; τὸ γὰρ σῶμα ἀπεστράφητε. Δυνάμεις; ἐνεργεῖτε γὰρ ἐν τοῖς θαύμασι· πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Τί τὸ θαυμαστόν, καὶ ἐξαίσιον, ἡ Παρθένος τῷ Κυρίῳ ἀνεβόα μητρικῶς· Αἱ ὠδῖνες, ἃς οὐκ ἔγνων ἐν τῷ τίκτειν σε, Υἱέ, δριμεῖαι καθικνοῦνται τῆς καρδίας μου, οὐ φέρω ἐν σταυρῷ προσηλωμένον σε, ὁρῶν τὸ φῶς τῶν ὀμμάτων μου· σπεῦσον οὖν ἀνάστηθι, ὅπως δοξάσω σὺν τῷ Κόσμῳ τὴν φρικτὴν οἰκονομίαν σου.

Εἰς τὴν Τριθέκτην, τροπάριον τῆς Προφητείας, ἦχος αʹ.

Ἐν νυκτί, καὶ ἡμέρᾳ προσπίπτομέν σοι, Κύριε, τοῦ δοῦναι ἄφεσιν ἁμαρτιῶν ταῖς ψυχαῖς ἡμῶν, ἵνα ἐν εἰρήνῃ σὲ προσκυνοῦμεν, καὶ δοξολογοῦμεν, φιλάνθρωπε.

Προκείμενον. Ψαλμός, λζʹ. ἦχ. δʹ.

Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου.

Στίχ. Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι.

Προφητείας Ἠσαΐου.

Ἐγένετο ἐν ταῖς ἡμέραις Ἄχαζ τοῦ Ἰωάθαν τοῦ υἱοῦ Ὀζίου βασιλέως Ἰούδα, ἀνέβη Ῥασσείν, βασιλεὺς Ἀράμ, καὶ Φακεὲ υἱὸς Ῥομελίου βασιλέως Ἰσραὴλ ἐπὶ Ἱερουσαλήμ, πολεμῆσαι αὐτήν. καὶ οὐκ ἠδυνήθησαν πολιορκῆσαι αὐτήν. Καὶ ἀπηγγέλλει εἰς τὸν οἶκον Δαβίδ, λέγων, συνεφώνησεν Ἀρὰμ πρὸς τὸν Ἐφραίμ, καὶ ἐξέστη ἡ ψυχὴ αὐτοῦ, καὶ ἡ ψυχὴ τοῦ λαοῦ αὐτοῦ, ὃν τρόπον ἐν δρυμῷ ξύλον ὑπὸ πνεύματος σαλευθῇ. Καὶ εἶπε Κύριος πρὸς Ἠσαΐαν. Ἔξελθε εἰς συνάντησιν Ἄχαζ σύ, καὶ ὁ καταλειφθεὶς Ἰασοὺβ ὁ υἱός σου πρὸς τὴν κολυμβήθραν τῆς ἄνω ὁδοῦ ἀγροῦ τοῦ κναφέως, καὶ ἐρεῖς αὐτῷ· φύλαξαι τοῦ ἡσυχάσαι, καὶ μὴ φοβοῦ, μηδὲ ἡ ψυχή σου ἀσθενείτω, ἀπὸ τῶν δύο ξύλων, τῶν δαλῶν τῶν καπνιζομένων τούτων· ὅταν γὰρ ὀργὴ τοῦ θυμοῦ μου γένηται, πάλιν ἰάσομαι· καὶ ὁ υἱὸς τοῦ Ἀράμ, καὶ ὁ υἱὸς τοῦ Ῥομελίου· ὅτι ἐβουλεύσαντο βουλὴν πονηράν· ἀναβησόμεθα εἰς τὴν Ἰουδαίαν, καὶ συλλαλήσαντες αὐτοῖς, ἀποστρέψομεν αὐτοὺς πρὸς ἡμᾶς, καὶ βασιλεύσομεν αὐτοῖς τὸν υἱὸν Ταβεήλ. Τάδε λέγει Κύριος Σαβαώθ, οὐ μὴ μείνῃ ἡ βουλὴ αὕτη, οὐδὲ ἔσται· ἀλλ᾽ ἡ κεφαλὴ Ἀρὰμ Δαμασκός, καὶ ἡ κεφαλὴ Δαμασκοῦ, Ρασείν· ἀλλ᾽ ἔτι ἑξήκοντα καὶ πέντε ἐτῶν ἐκλείψει ἡ Βασιλεία Ἐφραὶμ ἀπὸ λαοῦ, καὶ ἡ κεφαλὴ Ἐφραὶμ Σομόρων, καὶ ἡ κεφαλὴ Σομόρων υἱὸς τοῦ Ῥομελίου· καὶ ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων· αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου Θεοῦ σου εἰς βάθος, ἢ εἰς ὕψος· καὶ εἶπεν Ἄχαζ· οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον· καὶ εἶπεν Ἀκούσατε δὴ οἶκος Δαβίδ, μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον.

Προκείμενον. Ψαλμός· ληʹ. ἦχος πλ. βʹ.

Εἰσάκουσον τῆς προσευχῆς μου Κύριε.

Στίχ. Εἶπα, φυλάξω τὰς ὁδούς μου.

Τῇ

Digitized by Google

Τῇ Παρασκευῇ τῆς β'. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὸ Ἰδιόμελον Δίς· τὰ τέσσαρα Μαρτυρικὰ τοῦ ἤχου, καὶ τοῦ Μηναίου δ'. Δόξα τὸ νεκρώσιμον. Καὶ νῦν Θεοτοκίον τὸ πρῶτον τοῦ αὐτοῦ ἤχου· τὸ Ἰδιόμελον, ἦχος δ'.

Νῦν καιρὸς εὐπρόσδεκτος, νῦν ἡμέρα σωτηρίας, ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπίσκεψαί μου τὴν ψυχήν, καὶ τὸ φορτίον τῶν ἀνομιῶν μου ἄνες, μόνε φιλάνθρωπε.

Ἑσπέρας Προκείμ. Ψαλμὸς λθ'. ἦχ. δ'.

Τὸ ἔλεός σου Κύριε, καὶ ἡ ἀλήθειά σου εἰς τὸν αἰῶνα.

Στίχ. Ὑπομένων ὑπέμεινα τὸν Κύριον.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Νῶε ἦν ἐτῶν πεντακοσίων, καὶ ἐγέννησε Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ. Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς· ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων, ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο. Καὶ εἶπε Κύριος ὁ Θεός, οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα, διὰ τὸ εἶναι αὐτοὺς σάρκας· ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν, ἑκατὸν εἴκοσι ἔτη. Οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ' ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς, ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ' αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί. Ἰδὼν δὲ Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς, καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας· καὶ ἐνεθυμήθη ὁ Θεός, ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη, καὶ εἶπεν ὁ Θεός, Ἀπαλείψω τὸν ἄνθρωπον ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἀπὸ ἑρπετῶν ἕως πετεινῶν τοῦ Οὐρανοῦ, ὅτι μετεμελήθην, ὅτι ἐποίησα αὐτούς. Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ.

Προκείμενον. Ψαλ. μ' ἦχος πλ. β'.

Ἐγὼ εἶπα, Κύριε ἐλέησόν με. Στίχ. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχόν.

Παροιμιῶν.

Υἱὲ φύλασσε νόμους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· ἄφαψαι δὲ αὐτοὺς ἐπὶ σῇ καρδίᾳ διὰ παντός, καὶ ἐγκλοίωσαι περὶ σῷ τραχήλῳ· ἡνίκα ἂν περιπατῇς, ἐπάγου αὐτήν, καὶ μετὰ σοῦ ἔστω· ὡς δ' ἂν καθεύδῃς, φυλασσέτω σε, ἵνα ἐγειρομένῳ συλλαλῇ σοι, ὅτι λύχνος ἐντολὴ νόμου, καὶ φῶς, ὁδὸς ζωῆς, καὶ ἔλεγχος, καὶ παιδεία, τοῦ φυλάσσειν σε ἀπὸ γυναικὸς ὑπάνδρου, καὶ ἀπὸ διαβολῆς γλώσσης ἀλλοτρίας. Υἱέ, μή σε νικήσῃ κάλλους ἐπιθυμία, μηδὲ ἀγρευθῇς σοῖς ὀφθαλμοῖς· μηδὲ συναρπασθῇς ἀπὸ τῶν αὐτῆς βλεφάρων· τιμὴ γὰρ πόρνης ὅση καὶ ἑνὸς ἄρτου· γυνὴ δὲ ἀνδρῶν τιμίας ψυχὰς ἀγρεύει· ἀποδήσει τὶς πῦρ ἐν κόλπῳ, τὰ δὲ ἱμάτια οὐ κατακαύσει; ἢ περιπατήσει τὶς ἐπ' ἀνθράκων πυρός, τοὺς δὲ πόδας οὐ κατακαύσει; οὕτως ὁ εἰσελθὼν πρὸς γυναῖκα ὕπανδρον, οὐκ ἀθῳωθήσεται, οὐδὲ πᾶς ὁ ἁπτόμενος αὐτῆς· οὐ θαυμαστόν, ἐὰν ἁλῷ τις κλέπτων· κλέπτει γάρ. ἵνα ἐμπλήσῃ τὴν ψυχὴν αὐτοῦ πεινῶσαν, ἐὰν δὲ ἁλῷ, ἀποτίσει ἑπταπλάσια· καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ δοὺς ῥύσεται ἑαυτόν· ὁ δὲ μοιχὸς δι' ἔνδειαν φρενῶν ἀπώλειαν τῇ ἑαυτοῦ ψυχῇ περιποιεῖται· ὀδύνας τε καὶ ἀτιμίας ὑποφέρει· τὸ δὲ ὄνειδος αὐτοῦ οὐκ ἐξαλειφθήσεται εἰς τὸν αἰῶνα· μεστὸς γὰρ ζήλου θυμὸς ἀνδρὸς αὐτῆς, οὐ φείσεται ἐν ἡμέρᾳ κρίσεως· οὐκ ἀνταλλάξεται οὐδενὸς λύτρου τὴν ἔχθραν· οὐδὲ μὴ διαλυθῇ πολλῶν δώρων· υἱέ, φύλασσε ἐμοὺς λόγους, τὰς δὲ ἐμὰς ἐντολὰς κρύψον παρὰ σεαυτῷ. Υἱέ, τίμα τὸν Κύριον, καὶ ἰσχύσεις· πλὴν δὲ αὐτοῦ μὴ φοβοῦ ἄλλον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Τῷ Σαββάτῳ τῆς δευτέρας Ἑβδομάδος εἰς τὸν Ὄρθρον, Ἀλληλούϊα, καὶ τὰ Τροπάρια ἦχος β'.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ἱκετεύσατε, σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Νεκρώσιμον. Δόξα.

Μνήσθητι, Κύριε, ὡς ἀγαθὸς τῶν δούλων σου, καὶ ὅσα ἐν βίῳ ἥμαρτον συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος, εἰ μὴ σύ, ὁ δυνάμενος καὶ τοῖς μεταστᾶσι δοῦναι τὴν ἀνάπαυσιν.

Καὶ νῦν.

Μήτηρ ἁγία ἡ τοῦ ἀφράστου φωτός, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

Καὶ στιχολογοῦμεν τό, Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ· τὸ ἐν κάθισμα. Εἶτα ψάλλομεν τὰ Μαρτυρικὰ τῆς Ὀκτωήχου, καὶ τὸ Νεκρώσιμον θεοτ. καὶ Ἀνάγνωσις εἰς τὴν Ἑξαήμερον. Εἶτα τὸν Ἄμωμον, ποιοῦντες αὐτὸν στάσεις β'. καὶ μνημονεύει ὁ Ἱερεὺς τοὺς Κεκοιμημένους, ὡς σύνηθες. Εἰς δὲ τὸ τέλος τοῦ Ἀμώμου, ψάλλομεν τὰ Εὐλογητάρια. Τῶν Ἁγίων ὁ χορός, καὶ τὰ ἕτερα. Μετὰ δὲ τό, Δόξα. Καὶ νῦν. Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα, καὶ τὴν Εὐχήν, ὁ Θεὸς τῶν Πατέρων, καὶ πάσης, καὶ εὐθὺς τροπ. ἦχος πλ. α'.

Ἀνά

Digitized by Google

ΑΝάπαυσον Σωτὴρ ἡμῶν μετὰ δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα, τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει, φιλάνθρωπε.

Δόξα, τὸ τέλος. Καὶ νῦν, εἰς τὸν αὐτὸν ἦχον

ΟἘκ Παρθένου ἀνατείλας τῷ Κόσμῳ, Χριστὲ ὁ Θεὸς, υἱοὺς φωτὸς δι᾽ αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου μετὰ τῶν Εἱρμῶν εἰς ς΄. καὶ τοῦ Ἁγίου τῆς Μονῆς εἰς δ΄. μέχρι τῆς ς΄. ᾠδῆς· ἀπὸ δὲ τῆς ς΄. ᾠδῆς, εἰσέρχονται τὰ Τετραῴδια, καὶ καταλιμπάνεται ὁ Κανὼν τοῦ Ἁγίου τῆς Μονῆς· οἱ Κανόνες ψάλλονται οὕτως· τοῦ Μηναίου εἰς ἓξ σὺν τῷ Εἱρμῷ, καὶ λέγει ὁ ἐναρξάμενος Χορὸς τὸν Εἱρμὸν, καὶ ὁ ἕτερος τὸ τροπάριον, κρατοῦμεν δὲ καὶ στίχους ή. ἀρχόμεθα ἀπὸ τοῦ, **Τότε ἐσπούδασαν οἱ** ὡς τοῦ Εἱρμοῦ, καὶ τοῦ ἑνὸς τροπαρίου ψαλλομένου χωρὶς στίχ. καὶ τοῦ τῆς Μονῆς Ἁγίου εἰς δ΄. ἀπὸ δὲ τῆς ς΄. ᾠδῆς, εἰσέρχονται τὰ Τετραῴδια, καὶ ψάλλονται αἱ Ὠδαὶ κατὰ τὴν τάξιν· προηγοῦνται δὲ οἱ Κανόνες τοῦ Μηναίου, ἱστῶμεν δὲ εἰς μὲν τὴν ς΄. ἀπὸ τοῦ, **Περιεχύθη μοι ὕδωρ ἕως**· ἡ ζ΄. ᾠδὴ, ἀπὸ τοῦ **Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν καὶ ὑπερύ.** ὥσπερ καὶ ἐν τῇ ή. ἀπὸ τοῦ, **Εὐλογεῖτε πάντα τὰ Πετεινὰ τοῦ**· ὡσαύτως καὶ ἐν τῇ θ΄. ἀπὸ τοῦ, **Ὅρκον, ὃν ὤμοσε πρὸς.** Τὸ Τετραῴδιον τοῦ Κυρίου Ἰωσὴφ, οὗ ἡ ἀκροστίχ. Ὁ ὕμνος οὗτος Ἰωσὴφ, καὶ συμπλέκονται αἱ Ὠδαί· ᾠδὴ ς΄. ἦχ. πλ. δ΄.

Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον.

ΟἹ ἅγιοι διὰ πλείστων βασάνων τὰς πολλὰς τῶν δυσμενῶν μυριάδας καταβαλεῖν ἠξιώθησαν, Σῶτερ, καὶ τῶν πολλῶν ἀγαθῶν σου ἐπέτυχον, εὐχαῖς αὐτῶν, ὡς ἀγαθὸς, τὰ πολλά μου ἐξάλειψον πταίσματα.

ΥΜνήσωμεν τοὺς Χριστοῦ ἀθλοφόρους, καὶ βοήσωμεν αὐτοῖς ὁμοφρόνως, δεσποτικῶν μιμηταὶ παθημάτων τὰ τῶν ψυχῶν ἡμῶν πάθη ἰάσατε· νηστεύειν τε ἀπὸ κακῆς συνηθείας ἡμᾶς ἐνισχύσατε.

ΜΕτέβαλες τοῦ θανάτου εἰς ὕπνον τὸ ἐπίπονον, ἐν τάφῳ ὑπνώσας, καὶ τοῖς νεκροῖς τὴν ζωὴν ἐδωρήσω, τοὺς μεταστάντας οὖν Σῶτερ ἀξίωσον τῆς στάσεως τῶν ἐκλεκτῶν ἀθλοφόρων Ἁγίων δεήσεσι.

Θεοτοκίον.

ΝΗστεύειν με, καὶ ἀπέχεσθαι πάσης ἁμαρτίας ἐνδυνάμωσον, Κόρη, τὸν δυνατὸν ἀναμάρτητον Λόγον σωματωθέντα ἀῤῥήτως κυήσασα· καὶ δίδου μοι καθαρτικὸν μολυσμάτων, παναμώμε, δάκρυον.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου· ἦχ. γ΄.
Βυθός μοι τῶν παθῶν ἐπαν.

ΜΑρτύρων μνήμην ἐπιτελοῦμεν ἐνθέως, φιλομάρτυρες δεῦτε ἀγαλλιασώμεθα, καὶ ὕμνοις αὐτοὺς καταστέφοντες, τὸν ἀθλοθέτην Χριστὸν εὐλογοῦμεν.

ΜΑστίγων πρῶτον πεῖραν λαβόντες, εἶθ᾽ οὕτως λιθασθέντες, πρισθέντες, θηρσὶ βορὰ δίδοσθε, σφαγιάζεσθε ὡς ἄρνες Χριστοῦ, ἀλλὰ ζῆτε εἰς ἀεὶ ἀθλοφόροι.

Δόξα.

ΤΑ᾽ τρία μιᾷ φύσει συνάπτων, τὸ ἓν δὲ τρισὶ τέμνων προσώποις, ἃ ἡ Θεότης ἐστὶ, Σαβέλλιόν τε, καὶ τὸν Ἄρειον, τοὺς ἰσομέτρους κρημνοὺς διαφεύγω.

Καὶ νῦν.

ΠΑρθένος ὤφθης, καὶ μετὰ τόκον ἁγνεύεις· ἄμφω γὰρ καὶ λοχεύεις, ξενοπρεπὲς θέαμα λεγόμενον, καὶ νοούμενον τὸ πεπραγμένον ἐν σοὶ, Θεομῆτορ.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ.

Μαρτ.

ΤΟ᾽ αἷμα τῆς ὑμῶν καρτερίας Κυρίῳ ἱκετεύει ἀπαύστως ὑπὲρ ἡμῶν, Μάρτυρες, διὸ καὶ νῦν ὑπερεύξασθε, νηστεύειν ἡμᾶς ἐκ παθῶν ἀτιμίας.

Στίχ.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται Κύριε.

Νεκρώσιμον.

ΟΠάντα μέλλων κρῖναι τὸν Κόσμον, παρόντων μυριάδων Ἀγγέλων, ἀκαταγνώστως τότε παραστῆναί σοι καταξίωσον τοὺς κοιμηθέντας πιστῶς, πανοικτίρμων.

Ὁ Εἱρμός.

ΒΥθός μοι τῶν παθῶν ἐπανέστη, καὶ ζάλη, ἐναντίων ἀνέμων, ἀλλὰ προφθάσας μεσοὺ,
„ σῶσον Σωτὴρ, καὶ ῥῦσαι φθορᾶς, ὡς ἔσωσας τοῦ
„ θηρὸς τὸν Προφήτην.

Ὠδὴ ζ΄. Παῖδες Ἑβραίων ἐν καμίνῳ.

ΟΜβροις ἐσβέσατε αἱμάτων, πανοίδιμοι, τὴν φλόγα τῆς ἀπάτης· τοῦ πυρὸς οὖν ἡμᾶς τοῦ μέλλοντος πρεσβείαις, ταῖς πρὸς Χριστὸν, λυτρώσατε, τοῦ Κυρίου ἀθλοφόροι.

ΣΤόματα φράξαντες λεόντων, τῶν βασάνων τὴν πυρὰν ὑπενεγκόντες, ἀθλοφόροι, τρυφὴν τὴν κρείττονα κληροῦσθε· ἧσπερ τυχεῖν, δεήθητε, καὶ ἡμᾶς εἰς τοὺς αἰῶνας.

ΟΛῳ φωτὶ περιλαμφθέντες τῷ τοῦ Πνεύματος, γενναῖοι ἀθλοφόροι, μεταστᾶσι πιστοῖς τὴν ἄνεσιν αἰτεῖτε, καὶ Παραδείσου εἴσοδον, καὶ ζωῆς τὴν μετουσίαν.

Θεοτοκίον.

ΥΜνον προσάγω σοι Παρθένε, μὴ παρίδῃς με κακοῖς κεκρατημένον· ἀλλὰ δίδου, ἁγνὴ, διόρθωσιν τελείαν διὰ νηστείας, πάσης τε ἀγωγῆς ἀγαθοτρόπου.



Digitized by Google

Εἱρμὸς ἄλλος. Ὁ τὴν φλόγα δροσίσας τῆς καμίνου.

ΠΥρ, καὶ ξίφος, καὶ θῆρας, ἀθλοφόροι, ὡς τρυφὴν λογισθέντες, κατεπλήξατε τοὺς φονεῖς ὑμῶν, ἀνυμνοῦντες Θεὸν, τὸν τῶν Πατέρων ἡμῶν.

ΜΕληδὸν συγκοπέντες, καὶ καέντες, τῷ Χειρὶ σῷ ἀνωρέχθητε θυσία εὐαπόδεκτος, Χειστοῦ Μάρτυρες, ἀλλ' αὐτῷ ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύσατε.

Δόξα.

ΕΝ Τριάδι ἕνα Θεὸν δοξάζω, τὸν Πατέρα, Υἱόν τε, καὶ τὸ Πνεῦμα, μονάδα ἁπλῆν, Τριάδα σεπτὴν, ἀρχὴν προάναρχον, καὶ ὁμοούσιον.

Καὶ νῦν.

ΠΑναγία Δέσποινα Θεοτόκε, τὰς εὐχὰς τῶν δούλων σου δεχομένη προσανένεγκε τῷ πάντων Θεῷ ἵνα σώσῃ ἡμᾶς ἀπὸ παντὸς πειρασμοῦ.

Στίχος.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Μαρτυρικόν.

ΤΩν Μαρτύρων οἱ δῆμοι οὐρανόθεν τοὺς ὑμᾶς ἀνυμνοῦντας ἐπισκέψαντες εὐλογήσατε, ἁγιάσατε, προθύμως τῶν νηστειῶν διατελεῖν τὸν καιρόν.

Στίχος.

Μακάριοι οὓς ἐξελέξω, καὶ προσελάβου.

Νεκρώσιμον.

ΤΩν ἐν πίστει πρὸς σὲ μετατεθέντων, ὁ συνιὼν τὰ ἔργα τῶν ἀνθρώπων, τὰ ἑκούσια, καὶ ἀκούσια πταίσματα συγχωρῶν, ἀνάπαυσον ὡς Θεός.

Ὁ Εἱρμός.

ΟΤὴν φλόγα δροσίσας τῆς καμίνου, καὶ τοὺς παῖδας ἀφλέκτους διασώσας, εὐλογητὸς εἶ » εἰς τοὺς αἰῶνας, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡ» μῶν.

Ὠδὴ η'. Νικηταὶ τυράννου.

ΤΩν βασάνων ἤδη ἀσθενείᾳ σώματος ὑπενεγκόντες· ἰατροὶ νοσούντων, ἀθλοφόροι, ὤφθητε, ὅθεν κραυγάζω, τὴν ἐμὴν νοσοῦσαν ψυχὴν ἰατρεύσατε χρόνῳ τῆς νηστείας διὰ τῆς μετανοίας.

ΟΙμοι, πῶς παρῆλθον πᾶσαι αἱ ἡμέραι μου ἐν ἀμελείᾳ, καὶ ἰδοὺ τὸ τέλος φθάνει ἀτελείωτον καλὸν λαβεῖν με· οἱ καλῶς τὸν δρόμον τελέσαντες Μάρτυρες, τέλος ἀγαθὸν μοι γενέσθαι, δυσωπεῖτε.

ΣΤαλαγμοῖς αἱμάτων τὴν πυρὰν ἐσβέσατε τῆς ἀθεΐας, θεῖοι ἀθλοφόροι, καὶ τοῖς ἐκδημήμασι τοῦ δε τοῦ βίου ἐξαιτεῖτε ὄντως τὴν θείαν ἀνάπαυσιν, καὶ τῶν πεπραγμένων τὴν λύσιν εἰς αἰῶνας.

Θεοτοκίον.

ΙΕζεκιὴλ σε πύλην ἀδιόδευτον, ἁγνὴ, προεῖδε, μετανοίας πύλας πᾶσιν ὑπανοίγουσαν ἀπεγνωσμένοις· ὅθεν δυσωπῶ σε, τρίβους μοι ὑπόδειξον, τὰς πρὸς τὰς ἐκεῖθεν φερούσας καταπαύσεις.

Εἱρμὸς ἄλλος. Τὸν ἐξ ἀνάρχου.

ΤΟὺς πολυάθλους αἰκισμοὺς διαφόρως ὑπομείναντες, οἱ μὲν καέντες, ἕτεροι πρισθέντες, ἄλλοι δὲ τεμνόμενοι, εὐφραίνεσθε, ἀθληταὶ, ἀναμέλποντες Χριστῷ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΕΝ τοῖς αἵμασιν ὑμῶν ἁγιάζετε τὰ πέρατα, μικραῖς ῥανίσι ῥεῖθρα ἰαμάτων πᾶσιν ἀναβλύζοντες, πανεύφημοι Μάρτυρες, διὸ βοᾶτε ἀεὶ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε Κύριον εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

ΗΤρισυπόστατος μονὰς, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν, μία Θεότης, μία Βασιλεία, σὲ αἰνεῖ τὸ ἄδυτον φῶς, Ἀγγέλων αἱ στρατιαὶ, καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν, Θεοτ.

ΙΔοὺ πᾶσαι γενεαὶ μακαρίζομέν σε, ἄχραντε, μεγαλεῖα τὰ σὰ καθορῶντες· σὺ γὰρ τίκτεις ὑπερφυῶς τὸν τοῦ παντὸς ποιητὴν, Θεὸν ὄντα, καὶ βροτόν· διό σε εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς Μαρτ.

ΤΩν ἀθλοφόρων ὁ χορὸς δυσωπήθητε τοῦ σῶσαι ἡμᾶς, πρὸς τὸν Σωτῆρα, τὰς ἱκετηρίας καὶ νῦν ποιούμενοι, λαβόντες εἰλικρινῶς δι' ἐγκρατείας αὐτῷ· ὃν ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν. Νεκρώσιμον.

ΤΟὺς Κοιμηθέντας εὐσεβῶς ἐπ' ἐλπίδι ἀναστάσεως πρὸς αἰωνίαν ζωὴν ἐγερθῆναι, Κύριε, ἀξίωσον, αἰνεῖν σε εἰλικρινῶς, καὶ δοξάζειν ψαλμικῶς· ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε Κύριον εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

ΤΟν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα πρὸ αἰώνων Θεὸν, καὶ ἐπ' ἐσχάτων ἐκ τῆς Θεο» τόκου σάρκα ἐνδυσάμενον ὡς τέλειον ἄνθρω» πον, καὶ Θεὸν ἐκ τοῦ Θεοῦ, ὑμνεῖτε, εὐλο» γεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶ» νας.

Ὠδὴ θ'. Ὄρους παρῆλθες τῆς φύ.

ΩΦθητε, θεῖοι, ὡς ἄνθρακες, ὕλην πονηρὰν ἀθεΐας συμφλέξαντες, καὶ ξίφη τῶν δαιμόνων ξίφει καρτερίας συγκόψαντες, γενναῖοι ἀθλοφόροι, φωταγωγοὶ τῶν καρδιῶν ἡμῶν.

Σκό-

Digitized by Google

Σκότος βασάνων διῆλθετε, καὶ πρὸς φωτισμὸν νοητὸν μετοικίσθητε, γενναῖοι ἀθλοφόροι, διὸ φωτίσατε τὴν ταπεινὴν ψυχήν μου, ἐσκοτισμένην πλημμελήμασιν.

Ἤλγησαν πόνους προσφέροντες οἱ πανένδοξοι ἀθλοφόροι τοῦ σώματος, καὶ νῦν τοῖς μετ᾽ εὐσεβείας πιστοῖς τὴν ἄπονον ἀνάπαυσιν αἰτοῦνται, καὶ Παραδείσου τὴν ἀπόλαυσιν.

Θεοτοκίον.

Φάνηθι, ἄχραντε Δέσποινα, Θεοῦ συνεργὸς τοῖς ἀχρείοις οἰκέταις σου καιρῷ τῆς ἐγκρατείας, τὰς προσευχὰς ἡμῶν προσάγουσα Κυρίῳ, τῷ τῶν αἰώνων βασιλεύοντι.

Εἱρμὸς ἄλλος. Σὲ τὴν ἀθάνατον.

Ὡς πῦρ ἐμβληθέντες ἐκ Θεοῦ, εἰς τὴν γῆν κατεφλέξατε πᾶσαν πλάνην εἰδώλων, ἀναφανέντες πυρσὸν εἰς τὰ πέρατα εὐσεβείας, ἀθλοφόροι Χριστοῦ.

Ὑμᾶς οὔτε φλόγες, οὐ σφαγαί, οὐ ῥοαί, οὐκ ἀρθρέμβολα, κατέπαυσαν, πρίστηρες οὐκ ἄλλη βάσανος πικρὰ διεχώρισε τῆς ἀγάπης τοῦ Χριστοῦ, ἀθληταί.

Δόξα.

Ἓν, καὶ τρία ἀνυμνῶ εὐσεβῶς τὴν Θεότητα, τῇ μορφῇ τοῖς προσώποις ἀσυγχύτοις τὴν ἀσύνθετον μορφὴν, καὶ διαιρῶν, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, ταῦτα ἓν εἰσί.

Καὶ νῦν.

Σὲ τὴν ἐκ ῥίζης Ἰεσσαὶ, καὶ Δαβὶδ τοῦ προπάτορος ἐκβλαστήσασαν ῥάβδον, πανάχραντε ἁγνὴ, μεγαλύνομεν, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Στίχος.

Τοῖς Ἁγίοις, τοῖς ἐν τῇ γῇ αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.

Μαρτυρικόν.

Πανθαῦς Μαρτύρων ἡ στερρὰ τὸν Χριστὸν ἐνδυσώπησον, ἐν εἰρήνῃ πληρῶσαι τὸν δρόμον τῶν νηστειῶν, κατιδεῖν ἡμᾶς καὶ προσκυνῆσαι, καὶ τὰ πάθη αὐτοῦ.

Στίχος.

Μακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου.

Νεκρώσιμον.

Νεκρῶν, καὶ ζώντων ὡς Θεὸς ὁ νεκρώσας τὸν θάνατον καὶ ζωὴν τῇ ἐγέρσει σου πᾶσι παρασχὼν Χριστὲ, ἀνάπαυσον καὶ τοὺς δούλους σου, οὓς μετέστησας.

Ὁ Εἱρμός.

Σὲ τὴν ἀθάνατον πηγὴν, τὴν δι᾽ Ἁγίων ἰάματα τῇ φύσει τῶν ἀνθρώπων παρέχουσαν,
„ ἁγνὴ, μεγαλύνομεν, ὅτι σώζεις τὰς ψυχὰς ἡμῶν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, λέγοντες ἐν τῷ τέλει. Πρεσβείαις τῶν Ἁγίων. Εἰς τοὺς Αἴνους τὰ Μαρτυρικὰ τοῦ ἤχου. Εἰς δὲ τὸν στίχ. τὰ νεκρώσιμα στιχηρ. τοῦ Κυρίου Θεοφάνους, τοῦ τυχόντος ἤχου. Οὕτως οὖν γίνεται καθ᾽ πᾶν Σάββατον τῆς ἁγίας, καὶ μεγάλης Μ΄. ἐὰν μὴ τύχῃ Ἑορτὴ, ἢ τοῦ Εὐαγγελισμοῦ, ἢ τῶν ἁγίων Τεσσαράκοντα Μαρτύρων, εἰς τὴν Λειτουργίαν, ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Προκείμενον Νεκρώσιμον.

Ἀδελφοὶ βλέπετε· μήποτε ἔσται ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος· ἀλλὰ παρακαλεῖτε ἑαυτοὺς καθ᾽ ἑκάστην ἡμέραν, ἄχρις οὗ τὸ σήμερον καλεῖται, ἵνα μὴ σκληρυνθῇ τις ἐξ ὑμῶν ἀπάτῃ τῆς ἁμαρτίας. Μέτοχοι γὰρ γεγόναμεν τοῦ Χριστοῦ, ἐάνπερ τὴν ἀρχὴν τῆς ὑποστάσεως, μέχρι τέλους βεβαίαν κατάσχωμεν, ἐν τῷ λέγεσθαι· σήμερον ἐὰν τῆς φωνῆς αὐτοῦ ἀκούσητε, μὴ σκληρύνητε τὰς καρδίας ὑμῶν, ὡς ἐν τῷ παραπικρασμῷ· τινὲς γὰρ ἀκούσαντες παρεπίκραναν, ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου διὰ Μωσέως.

Καὶ Νεκρώσιμος. Ἀλληλούϊα. Νεκρώσιμον Εὐαγγέλιον τῆς ἡμέρας, καὶ Νεκρώσιμον Κοινωνικόν. Ἀγαλλιᾶσθε δίκαιοι, καὶ Μακάριοι, οὓς ἐξελέξω, Κύριε.

Κυριακῇ Δευτέρᾳ τῶν ἁγίων Νηστειῶν,

Τῷ Σαββάτῳ ἑσπέρας στιχηρ. ἀναστάσιμα γ΄. καὶ ἀνατολικὰ δ΄. καὶ τοῦ μηναίου γ΄. εἰς τὸν στίχον στιχηρὰ τῆς Ὀκτωήχου τὰ κατ᾽ α. β.

Εἰς τὸν Ὄρθρον ἡ Ἀκολουθία ἀναστάσιμος· τὸ μηναῖον, καὶ τὸ τριῴδιον. Ἴστέον δὲ, ὅτι ἐὰν τύχῃ ἡ ἑορτὴ τοῦ Προδρόμου, ἢ τῶν Ἁγίων μ΄. σχολάζει τὸ τριῴδιον, καὶ ψάλλομεν τὴν Ὀκτώηχον, καὶ τὸ μηναῖον.

Μετὰ τὸ, Θεὸς Κύριος. ἡ συνήθως στιχολογία· καὶ ἀνάγνωσις εἰς τὴν ἐξαήμερον. Εἶτα τὰ εὐλογητάρια, καὶ οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Τὸ Πᾶσα πνοή. Τὸ Ἑωθινὸν Εὐαγγέλιον. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄.

Δόξα, ἦχος πλ. δ΄.

Τῆς μετανοίας ἄνοιξόν μοι πύλας ζωοδότα· ὀρθρίζει γὰρ τὸ Πνεῦμά μου πρὸς ναὸν τὸν ἅγιόν σου, ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ᾽ ὡς οἰκτίρμων κάθαρον εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν, Θεοτ. Ὅμοιον.

Τῆς σωτηρίας εὔθυνόν μοι τρίβους, Θεοτόκε· αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας· ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

Εἶτα ἦχος πλαγ. β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως· ἀλλὰ θαῤῥῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ βοῶ σοι· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Οἱ Κανόνες. Ὁ Ἀναστάσιμος μετὰ τῆς Θεοτόκου, τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου.

Ὁ Κανὼν τοῦ Τριῳδίου· οὗ ἡ Ἀκροστιχίς.

Ἡμέραν πρώτην ὕμνοις ᾄδω νηστειῶν.

Ὠδὴ α'. ἦχος β'. Ἐν βυθῷ κατέστρωσε.

Ἡ φαιδρὰ νηστεία, ὥσπερ φῶς, χρυσαυγὲς ἐκλάμψασα μαρμαρυγαῖς αἰσθητὸν ὑπὲρ ἥλιον, καὶ τὸ σκότος λύουσα, καὶ φαιδρύνουσα τὴν κτίσιν σύμπασαν, σήμερον ἐπέστη, πλοῦτόν τε κομίζουσα ἐπέφανε.

Μιμηταὶ γενώμεθα Χριστοῦ, τὴν τεσσαρακονθήμερον ὥσπερ αὐτὸς ἀνθρωπίνως νενήστευκεν, οὕτω νῦν νηστεύσωμεν ἐν φαιδρότητι νηφαλίου φρονήματος, ἴχνεσι τοῖς τούτου βαίνοντες, καὶ πίστει βεβαιούμενοι.

Ἐν νυμφῶνι συνδράμωμεν Χριστοῦ εἰσεληλυθέναι ὀξέως ποδὶ, τὰς λαμπάδας κατέχοντες, καὶ αὐτὰς ἀνάπτοντες τῷ ἐλαίῳ τῆς συμπαθείας ἐν δάκρυσιν ἅμα, καὶ νηστείαις, χάριτι, καὶ δόξῃ στοιχειούμενοι.

Ῥωμαλέον ἔργασαι, Χριστὲ σῶτερ, σοῦ τὸν Ἄνακτα κατὰ παντὸς πολεμίου, καὶ εὔφρανον, ὅτι σε ἐπόθησε, τῷ σταυρῷ σου τῷ ζωοδλβίῳ καυχώμενος· σὺ οὖν, ὦ παντάναξ, νίκαις σου τὸ σθένος τούτῳ πάρασχε.

Θεοτοκίον.

Ὑπερτέρα πέφηνας, Ἁγνὴ, πάσης ἀοράτου τε, καὶ ὁρατῆς, Ἀειπάρθενε, κτίσεως, τὸν γὰρ κτίστην τέτοκας, ὡς ηὐδόκησε σαρκωθῆναι ἐν μήτρᾳ σου, ᾧ σὺν παῤῥησίᾳ πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερος Κανὼν εἰς τὸν Ἄσωτον, φέρων ἀκροστιχίδα. Δέξαι με, σῶτερ, ὡς τὸν Ἄσωτον πάλαι. Ἰωσήφ.

Ὠδὴ α'. ἦχος πλαγ. β' Τμηθεὶς τμᾶται πόντος ἐρυθρός.

Δέξαι με, Σῶτερ, τοῖς σοῖς οἰκτιρμοῖς πίστει προστρέχοντα, ὡς Ἄσωτον τὸ πρίν. καὶ παράσχου μοι τὴν λύσιν τῶν κακῶν, Χριστὲ, καὶ πρὸς τὸ πρῶτον κάλλος ἀναδραμεῖν καθαρῶς καταξίωσον ὑμνοῦντα τὴν ἄφατον, σωτὴρ, εὐσπλαγχνίαν σου.

Εὔσπλαγχνε Σῶτερ, ἅπλωσον κἀμοὶ τὰς σὰς ἀγκάλας, ὥσπερ ἥπλωσάς ποτε ὑποστρέψαντι ἐκ πάσης πονηρᾶς ὁδοῦ τῷ πρὶν Ἀσώτῳ, Λόγε, καὶ τὸ πρώτερόν μοι δὸς κάλλος, δέομαι, ὃ, πράττων τὰ ἄτοπα, ἀφρόνως ἀπώλεσα.

Ξενώσας πάσης πράξεως σεπτῆς τὸν λογισμόν μου, ἐπορεύθην εἰς μακρὰν χώραν δουλωθεὶς τοῖς ξένοις πολίταις, παθῶν ἐφερέταις δολίοις, ἐπιστρέφοντα δὲ νῦν, Πάτερ, δέξαι με ὡς ἕνα, κραυγάζω σοι, Σωτὴρ, τῶν μισθίων σου.

Θεοτοκίον.

Ἄχραντε Μῆτερ τοῦ Ἐμμανουὴλ, τοῦτον δυσώπει νῦν ἁγνὴ μητροπρεπῶς, ὡς τὸν Ἄσωτον προσδέξασθαι κἀμὲ, ὁδοῦ ἀπολειφθέντα θείας, καὶ εἰς ὄρη πονηρᾶ παραβάσεων πλανώμενον πάντοτε νοὸς ἀμαυρότητι.

Ὠδὴ γ'. Ἐξήνθησεν ἡ ἔρημος.

Ἀκούσωμεν προστάξεως τοῦ Δεσπότου λέγοντος· μὴ ὁμοιοῦσθαι ἔθνεσι τοῖς ἑλλήνων, ὅταν νηστεύετε, τῆς ἀνθρωπαρεσκείας εἰς ἐπίδειξιν.

Νηστεύοντός σου, ἄλειψαι τῷ ἐλαίῳ, ἔφησε, τῆς συμπαθείας κάραν σου, ὁ Δεσπότης, τὸ εἰς τοὺς πένητας, καὶ τὸ πρόσωπόν σου νίψαι ἐν τοῖς δάκρυσιν.

Παράσχου νίκας Ἄνακτι τῷ πιστῷ σου, Δέσποτα, καὶ τοὺς ἐχθροὺς ὑπόταξον τῷ σταυρῷ σου τοὺς παναλάστορας.

Θεοτοκίον.

Τὰ τάγματα ἐξέστησας τῶν ἀγγέλων, Πάναγνε, καὶ τῶν ἀνθρώπων ἔφριξαν αἱ καρδίαι ἐπὶ τῷ τόκῳ σου, διό σε Θεοτόκον πίστει σέβομεν.

Ἄλλος. Κύριος ὢν πάντων, καὶ κτίστης.

Ἴδε μου, Κύριε, τὴν κάκωσιν, καὶ παράσχου μετανοίας τρόπους τῇ ταπεινῇ μου ψυχῇ, καὶ ὡς πάλαι τὸν Ἄσωτον υἱὸν πρὸς σὲ ἐπιστρεφόμενον δέξαι, παρορῶν τὰ πλήθη, Δέσποτα, τῶν πολλῶν παραπτωμάτων μου.

Μόνῳ σοι ἥμαρτον ὁ τάλας ἐγὼ· μόνον σὲ τὸν ἀγαθὸν τῇ φύσει, Λόγε, παροργίσας· μόνος ἔχων πλουσίους οἰκτιρμοὺς, πάλιν μετανοοῦντά με δέξαι· μόνος γὰρ ὑπάρχεις, εὔσπλαγχνε, ἀγαθὸς, καὶ πολυέλεος.

Ἐμὲ πονηρίας πάσης νῦν ἐπιστρέφοντα, ὡς τὸν Ἄσωτον, δέξαι, καὶ στολαῖς φαιδρύνας ἀπαθείας, μερίδος δεῖξον κοινωνόν με, ἀγαθὲ, τῶν καλῶς θεραπευσάντων σε.

Θεοτοκίον.

Σάρκα ἀνέλαβεν ἐκ σοῦ ὁ Χριστὸς τὴν πτωχείαν τοῦ Ἀδὰμ φορέσας, ὃν καθικέτευε, ἀγαθοῦ με πτωχεύσαντα παντὸς, ὡς πάλαι τὸν Ἄσωτον, πλουτίσαι θείαις δωρεαῖς, πανάμωμε, τὸν πιστῶς ὑμνολογοῦντά σε.

Ὠδὴ δ'. Ἐλήλυθας ἐκ παρθένου.

Ῥημάτων σου τοῦ δεσπότου ἡμεῖς ὑπακούοντες, Σωτὴρ, ἐν φαιδρότητι, καὶ εὐφροσύνῃ νηστεύοντες, πρόσωπα νιψώμεθα ἁγνείας ὕδατι θείῳ, ὡς ἐδίδαξας.

Ὡς ἔφησεν ὁ Δεσπότης, ἐλαίῳ ἀλείψωμεν κεφαλὰς νηστεύοντες τῆς εὐποιΐας καὶ πρόσωπα

νίψω-

νίψωμεν τῷ ὕδατι. Πατρὶ τῷ ἐπουρανίῳ τι προσπέσωμεν.

Τοῖς πάθεσιν, ὦ ψυχή μου, τὸν βίον ἀνήλωσας, καὶ τὸν νοῦν κατέχρανας ἐν ἡδοναῖς ταῖς αἰσχίσταις σου· θᾶττον οὖν ἀνάνηψον, καὶ ἐν νηστείαις τὸ θεῖον ἐξιλέωσαι.

Ἠλάλαξαν οἱ τῆς Ἄγαρ, καθάπερ ἀνήμεροι θῆρες, καὶ ἀτίθασσοι, καταπιεῖν νῦν πειρώμενοι τὴν κληρονομίαν σου· ἀλλ' οὖν προφθάσας, Σωτήρ μου, ταύτην λύτρωσαι.

Θεοτοκίον.

Σὲ λιμένα σωτηρίας, καὶ τεῖχος ἀκράδαντον, Θεοτόκε Δέσποινα, πάντες πιστοὶ ἐπιστάμεθα, σὺ γὰρ ταῖς πρεσβείαις σου, ἐκ τῶν κινδύνων λύτρωσαι τὰς ψυχὰς ἡμῶν.

Ἄλλος. Προκατιδὼν ὁ προφήτης.

Ὥσπερ ὁ Ἄσωτος πάλαι, τῶν ἀγκαλῶν σου νῦν ἀπεσκίρτησα, καὶ δοῦλος ἐχρημάτισα πράξεων αἰσχρῶν· διό με ἐπιστρέφοντα δέξαι, Πάτερ, καὶ στολαῖς φαιδρύνας ἱεραῖς, ἀγαθῶν σου ἀνάδειξον μέτοχον.

Τὴν ἀκαρπίαν ποθήσας, ξένοις πολίταις ἐδούλευσα, λιμῷ κατατηκόμενος θείων ἀρετῶν· ἀλλ' οὖν μετανοοῦντά με δέξαι, ἥμαρτον εἰς σέ, φιλάνθρωπε, ἐναγκάλισαι, καὶ σῶσόν με.

Ἐν ἀμελείᾳ τὸν βίον διατελέσας ὁ ἄθλιος, γινώσκων σου τὸ εὔσπλαγχνον, Δέσποτα Χριστέ, προσέρχομαι νῦν ἐν μετανοίᾳ· μὴ οὖν με βδελύξῃ τὸν ἁμαρτωλόν, ἀλλὰ δέξαι, ὡς πάλαι τὸν Ἄσωτον.

Θεοτοκίον.

Ῥῦσαι παντὸς τῶν παθῶν με, Θεοχαρίτωτε, ἐναπόπλυνον ῥανίσιν εὐσπλαγχνίας σου, ὅπως καθαρὸς ὀφθήσωμαι τότε τῷ προσώπῳ τοῦ ἀποτεχθέντος ἐκ τῆς σῆς μακαρίας κοιλίας, Θεόνυμφε.

Ὠδὴ ε'. Μεσίτης Θεοῦ, καὶ ἀνθρώπων.

Νῦν ἥκει καιρὸς σωτηρίας πρόξενος, καὶ θείας ζωῆς· διὰ τοῦτο σπεύσωμεν, ὥσπερ ἐδιδάχθημεν, νηστεύοντες, τὸ πλῆθος τῶν πταισμάτων τοῦ ἀπαλεῖψαι δάκρυσιν.

Ὑλώδεις τὸν νοῦν προσπαθείας ῥίψαντες, Χριστῷ τῷ Θεῷ ἐν κλαυθμῷ βοήσωμεν. Πάτερ ἐπουράνιε, γενέσθω νῦν εἰς ἡμᾶς σοὺς ἱκέτας ὡς ἐν οὐρανοῖς σὸν θέλημα.

Μεγάλῃ φωνῇ οἱ πιστοὶ βοῶμέν σοι, Χριστὲ ὁ Θεός· ὦ παντάναξ Δέσποτα, τῇ χειρί σου νῦν κατάβαλε τοὺς ἐχθροὺς τοῦ σταυροῦ σου τοὺς ἀσεβεῖς, καὶ τρόπωσον.

Θεοτοκίον.

Δυσώπει τὸν σὸν Υἱόν, καὶ Κύριον Παρθένε ἁγνή, αἰχμαλώτοις λύτρωσιν τῆς ἐξ ἐναντίας παρεισάσεως ἐπὶ σοὶ πεποιθόσιν εἰρηνικὴν δωρήσασθαι.

Ἄλλος. Τῷ συνδέσμῳ τῆς ἀγάπης.

Ὡμοιώθην τοῖς ἀλόγοις, ὑποκύψας δολίοις πάθεσι, καὶ λιμώττων ἀπὸ πάντων ἐναρέτων τρόπων, κραυγάζω σοι. Εὔσπλαγχνε Πάτερ, δέξαι, καὶ σῶσόν με τὸν παραπικράναντά σε νῦν ἀφρόνως.

Συντριβέντα ὥσπερ σκεῦος παραβάσεσιν, ὅλον, Κύριε, καινουργήσας μετανοίᾳ, τῆς μερίδος ποίησον μέτοχον τῶν σωζομένων, ὡς ὑπεράγαθος, ὅπως μεγαλύνω σου τὴν εὐσπλαγχνίαν.

Τὴν πατρῴαν μου οὐσίαν διεσκόρπισα, καὶ ἀνήλωσα μετὰ τῶν ἐκπορνευσάντων, καὶ μακρὰν, Σωτήρ, γεγονότων σου· ἀλλ' οὖν με δέξαι νῦν ἐπιστρέφοντα ἔχων ἀγαθότητος ἄπειρον πλοῦτον.

Θεοτοκίον.

Ὁ τὰ πάντα ἐκ μὴ ὄντων εἰς τὸ εἶναι παραγαγών, Ἄχραντε, ὡς αἰτίαν σε τοῦ εἶναι τῆς αὐτοῦ σαρκώσεως ἔσχηκεν· ὃν ἐκδυσώπει ἀποσφαλέντα με πάλιν πρὸς μετάνοιαν καθοδηγῆσαι.

Ὠδὴ ϛ'. Ἐν ἀβύσσῳ πταισμάτων.

Νυμφοστόλοι καθάπερ φαιδρότητι πρώτην ἀπαρξάμενοι ταύτην νηστεύσωμεν τῶν ἀρετῶν διαπρέψουσαν τῆς νηστείας ἡμέραν, χορεύοντες.

Ὁ Δεσπότης τοὺς φίλους ἐδίδασκεν, ἔνδον τοῦ προσεύχεσθαι ἐν γαληνότητι, καὶ μὴ σαλπίζειν κέρατι ἐν ἀμφόδοις, καὶ ῥύμαις νηστεύοντες.

Ἱλασμὸν τῶν πταισμάτων κατάπεμψον πᾶσι τοῖς ὑμνοῦσί σε θείοις ἐν ᾄσμασι, τῷ φιλοχρίστῳ Ἄνακτι ὑπόταξον βαρβάρους, ὦ Δέσποτα.

Θεοτοκίον.

Ἀπειράνδρως Παρθένε ἐκύησας, καὶ διαιωνίζεις Παρθένος, ἐμφαίνουσα τῆς ἀληθοῦς Θεότητος τοῦ Υἱοῦ, καὶ Θεοῦ σου τὰ σύμβολα.

Ἄλλος. Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων.

Νεῦσόν με σωθῆναι, νεύοντα πρὸς τὰ ἄτοπα πάντοτε, ὡς ἐπένευσας τῇ παρακλήσει, Σῶτερ, ποτὲ τοῦ Ἀσώτου, ὅπως μεγαλύνω σου τὴν εὐσπλαγχνίαν.

Ἅγιε, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος, μετανοίᾳ με καταλαμπρύνας, ἁγίασον τὴν ψυχήν μου, καὶ πάσης ἁμαρτίας ἀπάλλαξον.

Σῶσόν με εἰς βάθη ἁμαρτιῶν περιπίπτοντα, καὶ λιμώττοντα, Χριστὲ, σοῦ χάριν, θρέψον νοήμασι θείοις, καὶ μέτοχον τῆς δόξης σου ποίησον.

Θεοτοκίον.

Ὤφθη σου ἡ μήτρα ὡς ἀληθῶς ἐργαστήριον τῆς ἑνώσεως τοῦ Θεοῦ λόγου, τῶν δύο φύσεων· ὅθεν ὑμνοῦμεν εὐσεβῶς σε δοξάζοντες.

Ὠδὴ

Ὠδὴ ζ'. Ἀντίθεον πρόσταγμα.

ΣΚορπίσωμεν πένησιν ἡμῶν τὸν πλοῦτον· ἵν' ὅπως κερδήσωμεν ζωὴν τὴν ἀτελεύτητον. Χριστὸς γὰρ ἐδίδαξε, μὴ θησαυρίζειν χρυσὸν, ὅπου σὴς ἀπόλλυσιν ἐν γῇ καταχόμενον, καὶ λῃσταὶ φθείρουσιν.

ἈΜέμπτως τὰ πρόσωπα τῷ τῆς ἁγνείας ὕδατι νιψώμεθα, καὶ κεφαλὰς ἀλειψώμεθα. Χριστῷ ὑπακούσωμεν τῷ διδασκάλῳ ἡμῶν· πλοῦτόν τε σκορπίσωμεν φαιδρῶς τοῖς πενομένοις, πιστοὶ, νηστεύοντες.

ΔΥνάμει τοῦ Πνεύματος τοῦ παναγίου προθύμως ἀρξάμενοι νηστεύειν, τὴν πανόλβιον νηστείαν νηστεύσωμεν. Τῷ ἐν ὑψίστοις Θεῷ οὕτως τε βοήσωμεν· ἡμῶν, ὦ Πάτερ, ἄφες τὰ παραπτώματα.

ὯΣ ἔσωσας, Δέσποτα, διὰ σταυροῦ σου βαρβάρων τὸν Ἄνακτα, τὸν πάλαι βασιλεύοντα, ὡσαύτως τῷ μέλλοντι ὑπεναντίους ἐχθροὺς, Σῶτερ, καθυπόταξον καὶ νῦν, ὡς Κωνσταντίνῳ ἐν τῇ δυνάμει σου.

Θεοτοκίον.

ἉΓίαν ἁγίων σε κατανοοῦμεν, ὡς μόνην κυήσασαν Θεὸν τὸν ἀναλλοίωτον, Παρθένε ἀμόλυντε, Μῆτερ ἀνύμφευτε· πᾶσι γὰρ ἐπήγασας πιστοῖς τὴν ἀφθαρσίαν τῷ θείῳ τόκῳ σου.

Ἄλλος. Οἱ παῖδες ἐν Βαβυλῶνι.

ΤΟν πλοῦτον, εὔσπλαγχνε Πάτερ, ὃν δεδωκάς μοι, ἐσκόρπισα, πορευθεὶς εἰς μακρὰν παραπαθείας χώραν, πράττων τὰ ἄτοπα, καὶ σαρκικὰ θελήματα, ἐπιστρέφοντα δέξαι με.

ὉΝ ἔδωκάς μοι, ἀφρόνως πλοῦτον ἐσκόρπισα ἅπαντα, καὶ λιμώττω δεινῶς· ἀλλὰ πάλιν ἐπιστρέφοντα δέξαι με, ὥσπερ ποτὲ τὸν Ἄσωτον, πολυεύσπλαγχνε Κύριε.

ΝΟμους τοὺς σοὺς ἀθετήσας, παρανομίαις ἐδούλευσα· καὶ εἰς νοῦν μου λαβὼν τὴν πολλήν σου εὐσπλαγχνίαν, ὑπέστρεψα ἐν μετανοίᾳ κράζων σοι· ὁ Θεὸς σύ με οἴκτειρον.

Θεοτοκίον.

ΠΑρθένος ὤφθης πρὸ τόκου, καὶ μετὰ τόκον κυήσασα Ἰησοῦν τὸν Χριστὸν· ὃν δυσώπει οἰκτειρῆσαι, καὶ σῶσαί με· ὥσπερ ποτὲ τὸν Ἄσωτον μεταγνῶντα, Πανάμωμε.

Ὠδὴ η'. Κάμινος ποτέ.

ΝΕκρωσον Σωτὴρ τὰ πάθη τῆς σαρκός μου διὰ νηστείας, τοῦ προσεύχεσθαι στερρῷ τῷ φρονήματι, ὡς ἐδίδαξας τοὺς δούλους σου, τῷ σῷ Πατρὶ, φιλάνθρωπε, κράζοντας· τὸν Κύριον εὐλογεῖτε.

ἫΚεν ἡ φαιδρὰ νηστεία, καὶ ἁγνεία προσκαλουμένη ἐν φαιδρότητι αὐτῆς πρὸς βίασιν· τὰς λαμπάδας διὸ λάβωμεν πρὸς ἀπάντην κοσμήσαντες, ταύτην τε γηθόντες πάντες, πιστοὶ, ἀσπασώμεθα.

ΣΩμα, καὶ ψυχὴν φαιδρὰς τῇ εὐποιΐᾳ κατακοσμοῦντες, καὶ κραυγάζοντες· ὦ Πάτερ οὐράνιε τῶν εὐθυνῶν ἡμᾶς λύτρωσαι· τὴν ἀρετῶν διαπόζουσαν χείλεσι, καὶ καρδίᾳ πρόθυμον νηστείαν δεξάμενοι.

ΤΙς σου τὴν πληθὺν τοῦ κράτους, καὶ τοῦ θείου ἐκδιηγήσασθαι δυνήσεται; συνέχεις τῷ νεύματι, Ἰησοῦ, γὰρ γῆς τὰ πέρατα σῇ τῇ χειρὶ τὰ ἄπλετα· ὅθεν σε δυσωποῦμεν, τὸν Βασιλέα εὐΐσχυρον.

Θεοτοκίον.

ΣΥ τὸν τοῦ Πατρὸς ἀχώριστον ἐν μήτρᾳ θεανδρικῶς πολιτευσάμενον ἀπορρήτως συνέλαβες, καὶ ἀφράστως ἀπεκύησας Θεογεννήτορ πάναγνε, ὅθεν σε σωτηρίαν πάντων ἡμῶν ἐπιστάμεθα.

Ἄλλος. Νόμων πατρῴων οἱ μακαριστοὶ.

ἈΠοσφαλέντα, καὶ μακρύναντα τῶν ἀγαθῶν σου πάντων ἐμαυτὸν, Κύριε, καὶ τοῖς κτήνεσι, φιλάνθρωπε, δεινῶς ὁμοιωθέντα δέξαι με πάλιν, ὡς ποτὲ τὸν Ἄσωτον υἱὸν, καὶ μὴ δείξῃς ἐπίχαρμα δαιμόνων μελῳδοῦντα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα.

ΛΑμψον ἀκτῖνα μετανοίας μοι ἐν σκότει ἀπωλείας καθεύδω, Κύριε, καὶ στολαῖς με καταφαίδρυνον πράξεων ἐναρέτων, ὅπως νυμφῶνος καταξιωθῶ τοῦ νοητοῦ, τοῖς υἱοῖς ἀριθμούμενος, τῆς βασιλείας βοῶν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

ἌΓονε, σπεῦσον, μετανόησον, πρὶν ἡ τομή σε φθάσει, καὶ ὥσπερ δένδρον κόψει, καὶ προπέμψει σε εἰς πῦρ τὸ τῆς γεέννης. Ἰδοὺ ὁ πάντας σώζεσθαι βουλόμενος Θεὸς ἐφαπλοῖ τὰς ἀγκάλας σοι, καὶ δέχεται βοῶσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε.

Θεοτοκίον.

ἼΔε σε πύλην πάλαι, Ἄχραντε, ὁ ἱερὸς Προφήτης, δι' ἧς σαρκούμενος ὁ Θεὸς, ὡς οἶδεν, Ἄχραντε, εἰσῆλθε, καὶ ἐξῆλθεν, ὃν ἐκδυσώπει, μετανοίας πύλας μοι, Ἁγνὴ, ὑπανοῖξαι, καὶ σῶσαί με ἀπαύστως μελῳδοῦντα· τὸν Κύριον ὑμνεῖτε.

Ὠδὴ θ'. Ἀνάρχου γεννήτορος.

ἘΥρόντες τὸ ἔνδυμα τοῦ γάμου ἀκραιφνέστατον, ἄτερ ῥύπου τῶν ἔργων διατηρήσωμεν, ὅπως εὐπειθεῖς δαιτυμόνες ἀξιωθείημεν τοῦ γενέσθαι καὶ τῆς ἄνω κλήσεως τῶν ἐκεῖσε ἀπολαύσεων.

ἸΔοὺ νῦν εὐπρόσδεκτος καιρὸς, ἰδοὺ ἐπέφανε σωτηρίας ἡμέρα· ἀλλ' οὖν ἐκνίψωμεν ἐν καθαρωτάτῃ καρδίᾳ ἐκ τῶν πολλῶν πταισμάτων τῶν πάλαι, καὶ καθικετεύσωμεν τὸν δεσπότην Χριστὸν δάκρυσιν.

ὩΣ πάλαι ἐδίδαξε Χριστὸς, καθικετεύσωμεν τὸν δεσπότην τῶν ὅλων Θεὸν τὸν ὕψιστον, μὴ βαττολογοῦντες ἀκαίρως ἐν προσευχῇ, καθάπερ

θάπερ

θάπερ τὰ ἔθνη· μηδὲ μιμνησόμεθα τὴν αὐτῶν ἀνθρωπαρέσκειαν.

Νομίμως νηστεύσωμεν, καθάπερ ἐδιδάχθημεν· μὴ ἀνθρωπαρεσκείαις, καὶ ὑποκρίσεσιν, ἀλλὰ τῷ εἰδότι τὰ πάντα ἐν τῷ κρυπτῷ ἀρέσωμεν μόνῳ· καὶ ὥσπερ ὑπέσχετο, παρ' αὐτοῦ τὸν μισθὸν λάβωμεν.

Τριαδικόν.

Μονάδα τρισυπόστατον, Τριάδα ὁμοούσιον ὀρθοδόξως ὑμνοῦντες, πιστοί, δοξάσωμεν, ἄτμητον ὑπέρθεον φύσιν, τρισοφεγγῆ, ἀνέσπερον αἴγλην, τὴν μόνην ἀκήρατον, τὴν τὸ φῶς ἡμῖν ἐκλάμψασαν.

Ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ἰδοὺ παντοίαις θέλων ἡδοναῖς ἐδουλώθην, καὶ ἐμακρύνθην, Πάτερ, ἀγκαλῶν σου τῶν ἁγίων, καὶ ἀφρόνως ἔξω ἐμαυτοῦ γεγένημαι ἀπροσεξίᾳ, ἀλλ' ἐπιστρέφοντά με, τὸν Ἄσωτον ὡς πρίν, δέξαι, καὶ σωζομένων ἁπάντων δεῖξον συμμέτοχον.

Ὡς ἡ πιστή σοι πάλαι Χαναναία κραυγάζω· ἐλέησόν με· ἔχω γὰρ καρδίαν ἁμαρτίαις ῥυπωθεῖσαν, καὶ ἀναβοῶ ὡς Ἄσωτος· ἥμαρτον Πάτερ, καὶ πέπλησμαι αἰσχύνης ἀμέτρου, μακρυνθεὶς πάσης νομοθεσίας ἐμπράκτου· ἀλλ' ὅμως δέξαι με.

Σὺ ὁ μὴ θέλων, ἄνθρωπον ποτὲ ἀπολέσθαι, ἐπίστρεψόν με τὸν ἀποσφαλέντα τῆς ἀληθείας, Λόγε, τρίβου, καὶ πρὸς τοὺς κρημνοὺς, καὶ βάραθρα τῆς ἁμαρτίας καταπεσόντα, ὥσπερ ὁ Ἄσωτος υἱός· ὅπως τὴν ὑπὲρ νοῦν μεγαλύνω φιλανθρωπίαν σου.

Ἡ γῆ, καὶ ὅλος ἄνω Οὐρανὸς εὐφροσύνην ἐπιτελέσει, βλέπων μεταγνόντα με, Οἰκτίρμων, καὶ δεχθέντα ὑπὸ τῶν ἁγίων σπλάγχνων σου, καὶ ἀνυμνήσει τὴν σὴν φιλανθρωπίαν, καὶ κράξει ἐμφανῶς. Δόξα τῷ πάντας θέλοντι σῶσαι μόνῳ Θεῷ ἡμῶν.

Θεοτοκίον.

Φωνῇ Ἀγγέλου Ἄγγελον βουλῆς τῆς μεγάλης ἐναπῴκισας· τοῦτον οὖν, Παναμώμε, δυσώπει, Θεοτόκε, πᾶσαν ἀγαθὴν βουλὴν ἡμῶν ἀποπληρῶσαι, καὶ κληρονόμους δεῖξαι αὐτοῦ τῶν ἀγαθῶν, ὅπως ὑμνολογῶμεν ἀπαύστως τὰ μεγαλεῖά σου.

Ἐξαποστειλάριον ἑωθινόν.

Εἰς τοὺς Αἴνους· στιχηρὰ τὰ Ἀναστάσιμα, καὶ τὰ Ἀνατολικά· καὶ λέγομεν στίχ. Ἀνάστηθι κύριε ὁ Θεός μου.

Ἰδιόμελον τοῦ Τριῳδίου· ἦχος πλάγ. β'.

Τοῖς ἐν σκότει ἁμαρτημάτων πορευομένοις φῶς ἀνέτειλας, Χριστέ, τῷ καιρῷ τῆς ἐγκρατείας, καὶ τὴν ἐπίσημον ἡμέραν τοῦ πάθους σου δεῖξον ἡμῖν, ἵνα βοῶμέν σοι· ἀνάστα ὁ Θεός, ἐλέησον ἡμᾶς.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν. Ὑπερευλογημένη.

Δοξολογία μεγάλη· καὶ ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν. Τυπικά, καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου. Προκείμενον τοῦ ἤχου.

Ὁ Ἀπόστολος πρὸς Ἑβραίους. Κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας. Τέλος· εἰς ἡμᾶς ἐβεβαιώθη.

Ἀλληλούϊα τοῦ ἤχου.

Εὐαγγέλιον τῆς ἡμέρας. Ἐκ τοῦ κατὰ Μάρκον. Τῷ καιρῷ ἐκείνῳ εἰσῆλθεν ὁ Ἰησοῦς εἰς Καπερναούμ. Τέλος· ὅτι οὐδέποτε οὕτως εἴδομεν.

Κοινωνικόν. Αἰνεῖτε τὸν κύριον.

Τῇ Κυριακῇ Ἑσπέρας, εἰς τὸ λυχνικόν, ἱστῶμεν στίχ. ι'. Καὶ ψάλλομεν κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. Καὶ τοῦ Τριῳδίου προσόμοια, τοῦ Κυρίου Ἰωσήφ· ἦχος πλ. δ'.

Ἀμέτρητος ὑπάρχει.

Ἀμέτρητά σοι πταίσας, ἀμετρήτους κολάσεις ἐκδέχομαι, βρυγμὸν ὀδόντων, καὶ κλαυθμὸν ἀπαράκλητον, γέενναν πυρός, καὶ σκότος, καὶ τάρταρον, Κριτὰ δικαιότατε· δάκρυα οὖν μοι δώρησαι, δι' ὧν εὕρω τὴν ἄφεσιν, καὶ κακῶν μου τὴν λύσιν, νηστεύων, καὶ κράζων σοι, Δέσποτα Χριστὲ οἰκτείρησόν με, διὰ μέγα, καὶ πλούσιον ἔλεος.

Ὅμοιον.

Ἐμὲ τὸν πλανηθέντα ἐπὶ ὄρη δεινῶν παραβάσεων· ζήτησον Λόγε, καὶ πρὸς σὲ ἀνακάλεσαι, ἤδη πονηρὰ ἐκ τῆς διανοίας μου μακρὰν ἀποθέμενον, θνήξαντα πάλιν ζώωσον, καὶ νηστείᾳ καθάρισον, ἐν κλαυθμῷ διηνεκεῖ, βοῶντα, καὶ λέγοντα. Δέσποτα Χριστὲ οἰκτείρησόν με διὰ μέγα, καὶ πλούσιον ἔλεος.

Ἕτερον στιχηρὸν προσόμοιον, τοῦ Κυρίου Θεοδώρου· ἦχος ὁ αὐτός. Τὴν ἔνδοξον, καὶ α'.

Νηστείας ἐναρξάμενοι, Ἑβδομάδος τῆς Τρίτης, τὴν Τριάδα τὴν σεπτὴν εὐφημήσωμεν οἱ πιστοί· τὸ ἑξῆς, περιχαρῶς διανύοντες, τῆς σαρκὸς δὲ τὰ πάθη ἀπομαράναντες· ἐκ ψυχῆς ἡμῶν ἄνθη θεῖα δρεψώμεθα, στεφάνους πλεξάμενοι τῆς κυρίας τῶν ἡμερῶν· ἵνα πάντες τὸν Χριστόν, ὡς νικητήν, στεφανηφοροῦντες ἀνυμνήσωμεν.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν, Θεοτοκίον. Φῶς ἱλαρόν. Μετὰ τὴν Εἴσοδον, Προκείμενον, ἦχος πλ. δ'.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.

Στίχ. Ἡ σωτηρία σου ὁ Θεὸς ἀντί.

Μὴ ἀποστρέψῃς.

Στίχ.

Digitized by Google

Στίχ. Ἰδέτωσαν πτωχοί, καὶ εὐφρανθήτωσαν. Μὴ ἀποστρέψῃς.

Εἰς τὸν στίχ. τὸ ἰδιόμελον Δίς ἦχος πλ. δ'.

Χαλινοὺς ἀποπτύσας τοὺς πατρικοὺς ἀστάτῳ φρενί, τοῖς κτηνώδεσι τῆς ἁμαρτίας λογισμοῖς συνέζησα, ὅλον μου τὸν βίον δαπανήσας ἀσώτως ὁ τάλας ἐγώ· τροφῆς δὲ λειπόμενος βεβαιούσης καρδίαν, πρὸς καιρὸν λιπαίνουσαν, ἡδονὴν ἐστερήθην· ἀλλὰ Πάτερ, ἀγαθέ, μὴ κλείσῃς μοι τὰ φιλάνθρωπα σπλάγχνα· ἀλλ' ἀνοίξας δέξαι με, ὡς τὸν ἄσωτον υἱόν, καὶ σῶσόν με.

Μαρτ.

Μάρτυρες Κυρίου πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε· καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ, τὰς ψυχὰς ἡμῶν δεόμεθα.

Δόξα. Καὶ νῦν, Θεοτοκ. ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία, ὡς προδεδήλωται.

Τῇ Δευτέρᾳ τῆς γ'. Ἑβδομάδος, ἐν τῷ Ὄρθρῳ, τὰ τριαδικά· μετὰ τὴν πρώτην στιχολογ. λεγόμενα καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου τοῦ τυχόντος ἤχου. Μετὰ δὲ τὴν β'. στιχολογ. λέγομεν τὰ παρόντα καθίσματα τοῦ Κυρίου Ἰωσήφ· ἦχος πλ. δ'. Τὸ προσταχθὲν μυστικῶς.

Τῆς ἐγκρατείας τῷ πυρὶ φλέξωμεν πάντες τὰς φρυγανώδεις τῶν παθῶν ἐπαναστάσεις, καὶ τὴν φλόγα ἐκείνην τὴν μὴ σβεννυμένην δακρύων νῦν κατασβέσωμεν ὀχετοῖς, βοῶντες τῷ κρίναι μέλλοντι πᾶσαν τὴν γῆν, Σῶτερ εὔσπλαγχνε Κύριε, ἀκατακρίτους ἡμᾶς συντήρησον διδοὺς ἡμῖν τῶν πταισμάτων τὴν συγχώρησιν.

Θεοτοκίον. Τὸ προσόμοιον.

Θεοχαρίτωτε ἁγνὴ εὐλογημένη, τὸν διὰ σπλάγχνα οἰκτιρμῶν ἐκ σοῦ τεχθέντα, σὺν ταῖς ἄνω Δυνάμεσι, καὶ τοῖς Ἀρχαγγέλοις, καὶ πᾶσι τοῖς ἀσωμάτοις, ὑπὲρ ἡμῶν δυσώπει ἀκαταπαύστως, δοῦναι ἡμῖν πρὸ τοῦ τέλους συγχώρησιν, καὶ ἱλασμὸν ἁμαρτιῶν, καὶ βίου ἐπανόρθωσιν, ὅπως εὕρωμεν ἔλεος.

Μετὰ δὲ τὴν τρίτην στιχολογ. καθ. τοῦ Κυρίου Θεοδώρου, ὅμοιον. Τὸ προσταχθέν.

Τριὰς ἁγία, καὶ σεπτὴ τοὺς τὴν νηστείαν, ἐν Ἑβδομάσι τρισὶ διανύοντας, διαφύλαξον σώους, καὶ ἀκατακρίτους, ἀξίως διαδραμεῖσθαι πρὸς τὸ ἑξῆς, καὶ πάσας τὰς ἐντολάς σου διατελεῖν, ἵνα οὕτω προφθάσωμεν, ἀκατακρίτως ἰδεῖν τὴν ἔνδοξον Ἀνάστασιν, ὕμνον αἶνον προσάγοντες.

Θεοτοκίον· ἦχος ὁ αὐτός.

Ἡ Προστασία τῶν πιστῶν Θεοκυῆτορ, τῶν θλιβομένων ἡ χαρά, καὶ τῶν πενθούντων ἡ μεγίστη παράκλησις, τὸν ἐκ τῆς γαστρός σου, Παρθένε, τῆς παναγίας, ὑπερφυῶς τεχθέντα, ἀδιαλείπτως ὑπὲρ ἡμῶν, σὺν Ἀγγέλοις, καὶ ἄρχουσι, δυσώπει, ῥύσασθαι ἡμᾶς ἐν ὥρᾳ τῆς ἐτάσεως τῆς δεινῆς κατακρίσεως.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια τοῦ Κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή, ᾠδὴ α'. ἦχος πλ. δ'.

Ἆσμα ἀναπέμψωμεν λαοί.

Ἔχων ὡς Θεὸς τὸ συμπαθές, μετανοοῦντα δέξαι με, τὸν δαπανήσαντα τὸν βίον μου ἀσώτως, βοῶσι τὸ ἥμαρτον, κατηγορῶν οὐ χρήζω, τὴν αἰσχύνην τῶν ἔργων προσφέρων.

Βρῶσιν λελοιπὼς ἀγγελικὴν παρωμοιώθην κτήνεσιν, ἐν τῷ σιτίζεσθαι τὴν μοχθηρὰν κακίαν· ἀλλ' οὖν ἐπιστρέφοντα δέξαι με ὥσπερ ἕνα τῶν μισθίων, οὐράνιε Πάτερ.

Νύκτα ἡδονῶν τὴν ἐκ τρυφῆς προσγινομένην ἅπαντες, πιστοὶ ἀφέμενοι, φωτὶ τῆς ἀληθείας σπουδαίως προσέλθωμεν, ἵνα τῆς φωτοφόρου εὐωχίας καταξιωθῶμεν.

Θεοτοκίον.

Χαίροις ὁ πανάγιος Ναός, ὁ πόκος ὁ θεόδροσος, ἐσφραγισμένη πηγὴ τοῦ ἀθανάτου ῥεῖθρου, τὴν ποίμνην σου Δέσποινα, φύλαττε ἐκ παντοίων πολεμίων ἀπολιορκήτους.

Εἱρμὸς ἄλλος· τοῦ Κυρίου Θεοδώρου, ἦχος ὁ αὐτός.

Ἄσωμεν ᾠδήν.

Νῦν ἐν Ἑβδομάσι τρισίν, ὡς πάλαι τρίμηνος ὁ Ἰσραήλ, ἁγνισθέντες ἀδελφοί, ὄρει εὐχῶν φθάσωμεν, καὶ ἐκεῖθεν θείων φωνῶν ἀκούσαντες, Χριστὸν ὑμνήσωμεν.

Ὥσπερ Σαμψὼν νηστείᾳ δυναμωθέντες, δεῦτε ὡς ἄλλον θῆρα πατάξωμεν, λαοί, τὸν τῆς γαστρὸς δαίμονα, καὶ οὐ μὴ γελάσῃ ἡ Δαλιδὰς τῶν παθῶν, ἐξαπατοῦσα ἡμᾶς.

Δόξα.

Τρία μέλπω χερουβικῶς, ἁγία σε Θεότης, φῶτα, καὶ φῶς, καὶ ζωήν τε, καὶ ζωάς, Θεὸν τὸν γεννήσαντα, Θεὸν τὸν γεννηθέντα, Θεὸν καὶ τὸ ἐκ Πατρὸς Υἱοῦ τε ἐκπορευθέν, Πνεῦμα τὸ ζῶν.

Καὶ νῦν.

Χαῖρε ἡ τῆς Εὔας χαρά, ἡ γὰρ ἐκείνης λύπη, διὰ τοῦ τόκου σου πέπαυται, ἁγνή· χαῖρε ἀδύτου φωτὸς φωτεινὴ νεφέλη, ἐξ ἧς ἀνέτειλε Χριστὸς ὁ Θεός.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πίστει ὡς Δαβὶδ ἡμεῖς, καὶ τῇ ταπεινοφροσύνῃ καθοπλισθέντες, ὡς ἄλλον Γολιάθ, τὸν ὑπερήφανον νοῦν καταβεβληκότες, συνδιακόψωμεν καὶ μυριάδας παθῶν.

Ὁ Εἱρ-

Ὁ Εἱρμός.

Ἄσωμεν ᾠδὴν τῷ Θεῷ, τῷ ἐκ πικρᾶς δουλείας τοῦ Φαραὼ ῥυσαμένῳ Ἰσραήλ, καὶ ἐν πυρίνῳ στύλῳ, καὶ φωτὸς νεφέλῃ καθοδηγήσαντι, ὅτι δεδόξασται.

Ὠδὴ η'. Οἱ θεοῤῥήμονες.

Ἐκδαπανήσας οὐσίαν τὴν πατρῴαν, μὴ πορνῶν ἐξεβλήθην τῶν προαυλίων τῆς χάριτος· ἀλλὰ δέξαι με Πάτερ δι' ἄμετρον ἔλεος.

Ἐν φαιδροτάτῃ νηστείας φωταυγείᾳ, τῶν προσευχῶν λαμπρυνθέντες χρηματίσωμεν· ὅπως τῆς ἁμαρτίας τὸ σκότος ἐκφύγωμεν.

Ἐκδυσωπεῖ σε χορὸς τῶν Ἀσωμάτων, τὰ Χερουβὶμ ἱκετεύει, καὶ τῶν Ἁγίων τὰ τάγματα· τὰς ψυχὰς ἡμῶν σῶσον, Χριστὲ πολυέλεε.

Θεοτοκίον.

Τὸν ἀγεώργητον βότρυν συλλαβοῦσα, ἐσκοτισμένον με μέθῃ τῆς ἁμαρτίας σωφρόνισον, Θεοτόκε Παρθένε, ἐλπὶς τῶν ψυχῶν ἡμῶν.

Εἱρμὸς ἄλλος. Ὁ στεγάζων ἐν ὕδασι.

Τὸν πατρῷον κειμήλιον, τὸ χρῆμα τὸ θαυμαστόν, τὴν μητέρα πάντων τῶν λατρευσάντων τῷ Δεσπότῃ Χριστῷ, δεῦτε εὐφημήσωμεν, ἀδελφοί τὴν Νηστείαν· καὶ γὰρ αὕτη ῥώννυσι τὸ σῶμα, καὶ καταφωτίζει τὸν νοῦν, καὶ τὴν καρδίαν.

Γεδεὼν τὸν θαυμάσιον, ἐκμιμουμένη ψυχή, ἀρετὰς φέρουσα, πίστιν, ἐλπίδα, καὶ ἀγάπην Χριστοῦ, ἔξελθε κτείνουσα τὰ ἀλλόφυλα πάθη, ὡς ἐκεῖνος, σὺν τριακοσίοις, τὸ Μαδιναῖον ἔθνος ἀποκαθαίρων.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Καὶ Τριάδα δοξάζω σε, καὶ ὡς μονάδα ὑμνῶ σε Θεότης μία, Πάτερ παντοκράτορ, καὶ μονάρχα Υἱὲ, Πνεῦμα τὸ ἅγιον, καὶ πανδέσποτον κράτος, μία φύσις, μία Βασιλεία, ἐν δὲ χαρακτῆρσι τρισὶ προσκυνουμένη.

Καὶ νῦν.

Ἃς ἐν τόκῳ διέφυγες ὠδῖνας ὑπερφυῶς, ἐν τῷ σῷ τιμίῳ πάθει ἐπέγνω ἡ τεκοῦσά σε· ἤλγει γὰρ βλέπουσα, ἐν σταυρῷ σε παγέντα ἑκουσίως, ὑπὸ Ἰουδαίων, τὸν ἐπὶ ὑδάτων τὴν γῆν θεμελιοῦντα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὅταν ἔλθῃς ἐν δόξῃ σου, τοῦ κρῖναι πᾶσαν τὴν γῆν, σὺν ταῖς χιλιάσι, καὶ μυριάσι τῶν Δυνάμεων· τότε μου Κύριε φεῖσαι, ἄνες, καὶ ῥῦσαι καταδίκης, μή με καταισχύνῃς, μή με κατακρίνῃς, πυρὶ τῷ αἰωνίῳ.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς θαλάσσῃ ὅριον ψάμμον, καὶ συνέχων τὸ πᾶν, σὲ ὑμνεῖ Ἥλιος, σὲ δοξάζει Σελήνη, σοὶ προσφέρει ὕμνον πᾶσα Κτίσις, τῷ δημιουργῷ, καὶ Κτίστῃ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Τὸν προδηλωθέντα ἐν ὄρει.

Τὸν ἀπὸ τῆς σῆς μακρυνθέντα, Πάτερ, ἀγάπης, καὶ ἐθελουσίοις ὁρμαῖς ἡδονῶν δουλωθέντα, ἐπιστρέφοντα, ὡς τὸν Ἄσωτον δέξαι· μόνος γὰρ ὑπάρχεις πολυέλεος.

Ἄκαρπος ἐδείχθην συκῆ, μόνην τὴν κακίαν γεωργῶν ὁ ἄθλιος, τὸ πῦρ μοι προξενοῦσαν· σὺ οὖν Κύριε καρποφόρον με δεῖξον, πράξεις ἀγαθὰς καρποφοροῦντά σοι.

Νήστευσον ψυχή μου κακίας, καὶ πονηρίας, κράτησον ὀργῆς, καὶ θυμοῦ, καὶ πάσης ἁμαρτίας. Ἰησοῦς γὰρ τοιαύτην θέλει νηστείαν, ὁ φιλανθρωπότατος Θεὸς ἡμῶν.

Θεοτοκίον.

Σὺ εἶ Θεοτόκε τὰ ὅπλα ἡμῶν, καὶ τεῖχος, σὺ εἶ ἡ ἀντίληψις τῶν εἰς σὲ προστρεχόντων· σὲ καὶ νῦν εἰς πρεσβείαν κινοῦμεν, ἵνα λυτρωθῶμεν τῶν ἐχθρῶν ἡμῶν.

Εἱρμὸς ἄλλος. Μεγαλυνόμενοί σε.

Καθαρὰν νηστείαν, τῶν κακῶν τὴν ἀποχὴν προσενέγκωμεν, ὡς δῶρα εὐπρόσδεκτα Χριστῷ τῷ Θεῷ ἡμῶν.

Ἐλισαῖος πάλαι, πῶς διέθρεψε Προφήτας, μαθοῦσα, ψυχή, ῥᾳδίως ἐκτράφηθι, ἀπευχαριστοῦσα Χριστῷ.

Δόξα.

Τριασουμένην μίαν σὲ, Θεότης, ἀνυμνῶ τοῖς προσώποις μορφήν, Πατέρα τὸν ἄναρχον, Υἱόν, καὶ Πνεῦμα τὸ ζῶν.

Καὶ νῦν.

Θεομῆτορ Κόρη, ἡ παστὰς τοῦ οὐρανίου Βασιλέως Χριστοῦ· σῶζε τῇ πρεσβείᾳ σου, τοὺς πόθῳ ὑμνοῦντάς σε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δανιὴλ τοὺς θῆρας ἐν τῷ λάκκῳ ἡμέρωσεν ἐγκρατείας κημῷ, καὶ ἡμεῖς δαμάσωμεν τὰ πάθη νηστεύοντες.

Ὁ Εἱρμός.

Μεγαλυνόμενοί σε, τὴν πανάμωμον Μητέρα Χριστοῦ τοῦ Θεοῦ· ἐν ᾗ ἐπεσκίασε τὸ Πνεῦμα τὸ πανάγιον.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ Ἰδιόμελον τῆς ἡμέρας, δίς, ἦχος δ'.

Τὸν χαλεπὸν τῶν πταισμάτων μου ῥύπον ἐνδέδυμαι, καὶ τῆς χαρᾶς τοῦ νυμφῶνος ἐκβέβλημαι· οἰκτειρόν με τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, ὡς τὸν ἄσωτον παῖδα ὁ Θεός, καὶ ἐλέησόν με.

Μαρτ.

Τίς οὐκ ἐξίσταται ὁρῶν, ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλόν, ὃν ἠγωνίσασθε, πῶς ἐν σώματι ὄντες, τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε, Χριστὸν ὁμολογήσαντες, καὶ Σταυρῷ ὁπλισάμενοι· ὅθεν ἐπαξίως ἀνεδείχθητε δαιμόνων φυγαδευταί, καὶ βαρβάρων πολέμιοι· ἀπαύστως πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.



Digitized by Google

Δόξα, Καὶ νῦν· Θεοτοκ. ἦχος ὁ αὐτός.

Ἡ Λαμπὰς ἡ ἄσβεστος, ὁ θρόνος τῆς δικαιοσύνης, ἄχραντε Δέσποινα, πρέσβευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Τριτοέκτην, Τροπάριον τῆς Προφητείας· ἦχος δ'.

Ὅτι ἀσθενεῖς ἡμεῖς, καὶ παρειμένοι ταῖς ἁμαρτίαις, ἴασαι τὰ συντρίμματα ἡμῶν, ὁ ἰατρὸς τῶν ψυχῶν ἡμῶν, ὁ ἐπιστάμενος τὸν νοῦν τῶν ἀνθρώπων φιλάνθρωπε.

Προκείμενον. Ψαλμὸς μά. ἦχος δ'.

Προσευχὴ τῷ Θεῷ τῆς ζωῆς μου.

Στίχ. Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κύριον τὸν Θεὸν αὐτὸν ἁγιάσατε, καὶ αὐτὸς ἔσται σου φόβος, κἂν ἐπ' αὐτῷ πεποιθὼς ἦς, ἔσται σοι εἰς ἁγίασμα. Καὶ οὐχ' ὡς λίθου προσκόμματι συναντήσεσθε, οὐδ' ὡς πέτρας πτώματι. Οἱ δὲ οἶκοι Ἰακὼβ ἐν παγίδι, καὶ ἐν κοιλάσματι ἐγκαθήμενοι ἐν Ἱερουσαλήμ. Διὰ τοῦτο ἀδυνατήσουσιν ἐν αὐτοῖς πολλοὶ, καὶ πεσοῦνται, καὶ συντριβήσονται, καὶ ἐγγιοῦσι, καὶ ἁλώσονται ἄνθρωποι ἐν ἀσφαλείᾳ· τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ μαθεῖν. Καὶ ἐρεῖ, μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεὸς· καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ παρὰ Κυρίου Σαβαώθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοιλίας φωνοῦσιν, οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ ἐκζητήσουσι. Τί ἐκζητοῦσι περὶ τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν, ἵνα εἴπωσιν οὐχ' ὡς τὸ ῥῆμα τοῦτο, περὶ οὗ οὐκ ἔστι δῶρα δοῦναι περὶ αὐτοῦ. Καὶ ἥξει ἐφ' ὑμᾶς λιμὸς σκληρά· καὶ ἔσται ὡς ἂν πεινάσητε, λυπηθήσεσθε, καὶ κακῶς ἐρεῖτε τὸν ἄρχοντα καὶ τὰ πάτρια, καὶ ἀναβλέψονται εἰς τὸν Οὐρανὸν ἄνω, καὶ εἰς τὴν γῆν κάτω ἐμβλέψονται, καὶ ἰδοὺ ἀπορία στενὴ, καὶ σκότος θλίψις, καὶ στενοχωρία, καὶ σκότος, ὥστε μὴ βλέπειν· καὶ οὐκ ἀπορηθήσεται, ὁ ἐν τῇ στενοχωρίᾳ ὢν ἕως καιροῦ. Τοῦτο πρῶτον πίε. Ταχὺ ποίει χώρα Ζαβουλὼν, γῆ Νεφθαλὴμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, εἴδε φῶς μέγα, οἱ κατοικοῦντες ἐν χώρᾳ, καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. Τὸ πλεῖστον τοῦ λαοῦ, ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμήτῳ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα. Διότι ἀφήρηται ὁ ζυγὸς, ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος, ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν, τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασεν, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν, εἰ ἐγένοντο πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, καὶ υἱὸς ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ, μεγάλης βουλῆς ἄγγελος, θαυμαστὸς σύμβουλος, Θεὸς ἰσχυρὸς, ἐξουσιαστὴς, ἄρχων εἰρήνης, Πατὴρ τοῦ μέλλοντος αἰῶνος· ἄξω γὰρ εἰρήνην ἐπὶ τοὺς ἄρχοντας, καὶ ὑγίειαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ, καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον· ἐπὶ τὸν θρόνον Δαβὶδ, καὶ ἐπὶ τὴν Βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν, καὶ ἀντιλαβέσθαι ἐν κρίματι, καὶ ἐν δικαιοσύνῃ ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸν αἰῶνα· ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

Προκείμενον. Ψαλμὸς μβ'. ἦχος δ'.

Σωτήριον τοῦ προσώπου μου, καὶ ὁ Θεός μου.

Στίχ. Κρῖνόν μοι ὁ Θεὸς, καὶ δίκασον τὴν δίκην μου.

Τῇ Δευτέρᾳ τῆς γ'. Ἑβδομάδος, Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου γ'. στιχηρὰ προσόμοια, τοῦ Κυρίου Ἰωσήφ· ἦχος ά. Πανεύφημοι Μάρτυρες.

Νηστείαν ποθήσωμεν ψυχῆς, πάθη χαλεπώτατα τῇ συνεργείᾳ τοῦ Πνεύματος, καταμαραίνουσαν, καὶ ἐνθέους πράξεις πρέπτειν ἐνισχύουσαν, καὶ νοῦν πρὸς Οὐρανὸν ἀναπέμπουσαν, καὶ τὴν συγχώρησιν προξενοῦσαν ὧν ἡμάρτομεν, δωρουμένην ἐκ Θεοῦ οἰκτίρμονος.

Ὅμοιον.

Ἅπαντα τὸν βίον μου αἰσχρῶς δαπανήσας Κύριε, μετὰ πορνῶν ὁ ταλαίπωρος, ὥσπερ ὁ Ἄσωτος, κατανύξει κράζω, Πάτερ ἐπουράνιε ἡμάρτηκα, ἱλάσθητι, σῶσόν με, καὶ μὴ ἀπώσῃ με, ἐμαυτὸν ἐκ σοῦ μακρύναντα, καὶ ἐνθέοις ἔργοις νῦν πτωχεύσαντα.

Ἕτερον στιχηρὸν προσόμοιον, τοῦ Κυρίου Θεοδώρου, ἦχος γ'. Δεῦτε. ἅπαντα τὰ πέ.

Δεῦτε ἅπαντες, κυμβάλοις ψαλμικοῖς τὴν σεπτὴν ἐγκράτειαν κατασπαζόμενοι διηγησώμεθα· ἐν αὐτῇ γὰρ νοητῶς, ὄφιν τὸν ἀρχέκακον καταράσομεν· ὅθεν παῤῥησίᾳ βοῶμεν Χριστῷ, παράσχου Σῶτερ ἀκατακρίτως τὸν πανάγιόν σου Σταυρὸν κατιδέσθαι, καὶ καταπροσκυνῆσαι, ἐν ψαλμοῖς, καὶ ὕμνοις ἑορτάζειν φαιδρῶς.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἑσπέρας Προκείμ. Ψαλμὸς μγ'. ἦχος δ'.

Ἐν τῷ Θεῷ ἐπαινεθησόμεθα ὅλην τὴν ἡμέραν.

Στίχ. Ὁ Θεὸς ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Γε-

Γενέσεως.

Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ. Τῷ Θεῷ εὐηρέστησε Νῶε, ἐγέννησε δὲ Νῶε τρεῖς υἱοὺς, τὸν Σὴμ, τὸν Χὰμ, τὸν Ἰάφεθ. Ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ Θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας. Καὶ εἶδε Κύριος ὁ Θεὸς τὴν γῆν· καὶ ἦν κατεφθαρμένη· ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς· καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε, καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον ἐμοῦ· ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ᾽ αὐτῶν· καὶ ἰδοὺ καταφθείρω αὐτοὺς, καὶ τὴν γῆν. Ποίησον οὖν σεαυτῷ κιβωτὸν, ἐκ ξύλων, τετραγώνων· νοσσιὰς ποιήσεις κατὰ τὴν κιβωτὸν, καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν, καὶ ἔξωθεν τῇ ἀσφάλτῳ, καὶ οὕτω ποιήσεις τὴν κιβωτὸν, τριακοσίων πηχῶν τὸ μῆκος τῆς κιβωτοῦ, καὶ πεντήκοντα πηχῶν τὸ πλάτος, καὶ τριάκοντα πηχῶν τὸ ὕψος αὐτῆς· ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν· καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν. Τὴν δὲ θύραν τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων· κατώγεα διώροφα, καὶ τριώροφα ποιήσεις αὐτήν. Ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμὸν, ὕδωρ ἐπὶ τῆς γῆς, καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστι πνεῦμα ζωῆς ὑποκάτω τοῦ Οὐρανοῦ· καὶ ὅσα ἂν ᾖ ἐπὶ τῆς γῆς, τελευτήσει. Καὶ στήσω τὴν διαθήκην μου μετὰ σοῦ· εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ, καὶ οἱ υἱοί σου, καὶ ἡ γυνή σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ. Καὶ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων, καὶ ἀπὸ πάσης σαρκὸς, δύο δύο, ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτὸν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ· ἄρσεν, καὶ θῆλυ ἔσονται. Ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ, τρέφεσθαι μετὰ σοῦ, ἄρσεν καὶ θῆλυ. Σὺ δὲ λήψῃ σεαυτῷ, ἀπὸ πάντων τῶν βρωμάτων, ἃ ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτὸν, καὶ ἔσται σοὶ καὶ ἐκείνοις φαγεῖν. Καὶ ἐποίησε Νῶε πάντα ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεὸς, οὕτως ἐποίησε.

Προκείμενον. Ψαλμὸς μδʹ. ἦχος πλ. βʹ.

Μνησθήσομαι τοῦ ὀνόματός σου, ἐν πάσῃ γενεᾷ, καὶ γενεᾷ.

Στίχ. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Παροιμιῶν.

Διὸ σὺ τὴν σοφίαν κηρύξεις, ἵνα φρόνησίς σοι ὑπακούσῃ· ἐπὶ γὰρ τῶν ὑψηλῶν ἄκρων ἐστὶν, ἀναμέσον δὲ τῶν τρίβων ἕστηκε, παρὰ γὰρ πύλαις δυναστῶν παρεδρεύει, ἐν δὲ εἰσόδοις ὑμνεῖται· ὑμᾶς ὦ ἄνθρωποι παρακαλῶ, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Νοήσατε ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν· εἰσακούσατέ μου, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίσω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ φάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιὸν, οὐδὲ στραγγαλιῶδες· πάντα ἐνώπια τοῖς συνιοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Λάβετε παιδείαν καὶ μὴ ἀργύριον, καὶ γνῶσιν ὑπὲρ χρυσίον δεδοκιμασμένον· κρεῖσσον γὰρ σοφία λίθων πολυτελῶν, πᾶν δὲ τίμιον οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Φόβος Κυρίου μισεῖ ἀδικίαν, ὕβριν τε, καὶ ὑπερηφανίαν καὶ ὁδοὺς πονηρῶν, μεμίσηκα δὲ ἐγὼ διεστραμμένας ὁδοὺς κακῶν. Ἐμὴ βουλὴ, καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Δι᾽ ἐμοῦ Βασιλεῖς βασιλεύουσι, καὶ οἱ δυνάσται γράφουσι δικαιοσύνην· δι᾽ ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ τύραννοι δι᾽ ἐμοῦ κρατοῦσι γῆς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι· πλοῦτος, καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν καὶ δικαιοσύνη· βέλτιον ἐμὲ καρπίζεσθαι ὑπὲρ χρυσίον καὶ λίθον τίμιον· τὰ δὲ ἐμὰ γεννήματα κρείσσονα ἀργυρίου ἐκλεκτοῦ. Ἐν ὁδοῖς δικαιοσύνης περιπατῶ, καὶ ἀναμέσον τρίβων δικαιώματος, ἀναστρέφομαι, ἵνα μερίσω τοῖς ἐμὲ ἀγαπῶσιν ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν.

Εἰς τὸν στίχ. τὸ ἰδιόμελ. ἦχος βʹ.

Πάτερ ἀγαθὲ, πάντων ὧν μοι δέδωκας, ἐγύμνωσέ με ἡ ἀφροσύνη· ἐμακρύνθην ἀπὸ σοῦ, καὶ ἐδούλευσα ξένῳ πολίτῃ ζῶα μοχθηρὰ ἐβόσκησα, καὶ τῆς αὐτῶν τροφῆς οὐκ ἐνεμπλησκόμην· διὸ ἔδραμον πρὸς σὲ, γινώσκων σου τὴν εὐσπλαγχνίαν, σκέπασόν με τὴν γύμνωσιν τῇ φιλανθρωπίᾳ σου, καὶ σῶσόν με.

Μαρτ.

Τῶν ἁγίων Μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων, πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

Δόξα. Καὶ νῦν, Θεοτοκίον ἦχος ὁ αὐτός.

Ἐκ λαγόνων σου παρθενικῶν, φῶς τῷ Κόσμῳ ἔλαμψε, διὰ λόγου ὁ Λόγος, αὐτὸν ἱκέτευε σεμνὴ παναγία Παρθένε, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ τῶν παγίδων τοῦ ἐχθροῦ.

Τῇ Τρίτῃ τῆς γʹ. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τοῦ ἤχου. Μετὰ τὴν πρώτην στιχολ. καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν βʹ. στιχολ. καθίσ. τοῦ Κυρίου Ἰωσήφ· ἦχ. αʹ.

Τοῦ λίθου σφραγισθέντος.

Νηστείᾳ, καὶ δεήσει ἑαυτοὺς καθαρίσωμεν, καὶ πενήτων προμηθείᾳ τὸν Θεὸν θεραπεύσωμεν·

μεν· στενάξωμεν, πενθήσωμεν θερμῶς· ὡς ἔχομεν καιρὸν ἐπιστροφῆς, ἵνα τοῦ πένθους αἰωνίου τοῦ ἐν φλογὶ γεέννης λυτρωθείημεν, δόξαν ἀναπέμποντες Χριστῷ, μετάνοιαν ὁρίσαντι βροτοῖς πᾶσι τοῖς ἐπιστρέφουσι γνώμης εὐθύτητι.

Θεοτοκίον. Ὅμοιον.

ΤΑ'ς χεῖράς σου τὰς θείας αἷς, τὸν Κτίστην ἐβάστασας, Παρθένε παναγία, σαρκωθέντα χρηστότητι, προτείνασα δυσώπησον αὐτὸν λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παθῶν, καὶ κινδύνων τοὺς πόθῳ ἀνευφημοῦντάς σε, καὶ βοῶντάς σοι, δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Εἰς τὴν γ΄. στιχολογ. καθίσμ. τοῦ Κυρίου Θεοδώρου, ἦχος γ΄.

Εὐφραινέσθω.

ΤΗ' νηστείᾳ εὐφραινόμενοι, ταῖς ὑμνῳδίαις ἀγαλλόμενοι, καὶ ταῖς ἐντεύξεσι κράτος κατὰ πάντων τῶν παθῶν φερόμενοι, πατήσωμεν τοῦ Βελίαλ τὰ ἔνεδρα, βοήσωμεν τῷ Χριστῷ συνεπόμενοι, τὸν Σταυρόν σου βλέψαι ἀξίωσον ἡμᾶς, ὡς οἰκτίρμων παρέχων τὸ μέγα ἔλεος.

Θεοτοκίον. Τὴν ὡραιότητα.

ΘΕομακάριστε Μήτηρ ἀνύμφευτε, τὴν ἀσθενοῦσάν μου ψυχὴν θεράπευσον, ὅτι συνέχομαι δεινῶς τοῖς πταίσμασι Θεοτόκε· ὅθεν καὶ κραυγάζω σοι στεναγμῷ τῆς καρδίας μου· δέξαι με πανάμωμε, τὸν πολλὰ πλημμελήσαντα· ἵνα ἐν παρρησίᾳ βοῶ σοι, χαῖρε Θεοῦ οἰκητήριον.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μωϋσέως, καὶ τὰ παρόντα Τριῴδια· κατὰ τὴν τάξιν αὐτῶν, τοῦ Κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται, ἡ ᾠδή.

ᾨδὴ β΄. ἦχος α΄. ὁ Εἱρμός.

ἼΔετε ἴδετε, ὅτι Θεὸς ἐγώ εἰμι, ὁ δουλωθέντα τὸν λαὸν τοῦ Ἰσραὴλ τῷ Μωϋσεῖ δημαγωγεῖν ,, ἐν ἐρήμῳ προστάξας, καὶ σώσας ὡς δυνατὸς τῇ ,, ἐξουσίᾳ μου.

ΥἹοθετήσας με διὰ λουτροῦ βαπτίσματος ὁ ὑπεράγαθος Πατήρ, πλούτῳ παντοίων ἐκόσμησας καλῶν, ἀλλ' ἐδούλωσα θέλων τοῖς ἀκάρποις λογισμοῖς, ὅθεν ἐπτώχευσα.

ἽΛεως ἵλεως, ἵλεως ἔσο Κύριε, κρῖνον τὴν κρίσιν μου ἐμοί, δικαιοκρῖτα, τὸν μικρόν μου στεναγμόν· διὰ ἔλεος μέγα προσδεχόμενος Χριστέ, καὶ μὴ παρίδῃς με.

ἈΠοδυσάμενοι τὸ δυσαχθὲς χιτώνιον τῆς ἀκρασίας, τὴν φαιδρὰν τῆς ἐγκρατείας ἐνδυσώμεθα στολήν, καὶ λαμπροὶ γεγονότες, τὴν λαμπρὰν τοῦ Λυτρωτοῦ φθάσωμεν Ἔγερσιν.

Θεοτόκιον.

ΣΩ'σόν με σῶσόν με, ἡ τὸν Σωτῆρα τέξασα, ἴδε τὴν θλῖψιν μου ἁγνή, ἣν ἡ πληθὺς τῶν ἀμετρήτων μου κακῶν ἐμποιεῖ καθ' ἡμέραν τῇ ἀθλίᾳ μου ψυχῇ ἐξ ἀπογνώσεως.

Ἕτερον Τριῴδιον, τοῦ Κυρίου Θεοδώρου· ἦχ. γ΄.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι.

ἼΔετε ἴδετε, ὅτι ἐγώ εἰμι, ὁ τὴν σωτηρίαν ἡμῖν πηγάσας ὡς Θεός, ἣν διὰ τῆς ἐγκρατείας πάντες βροτοὶ ἀρύσασθε.

ἼΔετε ἴδετε, ὅτι ἐγώ εἰμι, ὁ καιρὸν ὁρίσας, ἱερὸν ἅγιον ὑμῖν εἰς εὐωχίαν ψυχικήν, τὸ τῆς νηστείας στάδιον.

Δόξα.

ΤΡιάδα δοξάσωμεν, μονάδα προσκυνήσωμεν, ἄναρχον ἀνάρχου Πατρὸς Υἱὸν μονογενῆ, Πνεῦμα τὸ σύνθρονον, καὶ Πατρὶ συναΐδιον.

Καὶ νῦν.

ΔΥσώπησον ἀπαύστως τὸν Σωτῆρα πανάμωμε, τοὺς σὲ Θεοτόκον στόματί τε, καὶ ψυχῇ ὁμολογοῦντας, ἐκ πάσης ῥυσθῆναι περιστάσεως.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΜΕ'γας εἶ Κύριε, καὶ θαυμαστὰ τὰ ἔργα σου, ὅτι ἐν τῷ λάκκῳ ἄβρωτον ἔδειξάς ποτε τὸν Δανιὴλ ἐκ λεόντων, νηστείᾳ συμφραξάμενον.

Ὁ Εἱρμός.

ἼΔετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Σωτὴρ τοῦ Κόσμου, τὸ φῶς τὸ ἀληθινόν, ἡ πηγὴ τῆς ζωῆς, ὁ Υἱὸς ,, τοῦ Θεοῦ.

ᾨδὴ η΄. Ὃν φρίττουσιν Ἄγγελοι.

ΘΡηνῶ καὶ ὀδύρομαι τὴν ὥραν ἐννοῶν, καθ' ἣν παραστήσομαι τῷ Θρόνῳ τῷ φρικτῷ, εὐθύνας ὑφέξων τῶν πολλῶν μου κακῶν, ὧνπερ ἐν ἀγνοίᾳ ἐτέλεσα, καὶ γνώσει.

ΜΩσῆς καθαρτήριον νηστείαν εὑρηκώς, Θεὸν κατενόησε τὸν μόνον καθαρόν· ψυχή μου νηστείᾳ καθαρίσθητι, ἵνα πλησιάσῃς Θεῷ τῷ φιλανθρώπῳ.

ΝΗστείαν ποθήσωμεν μητέρα ἀρετῶν, τρυφὴν βδελυξώμεθα γεννήτειραν παθῶν· καὶ κράξωμεν Πάτερ, ὁ ἐν τοῖς Οὐρανοῖς, σῶσον ἡμᾶς σῶσον, εὐχαῖς τῶν σῶν Ἁγίων.

Θεοτοκίον.

ΚΡιτὴν ὃν ἐγέννησας, Παρθένε Μαριάμ, δυσώπει ἐν ὥρᾳ με τῆς κρίσεως ἁγνή, οἰκτεῖραι καὶ σῶσαι τὸν κατάκριτον, μόνη προστασία τοῦ γένους τῶν ἀνθρώπων.

Εἱρμὸς ἄλλος. Τὸν ἐν φλογὶ τοῖς.

ΤΩ'ν νηστειῶν τὴν ὑπέρλαμπρον χάριν μεμυημένοι, ἀρετῶν ἀστραφθῶμεν γαληνὰ τὰ πρόσωπα, γαληνὰ καὶ τὰ ἤθη ἐναποδεικνύντες τῆς ψυχῆς καταστάσει.

ΝΗστευκὼς Ἐλισσαῖος τὸν παῖδα τῇ Σουναμίτιδι ἀποδίδωσι ζῶντα, ἐν τούτῳ γνωρίσωμεν, ἀδελφοί, τὴν νηστείαν, ὡς καλόν, ὡς μέγα, ὡς θεοδώρητον χάριν.

Εὐλογοῦμεν Πατέρα Υἱόν.

ΣΥ'ν τῷ Πατρὶ τὸν Υἱὸν προσκυνοῦμεν, καὶ Πνεῦμα ἅγιον, ἐν Τριάδι μονάδα, σὺν Ἀγγέ-

Digitized by Google

Ἀγγέλοις κράζοντες τοῖς πηλίνοις στόμασι, Δόξα ἐν ὑψίστοις Θεῷ τῷ ἐν Τριάδι.

Καὶ νῦν.

Παιδοτοκεῖς παρθενεύουσα μόνη Θεοχαρίτωτε, τὸ μυστήριον μέγα, φρικτὸν τὸ τεράστιον. Θεὸν γὰρ ἐγέννησας σεσωματωμένον, τὸν Σωτῆρα τοῦ Κόσμου.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μηδεὶς ἡμῶν ῥαθυμίᾳ, καὶ ὄκνῳ βαλλέσθω ὦ ἀδελφοί· ὁ καιρὸς ἐργασίας, ὥρα Πανηγύρεως, τίς ὁ φρόνιμος ἄρα, ἐν μιᾷ ἡμέρᾳ κερδῆσαι ὅλους αἰῶνας;

Αἰνοῦμεν εὐλογοῦμεν, ὁ Εἱρμός.

Τὸν ἐν φλογὶ, τοῖς παισὶ τῶν Ἑβραίων συγκαταβάντα θεϊκῇ τῇ δυνάμει, καὶ ὀφθέν-
» τα Κύριον, Ἱερεῖς εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
» πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὴν φωτοφόρον νεφέλ.

Εἰς ἁμαρτίας πελάγη, εἰς ἀπογνώσεως βάθη, εἰς τρικυμίας λογισμῶν, καὶ παθῶν καταιγίδας περιπεσὼν ἀναβοῶ, ἐλέους ἡ ἄβυσσος βοήθει μοι, καὶ τῇ σῇ εὐσπλαγχνίᾳ ὄμβρισόν μοι ἱλασμὸν ἁμαρτιῶν.

Διὰ νηστείας τὸ σῶμα, δι' ἐγκρατείας τὸ πνεῦμα, διὰ δακρύων τὴν ψυχὴν ἐκκαθάραντες πιστοὶ, καὶ καθαροὶ τῷ καθαρῷ λαμπρῶς ὑπαντήσωμεν, ὀψόμενοι τὰ σωτήρια πάθη, ἃ ὑπέστη δι' ἡμᾶς ὁ Λυτρωτής.

Ὡς ὁ Τελώνης στενάζω, ὥσπερ ἡ Πόρνη δακρύω, ὡς ὁ Λῃστὴς ἀναβοῶ, μνήσθητί μου οἰκτίρμον, ὡς ὁ Τυφλὸς, Υἱὲ Θεοῦ, κραυγάζω σοι, ἄνοιξον τῆς ψυχῆς μου ὀφθαλμοὺς πηρωθέντας τῇ κακίᾳ τοῦ δολίου πτερνιστοῦ.

Θεοτοκίον.

Τὸ ἀλατόμητον ὄρος, τὴν ἀδιόδευτον πύλην, τὴν ἀνωτέραν Οὐρανοῦ καὶ τῆς Κτίσεως πάσης, τὴν κλίμακα τοῦ Ἰακὼβ, τὴν στάμνον τὴν πάγχρυσον, καὶ γέφυραν, καὶ Μητέρα τοῦ Κτίστου, τὴν Παρθένον μακαρίσωμεν πιστοί.

Ἄλλος. Ἐν Σιναίῳ τῷ ὄρει.

Τὰς παρούσας ἡμέρας γνωρίσαντες ὑπὲρ πάσας ἱερὰς, προσευχὰς τῷ Θεῷ ἀναπέμψωμεν συνειδήσει καθαρᾷ, συχνοτέρως τὸ γόνυ κλίνοντες, καὶ λέγοντες. Κύριε πρόσδεξαι τὰς δεήσεις, καὶ προσευχὰς τῶν σῶν δούλων ἀεί.

Ὁ λαὸς ὁ καθίσας ὡς γέγραπται, τοῦ φαγεῖν τε καὶ πιεῖν, ἐξανέστησαν παίζειν λατρεύοντες τῷ γλυπτῷ Βεελφεγὼρ, βλέπε γαστριμαργίας τὰ δεινὰ κυήματα· ἡμεῖς δὲ νηστεύσωμεν, καὶ δοξασθησόμεθα ὡς ὁ μέγας Μωσῆς.

Δόξα.

Ἡ οὐσία μονὰς ἐστὶν ἄτμητος ἡ ὑπέρθεος Τριὰς, ἑνουμένη τῇ φύσει μερίζεται τοῖς προσώποις ἰδικῶς, μὴ τμωμένη γὰρ τμᾶται, ἓν οὖσα τριαδεύεται, αὕτη Πατήρ ἐστιν, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν, ἡ φρουροῦσα τὸ πᾶν.

Καὶ νῦν.

Παιδοτόκον Παρθένον τίς ἤκουσε; καὶ μητέρα πλὴν ἀνδρός; Μαριὰμ ἐκτελεῖς τὸ τεράστιον· ἀλλὰ φράζε μοι τὸ πῶς. Μὴ ἐρεύνα τὰ βάθη τῆς θεοτοκίας μου, τοῦτο πανάληθες, ὑπὲρ δὲ ἀνθρώπινον νοῦν ἡ κατάληψις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὅτι σοῦ ἡ ὀργὴ ἀνυπόστατος ἐπὶ τοὺς ἁμαρτωλοὺς, τίς λοιπὸν ὑποστήσεται Κύριε, τὴν ἐκ ταύτης ἀπειλήν; ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος σῶσόν με τῇ εὐσπλαγχνίᾳ σου, οὐ κατὰ τὰ ἔργα μου τὰ πολλὰ, καὶ δεινά.

Ὁ Εἱρμός.

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε, ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότη-
» τος συλλαβοῦσαν ἐν γαστρί. Δανιὴλ δέ σε εἶ-
» δεν ὄρος ἀλατόμητον, ῥάβδον βλαστήσασαν
» Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαβίδ.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου, Εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας δίς· ἦχος βαρύς.

Ἥμαρτον ὁμολογῶ σοι Κύριε ὁ ἄσωτος ἐγὼ, οὐ τολμῶ ἀτενίσαι εἰς Οὐρανὸν τὸ ὄμμα· ἐκεῖθεν γὰρ ἐκπεσὼν ἐγενόμην ἄθλιος, ἥμαρτον εἰς τὸν Οὐρανὸν καὶ ἐνώπιόν σου, καὶ οὐκ εἰμὶ ἄξιος κληθῆναι υἱός σου· ἐμαυτὸν ἀποκηρύττω, οὐ χρήζω κατηγόρων, οὐδὲ πάλιν μαρτύρων· ἔχω θριαμβεύουσάν μου τὴν ἀσωτείαν· ἔχω στηλιτεύουσαν τὴν φαύλην πολιτείαν· ἔχω καταισχύνουσαν τὴν παροῦσάν μου γύμνωσιν· πρὸς ἐντροπὴν δὲ τὰ ῥάκη, ἃ περιβέβλημαι· εὔσπλαγχνε Πάτερ. Υἱὲ μονογενὲς, τὸ Πνεῦμα τὸ ἅγιον μετανοοῦντά με δέξαι, καὶ ἐλέησόν με.

Μαρτ.

Ἐν μέσῳ τοῦ σταδίου τῶν παρανόμων ἀγαλλόμενοι, ἀνεβόων οἱ Ἀθλοφόροι, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν Θεοτ. Ὅμοιον.

Ἐτέχθης ἐκ Παρθένου ἀνερμηνεύτως, καὶ ἐφώτισας τοὺς ἐν σκότει, Χριστὲ βοῶντας, Κύριε δόξα σοι.

Εἰς τὴν Τριτέκτην, τροπάριον τῆς Προφητείας, ἦχος βαρύς.

Σωτηρία ἡμῶν ὑπάρχεις Κύριε, καὶ ὑπερασπιστὴς ἐν ἡμέρᾳ θλίψεως· ἐλέησον ἡμᾶς κατὰ τὸ μέγα σου ἔλεος, φιλάνθρωπε.

Προκείμενον. Ψαλμὸς, με. ἦχος δ΄.

Κύριος τῶν Δυνάμεων μεθ' ἡμῶν.

Στίχ. Ὁ Θεὸς ἡμῶν καταφυγὴ, καὶ δύναμις.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Γνώσονται πᾶς ὁ λαὸς τοῦ Ἐφραὶμ, καὶ οἱ καθήμενοι ἐν Σαμαρείᾳ ἐφ' ὕβρει καὶ ὑψηλῇ καρδίᾳ, λέγοντες· πλίνθοι πεπτώκασιν, ἀλλὰ δεῦτε λαξεύσωμεν λίθους, καὶ κόψωμεν συκαμίνους καὶ κέδρους, καὶ οἰκοδομήσωμεν

μεν ἑαυτοῖς πύργον, καὶ ῥάξει ὁ Θεὸς τοὺς ἐπανισταμένους ἐπὶ ὄρος Σιὼν ἐπὶ αὐτὸν, καὶ τοὺς ἐχθροὺς Ἰούδα διασκεδάσει. Συρίαν ἀφ᾽ Ἡλίου ἀνατολῶν, καὶ τοὺς Ἕλληνας ἀφ᾽ Ἡλίου δυσμῶν, τοὺς κατεσθίοντας τὸν Ἰσραὴλ ὅλῳ τῷ στόματι. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή, καὶ ὁ λαὸς οὐκ ἀπεστράφη, ἕως ἐπλήγη, καὶ τὸν Κύριον οὐκ ἐξεζήτησαν. Καὶ ἀφεῖλε Κύριος ἀπὸ Ἰσραὴλ κεφαλὴν καὶ οὐρὰν, μέγαν καὶ μικρὸν, ἐν μιᾷ ἡμέρᾳ, πρεσβύτην, καὶ τοὺς τὰ πρόσωπα θαυμάζοντας, αὕτη ἡ ἀρχή· καὶ προφήτην διδάσκοντα ἄνομα, οὗτος ἡ οὐρά. Καὶ ἔσονται οἱ μακαρίζοντες τὸν λαὸν τοῦτον πλανῶντες, καὶ πλανῶσιν, ὅπως καταπίωσιν αὐτούς. Διὰ τοῦτο ἐπὶ τοὺς νεανίσκους αὐτῶν, οὐκ εὐφρανθήσεται ὁ Κύριος, καὶ τοὺς ὀρφανοὺς αὐτῶν, καὶ τοὺς χήρας αὐτῶν οὐκ ἐλεήσει· ὅτι πάντες ἄνομοι, καὶ πονηροὶ, καὶ πᾶν στόμα λαλεῖ ἄδικα. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ὁ θυμὸς αὐτοῦ, ἀλλ᾽ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή. Καὶ καυθήσεται ὡς πῦρ ἡ ἀνομία, καὶ ὡς ἄγρωστις ξηρὰ βρωθήσεται ὑπὸ πυρός· καὶ κατακαυθήσεται ἐν τοῖς δάσεσι τοῦ δρυμοῦ, καὶ συγκαταφάγεται τὰ κύκλῳ τῶν βουνῶν πάντα. Διὰ θυμὸν ὀργῆς Κυρίου συγκέκαυται ἡ γῆ ὅλη, καὶ ἔσται ὁ λαὸς ὡς ὑπὸ πυρὸς κατακεκαυμένος, ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ οὐκ ἐλεήσει, ἀλλὰ ἐκκλινεῖ εἰς τὰ δεξιὰ, ὅτι πεινάσει, καὶ φάγεται ἐκ τῶν ἀριστερῶν, καὶ οὐ μὴ ἐμπλησθῇ ἄνθρωπος ἐσθίων τὰς σάρκας τοῦ βραχίονος αὐτοῦ· φάγεται γὰρ Ἐφραὶμ τοῦ Μανασσῆ, καὶ Μανασσῆς τοῦ Ἐφραὶμ, ὅτι ἅμα πολιορκήσουσι τὸν Ἰούδαν. Ἐπὶ πᾶσι τούτοις, οὐκ ἀπεστράφη ὁ θυμὸς, ἀλλ᾽ ἔτι ἡ χεὶρ ὑψηλή. Οὐαὶ τοῖς γράφουσι πονηρίαν, γράφοντες γὰρ, πονηρίαν γράφουσιν· ἐκκλίνοντες κρίσιν πτωχῶν, ἁρπάζοντες κρίμα πενήτων τοῦ λαοῦ μου, ὥστε εἶναι αὐτοῖς χήραν, εἰς διαρπαγὴν, καὶ ὀρφανὸν εἰς προνομήν. Καὶ τί ποιήσουσιν ἐν τῇ ἡμέρᾳ τῆς ἐπισκοπῆς; ἡ γὰρ θλίψις ἡμῶν, πόῤῥωθεν ἥξει· καὶ πρὸς τίνα καταφεύξεσθε τοῦ βοηθηθῆναι; καὶ ποῦ καταλείψετε τὴν δόξαν ὑμῶν, τοῦ μὴ ἐμπεσεῖν εἰς ἀπαγωγήν. Ἐπὶ πᾶσι τούτοις οὐκ ἀπεστράφη ἡ ὀργὴ, ἀλλ᾽ ἔτι ἡ χεὶρ αὐτοῦ ὑψηλή.

Προκείμενον, Ψαλ. μϛ΄. ἦχος γ΄.

Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε.

Στίχ. Πάντα τὰ Ἔθνη κροτήσατε χεῖρας.

Τῇ Τρίτῃ τῆς γ΄. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν προσόμοια τοῦ Τριῳδίου γ΄. καὶ τοῦ Μηναίου γ΄. τὰ προσόμοια τοῦ Κυρίου Ἰωσὴφ, ἦχος γ΄.

Ἔστησαν τὰ τριάκοντα.

Κτεῖς ὁ Σταυρῷ κτείνας τὸν δόλιον, τῆς αὐτοῦ ῥῦσαί με ἀπάτης τὸν ἁμαρτάνοντα, καὶ ἐξαπατώμενον· καὶ νηστείᾳ ἐκκαθάρας με, δίδου μοι τὰ σὰ θελήματα τελεῖν, ὅπως βλέψω, Δέσποτα, γηθόμενος τὰ σεπτά σου Παθήματα.

Ὅμοιον.

Τέτρωμαι ἡδονῆς ῥομφαίᾳ, Κύριε, καὶ δεινῶς ὅλως ἐνεκρώθην· ἴασαι, ζώωσον τὴν ταπεινήν μου ψυχὴν, ὁ τῇ Λόγχῃ τρωθεὶς Δέσποτα· καὶ τοὺς τετρωμένους βέλει τοῦ ἐχθροῦ, ὡς Σωτὴρ ἰασάμενος, καὶ σεπτῶν σου Παθῶν, κοινωνόν ἀνάδειξόν με.

Ἕτερον στιχ. προσόμοιον, τοῦ Κυρίου Θεοδώρου ἦχος β΄. Σταυρωθέντος ἔκραζον.

Τῇ νηστείᾳ Κύριε τὰς ψυχὰς φωτισθέντες, καταξιωθῶμεν τὸν Σταυρόν σου ἀκατακρίτως ἰδεῖν ἐν χαρᾷ, καὶ προσκυνῆσαι φοβερῶς· διαλάμπει γὰρ αὐτὸς πάθη τὰ σὰ τὰ ἑκούσια, ἃ εὐδόκησον φθάσαι ἡμᾶς ὡς φιλάνθρωπος.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Ἑσπέρας Προκείμ. Ψαλμὸς, μζ΄. ἦχος γ΄.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα.

Στίχ. Ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν Κιβωτόν· ὅτι σὲ εἶδον δίκαιον ἐναντίον ἐμοῦ ἐν τῇ γενεᾷ ταύτῃ· ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτὰ ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ· καὶ ἀπὸ τῶν πετεινῶν τοῦ Οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτὰ, ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ τῶν πετεινῶν τοῦ Οὐρανοῦ τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ, διαθρέψαι σπέρμα ἐπὶ πᾶσαν τὴν γῆν· ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν, τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας, καὶ ἐξαλείψω πᾶν τὸ ἀνάστημα, ὃ ἐποίησα ἀπὸ προσώπου πάσης τῆς γῆς· καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός.

Προκείμενον. Ψαλμὸς, μη΄. ἦχος β΄.

Τὸ στόμα μου λαλήσει σοφίαν.

Στίχ. Ἀκούσατε ταῦτα πάντα τὰ Ἔθνη.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ἄκουέ μου· καὶ μακάριοι, οἳ ὁδούς μου φυλάξουσιν. Ἀκούσατε σοφίαν, καὶ σοφίσθητε, καὶ μὴ ἀποφραγῆτε. Μακάριος ἀνὴρ, ὃς εἰσακούσεταί μου, καὶ ἄνθρωπος ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει, ἀγρυπνῶν ἐπ᾽ ἐμαῖς θύραις καθ᾽ ἡμέραν, τηρῶν σταθμοὺς ἐμῶν εἰσόδων· αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου· οἱ δὲ ἁμαρτάνοντες εἰς ἐμὲ, ἀσεβοῦσιν εἰς τὰς ἑαυτῶν ψυχάς, καὶ οἱ μισοῦντες ἐμὲ, ἀγαπῶσι θάνατον. Ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον, καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν εἰς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε

τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος ἐπὶ κρατῆρα, λέγουσα, ὅς ἐστιν ἄφρων, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδέεσι φρενῶν, εἶπεν, ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν. Ἀπολείπετε ἀφροσύνην ἵνα εἰς τὸν αἰῶνα βασιλεύσητε, καὶ ζητήσατε φρόνησιν, καὶ κατορθώσατε ἐν γνώσει σύνεσιν. Ὁ παιδεύων κακοὺς, λήψεται ἑαυτῷ ἀτιμίαν· ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν· οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αὐτῷ· μὴ ἔλεγχε κακοὺς, ἵνα μὴ μισήσωσί σε. Ἔλεγχε σοφὸν, καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται· γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων σύνεσις· τὸ γὰρ γνῶναι νόμον, διανοίας ἐστὶν ἀγαθῆς· τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι ἔτη ζωῆς.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, δίς. ἦχος β'.

Πατέρα σε τὸν Κτίστην ἐπιγράφεσθαι τολμῶ Κύριε, ζῶον ὑπάρχων γηγενὲς τῆς σῆς μετέχον εἰκόνος· κἂν τῆς υἱοθεσίας διήμαρτον ἀσώτως βιώσας, καὶ τῇ λήθῃ τῶν σῶν δωρεῶν ἐκδαπανήσας τὴν περιουσίαν· μὴ οὖν ἀποκηρύξῃς με ὁ τὸν σὸν εὐδοκήσας Υἱὸν μονογενῆ Σταυρὸν ὑπὲρ ἐμοῦ σαρκὶ θάνατον ὑπομεῖναι· ἀλλὰ βελτιώσας, οἰκείωσον σαυτῷ φιλάνθρωπε.

Μαρτ.

Χοροὶ Μαρτύρων ἀντέστησαν τοῖς τυράννοις λέγοντες· ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν Δυνάμεων. εἰ καὶ πυρὶ καὶ βασάνοις παραδώσετε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

Δόξα. Καὶ νῦν, σταυροθεοτοκ. ἦχος ὁ αὐτός.

Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε σε ἄνομος λαὸς, Σῶτερ, τὴν ζωὴν τῶν ἁπάντων ξύλῳ ἀνήρτησε, τότε καὶ ἡ πανάγνης ἁγνὴ καὶ Μήτηρ σου παρεστῶσα ὠδύρετο ὀλοφυρομένη· τέκνον μου γλυκύτατον, φῶς τῶν ἐμῶν ὀφθαλμῶν· οἴμοι, πῶς κακούργων ἐν μέσῳ, ξύλῳ προσπαγῆναι ἠνέσχου, ὁ τὴν γῆν κρεμάσας ἐν τοῖς ὕδασι.

Τῇ δ', τῆς γ'. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικά. Μετὰ τὴν ά. στιχολογ. λεγόμενα καθίσ. σταυρώσιμα τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β'. στιχολογ. λεγόμενον τὸ παρὸν κάθισ. τοῦ κυρίου Ἰωσήφ· ἦχος γ'.

Τὴν ὡραιότητα.

Ξύλῳ ἐμάρανας τὴν φλόγα Δέσποτα τῆς παραβάσεως, Σταυρῷ ὑψούμενος· καὶ ἀπενέκρωσας ἐχθρὸν νεκρούμενος θελήματι, ὅθεν ἱκετεύω σε τῆς σαρκός μου θελήματα νέκρωσον, καὶ ζώωσον τὴν ἀθλίαν καρδίαν μου, νηστείᾳ παθοκτόνῳ καθάρας με πάσης κηλῖδος ὡς εὔσπλαγχνος.

Δόξα. Καὶ νῦν· σταυροθεοτοκ. Ὅμοιον.

Τὸν ἐπονείδιστον οἰκτίρμον, θάνατον διὰ σταυρώσεως ἑκὼν ὑπέμεινας· ὃν ἡ τεκοῦσά σε Χριστὲ ὁρῶσα ἐτιτρώσκετο σπλάγχνα, κοπτομένη γὰρ μητρικῶς ἐπωδύρετο· ἧς ταῖς παρακλήσεσι διὰ σπλάγχνα ἐλέους σου οἰκτείρησον, καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν.

Εἰς τὴν γ'. στιχολο. καθίσ. ἦχος β'.

Ἀναστὰς ἐκ τοῦ μνήματος.

Τὴν φαιδρὰν διανύοντες τῶν νηστειῶν εὐωχίαν βοῶμεν, ἅπαντας διατήρησον ἐν εἰρήνῃ, Κύριε, πάσης τῆς μηχανίας τοῦ ἐχθροῦ ῥυσάμενος, καὶ ἀξίωσον ἡμᾶς ὡς ὑπεράγαθος, τὸν Σταυρόν σου τὸν σεπτὸν φόβῳ ἀσπάσασθαι· ὁ δι' αὐτοῦ τὰ ἐλέη σου παρέχων τῇ Οἰκουμένῃ, μόνε πολυέλεε.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν, σταυροθεοτοκ. ἦχος, ὁ αὐτός. Εὐσπλαγχνίας.

Ἡ Παρθένος καὶ Μήτηρ σου Χριστὲ ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, βοῶσα ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον, ἑκουσίως ἐν σταυρῷ πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Ψαλλομένου δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια κατὰ τὴν τάξιν αὐτῶν, τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή. Ὠδὴ γ'. ἦχος γ'. Τὸ στερέωμα τῶν.

Συσταυρούμενοι τῷ δι' ἡμᾶς σταυρωθέντι, νεκρώσωμεν ἅπαντα σαρκὸς τὰ μέλη ἐν νηστείαις, καὶ εὐχαῖς καὶ δεήσεσιν.

Ὁ τὴν ἄκανθαν τῆς ἁμαρτίας ἐκτίλας σταυρώσει σου Κύριε, τοὺς ἀκανθώδεις λογισμοὺς τῆς διανοίας μου ἔκτιλον.

Καθοπλίσαντες τὰς διανοίας νηστείᾳ, τρεψώμεθα ἔκφυλα δαιμόνων στίφη, τῇ δυνάμει τοῦ Σταυροῦ τειχιζόμενοι.

Θεοτοκίον.

Σωματούμενος ἐκ σοῦ προῆλθεν ὁ Λόγος, τὴν ἔκπτωσιν ἄχραντε τῶν προπατόρων, διὰ σπλάγχνα οἰκτιρμῶν διορθούμενος.

Εἱρμὸς ἄλλος, τοῦ κυρίου Θεοδώρου, ἦχος β'.

Στερέωσον ἡμᾶς.

Ὁ Σὸς ζωοποιὸς Σταυρὸς, Κύριε, σφραγίς μοι ὑπάρχει εἰς σωτηρίαν· ἐν αὐτῷ γὰρ τὸν ἀντίπαλον καταργῶν ἀνυμνῶ σε, ὡς Θεὸν δυνατόν.

Τὸ ξύλον τοῦ Σταυροῦ καρπὸν ἤνεγκε τῷ Κόσμῳ ζωώσεως ἀϊδίου, οὗ ἡμεῖς ἀπογευόμενοι, ἐκ θανάτου, Χριστὲ, ἀπολυτρούμεθα.

Δόξα.

Δόξα.

ΤΑ` τρία τῆς μιᾶς μορφῆς πρόσωπα δοξάζω, Πατέρα, Υἱὸν, καὶ Πνεῦμα, ἓν τὸ κράτος τῆς Θεότητος· βασιλεύουσα γὰρ, καὶ μοναρχεῖ ὡς Θεός.

Καὶ νῦν.

Ο῾ Τόκος σου σεμνὴ φρικτὸς πέφυκε. Θεὸς γὰρ ὑπάρχει ἐνανθρωπίσας, ὁ ἀνάρχως ἐκ Πατρὸς γεννηθεὶς, καὶ ἐκ σοῦ ἐπ᾽ ἐσχάτων πλὴν ἀνδρὸς κυηθείς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι

Η῾ Χάρις τοῦ Σταυροῦ προσεκλάμπουσα τῷ Κόσμῳ, πρὸς τὰ θεῖα σου οἰκτίρμων συγκαλεῖται Πάθη πάντας ἡμᾶς· ἃ πιστῶς προσκυνῆσαι καταξίωσον.

Ο῾ Εἱρμός.

ΣΤερέωσον ἐν σοὶ Κύριε, ὁ ξύλῳ νεκρώσας τὴν ἁμαρτίαν, καὶ τὸν φόβον σου ἐμφύτευσον εἰς τὰς καρδίας ἡμῶν τῶν ὑμνούντων σε.

Ω᾿δὴ η΄. Α᾿σέκτῳ πυρὶ ἑνωθέντες.

ΣΤαυρῷ τὰς ἀρχὰς θριαμβεύσας καὶ τὰς ἐξουσίας τοῦ σκότους φωτοδότα, ὅταν ἔλθῃς μετ᾽ ἐξουσίας κρῖναι Κόσμον ἅπαντα, μὴ τὰ ἐμὰ, Λόγε θριαμβεύσῃς κρύφια, ἵνα τὴν πολλήν σου δοξάζω εὐσπλαγχνίαν.

ΚΡιτὸς ὁ Κριτὴς πρὸ βημάτων ἔστης, κατακρίνων τὴν ἔχθραν τῷ Σταυρῷ σου, μακρόθυμε δικαιοκρῖτα· διὸ κατακρίσεως αἰωνίου ῥῦσαι τοὺς φόβῳ κραυγάζοντας, καὶ ὑπερυψοῦντας τὴν σὴν φιλανθρωπίαν.

ΝΗστείας πυρὶ στομωθέντες Παῖδες εὐσεβεῖς τὴν ἐπηρμένην πάλαι φλόγα θείᾳ δρόσῳ ἔσβεσαν ὄντως, καὶ ἡμεῖς νηστεύοντες, τὰς καμίνους πάντων παθῶν κατασβέσωμεν· ὅπως τῆς γεέννης ἐκφύγωμεν τὴν φλόγα.

Θεοτοκίον.

Ε᾿Κ σοῦ τοῦ Θεοῦ ἡ σοφία οἶκον ἑαυτῇ δομησαμένη ἐσαρκώθη ἀποῤῥήτῳ συγκαταβάσει, Κόρη ἀπειρόγαμε· σὺ γὰρ μόνη πασῶν γενεῶν ἐκλέλεξαι ἄφθορος ἀφθάρτου εἰς κατοικίαν Λόγου.

Εἱρμὸς ἄλλος. Τὸν ἐν τῇ βάτῳ Μω.

Ο῾ Φέρων λόγῳ τὸ πᾶν, δι᾽ ἐμὲ πάντα φέρεις, ῥαπισμοὺς ἐμπτυσμούς τε, καὶ τὴν σταύρωσιν Χριστὲ, αἰνῶ τὰ μεγαλεῖα τῆς σῆς φιλανθρωπίας, εἰς πάντας τοὺς αἰῶνας.

ΘΥ῾ῃ Χριστὲ ὡς ἀμνὸς λογχευθεὶς πλευράν σου, ἵνα με τὸ πρόβατον σώσῃς τὸ ἀπολωλὸς ἐκ θήρας διαβόλου, καὶ τῇ καλῇ σου μάνδρᾳ συντάξῃς εἰς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα Υἱόν.

ΘΕότης μία Τριὰς, ἡ ἀμέριστος φύσις, μεριστὴ δὲ προσώποις, τὸ ἀΐδιον κράτος Πάτερ, Υἱὲ, καὶ Πνεῦμα, σὲ ἀνυμνολογοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

ΘΕοκυῆτορ ἁγνὴ, ἡ οὐράνιος πύλη, ἡ σωτήριος θύρα πάντων τῶν Χριστιανῶν, τὴν δέησιν προσδέχου τῶν σὲ μακαριζόντων εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ε᾿Ν τῷ Σταυρῷ σου Χριστὲ, Ι῾ερεῖς ἐγκαυχῶνται, Βασιλεῖς κραταιοῦνται, πᾶς φωτίζεται πιστός· ἀξίωσόν με τοῦτον ἰδεῖν καὶ προσκυνῆσαι, καὶ ᾆσαι εἰς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟ`ν ἐν τῇ βάτῳ Μωσῇ, τῆς Παρθένου τὸ θαῦμα, ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντά ποτε, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ω᾿δὴ θ΄. Ε᾿ν νόμῳ σκιᾷ, καὶ γράμμα.

ΤΟ`ν ὄφιν Μωσῆς ἐν ξύλῳ ἀνυψῶν, ἐτύπου σε, Ι᾿ησοῦ, Σταυρῷ ἐθελουσίως ὑψωθέντα, καὶ τοῦ πονηροῦ τὴν ἰοβόλον κακίαν ἀποῤῥαπίσαντα· πρὸς σεαυτὸν δὲ τοὺς βροτοὺς ἀνελκύσαντα φιλάνθρωπε.

ΠΥ῾ρί με τοῦ σοῦ καθάρισον φόβου, ἀνάπτων μου τῇ ψυχῇ τὴν θείαν σου ἀγάπην, καὶ Σταυρῷ τειχίζων με τῷ σῷ, ἣν ἐξηπάτησε δόλῳ ὁ παλαιὸς πτερνιστὴς, ταῖς ἡδοναῖς ἀμαυρώσας τὴν ἐμὴν Χριστὲ διάνοιαν.

ΑΙ᾿σχρῶν λογισμῶν καὶ πράξεων φαύλων νηστεύσωμεν ἀδελφοὶ, ἁγνίσωμεν καρδίας, πτερωθῶμεν θείαις ἀρεταῖς· καὶ χαμαιζήλου κακίας ὁρμὰς ἐκκλίνωμεν, ἵνα τὸ Πάσχα τὸ μέγα λαμπροφόροι θεασώμεθα.

Θεοτοκίον.

Ε᾿Κ σοῦ τὴν ἡμῶν πτωχείαν, Παρθένε θέλων ἐφόρεσεν ὁ πλούσιος τῇ φύσει· ὁρατὸς δὲ γέγονεν ἡμῖν, ὁ ἀοράτως τοῖς ἄνω χοροῖς ὑμνούμενος, τὴν συντριβεῖσαν εἰκόνα, ἀναπλάττων ἀγαθότητι.

Εἱρμὸς ἄλλος. Σὲ τὴν νοητήν.

ΣΕ` τὸν ἐν Σταυρῷ τὰς χεῖρας τανύσαντα, καὶ τὰ τετραπέρατα οἰκειούμενον, δι᾽ οὗ τὴν πρὸς τὸν Πατέρα εὕρομεν εἴσοδον, Υἱὲ Θεοῦ, πάντες μεγαλύνομεν.

ΣΕ` ἐξ ἀκανθῶν Χριστὲ στεφανώσαντες οἱ ἄνομοι ἔτυπτον, καὶ ἐσταύρωσαν, ἐν οἷς ἡ ὑπ᾽ Οὐρανὸν ἐκλονεῖτο ἅπασα· ἡμεῖς δὲ σωθέντες μεγαλύνομεν.

Δόξα.

ΣΕ` τὴν τρισφεγγῆ ἁγίαν Θεότητα, τὴν τὸ πᾶν συνέχουσαν, καὶ φυλάττουσαν ἀεὶ τὸν Πατέρα, Υἱόν τε, καὶ Πνεῦμα τὸ ζῶν ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Καὶ νῦν.

ΣΕ` τὴν φωτεινὴν νεφέλην τοῦ Πνεύματος, ἐξ ἧς ἡμῖν ἔλαμψε φῶς τὸ ἀπρόσιτον, Χρι-

Χριστὸς τῆς Δικαιοσύνης ὁ μέγας Ἥλιος, ὕμνοις Θεοτόκε μεγαλυνόμεθα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν.

ΣΤ' ἡμῶν τὸ φῶς, τὸ ἅγιον σύνθημα, τὸ τῆς νίκης τρόπαιον, ὁ Σταυρὸς τοῦ Χριστοῦ· αὐτὸς τὴν ἐγκράτειαν ἡμῖν καταγλυκανον, καὶ σὲ προσκυνῆσαι καταξίωσον.

Ὁ Εἱρμός.

ΣΕ τὴν νοητὴν, καὶ ἔμψυχον κλίμακα, ἐν ᾗ ὁ Θεὸς ἡμῶν ἐπεστήρικτο· δι' οὗ τὴν πρὸς

„ Οὐρανὸν εὕρομεν ἄνοδον, ὕμνοις ἀσιγήτοις με-

„ γαλυνόμεθα.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας Δίς, ἦχ. β'.

ΕΝ τιμῇ ὢν ὑψωτάτῳ Πατρὸς ἀγαθοῦ ὁ ἄνους ἐγὼ οὐ συνῆκα, ἀλλ' ἐμαυτὸν τῆς δόξης ἐστέρησα, τὸν πλοῦτον κακῶς δαπανήσας τῆς χάριτος· λειπόμενος δὲ θείας τροφῆς, παράσιτος γέγονα μιαρῷ πολίτῃ· ὑπ' αὐτοῦ δὲ πεμφθεὶς εἰς τὸν αὐτοῦ ψυχοφθόρον ἀγρὸν, ζῶν ἀσώτως, συνεβοσκόμην τοῖς κτήνεσι, καὶ ταῖς ἡδοναῖς δυλεύων, οὐκ ἐνεπλησκόμην· ἀλλ' ὑποστρέψας, βοήσω τῷ εὐσπλάγχνῳ, καὶ οἰκτίρμονι Πατρί, εἰς τὸν Οὐρανὸν, καὶ ἐνώπιόν σου ἥμαρτον, ἐλέησόν με.

Μαρτυρικὸν.

ΤΩν Μαρτύρων σου τὰ πλήθη, δυσωποῦσί σε Χριστέ· ἐλέησον ἡμᾶς ὡς φιλάνθρωπος.

Δόξα. Καὶ νῦν· σταυροθεοτοκίον ἦχ. ὁ αὐτός.

Ὅτι ἐκ τοῦ ξύλου σε.

ΠΌνους ὑπομείνασα πολλοὺς ἐν τῷ τοῦ Υἱοῦ, καὶ Θεοῦ σου σταυρώσει ἄχραντε, ἔστενες δακρύουσα, καὶ ἀνεβόας πικρῶς· οἴμοι τέκνον γλυκύτατον, ἀδίκως πῶς πάσχεις, θέλων ἐκλυτρώσασθαι τοὺς ἐξ Ἀδὰμ γηγενεῖς; ὅθεν παναγία Παρθένε, σὲ παρακαλοῦμεν ἐν πίστει, ἵλεων ἡμῖν τοῦτον ἀπέργασαι.

Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας· ἦχος πλ. δ'.

ΥΠόστασις ἔργων ἐν ἡμῖν οὐκ ἔστι Κύριε, ἐλεήμων ὑπάρχεις φιλάνθρωπε· τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς ἀναμάρτητε.

Προκείμενον. Ψαλ. μθ'. ἦχος πλ. β'.

Θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως.

Στίχ. Θεὸς θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΕΣται ὅταν συντελέσῃ Κύριος πάντα ποιῶν ἐν τῷ ὄρει Σιὼν, καὶ Ἱερουσαλὴμ ἐπισκέψομαι ἐπὶ τὸν νοῦν τὸν μέγαν ἐπὶ τὸν ἄρχοντα τῶν Ἀσσυρίων, καὶ ἐπὶ τὸ ὕψος τῆς δόξης τῶν ὀφθαλμῶν αὐτοῦ· εἶπε γὰρ ἐν τῇ ἰσχύϊ ποιήσω, καὶ ἐν τῇ σοφίᾳ τῆς συνέσεως ἀφελῶ ὅρια Ἐθνῶν, καὶ τὴν ἰσχὺν αὐτῶν προνομεύσω, καὶ σείσω πόλεις κατοικουμένας, καὶ τὴν Οἰκουμένην ὅλην καταλήψομαι τῇ χειρὶ ὡς νοσσιὰν, καὶ ὡς καταλελειμμένα ὠὰ ἀρῶ· καὶ οὐκ ἔστιν, ὃς διαφεύξεταί με, ἢ ἀντείπῃ μοι· μὴ δοξασθήσεται ἀξίνη ἄνευ τοῦ κόπτοντος ἐν αὐτῇ; ἢ ὑψωθήσεται πρίων ἄνευ τοῦ ἕλκοντος αὐτόν; ὡς ἄν τις ἄρῃ ῥάβδον, ἢ ξύλον· καὶ οὐχ οὕτως, ἀλλὰ ἀποστελεῖ Κύριος Σαβαὼθ εἰς τὴν σὴν τιμὴν ἀτιμίαν· καὶ εἰς τὴν σὴν δόξαν πῦρ καιόμενον καυθήσεται· καὶ ἔσται τὸ φῶς τοῦ Ἰσραὴλ εἰς πῦρ καὶ ἁγιάσει αὐτὸν ἐν πυρὶ καιομένῳ, καὶ φάγεται ὡς χόρτον τὴν ὕλην· τῇ ἡμέρᾳ ἐκείνῃ ἀποσβεσθήσεται τὰ ὄρη, καὶ οἱ βουνοὶ, καὶ οἱ δρυμοί· καὶ καταφάγεται ἀπὸ ψυχῆς ἕως σαρκῶν· καὶ ἔσται ὁ φεύγων, ὡς ὁ φεύγων ἀπὸ φλογὸς καιομένης, καὶ οἱ καταλειφθέντες ἀπ' αὐτῶν ἀριθμὸς ἔσονται, καὶ παιδίον γράψει αὐτούς. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐκέτι προστεθήσεται τὸ καταλειφθὲν τοῦ Ἰσραὴλ· καὶ οἱ σωθέντες τοῦ Ἰακὼβ, οὐκέτι μὴ πεποιθότες ὦσιν ἐπὶ τοὺς ἀδικήσαντας αὐτούς· ἀλλ' ἔσονται πεποιθότες ἐπὶ τὸν Θεὸν τὸν ἅγιον τοῦ Ἰσραήλ.

Προκείμενον. Ψαλμὸς, Ν'. ἦχ. πλ. β'.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Στίχ. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί.

Τῇ Τετάρτῃ τῆς γ'. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. καὶ ψάλλομεν τὸ ἰδιόμελον. Δίς· τὸ μαρτυρικόν· τὰ γ'. προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου εἰς δ'. τὸ ἰδιόμελον· ἦχ. δ'. Δίς.

ΑΣώτως διασπείρας τὸν πατρικόν μου πλοῦτον, ἔρημος γέγονα ἐν τῇ χώρᾳ οἰκήσας τῶν πονηρῶν πολιτῶν· καὶ τῇ ἀλογίᾳ ὁμοιωθεὶς ἀνοήτοις κτήνεσι, καὶ πάσης γεγύμνωμαι θείας χάριτος· διὸ ἐπιστρέψας βοῶ σοι τῷ εὐσπλάγχνῳ, καὶ οἰκτίρμονι Πατρί· ἥμαρτον, δέξαι με μετανοοῦντα ὁ Θεὸς, καὶ ἐλέησόν με.

Μαρτ.

ΙΕρεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικὰ, Μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος, πρεσβεύσατε, καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν ἐπὶ ὕδατος ἀναπαύσεως.

Ἕτερα στιχηρὰ προσόμοια τοῦ Κυρίου Ἰωσὴφ, ἦχ. πλ. β'. Ὅλην ἀποθέμενοι.

ΗΛίου ἀπαυγάσματα τοῦ νοητοῦ δεδειγμένοι, θεόπται Ἀπόστολοι, φωτισμὸν αἰτήσατε ταῖς ψυχαῖς ἡμῶν· καὶ παθῶν ῥύσατε ἀχλυώδους σκότους, καὶ ἡμέραν τὴν σωτήριον ἰδεῖν πρεσβεύσατε, διὰ πρεσβειῶν, καὶ δεήσεων καρδίας ἐκκαθάραντες, ἃς ὁ πονηρὸς ἐξαμαύρωσεν· ὅπως ὑμᾶς πίστει

πίστει σωζόμενοι γεραίρομεν ἀεί, τοὺς τῷ πανσόφῳ κηρύγματι Κόσμον διασώσαντας.

Ὅμοιον.

Εἰς χώραν ὁ Ἄσωτος ἀποδημήσας κακίας, κακῶς ἐδαπάνησα ὅνπερ, Πάτερ εὔσπλαγχνε, πλοῦτον δέδωκας, καὶ λιμῷ τήκομαι ἀγαθῶν πράξεων, καὶ αἰσχύνην παραβάσεως ἰδοὺ ἐνδέδυμαι, χάριτος ἐνθέου γυμνούμενος· καὶ κράζω σοι τὸ Ἥμαρτον, οἶδα γὰρ τὴν σὴν ἀγαθότητα· δέξαι με ὡς ἕνα, οἰκτίρμων, τῶν μισθίων σου, Χριστέ, τῶν Ἀποστόλων δεήσεσι τῶν ἠγαπηκότων σε.

Ἕτερον στιχ. προσόμοιον τοῦ κυρίου Θεοδώρου· ἦχος ὁ αὐτός. Ἐκ δεξιῶν τοῦ Σωτῆρος.

Ἀπόστολοι τοῦ Σωτῆρος, φωστῆρες Οἰκουμένης, καὶ εὐεργέται, καὶ σῶσαι, οἱ Θεοῦ τῆς δόξης ὡς Οὐρανοὶ διηγήτορες, καὶ πεποικιλμένοι τοῖς ἄστροις τῶν θαυμάτων, καὶ τοῖς τέρασι τῶν ἰάσεων, ἐκτενῶς ὑπὲρ ἡμῶν τὰς ἱκετηρίας Κυρίῳ προσάγετε, εἰς ὀσμὴν ἄχραντον τὰς εὐχὰς δεχθῆναι ἡμῶν, καὶ ἀξιωθῆναι τὸν ζωηφόρον Σταυρὸν καὶ προσπτύξασθαι, καὶ βλέψαι φόβῳ ἅπαντας αὐτοῦ τῇ προσκυνήσει· κατάπεμψον ἡμῖν τὰ ἐλέη σου, Σωτὴρ ὡς φιλάνθρωπος.

Καὶ τοῦ Μηναίου δ΄. Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ἑσπέρας Προκείμενον. Ψαλμ. να΄. ἦχ. δ΄.

Ἤλπισα ἐπὶ τὸ ἔλεος τοῦ Θεοῦ εἰς τὸν αἰῶνα.

Στίχ. Τί ἐγκαυχᾷ ἐν κακίᾳ ὁ δυνατός;

Γενέσεως τὸ Ἀνάγνωσμα.

Νῶε ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς, εἰσῆλθε δὲ Νῶε, καὶ οἱ Υἱοὶ αὐτοῦ, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾽ αὐτοῦ εἰς τὴν Κιβωτὸν, διὰ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ· καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν, καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν Κιβωτὸν ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε.

Προκείμενον, Ψαλ. νβ΄. ἦχος δ΄.

Ἐν τῷ ἀποστρέψαι Κύριον τὴν αἰχμαλωσίαν.

Στίχ. Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ ἐὰν σοφὸς γένῃ σεαυτῷ, σοφὸς ἔσῃ καὶ τοῖς πλησίον· ἐὰν δὲ κακὸς ἀποβῇς, μόνος ἂν ἀντλήσεις κακά. Ὃς ἐρείδεται ἐπὶ ψεύδεσιν, οὗτος ποιμαίνει ἀνέμους· ὁ δ᾽ αὐτὸς διώξεται ὄρνεα πετόμενα· ἀπέλιπε γὰρ ὁδοὺς τοῦ ἑαυτοῦ ἀμπελῶνος· τοὺς δὲ ἄξονας τοῦ ἰδίου γεωργίου πεπλάνηται, διαπορεύεται δὲ δι᾽ ἀνύδρου ἐρήμου, καὶ γῆν διατεταγμένην ἐν διψώδεσι, συνάγει δὲ χερσὶν ἀκαρπίαν. Γυνὴ ἄφρων καὶ θρασεῖα ἐνδεὴς ψωμοῦ γίνεται· ἣ οὐκ ἐπίσταται αἰσχύνην· ἐκάθισεν ἐπὶ θύραις τοῦ ἑαυτῆς οἴκου, ἐπὶ δίφρου ἐμφανῶς ἐν πλατείαις, προσκαλουμένη τοὺς παριόντας, καὶ κατευθύνοντας ἐν ταῖς ὁδοῖς αὐτῶν· ὅς ἐστιν ὑμῶν ἀφρονέστατος, ἐκκλινάτω πρός με· καὶ τοῖς ἐνδέεσι φρονήσεως παρακελεύομαι λέγουσα, ἄρτων κρυφίων ἡδέως ἅψασθε· καὶ ὕδατος κλοπῆς γλυκεροῦ. Ὁ δὲ οὐκ οἶδεν ὅτι γηγενεῖς παρ᾽ αὐτῇ ὄλλυνται, καὶ ἐπὶ πέταυρον ᾅδου συναντᾷ· ἀλλὰ ἀποπήδησον, μὴ χρονίσῃς ἐν τῷ τόπῳ, μηδὲ ἐπιστήσῃς τὸ σὸν ὄνομα πρὸς αὐτήν· οὕτως γὰρ διαβήσῃ ὕδωρ ἀλλότριον· ἀπὸ δὲ ὕδατος ἀλλοτρίου ἀπόσχου, καὶ ἀπὸ πηγῆς ἀλλοτρίας μὴ πίῃς· ἵνα πολὺν ζήσῃς χρόνον, προστεθῇ δέ σοι ἔτη ζωῆς.

Καὶ εὐθὺς ἡ θεία Λειτουργία τῶν Προηγιασμένων.

Τῇ Πέμπτῃ τῆς γ΄. Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ Τριαδικά. Μετὰ τὴν πρώτην στιχολογίαν λεγομένη κάθισ. ἀποστολικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β΄. στιχολογίαν λεγόμενον τὸ παρὸν κάθισ. τοῦ κυρίου Ἰωσήφ· ἦχ. πλ. β΄. Ἐλπὶς τοῦ Κόσμου.

Φωστῆρες Κόσμου ἀπλανεῖς, Μαθηταὶ τοῦ Σωτῆρος, φωτίσατέ μου τὴν ψυχὴν ἁμαρτίᾳ τυφλώττουσαν· καὶ δέξατε θείας ἡμέρας κοινωνόν, φυλάττοντα τὰς σωτηρίους ἐντολάς· καὶ σκότους με λυτρώσατε ἐκεῖ τοῦ ἀφεγγοῦς, ὅπως ὑμᾶς δοξάζω.

Θεοτοκίον Ὅμοιον.

Ἁγία Δέσποινα Χριστοῦ τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ὡς τὸν ἁπάντων ποιητὴν ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ ἄφεσιν ἡμῖν δοῦναι ἁμαρτημάτων.

Μετὰ τὴν τρίτην στιχολ. Ἕτερον κάθισ.

τοῦ Κυρίου Θεοδώρου· ἦχος πλ. β΄.

Ἀγγελικαὶ δυνάμεις.

Κοσμολαμπεῖς φωστῆρες, θεῖοι Ἀπόστολοι, καταφωτίσατε τοὺς ὑμνῳδοὺς ὑμῶν, ἀμείβοντες τὸν χρόνον τῆς νηστείας, ἀξίως αἰτούμενοι, πάντας θεάσασθαι τὸ ξύλον τοῦ ζωηφόρου Σταυροῦ, καὶ ἀσπάσασθαι ἀρρύποις χείλεσι, καὶ ὀφθαλμοῖς, ἐκβοῶντας ψαλμικῶς, Κύριε δόξα σοι.

Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθή, Θεοτόκε Παρθένε, τὴν σὴν, καὶ μόνην φοβερὰν προστασίαν αἰτοῦμεν. σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Ψαλ-

Digitized by Google

ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριώδια τοῦ Κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή· ᾠδὴ δ΄. ἦχ. πλ. β΄.

Χριστός μου δύναμις.

Νηστείαν, δάκρυα, εὐχάς, συμπάθειαν, ἀκατάνυκτον ἦθος, γνώμην ὀρθήν, βίου καθαρότητα ἐπιδειξώμεθα, πιστοί, ὅπως δόξης ἀπολαύσωμεν.

Φωστῆρες φαίνοντες τῷ στερεώματι τῆς σεπτῆς Ἐκκλησίας περιφανῶς, ὤφθητε Ἀπόστολοι· διὸ φωτίσατε ἡμῶν τὰς καρδίας θείῳ Πνεύματι.

Ὡς θεῖοι ἄνθρακες προσαναπτόμενοι τῷ πυρὶ τῷ ἀΰλῳ, τὰς ἐμπαθεῖς ὕλας καταφλέξατε τῶν καρδιῶν ἡμῶν σοφοὶ τοῦ Θεοῦ ἡμῶν Ἀπόστολοι.

Θεοτοκίον.

Λυχνία ἄσβεστος, νυμφὼν ὁλόφωτε, Σεραφὶμ ὑπερτέρα, Χερουβικὸν ὄχημα, πανάμωμε, ἁμαρτιῶν με χαλεπῶν, καὶ κινδύνων ἐλευθέρωσον.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου, ἦχ. ὁ αὐτός.

Ἀκήκοεν ὁ Προφήτης.

Λαμπτῆρες Θεοφανείας, Ἀπόστολοι τοῦ Σωτῆρος, ἀναδειχθέντες, τῆς ἀγνοίας τὴν νύκτα ἐλύσατε, καὶ τὴν Ἐκκλησίαν αἰθριάσαντες, φωτίζετε τὴν Οἰκουμένην ταῖς περιφθέγγοις διδαχαῖς ὑμῶν.

Τὸν Κόσμον διαδραμόντες, ἄλλος ἐν κατ' ἄλλο μέρος, εἰς μίαν πίστιν πάντας συνηθροίσατε, Ἀπόστολοι, καὶ μεταλαχόντες τὰ οὐράνια, χορεύετε, Χριστὸν ἀπαύστως ἐκδυσωποῦντες, τοῦ σωθῆναι πάντας ἡμᾶς.

Δόξα.

Υἱὸν ἐκ Πατρὸς καὶ Πνεῦμα δοξάζω ὡς ἐξ Ἡλίου φῶς καὶ ἀκτῖνα, τὸ μὲν γεννητῶς, ὅτι καὶ γέννημα, τὸ δὲ προβλητῶς, ὅτι καὶ πρόβλημα· συνάναρχον μίαν οὐσίαν προσκυνουμένην ὑπὸ πάσης Κτίσεως.

Καὶ νῦν.

Παρθένος βρέφος τεκοῦσα, καὶ τὴν ἁγνείαν φρουροῦσα σεμνὴ σὺ ὤφθης, τὸν Θεὸν γεννήσασα, καὶ ἄνθρωπον, ἕνα τὸν αὐτὸν ἐν ἑκατέρᾳ μορφῇ· τὸ θαῦμά σου, Παρθενομῆτορ, ἐκπλήττει πᾶσαν ἀκοήν, καὶ ἔννοιαν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Πρεσβείαις ὑμῶν ἁγίαις, Ἀπόστολοι τοῦ Κυρίου, ἀξιωθῶμεν, τὸν ζωοποιὸν Σταυρὸν προσπτύξασθαι ἁγνοῖς καὶ τοῖς χείλεσι, καὶ ὄμμασι, προκείμενον τοῖς ἐν τῷ Κόσμῳ, καὶ πάσῃ κτίσει καταπροσκυνούμενον.

Ὁ Εἱρμός.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν, ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην· δόξα τῇ δυνάμει σου, Κύριε.

Ὠδὴ η΄. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Μωϋσῆν ἡ νηστεία θεόπτην ἔδειξε, καὶ Ἠλίαν πυρίνῳ ἅρματι ἔλαβεν· ἀπόδον λογισμὸν βλαβερὸν ἐγκρατεύθητι· ὅπως χαμαιζήλου, ψυχή, ῥυσθῇς ἀπάτης.

Ὀλισθαίνων τοῖς χείρω προσεπικλίνομαι, καὶ τῷ μώλωπι τραῦμα προστίθημι· ἴασαι, Χριστέ, τὴν λιθώδη μου πώρωσιν ταῖς τῶν Ἀποστόλων, οἰκτίρμον, ἱκεσίαις.

Οἱ τοῦ Κόσμου φωστῆρες οἱ θεαυγέστατοι τῶν παθῶν ἡμῶν νέφη διασκεδάσατε, καὶ προσκυνητὰς τῆς λαμπρᾶς Ἀναστάσεως δείξατε ὑμνοῦντας τὸν Ἥλιον τῆς Δόξης.

Θεοτοκίον.

Γενεαὶ γενεῶν σε, θεομακάριστε, μακαρίζουσι, πάλαι, ὡς προεφήτευσας· μόνη γὰρ βροτοῖς τὸν μακάριον τέτοκας Λόγον ἀπορρήτως, ἐκ σοῦ σωματωθέντα.

Εἱρμὸς ἄλλος. Οἱ ὅσιοί σου παῖδες.

Ἐν τῷ βυθῷ τῆς πλάνης τοὺς νηχομένους ἀγρεύσαντες καλάμῳ τῆς πίστεως, Ἀπόστολοι Κυρίου, φέρετε τούτους εὐλογοῦντας, ὑμνοῦντας, καὶ καὶ ὑπερυψοῦντας τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Μεγάλη ἡ ἰσχύς σου ἐν Ἀποστόλοις, ὅτι σκιαὶ καὶ σουδάρια αὐτῶν ἰῶνται τοὺς ἀσθενοῦντας, εὐλογοῦντας, ὑμνοῦντας, καὶ ὑπερυψοῦντας τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Ἀνάρχῳ καὶ γεννήσει τε, καὶ προόδῳ, Πατέρα προσκυνῶ τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον Πατρί τε καὶ Υἱῷ Πνεῦμα ἅγιον.

Καὶ νῦν.

Ὃν ἔτεκες, Παρθένε, ἀνερμηνεύτως διὰ παντὸς ὡς φιλάνθρωπον, μὴ διαλίπῃς δυσωποῦσα· ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡ δωδεκὰς ἁγία τῶν Ἀποστόλων τὸν τίμιον Σταυρὸν καταξίωσον ἀκατακρίτως με προσκυνῆσαι, εὐλογοῦντα, ὑμνοῦντα, καὶ ὑπερυψοῦντα εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Οἱ ὅσιοί σου παῖδες ἐν τῇ καμίνῳ τὰ Χερουβὶμ ἐμιμήσαντο, τὸν Τρισάγιον ὕμνον ἀνα-
„ βοῶντες, εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε
„ εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Θεὸν ἀνθρώποις ἰδεῖν.

Θεὲ καὶ Κύριε πολυέλεε, τὰ τῆς ἐμῆς καρδίας ἀποκάθαρον τραύματα, μετανοίας προσπλάττων μοι φάρμακα· ἥμαρτον, ἥμαρτόν σοι, οἴκτειρον, σῶσόν με ταῖς τῶν Ἀποστόλων σου εὐχαῖς, ὡς πολυέλεος.

Ὁρμαῖς ἀτόποις ἐξηκολούθησα φρενοβλαβῶς, καὶ ἔξω ἐμαυτοῦ ὅλως γέγονα, ἡδονῶν τὸ βραχὺ στιζόμενος, καὶ τῆς σωτηριώδους καθυστερούμενος βρώσεως ὁ ἄσωτος, Χριστὲ, οἰκτειρον, σῶσόν με.

Ψυχὴ κακίας μὴ καθαρεύουσα, καὶ ἡδονῶν σαυτὴν φθοροποιῶν μὴ μακρύνουσα, τί ἀκαίρως ἀγάλλῃ νηστεύουσα; ταύτην γὰρ τὴν νηστείαν οὐκ ἐξελέξατο Κύριος ὁ μόνος, τὴν ἡμῶν θέλων διόρθωσιν.

Θεοτοκίον.

Φωτὶ τῷ θείῳ με φωταγώγησον, ἡ τοῦ φωτὸς Παρθένε Θεοτόκε λοχεύτρια, καὶ ψυχῆς μου τὸν ζόφον ἀπέλασον, ὅπως σε μακαρίζω, ἣν μακαρίζουσι πᾶσαι τῶν ἀνθρώπων γενεαὶ, ὡς προεφήτευσας.

Εἱρμὸς ἄλλος. Ἀσπόρου συλλήψεως.

Οἱ λόγῳ ἰδιῶται σοφοὶ τῇ γνώσει ὤφθησαν, πλοκὰς τῶν λόγων φιλοσόφων λύσαντες, ῥητόρων τὰς διπλόες, καὶ ψήφους ἀστρονόμων, διὸ Ἀπόστολοι τοῦ Χριστοῦ μόνοι πάσης Οἰκουμένης ἀνεδείχθητε Διδάσκαλοι.

Ὁ Πέτρος ῥητορεύει, καὶ Πλάτων κατεσίγησε, διδάσκει Παῦλος. Πυθαγόρας ἔδυνε· λοιπὸν τῶν Ἀποστόλων θεολογῶν ὁ δῆμος τὴν τῶν Ἑλλήνων νεκρὰν φθογγὴν καταθάπτει, καὶ τὸν Κόσμον συνεγείρει πρὸς λατρείαν Χριστοῦ.

Δόξα.

Μόνου μονογενῆτορ μονογενοῦς Υἱοῦ Πατὴρ, καὶ μόνε μόνου, φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνον Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριον, ὄντος ὂν, ὦ Τριὰς μονὰς ἁγία σῶσόν με θεολογοῦντά σε.

Καὶ νῦν.

Τὸ θαῦμα τοῦ τόκου σου ἐκπλήττει με, Πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον; εἰπὲ πῶς παρθενεύεις γεννήσασα ὡς Μήτηρ; Τὸ ὑπὲρ φύσιν πίστει λαβὼν, τὸ τικτόμενον προσκύνει· ὅσα θέλει γὰρ καὶ δύναται.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸν Σταυρὸν τὸν τίμιον, τὸ ξύλον τὸ πανάγιον, ὃ τὴν τοῦ Κόσμου σωτηρίαν ἤνθησεν, ἰδεῖν, καὶ προσκυνῆσαι, πάντες ἀξιωθῶμεν ἁγνοῖς καὶ χείλεσι, καὶ ψυχῇ, ἱκεσίαις ὑμῶν πάντων τῶν ἁγίων Ἀποστόλων Χριστοῦ.

Ὁ Εἱρμός.

Ἀσπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας Δίς. ἦχος πλ. β'.

Τὴν υἱοθεσίαν ἐκπεσὼν ὁ ἄσωτος ἐγὼ, δουλοπρεπῶς χοίροις συνδιαιτώμενος, καὶ μηδὲ τῆς αὐτῶν τροφῆς χορταζόμενος· ἐπανέρχομαι πρὸς σὲ τὸν Πατέρα τὸν εὔσπλαγχνον· ὅθεν ἐξῆλθον κακῶς, ὑποστρέφω καλῶς, ἐν μετανοίᾳ κραυγάζων. Ἥμαρτον εἰς τὸν Οὐρανὸν, καὶ ἐνώπιόν σου, Πάτερ· παράσχου μοι ἐν ἐπιστροφῇ τὸ μέγα ἔλεος.

Μαρτ.

Τοὺς ἐκλεκτοὺς ἐθαυμάστωσε, καὶ Ἁγίους ὁ Θεὸς ἡμῶν· ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε πάντες οἱ δοῦλοι αὐτοῦ, ὑμῖν γὰρ ἡτοίμασε τὸν στέφανον, καὶ τὴν Βασιλείαν αὐτοῦ· ἀλλ' αἰτοῦμεν, καὶ ἡμῶν μὴ ἐπιλάθεσθε.

Δόξα. Καὶ νῦν, Θεοτοκίον ὁ αὐτός.

Θεοτόκε, σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινὴ, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα μετὰ τῶν Ἀποστόλων, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Τριθέκτην Τροπάριον τῆς Προφητείας, ἦχ. βαρύς.

Ἐὰν ἀνομίας παρατηρήσῃς φιλάνθρωπε, ποία σωτηρίας ἐλπὶς ἡμῖν; ἀλλὰ τὴν σὴν ἐξ ὕψους βοήθειαν, ὡς οἰκτίρμων, τῷ λαῷ σου κατάπεμψον, Κύριε.

Προκείμενον. Ψαλμὸς νγ'. ἦχ. δ'.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με.

Στίχ. Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Οὕτω λέγει Κύριος, ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν. ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ, τιμή· Καὶ ἔσται τῇ ἡμέρᾳ ἐκείνῃ, προσθήσει ὁ Κύριος τοῦ δεῖξαι τὴν χεῖρα αὐτοῦ, τοῦ ζηλῶσαι τὸ καταλειφθὲν ὑπόλοιπον τοῦ Λαοῦ, ὃ ἂν καταλειφθῇ ὑπὸ τῶν Ἀσσυρίων, καὶ ἀπὸ Αἰγύπτου, καὶ ἀπὸ Βαβυλωνίας, καὶ ἀπὸ Αἰθιοπίας, καὶ ἀπὸ Ἐλαμιτῶν, καὶ ἀπὸ Ἡλίου ἀνατολῶν, καὶ ἐξ Ἀραβίας, καὶ ἀρεῖ σημεῖον εἰς τὰ ἔθνη, καὶ συνάξει τοὺς ἀπολομένους Ἰσραὴλ· καὶ τοὺς διεσπαρμένους Ἰούδα συνάξει ἐκ τῶν τεσσάρων πτερύγων τῆς γῆς. καὶ ἀφαιρεθήσεται ὁ ζῆλος Ἐφραίμ, καὶ οἱ ἐχθροὶ Ἰούδα ἀπολοῦνται, καὶ ἔσται τῷ Ἰσραὴλ, ὡς ἡ ἡμέρα, ὅτε ἐξῆλθεν ἐκ γῆς Αἰγύπτου· καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εὐλογῶ σε Κύριε· διότι ὠργίσθης μοι, καὶ ἀπέστρεψας τὸν θυμόν σου, καὶ ἠλέησάς με· ἰδοὺ ὁ Θεός μου Σωτήρ μου, πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ, καὶ σωθήσομαι ἐν αὐτῷ, καὶ οὐ φοβηθήσομαι· διότι ἡ δόξα μου, καὶ ἡ αἴνεσίς μου Κύριος, καὶ ἐγένετό μοι εἰς Σωτηρίαν.

Προκείμενον. Ψαλμὸς νδ'. ἦχ. δ'.

Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου.

Στίχ. Πρόσχες μοι, καὶ εἰσάκουσόν μου.



Digitized by Google

Τῇ Πέμπτῃ τῆς γ'. Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμ. στίχ. ς'. καὶ ψάλλομεν τὰ παρόντα γ'. προσόμοια, καὶ τοῦ Μηναίου γ'. τοῦ Τριῳδίου τοῦ Κυρίου Ἰωσήφ, ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν.

Σῶτερ, ὁ ἀληθὴς γλυκασμὸς, ὁ τὰ πικρότατα Μερρᾶς πάλαι ὕδατα γλυκάνας, τυπῶντι τότε ξύλον τοῦ θείου Σταυροῦ, ἁπλωθεὶς ἐν τούτῳ, ὡς εὐδόκησας, χολῆς ἀπεγεύσω δὲ, τὴν πλευρὰν ἐκκεντούμενος, ἐξ ἧς τῷ Κόσμῳ ὕδωρ βρύεις ἀφέσεως εἰς ἀνάπλασιν τοῦ βροτείου φυράματος· ὅθεν δοξολογοῦμέν σου τὴν ἄφατον δύναμιν, καὶ δυσωποῦμεν, παράσχου ἡμῖν τὸν φόβον σου, Κύριε, καιρῷ τῆς νηστείας, καὶ συγχώρησιν πταισμάτων, καὶ μέγα ἔλεος.

Ὅμοιον.

Λόγε, ὁ ἁπλωθεὶς ἐν Σταυρῷ, ἐπισυνάγων τὰ μακρὰν διεστῶτα σου, ὑψώσας τὸν λογισμόν μου ἀπὸ κοπρίας παθῶν, ἀρεταῖς παντοίαις καταπλούτισον, διδοὺς τῇ καρδίᾳ μου τὸν ἁγνότατον φόβον σου, καὶ τῇ ψυχῇ μου τὴν τελείαν ἀγάπησιν, τῆς πρὸς σάρκα μου ἀγαπήσεως τέμνουσαν· ὅπως δι' ἐγκρατείας σοι εὐχῆς καὶ δεήσεως ἐν ταῖς παρούσαις ἡμέραις εὐαρεστήσω, καὶ βλέψω σου φαιδρῶς τὴν ἡμέραν τῆς Ἐγέρσεως, λαμβάνων τὸ μέγα ἔλεος.

Ἕτερον στιχη. προσόμοιον τοῦ Κυρίου Θεοδώρου, ἦχος α'. Νεφέλην σε φωτὸς.

Τὴν τρίτην τῆς σεπτῶν Νηστειῶν Ἑβδομάδα, Χριστὲ Λόγε, περάσαντες, τὸ ξύλον τοῦ ζωηφόρου Σταυροῦ σου κατιδεῖν ἀξίωσον ἡμᾶς, καὶ σεπτῶς προσκυνῆσαι, καὶ ᾆσαι ἐπαξίως, δοξάσαι τὸ κράτος σου, ὑμνῆσαι τὰ Πάθη σου, προφθάσαι τὴν ἔνδοξον καθαρῶς, καὶ ἁγίαν Ἀνάστασιν, τὸ Πάσχα τὸ μυστικὸν, δι' οὗ Ἀδὰμ ἐπανῆλθεν εἰς τὸν Παράδεισον.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἑσπέρας Προκείμ. Ψαλμὸς νε'. ἦχ. πλ. β'.

Ἐλέησόν με ὁ Θεὸς, ὅτι κατεπάτησέ με.

Στίχ. Κατεπάτησάν με οἱ ἐχθροί μου.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε τοῦ δευτέρου μηνὸς, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός· τῇ ἡμέρᾳ ταύτῃ ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ Οὐρανοῦ ἠνεῴχθησαν, καὶ ἐγένετο ὁ ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας. Ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθε Νῶε, Σὴμ, Χὰμ, Ἰάφεθ οἱ υἱοὶ Νῶε, καὶ ἡ γυνὴ Νῶε, καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ εἰς τὴν Κιβωτὸν, καὶ πάντα τὰ θηρία, κατὰ γένος, καὶ πάντα τὰ κτήνη κατὰ γένος· καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος, καὶ πᾶν ὄρνεον πετεινὸν κατὰ γένος αὐτοῦ εἰσῆλθον πρὸς Νῶε εἰς τὴν Κιβωτὸν, δύο δύο ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς, ἐν ᾧ ἐστι πνεῦμα ζωῆς, καὶ τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰσῆλθε, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε, καὶ ἔκλεισε Κύριος ὁ Θεὸς τὴν Κιβωτὸν ἔξωθεν αὐτοῦ. Καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας, καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς· καὶ ἐπεπληθύνθη τὸ ὕδωρ, καὶ ἐπῆρε τὴν Κιβωτὸν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς· καὶ ἐπεκράτει τὸ ὕδωρ, καὶ ἐπεπληθύνθη σφόδρα ἐπὶ τῆς γῆς· καὶ ἐπεφέρετο ἡ Κιβωτὸς ἐπάνω τοῦ ὕδατος· τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφόδρα ἐπὶ τῆς γῆς, καὶ ἐκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλὰ, ἃ ἦν ὑποκάτω τοῦ Οὐρανοῦ· πέντε καὶ δέκα πήχεις ὑπεράνω ὑψώθη τὸ ὕδωρ, καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά. Καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν, καὶ τῶν κτηνῶν, καὶ τῶν θηρίων, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς, καὶ πᾶς ἄνθρωπος, καὶ πάντα ὅσα ἔχει πνοὴν ζωῆς· καὶ πᾶν ὃ ἦν ἐπὶ τῆς ξηρᾶς, ἀπέθανε, καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπὶ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ ἑρπετῶν, καὶ τῶν πετεινῶν τοῦ Οὐρανοῦ· καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς, καὶ κατελείφθη μόνος Νῶε, καὶ οἱ μετ' αὐτοῦ ἐν τῇ Κιβωτῷ. Καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα, καὶ ἀνεμνήσθη ὁ Θεὸς τοῦ Νῶε, καὶ πάντων τῶν θηρίων, καὶ πάντων τῶν κτηνῶν, καὶ πάντων τῶν πετεινῶν, καὶ πάντων τῶν ἑρπετῶν, ὅσα ἦν μετ' αὐτοῦ ἐν τῇ Κιβωτῷ· καὶ ἐπήγαγεν ὁ Θεὸς Πνεῦμα ἐπὶ τὴν γῆν καὶ ἐκόπασε τὸ ὕδωρ, καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ Οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ Οὐρανοῦ, καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς, καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας.

Προκείμενον. Ψαλμὸς νς'. ἦχ. βαρύς.

Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με.

Στίχ. Καὶ ἐν τῇ σκιᾷ τῶν πτερύγων σου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὸς σοφὸς εὐφραίνει Πατέρα· υἱὸς δὲ ἄφρων λύπη τῇ μητρί· οὐκ ὠφελήσουσι θησαυροὶ ἀνόμους· δικαιοσύνη δὲ ῥύσεται ἐκ θανάτου· οὐ λιμοκτονήσει Κύριος ψυχὴν δικαίαν· ζωὴν δὲ ἀσεβῶν ἀνατρέψει· πενία ἄνδρα ταπεινοῖ· χεῖρες δὲ ἀνδρείων πλουτίζουσι· διεσώθη ἀπὸ καύματος υἱὸς νοήμων, ἀνεμόφθορος δὲ γίνεται ἐν ἀμήτῳ υἱὸς παράνομος· εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου, στόμα δὲ ἀσεβῶν, καλύψει πένθος ἄωρον· μνήμη δικαίου μετ' ἐγκωμίων, ὄνομα δὲ ἀσεβοῦς, σβέννυται· σοφὸς

ἐν

καρδίᾳ δέξεται ἐντολάς, ὁ δὲ ἄστεγος χείλεσι σκολιάζων ὑποσκελισθήσεται· ὃς πορεύεται ἁπλῶς, πορεύεται πεποιθώς, ὁ δὲ διαστρέφων τὰς ὁδοὺς αὐτοῦ, γνωσθήσεται· ὁ ἐννεύων ὀφθαλμοῖς μετὰ δόλου, συνάγει ἀνδράσι λύπας, ὁ δὲ ἐλέγχων μετὰ παρρησίας, εἰρηνοποιεῖ· πηγὴ ζωῆς ἐν χειρὶ δικαίου, στόμα δὲ ἀσεβοῦς καλύψει ἀπώλεια· μῖσος ἐγείρει νεῖκος, πάντας δὲ τοὺς μὴ φιλονεικοῦντας καλύπτει φιλία, ὃς ἐκ χειλέων προφέρει σοφίαν, ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον· σοφοὶ κρύψουσιν αἴσθησιν, στόμα δὲ προπετοῦς ἐγγίζει συντριβῇ· κτῆσις πλουσίων πόλις ὀχυρά, συντριβὴ δὲ ἀσεβῶν πενία· ἔργα δικαίων ζωὴν ποιεῖ, καρποὶ δὲ ἀσεβῶν ἁμαρτίας· ὁδοὺς δικαίας ζωῆς φυλάσσει παιδεία, παιδεία δὲ ἀνεξέλεγκτος πλανᾶται· καλύπτουσιν ἔχθραν χείλη δίκαια, οἱ δὲ ἐκφέροντες λοιδορίας, ἀφρονέστατοί εἰσιν· ἐκ πολυλογίας οὐκ ἐκφεύξῃ ἁμαρτίαν, φειδόμενος δὲ χειλέων νοήμων ἔσῃ· ἄργυρος πεπυρωμένος γλῶσσα δικαίου, καρδία δὲ ἀσεβοῦς ἐκλείψει· χείλη δικαίων ἐπίσταται ὑψηλά, οἱ δὲ ἄφρονες ἐν ἐνδείᾳ τελευτῶσιν· εὐλογία Κυρίου ἐπὶ κεφαλὴν δικαίου, αὕτη πλουτίζει, καὶ οὐ μὴ προστεθῇ αὐτῇ λύπη ἐν καρδίᾳ.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας δίς· ἦχ. πλ. β΄.

Η' ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ κρεμασθεῖσα ζωὴ τῶν ἁπάντων, Χριστὲ ὁ Θεός, ζωοποίησόν με τὴν ψυχὴν τεθανατωμένην τοῖς παραπτώμασι· καὶ μὴ παντελῶς ἀπολέσθαι τὸ σὸν συγχωρήσῃς πρόβατον ὁ ποιμὴν ὁ καλός· ἀπεσκίρτησα γὰρ τῶν σῶν ἐντολῶν, καὶ τὸν τῆς ἀναμαρτησίας πλοῦτον, ὃν ἐδωρήσω μοι, διεσκόρπισα φιλαμαρτήμονι προαιρέσει, διεφθάρην τε, καὶ ἐβδελύχθην ἐν τοῖς ἀσωτείας ἐπιτηδεύμασιν· ἀλλ' ἀνακαίνισόν με πρὸς μετάνοιαν ἑλκύσας, ὁ μόνος πολυέλεος.

Μαρτ.

Οἱ Μάρτυρές σου Κύριε οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου, ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, σταυροθεοτοκίον ἦχ. ὁ αὐτός, Τριήμερος.

Ο'ρῶσά σε σταυρούμενον, Χριστέ, ἡ σὲ κυήσασα, ἀνεβόα, τί τὸ ξένον, ὃ ὁρῶ, μυστήριον, Υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις σαρκὶ κρεμάμενος, ζωῆς χορηγέ;

Τῇ Παρασκευῇ τῆς τρίτης Ἑβδομάδος, εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τοῦ ἤχου. Μετὰ τὴν πρώτην στιχολ. λέγομεν καθίσματα σταυρώσιμα τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β΄. στιχολ. λέγομεν τὸ παρὸν κάθισμα τοῦ κυρίου Ἰωσήφ· ἦχος πλ. α΄.

Τὸν συνάναρχον.

ΤΩ͂ τῆς βρώσεως ξύλῳ πάλαι θανέντας βροτούς, τῷ Σταυρῷ σου, οἰκτίρμον, ἀνεζωώσαμεν· οὗ τῇ δυνάμει, ἀγαθέ, ἡμᾶς ἐνίσχυσον, τῆς ἐγκρατείας τὸν καιρὸν ἐν κατανύξει διελθεῖν, ποιοῦντας τὸ θέλημά σου, καὶ κατιδεῖν τὴν ἡμέραν τῆς λαμπροφόρου Ἀναστάσεως.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν, σταυροθεοτοκ.

Ε'Ν Σταυρῷ σε ὁρῶσα, Χριστέ, ἡ Μήτηρ σου ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, καὶ κοπτομένη μητρικῶς τὰ σπλάγχνα ἔλεγεν· ἀναμάρτητε Υἱέ, πῶς ἀδίκως ἐν Σταυρῷ ὥσπερ κακοῦργος ἐπάγης, τὸ τῶν ἀνθρώπων ὁ θέλων ζωῶσαι γένος ὡς εὔσπλαγχνος;

Μετὰ τὴν τρίτην στιχολ. λέγομεν τὸ παρὸν κάθισμ. τοῦ κυρίου Θεοδώρου· ἦχος α΄.

Τοῦ λίθου σφραγισθέντος.

ΤΗ'ν σάρκα καθαρθέντας ὑπὸ τῆς ἐγκρατείας, καὶ ἐν προσευχαῖς ἐλλαμφθέντας, τὰς ψυχὰς ἡμῶν, Κύριε, τὸν τίμιον Σταυρόν σου, καὶ σεπτὸν ἀξίωσον θεάσασθαι ἡμᾶς, καὶ ἐν φόβῳ προσκυνῆσαι, ἐν ὑμνῳδίαις ᾄδοντας καὶ λέγοντας· δόξα τῷ ζωηφόρῳ σου Σταυρῷ, δόξα τῇ θείᾳ Λόγχῃ σου, ὅθεν ἀνεζωώθημεν, μόνε φιλάνθρωπε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, σταυροθεοτοκ.

ΤΟ'ν ἄρνα ἐπὶ ξύλου ἡ ἀμνὰς θεωροῦσα μετὰ λῃστῶν μακρόθυμε σταυρούμενόν σε Λόγε, καὶ λόγχῃ ἐκκεντούμενον πλευράν, ἠλάλαζε βοῶσα μητρικῶς· τί τὸ ξένον, καὶ φρικῶδες, Ἰησοῦ μου, μυστήριον; πῶς καλύπτῃ τάφῳ ὁ ἀπερίγραπτος Θεός; ἀφεγγὲς τὸ τελούμενον, μή με τὴν τεκοῦσαν μόνην ἐάσῃς, Υἱέ μου γλυκύτατε.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου· καὶ τὰ παρόντα Τριῴδια τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή· ᾠδὴ ϛ΄. ἦχος πλ. α΄.

Ὁ ἀναβαλλόμενος.

Ι'Ασαι με Κύριε, καὶ ἰαθήσομαι, τῷ μώλωπί σου τοὺς τῆς ψυχῆς μου ἐκκαθαίρας μώλωπας, ὁ σαρκὶ τὰ πάθη, Χριστέ, καταδεξάμενος.

ΣΕ' ὡς ἐθεάσατο σαρκὶ κρεμάμενον, Χριστέ, ἐν ξύλῳ, τὸ φῶς εἰς σκότος μετέβαλεν Ἥλιος, καὶ γῆ ἐσαλεύθη, καὶ πέτραι διερράγησαν.

Α'Κανθοφορήσασαν, καὶ χερσωθεῖσάν μου ψυχὴν παντοίων παθῶν ἰδέας, Κύριε, καθάρισον, ὁ στεφθεὶς ἀκάνθαις δι' ἄκραν ἀγαθότητα.

Θεο-

Digitized by Google

Θεοτοκίον.

ΝΕ᾽ον ἀπεκύησας ὡς βρέφος, πάναγνε, τὸν πλαστουργόν μου, ὃν δυσωποῦσα, πεπαλαιωμένον με ἐν πολλῇ κακίᾳ ἀνακαινίσαι δέομαι.

Εἱρμὸς ἄλλος τοῦ κυροῦ Θεοδώρου, ἦχος α΄.

Ἐκ νυκτὸς ὀρθρίζοντες.

ΕΝ τῷ τόπῳ τοῦ κρανίου Ἰουδαῖοι σὲ σταυρώσαντες, Χριστὲ, ἐκίνουν κεφαλὰς αὐτῶν γελῶντες, μυκτηρίζοντες· σὺ δὲ ηὔχου εἰς τὸ σῶσαι ἡμᾶς.

ΕΝ τῷ τίτλῳ τοῦ Σταυροῦ σου ἐπιγράψας ὁ Πιλᾶτος τριττῶς, τὸν ἕνα τῆς Τριάδος σε ἑκὼν παθόντα ἐδήλου ὑπὲρ τῆς πάντων σωτηρίας, Χριστέ.

Δόξα.

ΤΗς ὑπερφώτου Τριάδος τὸ τρισήλιον ὑμνήσωμεν, πιστοί, φῶς· τὸν Πατέρα σέβοντες, φῶς τὸν Υἱὸν δοξάζοντες, φῶς καὶ τὸ Πνεῦμα καταγγέλλοντες.

Καὶ νῦν.

ΤΩν Ἀγγέλων ἀνωτέραν ὁ ἐκ σοῦ τεχθεὶς σὲ ἔδειξε, σεμνή· ὃν γὰρ ἐκεῖνοι τρέμουσιν, ὡς Θεὸν, ἀτενίσαι, σὺ ἀγκαλίζῃ ὡς Υἱόν σου, ἁγνή.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ο᾽ Σταυρὸς ὁ πάνσεπτος, ὁ σωτήριος τοῦ Κόσμου φυλακτήρ, φρούρησόν με νηστεύοντα, καὶ ἄξιον ἀνάδειξον τῆς σῆς ἀχράντου προσκυνήσεως.

Ὁ Εἱρμός.

ΕΚ νυκτὸς ὀρθρίζοντες ἀνυμνοῦμέν σε, Χριστὲ ὁ Θεὸς, τὸν δι᾽ ἡμᾶς πτωχεύσαντα, καὶ Σταυρὸν καὶ θάνατον ἐν τῇ σαρκί σου ὑπομείναντα.

Ὠδὴ η΄. Σοὶ τῷ παντουργῷ.

ΗΠλωσας Σταυρῷ τὰς σὰς, Χριστὲ, παλάμας, χειρὸς τοῦ προπάτορος τὸ ἀκρατὲς ἀναιρῶν, ξύλῳ δὲ ξύλου ἰάσω τὴν κατάραν, ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΣΟὶ τῷ θελητῇ τῆς σωτηρίας, Λόγε, προσπίπτω, θελήματα τὰ πονηρότατα παῦσον ἐν τάχει ἐκ τῆς ἐμῆς καρδίας, ὁ Σταυρὸν, καὶ πάθη θελήσει ὑπομείνας.

ΑΣωτον ζωὴν, ῥερυπωμένον βίον ποθήσας, ἠμαύρωμαι ἐγὼ ὁ ἄσωτος· λάμψον ἀκτῖνα ἐπιστροφῆς μοι, Λόγε, ὁ Ἥλιος φέγγος τῷ πάλαι ἀμαυρώσας.

Θεοτοκίον.

ΠΑῦσον τῆς ἐμῆς πολυωδύνου πᾶσαν καρδίας τὴν κάκωσιν, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, θραῦσον δαιμόνων τὰ βέλη, καὶ τὰ τόξα τῶν ἐκπολεμούντων τὴν ταπεινὴν ψυχήν μου.

Εἱρμὸς ἄλλος. Τὸν τοὺς ὑμνολόγους.

ΤΙ᾽ σοι παθόντι προσενέγκωμεν τῷ τῶν ἁπάντων Δεσπότῃ ἡμεῖς οἱ τάλανες; δι᾽ ἡμᾶς γὰρ Σταυρὸν κατεδέξω Χριστὲ, ὑμνοῦμεν τοῦ ὑπερμεγέθους ἐλέους σου τὴν χάριν.

ΕΠὶ ξύλου ἐπαρθέντα, Χριστὲ, Ἰουδαῖοί σε κτείναντες φθόνῳ, οὐκ ἐλυμήναντο τὸ τῆς δόξης σου κράτος παράνομοι, ὑπάρχεις γὰρ πάντων Δεσπότης, παθὼν ἐθελουσίως.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΤΗς ὑπερουσίου Θεότητος τρία πρόσωπα σέβω, Πατέρα τὸν προάναρχον, τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ ἅγιον, τῇ φύσει ἄτμητον οὐσίαν δοξάζω εἰς αἰῶνας.

Καὶ νῦν.

ΤΗν τῶν Οὐρανῶν ὑψηλοτέραν, καὶ Χερουβὶμ ὑπερτέραν, τὴν ἁγιωτέραν, καὶ ἀμίαντον Κόρην τοῦ πάντων Θεοῦ ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΡισμακάριστε Σταυρὲ τοῦ Χριστοῦ, τὸ οὐρανόγραφον νῖκος, ὁ ἐκ τῆς γῆς ἡμῖν ἐκβλαστήσας, τῆς σῆς προσκυνήσεως ἀξίους δεῖξον ἡμᾶς πάντας, νηστείᾳ καθαρθέντας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟν τοὺς ὑμνολόγους ἐν καμίνῳ διαφυλάξαντα παῖδας, καὶ τὴν βροντῶσαν κάμινον
„ μεταβαλόντα εἰς δρόσον, Χριστὸν τὸν Θεὸν ὑμνοῦ-
„ μεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἡσαΐα χόρευε.

ΤΗν λιθώδη πώρωσιν τῆς ψυχῆς μου, εὔσπλαγχνε Σωτὴρ, ἀπέπλυνον, καὶ πηγὴν δός μοι, ἀγαθὲ, θείας κατανύξεως, ὁ ἐκ πλευρᾶς βλύσας μοι ζωὴν, καὶ τὸ ἀνθρώπινον ἀνελκύσας πρὸς σὲ Κύριε.

ΕΜαυτὸν ἀπέρριψα εἰς τὰ βάθη τῶν ἁμαρτιῶν, τὰ ὕψη καταλιπὼν τὰ τῶν ἀρετῶν· ἀλλ᾽ ἕλκυσον, καὶ σῶσόν με, ὁ ἀνελθὼν ἐπὶ τοῦ Σταυροῦ, καὶ τὸ ἀνθρώπινον ἀνελκύσας πρὸς σὲ Κύριε.

ΓΛυκασμὸς ὢν Κύριε, καὶ ἡδύτης ὡς δημιουργὸς, χολῆς ἐγεύσω, Χριστὲ, τὴν ἐξ ἡδονῆς ὑπάρξασαν ἔκπτωσιν τοῖς ἐξ Ἀδὰμ, σὺ ἐπανορθῶν· ὅθεν ὑμνοῦμέν σε οἱ σωθέντες σου τοῖς πάθεσι.

Θεοτοκίον.

ΠΑναγία Δέσποινα, ἡ ἐλπίς μου, καὶ καταφυγὴ, τὰ τραύματα τῆς ἐμῆς ἴασαι ψυχῆς, τὸν νοῦν μου εἰρήνευσον, ἵνα κἀγὼ χαίρων ἀνυμνῶ τὰ μεγαλεῖά σου, Θεοτόκε Ἀειπάρθενε.

Εἱρμὸς ἄλλος. Σὲ τὴν ὑπὲρ νοῦν Μωϋσῆς.

ΣΕ, ὃν οἱ ἄνομοι, Χριστὲ, περιέβαλον παικτικῶς πορφύραν, καὶ στέφανον, ὡς Βασιλέα παίοντες καλάμῳ τὴν κάραν σου, σταυροῦντες, φθόνῳ χολὴν ποτίζοντες, ὕμνοις πάντες πιστοὶ μεγαλύνομεν.

ΣΕ, ὅνπερ Ἥλιος ἰδὼν, πεπονθότα ἐν Σταυρῷ, τὸ φῶς ἐναπέκρυψε, πάσης ὁμοῦ τῆς Κτίσεως Δεσπότου ταῖς ὕβρεσι συγκλονουμένης, καὶ σχιζομένων τῶν πετρῶν, ὕμνοις, Χριστὲ Σωτὴρ μεγαλύνομεν.

Δό-

Digitized by Google

Δόξα.

ΦΩς καὶ ζωὴ, καὶ παντουργὸς ἡ τρισήλιος μονὰς, Θεός τε, καὶ Κύριος, φωτὶ ἑνὶ λαμπόμενος, τρισὶ συναστράπτων τοῖς χαρακτῆρσιν ἐν μιᾷ Θεότητι, αὐτὴν πάντες πιστοὶ μεγαλύνομεν.

Καὶ νῦν.

ΣΕ, ἣν Δαβὶδ ὁ μελῳδὸς προεκήρυξε Σιὼν, ἐν ᾗπερ κατῴκησεν ὁ Οὐρανοῖς ἀχώρητος, καὶ ἀνεδομήσατο ἐκ τῆς σαρκός σου Κόσμου ἱλαστήριον, ὕμνοις, Μῆτερ ἁγνὴ, μεγαλύνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΣΟῦ τὸν σωτήριον Σταυρὸν, τὸν φωστῆρα τῶν πιστῶν ἀξίωσον, Κύριε, διὰ ἐγκρατείας τρέχοντας προφθάσαι θεάσασθαι, καὶ προσκυνῆσαι εἰς ἁγιασμὸν ἡμῶν, ἵνα σε διὰ αὐτοῦ μεγαλύνωμεν.

Ὁ Εἱρμός.

ΣΕ, ἣνπερ εἶδε Μωϋσῆς ἀκατάφλεκτον βάτον, καὶ κλίμακα ἔμψυχον, ἣν Ἰακὼβ τε θεᾶται, καὶ πύλην οὐράνιον, διὰ ἧς διῆλθε Χριστὸς ὁ Θεὸς ἡμῶν, ὕμνοις, Μῆτερ ἁγνὴ, μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμελον τῆς ἡμέρας Δίς. ἦχ. πλ. β'

ΤΗς πατρικῆς δωρεᾶς διασκορπίσας τὸν πλοῦτον, ἀσωτείᾳ τὸν βίον κατηνάλωσα, τοῖς πονηροῖς λογισμοῖς τῆς ἁμαρτίας μου συναπαχθεὶς, καὶ γλυκασμῷ ἐμπαθείας ἐνηδόμενος, τοῖς ἀνοήτοις κτήνεσιν ὡμοιώθην τῇ τῶν σωτηρίων ἐντολῶν παραβάσει· ἀλλ' ὁ ἐπὶ Σταυροῦ κρεμασθῆναι διὰ ἐμὲ εὐδοκήσας, Χριστὲ ὁ Θεὸς, μὴ ἀποκηρύξῃς με τῆς σῆς υἱοθεσίας, ἀλλ' ἐπιστρέφοντα δέξαι, ὡς τὸν ἄσωτον υἱὸν, καὶ σῶσόν με.

Μαρτ.

ΚΥριε, ἐν τῇ μνήμῃ τῶν Μαρτύρων σου πᾶσα ἡ Κτίσις ἑορτάζει, Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις· αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, σταυροθεοτόκ. ἦχος, ὁ αὐτός.

Τριῴδιον.

ΗἉ Πανάγνος ὡς εἶδε σε ἐπὶ σταυροῦ κρεμάμενον, θρηνῳδοῦσα ἀνεβόα μητρικῶς, Υἱέ μου καὶ Θεέ μου, γλυκύτατόν μου τέκνον, πῶς φέρεις πάθος ἐπονείδιστον;

Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. δ'.

ΛΟγῳ τὰ πάντα σῇ κατηρτίσω δυνάμει ὁ Θεὸς, καὶ εἰς τὸ εἶναι ἐκ τοῦ μὴ ὄντος παρήγαγες ἡμᾶς, μὴ παραδώῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἀναμάρτητε Κύριε, δεόμεθα.

Προκείμενον. Ψαλμὸς, νζ, ἦχ. πλ. δ'.

Εὐφρανθήσεται δίκαιος, ὅταν ἴδῃ.

Στίχ. Εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

ΤΑδε λέγει Κύριος. Ἐπ' ὄρους πεδινοῦ ἄρατε σημεῖον· ὑψώσατε τὴν φωνὴν αὐτοῖς, παρακαλεῖτε τῇ χειρὶ, ἀνοίξατε οἱ ἄρχοντες· ἐγὼ συντάσσω, καὶ ἐγὼ ἄγω αὐτοὺς, γίγαντες ἔρχονται πληρῶσαι τὸν θυμόν μου χαίροντες, ἅμα καὶ ὑβρίζοντες· φωνὴ ἐθνῶν πολλῶν ἐπὶ τῶν ὀρέων, ὁμοία ἐθνῶν πολλῶν, φωνὴ Βασιλέων, καὶ ἐθνῶν συνηγμένων. Κύριος Σαβαὼθ ἐντέταλται ἔθνει ὁπλομάχῳ, ἔρχεσθαι ἐκ γῆς πόῤῥωθεν ἀπ' ἄκρου θεμελίου τοῦ Οὐρανοῦ, Κύριος καὶ οἱ ὁπλομάχοι αὐτοῦ, καταφθεῖραι πᾶσαν τὴν Οἰκουμένην· ὀλολύζετε, ἐγγὺς γὰρ ἡμέρα Κυρίου, καὶ συντριβὴ παρὰ τοῦ Θεοῦ ἥξει· διὰ τοῦτο πᾶσα χεὶρ ἐκλυθήσεται, καὶ πᾶσα ψυχὴ ἀνθρώπου δειλιάσει· ταραχθήσονται οἱ πρέσβεις, καὶ ὠδῖνες αὐτοὺς ἕξουσιν, ὡς γυναικὸς τικτούσης, καὶ συμφοράσουσιν ἕτερος πρὸς τὸν ἕτερον, καὶ ἐκστήσονται, καὶ τὸ πρόσωπον αὐτῶν ὡς φλὸξ μεταβαλοῦσιν· ἰδοὺ γὰρ ἡμέρα Κυρίου ἔρχεται ἀνίατος θυμοῦ καὶ ὀργῆς, θεῖναι τὴν Οἰκουμένην ἔρημον, καὶ τοὺς ἁμαρτωλοὺς ἀπολέσαι ἐξ αὐτῆς· οἱ γὰρ ἀστέρες τοῦ Οὐρανοῦ, καὶ ὁ Ὠρίων, καὶ πᾶς ὁ κόσμος τοῦ Οὐρανοῦ, τὸ φῶς οὐ δώσουσι, καὶ σκοτισθήσεται τοῦ Ἡλίου ἀνατέλλοντος, καὶ ἡ Σελήνη οὐ δώσει τὸ φῶς αὐτῆς· καὶ ἐντελοῦμαι τῇ Οἰκουμένῃ ὅλῃ κακὰ, καὶ τοῖς ἀσεβέσι τὰς ἁμαρτίας αὐτῶν· καὶ ἀπολῶ ὕβριν ἀνόμων, καὶ ὕβριν ὑπερηφάνων ταπεινώσω· καὶ ἔσονται οἱ καταλελειμμένοι ἔντιμοι μᾶλλον ἢ τὸ χρυσίον τὸ ἄπυρον, καὶ ἄνθρωπος μᾶλλον ἔντιμος ἔσται, ἢ ὁ λίθος ὁ ἐν Σουφίρ· ὁ γὰρ Οὐρανὸς θυμωθήσεται, καὶ ἡ γῆ σεισθήσεται ἐκ τῶν θεμελίων αὐτῆς, διὰ θυμὸν ὀργῆς Κυρίου Σαβαὼθ, ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν ἐπέλθῃ ὁ θυμὸς αὐτοῦ.

Προκείμενον Ψαλμὸς νη. ἦχος βαρύς.

Ὁ Θεός μου, ἀντιλήπτωρ μου εἶ, ὁ Θεός μου τὸ ἔλεός μου.

Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός.

Τῇ Παρασκευῇ Ἑσπέρας, ἡ συνήθως στιχολ. εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ λέγομεν τὸ ἰδιόμελ. τῆς ἡμέρας Δίς. ἦχος βαρύς.

ΑΣωτίᾳ δίκην ἀπέστην τῆς χάριτός σου Κύριε, καὶ τὸν πλοῦτον δαπανήσας τῆς χρηστότητος, ἐπὶ σὲ ἔδραμον, Εὔσπλαγχνε κραυγάζων σοι, ὁ Θεὸς ἡμαρτον, ἐλέησόν με.

Εἶτα

Εἶτα τὰ δ΄. μαρτυρικὰ τοῦ ἤχου, καὶ τοῦ Μηναίου δ΄. Δόξα, νεκρώσιμον. Καὶ νῦν, θεοτ. τὸ α΄. τοῦ Ἤχου τοῦ ὕφους. Εἴσοδος. Φῶς ἱλαρὸν, Ἑσπέρας Προκείμ. Ψαλμ. νθ΄. ἦχος δ΄.

Δὸς ἡμῖν βοήθειαν ἐκ θλί.

Στίχ. Ὁ Θεὸς ἀπώσω ἡμᾶς, καὶ καθεῖλες ἡμᾶς.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐκάθισεν ἡ Κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνὸς, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ· τὸ δὲ ὕδωρ ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός· καὶ ἐν τῷ δεκάτῳ μηνὶ τῇ πρώτῃ τοῦ μηνός, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων, καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν θυρίδα τῆς Κιβωτοῦ, ἣν ἐποίησε· καὶ ἀπέστειλε τὸν κόρακα· καὶ ἐξελθὼν, οὐκ ἀνέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπέστειλε τὴν περιστερὰν ὀπίσω αὐτοῦ ἰδεῖν εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ἀνέστρεψε πρὸς αὐτὸν εἰς τὴν Κιβωτὸν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς· καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτὴν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν Κιβωτόν· καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς Κιβωτοῦ, καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν· καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς, καὶ ἔγνω Νῶε, ὅτι κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς, καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι, καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει, ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνὸς μιᾷ τοῦ μηνὸς ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς Κιβωτοῦ, ἣν ἐποίησε· καὶ εἶδεν, ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς· ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ γῆ· ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός· καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε, λέγων· ἔξελθε ἐκ τῆς Κιβωτοῦ σὺ, καὶ ἡ γυνή σου, καὶ οἱ υἱοί σου, καὶ αἱ γυναῖκες τῶν υἱῶν σου, μετὰ σοῦ, καὶ πάντα τὰ θηρία ὅσα ἐστὶ μετὰ σοῦ· καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς, ἐξάγαγε μετὰ σεαυτοῦ· καὶ αὐξάνεσθε, καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς· καὶ ἐξῆλθε Νῶε, καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ' αὐτοῦ, καὶ πάντα τὰ θηρία, καὶ πάντα τὰ κτήνη· καὶ πᾶν πετεινὸν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, ἐξήλθοσαν ἐκ τῆς Κιβωτοῦ, καὶ ᾠκοδόμησε Νῶε θυσιαστήριον τῷ Κυρίῳ· καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν, καὶ ἀπὸ πάντων πετεινῶν τῶν καθαρῶν καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον, καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας.

Προκείμενον. Ψαλμὸς ξ΄ ἦχ. πλ. β΄.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς τῆς δεήσεώς μου.

Στίχ. Πρόσχες τῇ προσευχῇ μου ἀπό.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται, χείλη ἀνδρῶν δικαίων ἀποστάζει χάριτας· στόμα δὲ ἀσεβῶν, ἀποστρέφεται· ζυγοὶ δόλιοι βδέλυγμα ἐνώπιον Κυρίου στάθμιον δὲ δίκαιον δεκτὸν αὐτῷ· οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν, μελετᾷ σοφίαν· ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον, πρόχειρος δὲ γίνεται, καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια· δικαιοσύνη ἀμώμους, ὀρθοτομεῖ ὁδούς· ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ· δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύεται αὐτούς· τῇ δὲ ἀπωλείᾳ αὐτῶν ἁλίσκονται παράνομοι· τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς, τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται· δίκαιος, ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής· ἐν στόματι ἀσεβῶν παγὶς πολίταις· αἴσθησις δὲ δικαίων εὔοδος· ἐν ἀγαθοῖς δικαίων κατώρθωσε πόλις· στόμασι δὲ ἀσεβῶν κατεσκάφη· μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν· ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Τῷ Σαββάτῳ τῆς Τρίτης Ἑβδομάδος εἰς τὸν Ὄρθρον τροπάριον, εἰς τὸ Ἀλληλούϊα. Ἀπόστολοι Μάρτυρες καὶ Προφῆται. Δόξα, Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν ψυχῶν. Καὶ νῦν. Μήτηρ ἁγία, ἡ τοῦ ἀφράστου φωτὸς ἀγγελικοῖς. Μετὰ τὴν α΄. στιχολογίαν λέγομεν καθίσματα μαρτυρικὰ τῆς Ὀκτωήχου τοῦ τυχόντος ἤχου γ΄. καὶ θεοτ. Μετὰ δὲ τὴν β΄. στιχολογίαν τοῦ Ἀμώμου λέγομεν τὸ παρὸν κάθισ. νεκρώσιμον· ἦχ. πλ. α΄. Ἀνάπαυσον Σωτὴρ ἡμῶν μετὰ Δικαίων· Ὁ ἐκ Παρθένου ἀνατείλας.

Τὰ ἄνωθεν. τροπάρια εἰσὶν ὁλόγραφα τῷ παρελθόντι Σαββάτῳ.

Καὶ Ἀνάγνωσις εἰς τὴν Ἑξαήμερον.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τοῦ Ἁγίου τῆς Μονῆς, καὶ τὰ Τετραῴδια εἰς τὴν τάξιν αὐτῶν.

Ἐνταῦθα οὐ στιχολογοῦμεν τῷ Κυρίῳ ᾄσωμεν, ἀλλ' εὐθὺς λέγομεν τὸν Εἱρμὸν τοῦ Μηναίου· τὸ Τετραῴδιον, οὗ ἡ ἀκροστιχίς. Ἄδει ταῦτα ὁ Ἰωσήφ

Ποίημα τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογοῦνται αἱ Ὠδαί.

Ὠδὴ ϛ΄. ἦχ. δ΄. Ἦλθον εἰς τὰ βάθη τῆς.

Αἱμάτων ἠρδεύσατε σταγόσι τῶν δυσσεβῶν καρδίας, δυσσεβούντων δὲ τὰς παρατάξεις περιφανῶς ἐν αὐταῖς ἐπνίξατε, Ἀθλοφόροι ἀξιάγαστοι.

Δοξάσαντες μέλεσιν οἰκείοις τὸν τοῦ παντὸς Δεσπότην, νῦν δοξάζεσθε ἀδιαλείπτως, δόξα πιστῶν Ἀθληταὶ ὑπάρχοντες, καὶ μεγάλοι ἀντιλήπτορες.

Ἐν λάκκῳ ἐτέθης κατωτάτῳ, τοῖς σὺν πιστῶς θανοῦσι τὴν ἀνάπαυσιν, Λόγε, παράσχου τῶν ἱερῶν Ἀθλητῶν δεήσεσι, καὶ πταισμάτων ἀπολύτρωσιν.

Θεοτοκίον.

Ἵνα σε φωναῖς διαπρυσίοις ἀνευφημοῦμεν, Κόρη, τὰς φωνὰς ἡμῶν ταύτας προσδέχου, καὶ ἱλασμὸν ὀφλημάτων λήψεσθαι, τὸν Υἱόν σου καθικέτευε.

Εἱρμὸς ἄλλος τοῦ κυρίου Θεοδώρου, ἦχ. πλ. δ΄.

Συνεχόμενον δέξαι με.

Νῦν Μαρτύρων πανήγυρις, συνδράμωμεν, καὶ τὰ ἆθλα αὐτῶν τὰ πανσέβαστα μακαριοῦντες, Χριστὸν τὸν τούτους στέψαντα ὑμνήσωμεν.

Ἐν τῇ θείᾳ πυρούμενοι ἀγάπῃ Χριστοῦ, ἐπ᾽ ἀνθράκων πυρὸς διαβαίνετε, ὡς ἐπὶ δρόσου, αὐτὸν ὑμνοῦντες Μάρτυρες μακάριοι.

Δόξα.

Σὲ Τριὰς ὑπεράρχιε, καὶ θεία μονάς, φῶς καὶ φῶτα μέλπω, ζωὴν καὶ ζωάς, Νοῦν Λόγον, Πνεῦμα ἅγιόν τε, καὶ ἅγια, τὸν ἕνα Θεόν.

Καὶ νῦν.

Ἐκ τῆς ῥίζης ἀνέτειλε σοῦ ἄνθος ζωῆς, Ἰεσσαὶ προπάτορ ἀνασκίρτησον, ὁ σώζων Κόσμον ἐκ τῆς ἁγνῆς νεάνιδος, Χριστὸς ὁ Θεός.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Πῦρ, καὶ ξίφος, καὶ θάνατον οὐ πτήξαντες, τὴν ὁμολογίαν διεσώσατε τῆς σωτηρίας, ὑπὸ Χριστοῦ νευρούμενοι μακάριοι.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν.

Ἐν νεκροῖς ὁ ἐλεύθερος, ὡς ὢν ἀρχηγὸς ζωῆς καὶ θανάτου, σὺ ἀνάπαυσον, οὓς προσελάβου, καὶ ἐν αὐλαῖς σου σκήνωσον φιλάνθρωπε.

Ὁ Εἱρμός.

Συνεχόμενον δέξαι με φιλάνθρωπε ἐκ πταισμάτων πολλῶν, καὶ προσπίπτοντα τοῖς οἰκτιρμοῖς σου, ὡς τὸν Προφήτην Κύριε, καὶ σῶσόν με.

Ὠδὴ ζ΄. Νέοι τρεῖς ἐν Βαβυλῶνι.

Τίνι στέργουσα τὰ πάθη τὰ ἄλογα ἀληθῶς ψυχὴ ἐξωμοίωσαι; τίνι ὑπερβάλλοντα ἔχεις ἐν ἁμαρτίαις; βόησον τῷ Χριστῷ, σῶσόν με ἀγαθέ.

Ἅγιοι τὸν ἐν Ἁγίοις, αἰτήσατε ἐκτενῶς ἐπαναπαυόμενον, ταῖς ἁγίαις ταύταις ἡμέραις καθαγιάσαι πάντων τῶν εὐσεβῶν τὰ φρονήματα.

Ὕψιστε, ὁ ἐν ἐλέει πλούσιος καὶ ἀγαθός, τοῖς δούλοις σου ἄφεσιν τοῖς προκοιμηθεῖσι παράσχου, χοροῖς Ἁγίων τούτους συναριθμῶν, ὡς φιλάνθρωπος.

Θεοτοκίον.

Ἔτεκες νομίμων δίχα φύσεως τὸν πλαστουργὸν γινόμενον ἄνθρωπον, Ἄχραντε· αὐτὸν σὺν δυσώπει, πάντων τὰς ἀνομίας νῦν παριδεῖν, καὶ τὰ πταίσματα.

Εἱρμὸς ἄλλος. Ὁ δι᾽ Ἀγγέλου παῖδας.

Ὁ τῶν σεπτῶν Μαρτύρων δείξας τὰ μνημόσυνα, χαρὰν τῇ Ἐκκλησίᾳ σου, καὶ ψυχῆς θυμηδίαν, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Οὐ ψευδόμεθά σε Χριστέ, οὐδὲ ἀρνούμεθα· οἱ Μάρτυρες ἐκραύγαζον ἐν μέσῳ τῶν βασάνων, τοὺς παρανόμους δικαστὰς καταπλήττοντες, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Δόξα.

Ἐν τρισὶ προσώποις μίαν φύσιν σεβόμενοι Πατρός, Υἱοῦ, καὶ Πνεύματος, προφητικῶς βοῶντες, εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν.

Πῶς ὡς Μήτηρ τίκτεις, καὶ Παρθένος ἔμεινας; ὅτι Θεὸν ἐγέννησα, μὴ ζήτει μοι τὸν τρόπον, ὅσα γὰρ βούλεται ποιεῖ, ἡ Θεόπαις βοᾷ.

Τοῖς Ἁγίοις τοῖς.

Μαρτυρικὴ χορεία ἡ θεοφανώτατος, τοὺς δούλους σου ἀξίωσον προσκυνητὰς γενέσθαι τοῦ θείου, καὶ ζωοποιοῦ τοῦ Σωτῆρος Σταυροῦ.

Μακάριοι, οὓς ἐξελέξω.

Ὁ τῆς ζωῆς ταμίας Βασιλεῦ ἀθάνατε, οὓς ἐξελέξω δούλους σου ἐν πίστει, καὶ ἐλπίδι, τῆς αἰωνίου σου ζωῆς καταξίωσον.

Ὁ Εἱρμός.

Ὁ δι᾽ Ἀγγέλου παῖδας δροσίσας ἐν καμίνῳ, καὶ τὴν βροντῶσαν κάμινον μεταβαλὼν εἰς δρόσον, εὐλογητὸς εἰς εἶ τοὺς αἰῶνας Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ὠδὴ η΄. Λυτρωτὰ τοῦ παντός.

Ἀπτοήτῳ χωροῦντες φρονήματι πρὸς ἐπίπονα σκάμματα Μάρτυρες, πόνους σαρκὸς ὑπέστητε· καὶ πρὸς ἄπονον λῆξιν μετατεθέντες, πάντα πόνον καρδίας κουφίζετε.

Οἱ τὰ ἄνω φθαρτοῖς ἀλλαξάμενοι σαρκικοῖς με φθειρόμενον πάθεσι διὰ νηστείας σώσατε, καὶ εὐχῶν ἐμμελείας, Μάρτυρες θεῖοι, τὸν τῶν ὅλων Θεὸν ἱκετεύοντες.

Ἱκεσίαις Χριστὲ τῶν Μαρτύρων σου τὰ ἐλέη σου πᾶσι κατάπεμψον, καὶ τοῖς πρὸς σὲ τὸν ἀπαλλαγ-



Digitized by Google

σπλαγχνον μεταστᾶσι τοῦ βίου λύσιν παράσχου ὀφλημάτων, καὶ θείαν ἀνάπαυσιν.

Θεοτοκίον.

Ω'Σ τεκοῦσα Θεὸν ἀναμάρτητον τὰς ἡμῶν ἁμαρτίας ἐξάλειψον ταῖς μητρικαῖς πρεσβείαις σου, Θεοτόκε, καὶ σῶζε ἀναβοῶντας, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εἱρμὸς ἄλλος. Οἱ θεοῤῥήμονες Παῖδες.

ΤΑ'ς πυριφλέκτους βασάνους ἐνεγκόντες, ὡς δροσισμῷ Ἀθλοφόροι, μετὰ χαρᾶς ἀνεκράζετε, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Η' Θεοστράτευτος φάλαγξ τῶν Μαρτύρων ζωοποταμένη τὴν πλάνην νικητικῶς ἀνεκραύγαζεν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΣΙ Τὸν τοῦ Υἱοῦ τὸν Πατέρα προσκυνοῦμεν, καὶ τὸ πανάγιον Πνεῦμα πάντες πιστῶς ἐκβοήσωμεν, Τριὰς ἡ ἐν μονάδι σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν.

ΣΥ' καὶ Παρθένος, καὶ Μήτηρ ἀνεδείχθης, κυοφοροῦσα ἀνάνδρως Θεὸν τῶν ὅλων ἡ πάναγνος· ἀλλ' αὐτὸν ἐκδυσώπει, σωθῆναι τοὺς δούλους σου.

Θαυμαστός.

ΤΩ'Ν Ἀθλοφόρων πρεσβείαις τοὺς σοὺς δούλους καὶ προσκυνῆσαι, καὶ βλέψαι, Χριστὲ Σωτὴρ, καταξίωσον, τὸν ζωοποιόν Σταυρὸν τῆς σῆς ἀγαθότητος.

Αἱ ψυχαί.

Ο' Καταλύσας τὸ κράτος τοῦ θανάτου τῇ ἐκ νεκρῶν σου ἐγέρσει τοὺς μεταστάντας ἀνάπαυσον, μετὰ τῶν ἐκλεκτῶν σου αἰνεῖν σε τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν, ὁ Εἱρμός.

ΟΙ' θεοῤῥήμονες Παῖδες ἐν τῇ καμίνῳ σὺν τῷ πυρὶ καὶ τὴν φλόγα καταπατοῦντες ὑπέψαλλον, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ω'δὴ θ'. Εὔα μὲν τῷ τῆς παρακοῆς.

ΣΤηρίξαντες πέτρα νοητῇ τὸ φρόνημα, Ἀθλοφόροι, ἀκαθαίρετον, πάσαις ἐχθροῦ μηχανουργίαις ἐμείνατε, διό με ξενιζόμενον πρὸς πάθη ψυχοφθόρα στηρίξατε ταῖς πρὸς τὸ θεῖον παρακλήσεσιν.

Η' Θεία, καὶ ὄντως φωταυγὴς ὁμήγυρις τῶν Μαρτύρων καθικέτευε τὸν ὑπεράγαθον Δεσπότην, καιρῷ τῆς ἐγκρατείας συγχώρησιν πταισμάτων ἡμῖν πᾶσι δωρήσασθαι, καὶ αἰωνίαν ἀγαλλίασιν.

ΦΙλάνθρωπε μόνε ἀγαθὲ, τοὺς δούλους σου ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένους αἰωνίου φωτός σου ἀνεσπέρου ἀξίωσον μετέχειν, καὶ ζωφώτου ἀπολαύσεως, ἵνα σε φόβῳ μεγαλύνωμεν.

Θεοτοκίον.

ΦΩτὸς οἰκητήριον ἡ σὴ γεγένηται παναγία μήτρα πάναγνε, ὅθεν πιστῶς ἀναβοῶ σοι, τὰς κόρας τῆς ψυχῆς μου καταύγασον, καὶ τρίβον τὴν εὐθείαν ὑπόδειξον τῷ σὲ γνησίως μακαρίζοντι.

Ἄλλος. Μεγαλύνομέν σε τὴν Μητέρα.

ΤΩ'Ν Μαρτύρων μνήμην ἐκτελέσωμεν πιστοὶ, ἵνα τῆς ἐκείνων κοινωνήσωμεν δόξης, εὐφημοῦντες τὰ ἆθλα τῶν ἀγώνων αὐτῶν.

ΤΗ'Ν ὑμῶν ἀνδρείαν θῆρες ἔπτηξαν σφοδρῶς· ὑπεχώρησε πῦρ, συνετρίβησαν τόξα. ἐν ὑμῖν ἀθλοφόροι θαυμαστὸς ὁ Θεός.

Δόξα.

Υ'Περάρχιε φύσις, τρισυπόστατε μονὰς, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα ἅγιον, φῶς, καὶ ζωὴ Θεαρχία τοὺς σὲ δοξολογοῦντας διαφύλαττε.

Καὶ νῦν.

ΕΥ'λογοῦμέν σε τὸν Θεὸν τοῦ Ἰσραὴλ, τὸν ἐκ τῆς Παρθένου ἐπιφανέντα τῷ Κόσμῳ, καὶ ἐγείραντα κέρας σωτηρίας ὑμῶν.

Τοῖς Ἁγίοις τοῖς.

ΠΡεσβευταὶ τοῦ Κόσμου, Ἀθλοφόροι τοῦ Χριστοῦ, τὸν αὐτοῦ ἰδέσθαι Σταυρὸν, καὶ προσκυνῆσαι καταξιώσατε πάντας ἱκεσίαις ὑμῶν.

Μακάριοι, οὓς ἐξελέξω.

Ο'Πὸ ἀναβλύζει πηγὴ ζωῆς Υἱὲ τοῦ Θεοῦ, καὶ ἐπισκοπεῖ σου ὁ τοῦ προσώπου φωτισμὸς, τοὺς πρὸς σὲ μεταστάντας ἐγκατάταξον.

Ὁ Εἱρμός.

ΜΕγαλύνομέν σε τὴν Μητέρα τοῦ φωτὸς, καὶ δοξάζομέν σε Θεοτόκε Παρθένε, ὡς τεκοῦσαν Χριστὸν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἐξαποστειλάριον, τὸ φωταγωγικὸν τοῦ ἤχου, καὶ νεκρώσιμον. Ὁ καὶ νεκρῶν, καὶ ζώντων· εἰς τοὺς Αἴνους τὰ μαρτυρικὰ τοῦ ἤχου.

Δόξα, τὸ β'. νεκρώσιμον. Καὶ νῦν, Θεοτοκίον.

Εἰς τὸν στίχ. τὰ προσόμοια τοῦ κυρίου Θεοφάνους.

Δόξα. Καὶ νῦν, Θεοτοκίον. Εἰς τὴν Λειτουργίαν, Προκείμ. νεκρώσιμον, καὶ ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Προκείμενον ἦχος πλ. β'.

Ε υφρανθήτε ἐπὶ Κύριον.

Στίχ. Μ ακάριοι ὧν ἀφέθησαν.

Ὁ Ἀπόστολος, πρὸς Ἑβραίους.

Α'Δελφοὶ, ἀναμιμνήσκεσθε τὰς πρότερον ἡμέρας, ἐν αἷς φωτισθέντες, πολλὴν ἄθλησιν ὑπεμείνατε παθημάτων· τοῦτο μὲν, ὀνειδισμοῖς τε, καὶ θλίψεσι θεατριζόμενοι· τοῦτο δὲ κοινωνοὶ τῶν οὕτως ἀναστρεφομένων γενηθέντες· καὶ γὰρ τοῖς δεσμοῖς μου συνεπαθήσατε, καὶ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε, γινώσκοντες ἔχειν ἐν ἑαυτοῖς κρείττονα ὕπαρξιν ἐν Οὐρανοῖς, καὶ μένουσαν· μὴ ἀποβάλητε οὖν τὴν παῤῥησίαν ὑμῶν, ἥτις ἔχει μισθαποδοσίαν μεγάλην, ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα

τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες, κομίσησθε τὴν ἐπαγγελίαν· ἔτι γὰρ μικρὸν ὅσον ὅσον, ὁ ἐρχόμενος ἥξει, καὶ οὐ χρονιεῖ· ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται.

Ἀλληλούϊα. ἦχ. πλ. β'.

Μακάριοι, οὓς ἐξελέξω.

Στίχ. Ἐπάκουσον ἡμῶν.

Εὐαγγέλιον τῆς ἡμέρας, καὶ νεκρώσιμον,

Ὡσαύτως καὶ Κοινωνικά.

Τῷ Σαββάτῳ Ἑσπέρας τῆς Σταυροπροσκυνήσεως.

Ἐν τῷ μικρῷ Ἑσπερινῷ στιχηρὰ προσόμοια, εἰς δ'. ἦχ. πλ. β'. Αἱ ἀγγελικαὶ προ.

Νῦν ἀγγελικαὶ στρατιαὶ δορυφοροῦσι, Ξύλον τὸ σεπτὸν εὐλαβῶς περικυκλοῦσαι, καὶ πάντας συγκαλοῦσαι τοὺς πιστοὺς εἰς προσκύνησιν· δεῦτε οὖν νηστείᾳ φαιδρυνθέντες, προσπέσωμεν αὐτῷ χαρᾷ, καὶ φόβῳ, πιστῶς κράζοντες· χαίροις ὁ τίμιος Σταυρὸς τοῦ Κόσμου ἀσφάλεια.

Ἵνα τοῦ Ἀδὰμ ἀφανίσῃς τὴν κατάραν, σάρκα τὴν ἡμῶν προσλαμβάνεις δίχα ῥύπου· σταυρωθῆναι δὲ, καὶ θνήσκεις, Ἰησοῦ ὑπεράγαθε· ὅθεν τὸν Σταυρόν σου, καὶ τὴν λόγχην, σπόγγον τε, καὶ τὸν κάλαμον, τοὺς ἥλους πιστῶς σέβομεν, καὶ τὴν Ἀνάστασιν τὴν σὴν ἰδεῖν ἐξαιτούμεθα.

Ὅμοιον.

Κλείει τὴν Ἐδὲμ διὰ ξύλου πάλαι ὄφις, ξύλον δὲ Σταυροῦ ὑπανοίγει ταύτην πᾶσι τοῖς θέλουσι νηστείᾳ καθαρθῆναι, καὶ δάκρυσι· δεῦτε οὖν προκείμενον ὁρῶντες, αὐτῷ προσπέσωμεν ἐν φόβῳ, πιστοὶ, κράζοντες· ἄνοιξον πύλας Οὐρανῶν, Σταυρὲ, τοῖς ποθοῦσί σε.

Δευτεροῦντες τὸ α'.

Δόξα. Καὶ νῦν, Ὅμοιον.

Ὅτε τῷ Σταυρῷ προσηλωμένον ἑώρα, Λόγε τοῦ Θεοῦ, ἡ ἀσπόρως σε τεκοῦσα, ἠλάλαζε βοῶσα, οἴμοι τέκνον γλυκύτατον· τίς σου ἡ ταπείνωσις Θεέ μου; πῶς ὁ ἀπαθὴς τὸ πάθος φέρεις ἀδίκῳ κρίματι; ὑμνολογῶ σου τὴν φρικτὴν ἄκραν συγκατάβασιν.

Ἀποστίχ. στιχηρὰ προσόμοια· ἦχ. β'.

Οἶκος τοῦ Εὐφραθᾶ.

Λυθέντες τῶν δεσμῶν τῆς πάλαι καταδίκης· πιστοὶ, Σταυροῦ τῷ ξύλῳ, τὸν ἐν αὐτῷ παγέντα Χριστὸν δοξολογήσωμεν.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ἄγε νῦν σὺν ἡμῖν Δαβὶδ, τὴν λύραν κίνει, Χριστὸν ὑψοῦτε, ψάλλων, πιστοὶ, καὶ προσκυνεῖτε αὐτοῦ τὸ ὑποπόδιον.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Ὀψώμεθα λαοὶ προκείμενον τὸ ξύλον, δι' οὗ τὴν Σωτηρίαν ἡμῖν Χριστὸς βραβεύει, καὶ πίστει ἀσπασώμεθα.

Δόξα. Καὶ νῦν, σταυροθεοτοκίον Ὅμοιον.

Ὑψούμενον Σταυρῷ ὑπὲρ βροτῶν ὁρῶσα τὸν σὸν Υἱὸν, Παρθένε, ἐβόας θρηνῳδοῦσα, δόξα τῇ εὐσπλαγχνίᾳ σου.

Ἀπολυτίκιον. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ γίνεται Ἀπόλυσις. Μετὰ δὲ τὴν ἀπόλυσιν τοῦ μικροῦ Ἑσπερινοῦ αἴρουσι τὸ τίμιον Ξύλον ἀπὸ τοῦ σκευοφυλακίου μετὰ τῆς θήκης· καὶ φέροντες, ἀποτίθεασιν εἰς τὴν ἁγίαν Τράπεζαν· καὶ ἄπτει κηρὸς ἔμπροσθεν αὐτοῦ δι' ὅλης νυκτός. Ἡμεῖς δὲ ἀπερχόμεθα ἐν τῇ τραπέζῃ. Καὶ ἀνιστάμενοι, εἰσερχόμεθα ἐν τῷ Ναῷ.

Κυριακὴ γ'. τῶν ἁγίων Νηστειῶν τὴν Προσκύνησιν ἑορτάζομεν τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ. Ὀψὲ σαββάτῳ ἐν τῇ Ἀγρυπνίᾳ εὐλογεῖ ὁ Ἱερεύς. Καὶ ψάλλομεν ὡς συνήθως τὸν Προοιμιακὸν ψαλμόν· εἶτα ἡ στιχολ. τοῦ πρώτου Καθίσματος· εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. Καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου γ'. καὶ ἀνατολικὰ γ'. Καὶ τοῦ τιμίου Σταυροῦ προσόμοια δ'. ἦχος πλ. α'.

Χαίροις ἀσκητικῶν ἀληθῶς.

Λάμψον ὁ τοῦ Κυρίου Σταυρὸς τὰς φεγγοβόλους ἀστραπάς σου τῆς χάριτος· καρδίας τῶν σὲ τιμώντων, καὶ θεολήπτῳ στοργῇ περιπτυσσομένων, κοσμοπόθητε· δι' οὗ τῶν δακρύων ἐξηφανίσθη κατήφεια, καὶ τοῦ θανάτου τῶν παγίδων ἐρρύσθημεν, καὶ πρὸς ἄληκτον εὐφροσύνην μετήλθομεν· δεῖξον τῆς ὡραιότητος τῆς σῆς τὴν εὐπρέπειαν, τὰς ἀντιδόσεις παρέχων τῆς ἐγκρατείας τοῖς δούλοις σου, πιστῶς αἰτουμένοις τὴν πλουσίαν προστασίαν, καὶ μέγα ἔλεος.

Ὅμοιον.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς Ἐκκλησίας ὁ ὡραῖος παράδεισος· τὸ ξύλον τῆς ἀφθαρσίας, τὸ ἐξανθῆσαν ἡμῖν αἰωνίου δόξης τὴν ἀπόλαυσιν· δι' οὗ τῶν δαιμόνων ἀποδιώκονται φάλαγγες, καὶ τῶν Ἀγγέλων συνευφραίνονται τάγματα, καὶ συστήματα τῶν πιστῶν ἑορτάζουσιν· ὅπλον ἀκαταγώνιστον, κραταίωμα ἄρρηκτον, τῶν Βασιλέων τὸ νῖκος, τῶν Ἱερέων τὸ καύχημα, Χριστοῦ νῦν τὰ Πάθη καὶ ἡμῖν δίδου προφθάσαι, καὶ τὴν Ἀνάστασιν.

Ὅμοιον.

Χαίροις ὁ ζωηφόρος Σταυρὸς, τῆς εὐσεβείας τὸ ἀήττητον τρόπαιον, ἡ θύρα τοῦ Παραδείσου, ὁ τῶν πιστῶν στηριγμὸς, τὸ τῆς Ἐκκλησίας περιτείχισμα· δι' οὗ ἐξηφάνισται ἡ ἀρὰ, καὶ κατήργηται, καὶ κατεπόθη τοῦ θανάτου ἡ δύναμις, καὶ ὑψώθημεν ἀπὸ γῆς πρὸς οὐράνια, ὅπλον ἀκαταμάχητον, δαιμόνων ἀντίπαλε, δόξα Μαρτύρων, Ὁσίων ὡς ἀληθῶς ἐγκαλλώπισμα, λι-

μὴν

Digitized by Google

μην σωτηρίας, ὁ δωρούμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὅμοιον.

ΔΕῦρο τῶν πρωτοπλάστων δυὰς, ἡ τῆς χορείας ἐκπεσοῦσα τῆς ἄνωθεν τῷ φθόνῳ τοῦ βροτοκτόνου διὰ πικρᾶς ἡδονῆς, τῆς τοῦ ξύλου πάλαι ἀπογεύσεως· ἰδοὺ τὸ πανσέβαστον ὄντως Ξύλον προσέρχεται, ᾧ προσδραμόντες ἐν χαρᾷ περιπτύξασθε, καὶ βοήσατε πρὸς αὐτὸ μετὰ πίστεως· σὺ ἡμῶν ἡ ἀντίληψις, Σταυρὲ πανσεβάσμιε, οὗ τοῦ καρποῦ μετασχόντες τῆς ἀφθαρσίας ἐτύχομεν, Ἐδὲμ τὴν προτέραν κομισάμενοι βεβαίαν, καὶ μέγα ἔλεος.

Δόξα, ἦχος γ'.

ΧΡιστὲ ὁ Θεὸς ἡμῶν, ὁ τὴν ἑκούσιον σταύρωσιν εἰς κοινὴν ἐξανάστασιν τοῦ γένους τῶν ἀνθρώπων καταδεξάμενος· καὶ τῷ καλάμῳ τοῦ Σταυροῦ βαφαῖς ἐρυθραῖς τοὺς σαυτοῦ δακτύλους αἱματώσας· τοῖς ἀφεσίμοις ἡμῖν βασιλικῶς ὑπογράψαι φιλανθρωπευσάμενος· μὴ παρίδῃς ἡμᾶς, κινδυνεύοντας, καὶ πάλιν τὴν ἀπὸ σοῦ διάστασιν· ἀλλ' οἰκτείρησον, μόνε μακρόθυμε, τὸν ἐν περιστάσει λαόν σου καὶ ἀνάστηθι, πολέμησον τοὺς πολεμοῦντας ἡμᾶς, ὡς παντοδύναμος.

Καὶ νῦν, θεοτοκίον τὸ α'. τοῦ ἤχου. Εἴσοδος. φῶς ἱλαρόν. Προκείμενον· ὁ Κύριος ἐβασίλευσεν· Ἐκτενὴ, καὶ τὰ λοιπὰ ὡς συνήθως· εἰς τὴν Λιτὴν, Δόξα. Καὶ νῦν ἦχ. πλ. α'.

ΟΡῶσά σε ἡ Κτίσις ἅπασα ἐπὶ Σταυροῦ γυμνὸν κρεμάμενον, τὸν δημιουργὸν καὶ Κτίστην τῶν ἁπάντων, ἠλλοιοῦτο φόβῳ, καὶ ἐπωδύρετο· ὁ Ἥλιος δὲ τὸ φῶς συνέστελλε, καὶ ἡ γῆ ἐκυμαίνετο· πέτραι δὲ ἐσχίζοντο, καὶ ναοῦ φαιδρότης διερρήγνυτο· νεκροὶ ἐξανίσταντο ἐκ μνημάτων, καὶ Ἀγγέλων αἱ δυνάμεις ἐξίσταντο λέγουσαι· ὢ τοῦ θαύματος, ὁ Κριτὴς κρίνεται, καὶ πάσχει θέλων διὰ τὴν τοῦ Κόσμου σωτηρίαν, καὶ ἀνάπλασιν.

Εἰς τὸν στίχ. στιχηρὰ τῆς Ὀκτωήχου, καὶ τὰ μετὰ α. β'.

Δόξα. Καὶ νῦν, ἦχος δ'.

ΟΣυμμαχήσας Κύριε τῷ πραοτάτῳ Δαβὶδ, ὑποτάξαι τὸν ἀλλόφυλον, τῷ πιστῷ ἡμῶν Βασιλεῖ συμπολέμησον, καὶ τῷ ὅπλῳ τοῦ Σταυροῦ κατάβαλε τοὺς ἐχθροὺς ἡμῶν· δεῖξον εὔσπλαγχνε εἰς ἡμᾶς τὰ ἀρχαῖα ἐλέη σου· καὶ γνώτωσαν ἀληθῶς, ὅτι σὺ εἶ Θεὸς, καὶ ἐν σοὶ πεποιθότες νικῶμεν, πρεσβευούσης συνήθως τῆς ἀχράντου σου Μητρὸς, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἀπολυτίκιον. Θεοτόκε Παρθένε, ἐκ β'.

Καὶ τοῦ Σταυροῦ ἅπαξ, ἦχος α'.

ΣΩσον Κύριε τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς Βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος, καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῆς Ἀγρυπνίας ὡς συνήθως· εἰς τὸν Ὄρθρον μετὰ τὸν Ἑξάψαλμον, Θεὸς Κύριος, εἰς τὸν ἦχον τῆς Ὀκτωήχου. Καὶ λέγομεν τὸ ἀναστάσιμον Ἀπολυτίκιον. Δόξα τοῦ Σταυροῦ. Σῶσον Κύριε τὸν λαόν σου. Καὶ νῦν, θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι. Ἡ συνήθης στιχολ. καὶ ὁ Πολυέλεος. Καθίσματα λέγομεν τὰ ἀναστάσιμα. μετὰ τὸν Πολυέλεον καθίσματα τοῦ Σταυροῦ ἦχ. πλ. δ'.

Τὸ προσταχθὲν. Δίς.

ΕΝ Παραδείσῳ μὲν τὸ πρὶν ξύλῳ ἐγύμνωσεν ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς, εἰσφέρων νέκρωσιν· τοῦ Σταυροῦ δὲ τὸ ξύλον τῆς ζωῆς τὸ ἔνδυμα ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς· καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς, ὃν ὁρῶντες προσκυνούμενον, Θεῷ ἐν πίστει λαοὶ συμφώνως ἀνακράξωμεν, πλήρης δόξης ὁ οἶκος αὐτοῦ.

Οἱ Ἀναβαθμοὶ τοῦ ἤχου. Εὐαγγέλιον ἑωθινόν. Ἀνάστασιν Χριστοῦ θεασάμενοι ὁ Ν'.

Δόξα· ἦχος πλ. δ'.

ΤΗς μετανοίας ἄνοιξόν μοι πύλας Ζωοδότα· ὀρθρίζει γὰρ τὸ Πνεῦμά μου πρὸς Ναὸν τὸν ἅγιόν σου· ναὸν φέρον τοῦ σώματος ὅλον ἐσπιλωμένον· ἀλλ' ὡς οἰκτίρμων κάθαρον εὐσπλάγχνῳ σου ἐλέει.

Καὶ νῦν. Ὅμοιον.

ΤΗς σωτηρίας εὔθυνόν μοι τρίβους Θεοτόκε, αἰσχραῖς γὰρ κατερρύπωσα τὴν ψυχὴν ἁμαρτίαις, καὶ ῥαθύμως τὸν βίον μου ὅλον ἐκδαπανήσας, ταῖς σαῖς πρεσβείαις ῥῦσαί με πάσης ἀκαθαρσίας.

Εἶτα ἦχος πλ. β'. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

ΤΑ πλήθη τῶν πεπραγμένων μοι δεινῶν ἐννοῶν ὁ τάλας, τρέμω τὴν φοβερὰν ἡμέραν τῆς Κρίσεως· ἀλλὰ θαρρῶν εἰς τὸ ἔλεος τῆς εὐσπλαγχνίας σου, ὡς ὁ Δαβὶδ βοῶ σοι· ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Καὶ οἱ ἀναστάσιμοι Κανόνες, καὶ τῆς Θεοτόκου. Εἶτα τοῦ Τριῳδίου εἰς η'. ποίημα τοῦ ἁγίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου. Ὠδὴ α'. ἦχος α'.

Ἀναστάσεως ἡμέρα.

ΠΑνηγύρεως ἡμέρα τῇ ἐγέρσει Χριστοῦ θάνατος φροῦδος ὤφθη, ζωῆς ἀνέτειλεν αὐγὴ, ὁ Ἀδὰμ ἐξαναστὰς χορεύει χαρᾷ· διὸ ἀλαλάξωμεν ἐπινίκιον ᾄδοντες.

ΠΡοσκυνήσεως ἡμέρα τοῦ τιμίου Σταυροῦ, δεῦτε πρὸς τοῦτον πάντες· τῆς γὰρ ἐγέρσεως Χριστοῦ τὰς αὐγὰς φωτοβολῶν προτίθεται νῦν, αὐτὸν ἀσπασώμεθα, ψυχικῶς ἀγαλλόμενοι.

ΕΠιφάνηθι ὁ μέγας τοῦ Κυρίου Σταυρὸς, δεῖξόν μοι ὄψιν θείαν τῆς ὡραιότητός σου νῦν ἀξίων προσκυνητὴν αἰνέσεώς σου· καὶ γὰρ ὡς ἐμ-

ψύχῳ

Digitized by Google

ψυχῇ σοι καὶ φωνῇ, καὶ προσκυνοῦμεν.

Α'γνεσάτωσαν συμφώνως Οὐρανὸς καὶ ἡ γῆ, ὅτι προκεῖται πᾶσιν ὁ παμμακάριστος Σταυρὸς, ᾧ παγεὶς σωματικῶς ἐτύθη Χριστὸς, αὐτὸν ἀσπασώμεθα ψυχικῶς ἀγαλλόμενοι.

Δόξα.

Ω῾ Τριὰς τοῖς χαρακτῆρσιν, ὦ μονὰς τῇ μορφῇ, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα· ἡ ὁμοδύναμος ἑνὰς ἐν βουλῇ, καὶ θελήσει, καὶ κράτους ἀρχῇ· τὸν Κόσμον σου φύλαττε, τὴν εἰρήνην βραβεύουσα.

Καὶ νῦν.

Π Εῖραν ὅλως ἡ Παρθένος μὴ εἰδυῖα ἀνδρὸς, ἄσπορον τίκτεις βρέφος· ἄχραντον φέρεις τοκετὸν τὸν τῶν ὅλων ποιητὴν Χριστὸν τὸν Θεὸν, αὐτὸν ἐκδυσώπησον, εἰρηνεῦσαι τὰ σύμπαντα.

Καταβασία.

Ο῾ Θειότατος προετύπωσε πάλαι Μωσῆς ἐν ἐρυθρᾷ θαλάσσῃ διαβιβάσας Ἰσραὴλ, τοῦ
„ Σταυροῦ σου τὴν ὑγρὰν τῇ ῥάβδῳ τεμὼν, ᾠ-
„ δὴν σοι ἐξόδιον ἀναμέλπων Χριστὲ ὁ Θεός.

Ω᾿δὴ γ'. Δεῦτε πόμα πίωμεν καινόν.

Δ Εῦτε ᾆσμα ᾄσωμεν καινὸν, τὴν κατάλυσιν ᾅδου πανηγυρίζοντες· ἐκ γὰρ τοῦ τάφου Χριστὸς ἀνέστη τὸν θάνατον ἑλὼν, καὶ σώσας τὰ σύμπαντα.

Δ Εῦτε ἀρυσώμεθα, πιστοὶ, οὐκ ἐκ κρήνης βρυούσης ὕδωρ φθειρόμενον, ἀλλὰ πηγὴν φωτισμοῦ Σταυροῦ προσκυνήσει τοῦ Χριστοῦ, ἐν ᾧ καὶ καυχώμεθα.

Π Α'λαι ὃν ἐτύπου Μωϋσῆς ταῖς παλάμαις Σταυρόν σου νῦν περιπτυσσόμενοι, τὸν νοητὸν Α'μαλὴκ τροπούμεθα, Δέσποτα Χριστὲ, δι᾿ οὗ καὶ σεσώμεθα.

Ο῎Μμασι, καὶ χείλεσιν ἁγνοῖς ἀνακρούοντες μέλος ἀγαλλιάσεως, τὸν τοῦ Κυρίου Σταυρὸν χαρᾷ προσκυνήσωμεν, πιστοὶ, κροτοῦντες ἐν ᾄσμασιν.

Δόξα.

Ε῞Να ὑποστάσεσι τρισὶ Θεὸν ἄναρχον σέβω, μὴ διαιρούμενον τῇ τῆς οὐσίας μορφῇ, Πατέρα, Υἱὸν, Καὶ Πνεῦμα ζῶν, ἐν οἷς βεβαπτίσμεθα.

Καὶ νῦν.

Ε᾿Ν βάτῳ Μωσῆς σου τυπικῶς τὸ μυστήριον πάλαι, σεμνὴ, ἑώρακεν· ὡς γὰρ ἐκείνην ἡ φλὸξ, τὸ πῦρ τῆς Θεότητος τὴν σὴν νηδὺν οὐ κατέφλεξεν.

Καταβασία.

Σ Τερέωσον Δέσποτα Χριστὲ τοῦ Σταυροῦ σου ἐν πέτρᾳ με τῇ τῆς πίστεως, μὴ σαλευθῆναι τὸν νοῦν ἐχθροῦ προσβολαῖς τοῦ δυσμενοῦς, μόνος γὰρ εἶ ἅγιος.

Σταυρώσιμα τῆς Ο᾿κτωήχου ἦχ. πλ. β'.

Ο῾ Σταυρός σου Κύριε ἡγίασται, ἐν αὐτῷ γὰρ γίνονται ἰάματα τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι᾿ αὐτοῦ σοι προσπίπτωμεν, ἐλέησον ἡμᾶς.

Υ῾ψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Σ Ή μερον τὸ προφητικὸν πεπλήρωται λόγιον. ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε. καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Δόξα.

Μ Ό νον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν τοῦ θανάτου Κύριε. ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου, Α῞γιε, καὶ δοξολογοῦμέν σε, Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς.

Καὶ νῦν, Θεοτοκίον.

Θ Εοτόκε Παρθένε ἱκέτευε τὸν Υἱόν σου τὸν ἑκουσίως προσπαγέντα ἐν Σταυρῷ, καὶ ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ω᾿δὴ δ'. Ε᾿πὶ τῆς θείας φυλακῆς.

Ι Δοὺ ἀνέστη ὁ Χριστὸς, ταῖς μυροφόροις γυναιξὶν Α῎γγελος φησὶ, μὴ θρηνεῖτε, πορευθεῖσαι, εἴπατε τοῖς Α'ποστόλοις, χαίρετε· σήμερον σωτηρία τοῦ Κόσμου, ἡ τυραννὶς τοῦ ἐχθροῦ θανάτῳ λέλυται.

Τ Οῦ ζωηφόρου σου Σταυροῦ τὴν προσκυνήσιμον χαρὰν σήμερον, Χριστὲ, ὑπαντῶντες προπομπὴν ποιούμεθα τοῦ παναγίου πάθους σου· ὅπερ εἰς σωτηρίαν τοῦ Κόσμου ἐναπειργάσω Σωτὴρ, ὡς παντοδύναμος.

Σ Ή μερον γίνεται χαρὰ ἐν Οὐρανῷ καὶ ἐπὶ γῆς, ὅτι τοῦ Σταυροῦ τὸ σημεῖον Κόσμῳ ἐμφανίζεται, Σταυρὸς ὁ τρισμακάριστος· οὗτος γὰρ προτεθεὶς ἀναβλύζει τοῖς προσκυνοῦσιν αὐτὸν χάριν ἀέναον.

Τ Ί σοι προσάξομεν Χριστὲ, ὅτι τὸν τίμιον Σταυρὸν δέδωκας ἡμῖν προσκυνῆσαι, ἐν ᾧ τὸ πανάγιον κατεκενώθη Αἷμά σου, ᾧ καὶ ἡ σάρξ σου ἥλοις ἐπάγη, ὃν ἀσπαζόμενοι νῦν, εὐχαριστοῦμέν σοι.

Δόξα.

Μ Ι᾿ας Θεότητος ὑμνῶν, τρεῖς ὑποστάσεις ἀμερῶς φύσεως ἁπλῆς δογματίζω τὸν Πατέρα ἄναρχον, Υἱὸν, καὶ Πνεῦμα ἅγιον· σύνθρονον, Κυριότητα μίαν, ὁμοβασίλειον ἓν, κράτος ἀΐδιον.

Καὶ νῦν.

Μ Όνη ἐφάνης γυναικῶν χρῆμα πανθαύμαστον ἁγνὴ, πρᾶγμα φοβερὸν, τὸ γὰρ φύσιν σὺ ἐκαινοτόμησας, ἀνδρὸς ἀπορᾶς κυήσασα, μείνασα πάλιν ὡς πρὶν Παρθένος, ὁ γεννηθεὶς γὰρ ἐκ σοῦ Θεός ἐστιν ἀληθής.

Καταβασία.

Ε᾿Πὶ Σταυροῦ σε, δυνατὲ, φωστὴρ ὁ μέγας κατιδὼν, τρόμῳ ἐπαρθεὶς, τὰς ἀκτῖνας συνέστειλεν, ἔκρυψε πᾶσα δὲ κτίσις ὕμνησεν ἐν φό-

βῳ

Digitized by Google

,, βοᾷ τὴν σὴν μακροθυμίαν, καὶ γὰρ ἐπλήσθη ἡ
,, γῆ τῆς σῆς αἰνέσεως.

Ὠδὴ ε΄. Ὀρθρίσωμεν ὄρθρου βαθέως.

Ἀνέτειλας ἀπὸ τοῦ τάφου ἄδυτον φάος τῷ Κόσμῳ, ἀστράπτων τὴν ἀφθαρσίαν, ἐκμειώσας Κύριε θανάτου τὴν κατήφειαν ἐκ τῶν περάτων, ὡς εὔσπλαγχνος.

Προσέλθωμεν κεκαθαρμένοι τῇ ἐγκρατείᾳ θερμῶς, προσπτυσσόμενοι ἐν αἰνέσει ξύλον τὸ πανάγιον, ἐν ᾧ Χριστὸς σταυρούμενος, ἔσωσε Κόσμον ὡς εὔσπλαγχνος.

Χορεύουσιν ἐν εὐφροσύνῃ Ἀγγέλων τάξεις σήμερον, Σταυροῦ σου τῇ προσκυνήσει, ἐν αὐτῷ γὰρ τέθραυκας, τὰς τῶν δαιμόνων φάλαγγας, σώσας Χριστὲ τὸ ἀνθρώπινον.

Παράδεισος ἄλλος ἐγνώσθη ἡ Ἐκκλησία, ὡς πρὶν ξύλον ἔχουσα ζωηφόρον τὸν Σταυρόν σου, Κύριε, ἐξ οὗ διὰ προσψαύσεως ἀθανασίας μετέχομεν.

Δόξα.

Συνάναρχα τρία δοξάζω, μιᾶς οὐσίας Θεόν, τόν Πατέρα, Υἱόν, καὶ Πνεῦμα, φῶς ἓν τρίλαμπὲς ἐστὶν, ὁμοκρατὲς βασίλειον, ἐν ἀσυγχύτῳ ταυτότητι.

Καὶ νῦν.

Ἐκύησας φύσεως νόμῳ, ἀλλ' ὑπὲρ νόμον, σοῦ γὰρ μόνης ἄσπορος ἡ λοχεία· φρικτὸς, καὶ νοούμενος ὁ τρόπος, καὶ λεγόμενος τοῦ τοκετοῦ σου, πανάμωμε.

Καταβασία.

Ὀρθρίζοντες σὲ ἀνυμνοῦμεν, Σωτὴρ τοῦ Κόσμου, εἰρήνην εὑράμενοι τῷ Σταυρῷ σου, δι'
,, οὗ ἀνεκαίνισας τὸ γένος τὸ ἀνθρώπινον, φῶς
,, πρὸς ἀνέσπερον ἄγων ἡμᾶς.

Ὠδὴ ς΄. Κατῆλθες ἐν τοῖς κατωτάτοις.

Ἀνέστης τὸν θάνατον θραύσας Χριστὲ, ὥσπερ μέγας Βασιλεὺς, ἐκ τῶν τοῦ ᾅδου ταμείων ἀνακαλέσας ἡμᾶς εἰς ἀπόλαυσιν Βασιλείας Οὐρανῶν, εἰς γῆν ἀθανασίας.

Κροτοῦντες ἐν ᾄσμασι θείοις πιστοὶ ἀλαλάξωμεν Θεῷ, τὸν Σταυρὸν τοῦ Κυρίου κατασπαζόμενοι, ἁγιότητος ἀναβλύζει γὰρ πηγὴν πᾶσι τοῖς ἐν τῷ Κόσμῳ.

Πληροῦται ἡ ᾀσματογράφος φωνὴ, προσκυνοῦμεν γὰρ ἰδοὺ τῶν ἀχράντων ποδῶν σου τὸ ὑποπόδιον, παντοδύναμε, τὸν Σταυρόν σου τὸν σεπτὸν, τὸ τριπόθητον ξύλον.

Ὁ Εἶδε ξύλον τῷ σῷ ἄρτῳ βληθὲν Προφητῶν ὁ θρηνητὴς, τὸν Σταυρόν σου, οἰκτίρμον, κατασπαζόμενοι, ἀνυμνοῦμεν σου τὰ δεσμὰ, καὶ τὴν ταφὴν, λόγχην τε, καὶ τοὺς ἥλους.

Ἐπ' ὤμων, ὅνπερ κατεδέξω, Χριστὲ, φέρειν ἅγιον Σταυρὸν, καὶ ἐν τούτῳ ἀρθῆναι, καὶ σταυρωθῆναι σαρκὶ, προσπτυσσόμενοι, κομιζόμεθα νίκην κατ' ἐχθρῶν ἀοράτων.

Δόξα.

Μονάδα τρισὶ χαρακτῆρσιν ὑμνῶ, καὶ Τριάδα ἐν μιᾷ φύσει προσκυνουμένην, Θεὸν τὰ τρία ὁμοῦ, φῶς τρισήλιον, τὸν Πατέρα, καὶ Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα.

Θαυμάτων τὸ μέγιστον θαῦμα ἐν σοὶ ὤφθη, ἄσπιλε ἀμνὰς, τὸν γὰρ αἴροντα Κόσμου τὴν ἁμαρτίαν ἀμνὸν ἀπεκύησας, ὃν δυσώπει ἐκτενῶς ὑπὲρ τῶν σὲ ὑμνούντων.

Καταβασία.

Τὸν τύπον τοῦ θείου Σταυροῦ Ἰωνᾶς ἐν κοιλίᾳ τοῦ κήτους τεταμέναις παλάμαις προδιεχάραξε, καὶ ἀνέθορε σεσωσμένος τοῦ θηρὸς τῇ δυνάμει σου, Λόγε.

Κοντάκιον ἰδιόμελον· ἦχ. βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος δέσις· τὸ ξύλον τοῦ Σταυροῦ θανάτου τὸ κέντρον, καὶ ᾅδου τὸ νῖκος ἐλήλαται· ἐπέστης δὲ Σωτήρ μου βοῶν τοῖς ἐν ᾅδῃ, εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

Ὁ Οἶκος.

Τρεῖς Σταυροὺς ἐπήξατο ἐν Γολγοθᾷ ὁ Πιλάτος, δύο τοῖς λῃστεύσασι, καὶ ἕνα τοῦ Ζωοδότου· ὃν εἶδεν ὁ ᾅδης, καὶ εἶπε τοῖς κάτω· ὦ λειτουργοί μου, καὶ δυνάμεις μου, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; ξυλίνη με λόγχη ἐκέντησεν ἄφνω, καὶ διαῤῥήσομαι τὰ ἔνδον μου, πονῶ τὴν κοιλίαν μου, ἀλγῶ τὰ αἰσθητήριά μου. μαιμάσσει τὸ Πνεῦμά μου, καὶ ἀναγκάζομαι ἐξερεύξασθαι τὸν Ἀδὰμ, καὶ τοὺς ἐξ Ἀδὰμ ξύλῳ δοθέντας μοι· ξύλον γὰρ τούτους πάλιν εἰσάγει εἰς τὸν Παράδεισον.

Τὸ Συναξάριον.

Στίχ. Τὸν Σταυρὸν γῆ σύμπασα προσκυνησάτω,
Δι' οὗπερ ἔγνωκέ, σε προσκυνεῖν Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ Κυριακῇ τρίτῃ τῶν νηστειῶν τὴν προσκύνησιν ἑορτάζομεν τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ δι' αἰτίαν τοιαύτην, ἐπειδὴ γὰρ διὰ τῆς τεσσαρακονθημέρου νηστείας τρόπον τινα, καὶ ἡμεῖς σταυρούμεθα, νεκρούμενοι ἀπὸ τῶν παθῶν, πικρίας τε αἴσθησιν ἔχομεν ἀκηδιῶντες, καὶ καταπίπτοντες, προτίθεται ὁ τίμιος, καὶ ζωοποιὸς Σταυρὸς, ὡσανεὶ ἀναψύχων, καὶ ὑποστηρίζων ἡμᾶς· καὶ ὑπομιμνήσκων ἡμᾶς τοῦ πάθους τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ παραμυθούμενος, εἰ ὁ Θεὸς ἡμῶν δι' ἡμᾶς ἐσταύρωται, πόσον χρὴ ἡμᾶς δι' αὐτὸν πράττειν, κουφίζων τε τοὺς πόνους ἡμῶν τῇ παραθέσει τῶν δεσποτικῶν θλίψεων, καὶ τῇ ὑπομνήσει, καὶ ἐλπίδι τῆς διὰ τοῦ Σταυροῦ δόξης· ὡς γὰρ ὁ Σωτὴρ ἡμῶν ἐπὶ τὸν Σταυρὸν ἀναβὰς, ἐδοξάσθη διὰ τῆς ἀτίμου περιαγωγῆς, καὶ τοῦ πικρασμοῦ, οὕτω δεῖ καὶ ἡμᾶς πράσσειν, ἵνα καὶ συνδοξασθῶμεν αὐτῷ, εἰκαίτι τέως πάσχομεν ἀηδές·

Digitized by Google

ἀηδές. Καὶ ἄλλως, καθάπερ οἱ τραχεῖαν, καὶ μακρὰν ὁδὸν διανύοντες, καὶ τῷ καμάτῳ κεκμηκότες, εἴπου δένδρον εὐσκιόφυλλον εὕρωσι, μικρὸν καθίσαντες ἀναπαύονται, καὶ ὡσανεὶ νεαροὶ γενόμενοι, τὸ λοιπὸν τῆς ὁδοῦ διανύουσιν, οὕτω καὶ νῦν εἰς τὸν τῆς νηστείας καιρὸν, καὶ τὴν ἐπίπονον ὁδὸν, καὶ τὸν δίαυλον, ἐνεφυτεύθη μέσον παρὰ τῶν ἁγίων Πατέρων ὁ ζωηφόρος Σταυρὸς, ἄνεσιν καὶ ἀνάψυξιν ἡμῖν χορηγῶν, εὐσταλεῖς τε, καὶ κούφους πρὸς τὸν ἑξῆς κάματον τοὺς κεκοπιακότας παρασκευάζων. Ἢ ὥσπερ ἐστὶν ἐπὶ Βασιλέως παρουσίᾳ προπορεύονται τὰ ἐκείνου σημεῖα, καὶ σκῆπτρα, εἶτα καὶ αὐτὸς παραγίνεται χαίρων ἐπὶ τῇ νίκῃ, καὶ ἀγαλλιώμενος συνευφραίνεται ἅμα καὶ τὸ ὑπήκοον· οὕτω καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς μέλλων ὅσον οὔπω τὸ κατὰ τοῦ θανάτου ἐνδείξασθαι τρόπαιον, καὶ μετὰ δόξης προελθεῖν διὰ τῆς ἀναστασίμου ἡμέρας, προέπεμψε τὸ σκῆπτρον αὐτοῦ, τὴν βασιλικὴν σημαίαν, τὸν ζωοποιὸν Σταυρὸν, περιχαρείας, καὶ ἀναψυχῆς ἡμᾶς ὅτι πλείστης ἐμπλήσοντα, καὶ παρασκευάζοντα ἡμᾶς ἑτοίμους γενέσθαι, καὶ αὐτὸν ὅσον οὔπω τὸν Βασιλέα εἰσδέξασθαι, καὶ ἀνευφημῆσαι περιφανῶς θριαμβεύσοντα. Ἐν τῇ μέσῃ δὲ τῆς ἁγίας Τεσσαρακοστῆς ἑβδομάδι, ὅτι τῇ Μερρᾷ πηγῇ ἔοικεν ἡ ἁγία Τεσσαρακοστὴ, διὰ τὴν συντριβὴν, καὶ τὴν ἐνοῦσαν ἡμῖν ἀπὸ τῆς νηστείας πικρίαν, καὶ ἀηδίαν· ὥσπερ οὖν ἐν ἐκείνῃ μέσῃ ὁ θεῖος Μωϋσῆς τὸ ξύλον ἐνέβαλε, καὶ ἐγλύκανεν αὐτὴν, οὕτω καὶ ὁ διαγαγὼν ἡμᾶς Θεὸς τῆς νοητῆς ἐρυθρᾶς, καὶ τοῦ Φαραὼ, τῷ ζωοποιῷ ξύλῳ τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ γλυκαίνει τὴν ἀπὸ τῆς τεσσαρακονθημέρου διὰ τῆς νηστείας πικρίαν· καὶ παραμυθούμενος ἡμᾶς, ὡς ἐν ἐρήμῳ διάγοντας, ἕως οὗ πρὸς τὴν νοητὴν Ἱερουσαλὴμ ἐπαναγάγῃ διὰ τῆς ἑαυτοῦ ἀναστάσεως. Ἢ ἐπειδὴ ὁ Σταυρὸς ξύλον ζωῆς λέγεται, καὶ ἐστίν. ἐκεῖνο δὲ τὸ ξύλον ἐν μέσῳ τοῦ Παραδείσου τῆς Ἐδὲμ πεφυτευμένον ἐτύγχανεν· ἁρμοζόντως καὶ οἱ θειότατοι Πατέρες τὸ σταυρικὸν ξύλον ἐν μέσῳ τῆς ἁγίας Τεσσαρακοστῆς αὐτὸ κατεφύτευσαν· ὁμοῦ μὲν καὶ τῆς τοῦ Ἀδὰμ λιχνείας ὑπομιμνήσκοντες, ἅμα δὲ καὶ τὴν ἐκείνου διὰ τοῦ παρόντος ξύλου ἀναίρεσιν διαγράφοντες· τούτου γὰρ γευόμενοι οὐ μᾶλλον ἀποθνήσκομεν, ἀλλὰ καὶ ζωογονούμεθα. Τῇ αὐτοῦ δυνάμει, Χριστὲ ὁ Θεὸς, καὶ ἡμᾶς τῶν τοῦ πονηροῦ διαφύλαξον ἐπηρειῶν· καὶ τὰ θεῖά σου πάθη, καὶ τὴν ζωηφόρον Ἀνάστασιν προσκυνῆσαι ἀξίωσον, τὸ τεσσαρακονθήμερον εὐμαρῶς διανύσαντας στάδιον· καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος.

Ὠδὴ ζ΄. Ὁ Παῖδας ἐκ καμίνου ῥυσάμενος.

Ἀνέστης ἐκ τοῦ τάφου τριήμερος, ὡς ὁ ὑπνῶν Κύριε, ᾅδου πυλωροὺς πατάξας θείᾳ δυνάμει, καὶ τοὺς πάλαι ἐγείρας προπάτορας, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Τῇ λύρᾳ τῶν ᾀσμάτων χορδεύοντες, ἀγαλλιασώμεθα σήμερον λαοὶ τῇ τοῦ Σταυροῦ προσκυνήσει, τὸν ἐν τούτῳ παγέντα Χριστὸν δοξάζοντες, τὸν μόνον εὐλογητὸν τῶν Πατέρων Θεὸν, καὶ ὑπερένδοξον.

Ὁ δείξας τὸ θνητότητος ὄργανον ζωῆς ἐργαστήριον Κόσμῳ ἄσπαστον τὸν σὸν Σταυρὸν, πανοικτίρμον, τοὺς αὐτὸν προσκυνοῦντας ἁγίασον, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Ὁ μόνος ἐλεήμων, καὶ εὔσπλαγχνος φώτισον, ἁγίασον, μόνε Ἰησοῦ, τοὺς προσκυνοῦντας σου πιστῶς τὸν Σταυρὸν, καὶ τὰ θεῖα παθήματα, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Δόξα.

Μονάδα ἐν τρισὶν ὑποστάσεσιν ὑμνῶ τὴν Θεότητα· φῶς γὰρ ὁ Πατὴρ, φῶς ὁ Υἱὸς, φῶς τὸ Πνεῦμα, τοῦ φωτὸς ἀμεροῦς διαμένοντος ἑνότητι φυσικῇ, καὶ ἀκτῖσι τρισὶ προσώπων λάμποντος.

Καὶ νῦν.

Τὸ πάντων Προφητῶν πολυώνυμον σὺ ὑπάρχεις κήρυγμα· πύλη γὰρ Θεοῦ, στάμνος χρυσῆ, γῆ ἁγία ἀνεδείχθης. Παρθένε θεόνυμφε, κυήσασα ἐν σαρκὶ Ἰησοῦν τὸν Χριστὸν, τῶν Πατέρων Θεὸν, καὶ ὑπερένδοξον.

Καταβασία.

Φλογώσεως ὁ Παῖδας ῥυσάμενος, σάρκα προσλαβόμενος ἦλθεν ἐπὶ γῆς· καὶ Σταυρῷ προσηλωθεὶς, σωτηρίαν ἡμῖν ἐδωρήσατο, ὁ μόνος εὐλογητὸς τῶν Πατέρων Θεὸς, καὶ ὑπερένδοξος.

Ὠδὴ η΄. Αὕτη ἡ κλητὴ, καὶ ἁγία ἡμέρα.

Μύρα ἐν χερσὶ τί κατέχετε ὅλως; τίνα δὲ ἐκζητεῖτε; νῦν ὁ φανεὶς νεανίας ἐν τῷ τάφῳ βοᾷ, ἐξανέστη ὁ Χριστὸς, καὶ Θεὸς ἡμῶν, ἀναστήσας φύσιν βροτῶν ᾅδου κευθμώνων.

Χαίροις τὸ τρισόλβιον ξύλον, καὶ θεῖον, Σταυρὲ, φῶς τοῖς ἐν σκότει, ὁ τὸν περαπέρατον Κόσμον τῇ ἐλλάμψει τῇ σῇ τῆς ἐγέρσεως Χριστοῦ προδεικνὺς τὰς αὐγὰς, ἀξίωσον πάντας πιστοὺς φθάσαι τὸ Πάσχα.

Ταύτῃ τῇ ἡμέρᾳ μυρίζει τὰ μύρα τῆς θείας μυροθήκης τὸ ζωομύριστον ξύλον ὁ Σταυρὸς τοῦ Χριστοῦ· ὀσφρανθῶμεν τῆς αὐτοῦ θεοπνεύστου ὀδμῆς, αὐτὸν προσκυνοῦντες πιστῶς εἰς τοὺς αἰῶνας.

Δεῦρο Ἐλισσαῖε Προφῆτα εἰπὲ ἐμφανῶς, τί τὸ ξύλον ἐκεῖνο, ὃ εἰς τὸ ὕδωρ καθῆκες; ὁ Σταυρὸς τοῦ Χριστοῦ, δι' οὗ βάθους τῆς φθορᾶς ἀνειλκύσθημεν, αὐτὸν προσκυνοῦντες πιστῶς εἰς τοὺς αἰῶνας.



Digitized by Google

ΠΑ'λαι Ἰακὼβ προτυπῶν τὸν Σταυρόν σου, Χριστὲ, Ἰωσὴφ προσεκύνει τῆς θείας ῥάβδου τὸ ἄκρον, σκῆπτρον ταύτην φρικτὸν Βασιλείας τε τῆς σῆς προορώμενος, ὃν νῦν προσκυνοῦντες πιστῶς εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΜΙ'αν ἐν τρισὶ χαρακτῆρσιν οὐσίαν δοξάζω ἀσυγχύτως, μονοπροσώπως τὰ τρία· οὐδὲ τέμνω μορφῇ τὸν Πατέρα, καὶ Υἱὸν σὺν τῷ Πνεύματι· εἷς γὰρ ἐστὶ πάντων Θεὸς εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

ΜΟ'νη ἐν μήτρασιν ἐδείχθης Παρθένος, θεόνυμφε Μαρία, ἄνευ ἀνδρὸς τετοκυῖα τὸν Σωτῆρα Χριστὸν, τῆς ἁγνείας τὴν σφραγῖδα φυλάξασα, σὲ μακαρίζομεν πιστοὶ εἰς τοὺς αἰῶνας.

Καταβασία.

ΧΕῖρας ἐν τῷ λάκκῳ βληθεὶς τῶν λεόντων ποτὲ ὁ μέγας ἐν Προφήταις σταυροειδῶς
„ ἐκπετάσας Δανιὴλ, ἀβλαβὴς ἐκ τῆς τούτων κα-
„ ταβρώσεως σέσωσται, εὐλογῶν Χριστὸν τὸν Θεὸν
„ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Φωτίζου φωτίζου.

ἘΝ τάφῳ κατῆλθες ὁ ζωοδότης καὶ Θεὸς, καὶ συνέτριψας πάντα κλεῖθρά τε, καὶ τοὺς μοχλοὺς, καὶ τοὺς νεκροὺς ἐξανέστησας, δόξα τῇ σῇ ἐγέρσει βοῶντας, Χριστὲ Σωτὴρ παντοδύναμε.

Ὁ Τάφος ζωήν μοι, Χριστὲ, ἀνέβλυσεν ὁ σὸς, ὁ κρατῶν τῆς ζωῆς γὰρ ἐπιστὰς ἐβόησας τοῖς κατοικοῦσιν ἐν μνήμασιν, οἱ ἐν δεσμοῖς λύθητε, ἐγὼ γὰρ τοῦ Κόσμου λύτρον ἐλήλυθα.

ἘΝ ὕμνοις σκιρτάτω πάντα τὰ ξύλα τοῦ δρυμοῦ, τὸ ὁμώνυμον ξύλον τοῦ Σταυροῦ θεώμενα καταασπαζόμενον σήμερον, οὗ ὁ Χριστὸς ὕψωσε τὴν χάραν, ὡς προφητεύει ὁ θεῖος Δαβίδ.

ἘΝ ξύλῳ τεθνήξας, ξύλον σε εὕρηκα ζωῆς χριστοφόρε Σταυρέ μου, φυλακτήρ μου ἄρρηκτε, κατὰ δαιμόνων ἰσχὺς κραταιά· σὲ προσκυνῶν, σήμερον κραυγάζω, ἁγίασόν με τῇ δόξῃ σου.

ΕΥ'φραίνου, ἀγάλλου ἡ Ἐκκλησία τοῦ Θεοῦ, τὸ τρισόλβιον ξύλον προσκυνοῦσα σήμερον τοῦ παναγίου Σταυροῦ τοῦ Χριστοῦ, ᾧ λειτουργοὶ τάγματα Ἀγγέλων καὶ μετὰ φόβου παρίστανται.

Δόξα.

ΤΡιάδα προσώποις, μονάδα φύσει προσκυνῶ σὲ, Θεότης ἁγία, τὸν Πατέρα, καὶ τὸν Υἱὸν σὺν τῷ ἁγίῳ τε Πνεύματι, μίαν ἀρχὴν, μίαν Βασιλείαν, τὴν τῶν ἁπάντων διασώζουσαν.

Καὶ νῦν.

ΤΟ' ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριστὸς, σὺ ὑπάρχεις Παρθένε, ὡς Δαβὶδ ὁ θεῖος βοᾷ· δι' ἧς ἡμεῖς ἀνυψώθημεν πρὸς Οὐρανὸν, υἱοθετηθέντες τῷ Πνεύματι, παμμακάριστε.

Καταβασία.

Ὦ Μῆτερ Παρθένε, καὶ Θεοτόκε ἀψευδὴς, ἡ τεκοῦσα ἀπόρως Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν
„ ἐν Σταυρῷ ὑψωθέντα σαρκὶ, σὲ οἱ πιστοὶ ἅπαν-
„ τες ἀξίως σὺν τούτῳ νῦν μεγαλύνομεν.

Ἐξαποστειλάριον τὸ ἑωθινὸν ἀναστάσιμον, καὶ τοῦ Σταυροῦ. Τοῖς Μαθηταῖς συνέλ.

ΣΤαυρὸν Χριστοῦ τὸν τίμιον σήμερον προτεθέντα ἰδόντες προσκυνήσωμεν, καὶ πιστῶς εὐφρανθῶμεν καταασπαζόμενοι πόθῳ, τὸν ἐν τούτῳ θελήσει σταυρωθέντα αἰτούμενοι Κύριον, ἀξιῶσαι πάντας ἡμᾶς καὶ τὸν Σταυρὸν τὸν τίμιον προσκυνῆσαι, καὶ φθάσαι τὴν Ἀνάστασιν πάντας ἀκατακρίτως.

Θεοτοκίον Ὅμοιον.

ΤΟ' ξύλον, ἐν, ᾧ πάνσεμνε, τὰς ἀχράντους παλάμας ὑπὲρ ἡμῶν ἐξέτεινε προσαγεὶς ὁ Υἱός σου, νῦν εὐσεβῶς προσκυνοῦμεν, δὸς ἡμῖν τὴν εἰρήνην, καὶ τὰ κοσμοσωτήρια, φθάσαι πάνσεπτα πάθη, καὶ τὴν λαμπρὰν, καὶ κοσμοχαρμόσυνον προσκυνῆσαι τοῦ Πάσχα κυριώνυμον, καὶ φωσφόρον ἡμέραν.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. η. καὶ ψάλλομεν στιχηρὰ ἀναστάσιμα τῆς Ὀκτωήχου δ'. καὶ τοῦ Τριῳδίου προσόμοια γ'. δευτεροῦντες τὸ ἓν. ἦχος δ'.

Ὡς γενναῖον.

ἘΝ φωναῖς ἀλαλάξωμεν, ἐν ᾠδαῖς μεγαλύνωμεν, τὸν Σταυρὸν τὸν τίμιον ἀσπαζόμενοι, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν, Σταυρὲ πανσεβάσμιε καθαγίασον ἡμῶν τὰς ψυχὰς, καὶ τὰ σώματα τῇ δυνάμει σου, καὶ παντοίας ἐκ βλάβης ἐναντίων διατήρησον ἀτρώτους τοὺς εὐσεβῶς προσκυνοῦντάς σε.

ΠΡοσελθόντες ἀρρύσατε μὴ κενούμενα νάματα τοῦ Σταυροῦ τῇ χάριτι προερχόμενα, ἰδοὺ προκείμενον βλέποντες τὸ ξύλον τὸ ἅγιον, χαρισμάτων τὴν πηγὴν, ἀρδομένην τῷ αἵματι, καὶ τῷ ὕδατι τοῦ Δεσπότου τῶν ὅλων, τοῦ ἐν τούτῳ ἑκουσίως ὑψωθέντος, καὶ τοὺς βροτοὺς ἀνυψώσαντος.

Στίχ. Ὑψοῦτε Κύριον τὸν.

ἘΚκλησίας ἑδραίωμα, Βασιλέων κραταίωμα, μοναζόντων καύχημα, καὶ διάσωσμα σὺ εἶ Σταυρὲ πανσεβάσμιε· διὸ προσκυνοῦντές σε, καὶ καρδίας καὶ ψυχὰς φωτιζόμεθα σήμερον θείᾳ χάριτι τοῦ ἐν σοὶ προσπαγέντος, καὶ τὸ κράτος τοῦ δολίου καθελόντος, καὶ τὴν ἀρὰν ἀφανίσαντος.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων, καὶ δευτεροῦντες τὸ ά. Εἶτα λέγομεν στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου. Καὶ ψάλλομεν τὸ ἰδιόμελον· ἦχος πλ. δ'.

ΤΗ'ν ὑψηλόφρονα γνώμην τῶν κακίστων Φαρισαίων ὁ πάντων Κύριος παραβολικῶς

ἐκφύγειν ταύτην ἐδίδαξε, καὶ μὴ ὑψηλοφρονεῖν, παρ' ὃ δεῖ φρονεῖν, πάντας ἐπαίδευσεν· ὑπογραμμὸς καὶ τύπος ὁ αὐτὸς γινόμενος, μέχρι Σταυροῦ, καὶ θανάτου ἑαυτὸν ἐκένωσεν· εὐχαριστοῦντες οὖν σὺν τῷ Τελώνῃ εἴπωμεν· ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ ἀπαθὴς διαμείνας Θεός, τῶν παθῶν ἡμᾶς ῥῦσαι, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα· πάλιν τὸ αὐτό. Καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Ὅταν δὲ ψάλλομεν τὴν Δοξολογίαν ἀλλάσσει ὁ Ἱερεὺς τὴν στολὴν αὐτοῦ. Καὶ λαβὼν θυμιατὸν θυμιᾷ τὴν Ἁγίαν Τράπεζαν, καὶ τὸν Σταυρόν. Εἶθ' οὕτως λαμβάνει αὐτὸν μετὰ δίσκου ἐπὶ τῆς κεφαλῆς αὐτοῦ σὺν τῇ θήκῃ, καὶ ἐξέρχεται ἐκ τοῦ ἀριστεροῦ Βήματος, προπορευομένων αὐτοῦ λαμπάδων δύο· καὶ θυμιατοῦ· καὶ ἀπέρχεται εἰς τὰς βασιλικὰς πύλας. Τελεσθείσης δὲ τῆς Δοξολογίας, καὶ τοῦ Τρισαγίου, λέγει ὁ Ἱερεύς. Σοφία ὀρθοί· καὶ λεγομένου τὸ τροπάριον. Σῶσον Κύριε τὸν λαόν σου, ἐκ τρίτου, καὶ εἰσοδεύει ὁ Ἱερεύς, φέρων τὸν τίμιον Σταυρὸν ἔμπροσθεν τῶν ἁγίων Θυρῶν· κἀκεῖσε προσκειμένου τετραπόδου, τίθεται ἐπάνω αὐτοῦ ὁ τίμιος Σταυρός· καὶ εὐθὺς ἀρχόμεθα ψάλλοντες τροπάριον· ἦχος πλ. β'.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Καὶ ἀνοίξας τὴν θήκην, ἄρχεται προσκυνεῖν ὁ Προεστώς, καὶ ὁ Ἱερεὺς βάλλοντες μετανοίας γ'. κατενώπιον τοῦ τιμίου Σταυροῦ· καὶ μετὰ τὸ ἀσπάσασθαι, πάλιν βάλλουσι μετάνοιαν ὁμοίως καὶ εἰς τοὺς Χοροὺς πρὸς μίαν. Εἶθ' οὕτως ἄρχονται οἱ Ἀδελφοί, προσκυνοῦντες δύο δύο κατὰ τὴν τάξιν.

Προσκυνούντων δὲ τῶν Ἀδελφῶν, ψάλλομεν τὰ ἰδιόμελα ταῦτα· ἦχος β'.

Δεῦτε πιστοί, τὸ ζωοποιὸν ξύλον προσκυνήσωμεν· ἐν ᾧ Χριστὸς ὁ Βασιλεὺς τῆς δόξης ἑκουσίως χεῖρας ἐκτείνας, ὕψωσεν ἡμᾶς εἰς τὴν ἀρχαίαν μακαριότητα· οὓς πρὶν ὁ ἐχθρὸς δι' ἡδονῆς συλήσας, ἐξορίστους Θεοῦ πεποίηκε· δεῦτε πιστοί, ξύλον προσκυνήσωμεν· δι' οὗ ἠξιώθημεν τῶν ἀοράτων ἐχθρῶν συντρίβειν τὰς κάρας· δεῦτε πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν, τὸν Σταυρὸν τοῦ Κυρίου ὕμνοις τιμήσωμεν· χαίροις Σταυρὲ τοῦ πεσόντος Ἀδὰμ ἡ τελεία λύτρωσις· ἐν σοὶ οἱ πιστότατοι Βασιλεῖς ἡμῶν καυχῶνται, ὡς τῇ σῇ δυνάμει Ἰσμαηλίτην λαὸν κραταιῶς ὑποτάττοντες· σὲ νῦν μετὰ φόβου Χριστιανοὶ ἀσπαζόμεθα, τὸν ἐν σοὶ προσπαγέντα Θεὸν δοξάζομεν λέγοντες· Κύριε, ὁ ἐν αὐτῷ προσπαγείς, ἐλέησον ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ἦχος πλ. δ'.

Σήμερον ὁ Δεσπότης τῆς Κτίσεως, καὶ Κύριος τῆς δόξης τῷ Σταυρῷ προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται· χολῆς καὶ ὄξους γεύεται, ὁ γλυκασμὸς τῆς Ἐκκλησίας· στέφανον ἐξ ἀκανθῶν περιβάλλεται, ὁ καλύπτων Οὐρανὸν τοῖς νέφεσι· χλαῖναν ἐνδύεται χλεύης, καὶ ῥαπίζεται πηλίνῃ χειρί, ὁ τῇ χειρὶ πλάσας τὸν ἄνθρωπον· τὸν νῶτον φραγγελοῦται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις· ἐμπτυσμοὺς καὶ μάστιγας δέχεται, ὀνειδισμοὺς καὶ κολαφισμούς, καὶ πάντα ὑπομένει δι' ἐμὲ τὸν κατάκριτον ὁ λυτρωτής μου καὶ Θεός, ἵνα σώσῃ Κόσμον ἐκ πλάνης, ὡς εὔσπλαγχνος.

Δόξα, ἦχος πλ. δ'.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ προσιτός μοι γίνεται· καὶ πάσχει πάθη, ἐλευθερῶν με τῶν παθῶν· ὁ φῶς παρέχων τυφλοῖς ὑπὸ ἀνόμων χειλέων ἐμπτύεται, καὶ δίδωσι τὸν νῶτον ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας· τοῦτον ἡ ἁγνή, καὶ Μήτηρ ἐπὶ Σταυροῦ θεωροῦσα ὀδυνηρῶς ἐφθέγγετο, οἴμοι τέκνον ἐμόν, τί τοῦτο πεποίηκας; ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτοὺς ἄπνους, ἄμορφος φαίνῃ, οὐκ ἔχων εἶδος οὐδὲ κάλλος· οἴμοι τὸ ἐμὸν φῶς, οὐ δύναμαι ὑπνοῦντα καθορᾶν σε· τὰ σπλάγχνα τιτρώσκομαι, καὶ δεινή μοι ῥομφαία τὴν καρδίαν διέρχεται· ἀνυμνῶ σου τὰ πάθη, προσκυνῶ σου τὸ εὔσπλαγχνον, μακρόθυμε Κύριε δόξα σοι.

Καὶ νῦν, ὁ αὐτός.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Ἡ συνήθως Ἐκτενή, ἡ Λιτὴ μετὰ τοῦ ἑωθινοῦ ἰδιομέλου, καὶ ἡ ἁ. Ὥρα. Ἐν ᾗ ἀναγινώσκεται ἡ Κατήχησις τοῦ Στουδίτου. Εἰς τὴν Λειτουργίαν Τυπικά. Οἱ Μακαρισμοὶ τοῦ ἤχου, καὶ ἐκ τοῦ Κανόνος τοῦ Σταυροῦ. Ἀντὶ δὲ τοῦ Τρισαγίου. Τὸν Σταυρόν σου προσκυνοῦμεν. Προκείμενον τοῦ Ἀποστόλου· ἦχος πλ. β'.

Σῶσον Κύριε τὸν λαόν σου.

Στιχ. Πρὸς σὲ Κύριε κεκράξομαι.

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους.

Ἀδελφοί, ἔχοντες Ἀρχιερέα μέγαν διεληλυθότα τοὺς Οὐρανούς, Ἰησοῦν τὸν Υἱὸν τοῦ Θεοῦ, κρατῶμεν τῆς ὁμολογίας· οὐ γὰρ ἔχομεν Ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· προσερχώμεθα οὖν μετὰ παρρησίας τῷ θρόνῳ τῆς χάριτος, ἵνα λάβωμεν ἔλεον, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν· πᾶς γὰρ Ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος, ὑπὲρ ἀνθρώπων καθίσταται τὰ πρὸς τὸν Θεόν· ἵνα προσφέρῃ δῶρά τε, καὶ θυσίας ὑπὲρ ἁμαρτιῶν, μετριοπαθεῖν δυνάμενος τοῖς ἀγνοοῦσι, καὶ πλανωμένοις, ἐπεὶ καὶ αὐτὸς περίκειται

Digitized by Google

κειται ἀσθένειαν· καὶ διὰ ταύτην ὀφείλει, καθὼς περὶ τοῦ λαοῦ, οὕτω καὶ περὶ ἑαυτοῦ προσφέρειν ὑπὲρ ἁμαρτιῶν· καὶ οὐχ ἑαυτῷ τις λαμβάνει τὴν τιμήν, ἀλλ' ὁ καλούμενος ὑπὸ τοῦ Θεοῦ, καθάπερ καὶ ὁ Ἀαρών· οὕτω καὶ ὁ Χριστὸς οὐχ ἑαυτὸν ἐδόξασε γενηθῆναι Ἀρχιερέα, ἀλλ' ὁ λαλήσας πρὸς αὐτόν. Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· καθὼς καὶ ἐν ἑτέρῳ λέγει· σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.

Ἀλληλούϊα· ἦχος πλ. δ'.

Μνήσθητι τῆς συναγωγῆς σου.

Στίχ. Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν.

Εὐαγγέλιον τῆς ἡμέρας. Κοινωνικόν. Ἐσημειώθη ἐφ' ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου Κύριε· προσκυνοῦμεν δὲ ἡμέρας δ'. τῇ Κυριακῇ, τῇ β'. τῇ δ'. καὶ τῇ Παρασκευῇ· ψάλλοντες ἀντὶ τοῦ, Τὰ διαβήματά μου. Τὸν Σταυρόν σου προσκυνοῦμεν· καὶ τῇ Παρασκευῇ ποιοῦμεν Τρισάγιον, καὶ προσκυνοῦμεν πάλιν· καὶ συστέλλεται ὁ τίμιος Σταυρὸς ἐν τῇ θήκῃ.

Τῇ Κυριακῇ Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὰ δ'. στιχηρὰ τῆς Ὀκτωήχου, τὰ κατανυκτικὰ τοῦ ἤχου· καὶ τὰ τοῦ Τριῳδίου γ'. προσόμ. τοῦ Κυρίου Ἰωσήφ· ἦχος πλ. δ'.

Κύριε, εἰ καὶ κριτηρίῳ παρέστης.

Κύριε, ὁ ἐπὶ Σταυροῦ ἑκουσίως ὑφαπλώσας τὰς παλάμας σου, τοῦτον κατανύξει καρδίας προσκυνεῖν ἡμᾶς ἀξίωσον, λελαμπρυσμένους καλῶς νηστείαις, καὶ δεήσεσι, καὶ ἐγκρατείᾳ, καὶ εὐποιΐᾳ, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

Ὅμοιον.

Κύριε, τῶν ἁμαρτιῶν μου τὰ πλήθη κατὰ τὸ πλῆθος ἐξάλειψον τῶν σῶν οἰκτιρμῶν, πανοικτίρμον, καὶ τὸν Σταυρόν σου ἀξίωσον ἐν καθαρᾷ τῇ ψυχῇ καὶ βλέπειν, καὶ περιπτύσσεσθαι ἐν τῇ παρούσῃ τῆς ἐγκρατείας ἑβδομάδι, ὡς φιλάνθρωπος.

Ἕτερον στιχηρὸν προσόμοιον τοῦ Κυρίου Θεοδώρου, ἦχος γ'. Μέγιστον θαῦμα.

Μέγιστον θαῦμα, τὸ ξύλον ὁρᾶται, ἐν ᾧ Χριστὸς σαρκὶ ἐσταυρώθη, προσκυνεῖ ὁ Κόσμος, καὶ φωτιζόμενος ἀνακράζει· ὢ τοῦ Σταυροῦ τῇ δυνάμει, καὶ θεωρούμενος δαίμονας καίει· καὶ ἐκτυπούμενος τούτους φλέγων δείκνυται· μακαρίζω σε τὸ ἄχραντον ξύλον, τιμῶ καὶ προσκυνῶ ἐν φόβῳ, καὶ Θεὸν δοξάζω, τὸν διὰ σοῦ μοι χαριζόμενον ζωὴν τὴν ἀτελεύτητον.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν. Θεοτ.

Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμ. ἦχ. πλ. δ'.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σέ.

Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν.

Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου.

Εἰς τὸν στίχ. τὸ ἰδιόμελ. τῆς ἡμέρας Δίς. ἦχος πλ. δ'.

Ἀτενίσαι τὸ ὄμμα εἰς Οὐρανὸν οὐ τολμῶ ὁ τάλας ἐγὼ ἐκ τῶν πονηρῶν μου πράξεων, ἀλλ' ὡς ὁ Τελώνης στενάξας κραυγάζω σοι, ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ φαρισαϊκῆς ὑποκρίσεως ῥῦσαί με, ὡς μόνος εὔσπλαγχνος.

Μαρτ.

Μάρτυρες Κυρίου πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε· καὶ νῦν πρεσβεύσατε ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Δόξα. Καὶ νῦν, Θεοτοκ. ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε, Κεχαριτωμένη μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ Δευτέρᾳ τῆς δ'. Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τοῦ λαχόντος ἤχου. Μετὰ τὴν πρώτην στιχολογίαν λέγομεν καθίσματα κατανυκτικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β'. στιχολογίαν λέγομεν τὸ παρὸν κάθισμα τοῦ κυρίου Ἰωσήφ, ἦχος πλ. δ'.

Ἀνέστης ἐκ νεκρῶν.

Τὸ πάνσεπτον, πιστοί, προσκυνήσωμεν ξύλον, ἐν ᾧ ὁ ποιητὴς τῶν ἁπάντων ὑψώθη, πρόκειται ἁγιάζων τοὺς προσιόντας ψυχῇ καὶ σώματι, ῥύπον ἀποκαθαῖρον τῆς ἁμαρτίας τῶν νηστευόντων πιστῶς, καὶ ἀνυμνούντων πάντοτε Χριστὸν τὸν μόνον εὐεργέτην.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον Ὅμοιον.

Ὁ Λόγος τοῦ Πατρὸς ἐπὶ τῆς γῆς κατῆλθε, καὶ Ἄγγελος φωτὸς τῇ Θεοτόκῳ ἐβόα, χαῖρε εὐλογημένη, ἡ τὴν παστάδα μόνη φυλάξασα, σύλληψιν συλλαβοῦσα τὸν προαιώνιον Θεὸν καὶ Κύριον· ἵνα τῆς πλάνης σώσῃ ὡς Θεὸς τὸ γένος τῶν ἀνθρώπων.

Ἕτερον κάθισμα· εἰς τὴν τρίτην στιχολ. ἦχος γ'.

Τὴν ὡραιότητα.

Μεσοπονήσαντες νῦν τὴν ἐγκράτειαν, καὶ εἰς προσκύνησιν Χριστέ μου φθάσαντες τοῦ ζωηφόρου σου Σταυροῦ, προσπίπτοντες βοῶμέν σοι, μέγας εἶ φιλάνθρωπε, καὶ μεγάλα τὰ ἔργα σου· ὅτι ἐφανέρωσας τὸν Σταυρόν σου τὸν τίμιον, ὃν φόβῳ προσκυνοῦντες κραυγάζομεν· δόξα τῇ ἄκρᾳ εὐσπλαγχνίᾳ σου.



Digitized by Google

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον,

Ὅμοιον.

Ὡς ἀγεώργητος Παρθένε ἄμπελος τὴν ὡραιότατον βότρυν ἐβλάστησας, ἀναπηγάζοντα ἡμῖν τὸν οἶνον τὸν σωτήριον, πάντων τὸν εὐφραίνοντα τὰς ψυχάς, καὶ τὰ σώματα· ὅθεν ὡς αἰτίαν σε τῶν καλῶν μακαρίζοντες, ἀεὶ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι, Χαῖρε ἡ Κεχαριτωμένη.

Ψάλλεται δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια· καὶ στιχολογεῖται ἡ ᾠδή, ᾠδὴ δ'. ἦχος πλ. δ'.

Ἡ φωτοφόρος τοῦ Σταυροῦ προσκύνησις πᾶσιν ἐπέφανεν, ἡλιακὴν αἴγλην σωτηρίας πέμπουσα, καὶ πάντας καταυγάζουσα τοὺς παθῶν ἀμαυρώσει κεκρατημένους· συνδράμωμεν, τοῦτον καθαρῶς κατασπάσασθαι.

Τῇ τῆς νηστείας καθαρθέντες χάριτι, καθαρωτάτῳ νοῒ τῷ καθαρῷ μόνῳ δεῦτε ἐκβοήσωμεν φωνὴν εὐχαριστήριον, σὺ τὸ αἷμά σου Λόγε ὑπὲρ ἡμῶν πάντων δέδωκας, σὺ καὶ τῷ Σταυρῷ ἁγιάζεις ἡμᾶς.

Συμποδισθεὶς ταῖς προσβολαῖς τοῦ ὄφεως, πτῶμα ἐξαίσιον διάπαντος κεῖμαι, Σῶτερ, ὁ τὴν ἔκπτωσιν τῶν πρωτοπλάστων πάθει σου τοῦ Σταυροῦ ἀνορθώσας, ἀνόρθωσον, καὶ ὁδήγησον σοῦ πρὸς θελημάτων ἐκπλήρωσιν.

Παρισταμένη τῷ Σταυρῷ σου, Κύριε, ἡ ἀπειρόγαμος, καὶ τὰς ἐν σοὶ τρώσεις καθορῶσα Δέσποτα, τιτρωσκομένη ἔλεγεν· οἴμοι τέκνον ὠδῖνας ἀποφυγοῦσα τῷ τίκτω σε, νῦν ὀδυνηρῶς κατατρύχομαι.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου, ἦχος γ'.

Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι.

Ἑβδομὰς ἁγία, καὶ φωσφόρος αὕτη τὸν Σταυρὸν τὸν τίμιον προτιθεμένη Κόσμῳ, δεῦτε ἀσπασώμεθα φόβῳ τε, καὶ πόθῳ, τὰς ψυχὰς φωτιζόμενοι, τὸν ἐν αὐτῷ παγέντα Χριστὸν ἐν ᾄσμασι δοξάζοντες.

Τὸν Σταυρόν σου πάντες προσκυνοῦμεν Χριστέ, προοίμιον ποιούμενοι τῆς ἀναστάσεώς σου, ὑμνοῦμεν τοὺς ἥλους σου, τιμῶμεν καὶ τὴν λόγχην σου, τὰ χείλη καὶ τὰ ὄμματα ψυχῆς τε, καὶ τοῦ στόματος ἐν τούτοις ἁγιζόμενοι.

Δόξα.

Τριὰς ἡ ἐν μονάδι οὐσίας ὑμνουμένη, Πάτερ, Υἱὲ σὺν Πνεύματι τῷ ἁγίῳ, ἄναρχε, ἀΐδιε, ἄκτιστε Θεότης, ἡ τοῦ φωτὸς πηγὴ καὶ ζωή, σὲ προσκυνοῦμεν πάντες βροτοὶ τὴν τὸ πᾶν οὐσιώσασαν.

Καὶ νῦν.

Ὑμνοῦμέν σε Παρθένε Θεοτόκε ἁγνή, χερουβικὸν ὄχημα, ἐξ ἧς Θεὸς ἐτέχθη, σὺ γὰρ μόνη γέγονας πηγὴ ἀφθαρσίας, πηγάζουσα πᾶσι ζωήν, ἀφ' ἧς ἀρρυόμενοι, ἰάματα λαμβάνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τεσσαράκοντα νηστειῶν σταδίου μέσον διϊππεύοντες, δεῦτε τῇ διαθέσει Χριστῷ συναπίωμεν πρὸς τὸ θεῖον πάθος, ἵνα συσταυρωθέντες αὐτῷ, κοινωνοὶ γενώμεθα τῆς αὐτοῦ ἀναστάσεως.

Ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ τῷ ποιήσαντι θαυμαστὰ τέρατα ἐν ἐρυθρᾷ θαλάσσῃ· πόντῳ γὰρ ἐκάλυψε τοὺς ὑπεναντίους, καὶ ἔσωσε τὸν Ἰσραήλ, αὐτῷ μόνῳ ᾄσωμεν, ὅτι δεδόξασται.

ᾨδὴ η'. Ἑπταπλασίως κάμινον.

Τὸν ἰοβόλοις πάθεσι καὶ ψυχήν, καὶ διάνοιαν τετραυματισμένην κεκτημένον, Κύριε, ἐλέησον, οἰκτειρον, τῷ σῷ Σταυρῷ θεράπευσον, καὶ ταῖς ἐκ πλευρᾶς σου κενωθείσαις ῥανίσι, προθύμως ἵνα μέλπω, Ἱερεῖς εὐλογεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπὶ τοῦ ὄρους πάλαι σε Μωϋσῆς προετύπωσε, χεῖρας ἀνυψῶν, καὶ Ἀμαλὴκ τροπούμενος, Σταυρὲ πανσεβάσμιε, ὃν προσκυνοῦντες σήμερον, τρέπομεν δαιμόνων τὰ ἀλλόφυλα στίφη, καὶ πίστει μελῳδοῦμεν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑπὸ παθῶν κλονούμενον, ὑπ' ἐχθρῶν σκελιζόμενον, ὑπὸ συνηθείας πονηρᾶς ἑλκόμενον, οἰκτείρησον εὔσπλαγχνε, τῷ σῷ Σταυρῷ θεράπευσον· ὅπως μελῳδῶ ἐν ἀκλονήτῳ καρδίᾳ, οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Ὀδυνηρῶς στενάζουσα, μητρικῶς ὀλολύζουσα, καὶ τὴν ἐκ τῶν σπλάγχνων συνοχὴν μὴ φέρουσα, σταυρῷ ἐνατενίζεις, τῷ ἐκ τῆς σῆς τεχθέντι γαστρός, τέκνον, ἐκβοῶσα, τί τὸ ὅραμα τοῦτο; πῶς πάσχεις ὁ τῇ φύσει ἀπαθής, πάντως θέλων τὸ γένος τῶν ἀνθρώπων φθορᾶς ἐλευθερῶσαι;

Εἱρμὸς ἄλλος. Τὸν ὑπ' Ἀγγέλων ἀεί.

Τὴν Ἐκκλησίᾳ προτεθέντα τὸν Σταυρὸν Χριστοῦ θεώμενοι, φόβῳ καὶ πίστει ἀδελφοὶ προσελθόντες προσκυνήσωμεν, αὐτῷ ἀναβοῶντες, σὺ τὴν ζωὴν ἐξηνθήσας τοῖς βροτοῖς φωτοφόρε.

Τροπαιοφόρον ἐν πολέμοις Οὐρανός σε καθυπέδειξε, ζωοποιὲ ἡμῶν Σταυρέ, Βασιλέων ὅπλον ἄμαχον, ἐχθρῶν ὁ καθαιρέτης. Ἐκκλησιῶν τὸ κέρας, καὶ τῶν πιστῶν σωτηρία.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Πατέρα ἅγιον δοξάζω, καὶ Υἱὸν ἅγιον σέβω, καὶ Πνεῦμα ἅγιον ὑμνῶ, ὁμοούσιον Τριάδα ἁπλῆν, Θεὸν ἕκαστον τούτων. φῶτα καὶ φῶς ὡς ἐξ Ἡλίου ἑνὸς προϊόντα.

Καὶ νῦν.

Χαῖρε πύλη ἀδιόδευτε, χαῖρε βάτε ἀκατάφλεκτε, χαῖρε ἡ στάμνος ἡ χρυσῆ, χαῖρε ὄρος

Digitized by Google

ὄρος ἀλατόμητον, χαῖρε Θεοτόκε ἐλπὶς ἀρραγὴς, καὶ τεῖχος τῶν ἐπὶ σοὶ πεποιθότων.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΗν νηστείαν ἐκμεσάσαντες εὐθαῤῥήσωμεν τῷ Πνεύματι, πρὸς τὸ ἑξῆς νεανικῶς εὐδρομοῦντες σὺν Θεῷ ἀδελφοί· ὅπως καὶ τὸ Πάσχα περιχαρῶς ὀψώμεθα τοῦ Χριστοῦ ἀναστάντος.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

ΤΟν ὑπ' Ἀγγέλων ἀσιγήτως ἐν ὑψίστοις δοξαζόμενον Θεὸν οἱ Οὐρανοὶ τῶν Οὐρανῶν, γῆ, ὄρη, καὶ βουνοὶ, καὶ βυθοὶ, καὶ πᾶν γένος ἀνθρώπων, ὕμνοις αὐτὸν ὡς κτίστην, καὶ ποιητὴν εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε,

Ὠδὴ θ'. Ἔφριξε πᾶσα.

ΕΓγόνους πάλαι Ἰακὼβ εὐλογῶν προδιετύπου στανρωτὰ Σταυρὸν τὸν τίμιον, δι' οὗ, οἰκτίρμον, ἡμᾶς εὐλόγησον, ἁγιασμοῦ παρεκτικὴν χάριν παρεχόμενος τοῖς προσκυνοῦσιν αὐτὸν, καὶ τὸν πάντων λυτρωτήν σε δοξάζουσι.

ΝΗστείας ὕδατι πιστοὶ καθαρθέντες καὶ ψυχὴν, καὶ διάνοιαν, τὸ ζωοδώρητον, καὶ θεῖον ξύλον περιπτυξώμεθα, πρόκειται πᾶσιν ἐμφανῶς βρύον θείαν ἄφεσιν, καὶ φῶς οὐράνιον, καὶ ζωὴν, καὶ ἀληθῆ ἀγαλλίασιν,

ΚΡιτήν σε οἶδα φοβερὸν ἐλευσόμενον ἐν δόξῃ Θεότητος, πάντων τὰ κρύφια ἐλέγχειν τότε μέλλοντα Κύριε· διό σοι κράζω ἀγαθὲ, ἥμαρτον, συγχώρησον, μὴ θριαμβεύσῃς μου τὰ πολλὰ, καὶ χαλεπὰ πλημμελήματα.

ΤΟν ἄρνα πάλαι ἡ ἀμνὰς, θεωροῦσα πρὸς σφαγὴν καθελκόμενον, καὶ σκοτιζόμενον Ἡλίου φέγγος, κλαίουσα ἔλεγεν, Ἥλιε δόξης Ἰησοῦ ἔδυς θανατούμενος, ἀλλὰ ἀνάτειλον τῆς ἐγέρσεως τὸ φῶς τοῖς ποθοῦσί σε.

Εἱρμὸς ἄλλος. Ἐν σιναίῳ τῷ ὄρει.

ΕἸς τὸν τόπον, οἱ πόδες οὗ ἔστησαν τοῦ Δεσπότου, καὶ Θεοῦ, προσκυνήσωμεν ἅπαντες σήμερον τὸν σεπτότατον Σταυρὸν, ὡς Δαβὶδ ἀνακράζει ὁ θεοφωνότατος, καὶ γὰρ ὁ ἅπαντα περιέχων δρακὶ ἐν τούτῳ βέβηκεν.

ΟἹ τὴν γῆν κατοικοῦντες προσέλθετε τῇ νηστείᾳ καθαροὶ, καὶ προκείμενον βλέποντες σήμερον τὸν πανσέβαστον Σταυρὸν προσκυνήσατε φόβῳ, καὶ πίστει εὐφραίνεσθε, καὶ συναγάλλεσθε, τὸν ἁγιασμὸν ταῖς ψυχαῖς ἀρυόμενοι.

Δόξα.

ΤΗ οὐσίᾳ μονάς ἐστιν ἄτμητος ἡ ὑπέρθεος Τριὰς ἑνουμένη τῇ φύσει, μερίζεται τοῖς προσώποις, ἰδικῶς μὴ τμουμένη γὰρ τμᾶται, ἓν οὖσα τριαδεύεται, αὕτη Πατήρ ἐστιν, ὁ Υἱὸς, καὶ πνεῦμα τὸ ζῶν, ἡ φρουροῦσα τὸ πᾶν.

Καὶ νῦν.

ΠΑιδοτόκον Παρθένον τίς ἤκουσε, καὶ μητέρα πλὴν ἀνδρός. Μαριὰμ ἐκτελεῖς τὸ τεράστιον, ἀλλὰ φράζε μοι τὸ πῶς· μὴ ἐρεύνα τὰ βάθη τῆς θεοτοκίας μου· τοῦτο πανάληθες, ὑπὲρ δὲ ἀνθρώπινον νοῦν ἡ κατάληψις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΧΑριστήριον αἶνον προσάξωμεν τῷ Θεῷ πᾶς ὁ λαὸς, ὅτι βλέποντες νῦν ἀσπαζόμεθα τὸν πανάγιον Σταυρόν· γνῶτε οὖν, καὶ ἡττᾶσθε ἐν τούτῳ οἱ δαίμονες· ἔθνη τὰ βάρβαρα γνῶτε, καὶ ἡττᾶσθε, δι' οὗ μεθ' ἡμῶν ὁ Θεός.

Ὁ Εἱρμός.

ΕΝ σιναίῳ τῷ ὄρει κατεῖδέ σε ἐν τῇ βάτῳ Μωϋσῆς, τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος συλλαβοῦσαν ἐν γαστρί· Δανιὴλ δέ σε εἶδεν ὄρος ἀλατόμητον· ῥάβδον βλαστήσασαν Ἠσαΐας κέκραγεν, τὴν ἐκ ῥίζης Δαβίδ.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμελον Δίς. ἦχ. πλ. β'.

ἈΡίστην ὁδὸν ὑψώσεως, Χριστὲ, τὴν ταπείνωσιν ἔδειξας, σεαυτὸν κενώσας, καὶ μορφὴν δούλου λαβὼν, τοῦ Φαρισαίου τὴν μεγάλαυχον εὐχὴν μὴ προσιέμενος· τοῦ δὲ Τελώνου τὸν συντετριμμένον στεναγμὸν ὡς ἱερεῖον ἄμωμον ἐν τοῖς ὑψίστοις προσδεχόμενος. διὸ κἀγὼ βοῶ σοι, ἱλάσθητι ὁ Θεὸς, ἱλάσθητι Σωτήρ μου, καὶ σῶσόν με.

Μαρτ.

ΚΎριε, ἐν τῇ μνήμῃ τῶν Μαρτύρων σου πᾶσα ἡ κτίσις ἑορτάζει, Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις· αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, θεοτοκίον ἦχος ὁ αὐτός.

ἈΡχαγγελικὸν λόγον ὑπεδέξω, καὶ χερουβικὸς θρόνος ἀνεδείχθης, καὶ ἐν ἀγκάλαις σου ἐβάστασας, Θεοτόκε, τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν Τριθέκτην τροπάριον τῆς Προφητείας, ἦχος βαρύς.

ΚΎριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς λαὸν ἡμαρτηκότα, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς ἡμᾶς, ἀγαθὸς ὑπάρχων· σὲ γὰρ δοξάζει πᾶσα ἡ γῆ, καὶ δεόμεθα, φεῖσαι ἡμῶν ἅγιε.

Προκείμενον Ψαλμὸς ξά. ἦχος πλ. β'.

Ἐπὶ τῷ Θεῷ τὸ σωτήριόν μου.

Στίχ. Οὐχὶ τῷ Θεῷ ὑποταγήσεται ἡ ψυχή μου;

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΤΆδε λέγει Κύριος Σαβαώθ. Ὃν τρόπον εἴρηκα, οὕτως ἔσται, καὶ ὃν τρόπον βεβούλευμαι, οὕτως μενεῖ, τοῦ ἀπολέσαι τοὺς Ἀσσυρίους ἐπὶ τῆς γῆς τῆς ἐμῆς, καὶ ἐπὶ τῶν ὀρέων μου, καὶ ἔσονται εἰς καταπάτημα, καὶ ἀφαιρεθήσεται ἀπ' αὐτῶν ὁ ζυγὸς αὐτῶν, καὶ τὸ κῦδος αὐτῶν ἀπὸ τῶν ὤμων ἀφαιρεθήσεται· αὕτη ἡ βουλὴ ἣν βεβούλευται Κύριος ἐπὶ τὴν ὅλην Οἰκουμένην· καὶ αὕτη ἡ χεὶρ ἡ ὑψηλὴ ἐπὶ πάντα τὰ ἔθνη· ἃ γὰρ ὁ Θεὸς ὁ ἅγιος βεβούλευται, τίς διασκεδάσει; καὶ τὴν χεῖρα αὐτοῦ τὴν ὑψηλὴν τίς ἀπο-

ποστρέψει; Τοῦ ἔτους οὗ ἀπέθανεν ὁ Βασιλεὺς Ἄχαζ, ἐγενήθη τὸ ῥῆμα τοῦτο· μὴ εὐφρανθείητε οἱ ἀλλόφυλοι πάντες, συνετρίβη γὰρ ὁ ζυγὸς τοῦ παίοντος ὑμᾶς· ἐκ γὰρ σπέρματος ὄφεως ἐξελεύσεται ἔκγονα ἀσπίδων, καὶ τὰ ἔκγονα αὐτῶν ἐξελεύσονται ὄφεις πετάμενοι, καὶ βοσκηθήσονται πτωχοὶ δι᾽ αὐτοῦ· πτωχοὶ δὲ ἄνθρωποι ἐπὶ εἰρήνης ἀναπαύσονται· ἀνελεῖ δὲ ἐν λιμῷ τὸ σπέρμα σου, καὶ τὸ κατάλειμμά σου ἀνελεῖ. Ὀλολύξατε πύλαι πόλεων, κεκραγέτωσαν πόλεις τεταραγμέναι, οἱ ἀλλόφυλοι πάντες, ὅτι ἀπὸ Βορρᾶ καπνὸς ἔρχεται, καὶ οὐκ ἔστι τοῦ εἶναι· καὶ τί ἀποκριθήσονται Βασιλεῖς ἐθνῶν; ὅτι Κύριος ἐθεμελίωσε Σιὼν, καὶ δι᾽ αὐτοῦ σωθήσονται οἱ ταπεινοὶ τοῦ λαοῦ.

Προκείμενον, Ψαλμὸς ξβ'. ἦχος δ'.

Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου.

Στίχ. Ὁ Θεὸς ὁ Θεός μου πρὸς σὲ ὀρθρίζω.

Τῇ Δευτέρᾳ Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, Στιχηρὰ προσόμοια ἦχος πλ. δ'. Τί ὑμᾶς καλέσ.

Μέσον διϊππεύοντες σήμερον ἡμερῶν τῆς ἐγκρατείας τῇ δυνάμει τοῦ Σταυροῦ, τὸν ἐν τούτῳ ὑψωθέντα μέσον γῆς ὡς κραταιὸν Σωτῆρα, καὶ Θεὸν δοξολογήσωμεν, βοῶντες, θεωροὺς ἡμᾶς ἀνάδειξον τῶν παθημάτων σου Δέσποτα, καὶ τῆς σεπτῆς Ἀναστάσεως, δωρούμενος ἱλασμὸν ἡμῖν, καὶ μέγα ἔλεος.

Ὅμοιον.

Πάθη ταπεινώσωμεν σώματος τῶν βρωμάτων ἀποχῇ, καὶ ἡδονῶν ἀποστροφῇ· καὶ τὸ ξύλον τοῦ Σταυροῦ περιπτυξώμεθα πιστῶς· ὁρᾶται ἐμφανῶς γὰρ προσκυνούμενος, καὶ πάντας ἁγιάζει θείᾳ χάριτι,, καὶ τῷ Κυρίῳ βοήσωμεν, εὐχαριστοῦμέν σοι, εὔσπλαγχνε, τῷ σώζοντι διὰ τούτου τὰς ψυχὰς ἡμῶν.

Ἄλλον· ἦχος ὁ αὐτός. Τὴν Θεοτόκον μα.

Νῦν τὸν Σταυρὸν προσκυνοῦντες πάντες κραυγάζομεν· χαῖρε ξύλον τῆς ζωῆς, χαῖρε σκῆπτρον ἅγιον τοῦ Χριστοῦ, χαῖρε βροτῶν δόξα ἐπουράνιε, χαῖρε Ἀνάκτων τὸ καύχημα, χαῖρε τὸ κράτος τῆς Πίστεως, χαῖρε ὅπλον ἀήττητον, χαῖρε τῶν ἐχθρῶν φυγαδευτήριον, χαῖρε φέγγος λαμπρὸν σωτήριον τοῦ Κόσμου, χαῖρε Μαρτύρων τὸ μέγα κλέος, χαῖρε σθένος Δικαίων, χαῖρε Ἀγγέλων λαμπρότης, χαῖρε πάνσεπτε.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν· Θεοτ. Ἑσπέρας

Προκείμ. Ψαλμὸς ξγ. ἦχος πλ. β'.

Εἰσάκουσον ὁ Θεὸς τῆς φωνῆς μου.

Στίχ. Ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος ὁ Θεὸς διανοηθεὶς, οὐ προσθήσω ἔτι καταράσασθαι τὴν γῆν, διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα· πάσας τὰς ἡμέρας τῆς γῆς σπέρμα καὶ θερισμὸς, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσι· καὶ εὐλόγησεν ὁ Θεὸς τὸν Νῶε, καὶ τοὺς υἱοὺς αὐτοῦ· καὶ εἶπεν αὐτοῖς, αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς· καὶ ὁ τρόμος, καὶ ὁ φόβος ὑμῶν ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ἐπὶ πάντα τὰ πετεινὰ τοῦ Οὐρανοῦ, καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς, καὶ ἐπὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης· ὑπὸ χεῖρας ὑμῖν δέδωκα· καὶ πᾶν ἑρπετὸν, ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα· πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε, καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτὸ, καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου· ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον· ὑμεῖς δὲ αὐξάνεσθε, καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.

Προκείμενον, Ψαλμὸς ξδ'. ἦχος πλ. β'.

Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

Στίχ. Σοὶ πρέπει ὕμνος ὁ Θεός.

Παροιμιῶν.

Υἱὸς δίκαιος γεννᾶται εἰς ζωήν· διωγμὸς δὲ ἀσεβοῦς εἰς θάνατον· βδέλυγμα Κυρίῳ διεστραμμέναι ὁδοί· προσδεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ταῖς ὁδοῖς αὐτῶν· χειρὶ χεῖρας ἐμβαλὼν ἀδίκως, οὐκ ἀτιμώρητος ἔσται· ὁ δὲ σπείρων δικαιοσύνην λήψεται μισθὸν πιστόν· ὥσπερ ἐνώτιον ἐν ῥινὶ Ὑός, οὕτω γυναικὶ κακόφρονι κάλλος· ἐπιθυμία δικαίων πᾶσα ἀγαθή· ἐλπὶς δὲ ἀσεβῶν ἀπολεῖται· εἰσὶν οἱ τὰ ἴδια σπείροντες, πλείονα ποιοῦσιν, εἰσὶ δὲ καὶ οἱ συνάγοντες ἐλαττονοῦνται· ψυχὴ εὐλογουμένη πᾶσα ἁπλῆ· ἀνὴρ δὲ θυμώδης, οὐκ εὐσχήμων· ὁ συνέχων σῖτον ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσιν· εὐλογία δὲ εἰς κεφαλὴν τοῦ μεταδιδόντος· τεκταινόμενος ἀγαθὰ ζητεῖ χάριν ἀγαθήν· ἐκζητοῦντα δὲ κακὰ καταλήψεται αὐτόν· ὁ πεποιθὼς ἐπὶ πλούτῳ, οὗτος πεσεῖται· ὁ δὲ ἀντιλαμβανόμενος δικαίων οὗτος ἀνατελεῖ· ὁ μὴ συμπεριφερόμενος τῷ ἑαυτοῦ οἴκῳ, κληρονομήσει ἄνεμον· δουλεύσει δὲ ἄφρων φρονίμῳ· ἐκ καρποῦ δικαιοσύνης φύεται δένδρον ζωῆς· ἀφαιροῦνται δὲ ἄωροι ψυχαὶ παρανόμων· εἰ ὁ μὲν δίκαιος μόλις σώζεται, ὁ ἀσεβὴς καὶ ἁμαρτωλὸς ποῦ φανεῖται; ὁ ἀγαπῶν παιδείαν ἀγαπᾷ αἴσθησιν· ὁ δὲ μισῶν ἐλέγχους, ἄφρων· κρείσσων, ὁ εὑρὼν χάριν παρὰ Κυρίῳ, ἀνὴρ

δὲ

Digitized by Google

δὲ παράνομος, παρασιωπηθήσεται· οὐ κατορθώσει ἄνθρωπος ἐξ ἀνόμου, αἱ δὲ ῥίζαι τῶν δικαίων οὐκ ἐξαρθήσονται· γυνὴ ἀνδρεία, στέφανος τῷ ἀνδρὶ αὐτῆς· ὥσπερ δὲ ἐν ξύλῳ σκώληξ, οὕτως ἄνδρα ἀπόλλυσι γυνὴ κακοποιός· λογισμοὶ δικαίων κρίματα, κυβερνῶσι δὲ ἀσεβεῖς δόλους· λόγοι ἀσεβῶν δόλιοι· στόμα δὲ ὀρθῶν, ῥύσεται αὐτούς.

Εἰς τὸν στίχ. τὸ ἰδιόμελον· ἦχος πλ. δ'. Δίς.

Μεγαλοῤῥήμων Φαρισαῖος ἐβδελύχθη καυχησάμενος, καὶ Τελώνης ταπεινόφρων, διὰ σιγῆς ἐδικαιώθη προσδεξάμενος· διὸ τῶν ἑκατέρων μαθοῦσα ψυχή μου τὸ διάφορον, τὴν ταπεινοφροσύνην ἕλου, καὶ κατάπαυσε. Χριστὸς γὰρ ταπεινοῖς ἐπηγγείλατο διδόναι χάριν ὡς φιλάνθρωπος.

Μαρτ.

Μάρτυρες Κυρίου ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσασθε ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

Δόξα. Καὶ νῦν, Θεοτοκίον ἦχος ὁ αὐτός.

Ἐγώ, Παρθένε ἁγία Θεοτόκε, τῇ σκέπῃ σου προστρέχω· οἶδα, ὅτι τεύξομαι τῆς σωτηρίας· δύνασαι γὰρ ἁγνὴ βοηθῆσαί μοι.

Τῇ Τρίτῃ τῆς δ'. Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ Τριαδικά. Μετὰ τὴν α'. στιχολογίαν λέγομεν καθίσματα κατανυκτικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β'. στιχολογίαν λέγομεν τὸ παρὸν κάθισμα, ἦχος πλ. δ'. Τὸ ἀσάλευτον στήριγμα.

Ἐγκρατείᾳ λαμπρυνάντες τὰς ψυχὰς ἡμῶν, τὸν Σταυρὸν προσκυνήσωμεν τὸν σωτήριον, ἐν ᾧ Χριστὸς προσηλώθη, καὶ βοήσωμεν αὐτῷ· χαῖρε νηστευόντων ἡ τρυφή, καὶ βεβαία βοήθεια· χαῖρε ἀναιρέτα τῶν παθῶν, τῶν δαιμόνων ἀντίπαλε· χαῖρε ξύλον μακάριον.

Θεοτοκίον Ὅμοιον.

Τὸ ἀσάλευτον στήριγμα τὸ τῆς Πίστεως, καὶ σεβάσμιον δώρημα τῶν ψυχῶν ἡμῶν, τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνωμεν πιστοί· χαῖρε ἡ τὴν πέτραν τῆς ζωῆς ἐν γαστρί σου χωρήσασα· χαῖρε τῶν περάτων ἡ ἐλπίς, θλιβομένων ἀντίληψις· χαῖρε νύμφη ἀνύμφευτε.

Εἰς τὴν τρίτην στιχολογίαν κάθισμα, ἦχος ὁ αὐτός.

Ὡς ἀπαρχὰς τῆς φύσεως.

Ὥσπερ ζωὴν τῆς κτίσεως, τὸν σὸν Σταυρὸν προκείμενον ἡ Οἰκουμένη ἀσπάζεται Κύριε, καὶ προσκυνοῦσα κράζει σοι· τῇ αὐτοῦ ἐνεργείᾳ, ἐν εἰρήνῃ βαθείᾳ τοὺς ἀνυμνοῦντάς σε, τοὺς εὐλογοῦντάς σε διὰ τῆς ἐγκρατείας συντήρησον πολυέλεε.

Θεοτοκίον, ἦχος ὁ αὐτός.

Χαῖρε ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ Κόσμου δεξαμένη· χαῖρε ἡ τεκοῦσα τὸν ποιητήν σου, καὶ Κύριον, χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι Μήτηρ Θεοῦ.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή.

Ὠδὴ β'. ἦχος πλ. δ'. ὁ Εἱρμός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὁ πάλαι τὸν Ἰσραὴλ ἐν ἐρυθρᾷ θαλάσσῃ διαγαγών, καὶ σώσας, καὶ θρέψας, καὶ ἐκ δουλείας πικρᾶς ἐλευθερώσας Φαραώ.

Μέσον τῆς Κτίσεως, ὃν καθυπέμεινας Σταυρόν, Μεσία Λόγε Θεοῦ, τῷ τῆς νηστείας σήμερον μεσασμῷ πιστῶς προσκυνοῦμεν· αἰτούμενοι κατιδεῖν καὶ τὴν Ἀνάστασιν τὴν σήν.

Ῥάβδῳ δυνάμεως προτυπωθείσῃ τῷ Μωσῇ τὴν θάλασσαν τῶν παθῶν διατεμόντες, φθάσωμεν πρὸς γῆν ἐπαγγελίας, καὶ μάννα τοῦ νοητοῦ ἐμφορηθῶμεν δαψιλῶς.

Τίς μὴ θρηνήσει σε; τίς μὴ πενθήσει σε, ψυχή, ποθοῦσαν τὰ πονηρά, οὐκ ἐκζητοῦσαν πόθῳ τὰ ἀγαθά; δικαίου Κριτοῦ δὲ καταφρονοῦσαν ἀεὶ μακροθυμοῦντος ἐπὶ σοί;

Σάρκα γενόμενον ἀναλλοιώτως τὸν Χριστόν, Παρθένε, κυοφορεῖς, ὃν ἐκτενῶς ἱκέτευε, σαρκικῶν παθῶν ἀπαλλάξαι τοὺς προσκυνοῦντας Σταυρόν, ὃν καθυπέμεινε σαρκί.

Εἱρμὸς ἄλλος· ἦχος ὁ αὐτός.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεός, ὁ τῇ Οἰκουμένῃ τὸν Σταυρόν μου παρέχων ὅπλον σωτηρίας, εἰς τὸ νῦν προσκυνεῖσθαι αὐτόν, ὅπως οἱ ἀσπαζόμενοι καταργῶσι τοῦ ἐχθροῦ τὰ μηχανήματα.

Μέγας εἶ Κύριε, καὶ πολυέλεος, ὅτι δέδωκας τὸν ζωοποιόν σου προσκυνεῖσθαι νῦν Σταυρόν, ἔνθα σου αἱ χεῖρες, καὶ οἱ πόδες ἡλώθησαν· ἐν ᾧ τὸ Αἷμα ἐῤῥύη τῆς ἀχράντου σου πλευρᾶς, ζωὴν πηγάζον ἡμῖν.

Δόξα.

Ὑπερτελεστάτη μονάς, ὑπέρθεε, τρισυπόστατε, ἀγέννητε Πάτερ, καὶ Υἱὲ μονογενές, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευθέν, δι' Υἱοῦ δὲ φανέν, οὐσία μία, καὶ φύσις, Κυριότης, Βασιλεία, σῶσον πάντας ἡμᾶς.

Καὶ νῦν.

Ἄῤῥητον τὸ θαῦμα τῆς σῆς κυήσεως Μητροπάρθενε· πῶς γὰρ καὶ λοχεύεις, καὶ ἁγνεύεις ἐν ταυτῷ; πῶς παιδοτοκεῖς, καὶ ἀγνοεῖς πεῖραν ὅλως ἀνδρός; ὡς εἶδεν ὁ ὑπὲρ φύσιν ἐξ ἐμοῦ καινοπρεπῶς Λόγος Θεοῦ γεννηθείς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΣΕ Μωσῆς ὁ μέγας προδιετύπωσε τὸν Σταυρὸν ἡμῖν χεῖρας ἐκπετάσας, καὶ πορθήσας Ἀμαλήκ· σὲ ἐκτυποῦντες ἐν σκιαῖς, καὶ ἀεὶ ἡμεῖς ἐκτρεπόμεθα, καὶ νικῶμεν τὸν ἀρχέκακον ἐχθρὸν, ὑμνολογοῦντες Χριστόν.

Ὁ Εἱρμός.

ΙΔετε, ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς ὑμῶν, ὁ πρὸ τῶν αἰώνων γεννηθεὶς ἐκ τοῦ Πατρὸς, καὶ ἐκ τῆς
„ Παρθένου ἐπ' ἐσχάτων δίχα ἀνδρὸς κυηθεὶς,
„ καὶ λύσας τὴν ἁμαρτίαν τοῦ προπάτορος Ἀδὰμ
„ ὡς φιλάνθρωπος.

Ὠδὴ η΄. Ὁ στηρίζων ἐν ὕδασι.

ΟΣυστείσας θεμέλια πάσης τῆς γῆς, ὡς Θεὸς, ὑψωθεὶς ἐν ξύλῳ, ἄσειστον πᾶσιν ἐδωρήσω πιστοῖς ἔρεισμα, Κύριε, τὸ σωτήριον ὅπλον τοῦ Σταυροῦ σου· ὅνπερ προσκυνοῦντες, σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΑΠαστράπτον θεώμενοι ὑπὲρ Ἡλίου αὐγὰς τοῦ Σταυροῦ τὸ ξύλον, δεῦτε νηστείᾳ ἀστραπτόμενοι νῦν ἀσπασώμεθα, ἀῤῥυόμενοι χάριν φωτοφόρον, σκότος ἐκμειοῦσαν τῶν ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

ΥΔωρ ζῶν τὸ ἀλλόμενον εἰς αἰωνίαν ζωὴν σὺ ὑπάρχων Λόγε, Αἷμα καὶ ὕδωρ ἐκ πλευρᾶς ἐν Σταυρῷ ἔβλυσας Δέσποτα, ἁμαρτίας χειμάῤῥους ἀναστέλλων· ὅθεν δυσωπῶ σε, ξήρανον παθῶν μου τὰς πονηρὰς ἐκβλύσεις.

Θεοτοκίον.

ΝΟητὸν ὡς ἁγίασμα, τὸν ἐν Ἁγίοις Θεὸν ἀναπεπαυμένον τίκτεις Ἁγία, Θεομῆτορ ἁγνὴ, πάντα τὰ πέρατα ἁγιάζοντα θείᾳ προσκυνήσει σήμερον, Παρθένε, ξύλου παναγίου, ἐν ᾧ σαρκὶ ἐπάγη.

Εἱρμὸς ἄλλος. Ἄγγελοι καὶ Οὐρανοί.

ΔΕῦτε ἴδωμεν λαοὶ τὸ ζωηφόρον ξύλον νῦν προκείμενον, ἐν ᾧ Χριστὸς ἐπάγη ὁ Θεὸς ἡμῶν, καὶ σὺν φόβῳ ὑμνοῦντες, τοῦτον προσκυνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΤΟν τρισύνθετον Σταυρὸν, ὡς τῆς Τριάδος τύπον, ἀνυμνήσωμεν· καὶ προσκυνοῦντες φόβῳ ἀνακράξωμεν, εὐλογοῦντες, ὑμνοῦντες, καὶ ὑπερυψοῦντες Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΕΙς Θεὸς οὖν ἡ Τριὰς, οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς υἱότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν, ἀλλ' ἰδίᾳ, καὶ ἄμφω, ὡς Θεὸν τὰ τρία δοξάζω εἰς αἰῶνας.

ΜΟνη ἀφθόρως κύεις, μόνη θηλάζεις βρέφος μὴ λοχεύουσα, μόνη τὸν Κτίστην τίκτεις, καὶ Δεσπότην σου, εἰ καὶ δούλη, καὶ μήτηρ, σὲ Παρθενομῆτορ ὑμνοῦμεν εἰς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΟν τυφλὸν ἐκ γενετῆς ὁ ὀμματώσας λόγῳ, πηρωθέν μου τὸ τῆς καρδίας ὄμμα πάλιν ἄνοιξον, ἵνα βλέψω τὸ φῶς τῶν σῶν προσταγμάτων, Χριστὲ, εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

ΑΓγελοι καὶ Οὐρανοὶ, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζό-
„ μενον εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ θ΄. Εὐλογητὸς Κύριος ὁ Θεός.

ΕΥλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ Σταυρῷ σου λύσας τὴν ἀρχαίαν ἀρὰν, καὶ τοῦτον ἡμῖν δωρησάμενος κραταίωμα, καὶ καταφυγὴν, καὶ ἀσφαλῆ κρηπῖδα· δι' οὗ τοὺς ἐχθροὺς ἡμῶν νῦν κρατοῦμεν.

ΟΤι σειραῖς συσφίγγομαι ἀμετρήτων μου κακῶν, καὶ τὰς τρίβους σου τὰς σωτηρίους, Χριστὲ, ἑκὼν ἐπιγνῶναι οὐ βούλομαι, τῷ σῷ με ἐπίστρεψον Σταυρῷ, τὴν πώρωσίν μου λύων δι' ἄφατον ἔλεος τῆς σῆς εὐσπλαγχνίας.

ΤΗν Φαρισαίου ἔπαρσιν μιμησάμενος κακῶς, κατηνέχθην πτῶμα χαλεπὸν, καὶ δεινὸν, καὶ κεῖμαι ἐχθρῶν καταπάτημα· ἀλλ' οἰκτειρον, σῶσόν με Χριστὲ, σεαυτὸν δι' οἶκτον ταπεινώσας ὑψίστε Βασιλεῦ τῆς δόξης.

Θεοτοκίον.

ΑΙ γεναὶ σε ἅπασαι μακαρίζουσιν ἁγνὴ, Ἰησοῦς γὰρ μόνος ὁ τεχθεὶς ἐκ τῆς σῆς νηδύος, αὐτὸς, ὡς ἐπίσταται, ἐποίησε, κόρη μετὰ σοῦ Παρθένε, μεγαλεῖα· ὃν δυσώπει, σώζεσθαι ποίμνην καὶ λαόν σου.

Εἱρμὸς, ὁ αὐτός.

ΕΥλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ Σταυρῷ σου λύσας τὴν ἀρχαίαν ἀρὰν, καὶ τοῦτον πιθεὶς ἡμῖν εἰς προσκύνησιν, ὃν αὐτὸν ἀσπαζόμενοι πιστῶς, αὐτὸν καὶ ἀνυμνοῦντες, σοῦ τὸ μέγα ἔλεος ὑμνοῦμεν ἀπαύστως.

ΤΗς Ἐκκλησίας καύχημα σὺ εἶ, τίμιε Σταυρὲ Βασιλείας ὅπλον, καὶ τοῦ Κόσμου παντὸς εἰρήνης βραβεῖον θεότευκτον, Σταυρὲ, ὀρθοδόξων ἡ χαρὰ, τῆς Οἰκουμένης φύλαξ, φύλαξον, ἁγίασον τοὺς σὲ προσκυνοῦντας.

Δόξα.

ΤΡιὰς ἁγία δόξα σοι, ἡ ὁμότιμος μονὰς, θεία φύσις, μία Βασιλεία φρικτὴ, ὁ Πατὴρ, ὁ Υἱὸς σὺν τῷ Πνεύματι, τὸ φῶς τὸ ἀπρόσιτον παντὶ, ἡ ἄναρχος Θεότης, σῶσον τοὺς λατρεύοντάς σοι τῶν πάντων Κτίστη.

Καὶ νῦν.

ΕΝ τῷ Σταυρῷ ὡς ἵστατο ἡ ἀμνάς σου, Ἰησοῦ, τὸν ποιμένα, καὶ Δεσπότην αὐτῆς ὁρῶσα, πικρῶς ἐπωδύρετο, καὶ σπλάγχνα κινοῦσα ἐπὶ σοὶ Χριστὲ ἀνεκαλεῖτο, τί τὸ ξένον θέαμα; ἡ ζωὴ πῶς θνήσκεις;

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΟν Μανασσῆν ὡς ἔσωσας μεταγνόντα ὁ Θεὸς, σῶσον κἀμὲ δάκρυσι μετανοοῦντα πικρῶς, καὶ μὴ ἀποστρέψῃς τὸν δοῦλόν σου· ἐξέ-

κλινα

κλίνα γάρ μου τὴν ψυχήν, ὡς πάλαι Ἰσραὴλ ἐκεῖνος, πάσας τὰς ἡμέρας μου ζῶν ἐν ἀσωτίᾳ.

Ὁ Εἱρμός.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ἐγείρας κέρας σωτηρίας ἡμῖν ἐν οἴκῳ Δαβὶδ „ τοῦ παιδὸς αὐτοῦ, ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνα- „ τολὴ ἐξ ὕψους· καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν „ εἰρήνης.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμελ. τῆς ἡμέρας Δίς· ἦχος πλ. δ'.

Τοῦ μεγαλαύχου Φαρισαίου τὴν ἐξ οἰήσεως ἐννοοῦσα ψυχή μου κατάκρισιν, καὶ τοῦ ταπεινόφρονος Τελώνου τὴν δι' ἐξαγορεύσεως πταισμάτων ἐπιγνοῦσα δικαίωσιν· τοῦ μὲν ἀποθέσθαι κατεπείγου τὴν ἐπ' ἀρετῆς περιπέτειαν· τοῦ δὲ προλαβέσθαι τὴν ἐφ' οἷς ἐπλημμέλησας ἐξομολόγησιν· διεγείρου τὴν ἀπὸ ταπεινῶν σεαυτῇ καρπουμένη διὰ μετριοπαθείας ὕψωσιν παρὰ Χριστοῦ, τοῦ ἔχοντος τὸ μέγα ἔλεος.

Μαρτυρικόν.

Μεγάλως ἠγωνίσασθε, Μάρτυρες, τὰς βασάνους τῶν ἀνόμων ὑπομείναντες γενναίως· τὸν Χριστὸν ὁμολογοῦντες ἐναντίον Βασιλέων· καὶ πάλιν μεταστάντες ἐκ τοῦ βίου, δυνάμεις ἐνεργεῖτε ἐν τῷ Κόσμῳ· καὶ ἀσθενεῖς θεραπεύετε ἐκ τῶν παθῶν αὐτῶν, Ἅγιοι, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Θεοτοκίον· ἦχος ὁ αὐτός.

Ἡ σκέπη σου Θεοτόκε Παρθένε ἰατρεῖον ὑπάρχει πνευματικόν· ἐν αὐτῇ γὰρ καταφεύγοντες, ψυχικῶν νοσημάτων λυτρούμεθα.

Εἰς τὴν Τριτοέκτην Τροπάριον τῆς Προφητείας, ἦχος πλ. β'.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Προκείμενον, Ψαλμὸς ξέ. ἦχος πλ. β'.

Εὐλογητὸς ὁ Θεός, ὃς οὐκ ἀπέστησε τὴν προσ.

Στίχ. Εὐλογεῖτε ἔθνη τὸν Θεὸν ἡμῶν.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Κύριε ὁ Θεός, δοξάσω σε, ὑμνήσω τὸ ὄνομά σου, ὅτι ἐποίησας θαυμαστὰ πράγματα, βουλὴν ἀρχαίαν ἀληθινήν· γένοιτο, ὅτι ἔθηκας πόλεις εἰς χῶμα, πόλεις ὀχυράς, τοῦ μὴ πεσεῖν αὐτῶν τὰ θεμέλια· τῶν ἀσεβῶν πόλις τὸν αἰῶνα οὐ μὴ οἰκοδομηθῇ· καὶ διὰ τοῦτο εὐλογήσει σε ὁ λαὸς ὁ πτωχός, καὶ πόλεις ἀνθρώπων ἀδικουμένων εὐλογήσουσί σε· ἐγένου γὰρ πάσῃ πόλει ταπεινῇ βοηθός, καὶ τοῖς ἀθυμήσασι δι' ἔνδειαν σκέπη· ἀπὸ ἀνθρώπων πονηρῶν ῥύσῃ αὐτούς, σκέπη διψώντων, καὶ πνεῦμα ἀνθρώπων ἀδικουμένων· ὡς ἄνθρωποι ὀλιγόψυχοι διψῶντες ἐν Σιών, ὅτι ῥύσῃ αὐτοὺς ἀπὸ ἀνθρώπων ἀσεβῶν, οἷς ἡμᾶς παρέδωκας, καὶ ποιήσει Κύριος Σαβαὼθ πᾶσι τοῖς ἔθνεσιν ἐπὶ τὸ ὄρος τοῦτο πίονται εὐφροσύνην· πίονται οἶνον, χρίσονται μύρον, ἐν τῷ ὄρει τούτῳ· παράδος ταῦτα πάντα τοῖς ἔθνεσιν· ἡ γὰρ βουλὴ αὕτη ἐπὶ πάντα τὰ ἔθνη· κατέπιεν ὁ θάνατος ἰσχύσας, καὶ πάλιν ἀφεῖλε Κύριος ὁ Θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, τὸ ὄνειδος τοῦ λαοῦ, ἀφεῖλεν ἀπὸ πάσης τῆς γῆς· τὸ γὰρ στόμα Κυρίου ἐλάλησεν· καὶ ἐροῦσι τῇ ἡμέρᾳ ἐκείνῃ· ἰδοὺ ὁ Θεὸς ἡμῶν, ἐφ' ᾧ ἠλπίζομεν, καὶ σώσει ἡμᾶς· οὗτος Κύριος· ὑπεμείναμεν αὐτῷ, καὶ ἠγαλλιώμεθα, καὶ εὐφρανθησόμεθα ἐπὶ τῇ σωτηρίᾳ ἡμῶν.

Προκείμενον, Ψαλμὸς ξς'. ἦχος πλ. β'.

Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς ἡμῶν.

Στίχ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Τῇ Τρίτῃ τῆς μέσης Ἑβδομάδος Ἑσπέρας εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ς'. καὶ ψάλλομεν στιχηρὰ προσόμοια τοῦ Τριῳδίου· ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Μέσον γῆς ὑπέμεινας Σταυρόν, καὶ πάθος, οἰκτίρμον, πᾶσι τὴν ἀπάθειαν, καὶ τὴν ἀπολύτρωσιν παρεχόμενος· μεσασμὸν σήμερον νηστειῶν ἅπαντες διὰ τοῦτο εἰς προσκύνησιν αὐτοῦ προτιθέμενον, καὶ περιχαρῶς ἀσπαζόμεθα ἰδεῖν σου τὰ παθήματα, καὶ τὴν ζωηφόρον Ἀνάστασιν ἐκλελαμπρυσμένοι ταῖς θείαις ἀρεταῖς, Λόγε Θεοῦ, ἀναδειχθείημεν ἅπαντες μόνε πολυέλεε.

Ὅμοιον.

Νεκρὸς ἐξεκρέμασας ἐπὶ Σταυροῦ ἡπλωμένος, καὶ λόγχῃ νυττόμενος, καὶ χολὴν μυκεραύμε ποτιζόμενος· ὁ πικρὰς ὕδατα ἐν χειρὶ Δέσποτα Μωϋσέως εἰς γλυκύτητα μεταβαλόμενος· ὅθεν δυσωπῶ σε, καὶ δέομαι, τὰ πάθη τὰ πικρότατα ἐκ τῆς διανοίας μου ἔκπλυνον, καὶ τῆς μετανοίας τῷ μέλιτι γλυκάνας μου τὸν νοῦν, προσκυνητήν με ἀνάδειξον τοῦ τιμίου πάθους σου.

Ἄλλος· ἦχος α'. Ὁ πάλαι τοῦ Μωσῆ.

Ὅνπερ πάλαι Μωϋσῆς προτυπώσας ἐν ταῖς παλάμαις αὐτοῦ κατετροποῦτο τὸν Ἀμαλήκ, μέγαν Σταυρὸν σήμερον ἐπ' ὄψει ἡμῶν βλέποντες λαοὶ προτεθέντα, φρικτῶς ψαύσωμεν ἐν ἀγνότητι νοός τε, καὶ χειλέων, ἐν αὐτῷ γὰρ Χριστὸς ὑψώθη, ἀπονεκρώσας τὸν θάνατον, καὶ τῆς τοιαύτης χάριτος ἅπαντας καταξιούμενοι, ἐν ᾠδαῖς θεοπνεύστοις τοῦ παντὸς τὸν Σωτῆρα ὁμολογοῦντες προσδεξώμεθα, προφθάσαι καὶ αὐτὴν τὴν σωτήριον Ἀνάστασιν.

Ἕτερα στιχηρὰ προσόμοια· ἦχος δ'. Ἔδωκας.

Δεῦτε προσκυνήσωμεν τὸ τῆς ζωῆς ἡμῶν πρόξενον τίμιον ξύλον σήμερον Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, τὸν Σταυρόν, δι' ὑπὲρ θάνατος ἐρρώθη,

καὶ ἡ ἀνάστασις ἡμῖν τοῖς ἑπταικόσιν ἐκαινουργήθη σαφῶς, τῷ ῥυσαμένῳ κράζοντες, ὁ δι᾽ ἡμᾶς ἑκουσίως παθών, ἵνα σώσῃς τὰ σύμπαντα, ὁ Θεὸς ἡμῶν δόξα σοι.

ΚΡάτος ἀπροσμάχητον χριστιανοῖς ἡμῖν δέδοται ὁ Σταυρός σου Σωτὴρ ἡμῶν· δι᾽ οὗ τὰ ἀλλόφυλα τῶν ἐθνῶν τροποῦνται πλήθη, καὶ εἰρήνην τῆς Ἐκκλησίας σου, Χριστὲ, ἐπισκιάζεις ὀρθοδοξούσης καλῶς. ὅνπερ νῦν ἀσπαζόμενοι, σοὶ θερμῶς ἀνακράζομεν, τῆς μερίδος ἀξίωσον καὶ ἡμᾶς τῶν Ἁγίων σου.

ΔΑ΄κρυσι καθάραντες τὰ τῆς ψυχῆς αἰσθητήρια, καὶ νηστείᾳ ἁγνίσαντες δεῦτε προσκυνήσωμεν τοῦ Σταυροῦ τὸ ξύλον, δι᾽ οὗ καταργοῦνται τὰ ψυχοφθόρα τῆς σαρκὸς τῇ ἐγκρατείᾳ ἀνασκιρτήματα, τῷ σταυρωθέντι κραυγάζοντες, τῆς σῆς Σωτὴρ καταξίωσον τριημέρου Ἐγέρσεως προσκυνῆσαι τὴν ἔλλαμψιν.

Δόξα. Καὶ νῦν, ἦχος πλ. δ΄.

ΣΗ΄μερον ὁ Δεσπότης τῆς Κτίσεως, καὶ Κύριος τῆς δόξης τῷ Σταυρῷ προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται, χολῆς καὶ ὄξους γεύεται ὁ γλυκασμὸς τῆς Ἐκκλησίας· στέφανον ἐξ ἀκανθῶν περιβάλλεται, ὁ καλύπτων Οὐρανὸν τοῖς νέφεσι· χλαῖναν ἐνδύεται χλεύης, καὶ ῥαπίζεται πηλίνῃ χειρὶ, ὁ τῇ χειρὶ πλάσας τὸν ἄνθρωπον· τὸν νῶτον φραγγελλοῦται, ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις· ἐμπτυσμοὺς, καὶ μάστιγας δέχεται, ὀνειδισμοὺς, καὶ κολαφισμοὺς πάντας ὑπομένει δι᾽ ἐμὲ τὸν κατάκριτον ὁ λυτρωτής μου καὶ Θεὸς, ἵνα σώσῃ Κόσμον ἐκ πλάνης, ὡς εὔσπλαγχνος.

Ἑσπέρας, Προκείμενον Ψαλμὸς ξς΄.

ἦχος πλ. β΄.

Ἄσατε τῷ Κυρίῳ, ψάλλατε τῷ ὀνόματι.

Στίχ. Ὁδοποιήσατε τῷ ἐπιβεβηκότι ἐπὶ δυσμῶν.

Γενέσεως τὸ Ἀνάγνωσμα.

ΕΙ῏πεν ὁ Θεὸς τῷ Νῶε, καὶ τοῖς υἱοῖς αὐτοῦ μετ᾽ αὐτοῦ, λέγων· καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν, καὶ τῷ σπέρματι ὑμῶν μεθ᾽ ὑμᾶς, καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ᾽ ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν· καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα ἐστὶ μεθ᾽ ὑμῶν ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς Κιβωτοῦ· καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς· καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ οὐκ ἔτι ἔσται κατακλυσμὸς ὕδατος, καταφθεῖραι πᾶσαν τὴν γῆν· καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ, καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ᾽ ὑμῶν εἰς γενεὰς αἰωνίους· τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς· καὶ ἔσται ἐν τῷ συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν, ὀφθήσεται τὸ τόξον ἐν τῇ νεφέλῃ, καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀναμέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκὶ, καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμὸν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα, καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ· καὶ ὄψομαι τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ, καὶ τῆς γῆς, καὶ ἀνὰ μέσον ψυχῆς ζώσης ἐν πάσῃ σαρκὶ, ἥ ἐστιν ἐπὶ τῆς γῆς· καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε, τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον πάσης σαρκὸς, ἥ ἐστιν ἐπὶ τῆς γῆς.

Προκείμενον Ψαλμὸς ξή. ἦχος πλ. β΄.

Ἡ σωτηρία σου ὁ Θεὸς ἀντιλάβοιτό μου.

Στίχ. Ἰδέτωσαν πτωχοὶ, καὶ εὐφρανθήτωσαν.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΣΤόμα σοφοῦ ἐγκωμιάζεται ὑπὸ ἀνδρὸς, νωθροκάρδιος δὲ μυκτηρίζεται, κρείσσων ἀνὴρ ἐν ἀτιμίᾳ δουλεύων ἑαυτῷ, ἢ τιμὴν ἑαυτῷ περιτιθεὶς καὶ προσδεόμενος ἄρτου· δίκαιος οἰκτείρει ψυχὰς κτηνῶν αὐτοῦ· τὰ δὲ σπλάγχνα τῶν ἀσεβῶν ἀνελεήμονα· ὁ ἐργαζόμενος τὴν ἑαυτοῦ γῆν ἐμπλησθήσεται ἄρτων, οἱ δὲ διώκοντες μάταια ἐνδεεῖς φρενῶν· ὅς ἐστιν ἡδὺς ἐν οἴνων διατριβαῖς, ἐν τοῖς ἑαυτοῦ ὀχυρώμασι καταλείψει ἀτιμίαν· ἐπιθυμίαι ἀσεβῶν κακαί· αἱ δὲ ῥίζαι τῶν εὐσεβῶν ἐν ὀχυρώμασι· δι᾽ ἁμαρτίαν χειλέων ἐμπίπτει εἰς παγίδας ἁμαρτωλός· ἐκφεύγει δὲ ἐξ αὐτῶν δίκαιος· ὁ βλέπων λεῖα ἐλεηθήσεται· ὁ δὲ συναντῶν ἐν πύλαις ἐκθλίψει ψυχάς· ἀπὸ καρπῶν στόματος ψυχὴ ἀνδρὸς· ἀνταπόδομα δὲ χειλέων αὐτοῦ δοθήσεται αὐτῷ, ὁδοὶ ἀφρόνων ὀρθαὶ ἐνώπιον αὐτῶν, εἰσακούει δὲ συμβουλίας σοφός· ἄφρων αὐθημερὸν ἐξαγγέλλει ὀργὴν αὐτοῦ, κρύπτει δὲ τὴν ἑαυτοῦ ἀτιμίαν ἀνὴρ πανοῦργος· ἐπιδεικνυμένην πίστιν ἀπαγγέλλει δίκαιος· ὁ δὲ μάρτυς τῶν ἀδίκων δόλιος· εἰσὶν οἱ λέγοντες τιτρώσκουσι μάχαιρῃ, γλῶσσαι δὲ σοφῶν ἰῶνται· χείλη ἀληθινὰ κατορθοῖ μαρτυρίαν, μάρτυς δὲ ταχὺς γλῶσσαν ἔχει ἄδικον· δόλος ἐν καρδίᾳ τεκταινομένου κακά, οἱ δὲ βουλόμενοι εἰρήνην εὐφρανθήσονται· οὐκ ἀρέσει τῷ δικαίῳ οὐδὲν ἄδικον· οἱ δὲ ἀσεβεῖς πλησθήσονται κακῶν· βδέλυγμα Κυρίῳ χείλη ψευδῆ, ὁ δὲ ποιῶν πίστεις δεκτὸς παρ᾽ αὐτῷ.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. ἦχος γ΄. Δίς.

ΝΙκῶν τὸν Τελώνην τοῖς παραπτώμασιν, οὐ ζηλῶ τῇ μετανοίᾳ· τοῦ δὲ Φαρισαίου μὴ κεκτημένος τὰ κατορθώματα, μιμοῦμαι τὴν ὀφρῦν· ἀλλ᾽ ἡ τῆς σῆς ταπεινώσεως ὑπερβολὴ Χριστὲ ὁ Θεὸς τὴν δαιμονικὴν ὑψηλοφροσύνην ἐν τῷ Σταυρῷ καθελοῦσα τοῦ μὲν τῆς προτέρας πονηρίας, τοῦ δὲ τῆς ἐσχάτης ἀπονοίας ἀλλοτρίωσόν με· τὴν ἑκατέρων χρηστὴν διάθεσιν ἐν τῇ ψυχῇ μου βεβαιώσας, καὶ σῶσόν με.

Digitized by Google

Μαρτυρικόν.

Προφῆται, καὶ Ἀπόστολοι Χριστοῦ, καὶ Μάρτυρες ἐδίδαξαν, ὑμνεῖσθαι Τριάδα ὁμοούσιον, καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ κοινωνοὺς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

Δόξα. Καὶ νῦν, τὸ Ἰδιόμ. ἦχος πλ. ά.

Ὁρῶσά σε ἡ Κτίσις ἅπασα ἐπὶ Σταυροῦ γυμνὸν κρεμάμενον, τὸν δημιουργὸν, καὶ Κτίστην τῶν ἁπάντων, ἠλλοιοῦτο φόβῳ, καὶ ἐπωδύρετο· ὁ Ἥλιος δὲ τὸ φῶς ἠμαύρωσε, καὶ ἡ γῆ ἐκυμαίνετο· πέτραι δὲ ἐσχίζοντο, καὶ Ναοῦ φαιδρότης διερρήγνυτο· νεκροὶ ἐξανίσταντο ἐκ μνημάτων, καὶ Ἀγγέλων αἱ δυνάμεις ἐξίσταντο λέγουσαι· ὢ τοῦ θαύματος, ὁ Κριτὴς κρίνεται, καὶ πάσχει θέλων διὰ τὴν τοῦ Κόσμου σωτηρίαν, καὶ ἀνάπλασιν.

Ὁ Κανὼν τοῦ Μιχαὴλ εἰς τὰ Ἀπόδειπνα.

Τῇ δ΄. τῆς μέσης Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τῆς Ὀκτωήχου· μετὰ τὴν ά. στιχολ. καθίσμα· σταυρώσιμα τῆς Ὀκτωήχου· μετὰ δὲ τὴν γ΄. στιχλ. λεγόμενον τὸ παρὸν κάθισ. τοῦ κυρίου Ἰωσήφ· ἦχος πλ. β΄.

Ἐλπὶς τοῦ Κόσμου.

Τῆς ἐγκρατείας τὸν καιρὸν ἁγιάζων ὁ θεῖος, καὶ πανσεβάσμιος Σταυρὸς, εἰς προσκύνησιν κεῖται· προσέλθωμεν ἐν συνειδήσει καθαρᾷ· ἀντλήσωμεν ἁγιασμὸν καὶ φωτισμὸν, καὶ φόβῳ ἐκβοήσωμεν, Σωτὴρ ἡμῶν φιλάνθρωπε δόξα τῇ εὐσπλαγχνίᾳ σου.

Σταυροθεοτοκίον Ὅμοιον.

Παρισταμένη τῷ Σταυρῷ ἡ ἀπειρόγαμος, Σωτὴρ, τοῦ ἐξ αὐτῆς ἄνευ σπορᾶς τεχθέντος, ἀνεβόησε· ῥομφαία τὴν καρδίαν μου διῆλθεν, ὦ Υἱὲ, μὴ φέρουσα κρεμάμενον ἐν ξύλῳ σε ὁρᾶν, ὃν τρέμουσι τὰ σύμπαντα, ὡς Κτίστην, καὶ Θεὸν, μακρόθυμε δόξα σοι.

Εἰς τὴν γ΄. στιχολογ. κάθισ. τοῦ κυρίου Θεοδώρου· ἦχ. ά.

Ἀπεγνωσμένην.

Λαμπροφοροῦντες ταῖς ἀρεταῖς, προσέλθωμεν τῆς ἐγκρατείας τὸ καθαρὸν κτησάμενοι, καὶ τὸν Σταυρὸν τὸν τίμιον βοῶντες προσκυνήσωμεν· ἁγίασον ἡμᾶς, σὺν ταῖς ψυχαῖς καὶ τὰ σώματα, ἀξίωσον ἡμᾶς καὶ τοῦ ἀχράντου πάθους σου ὁ μόνος Θεὸς ἁπάντων, χαριζόμενος ἡμῖν καὶ τὰ ἐλέη σου.

Σταυροθεοτοκίον ἦχος ὁ αὐτὸς. Τὸν τάφον σου.

Ὁρῶσα σὲ Χριστὲ ἡ πανάμωμος Μήτηρ νεκρὸν ἐπὶ Σταυροῦ ἡπλωμένον ἐβόα. Υἱὲ μου συνάναρχε τῷ Πατρὶ, καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη, δι᾽ ἧς ἔσωσας τὸ τῶν ἀχράντων χειρῶν σου οἰκτίρμων πλαστούργημα;

Ὁ Κανὼν τοῦ Σταυροῦ, οὗ ἡ ἀκροστιχ. Τὸ πανσέβαστον προσκυνήσωμεν Ξύλον· ποίημα τοῦ κυρίου Θεοφάνους. Ὠδὴ ά. ἦχος δ΄.

Ἀνοίξω τὸ στόμα μου.

Τὸ ξύλον τὸ ἅγιον, ἐν ᾧ Χριστὸς ἐξεπέτασε παλάμας, τροπούμενος τὰς ἐναντίας ἀρχὰς, προσκυνήσωμεν νηστείᾳ φαιδρυνθέντες εἰς δόξαν, καὶ αἴνεσιν τοῦ Παντοκράτορος.

Ὁρᾶται προκείμενος ἁγιασμὸν παρεχόμενος Σταυρὸς ὁ σωτήριος, τούτῳ προσέλθωμεν, καθαγνίσαντες, καὶ σῶμα, καὶ καρδίαν, καὶ ἀπαρυσώμεθα χάριν σωτήριον.

Πυρί με καθάρισον τῶν ἐντολῶν σου φιλάνθρωπε, καὶ σοῦ τὰ σωτήρια δίδου παθήματα νῦν θεάσασθαι, καὶ πόθῳ προσκυνῆσαι Σταυρῷ τειχιζόμενον, καὶ συντηρούμενον.

Ἀνάρτησιν βλέπουσα τὴν ἐν Σταυρῷ σου φιλάνθρωπε, ὠλόλυζε κράζουσα ἡ σὲ κυήσασα, πῶς κατάκριτος ὁ μέλλων πάντας κρίναι ὁρᾶται κρεμάμενος δόξης ὁ Κύριος;

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε.

Νηστείας ἐν ὕδατι καρδίας ῥιφθέντες, τὸ ξύλον τοῦ Σταυροῦ πιστῶς περιπτυξώμεθα, ἐν ᾧ Χριστὸς σταυρούμενος, ὕδωρ ἡμῖν ἐπήγασεν ἀθανασίας, Σταυρὸν αὐτοῦ.

Σταυροῦ τῷ ἱστίῳ πτερωθέντες, τὸν πλοῦτον σωτήριον ἰδοὺ νηστείας ἐκμεσώσαντες Μεσσία Ἰησοῦ ὁ Θεὸς· δι᾽ οὗ ἡμᾶς τοῦ πάθους σου πρὸς τὸν λιμένα ἐγκαθόρμισον.

Ἐτύπου Μωσῆς σε ἐν τῷ ὄρει ἐθνῶν εἰς ἀναίρεσιν Σταυρέ· ἡμεῖς δὲ ἐκτυποῦμεν σε, καρδίᾳ καθορῶντες σε, καὶ προσκυνοῦντες, τρέπομεν ἐχθροὺς ἀσάρκους τῇ δυνάμει σου.

Βουλήσει σου ἄνθρωπος ἐγένου, Θεὸς ὢν, καὶ πάντων ποιητής: καὶ νῦν Σταυρῷ κρεμάμενον σὲ καθορῶ Υἱέ μου Χριστὲ, ἡ σὲ τεκοῦσα ἔλεγε, καὶ τὴν καρδίαν τιτρώσκομαι.

Τὸ Τριῴδιον. Ὠδὴ γ΄. ἦχος πλ. β΄.

Κύριος ὢν.

Κύριος ὢν πάντων, καὶ κτίσης Θεὸς, μέσον γῆς ἐπὶ Σταυροῦ ὑψώθης, πρὸς σεαυτὸν ἀνυψῶν τὴν πεσοῦσαν ἀνθρώπων οὐσίαν, κακίστῃ τοῦ ἐχθροῦ συμβουλίᾳ· ὅθεν σε πιστῶς δοξάζομεν τῷ σῷ πάθει στερεούμενοι.

Καθάραντες αἰσθήσεις νηστείας φωτὶ, τοῦ Σταυροῦ ταῖς νοηταῖς ἀκτῖσι πλουσιωτάτως πιστοὶ αὐγασθῶμεν, καὶ τοῦτον εὐλαβῶς προκείμενον σήμερον ὁρῶντες, χείλεσιν ἁγνοῖς, καὶ στόμασι, καὶ καρδίᾳ προσκυνήσωμεν.

Τόπον, οὗ ἔστησαν οἱ πόδες Χριστοῦ, προσκυνήσωμεν Σταυρὸν τὸν θεῖον, πέτρᾳ Θεοῦ ἐντολῶν στηριχθῆναι τοὺς πόδας αἰτοῦντες ψυχῆς ἡμῶν, κατευθυνθῆναι ταύτης διαβήματα ὁδὸν εἰς εἰρήνης θείᾳ χάριτι.

Κόρης ἐξ ἀνάνδρου, Χριστὲ, προελθὼν, προσλαβόμενος ἐκ ταύτης σάρκα ἔννουν, καὶ ἔμψυχον, καὶ Σταυρῷ σου, ἐχθρὸν ἀφανίσας, φθαρεῖσαν τῶν βροτῶν τὴν οὐσίαν πάλιν ἀνεκαίνισας. διὸ δοξάζει τὴν εὐσπλαγχνίαν σου.

Εἱρμὸς ἄλλος, ἦχος ά. Στερέωσον Κύριε τήν.

Κροτήσατε ἅπαντα ὕμνοις τὰ πέρατα καθορῶντα προσκυνούμενον τὸ ξύλον, ἐν ᾧ Χριστὸς ἀπεκρεμάσθη, καὶ διάβολος ἐτραυματίσθη.

Προτίθεται σήμερον ὁ ζωηφόρος, χαρᾷ δεῦτε προσκυνήσωμεν σὺν φόβῳ τὸν τοῦ Κυρίου Σταυρὸν, ἵνα λάβωμεν ἅγιον Πνεῦμα.

Δόξα.

Τρισάκτινε Ἥλιε, τρισοκλεέστατον φῶς· Θεὲ Πάτερ, Υἱὲ, καὶ ἅγιον Πνεῦμα, ἡ ἄναρχος φύσις, καὶ δόξα τοὺς ὑμνοῦντάς σε ῥῦσαι κινδύνων.

Καὶ νῦν.

Ὑμνοῦσί σε τάξεις Ἀγγέλων, εὐλογημένη Θεοτόκε πανύμνητε, καὶ Παρθένε, μεθ' ὧν σε νῦν γένος ἀνθρώπων ὡς ἀνύμφευτον δοξολογοῦμεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐρχόμενος ἅψασθαι σοῦ ζωηφόρε Σταυρὲ, φρίττω γλῶσσαν, καὶ διάνοιαν, περιβλέπων, ὅτι ἐν σοὶ κατεκενώθη τοῦ Κυρίου μου τὸ θεῖον Αἷμα.

Ὁ Εἱρμός.

Στερέωσον Κύριε τὴν Ἐκκλησίαν σου, ἣν ἐκτήσω τῇ δυνάμει τοῦ Σταυροῦ σου· ἐν αὐτῷ „ γὰρ τὸν ἐχθρὸν ἐθριάμβευσας, καὶ ἐφώτισας τὴν „ Οἰκουμένην.

Κάθισμ. ἦχος πλ. δ'. Ἰδιόμελον.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε· καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Δόξα.

Ὁ Σταυρός σου Κύριε ἡγίασται· ἐν αὐτῷ γὰρ γίνονται ἰάματα τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι' αὐτοῦ σοι προσπίπτομεν, ἐλέησον ἡμᾶς.

Καὶ νῦν.

Μόνον ἐπάγη τὸ ξύλον Χριστὲ τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθησαν τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ Ἅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε, Υἱὲ Θεοῦ ἐλέησον ἡμᾶς.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Αἰνιττόμενος τὸν τύπον τοῦ Σταυροῦ χεῖρας ἔτεινεν ἐναλλὰξ, ἐγγόνους πάλαι Ἰακὼβ ὁ ἀοίδιμος ἐπευλογῶν, καὶ σημαίνων τὴν σωτήριον εὐλογίαν πάντας ἐφ' ἡμᾶς διαβαίνουσαν.

Συντηρούμενοι σφραγῖδι τοῦ Σταυροῦ, καὶ προκείμενον ἐν ἀγαλλιάσει πνεύματος αὐτὸν ἀσπαζόμενοι, πρὸς τὰ σωτήρια πάθη ἐπειχθῶμεν, τὰ ὀλέθρια πάθη σαρκὸς θανατώσαντες.

Τὸ σωτήριόν σου ὅπλον, τὸ ἀήττητον τρόπαιον, τὸ χαρᾶς σημεῖον, θάνατος δι' οὗ τεθανάτωται, περιπτυσσόμεθα δόξῃ κλεϊζόμενοι τοῦ ἐν σοὶ προσπαγέντος Σταυρὲ πανσεβάσμιε.

Ὁρατός μοι καθωράθης ὁ Ἀγγέλοις ἀπρόσιτος Ἰησοῦ Υἱέ μου, σάρκα ἐξ ἐμοῦ δανεισάμενος· καὶ νῦν ὁρῶσά σε ξύλῳ καθηλούμενον, ὀδύρομαι, ἡ τοῦ Χριστοῦ Μήτηρ ἔλεγε.

Ὠδὴ έ. Ἐξέστη τὰ σύμπαντα.

Νεκρὸς ἐχρημάτισας ἐπὶ Σταυροῦ ἡλούμενος πάντων ἡ ζωὴ, καὶ σωτηρία· τοῦτον νῦν δίδου κεκαθαρμένῃ ψυχῇ Σῶτερ περιπτύξασθαι, καὶ σοῦ πάθη τὰ σωτήρια κατιδεῖν ἀγαλλόμενοι.

Παρίστανται τάξεις σοι τῶν Ἀσωμάτων τρέμουσαι ξύλον ζωοδώρητον, ἐν σοὶ γὰρ τίμιον Αἷμα Χριστὸς ἐξέχεε, λύτρον ἀναστέλλον ἐναγὲς, δαίμοσι φερόμενον ἐπ' ὀλέθρῳ τοῦ πλάσματος.

Ῥομφαίᾳ πληγέντα με τοῦ δυσμενοῦς ἰάτρευσον Αἵματί σου Λόγε, καὶ τῇ λόγχῃ, ἁμαρτιῶν μου τάχος διάρρηξον, Σῶτερ, τὸ χειρόγραφον βοῶ, βίβλῳ καταγράφων με σωζομένων, ὡς εὔσπλαγχνος.

Ὁ Βότρυς ὁ πέπειρος, πῶς ἐπὶ ξύλου κρέμασαι; Ἥλιε τῆς δόξης πῶς ἐπήρθης, φέγγος Ἡλίου σκοτίζων πάθει σου; Σῶτερ, ἡ τεκοῦσά σε ἀμνὰς πάλαι ἀνεβόα σοι, μητρικῶς ἀλαλάζουσα.

Ὠδὴ ς'. Ἐβόησε, προτυπῶν τήν.

Συνέσεισας τὸ τοῦ Ἅδου πηγνύμενος οἴκημα, τοῖς πιστοῖς δὲ ἀδιάσειστον ἔρεισμα γέγονας, καὶ βεβαία σκέπη τοῦ Κυρίου Σταυρὲ πανσεβάσμιε.

Κατάκαρποι ἀρεταῖς γεγονότες, τρυγήσωμεν θείου ξύλου ζωηφόρους καρποὺς, οὓς ἐβλάστησεν ἁπλωθεὶς ἐν τούτῳ Ἰησοῦς ἡ κατάκαρπος ἄμπελος.

Ὑμνοῦμέν σου Ἰησοῦ τὴν πολλὴν ἀγαθότητα, προσκυνοῦντες τὸν Σταυρόν σου, τὴν λόγχην, τὸν κάλαμον, δι' αὐτῶν γὰρ εἷλες τὸ τῆς ἔχθρας Οἰκτίρμον, μεσότοιχον.

Ναμάτων σε ποταμὸν ζωηρρύτων ἐκύησεν ἡ Παρθένος, ὡς πηγὴ τῆς ἡμῶν ἀναπλάσεως, τὸν Σταυρῷ παγέντα, καὶ κρουνοὺς σωτηρίας πηγάσαντα.

Καταβασία.

Ἐβόησε προτυπῶν τὴν ταφὴν τὴν τριήμερον ὁ Προφήτης Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος, „ ἐκ φθορᾶς με ῥῦσαι Ἰησοῦ Βασιλεῦ τῶν Δυνά„ μεων.



Digitized by Google

Κοντάκιον Ἰδιόμελον ἦχ. βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος δεσμός· τὸ ξύλον τοῦ Σταυροῦ, θανάτου τὸ κέντρον, καὶ Ἅδου τὸ νῖκος ἐλήλαται· ἐπέστης δὲ Σωτήρ μου, βοῶν τοῖς ἐν Ἅδῃ, εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

Ὁ Οἶκος.

Τρεῖς Σταυροὺς ἐπήξατο ἐν Γολγοθᾷ ὁ Πιλᾶτος, δύο τοῖς λῃστεύσασι· καὶ ἕνα τῷ Ζωοδότῃ, ὃν εἶδεν ὁ Ἅδης, καὶ εἶπε τοῖς κάτω· ὦ λειτουργοί μου, καὶ δυνάμεις μου, τίς ὁ ἐμπήξας ἧλον τῇ καρδίᾳ μου; ξυλίνῃ με λόγχῃ ἐκέντησεν ἄφνω, καὶ διαῤῥήσσομαι· τὰ ἔνδον μου πονῶ, τὴν κοιλίαν μου ἀλγῶ· τὰ αἰσθητήριά μου μαιμάσσει τὸ πνεῦμά μου· καὶ ἀναγκάζομαι ἐξερεύξασθαι τὸν Ἀδὰμ, καὶ τοὺς ἐξ Ἀδὰμ ξύλῳ δοθέντας μοι· ξύλον γὰρ τούτους πάλιν εἰσάγει εἰς τὸν Παράδεισον.

Ὠδὴ ζ. Οὐκ ἐλάτρευσαν.

Ἡ Ἀξίνη, Ἐλισαῖος ἣν ἀνείλατο ἐξ Ἰορδάνου, Χριστὲ, Σταυρὸν ἐδήλου, δι' οὗ βυθοῦ ματαιότητος ἔθνη ἀνείλκυσας ἀναμέλποντα· ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Συναγάλλονται τῇ γῇ τὰ ἐπουράνια τῇ προσκυνήσει σου Σταυρὲ, καὶ γὰρ διὰ σοῦ Ἀγγέλων ἀνθρώπων τε ἕνωσις γέγονε παντοδύναμε ἀναβοώντων Κύριε, ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὡς κυπάρισσον συμπάθειαν, ὡς κέδρον τε πίστιν ἡδύπνοον, ὡς πεύκην ἀληθινὴν ἀγάπην προσφέροντες, τὸν τοῦ Κυρίου Σταυρὸν προσκυνήσωμεν, τὸν ἐν αὐτῷ δοξάζοντες Λυτρωτὴν προσηλωθέντα.

Μὴ σαλεύσας τὰ οὐράνια ἐν μήτρᾳ σου Θεὸς ἐσκήνωσε πόλις Θεοῦ ἐκλεκτή· Σταυρῷ δὲ κρεμάμενος Κτίσιν ἐσάλευσεν· ὃν ἱκέτευε ἐν ἀσαλεύτῳ πέτρᾳ με τῇ αὐτοῦ συντηρηθῆναι.

Ὠδὴ η. Παῖδας εὐαγεῖς ἐν τῇ.

Ἐξέτεινας χεῖρας ἐπὶ ξύλου, χειρὸς ἀκρατοῦς λύων ἁμάρτημα· λόγχῃ ἐκκεντηθεὶς δὲ, ταύτῃ τὸν πολέμιον κατατιτρώσκων Κύριε, χολῆς ἐγεύσω τε, ἐπίπονον κακίαν ἐξαίρων, ὄξος ἐποτίσθης ἡ πάντων εὐφροσύνη.

Νοὶ καθαρῷ, καὶ συνειδότι λαμπρῷ προσελθόντες προσκυνήσωμεν, πρόκειται τὸ τίμιον ξύλον, καὶ σεβάσμιον, δι' οὗ Χριστὸς τὸν ἄτιμον ὑπέστη θάνατον, τιμὴν ὑπερτιθεὶς ἀνεκτάτην τοῖς τῇ παραβάσει δεινῶς ἀτιμασθεῖσι.

Ξύλῳ ἁμαρτίας ἐνεκρώθην, καὶ γεύσει τῇ ἐπιπόνῳ τεθανάτωμαι· ζώωσόν με Κύριε, ἔγειρόν με κείμενον, προσκυνητὴν ἀνάδειξον τῶν παθημάτων σου, καὶ μέτοχον ἐγέρσεως θείας, καὶ συγκληρονόμον τῶν σὲ ἠγαπηκότων.

Ὑψούμενον βλέπω σε, καὶ κάλλος τὸ πάχειν οὐκ εἶδος ἐπικείμενον, ὅνπερ σωματέμενον ἔγνων ὡραιότατον παρὰ υἱοὺς ἀνθρώπων σε μονογενὲς Υἱὲ, ἡ πάναγνος ἐβόα Παρθένος· δεῖξον σου τὴν δόξαν ἡ πάντων σωτηρία.

Ἄλλος, Νόμων πατρῴων οἶμα.

Μέσης ἡμέρας σταυρούμενος σου, μέσον τῆς γῆς, βουλήσει Κόσμου τὰ πέρατα μέσον φάρυγγος τοῦ δράκοντος ἐξέσπασας Οἰκτίρμον, διὸ ἐν μέσῃ θείων Ἑβδομάδι νηστειῶν προσκυνοῦντες, δοξάζομεν τὸν τίμιον Σταυρόν σου· τὸν Κύριον ὑμνεῖτε βοῶντες, καὶ ὑπερυψοῦτε εἰς.

Χαρᾶς σημεῖον, ὅπλον ἄῤῥηκτον, τῆς Ἐκκλησίας τεῖχος, Μαρτύρων καύχημα, Ἀποστόλων ἐγκαλλώπισμα, Ἀρχιερέων σθένος, ἐνδυναμώσας τὴν ἐξασθενοῦσαν μου ψυχὴν, προσκυνεῖν σε ἀξίωσον, καὶ μέλπειν σοι βοῶντα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς.

Θρηνῶ, καὶ κλαίω, καὶ ὀδύρομαι, ὅταν εἰς νοῦν μου λάβω τὸ δικαστήριον τὸ ἀδέκαστον, μακρόθυμε, κατάκριτος ὑπάρχων· διό μου φεῖσαι, καὶ τὸν ἐπικείμενον κλοιὸν τῆς ψυχῆς μου ἐλάφρυνον, ἵνα χαίρων κραυγάζω· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας.

Ἐτύπου βάτος τὸ μυστήριον τοῦ ὑπὲρ νοῦν σου τόκου Κόρη παναμώμε, ὡς ἐκείνη γὰρ διέμεινας, ἀφλέκτως πῦρ τεκοῦσα Χριστὸν Σωτῆρα τὸν ἀνυψωθέντα ἐν Σταυρῷ, ὃν δυσώπει ῥυσθῆναι με πυρὸς τοῦ αἰωνίου, τὸν Κύριον ὑμνοῦντε βοῶντα, καὶ ὑπερυψοῦντε.

Εἱρμὸς ἄλλος· Αὕτη ἡ κλητὴ, καί.

Δεῦτε τὸν Σταυρὸν προτεθέντα Κυρίου, νηστείᾳ καθαρθέντες, περιπτυξώμεθα πόθῳ· θησαυρὸς γὰρ ἡμῖν ἁγιάσματος ἐστὶ, καὶ δυνάμεως· δι' οὗ ἀνυμνοῦμεν αὐτὸν εἰς τοὺς αἰῶνας.

Οὗτος ὁ Σταυρὸς ὁ τριμερὴς, καὶ μέγας μικροφανὴς τυγχάνων, οὐρανομήκης ὑπάρχει, τῇ δυνάμει αὐτοῦ τοὺς ἀνθρώπους πρὸς Θεὸν ἀναφέρει ἀεί· δι' οὗ εὐλογοῦμεν Χριστὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Μίαν ἐν τρισὶ χαρακτῆρσιν οὐσίαν δοξάζων, οὐ συγχέω μονοπροσώπως τὰ τρία· οὐδὲ τέμνω μορφὴν, τὸν Πατέρα, καὶ Υἱὸν σὺν τῷ Πνεύματι· εἷς γὰρ ἐπὶ πάντων Θεὸς, ὁ ἐν Τριάδι.

Καὶ νῦν.

Μόνη ἐν μητράσιν ἐδείχθης Παρθένος Θεόνυμφε Μαρία, ἄνευ ἀνδρὸς τετοκυῖα τὸν Σωτῆρα Χριστὸν, τῆς ἁγνείας τὴν σφραγῖδα φυλάξασα· σὲ μακαρίζομεν βροτοὶ εἰς τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῦτο τὸ πανάγιον ξύλον τιμάσθω, ὃ ὁ Προφήτης πάλαι βληθῆναι ἀνακραυγάζει εἰς τὸν ἄρτον Χριστοῦ ὑπὸ Ἰσραηλιτῶν τῶν σταυρούντων αὐτόν· ὃν ὑπερυψοῦμεν εἰς πάντας τούς.

Ὁ Εἱρ-

Ὁ Εἱρμός.

Χεῖρας, ἐν τῷ λάκκῳ βληθεὶς τῶν λεόντων ποτὲ ὁ μέγας ἐν Προφήταις, σταυροειδῶς „ ἐκπετάσας Δανιήλ, ἀβλαβὴς ἐκ τῆς τούτων κα„ ταβρώσεως σέσωσται, εὐλογῶν τὸν πάντων Θεὸν „ εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἅπας γηγενὴς σκιρτάτω.

Λόγχῃ σου πλευρὰν ἐνύγης, ἀφέσεως ἀναστεῖλόν μοι πηγάς· ξύλῳ προσηλώθης δέ, τὴν διὰ ξύλου ἰσχὺν κατάκρισιν μέσον τῆς γῆς φιλάνθρωπε, ὅπερ ἡμεῖς μεσασμῷ τῆς νηστείας νῦν περιπτυσσόμεθα, ἀνυμνοῦντες τὴν σὴν ἀγαθότητα.

Ὄρη γλυκασμόν, βουνοὶ ἀγαλλίασιν πόθῳ σταλάξατε· ξύλα τοῦ πεδίου δέ, λιβάνου κέδροι περιχορεύσατε τῇ προσκυνήσει σήμερον τοῦ ζωηφόρου Σταυροῦ· οἱ Προφῆται, Μάρτυρες, Ἀπόστολοι, καὶ Δικαίων σκιρτήσατε πνεύματα.

Νεῦσον εἰς λαόν, καὶ κλῆρον σου Κύριε, φόβῳ ὑμνοῦντά σε· θάνατον ἑκούσιον δι' οὗ ὑπέστης, μὴ νικησάτω σου τὴν εὐσπλαγχνίαν ἄμετρος πληθὺς κακῶν ἡμῶν, ἀλλὰ σῶσον πάντας ὑπεράγαθε τῷ Σταυρῷ σου ἡμᾶς ὡς φιλάνθρωπος.

Νεύματι τῷ σῷ κλονεῖς τὸν ἑδραζόμενον Κόσμον σταυρούμενος· μένεις δὲ κρεμάμενος, ἡ Θεοτόκος κλαίουσα ἔλεγε, τὰ ἐμπαθῆ νοήματα τοῦ Πρωτοπλάστου Χριστέ, ἐξηλῶσαι θέλων, καὶ ἰάσασθαι τὴν αὐτοῦ συντριβὴν ἀγαθότητι.

Εἱρμὸς ἄλλος. Ἀπορεῖ πᾶσα γλῶσσα.

Ὁ Ἐλισσαῖος πάλαι ποταμοῦ τὴν ἀξίνην ἀνέλκων ξύλῳ, σὲ τὸ ζωοδώρητον ἐτύπου Σταυρὲ ξύλον· δι' οὗ ἐκ βυθοῦ ἀνείλκυσε Χριστὸς τὰ ἔθνη εἰδωλικῆς μανίας, ἐν σοὶ προσηλωθείς· ὅθεν σε προσκυνοῦντες, τὸ κράτος αὐτοῦ δοξάζομεν.

Ἡλίου σέλας, Σῶτερ, μετεβλήθη εἰς σκότος τῇ σῇ σταυρώσει, φέγγος τε Σελήνης ἀπεσβέσθη, καὶ στοιχεῖα τρόμῳ ἠλλοιώθη ἅπαντα· διὸ βοῶ σοι, ἀλλοιωθέντας σκότει παθῶν μου λογισμούς, Λόγε, σῇ δεξιᾷ ἀλλοιώσας φώτισον, σῶσόν με.

Τῷ μώλωπί σου ἴασαι ψυχῆς μου τὰ πάθη· πλευρᾶς σου τρώσει παῦσον ἐπωδύνους τε τὰς τρώσεις τῶν δαιμόνων· ἥλοις σου Χριστὲ ἐξήλωσας τὰς ἐνηδόνους, καὶ ἐμπαθεῖς ὀρέξεις, διδούς μοι ἀπαθῶς Πάθη σου τὰ σεπτὰ προσκυνῆσαι, καὶ τὴν Ἀνάστασιν.

Ὡραῖον κάλλει τέτοκεν ὡραία σε Κόρη· ὃν καθορῶσα, κάλλος ἐν τῷ πάσχειν, οὐδὲ εἶδος κεκτημένον, Σῶτερ, θρηνῳδοῦσα ἔλεγεν· ἐκπλήττομαί σου τὴν ὑπὲρ νοῦν Υἱέ μου ταπείνωσιν· δι' ἧς σώζεις ταπεινωθεῖσαν τὴν φύσιν τῆς ἀνθρωπότητος.

Εἱρμὸς ἄλλος. Φωτίζου, φωτίζου.

Προέρχου, φαιδρυνοῦ πᾶς ὁ λαὸς ὁ τοῦ Θεοῦ, καὶ τὸ ξύλον περιβλέπων τοῦ Σταυροῦ προκείμενον ἄσπασαι φόβῳ, καὶ λάβε χαράν, τὸν ἐν αὐτῷ Κύριον τῆς δόξης ἀναρτηθέντα δοξάζων ἀεί.

Τὸ ὅπλον τὸ θεῖον σὺ τῆς ζωῆς μου ὁ Σταυρός, ἐπὶ σὲ ὁ Δεσπότης ἀνελθών με ἔσωσεν· ἔβλυσεν αἷμα, καὶ ὕδωρ πηγὰς ἐκ τῆς πλευρᾶς, οὗ μεταλαμβάνων ἀγαλλιῶμαι, δοξάζων αὐτόν.

Δόξα.

Τριάδα προσώποις, μονάδα φύσει προσκυνῶ σὲ Θεότης ἁγία, τὸν Πατέρα καὶ τὸν Υἱόν, σὺν τῷ ἁγίῳ τε Πνεύματι· μίαν Ἀρχήν, μίαν Βασιλείαν, τὴν τῶν ἁπάντων δεσπόζουσαν.

Καὶ νῦν.

Τὸ ὄρος τὸ μέγα, ἐν ᾧ κατῴκησε Χριστός, σὺ ὑπάρχεις Παρθένε, ὡς Δαβὶδ ὁ θεῖος βοᾷ· δι' ἧς ἡμεῖς ἀνυψώθημεν πρὸς Οὐρανόν, υἱοθετηθέντες τῷ Πνεύματι, παμμακάριστε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὸ σκῆπτρον τὸ θεῖον τοῦ Βασιλέως ὁ Σταυρός, στρατοῦ ἡ ἀνδρεία, ἐν τῇ πεποιθήσει σου τοὺς πολεμίους ἐκτρέπομεν, νίκας ἀεὶ τοῖς σὲ προσκυνοῦσι κατὰ βαρβάρων παράσχου ἡμῖν.

Εἱρμός.

Ὦ Μῆτερ Παρθένε, καὶ Θεοτόκε ἀψευδής, ἡ τεκοῦσα ἀπόρως Χριστὸν τὸν Θεὸν ἡμῶν, „ τὸν ἐν Σταυρῷ ὑψωθέντα σαρκί, σὲ οἱ πιστοὶ „ ἅπαντες ἀξίως σὺν τούτῳ νῦν μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ Ἤχου, καὶ τὸ παρὸν Ἐξαποστειλάριον. Ἐν Πνεύματι τῷ.

Μεσότητι τῶν Νηστειῶν τὸ πανσέβαστον ξύλον τοὺς πάντας εἰς προσκύνησιν προσκαλεῖται αὐτοῦ, ὅσοι τὰ ἑαυτῶν παθήματα τοῖς Χριστοῦ παθήμασιν ἀξίως συναφικνοῦσι· δεῦτε πάντες οἱ πιστοὶ προσκυνήσωμεν τὸ ξύλον τοῦ φρικτοῦ μυστηρίου.

Σταυροθεοτοκίον Ὅμοιον.

Ἡ Ἄνυμφος, καὶ πάναγνος τοῦ Θεοῦ Λόγου Μήτηρ ἐβόα ὀλολύζουσα, ἐν κλαυθμῷ θρηνῳδοῦσα· τοιαῦτα μοι ὁ Γαβριὴλ τῆς χαρᾶς ἐκόμιζε τὰ εὐαγγέλια. Τέκνον; ἄπιθι τοῦ πληρῶσαι τὴν ἀπόρρητον βουλήν, καὶ θείαν οἰκονομίαν.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμελον τῆς ἡμέρας

Δίς. ἦχ. πλ. δ'.

Τῆς νηστείας τὴν ὁδὸν μεσάσαντας, τὴν ἄγουσαν ἐπὶ τὸν Σταυρόν σου τὸν τίμιον τὴν σὴν ἡμέραν ἰδεῖν, ἣν εἶδεν Ἀβραὰμ καὶ ἐχάρη, ὡς ἐκ τάφου τοῦ βουνοῦ ζῶντα λαβὼν τὸν Ἰσαάκ, εὐδόκησον καὶ ἡμᾶς πίστει ῥυσθέντας τοῦ ἐχθροῦ, καὶ Δείπνου μετασχεῖν τοῦ μυστικοῦ ἐν εἰρήνῃ κρά-

ζον-

ζοντας· ὁ φωτισμὸς, καὶ ὁ Σωτὴρ ἡμῶν, δόξα σοι.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ Σταυροῦ, ἀπελάβετε τὴν χάριν τῆς αἰωνίου ζωῆς· τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι εὐφραίνεσθε, καὶ νῦν τὰ αἵματα ὑμῶν γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα.

Μεσάσαντες τὸ πέλαγος τῆς ἐγκρατείας, λιμένια ἐκδεχόμεθα τῆς σωτηρίας, τὸν καιρὸν τοῦ Πάθους σου τοῦ ἑκουσίου Κύριε ἀλλ' ὡς εὔσπλαγχνος, καὶ οἰκτίρμων, καὶ τὴν ἡμέραν τῆς ἐνδόξου Ἀναστάσεώς σου ἐν εἰρήνῃ ἀξίωσον ἡμᾶς θεάσασθαι, φιλάνθρωπε.

Καὶ νῦν, πάλιν τὸ αὐτό· ἡ δὲ Σταυροπροσκύνησις γίνεται ἐν τῇ α. Ὥρᾳ· ἐν ᾗ ψάλλομεν τὰ προγραφέντα Τροπάρια τῇ Κυριακῇ, ἤγουν τὸ Ἰδιόμελον Δεῦτε πιστοί· καὶ τὰ λοιπά· καὶ Ἀπόλυσις. Εἰς τὴν Τριτοέκτην.

Τροπάριον τῆς Προφητείας· ἦχ. πλ. β'.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Προκείμενον· Ψαλμὸς ξθ'. ἦχ. πλ. β'.

Ἀγαλλιάσθωσαν, καὶ εὐφρανθ.

Στίχ. Ἀποστραφήτωσαν.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Ἰδοὺ γὰρ Κύριος ἀπὸ τοῦ ἁγίου ἐπάγει τὴν ὀργὴν ἐπὶ τοὺς ἐνοικοῦντας ἐπὶ τῆς γῆς, καὶ ἀνακαλύψει ἡ γῆ τὸ αἷμα αὐτῆς, καὶ οὐ κατακαλύψει τοὺς ἀνῃρημένους· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπάξει ὁ Θεὸς τὴν μάχαιραν τὴν ἁγίαν, καὶ τὴν μεγάλην, καὶ τὴν ἰσχυρὰν ἐπὶ τὸν δράκοντα ὄφιν φεύγοντα, ἐπὶ τὸν δράκοντα ὄφιν σκολιόν· ἀνελεῖ τὸν δράκοντα· τῇ ἡμέρᾳ ἐκείνῃ, ἀμπελὼν καλὸς ἐπιθύμημα, ἐξάρχειν κατ' αὐτῆς· ἐγὼ πόλις ὀχυρά, πόλις πολιορκουμένη, μάτην ποτιῶ αὐτήν· ἁλώσεται γὰρ νυκτὸς, ἡμέρας δὲ πεσεῖται· τεῖχος· οὐκ ἔστιν, ἢ οὐκ ἐπελάβετο αὐτῆς· τίς με θήσει φυλάσσειν καλάμην ἐν ἀγρῷ; διὰ τὴν πολεμίαν ταύτην ἠθέτηκα αὐτήν· τοίνυν διὰ τοῦτο ἐποίησε Κύριος πάντα ὅσα συνέταξε· κατακέκαυμαι, βοήσονται οἱ ἐνοικοῦντες ἐν αὐτῇ, ποιήσωμεν εἰρήνην αὐτῷ· ποιήσωμεν εἰρήνην οἱ ἐρχόμενοι τέκνα Ἰακώβ· βλαστήσει, καὶ ἐξανθήσει Ἰσραὴλ καὶ ἐμπλησθήσεται ἡ Οἰκουμένη τοῦ καρποῦ αὐτοῦ· μὴ ὡς αὐτὸς ἐπάταξε, καὶ αὐτὸς οὕτως πληγήσεται; καὶ ὡς αὐτὸς ἀνεῖλεν, οὕτως ἀναιρεθήσεται; μαχόμενος καὶ ὀνειδίζων ἐξαποστελεῖ αὐτούς· οὐ σὺ ἦσθα μελετῶν τῷ πνεύματι τῷ σκληρῷ, ἀνελεῖν αὐτοὺς Πνεύματι θυμοῦ· διὰ τοῦτο ἀφαιρεθήσεται ἀνομία Ἰακώβ. καὶ τοῦτό ἐστιν ἡ εὐλογία αὐτοῦ, ὅταν ἀφέλωμαι τὴν ἁμαρτίαν αὐτοῦ, ὅταν θῶσι πάντας τοὺς λίθους τῶν βωμῶν κατακεκομμένους, ὡς κονίαν λεπτήν· καὶ οὐ μὴ μείνῃ τὰ δένδρα αὐτῶν, καὶ τὰ εἴδωλα αὐτῶν ἐκκεκομμένα.

Προκείμενον, Ψαλμὸς ο. ἦχ. πλ. β'.

Ἐπὶ σοὶ Κύριε ἤλπισα, μὴ καταισχυνθείην.

Στίχ. Ἐν τῇ δικαιοσύνῃ σου ῥῦσαί με.

Τῇ δ'. τῆς μέσης Ἑβδομάδος, Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα καὶ τὸ Μαρτυρικὸν, καὶ τοῦ Μηναίου δ'. τὸ Ἰδιόμελον ἦχος δ'.

Ἡ τῶν ἀγαθῶν πρόξενος νηστεία τὴν ἑαυτῆς μεσότητα νῦν ἐπήγαγε, ταῖς προλαβούσαις ἡμέραις εὐαρεστήσασα, καὶ ταῖς ἐφεξῆς τὴν ὠφέλειαν προστεθεῖσα· καὶ γὰρ τῶν χρηστῶν ἡ ἐπίτασις πλείω τὴν εὐεργεσίαν ποιεῖται· διὸ τῷ πάντων καλῶν δοτῆρι Χριστῷ εὐχαριστοῦντες βοῶμεν· ὁ νηστεύσας ὑπὲρ ἡμῶν, καὶ Σταυρὸν ὑπομείνας ἀκατακρίτως ἡμᾶς ἀξίωσον μετασχεῖν καὶ τοῦ θείου Πάσχα σου, ἐν εἰρήνῃ βιοτεύοντας, καὶ ἀξίως σὺν Πατρί σε, καὶ Πνεύματι δοξάζοντας.

Ἕτερον, ἦχος πλ. α.

Οἱ ἐν κρυπτῷ ἀρετὰς ἐργαζόμενοι, πνευματικὰς ἀμοιβὰς ἐκδεχόμενοι, οὐ μέσον τῶν πλατειῶν θριαμβεύουσι ταύτας, ἀλλ' ἔνδον τῶν καρδιῶν ἀποφέρουσι μᾶλλον· καὶ ἀπάντων ὁ βλέπων τὰ ἐν κρυπτῷ γινόμενα, τὸν μισθὸν τῆς ἐγκρατείας παρέχει ἡμῖν· νηστείαν τελέσωμεν, μὴ σκυθρωπάζοντες τὰ πρόσωπα· ἀλλ' ἐν τοῖς ταμείοις τῶν ψυχῶν ἡμῶν προσευχόμενοι, ἀπαύστως βοήσωμεν. Πάτερ ἡμῶν ὁ ἐν τοῖς Οὐρανοῖς, μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμὸν δεόμεθα, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Μαρτυρικὸν· ἦχος ὁ αὐτός.

Ἀκορέστῳ διαθέσει ψυχῆς, Χριστὸν οὐκ ἀρνησάμενοι, Ἅγιοι Μάρτυρες· οἵτινες διαφόρους αἰκισμοὺς παθημάτων ὑπομείναντες, τῶν τυράννων τὰ θράση κατηδαφίσατε· ἀκλινῆ, καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς Οὐρανοὺς μετέστητε· ὅθεν καὶ παῤῥησίας τυχόντες πρὸς αὐτὸν, αἰτήσατε δωρηθῆναι εἰρήνην τῷ Κόσμῳ, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἕτερα στιχηρὰ προσόμοια, ἦχος α'.

Πανεύφημοι Μάρτυρες.

Νηστείας ἐν ὕδατι ψυχὰς πάντες ἀπονιψώμεθα· καὶ προσελθόντες, τὸν τίμιον, καὶ πανσεβάσμιον Σταυρὸν τοῦ Κυρίου πιστῶς προσκυνήσωμεν· τὸν θεῖον φωτισμὸν ἀρυόμενοι, καὶ τὴν αἰώνιον σωτηρίαν νῦν καρπούμενοι, καὶ εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Ὅμοιον.

Ἀποστόλων καύχημα Σταυρὲ, ὅνπερ προσκυνοῦσιν Ἀρχαὶ, Δυνάμεις, Ἀρχάγγελοι, τοὺς προ-

σκυ-

Digitized by Google

σκυνοῦντας σε πάσης βλάβης σῶζε, καὶ τὸ θεῖον στάδιον ἡμᾶς τῆς ἐγκρατείας ἀξίωσον καλῶς ἀνύσαντας, τὴν ἡμέραν τὴν σωτήριον ἐπιφθάσαι, δι᾽ ἧς καὶ σωζόμεθα.

Ἕτερον στιχηρὸν προσόμοιον, ἦχος βαρὺς, Σήμερον γρηγορεῖ ὁ Ἰούδας.

Σήμερον τὸν Σταυρὸν τοῦ Κυρίου προσκυνοῦντες, βοήσωμεν· χαῖρε ζωῆς ξύλον Ἅδου καθαιρέτα· χαῖρε χαρὰ Κόσμου, φθορᾶς ἀναιρέτα· χαῖρε ὁ τοὺς δαίμονας σκορπίζων τῇ δυνάμει σου· τῶν πιστῶν τὸ στήριγμα, τὸ ὅπλον τὸ ἄρρηκτον, τοὺς ἀσπαζομένους σε φρούρησον, ἁγίασον, δεόμεθα.

Καὶ τοῦ Μηναίου δ'. Δόξα. Καὶ νῦν, Ἰδιόμελον, ἦχος πλ. δ'.

Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ προσιτός μοι γίνεται· καὶ πάσχει πάθη, ἐλευθερῶν με τῶν παθῶν· ὁ φῶς παρέχων τυφλοῖς ὑπὸ ἀνόμων χειλέων ἐκπτύεται, καὶ δίδωσι τὸν νῶτον ὑπὲρ αἰχμαλώτων εἰς μάστιγας· τοῦτον ἡ Ἁγνὴ Παρθένος, καὶ Μήτηρ ἐπὶ Σταυροῦ θεωροῦσα, ὀδυνηρῶς ἐφθέγγετο· οἴμοι Τέκνον ἐμὸν τί τοῦτο πεποίηκας; ὁ ὡραῖος κάλλει παρὰ πάντας βροτοὺς ἄπνους ἄμορφος φαίνῃ, οὐκ ἔχων εἶδος οὐδὲ κάλλος; οἴμοι τὸ ἐμὸν φῶς οὐ δύναμαι ὑπνοῦντά καθορᾶν σε· τὰ σπλάγχνα τιτρώσκομαι, καὶ δεινή μοι ῥομφαία τὴν καρδίαν διέρχεται· ἀνυμνῶ σου τὰ πάθη, προσκυνῶ σου τὸ εὔσπλαγχνον, μακρόθυμε δόξα σοι.

Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον. Ψαλμὸς οα'. ἦχ. δ'.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὁ ποιῶν θαυ.

Στίχ. Ὁ Θεὸς τὸ κρίμα σου τῷ Βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἦσαν δὲ υἱοὶ Νῶε, οἱ ἐξελθόντες ἐκ τῆς Κιβωτοῦ, Σὴμ, Χὰμ, Ἰάφεθ. Χὰμ δὲ ἦν πατὴρ Χαναάν· τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε· ἀπὸ τούτων διεσπάρησαν ἐπὶ πᾶσαν τὴν γῆν, καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς, καὶ ἐφύτευσεν ἀμπελῶνα· καὶ ἔπιεν ἐκ τοῦ οἴνου, καὶ ἐμεθύσθη, καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ· καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ· καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω· καὶ λαβόντες Σὴμ, καὶ Ἰάφεθ τὸ ἱμάτιον, ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν, καὶ ἐπορεύθησαν ὀπισθοφανῶς, καὶ συνεκάλυψαν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν· καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον· ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου, καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος, καὶ εἶπεν· ἐπικατάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σὴμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ· πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ· καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ· ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τριακόσια πεντήκοντα· καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια πεντήκοντα ἔτη, καὶ ἀπέθανεν· αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σὴμ, Χὰμ, Ἰάφεθ, καὶ ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

Προκείμενον, Ψαλμὸς οβ'. ἦχος δ'.

Ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ, ἀγαθόν ἐστι.

Στίχ. Ὡς ἀγαθὸς ὁ Θεὸς τῷ Ἰσραὴλ, τοῖς εὐθέσι τῇ καρδίᾳ.

Παροιμιῶν.

Ἀνὴρ συνετὸς θρόνος αἰσθήσεως· καρδία δὲ ἀφρόνων συναντήσεται ἀραῖς· χεὶρ ἐκλεκτῶν κρατήσει εὐχερῶς· δόλιοι δὲ ἔσονται ἐν προνομῇ· φοβερὸς λόγος καρδίαν ταράσσει ἀνδρὸς δικαίου, ἀγγελία δὲ ἀγαθὴ εὐφραίνει αὐτόν· ἐπιγνώμων δίκαιος ἑαυτοῦ φίλος ἔσται, ἁμαρτάνοντας δὲ καταδιώξεται κακά· ἡ δὲ ὁδὸς τῶν ἀσεβῶν πλανήσει αὐτούς· οὐκ ἐπιτεύξεται δόλιος θήρας, κτῆμα δὲ τίμιον ἀνὴρ καθαρός· ἐν ὁδοῖς δικαιοσύνης ζωή· ὁδοὶ δὲ μνησικάκων εἰς θάνατον· υἱὸς πανοῦργος ὑπήκοος πατρὶ, υἱὸς δὲ ἀνήκοος ἐν ἀπωλείᾳ· ἀπὸ καρπῶν δικαιοσύνης φάγεται ἀγαθὸς, ψυχαὶ δὲ παρανόμων ὀλοῦνται ἄωροι· ὃς φυλάσσει τὸ ἑαυτοῦ στόμα τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ὁ δὲ προπετὴς χείλεσι πτοήσει ἑαυτόν· ἐν ἐπιθυμίαις ἐστὶ πᾶς ἀεργος· χεῖρες δὲ ἀνδρείων ἐν ἐπιμελείᾳ· λόγον ἄδικον μισεῖ δίκαιος· ἀσεβὴς δὲ αἰσχύνεται, καὶ οὐκ ἕξει παῤῥησίαν· εἰσὶν οἱ πλουτίζοντες ἑαυτοὺς μηδὲν ἔχοντες, καὶ εἰσὶν οἱ ταπεινοῦντες ἑαυτοὺς ἐν πολλῷ πλούτῳ· λύτρον ἀνδρὸς ψυχῆς ὁ ἴδιος πλοῦτος, πτωχὸς δὲ οὐχ ὑφίσταται ἀπειλήν· φῶς δικαίοις διαπαντὸς, φῶς δὲ ἀσεβῶν σβέννυται· ψυχαὶ δόλιαι πλανῶνται ἐν ἁμαρτίαις· δίκαιοι δὲ οἰκτείρουσι καὶ ἐλεοῦσι.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Τῇ Πέμπτῃ τῆς μέσης Ἑβδομάδος, ἐν τῷ Ὄρθρῳ τὰ τριαδικὰ τοῦ λαχόντος ἤχου. Μετὰ τὴν πρώτην στιχολ. λέγομεν καθίσ. Ἀποστολικὰ τῆς Ὀκτωήχου· μετὰ δὲ τὴν β'. στιχολ. λέγομεν τὸ παρὸν κάθισ. τοῦ κυρίου Ἰωσὴφ, ἦχος α'.

Χορὸς ἀγγελικός.

Δυνάμει τοῦ Σταυροῦ, κρατυνόμενοι, πᾶσαν τὴν πλάνην τοῦ ἐχθροῦ κατελύσατε ὄντως Ἀπόστολοι ἔνδοξοι πρεσβευταὶ τῶν ψυχῶν ἡμῶν· ὅθεν σήμερον ἐν τῇ αὐτοῦ προσκυνήσει ἐπαγάλλεσθε, ὑπὲρ ἡμῶν δυσωποῦντες τὸν μόνον φιλάνθρωπον.

Θεο-

Θεοτοκίον Ὅμοιον.

Μαρία τὸ σεπτὸν τοῦ Δεσπότου δοχεῖον ἀνάστησον ἡμᾶς πεπτωκότας εἰς χάος δεινῆς ἀπογνώσεως, καὶ πταισμάτων καὶ θλίψεων· σὺ γὰρ πέφυκας ἁμαρτωλῶν σωτηρία, καὶ βοήθεια, καὶ κραταιὰ προστασία, καὶ σώζεις τοὺς δούλους σου.

Εἰς τὴν γ΄. στιχολ. κάθισ. τοῦ Κυρίου Θεοδώρου, ἦχ. βαρύς. Κύριε ἡμεῖς ἐσμέν.

Κύριε τὸν σὸν Σταυρὸν ὁρῶντες προκείμενον σήμερον, προσερχόμεθα πιστῶς, ἐν ὕμνοις καὶ ᾠδαῖς ἀσπαζόμενοι αὐτὸν ἐν φόβῳ, καὶ χαρᾷ· ἁγίασον τοὺς δούλους σου, εἰρήνευσον τὸν Κόσμον σου τῇ τούτου ἐπιφανείᾳ, μόνε πολυέλεε.

Θεοτοκίον· τὸ προσόμοιον.

Κύριε ἡμεῖς ἐσμὲν λαός σου, καὶ πρόβατα νομῆς σου· πλανηθέντας τῇ φθορᾷ ἐπίστρεψον ἡμᾶς σκορπισθέντας, ὡς ποιμὴν συνάγαγε ἡμᾶς· ἐλέησον τὴν ποίμνην σου, φιλάνθρωπε συμπαθείᾳ καταλλαγήθητι πρεσβείαις τῆς Θεοτόκου μόνε ἀναμάρτητε.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή. ᾠδὴ δ΄. ἦχος α΄. Ἐπὶ τῆς θείας.

Ἁγιασμοῦ παρέχουσα χάριν δωρούμενος ἡμῖν, Ἅγιε Σταυρέ, Ἀποστόλων στήριγμα, καὶ καύχημα, πρόκεισαι εἰς προσκύνησιν σήμερον πάσῃ τῇ Οἰκουμένῃ, τὸν τῆς νηστείας καιρὸν ἐξωραΐζων ἡμῖν.

Σκιογραφήσας τὸν Σταυρὸν χεῖρας ἐκτείνας Ἀμαλὴκ ἔτρεψε Μωσῆς, ὃν τυποῦντες, χεῖρας ἐκπετάσωμεν, νηστείαις καὶ δεήσεσι, ξίφος ὅπως τρέψωμεν δαιμόνων ἐκπολεμούντων ἡμᾶς διαπαντὸς φθονερῶς.

Θείου ἀρότρου Σταυροῦ κατεκόσματε τὴν γῆν θεῖοι Μαθηταί, καρποφόρον ταύτην ἀναδείξαντες βλαστάνουσαν εὐσέβειαν· ὅθεν ὑμᾶς φωναῖς ἐτησίοις ἀνευφημοῦντες, Χριστὸν ἀεὶ δοξάζομεν.

Μήτηρ Θεοῦ τοῦ ἀγαθοῦ ἀγάθυνόν μου τὴν ψυχήν, ἣν ὁ πονηρὸς συνηθείᾳ πονηρᾷ ἐκάκωσεν, ἀθλίως δουλεύσας με· ὅπως ὡς αἰτίαν σωτηρίας ὑμνολογῶ σε ἀεὶ τὴν πολυύμνητον.

Ἄλλος, ἦχ. βαρύς. Τὴν ἔνσαρκον.

Προτίθεται σήμερον ὁ πανάγιος Σταυρός· προσέλθωμεν, ἀσπασώμεθα αὐτόν· καὶ γὰρ ἐστι κέρας σωτηρίας ἡμῖν.

Ἡ χάρις σου καὶ τοῦ τύπου σου φοιτᾷ, ἐλαύνουσα τῶν δαιμόνων τὴν ἀχλὺν Σταυρὲ Χριστοῦ ὅπλον ἀπροσμάχητον.

Δόξα.

Μονάδα σε κατὰ φύσιν ἀνυμνῶ, Τριάδα δὲ ὑποστάσεων τιμῶ, Πάτερ, Υἱέ, καὶ Πνεῦμα τὸ πανάγιον.

Καὶ νῦν.

Ἐκύησας Κόρη ἀνανδρὲ Θεὸν πανάμωμε, τὸν κατέχοντα δρακὶ τὰ πέρατα, καὶ πάντων ἀρχαιότερον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀπόστολοι οἱ τοῦ Κόσμου πρεσβευταί, αἰτήσατε τοῦ σωθῆναι καὶ ἡμᾶς κατέχοντας ὅπλον τὸν Σταυρὸν τοῦ Χριστοῦ.

Ὁ Εἱρμός.

Τὴν ἔνσαρκον παρουσίαν σου Χριστέ, πιστούμενος ὁ Προφήτης Ἀββακούμ, ἐκραύγαζε, δόξα „ τῇ δυνάμει σου.

Ὠδὴ ή. Αὕτη ἡ κλητή, καί.

Χαίροις ὁ Σταυρὸς ὁ τρίμερης, καὶ θεῖος, ἐν ᾧ ὁ εἷς τῆς Τριάδος σάρκα φορέσας ἐπάγη, ἐμπαγέντας ἡμᾶς ἀσεβείας εἰς βυθὸν λυτρωσάμενος, τοὺς ὑπερυψοῦντας αὐτὸν εἰς τοὺς αἰῶνας.

Σθένος τὸν Σταυρὸν κραταιὸν κεκτημένοι, τοὺς δεινῇ δυναστείᾳ τοῦ πονηροῦ δουλωθέντας ἠλευθέρωσαν οἱ τοῦ Λόγου Μαθηταὶ ἀναμέλποντες· σὲ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἴμοι, τί φρικῶδες τὸ βῆμα ἐκεῖνο, ἐν ᾧ Λόγε καθίσας, τὰ πεπραγμένα κρυφῇ μοι φανερώσεις Χριστέ, στηλιτεύων τὴν ἀναισθησίαν μου· ἀλλὰ φύσει ὢν συμπαθής, φεῖσαί μου τότε.

Κόλπων οὐκ ἐκστὰς τῶν πατρῴων ἐν κόλποις ἀνεκλίθης Παρθένου ἐπ' ἀνακλήσει τοῦ γένους, οὗ ἐφόρεσας διὰ σπλάγχνα Ἰησοῦ τὸ ὁμοίωμα· ὅθεν σε ὑμνοῦμεν βροτοὶ εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Τὸν μόνον ἄναρχον.

Τὴν σταυροφόρον σου Ἑβδομάδα τιμῶμεν, ὡς προσκυνήσιμον· ἐν σοὶ γὰρ τὸ Ξύλον τὸ ἄχραντον προσκυνοῦντες βοῶμεν· ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Βαβαὶ τοῦ θαύματος, Βασιλεῦ τῶν αἰώνων· ὅτι τὸ Ξύλον ἐν ᾧπερ ἐσταυρώθης, ἠξίωσας ἡμᾶς τοὺς σοὺς οἰκέτας ἰδεῖν, καὶ προσκυνεῖν· διό σε μετὰ φόβου ὑμνοῦμεν εἰς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν.

Ὦ Ὁμοούσιε, ὦ Τριὰς παναγία, Πάτερ, Υἱέ, καὶ τὸ πανάγιον Πνεῦμα, Θεότης, ἀμερὲς σου τὸ κράτος δοξάζω, καὶ ὑμνῶ τὴν μίαν Βασιλείαν εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Τὸν πλαστουργήσαντα τὸν Ἀδὰμ κατ' εἰκόνα, καὶ ἐκ φυράματος αὐτοῦ προελθόντα, καὶ λύσαντα τὴν ἀρχαίαν κατάραν ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἡ δωδεκάχορδος λύρα τῆς Ἐκκλησίας, ὡς μελουργοῦσα τῆς σοφίας τὸν λόγον, Ἀπόστολοι, τοὺς ὑμᾶς ἀνυμνοῦντας αἰτήσατε ἰδεῖν τὸ Πάθος τοῦ Κυρίου, καὶ ᾆσαι εἰς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν μόνον ἄναρχον Βασιλέα τῆς δόξης, ὃν φρίττουσιν Οὐρανῶν αἱ Δυνάμεις, καὶ τρέμουσι τῶν Ἀγγέλων αἱ τάξεις, ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερυψοῦτε εἰς πάντας.

Ὠδὴ θ'. Φωτίζου, φωτίζου.

Φαιδρῶς, φωτίζου ἡ Ἐκκλησία τοῦ Θεοῦ τοῦ Σταυροῦ ταῖς ἀκτῖσιν, ὃν φέρεις προκείμενον πάντων πιστῶν εἰς προσκύνησιν· σὺ δὲ πληθὺς πᾶσα τῶν δαιμόνων σκότους πληθοῦσα ἀπόδραθι.

Κράτος ἐγκρατείας ὁ θεῖος πέφυκε Σταυρός, συνεργὸς ἀγρυπνούντων, πιστῶν ἐνίσχυσις, πολεμουμένων ὑπέρμαχος· τοῦτον, πιστοὶ πόθῳ συνελθόντες, περιχαρῶς προσκυνήσωμεν.

Θεμέλιοι θεῖοι τῆς Ἐκκλησίας τοῦ Χριστοῦ ἑδρασμοὶ εὐσεβείας πάντας συντηρήσατε, καὶ ἐπὶ πέτραν στηρίξατε τὴν ἄρραγῆ τοῦ ἐκλεξαμένου ὑμᾶς Ἀπόστολοι ἔνδοξοι.

Χαρὰν συλλαβοῦσα τοῦ Ἀρχαγγέλου τῇ φωνῇ, τῆς ἐμῆς νῦν καρδίας τὴν λύπην ἀφάνισον τὴν ψυχοφθόρον, καὶ δίδου Ἁγνὴ χαροποιὸν πένθος, ὅπως εὕρω ἐκεῖ τὴν θείαν παράκλησιν.

Ἄλλος. Σὲ τὴν ἄφλεκτον.

Σὺ τυπούμενος Μερρὰς τὰ ῥεῖθρα πάλαι γλυκαίνεις πάνσεπτον ξύλον· σύ μου γλύκανον καὶ τὴν ἐγκράτειαν ὁ Σταυρὸς τοῦ Χριστοῦ σήμερον καταπροσκυνούμενος.

Σὲ τὸ ἄμαχον τῆς Βασιλείας ὅπλον, τοῦ στρατοπέδου τὸ σθένος, τῆς Συγκλήτου τὸ κραταίωμα, τὸν Σταυρὸν τοῦ Χριστοῦ ὕμνοις μεγαλύνομεν.

Δόξα.

Σὲ τὸν ἄναρχον Πατέρα, καὶ Δεσπότην, καὶ τὸν συνάναρχον Λόγον, καὶ τὸ Πνεῦμα τὸ Ἅγιον εὐσεβῶς οἱ πιστοὶ πάντες μεγαλύνομεν.

Καὶ νῦν.

Σὲ τὴν ἔνδοξον, καὶ μόνην Θεοτόκον, τὴν τὸν ἀχώρητον Λόγον ἐν γαστρὶ χωρήσασαν, καὶ τεκοῦσαν σαρκὶ ὕμνοις μεγαλύνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Σὲ τὴν πύρινον φθογγὴν τοὺς Ἀποστόλους, ὡς καταφλέξαντας πᾶσαν ὕλην πλάνης, καὶ εὐσέβειαν ἐμφυτεύσαντας Κόσμῳ, ὕμνοις μεγαλύνομεν.

Ὁ Εἱρμός.

Σὲ τὴν ἄφλεκτον Μητέρα καὶ Παρθένον, τὴν τὸν ἀχώρητον Λόγον ἐν γαστρὶ χωρήσασαν, καὶ τεκοῦσαν σαρκὶ ὕμνοις μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμελον ἦχ. βαρύς. Δίς.

Ζηλώσωμεν οἱ πιστοὶ τοῦ Τελώνου τὴν μετάνοιαν, καὶ μὴ φαρισαϊκῶς ἐγκαυχησώμεθα· ἀλλ' ἐκ βάθους καρδίας στεναγμὸν προσοίσωμεν τῷ εὐεργέτῃ τῶν ὅλων Θεῷ· αὐτὸς γὰρ ἐνετείλατο λέγων, ὅτι πᾶς ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται· ὁ δὲ ταπεινῶν ἑαυτὸν ὑψωθήσεται· διὸ ὁμοφρόνως βοήσωμεν αὐτῷ· ὁ Θεὸς ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ σῶσον ἡμᾶς.

Μαρτ.

Ἓν πνέοντες, πρὸς ἓν βλέποντες οἱ ἀθλοφόροι Μάρτυρες, μίαν ὁδὸν ζωῆς διεράμενοι τὸν ὑπὲρ Χριστοῦ θάνατον, ζηλοτυποῦντες ἀλλήλων τὴν τελευτὴν· ὢ τοῦ θαύματος· ὥσπερ θησαυροὺς τὰς βασάνους προαρπάζοντες, πρὸς ἀλλήλους ἔλεγον, ὅτι κἂν μὴ νῦν ἀποθάνωμεν, τεθνηξόμεθα πάντως, καὶ τῇ φύσει τὰ ὀφειλόμενα λειτουργήσωμεν· ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν· τὸ κοινὸν ἴδιον ἡγησάμενοι· θανάτῳ ζωὴν ὠνησώμεθα· ταῖς πρεσβείαις αὐτῶν ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, θεοτοκίον ἦχ. ὁ αὐτός.

Εἰρήνευσον πρεσβείαις τῆς Θεοτόκου τὴν ζωὴν ἡμῶν τῶν βοώντων σοι, ἐλεῆμον Κύριε δόξα σοι.

Εἰς τὴν Τριθέκτην, τροπάριον τῆς Προφητείας, ἦχος πλ. β'.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Προκείμενον Ψαλμὸς ογ'. ἦχ. δ'.

Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος.

Στίχ. Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος;

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἀκούσατε λόγον Κυρίου ἄνδρες τεθλιμμένοι, καὶ οἱ ἄρχοντες τοῦ λαοῦ τούτου τοῦ ἐν Ἱερουσαλήμ, ὅτι εἴπατε, ἐποιήσαμεν διαθήκην μετὰ τοῦ ᾅδου, καὶ μετὰ τοῦ θανάτου συνθήκας, καταιγὶς φερομένη ἐὰν παρέλθῃ, οὐ μὴ ἔλθῃ ἐφ' ἡμᾶς· ἐθήκαμεν ψεῦδος τὴν ἐλπίδα ἡμῶν, καὶ τῷ ψεύδει σκεπασθησόμεθα· διατοῦτο οὕτω λέγει Κύριος ὁ Θεός· ἰδοὺ ἐγὼ ἐμβάλλω εἰς τὰ θεμέλια Σιὼν λίθον πολυτελῆ, ἐκλεκτόν, ἀκρογωνιαῖον, ἔντιμον εἰς τὰ θεμέλια αὐτῆς· καὶ ὁ πιστεύων οὐ μὴ καταισχυνθῇ· καὶ θήσω κρίσιν εἰς ἐλπίδα, ἡ δὲ ἐλεημοσύνη μου εἰς σταθμούς· καὶ οἱ πεποιθότες μάτην ψεύδει· ὅτι οὐ μὴ παρέλθῃ ὑμᾶς καταιγίς, μὴ καὶ ἀφέλῃ ὑμῶν τὴν διαθήκην τοῦ θανάτου· καὶ ἡ ἐλπὶς ὑμῶν ἡ πρὸς τὸν ᾅδην οὐ μὴ ἐμμείνῃ· καταιγὶς φερομένη ἐὰν ἐπέλθῃ, ἔσεσθε αὐτῇ εἰς καταπάτημα· ὅταν παρέλθῃ, λήψεται ὑμᾶς, πρωῒ πρωῒ παρελεύσεται ἡμέρας, καὶ ἐν νυκτὶ ἔσται ἐλπὶς πονηρά· μάθετε ἀκούειν στενοχωρούμενοι· οὐ δυνάμεθα μάχεσθαι, αὐτοὶ δὲ ἀσθενοῦμεν τοῦ ἡμᾶς συναχθῆναι, ὥσπερ ὄρος ἀσεβῶν ἀναστήσεται Κύριος, καὶ ἔσται ἐν τῇ φάραγγι Γαβαών· μετὰ θυμοῦ ποιήσει τὰ ἔργα αὐτοῦ, πικρίας ἔργον· ὁ δὲ θυμὸς αὐτοῦ ἀλλοτρίως χρήσεται, καὶ ἡ σαπρία αὐτοῦ ἀλλοτρία· καὶ ὑμεῖς μὴ εὐφρανθείητε, μηδὲ ἰσχυσάτωσαν ὑμῶν οἱ δεσ-

δεσ-

Digitized by Google

δεσμοί· διότι συντετελεσμένα καὶ συντετμημένα πράγματα ἤκουσα παρὰ Κυρίου Σαβαὼθ, ἃ ποιήσει ἐπὶ πᾶσαν τὴν γῆν.

Προκείμενον Ψαλμὸς οδ΄. ἦχ. δ΄.

Ἐγὼ δὲ ἀγαλλιάσομαι εἰς τὸν αἰῶνα.

Στίχ. Ἐξομολογησόμεθά σοι ὁ Θεὸς, ἐξομολογησόμεθά σοι.

Τῇ ε΄ τῆς μέσης Ἑβδομάδος Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν τὰ γ΄. Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Μηναίου γ΄. στιχηρ. προσόμοια ἦχ. δ΄.

Ἔδωκας σημείωσιν.

ΤΟν ἀειμακάριστον ἀξιωθέντες ἀσπάσασθαι οἱ πιστοὶ Σταυρὸν, Κύριε, δι᾽ οὗ ἡμᾶς ἔσωσας, ἀνυμνολογοῦμέν τὴν σὴν εὐσπλαγχνίαν, καὶ δυσωποῦμεν ἐκτενῶς, πᾶσι παράσχου τὴν ἀγαλλίασιν, Σωτὴρ, τοῦ σωτηρίου σου, ἐν μετανοίᾳ διδοὺς ἡμῖν κατιδεῖν σου τὴν Ἔγερσιν, καὶ τὰ Πάθη τὰ τίμια.

ΝΕκρωσιν ὑπέμεινας ἐπὶ Σταυροῦ ἐκτεινόμενος, ὁ νεκρώσας τὸν θάνατον, νεκροὺς ἀναστήσας τε ζωηφόρῳ λόγῳ, ὅθεν δυσωπῶ σε, τὴν νεκρωθεῖσάν μου ψυχὴν τῇ ἁμαρτίᾳ ζώωσον, Κύριε, παρέχων μοι κατάνυξιν, καὶ τῶν καλῶν ἀπολύτρωσιν ἐν ἡμέραις ἁγίαις σου τῆς νηστείας, φιλάνθρωπε.

Ἕτερον στιχηρ. προσόμοιον τοῦ κυρίου Θεοδώρου, ἦχ. δ΄.

Τὸν νοερὸν.

ΤΟν σὸν Σταυρὸν τὸν ἅγιον ἀξιωθέντες ἐν χαρᾷ κατιδεῖν, καὶ προσπτύξασθαι αἰτοῦμεν σε ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν, ἵνα αὐτὰ τὰ ἄχραντα προφθάσωμεν Πάθη σου τῇ νηστείᾳ νευρούμενοι, προσκυνοῦντες ὑμνοῦμεν τὴν Σταύρωσιν, λόγχην, τὸν σπόγγον, τὸν κάλαμον, δι᾽ ὧν ἡμᾶς ἀπαθανατήσας, εἰς τὴν ἀρχαίαν πάλιν τρυφῆς ζωὴν ἐπανήγαγες ὡς φιλάνθρωπος· διό σε εὐχαρίστως νῦν δοξάζομεν.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα. Καὶ νῦν, θεοτοκίον.

Ἑσπέρας Προκείμενον Ψαλμὸς οε΄. ἦχος πλ. δ΄.

Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.

Στίχ. Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός.

Γενέσεως τὸ Ἀνάγνωσμα.

ΑΥται αἱ φυλαὶ υἱῶν Νῶε κατὰ γενέσεις αὐτῶν, κατὰ ἔθνη αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς γῆς, μετὰ τὸν κατακλυσμόν. Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἓν, καὶ φωνὴ μία πᾶσι· καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ, καὶ κατῴκησαν ἐκεῖ· καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον αὐτοῦ· δεῦτε πλινθεύσωμεν πλίνθους, καὶ ὀπτήσωμεν αὐτὰς πυρί· καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός· καὶ εἶπαν· δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ Οὐρανοῦ· καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα, πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς· καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων· καὶ εἶπε Κύριος· ἰδοὺ γένος ἓν, καὶ χεῖλος ἓν πάντων· καὶ τοῦτο ἤρξαντο ποιῆσαι· καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν· δεῦτε, καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον· καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς· καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν, καὶ τὸν πύργον· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς, σύγχυσις· ὅτι ἐκεῖ συνέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς· καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς Κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

Προκείμενον Ψαλμὸς ος΄ ἦχ. βαρύς.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα.

Στίχ. Ἐν ἡμέρᾳ θλίψεώς μου τὸν Θεὸν ἐξεζήτησα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΕΠιθυμίαι εὐσεβῶν ἡδύνουσι ψυχήν· ἔργα δὲ ἀσεβῶν μακρὰν ἀπὸ γνώσεως· συμπορευόμενος σοφοῖς σοφὸς ἔσῃ· ὁ δὲ συμπορευόμενος ἄφροσι γνωσθήσεται· ἁμαρτάνοντας καταδιώξεται κακά, τοὺς δὲ δικαίους καταλήψεται ἀγαθά· ἀγαθὸς ἀνὴρ κληρονομήσει υἱοὺς υἱῶν· θησαυρίζεται δὲ δικαίοις πλοῦτος ἀσεβῶν· δίκαιοι ποιήσουσιν ἐν πλούτῳ ἔτη πολλά· ἄδικοι δὲ ἀπολοῦνται συντόμως· ὃς φείδεται τῆς βακτηρίας, μισεῖ τὸν υἱὸν αὐτοῦ· ὁ δὲ ἀγαπῶν, ἐπιμελῶς παιδεύει· δίκαιος ἔσθων ἐμπιπλᾷ τὴν ψυχὴν αὐτοῦ, ψυχαὶ δὲ ἀσεβῶν ἐνδεεῖς· σοφαὶ γυναῖκες ᾠκοδόμησαν οἴκους· ἡ δὲ ἄφρων κατέσκαψε ταῖς χερσὶν αὐτῆς· ὁ πορευόμενος ὀρθῶς φοβεῖται τὸν Κύριον. ὁ δὲ σκολιάζων ταῖς ὁδοῖς αὐτοῦ ἀτιμασθήσεται· ἐκ στόματος ἀφρόνων βακτηρία ὕβρεως· χείλη δὲ σοφῶν φυλάσσει αὐτούς· οὗ μὴ εἰσὶ βόες, φάτναι καθαραί· οὗ δὲ πολλὰ γεννήματα, φανερὰ βοὸς ἰσχύς· μάρτυς πιστὸς οὐ ψεύδεται· ἐκκαίει δὲ ψεύδη μάρτυς ἄδικος· ζητήσεις σοφίαν παρὰ κακοῖς, καὶ οὐχ εὑρήσεις· αἴσθησις δὲ παρὰ φρονίμοις εὐχερής.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμελον ἦχ. πλ β΄. Δίς.

ΠΑρὰ Κυρίου τοῦ ταπεινώσαντος ἑαυτὸν, μέχρι τοῦ διὰ Σταυροῦ θανάτου διὰ σὲ μαθοῦσα ψυχή μου, τὴν ἐξ ἐπάρσεως ταπείνωσιν, καὶ τὴν ἐκ ταπεινώσεως ὕψωσιν, ἐπ᾽ ἀρεταῖς μὴ ἐπαίρου, μὴ δὲ σαυτὴν δικαίαν ὑποπτεύουσα, τὸν πλησίον κατάκρινε, ὡς ὁ μεγάλαυχος Φαρισαῖος· ἀλλ᾽ ἐν φρονήματι καταβεβλημένῳ τῶν σῶν ἁμαρτημάτων μνημονεύουσα μόνον, ὡς ὁ Τελώνης, βόησον· ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ, καὶ σῶσόν με.

Μαρτ.

ΟΙ Μάρτυρές σου Κύριε οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Τριήμερος ἀνέστης.

Η Πανάγνος ὡς εἶδέ σε ἐπὶ Σταυροῦ κρεμάμενον, ἀνεβόα, τί τὸ ξένον, ὃ ὁρῶ μυστήριον, Υἱέ μου, πῶς ἐπὶ ξύλου θνήσκεις σαρκὶ κρεμάμενος, ζωῆς χορηγέ;

Τῇ Παρασκευῇ τῆς μέσης Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ τριαδικὰ τοῦ ἤχου. Μετὰ τὴν α΄. στιχολ. λέγομεν καθίσ. σταυρώσιμα τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β΄. στιχολ. λέγομεν τὸ παρὸν κάθισ. τοῦ Κυρίου Ἰωσήφ· ἦχος δ΄.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

ΤΗς ἐγκρατείας τὸν καιρὸν ἁγιάζων ὁ πανσεβάσμιος Σταυρὸς καθορᾶται· ὃν προσκυνοῦντες σήμερον βοήσωμεν. Δέσποτα φιλάνθρωπε τῇ αὐτοῦ συμμαχίᾳ δίδου διελθεῖν ἡμᾶς τὸ λοιπὸν τῆς νηστείας ἐν κατανύξει, καὶ τὰ ζωηρὰ βλέψαι σου Πάθη, δι᾽ ὧν ἐλυτρώθημεν.

Σταυροθεοτ. ἦχος ὁ αὐτός.

ΤΟν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα ἡ ἐπ᾽ ἐσχάτων σε Χριστὲ τετοκυῖα ἐπὶ Σταυροῦ κρεμάμενον ἠλάλαζεν· οἴμοι ποθεινότατε Ἰησοῦ ἀνεβόα, πῶς ὁ δοξαζόμενος, ὡς Θεὸς, ὑπ᾽ Ἀγγέλων· ὑπὸ ἀνόμων νῦν βροτῶν, Υἱὲ, θέλων σταυροῦσαι; ὑμνῶ σε, μακρόθυμε.

Εἰς τὴν τρίτην στιχολ. κάθισ. ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

ΤΟ φῶς τῶν ψυχῶν ἡμῶν νῦν καθορῶντες, Χριστὲ, Σταυρόν σου τὸν ἄχραντον καὶ προσκυνοῦντες χαρᾷ, φαιδρῶς ἐκβοήσωμεν· δόξα σοι ὁ ἐν τούτῳ ὑψωθῆναι θελήσας· δόξα σοι ὁ φωτίσας δι᾽ αὐτοῦ πᾶσαν Κτίσιν· ἐν ᾧ σε ἀκαταπαύστως ὕμνοις δοξάζομεν.

Σταυροθεοτ. Ὅμοιον.

ΣΤαυρῷ σε ὑψούμενον, ὡς ἐθεάσατο ἡ ἄνυμφος Μήτηρ σου Λόγε Θεοῦ, μητρικῶς θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν καὶ ξένον τοῦτο Υἱέ μου θαῦμα; πῶς ἡ ζωὴ τῶν ὅλων ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων ὡς εὔσπλαγχνος.

Ὅμοιον, καὶ ὁ Κανὼν τοῦ τιμίου Σταυροῦ, τὸ γὰρ Μηναῖον ψάλλεται ἐν τοῖς Ἀποδείπνοις· ὁ Κανὼν, οὗ ἡ ἀκροστιχ. Τὸ προσκυνητὸν πάντες ὑμνοῦμεν Ξύλον.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Ἁρματηλάτην.

ΤΟν τοῦ Κυρίου προσελθόντες σήμερον Σταυρὸν νοῒ καθαρῷ, καὶ εὐσεβεῖ γνώμῃ δεῦτε προσκυνήσωμεν, πρόκειται γὰρ δωρούμενος τοῖς αὐτὸν προσκυνοῦσι ἁγιασμόν τε σωτήριον, ἔλλαμψιν, καὶ δόξαν, καὶ ἔλεος.

Ο Ζωοδότης Σταυρὸς προκείμενος, καὶ καθορώμενος, φωτοειδῆ αἴγλην ἀποπέμπει χάριτος, προσέλθωμεν, καὶ λάβωμεν φωτισμὸν εὐφροσύνης, καὶ σωτηρίαν καὶ ἄφεσιν, αἴνεσιν Κυρίῳ προσάγοντες.

ΠΡόκειται ξένον τοῖς ὁρῶσι θέαμα Σταυρὸς ὁ τίμιος, καὶ ὡς πηγὴ βρύει ψυχικὰ χαρίσματα, καὶ παύει ἁμαρτήματα, καὶ νοσήματα λύει, καὶ τὰ φρονήματα ῥώννυσι τῶν εἰλικρινῶς προσιόντων αὐτῷ.

ΡΑβδος ἐτύπου τοῦ Σταυροῦ τὸ τρόπαιον θάλασσαν τέμνουσαν, δι᾽ οὗ ἡμεῖς πίστει ἀποντίστως πλέομεν τοῦ βίου ὕδωρ ἄστατον, καὶ τὰ ῥεύματα πάντα τῆς ἁμαρτίας ἐκφεύγομεν, καὶ θείας γαλήνης πληρούμεθα.

Θεοτοκίον.

ΟΤε σε τέκνον ἀπορρήτως ἔτεκον, ὠδῖνας ἔφυγον, καὶ πῶς νυνὶ ὅλη ὀδυνῶν πεπλήρωμαι· ὁρῶ γάρ σε κρεμάμενον, ὡς κακοῦργον, τῷ ξύλῳ, τὴν γῆν ἀσχέτως κρεμάσαντα; ἔλεγεν ἡ πανάγνος κλαίουσα.

Ὠδὴ γ΄. Ὁ στερεώσας.

ΣΤαυρὸς ἁπάντων τῶν καλῶν παρεκτικὸς καθορᾶται προσκυνούμενος, καὶ πᾶσα ἡ Κτίσις ἑορτάζει ἐν χαρᾷ φωτιζομένη χάριτι, τοῦ ἐν αὐτῷ βουλήσει ἀνυψωθέντος Θεοῦ ἡμῶν.

ΚΑταυγαζόμενοι φωτὶ τῶν τοῦ Σταυροῦ λαμπηδόνων μεσασμῷ τῆς ἱερᾶς ἐγκρατείας, σκοτασμὸν ἁμαρτιῶν ἐκφύγωμεν, καὶ κράξωμεν· ὁ φωτισμὸς τῶν ὅλων εὔσπλαγχνε Κύριε, δόξα σοι.

ΥΜνολογοῦμέν σε Σταυρὲ, καὶ προσπτυσσόμεθα πίστει, ἐξαιτούμενοι τῇ σῇ δυναστείᾳ ἐξέλου ἡμᾶς ἐχθροῦ παγίδων, καὶ κυβέρνησον πάντας ἡμᾶς πρὸς ὅρμον τῆς σωτηρίας τιμῶντάς σε.

Θεοτοκίον.

ΝΕνεκρωμένην τὴν ζωὴν ἐπὶ Σταυροῦ θεωροῦσα, καὶ μὴ φέρουσα τῶν σπλάγχνων τὸν πόνον, ἐδονεῖτο ἡ σεμνὴ Παρθένος ἀνακράζουσα· οἴμοι Υἱέ μου, τί σοι δῆμος ἀνόμων ἀπέδωκεν;

Καθισ. ἦχος πλ. β΄.

ΜΟνον ἐπάγη τὸ ξύλον, Χριστὲ, τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου Ἅγιε, καὶ δοξολογοῦμέν σε, Υἱὲ Θεοῦ ἐλέησον ἡμᾶς.

Δόξα, τὸ τέλος. Καὶ νῦν.

ΣΗμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.



Digitized by Google

Ὠδὴ δʹ. Σύ μου Χριστὲ.

Ἡ Κραταιὰ σκέπη τε καὶ ἐπανόρθωσις τῶν ἀνθρώπων, τὸ ἀκαταμάχητον ὅπλον τῆς πίστεως, ὁ Σταυρὸς ὁ σωτηριώδης ἰδοὺ ὁρᾶται προκείμενος, καὶ πάντων τὰς καρδίας τῶν πιστῶς προσιόντων ἁγιάζει, φωτίζει ἐν χάριτι.

Τῷ μεσασμῷ τῆς ἐγκρατείας προκείμενος ἐν τῷ μέσῳ πάντων, ὑπερύμνητε, Σταυρὸς ὁ τίμιος μέσον γῆς· ἐν ᾧ ἀνυψώθης ἐθελουσίως φιλάνθρωπε, τὸν Κόσμον ἁγιάζει τῇ αὐτοῦ προσκυνήσει, καὶ διώκει δαιμόνων τὰς φάλαγγας.

Ὁ Οὐρανὸς, καὶ πᾶσα γῆ συνευφραίνεται, ἀθλοφόροι Μάρτυρες, Ἀπόστολοι, ψυχαὶ Δικαίων περιχαρῶς νῦν ἀγαλλιῶνται, τὸ πάντας σῶζον θεώμενοι προκείμενον ἐν μέσῳ ζωοδώρητον Ξύλον, καὶ πιστοὺς ἁγιάζον ἐν χάριτι.

Νόμους τοὺς σοὺς, Κύριε, ὁ ἀσυνέτως μὴ φυλάξας, μέλλω κατακρίνεσθαι, ἡνίκα ἔρχῃ ἐξ Οὐρανοῦ κρῖναι τῶν ἀνθρώπων τὰ ἔργα, ὅθεν κραυγάζω σοι, δυνάμει τοῦ Σταυροῦ σου ἐπιστρέψας με σῶσον, μετανοίας παρέχων μοι δάκρυα.

Θεοτοκίον.

Παρθενικῆς τέκνον ἐκ μήτρας σε ἔτεκον, καὶ ὁρῶσα ξύλῳ σε κρεμάμενον, ἐξαπορῶ, καὶ οὐ συνορῶ ὕψος μυστηρίου, καὶ βάθος πολλῶν κριμάτων σου, ἡ πανάγνος ἐβόα, ἣν φωναῖς ἀσιγήτοις, ὡς Μητέρα Θεοῦ, μακαρίζομεν.

Ὠδὴ εʹ. Ἱνατί με ἀπώσω.

Ἀλαλάξατε ἔθνη, ᾄσατε καὶ ψάλλατε, φυλαὶ σκιρτήσατε τῷ Θεῷ, τῷ δόντι τὸν Σταυρὸν ἀδιάσειστον ἔρεισμα, οἱ τῆς ἐγκρατείας νῦν τῷ καιρῷ κατεντρυφῶντες, ἱστῶντες ψυχὴν, καὶ διάνοιαν.

Νοεραὶ στρατιαί σε πᾶσαι περιέπουσι, Σταυρὲ πανάγιε, καὶ βροτοὶ πηλίνοις σοὶ προσψαύοντες χείλεσι σήμερον, ἀπαντλοῦμεν πόθῳ ἁγιασμὸν, καὶ εὐλογίαν, τὸν ἐν σοὶ προσπαγέντα δοξάζοντες.

Τῆς ψυχῆς μου τὰ πάθη ἴασαι τὰ χρόνια, εὔσπλαγχνε Κύριε, καὶ προσκυνητήν με τῶν ἁγίων Παθῶν σου ἀξίωσον, τῆς νηστείας χρόνῳ βελτιωθέντα, ἀναδεῖξαι καὶ καλὴν ἀποχὴν, ὑπεράγαθε.

Θεοτοκίον.

Ἐν Σταυρῷ καθορῶσα τὸν δι' ἀγαθότητα ἐκ σοῦ παναμώμητε, ὑπὲρ νῦν τεχθέντα, ἐσπαράσσου τὰ σπλάγχνα, καὶ ἔλεγες· οἴμοι θεῖον Τέκνον, πῶς ὑπὲρ πάντων ὀδυνᾶσαι; προσκυνῶ σου τὸ εὔσπλαγχνον Κύριε.

Τὸ Τετρῴδιον. Ὠδὴ εʹ. ἦχος δʹ. Ἐξέστη τὰ.

Φωστῆρες ἀπέκρυψαν τὸ φῶς αὐτῶν, θεώμενοι ξύλῳ προσηλούμενον ἀδίκως, δίκαιε μόνε, σὲ τὸν μακρόθυμον, καὶ τοῦ πονηροῦ τὰς ζοφερὰς Σατὰ ρ, δειγματίζοντα ἐξουσίας τῷ κράτει σου.

Νηστείας ἐν ὕδατι τὰ πρόσωπα νιψώμεθα, καὶ περιπτυξώμεθα τὸ ξύλον· μόνος ὁ πάντων ἐν ᾧ ὑψώθη Χριστὸς σάρκα περικείμενος θνητὴν, ὅπως θανατώσει τὸν ἡμᾶς θανατώσαντα.

Σταυρὲ πανσεβάσμιε, τῶν Ἀποστόλων καύχημα, ὅπλον Ἀθλοφόρων Ἱερέων, δόξα Ὁσίων, περιχαράκωμα πάντων τῶν πιστῶν, ὁ φυλακτὴρ, φρούρησον, ἁγίασον τοὺς πιστῶς προσκυνοῦντάς σε.

Θεοτοκίον.

Τὸν βότρυν ἡ ἄμπελος Παρθένος, ὃν ἐβλάστησε, ξύλῳ κρεμασθέντα κατιδοῦσα. Τέκνον, ἐβόα, γλεῦκος ἀπόσταξον, μέθην ἀναστέλλων τῶν ἐχθρῶν, μάτην σταυρωσάντων σε, τὸν ἐν πᾶσι μακρόθυμον.

Ἄλλος, ἦχος ὁ αὐτός. Ἐκ νυκτὸς ὀρθρί.

Σήμερον προτίθεται ὁ Σταυρὸς σου ξύλον ζωῆς προσκυνητόν· καὶ Κόσμος ἀγάλλεται, φοιτήσει, τῇ τοῦ Πνεύματος, αὐτὸν κατασπαζόμενος.

Προκείμενον βλέποντες τὸν Σταυρόν σου οἱ λειτουργοὶ τῶν Οὐρανῶν, ὑμνοῦσί σε, Κύριε, καὶ δαίμονες φρίττουσι, μὴ φέροντες τὸ κράτος σου.

Δόξα.

Τριάδα δοξάζωμεν ὀρθοδόξως, σὺν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ Πνεῦμα τὸ Ἅγιον· τὴν μίαν Θεότητα, Μονάδα τρισυπόστατον.

Θεοτοκίον.

Μητέρα καὶ Παρθένον σε ὀρθοδόξως ὁμολογοῦμεν οἱ πιστοὶ, ἀῤῥήτως κυήσασαν Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν μόνον πολυέλεον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐν πεύκῃ, καὶ κέδρῳ, καὶ κυπαρίσσῳ ὁ σταυρωθεὶς Υἱὲ Θεοῦ, ἁγίασον πάντας ἡμᾶς, καὶ τὸ ζωηφόρον σου καταξίωσον Πάθος ἰδεῖν.

Ὁ Εἱρμός.

Ἐκ νυκτὸς ὀρθρίζοντα φώτισόν με, ζωοποιὲ Χριστοῦ Σταυρὲ, φόβῳ προσκυνοῦντά σε, ἡμέ-
„ ραν σωτήριον ἀεὶ ἐξανατέλλων μοι.

Ὠδὴ ϛʹ. Ἱλάσθητί μοι Σωτήρ.

Σταυροῦ παγέντος ἐν γῇ, δαιμόνων πτῶσις ἐγένετο· ὃν νῦν ὁρῶντες ἡμεῖς ἐνδόξως προκείμενον, καὶ κατασπαζόμενοι, ἀπὸ συμπτωμάτων ἁμαρτίας ἀνιστάμεθα.

Ὑψοῦντές σε τὸν Χριστὸν, ὡς Βασιλέα, καὶ Κύριον, ὃν ἐδωρήσω ἡμῖν Σταυρὸν τεῖχος ἄῤῥηκτον, ὃν περιπτυσσόμεθα μεσασμῷ τῆς θείας ἐγκρατείας ἀγαλλόμενοι.

Μεγάλα πᾶσιν ἡμῖν δωρήματα παρεχόμενος ὁ τοῦ Κυρίου Σταυρὸς ὁρᾶται προκείμενος· προσέλθωμεν, ἄνθρωποι, φωτισμὸν καρδίας, καὶ ψυχῆς ἀπαρυσώμεθα.

Θεο-

Digitized by Google

Θεοτοκίον.

Νηστεύειν ἡμᾶς Ἁγνὴ κακίας πάσης ἐνίσχυσον· καὶ φαύλων, καὶ πονηρῶν ἀπέχεσθαι πράξεων αἰεὶ ἐνδυνάμωσον, προστασία πάντων τῶν ἀνθρώπων χρηματίζουσα.

Κοντάκιον· Ἦχος βαρύς.

Οὐκέτι φλογίνη ῥομφαία φυλάττει τὴν πύλην τῆς Ἐδέμ· αὐτῇ γὰρ ἐπῆλθε παράδοξος δέσις· τὸ ξύλον τοῦ Σταυροῦ θανάτου τὸ κέντρον, καὶ Ἅδου τὸ νῖκος ἐλήλατο· ἐπέστης δὲ Σωτήρ μου, βοῶν τοῖς ἐν Ἅδῃ· εἰσάγεσθε πάλιν εἰς τὸν Παράδεισον.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Ὁ χρόνων ἐπέκεινα ἐν χρόνῳ σάρκα φορέσας δείκνυται, καὶ τὰ χρόνια πάθη ἡμῶν ἰᾶται δι' ἀγαθότητα, τῆς ἐγκρατείας καιρῷ, ἐν ᾧ προσκεῖται ὁ θεῖος οὗτος Σταυρὸς, καθαγιάζων ἡμᾶς.

Ὑμνοῦμέν σε, δοξάζομέν σε, καὶ προσκυνοῦμέν σε, καὶ μεγαλύνομέν τὸ σὸν Κύριε κράτος, ὅτι παρέχεις ἡμῖν τοῖς δούλοις σου Σταυρὸν τὸν θεῖον, τροφὴν ἀδαπάνητον, καὶ φύλακα τῶν ψυχῶν, καὶ τῶν σωμάτων ἡμῶν.

Μὴ δείξῃς με, Κύριε, ἐν τῇ ἡμέρᾳ τῆς διαγνώσεως κακοῖς κατηγορούμενον· μὴ ἀπορρίψῃς ἐκ τοῦ προσώπου σου κατησχυμμένον, ἀλλ' οἴκτειρον σῶσόν με τῷ σῷ τιμίῳ Σταυρῷ, ὡς ὑπεράγαθος.

Ἐν τύπῳ τὴν χάριν σου, Σταυρὲ, γλυκαίνων Μωσῆς τὰ ὕδατα τὰ πικρότατα ξύλῳ, καὶ γὰρ πικρίας παθῶν ἐρρύσθημεν τῇ σῇ δυνάμει, διὸ ἡμᾶς γλύκανον ἀσπαζομένους σε νῦν ἐν κατανύξει ψυχῆς.

Θεοτοκίον.

Νόος μου τὴν στένωσιν τῇ σῇ πρεσβείᾳ πλάτυνον Δέσποινα, ἡ στενώσασα πάσας τὰς μεθοδείας τοῦ πολεμήτορος· καὶ δι' ὁδοῦ με στενῆς κατεύθυνον πρὸς πλατυσμὸν τῆς ζωῆς βαδίζειν, Μήτηρ Θεοῦ.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Ξύλῳ ποτὲ ἀνείλκυσε ποταμοῦ τὸ σιδήριον θεῖος Ἐλισσαῖος ὁ προγράψας σε πόρρωθεν, Σταυρὲ πανσέβασμιε, ἐκ τοῦ βυθοῦ τῆς πλάνης, καὶ γὰρ διὰ σοῦ πρὸς πίστιν ἀναχθέντες βεβαίαν· τὴν σήμερον ἡμέραν ἀξιούμεθα βλέπειν, καὶ πίστει προσκυνεῖν σε, τρυγῶντες σωτηρίαν.

Ὑποσημαίνει πόρρωθέν σε, Σταυρὲ πανσέβασμιε, ἐν ταῖς εὐλογίαις Ἰακὼβ τρανώτατα, ἡμεῖς δὲ ἐν χάριτι ἀξιωθέντες βλέπειν σε· πίστει ἀδιστάκτῳ προσερχόμεθα πάντες· καὶ ψαύοντες πλουσίαν εὐλογίαν τρυγῶμεν· καὶ φῶς, καὶ σωτηρίαν, καὶ τῶν πταισμάτων λύσιν.

Λευχειμονοῦντες πράξεσιν ἐναρέτοις, προσέλθωμεν τῷ τῆς ἐγκρατείας μεσασμῷ γηθόμενοι, καὶ περιπτυξώμεθα τὸν τοῦ Κυρίου πίστει Σταυρόν· ὅπως τῷ αὐτοῦ κατευοδούμενοι σθένει, τελέσωμεν τὸν δρόμον ἐν καλῇ προθυμίᾳ, καὶ φθάσωμεν τὸ θεῖον λελαμπρυσμένοι Πάθος.

Ὁμοφυῆ, συνάναρχον, συναΐδιον, σύνθρονον, φύσιν μὲν ἁπλῆν, διαιρετὴν προσώποις δὲ, Πατέρα ἀγέννητον, Υἱὸν, καὶ Πνεῦμα Ἅγιον, ἄκτιστον οὐσίαν, καὶ Θεότητα, πάντες ὑμνοῦντες μελῳδοῦμεν, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Θεοτοκίον.

Νῦν ὡς ἀρνίον ἄκακον καθορῶσά σε κρεμάμενον, καὶ ὑπὸ ἀνόμων τῷ Σταυρῷ πηγνύμενον, Υἱέ μου προάναρχε, τοῖς ὀδυρμοῖς συγκόπτομαι, καὶ ταῖς μητρικαῖς περισπῶμαι ὀδύναις, ἡ Πανάγνος ἐβόα, ἣν φωναῖς ἀσιγήτοις ὑμνοῦμεν καταχρέως εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Παῖδας εὐαγεῖς.

Πάθους σου τοῦ ἀπαθοῦς ὁρῶσα ἡ Κτίσις συνέπασχε, μακρόθυμε. Ἥλιος ἐσβέννυτο, πέτραι δὲ ἐρρήγνυντο· πᾶσα ἡ γῆ ἐσείετο φόβῳ κραυγάζουσα· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα.

Θείοις δεινοῖς τοῖς τοῦ καλάμου, Θεέ μου οἰκτίρμον, ἐπιτίμησον, ἔνδον με συνθλίβουσι, Σῶτερ, ὁ τὴν ἄτιμον ὑπενεγκὼν τυπτόμενος ὕβριν καλάμῳ Χριστὲ, τιμῆσαι προελόμενος πάντας, τοὺς ἀτιμασθέντας τῇ πάλαι παραβάσει.

Εἴ γε νῦν τὸ φρικτόν σου ὅταν λάβω, Κριτὰ Δικαιότατε, κριτήριον, τρέμω, καὶ ἐξίσταμαι, φρίττω, καὶ ὀδύρομαι, κατανοῶν τὰ ἔργα μου δίκης ἐπάξια· διό σου τὴν πολλὴν εὐσπλαγχνίαν, Σῶτερ, μὴ νικήσῃ τὸ πλῆθος τῶν κακῶν μου.

Θεοτοκίον.

Τεκοῦσά σε ἄνευ ὠδίνων, ὀδύνας τῇ σῇ σταυρώσει καθυφίσταμαι, φλέγονται τὰ σπλάγχνα μου, ἥλοις γὰρ προσήλωσαι, τὴν σὴν πλευρὰν, μακρόθυμε, ἐξορυττόμενος, ἡ Πάναγνος ἐβόα Παρθένος, ἣν ὡς Θεοτόκον συμφώνως ἀνυμνοῦμεν.

Εἱρμὸς ἄλλος. Πάντα τὰ ἔργα, καὶ.

Ῥήξάτωσαν τὰ ὄρη νοητῶς δικαιοσύνην, καὶ βουνοὶ ἀγαλλίασιν, τὸ ξύλον τοῦ Σταυροῦ προσκυνούμενον σήμερον, ὃ ὑπερυψοῦμεν Χριστὲ εἰς τοὺς αἰῶνας.

Ἡ χάρις τοῦ Σταυροῦ σου φρικτῶς, καὶ γὰρ δαιμόνων ἐλαύνει τὰς φάλαγγας, ἀνθρώποις τῶν ἰαμάτων παρέχουσα νάματα· διό σε ἀνυμνοῦμεν Χριστὲ, εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Τὸν ἄναρχον Πατέρα, καὶ Υἱὸν, σὺν τῷ Ἁγίῳ ἀνυμνήσωμεν Πνεύματι. Τριάδα ὁμοούσιον, μίαν Ἀρχὴν, καὶ Θεὸν αἰνοῦντες, ὑμνοῦμεν Χριστὲ, εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Πᾶσα γλῶσσα γηγενῶν ὑμνεῖ σε Παρθένε, ὅτι φῶς τὸ ἀπρόσιτον ηὔγασας φωταγω-

γοῦντα

Digitized by Google

γοῦντα τὸν Κόσμον, Χριστὸν τὸν Θεὸν, ὃν ὑπερυψοῦμεν ἀεὶ εἰς τοὺς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἀγάλλεται τὰ πέρατα τῆς γῆς τῇ προσκυνήσει τοῦ Σταυροῦ σου φιλάνθρωπε. Ἄγγελοι ἐν Οὐρανοῖς συγχορεύουσι σήμερον, σὺν ἡμῖν ὑμνοῦντές σε Χριστὲ, εἰς τοὺς αἰῶνας.

Ὁ Εἱρμός.

Πάντα τὰ ἔργα τοῦ Θεοῦ, καὶ πᾶσα Κτίσις εὐλογεῖτε τὸν Κύριον· ὅσιοι καὶ ταπεινοὶ τῇ „ καρδίᾳ ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς „ τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἐξέστη ἐπί.

Ἴασαι ὑπερήγαθε, τὴν ἐμὴν συντριβὴν ἐν Σταυρῷ προσπηγνύμενος ἥλοις ποτὲ χεῖρας σου, καὶ πόδας Παμβασιλεῦ· καὶ τὴν πλευρὰν νυττόμενος, ὄξος ποτιζόμενος καὶ χολὴν ἡ πάντων εὐφροσύνη, ὁ γλυκασμὸς, ἡ δόξα, ἡ αἰωνία ἀπολύτρωσις.

Ὡραῖος ὑπάρχεις εὐπρεπέστερον καὶ χρυσοῦ, φωταυγὴς ὥσπερ Ἥλιος πέφυκας, θεῖε Σταυρὲ, κείμενος μὲν τόπῳ περιγραπτὸς, καὶ νοεραῖς Δυνάμεσι πάντοτε κυκλούμενος φοβεραῖς, ἀκτῖσι δέ σου θείας δυνάμεως φωτίζων τῆς Οἰκουμένης τὰ πληρώματα.

Σταυρὸς, χειμαζομένων ἐστὶ λιμὴν, ὁδηγὸς πλανωμένων καὶ στήριγμα, δόξα Χριστοῦ, θεῖος Ἀποστόλων καὶ Προφητῶν, τῶν Ἀθλητῶν κραταίωμα, πάντων τῶν ἀνθρώπων καταφυγή· αὐτὸν ἐν μέσῳ πάντες προκείμενον ὁρῶντες, τῇ ἐγκρατείᾳ ἀσπαζόμεθα.

Ἡνίκα μέλλεις ἔρχεσθαι ἐπὶ γῆς κρῖναι Κόσμον, ὃν ἔπλασας Κύριε, Ἀγγελικῶν προπορευομένων σου στρατιῶν, καὶ τοῦ Σταυροῦ προλάμποντος ὑπὲρ τὰς αὐγὰς τὰς ἡλιακὰς, τῇ τούτου δυναστείᾳ οἰκτείρησόν με, σῶσον τὸν ὑπὲρ πάντας βροτοὺς πταίσαντα.

Θεοτοκίον.

Φθορᾶς σε δίχα τέτοκα, ἐκ γαστρὸς πρὸ αἰώνων Πατὴρ ὃν ἐγέννησε· καὶ πῶς φθορεῖς ἄνθρωποι σπαράττουσί σε, Υἱὲ, καὶ τὴν πλευρὰν ὀρύττουσι λόγχῃ, καὶ τὰς χεῖρας σὺν τοῖς ποσὶν ἥλουσιν ἀπανθρώπως; ἡ Πανάγνος ἐβόα, ἣν ἐπαξίως μεγαλύνομεν.

Εἱρμὸς ἄλλος. Ἅπας γηγενής.

Ξύλῳ τοῦ Σταυροῦ τὴν φλόγα ἐμάρανας τῆς ἁμαρτίας, Χριστὲ, χεῖρας πεπαρμένας δὲ, χειρὸς ἐρρύσω τοῦ πολεμήτορος, τὸν ἀκράτως ἐκτείναντα χεῖρας πρὸς βρῶσιν καρποῦ· οὗπερ μόνου φεύγειν τὴν μετάληψιν ἀπεφήνω Χριστὲ πολυέλεε.

Πάθος σου Χριστὲ, τὸ πᾶσιν ἀπάθειαν βροτοῖς πηγάσαν σεπτῶς, βλέψαι, καταξίωσον ἐν ἀπαθείᾳ τοὺς προσκυνήσαντας σοῦ τὸν Σταυρὸν τὸν τίμιον, τὰς ἁμαρτίας ἡμῶν παραβλέπων, καὶ τῆς Ἀναστάσεως ἀληθείας υἱοὺς ἐργαζόμενος.

Ὕψωσον ἡμᾶς πεσόντας εἰς θάνατον, τῇ ἀναστάσει σου ἔλυσας τὸν θάνατον, καὶ τῷ Πατρί σου ἡμᾶς κατήλλαξας, ὑπὲρ ἡμῶν τὸ Αἷμα σου καταβαλλόμενος εὐεργέτα, ὅθεν σε δοξάζομεν, ὡς Θεὸν λυτρωτὴν παντοδύναμον.

Μόνη τοῦ Θεοῦ Σοφίαν κυήσασα τὴν ἐνυπόστατον σόφισόν με δέομαι τοῦ τῆς κακίας διαφυγεῖν σοφιστοῦ ἐπιβουλὰς, καὶ ἔνεδρα, καὶ πανουργήματα, Θεοτόκε Κόρη ἀπειρόγαμε, κραταιὸν τῶν πιστῶν καταφύγιον.

Εἱρμὸς ἄλλος. Τὸν ἄσπορον.

Τὸν Σταυρὸν τὸν τίμιον, ὅνπερ περιέπουσιν Ἀγγέλων στρατεύματα, καὶ ἡμεῖς προσκυνοῦντες μεγαλύνομεν.

Τὸ ξύλον τὸ ἄχραντον, δι' οὗ μετελάβομεν ζωῆς οἱ πρὶν θανέντες, τὸν Σταυρὸν τοῦ Σωτῆρος μεγαλύνομεν.

Δόξα.

Πατέρα τὸν ἄναρχον, Υἱὸν τὸν συνάναρχον, καὶ Πνεῦμα τὸ σύνθρονον, τὴν Ἁγίαν Τριάδα μεγαλύνομεν.

Καὶ νῦν.

Μητέρα Ἀνύμφευτον, καὶ Παρθένον ἅπαντες, Σεμνὴ, ἀνυμνοῦμέν σε· ἀσπόρως γὰρ τὸν Κτίστην ἀπεκύησας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοὺς ἀξιωθέντας σε ἰδεῖν, καὶ προσπτύξασθαι, εὐόδωσον προφθάσαι τὸ πανάγιον Πάθος, ὁ Σταυρὸς τοῦ Χριστοῦ.

Εἱρμός.

Τὸν ἄσπορον τόκον σου Θεοτόκε Ἄχραντε, Χριστὸν τὸν Θεὸν ἡμῶν ἐν ὕμνοις ἀσιγήτοις „ μεγαλύνομεν.

Τὸ Φωταγωγικόν· καὶ ἀπὸ στίχ. τὸ Ἰδιόμελον· ἦχος δ΄.

Ὁ τῆς ἀληθείας ἐξεταστὴς, καὶ τῶν κρυπτῶν γνώστης Κύριος, τὸν Φαρισαῖον τῇ κενοδοξίᾳ νικώμενον, καὶ ταῖς ἐξ ἔργων ἀρεταῖς δικαιούμενον κατέκρινας· τὸν δὲ Τελώνην ἐν κατανύξει προσευχόμενον, καὶ ὑπ' ἐκείνου κατακριθέντα ἐδικαίωσας· οὗ καὶ ἡμᾶς τῆς μετανοίας ζηλωτὰς ὁ σταυρωθεὶς ἀνάδειξον, καὶ τῆς ἀφέσεως ἀξίωσον ὡς φιλάνθρωπος.

Τὸ Μαρτυρικόν.

Τίς οὐκ ἐξίσταται ὁρῶν, Ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν, ὃν ἠγωνίσασθε; πῶς ἐν σώματι ὄντες, τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε, Χριστὸν ὁμολογήσαντες, καὶ Σταυρὸν ὁπλισάμενοι; ὅθεν ἐπαξίως ἀνεδείχθητε δαιμόνων φυγαδευταὶ, καὶ βαρβάρων πολέμιοι· ἀπαύστως πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Ἰδιόμελον· ἦχος πλ. δ΄.

Σήμερον ὁ Δεσπότης τῆς Κτίσεως, καὶ Κύριος τῆς Δόξης τῷ Σταυρῷ προσπήγνυται, καὶ τὴν

πλευρὰν κεντᾶται· χολὴν καὶ ὄξος γεύεται ὁ γλυκασμὸς τῆς Ἐκκλησίας· στέφανον ἐξ ἀκανθῶν περιβάλλεται ὁ καλύπτων Οὐρανὸν τοῖς νέφεσι· χλαῖναν ἐνδύεται χλεύης, καὶ ῥαπίζεται πηλίνῃ χειρὶ ὁ τῇ χειρὶ πλάσας τὸν ἄνθρωπον· τὸν νῶτον φραγελλοῦται ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις· ἐμπτυσμοὺς καὶ μάστιγας δέχεται, ὀνειδισμοὺς, καὶ κολαφισμοὺς, καὶ πάντα ὑπομένει δι' ἐμὲ τὸν κατάκριτον ὁ λυτρωτής μου, καὶ Θεὸς, ἵνα σώσῃ Κόσμον ἐκ πλάνης, ὡς εὔσπλαγχνος.

Ἡ Πρώτη Ὥρα· καὶ Ἀπόλυσις· γίνεται οὖν ἡ Σταυροπροσκύνησις ἀπαραλλάκτως, ὡς ἐν τῇ Κυριακῇ μετὰ τὴν Ἀπόλυσιν τῶν Ὡρῶν· καὶ αἴρεται ὁ τίμιος Σταυρὸς, εἰς τὴν Τριθέκτην τροπάριον τῆς Προφητείας.

Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα, καὶ τὴν ἁγίαν σου Ἀνάστασιν δοξάζομεν.

Προκείμενον Ψαλμὸς οζ'. ἦχος πλ. β'.

Αὐτὸς δὲ ἐστιν οἰκτίρμων.

Στίχ. Προσέχετε λαός μου τῷ νόμῳ μου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· ἐγγίζει μοι ὁ λαὸς οὗτος ἐν τῷ στόματι αὐτοῦ, καὶ ἐν τοῖς χείλεσιν αὐτῶν τιμῶσί με, ἡ δὲ καρδία αὐτῶν πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ· μάτην δὲ σέβονταί με, διδάσκοντες ἐντάλματα ἀνθρώπων καὶ διδασκαλίας· διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν λαὸν τοῦτον, καὶ μεταθήσω αὐτοὺς, καὶ ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω· οὐαὶ οἱ βαθέως βουλὴν ποιοῦντες, καὶ οὐ διὰ Κυρίου, οὐαὶ οἱ ἐν κρυφῇ βουλὴν ποιοῦντες· καὶ ἔσται ἐν σκότει τὰ ἔργα αὐτῶν· καὶ ἐροῦσι τίς ἑώρακεν ἡμᾶς; καὶ τίς ἡμᾶς γνώσεται, ἢ ἃ ἡμεῖς ποιοῦμεν; οὐχ' ὡς ὁ πηλὸς τοῦ κεραμέως λογισθήσεσθε; μὴ ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι αὐτὸ, οὐ σύ με ἔπλασας; ἢ τὸ ποίημα τῷ ποιήσαντι, οὐ συνετῶς με ἐποίησας; οὐκέτι μικρὸν καὶ μετατεθήσεται ὁ Λίβανος, ὡς τὸ ὄρος τὸ Χέρμελ, καὶ Χέρμελ εἰς δρυμὸν λογισθήσεται· καὶ ἀκούσονται τῇ ἡμέρᾳ ἐκείνῃ κωφοὶ λόγους βιβλίου· καὶ οἱ ἐν τῷ σκότει, καὶ οἱ ἐν τῇ ὁμίχλῃ ὀφθαλμοὶ τυφλῶν ὄψονται· καὶ ἀγαλλιάσονται πτωχοὶ διὰ Κύριον ἐν εὐφροσύνῃ· καὶ οἱ ἀπηλπισμένοι τῶν ἀνθρώπων ἐμπλησθήσονται εὐφροσύνης· ἐξέλιπεν ἄνομος, καὶ ἀπώλετο ὑπερήφανος· καὶ ἐξωλοθρεύθησαν οἱ ἀνομοῦντες ἐπὶ κακίᾳ, καὶ οἱ ποιοῦντες ἁμαρτεῖν ἀνθρώπους ἐν λόγῳ, πάντας δὲ τοὺς ἐλέγχοντας ἐν πύλαις πρόσκομμα θήσουσιν ὅτι ἐπλαγίασαν ἐπ' ἀδίκοις δίκαιον· διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τὸν οἶκον Ἰακὼβ, ὃν ἀφώρισεν ἐξ Ἀβραὰμ, οὐ νῦν αἰσχυνθήσεται Ἰακὼβ, οὐδὲ νῦν τὸ πρόσωπον μεταβαλεῖ· ἀλλ' ὅταν ἴδωσι τὰ τέκνα αὐτῶν τὰ ἔργα μου, δι' ἐμὲ ἁγιάσουσι τὸ ὄνομά μου· καὶ ἁγιάσουσι τὸν ἅγιον Ἰακὼβ, καὶ τὸν Θεὸν τοῦ Ἰσραὴλ φοβηθήσονται.

Προκείμενον, Ψαλμὸς οη'. ἦχος πλ. α'.

Βοήθησον ἡμῖν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν.

Στίχ. Ὁ Θεὸς, ἤλθοσαν ἔθνη εἰς τὴν κλη.

Τῇ Παρασκευῇ τῆς μέσης Ἑβδομάδος. Ἑσπέρας, εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὸ Ἰδιόμελον δίς, καὶ τὰ δ'. μαρτυρικὰ τοῦ ἤχου, καὶ τοῦ Μηναίου δ'. τὸ Ἰδιόμελον, ἦχος βαρύς.

Τοῖς πάθεσι δουλώσας τῆς ψυχῆς μου τὸ ἀξίωμα, κτηνώδης ἐγενόμην, καὶ οὐκ ἰσχύω ἀτενίσαι πρὸς σὲ Ὕψιστε· ἀλλὰ κάτω νεύσας Χριστὲ, ὡς ὁ Τελώνης, δέομαι κραυγάζων σοι· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Δόξα, τὸ Νεκρώσιμον τοῦ Δαμασκηνοῦ. Καὶ νῦν, Θεοτοκίον τὸ α'. τοῦ ἤχου, Εἴσοδος. Φῶς ἱλαρὸν, Ἑσπέρας Προκείμενον Ψαλμὸς οθ'. ἦχ. δ'.

Ὁ ποιμαίνων τὸν Ἰσραὴλ πρόσχες.

Στίχ. Ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε Κύριος τῷ Ἀβραάμ· ἔξελθε ἐκ τῆς γῆς σου, καὶ ἐκ τῆς συγγενείας σου, καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου· καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω, καὶ ποιήσω σε εἰς ἔθνος μέγα· καὶ εὐλογήσω σε, καὶ μεγαλυνῶ τὸ ὄνομά σου· καὶ ἔσῃ εὐλογημένος· καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς· καὶ ἐπορεύθη Ἀβραὰμ, καθάπερ ἐλάλησεν αὐτῷ Κύριος, καὶ ᾤχετο μετ' αὐτοῦ Λώτ. Ἀβραὰμ δὲ ἦν ἐτῶν ἑβδομήκοντα πέντε, ὅτε ἐξῆλθεν ἐκ Χαῤῥάν· καὶ ἔλαβεν Ἀβραὰμ Σάραν τὴν γυναῖκα αὐτοῦ, καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχὴν, ἣν ἐκτήσαντο ἐκ Χαῤῥὰν, καὶ ἐξήλθοσαν πορευθῆναι εἰς γῆν Χαναὰν, καὶ διώδευσεν Ἀβραὰμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς, ἕως τοῦ τόπου Συχὲμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν· οἱ δὲ Χαναναῖοι, τότε κατῴκουν τὴν γῆν· καὶ ὤφθη Κύριος τῷ Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ θυσιαστήριον Κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

Προκείμενον Ψαλμὸς π'. ἦχος β'.

Ἀγαλλιᾶσθε τῷ Θεῷ τῷ βοηθῷ ἡμῶν.

Στίχ. Λάβετε ψαλμὸν, καὶ δότε τύμπανον.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ἄκακος πιστεύει παντὶ λόγῳ, πανοῦργος δὲ ἔρχεται εἰς μετάνοιαν. Σοφὸς φοβηθεὶς ἐξέκλινεν ἀπὸ κακοῦ· ὁ δὲ ἄφρων ἑαυτῷ πεποιθὼς μίγνυται ἀνόμῳ· ὀξύθυμος πράσσει

μετὰ

Digitized by Google

μετ' ἀβουλίας, ἀνὴρ δὲ φρόνιμος πολλὰ ὑποφέρει· μεριοῦνται ἄφρονες κακίαν, οἱ δὲ πανοῦργοι κρατήσουσιν αἰσθήσεως· ὀλισθήσουσι κακοὶ ἔναντι ἀγαθῶν, καὶ ἀσεβεῖς θεραπεύσουσι θύρας δικαίων· φίλοι μισήσουσι φίλους πτωχούς, φίλοι δὲ πλουσίων πολλοί· ὁ ἀτιμάζων πένητας ἁμαρτάνει· ἐλεῶν δὲ πτωχοὺς μακαριστός· πλανώμενοι τεκταίνουσι κακά, ἔλεον δὲ καὶ ἀλήθειαν τεκταίνουσιν ἀγαθοί· οὐκ ἐπίστανται ἔλεον, καὶ πίστιν τέκτονες κακῶν· ἐλεημοσύναι δὲ καὶ πίστεις παρὰ τέκτοσιν ἀγαθοῖς· ἐν παντὶ μεριμνῶντι ἔνεστι περισσόν· ὁ δὲ ἡδὺς καὶ ἀνάλγητος ἐν ἐνδείᾳ ἔσται· στέφανος σοφῶν πανοῦργος, ἡ δὲ διατριβὴ ἀφρόνων κακή· ῥύσεται ἐκ κακῶν ψυχὴν μάρτυς πιστός, ἐκκαίει δὲ ψευδὴς δόλιος· ἐν φόβῳ Κυρίου ἐλπὶς ἰσχύος, τοῖς δὲ τέκνοις αὐτοῦ καταλείπει ἔρεισμα.

Τῷ Σαββάτῳ τῆς Μέσης Ἑβδομάδος εἰς τὸν Ὄρθρον Ἀλληλούϊα, καὶ τὰ τροπάρια· ἦχος β'.
Ἀπόστολοι Μάρτυρες.

Δόξα· Μνήσθητι Κύριε. Καὶ νῦν, Μήτηρ Ἁγία· καὶ ἡ πρώτη στιχολογία. εἶτα τὰ Μαρτυρικὰ καθίσματα· τῆς Ὀκτωήχου τοῦ ἤχου· μετὰ δὲ τὸν Ἄμωμον, καὶ τὰ Εὐλογητάρια, λέγομεν καθίσματα· Νεκρώσιμα· ἦχος πλ. α'.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ Δικαίων τοὺς δούλους σου· καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται, παρορῶν ὡς ἀγαθὸς τὰ πλημμελήματα τὰ ἑκούσια αὐτῶν, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει φιλάνθρωπε.

Δόξα, τὸ αὐτό. Καὶ νῦν, Θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον.

Ὁ ἐκ Παρθένου ἀνατείλας τῷ Κόσμῳ Χριστὲ ὁ Θεός, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τοῦ Ἁγίου τῆς Μονῆς, καὶ τὰ παρόντα Τετραῴδια κατὰ τὴν τάξιν αὐτῶν. Τὸ Τετραῴδιον· οὗ ἡ ἀκροστιχίς. Ὕμνος εἰς Μάρτυρας.

Ὠδὴ ϛ'. τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογοῦνται αἱ Ὠδαί· ἦχος δ'.

Ἐν πελάγει τοῦ βίου ταῖς πράξεσί μου.

Ὑπερέβητε ὅρους σαρκὸς ἀθληταί, πολλὴν ὑπομονὴν ὑπενεγκόντες τιμωρίας, πόνους, διὸ ἅπαντα πόνον, καὶ θλῖψιν κουφίζετε τῶν ὑμᾶς ἀνυμνολογούντων.

Μυριάσιν Ἀγγέλων στρατὸς ἡνώθη Ἁγίων Ἀθλητῶν· καὶ ἱκετεύει τὸν Πανάγιον Θεόν, ἐγκλημάτων μυρίων ἡμᾶς ἐκλυτρώσασθαι, ὡς Χριστοῦ ὑπηρετηκότες.

Νεκρωθείς, καὶ ἐν τάφῳ Χριστὲ ὑπνώσας, ἀνέστησας νεκρούς· καὶ τοῖς πίστει τεθνεῶσι νέμοις ἀγαθότητος πλοῦτον, Χριστέ, τὴν ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων.

Ὁ Θεοῦ Θεὸς Λόγος ζητῶν θεῶσαι τὸν ἄνθρωπον, ἁγνή, ἐκ σοῦ σαρκοῦται, καὶ βροτὸς ὁρᾶται, ὃν ἀπαύστως δυσώπει, εὑρεῖν ἡμᾶς ἔλεος ἐν καιρῷ τῆς ἀπολογίας.

Εἱρμὸς ἄλλος τοῦ κυρίου Θεοδώρου· ἦχος ὁ αὐτός.
Τῶν πταισμάτων τῇ.

Σαρκὸς καὶ αἵματος Ἅγιοι μὴ φεισάμενοι, πρὸς πᾶσαν βάσανον ἔστητε ἀκατάπληκτοι, Χριστὸν μὴ ἐξαρνούμενοι· διὸ ἐκ τῶν Οὐρανῶν κατέπεμψε Χριστὸς τοὺς στεφάνους ὑμῖν.

Τὴν τῶν Μαρτύρων πανήγυριν ὑπαντήσωμεν, λαμπροφοροῦντες ταῖς πράξεσι, καὶ βοήσωμεν ἐν θεοπνεύστοις ᾄσμασιν· ὑμεῖς ἐστε ἀληθῶς ἑωσφόροι ἐπὶ γῆς Χριστομάρτυρες.

Δόξα.

Τριὰς Ἁγία δοξάζω σε, φύσιν ἄναρχον, ἕνα Θεόν, ἕνα Κύριον, τρία Πρόσωπα, Πατρός, Υἱοῦ, καὶ Πνεύματος, ἀγέννητον, γεννητόν, ἐκπορευτόν, τὸ αὐτό, καὶ ἀΐδιον.

Καὶ νῦν.

Ὦ Μακαρία Θεόνυμφε, πῶς γεγέννηκας ἄνευ ἀνδρός, καὶ μεμένηκας ὡς τὸ πρότερον; Θεὸν γὰρ ἀπεκύησας, τεράστιον φοβερόν· ἀλλ' αἴτησαι σώζεσθαι τοὺς ὑμνοῦντάς σε.

Στίχ.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Μαρτυρικόν.

Τὰς συγκοπὰς τῶν μελῶν ὑμῶν διαβλέποντες ἐνετρυφᾶτε τοῖς αἵμασιν ἀγαλλόμενοι· ἀλλὰ καθικετεύσατε ὑπὲρ ἡμῶν ἐκτενῶς τοῦ Κυρίου, Μάρτυρες ἀεισέβαστοι.

Αἱ ψυχαὶ αὐτῶν. Νεκρώσιμον.

Ὁ ἐκ γῆς πλαστουργήσας με, καὶ ζωώσας με, καὶ εἰς γῆν ἀποστρέφειν με πάλιν φάμενος· οὓς προσελάβου δούλους σου ἀνάπαυσον, καὶ ἐκ φθορᾶς τοῦ θανάτου ἀνάγαγε Κύριε.

Ὁ Εἱρμός.

Τῶν πταισμάτων τῇ ζάλῃ βυθιζόμενος, ὡς ἐν κοιλίᾳ τοῦ κήτους συνεχόμενος σὺν τῷ
„ Προφήτῃ κραυγάζω σοι, ἀνάγαγε ἐκ φθορᾶς
„ τὴν ζωήν μου Κύριε, καὶ διάσωσόν με.

Κοντάκιον τῆς Μονῆς τοῦ Ἁγίου· καὶ Θεοτοκίον.

Ὠδὴ ζ'. Τῇ εἰκόνι τῇ χρυσῇ.

Στομωθέντες, Ἀθληταί, τὴν ἀφθαρσίαν ἐνθέως τῇ ἀπεκδύσει τῆς φθειρομένης σαρκός, τῷ δι' ἡμᾶς σάρκα ἐξ ἀφθόρου προσλαβόντι γυναικός, νῦν παρέστατε φαιδροί· διό με ἐνδύσατε περιβολὴν ἱεράν, γεγυμνωμένον κακῶς.

Ἐγκρατῶς πολιτευθεὶς τῶν ἀθλοφόρων ὁ δῆμος, τῆς ἐγκρατείας ἡμᾶς τὸ στάδιον ἐνδυναμοῖ τρέχειν ἀκωλύτως, ὡς κηρύξας τὸν Χριστὸν



Digitized by Google

ἐν σταδίῳ ἀνδρικῶς, καὶ παρεστὼς βήματι στεφηφόρον ἐντρυφᾷ μετ' Ἀγγέλων νοητῶς.

Ἱκεσίαις ὁ Θεὸς τῶν σῶν Ἁγίων Μαρτύρων τοὺς κοιμηθέντας πιστῶς οἰκέτας σου τοῦ Παραδείσου πολίτας δεῖξον· καὶ φωτὸς τοῦ νοητοῦ καταξίωσον αὐτοὺς ἀπαύστως βοῶντάς σοι· εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Σὲ τὴν μόνην ἀγαθὴν ἐκδυσωποῦμεν Παρθένον, κεκακωμένους ἡμᾶς ἀγάθυνον· καὶ ἐκτενῶς τὸν Χριστὸν δυσώπει φύσει ὄντα ἀγαθὸν, ἐγκρατείας τὸν καιρὸν, τὰ ἀγαθὰ πράττοντας, ἀποπληρῶσαι ἡμᾶς, ὑμνολογοῦντας αὐτόν.

Εἱρμὸς ἄλλος. Ὁ ἐν τῷ ὄρει Μωϋσῇ.

Ὁ μεγαλύνας τοὺς Ἁγίους σου πάντας, σημείοις θαυμαστώσας αὐτοὺς ἐν κόσμῳ· εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Πᾶσαν ἰδέαν αἰκισμῶν διελθόντες, καὶ γόνυ τῷ Βάαλ μὴ πεισθέντες κλῖναι, στεφάνους δόξης ἤρασθε ἐκ Θεοῦ Χριστομάρτυρες.

Δόξα.

Ἡ ἐν Μονάδι Τριὰς προσκυνουμένη Οὐσία, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα, τοὺς σὲ ὑμνοῦντας φύλαττε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Καὶ νῦν.

Παρθενομῆτορ ὁλόφωτε Κόρη, ἡ μόνη πρὸς Θεὸν μεσιτεία, μὴ διαλίπῃς, Δέσποινα, δυσωπεῖν, τοῦ σωθῆναι ἡμᾶς.

Στίχ.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Τῷ ἀθανάτῳ Βασιλεῖ στρατευθέντες, καὶ πίστιν πρὸς αὐτὸν δεικνῦντες τελείαν, τὸ αἷμα ὑμῶν Μάρτυρες ὑπὲρ αὐτοῦ ἐκενώσατε.

Μακάριοι οὓς ἐξελέξω.

Ὅπου τὸ φῶς σου τῆς ζωῆς ἀναβλύζει, παράδεισε, οὓς μετέστησας ἐκ τῶν προσκαίρων πιστοὺς σου δούλους Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Ὁ Εἱρμός.

Ὁ ἐν τῷ ὄρει Μωϋσῇ συλλαλήσας, καὶ τύπον τῆς Παρθένου τὴν βάτον δείξας, εὐ-
» λογητὸς εἶ εἰς τοὺς αἰῶνας, Κύριε ὁ Θεὸς τῶν
» Πατέρων ἡμῶν.

Ὠδὴ ή. Ἐν πυρὶ φλο.

Μεγαλώνυμοι Χριστοῦ Ἀθληταὶ, καὶ σεπτοὶ ἐν Θεῷ ἅπαντας τοὺς ἀνυμνοῦντας τὰ μνημόσυνα ὑμῶν, μεγάλων ἐγκλημάτων, καὶ τῶν ἐκεῖ βασάνων λυτρώσατε, ὑμῶν πρὸς αὐτὸν μεγίσταις ἱκεσίαις.

Ἁγιόλεκτον Χριστοῦ τοῦ Θεοῦ, καὶ στεῤῥὸν ἀληθῶς στράτευμα, Μαρτύρων δῆμοι, ἁγιάσατε ἡμῶν τὸν νοῦν, καὶ τὴν καρδίαν ἐν ταύταις ταῖς ἁγίαις ἡμέραις τῆς νηστείας, ὑμῶν ἁγίαις ἱκεσίαις.

Ῥῦσαι σκώληκος κολάζοντος, καὶ ὀδόντων βρυγμοῦ Κύριε, καὶ ἐξωτέρου σκότους πάντας ἀφεγγοῦς, οὓς πίστει προσελάβου· καὶ τάξον τούτους ἔνθα τὸ φῶς τοῦ σοῦ προσώπου, Χριστὲ, ἐκλάμπει εἰς αἰῶνας.

Θεοτοκίον.

Τὸν Σταυρὸν Χριστοῦ τὸν τίμιον, Θεοτόκε ἁγνὴ, βλέψαντας, καὶ ἐκ καρδίας προσκυνήσαντας ἡμᾶς, ταῖς σαῖς πρὸς τὸν Δεσπότην ἀξίωσον πρεσβείαις ἰδεῖν καὶ τὰ Πάθη τὰ σεπτὰ παθῶν κεκαθαρμένους.

Εἱρμὸς ἄλλος. Γῆ, καὶ πάντα.

Ὢ καλλίστης συναλλαγῆς, ἧς εὕρατε θανάτῳ τὴν ζωὴν Ἱερομάρτυρες Χριστοῦ, πῦρ, καὶ ξίφος, κρύη, καὶ θῆρας μηδαμῶς πτοηθέντες, καὶ βοῶντες· ὑμνεῖτε τὸν Κύριον, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄνω χορὸς ἀγγελικὸς, κάτω δὲ ἡμεῖς οἱ ἐπὶ γῆς αἰνοῦμεν, Μάρτυρες Χριστοῦ, τὰ ξένα ἆθλα, καὶ τοὺς ἀγῶνας τῆς ὑμῶν εὐανδρείας, εὐλογοῦντες, ὑμνοῦντες τὸν Κύριον, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Φῶς, ζωὴν τε, καὶ ζωὰς, σέβω σε Πατέρα, καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ ἐκπορευτὸν, φύσιν μίαν, τρεῖς ὑποστάσεις, Θεὸν ἕνα μέλπων· εὐλογῶ σε, ὑμνῶ σε τὸν Κύριον, καὶ ὑπερυψῶ σε εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Τίς ὑμνήσει σε γηγενῶν, Ἄσπιλε, ἁγνὴ Παρθένε ἁγνὴ Παρθένε· σὺ γὰρ ἐκύησας ἡμῖν φῶς τὸ μέγα, ζωῆς τὸν πλοῦτον, Ἰησοῦν τὸν Σωτῆρα· ὃν ὑμνοῦμεν αἰνοῦντες ὡς Κύριον, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν Μάρτ.

Τοὺς ἀγῶνας τοὺς θαυμαστοὺς Μάρτυρες, δοξάζοντες ὑμῶν, τὸν εὐεργέτην καὶ Θεὸν εὐλογοῦμεν καὶ προσκυνοῦμεν, τὸν ἐν τῷ σταδίῳ τῶν ἀγώνων ὑμᾶς ἐνισχύσαντα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Στίχ. Αἱ ψυχαὶ αὐτῶν ἐν.

Σὺ θανάτου, καὶ τῆς ζωῆς Κύριος ὑπάρχων, καὶ Θεὸς, τοὺς μεταστάντας εὐσεβῶς ἐξ ἐγέρων ἐκεῖ παράδου ἐν σκηναῖς τῶν Δικαίων, εὐλογοῦντας ὑμνοῦντάς σε Κύριε, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν. Ὁ Εἱρμός.

Γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ, θάλασσαι καὶ πᾶσαι αἱ πηγαὶ, οἱ Οὐρανοὶ τῶν Οὐρανῶν, φῶς
» καὶ σκότος, ψύχος καὶ καύσων, υἱοὶ τῶν ἀνθρώ-
» πων, Ἱερεῖς εὐλογεῖτε τὸν Κύριον, καὶ ὑπερυ-
» ψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ὅτι ἐποίησέ μοι μεγαλεῖα.

Ὑπάρχοντες φωστῆρες ἀπλανεῖς Χριστοῦ Ἀθληταὶ, φωτίσατε ἡμῶν τοὺς λογισμοὺς, καὶ νάρκωσατε

Digitized by Google

ῥύσατε ποιεῖν τὰ φωταυγῆ, καὶ καθαρὰ Θεοῦ θελήματα.

Ῥομφαῖαι καθηρέθη, κατασφάττουσαι δυσμενεῖς, γενναῖοι τοῦ Κυρίου Ἀθληταί· ἀλλὰ ῥύσατε ἡμᾶς ἐκ τῶν βελῶν τοῦ πονηροῦ ταῖς πρεσβείαις ὑμῶν.

Ἀνάπαυσον Οἰκτίρμον, ἐν τοῖς κόλποις τοῦ Ἀβραὰμ τοὺς δούλους σου, τοὺς πίστει ἐξ ἡμῶν ἐκδημήσαντας πρὸς σὲ τὸν τοῦ Παντὸς Δημιουργὸν, καὶ ὑπεράγαθον.

Θεοτοκίον.

Σαρκός μου τὰς κινήσεις ἀπονέκρωσον ἡ Θεὸν σαρκὶ ἀποτεκοῦσα ὑπὲρ νοῦν, καὶ παράσχου φωτισμὸν τῇ διανοίᾳ μου, ἁγνὴ, νεφέλη οὖσα φωτός.

Εἱρμὸς ἄλλος. Μεγαλύνομεν πάντες.

Ἀναμέλπομεν πάντες τὰ μνημόσυνα ὑμῶν, Μάρτυρες πανεύφημοι, βλέποντες τὰ σκάμματα τῶν ἱερῶν ὑμῶν ἄθλων· καὶ ἐκπλαγέντες, τὸν Χριστὸν μεγαλύνομεν.

Πρὸς ἀλλήλους ἀθλοῦντες, φασὶν οἱ ἀθλοφόροι, σαρκὸς μὴ φεισώμεθα· δεῦτε ἀποθάνωμεν ὑπὲρ Χριστοῦ, ἵνα ὅλον αἰῶνα ζήσωμεν χορεύοντες ἀλήκτως.

Δόξα.

Ἡ Τριὰς τοὺς ἐν μιᾷ φύσει σε ἀνυμνοῦντας, Πατὴρ ὁ ἀγέννητος, καὶ ὁ γεννηθεὶς Υἱὸς, καὶ Πνεῦμα τὸ ἐκπορευτὸν, τῷ σῷ ἐλέει ἀβλαβεῖς συντήρησον.

Καὶ νῦν.

Χαῖρε πάνσεμνε ἁγνὴ παρθενίας καύχημα, μαρτύρων τὸ στήριγμα, ἀνθρώπων βοήθεια, καὶ τοῦ κόσμου ἡ χαρὰ, Μαρία Μήτηρ, καὶ δούλη τοῦ Θεοῦ ἡμῶν.

Στίχ. Τοῖς Ἁγίοις.

Ὁ Χορὸς τῶν Ἁγίων δέξαι τὴν προσευχήν μου· καὶ ὡς κατηξίωμαι τὸν Σταυρὸν ἀσπάσασθαι, καὶ τὸ σωτήριον Πάθος συμπροσκυνῆσαί με, τὸν Χριστὸν αἰτήσατε.

Στίχ. Μακάριοι οὓς ἐξελέξω, καί.

Ἄνες, ἄφες Οἰκτίρμον, τοῖς μεταστᾶσι πρὸς σὲ τὸν φιλάνθρωπον, καὶ τούτους ἀνάπαυσον ἐν σκηναῖς τῶν ἐκλεκτῶν· σὺ γὰρ ὑπάρχεις ζωὴ, καὶ ἡ ἀνάστασις.

Ὁ Εἱρμός.

Μεγαλύνομεν πάντες τὴν φιλανθρωπίαν σου Κύριε Σωτὴρ ἡμῶν· ἡ Δόξα τῶν δούλων σου,
„ καὶ στέφανος τῶν πιστῶν, ὁ μεγαλύνας τὴν μνή-
„ μην τῆς τεκούσης σε.

Ἐξαποστειλάριον τὸ νεκρώσιμον. Εἰς τοὺς Αἴνους ψάλλομεν τὰ δ΄. Μαρτυρικὰ τοῦ ἤχου. **Δόξα. Καὶ νῦν,** Θεοτοκίον. Εἰς δὲ τὸν στίχον τὰ προσόμοια τοῦ κυρίου Θεοφάνους. Εἰς τὴν λειτουργίαν Τυπικὰ, καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου, Προκείμενον τοῦ Ἀποστόλου νεκρώσιμον.

Ὁ Ἀπόστολος Πρὸς Ἑβραίους.

Ἀδελφοὶ, πεπείσμεθα περὶ ὑμῶν ἀγαπητοὶ τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας. εἰ καὶ οὕτω λαλοῦμεν. οὐ γὰρ ἄδικος ὁ Θεὸς, ἐπιλαθέσθαι τοῦ ἔργου ὑμῶν, καὶ τοῦ κόπου τῆς ἀγάπης, ἧς ἐνεδείξασθε εἰς τὸ ὄνομα αὐτοῦ, διακονήσαντες τοῖς Ἁγίοις, καὶ διακονοῦντες· ἐπιθυμοῦμεν δὲ ἕκαστον ὑμῶν τὴν αὐτὴν ἐνδείκνυσθαι σπουδὴν πρὸς τὴν πληροφορίαν τῆς ἐλπίδος ἄχρι τέλους, ἵνα μὴ νωθροὶ γένησθε· μιμηταὶ δὲ τῶν διὰ πίστεως καὶ μακροθυμίας κληρονομούντων τὰς ἐπαγγελίας.

Καὶ νεκρώσιμος. Ἀλληλούϊα νεκρώσιμον Εὐαγγέλιον, τὰ ἀμφότερα ὡσαύτως καὶ Κοινωνικά.

---

Κυριακῇ δ΄. τῶν ἁγίων νηστειῶν, τῷ Σαββάτῳ ἑσπέρας στιχηρὰ ἀναστάσιμα γ΄ καὶ ἀνατολικὰ δ΄. καὶ τοῦ Μηναίου γ΄. Ἄλλοι δὲ μεταγενέστεροι ὥρισαν ψάλλεσθαι τὴν Ἀκολουθίαν τοῦ Ἁγίου Ἰωάννου τῆς Κλίμακος· στιχηρὰ ἦχ. πλ. δ΄.

Ὢ τοῦ παραδόξου θαύματος.

Πάτερ Ἰωάννη Ὅσιε, διαπαντὸς ἀληθῶς τοῦ Θεοῦ ἐν τῷ λάρυγγι τὰς ὑψώσεις ἔφερες, μελετῶν πρακτικώτατα τὰ θεόπνευστα λόγια πάνσοφε· καὶ τὴν ἐκεῖθεν ἀναπηγάζουσαν χάριν ἐπλούτησας, γεγονὼς μακάριος, τῶν ἀσεβῶν πάντων τὰ βουλεύματα καταστρεφόμενος.

Ὅμοιον.

Πάτερ Ἰωάννη ἔνδοξε, ταῖς τῶν δακρύων πηγαῖς τὴν ψυχὴν καθαιρόμενος, καὶ παννύχοις στάσεσι τὸν Θεὸν ἱλασκόμενος, ἀνεπτερώθης πρὸς τὴν ἀγάπησιν τὴν τούτου, μάκαρ, καὶ ὡραιότητα· ἧς ἐπαξίως νῦν ἀπολαύεις ἀλύκτως χαρμονικῶς μετὰ τῶν συνάθλων σου, Θεόφρον Ὅσιε.

Ὅμοιον.

Πάτερ Ἰωάννη Ὅσιε, ἀναπτερώσας τὸν νοῦν πρὸς Θεὸν διὰ πίστεως, κοσμικῆς συγχύσεως ἐβδελύξω τὸ ἄστατον· καὶ τὸν Σταυρόν σου ἀναλαβόμενος, τῷ παντεπόπτῃ κατηκολούθησας, σῶμα δυσήνιον ἀγωγαῖς ἀσκήσεως τοῦ λογισμοῦ σθένει δουλωσάμενος τοῦ Θείου Πνεύματος.

Δόξα· ἦχος πλ. α΄.

Ὅσιε Πάτερ, τῆς φωνῆς τοῦ Εὐαγγελίου τοῦ Κυρίου ἀκούσας, τὸν Κόσμον κατέλιπες, τὸν πλοῦτον, καὶ τὴν δόξαν εἰς οὐδὲν λογισάμενος· ὅθεν πᾶσιν ἐβόας· ἀγαπήσατε τὸν Θεὸν, καὶ εὑρήσετε χάριν αἰώνιον· μηδὲν προτιμήσατε τῆς ἀγάπης αὐτοῦ, ἵνα, ὅταν ἔλθῃ ἐν τῇ δόξῃ αὐτοῦ, εὑρήσητε ἀνάπαυσιν μετὰ πάντων τῶν Ἁγίων· ὧν ταῖς ἱκεσίαις Χριστὲ φύλαξον, καὶ σῶσον τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον τὸ α'. τοῦ ἤχου. Εἰς τὸν στίχ. τὰ ἀπόστιχα τῆς Ὀκτωήχου, Δόξα, τοῦ Ὁσίου ἰδιόμελον.

Τὸν ἐπὶ γῆς Ἄγγελον, καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τοῦ Κόσμου τὴν εὐκοσμίαν, τὴν τρυφὴν τῶν ἀγαθῶν, καὶ τῶν ἀρετῶν, τῶν ἀσκητῶν τὸ καύχημα Ἰωάννην τιμήσωμεν, πεφυτευμένος γὰρ ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐξήνθησε δικαίως· καὶ ὡσεὶ κέδρος ἐν ἐρήμῳ ἐπλήθυνε τὰ ποίμνια Χριστοῦ τῶν λογικῶν προβάτων ἐν ὁσιότητι, καὶ δικαιοσύνῃ.

Καὶ νῦν, Θεοτοκίον· ἦχος α' αὐτός.

Ὢ θαύματος καινοῦ πάντων τῶν πάλαι θαυμάτων· τίς γὰρ ἔγνω Μητέρα ἀνευ ἀνδρὸς τετοκυῖαν, καὶ ἐν ἀγκάλαις φέρουσαν τὸν ἅπασαν τὴν κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν· ὃν ὡς βρέφος, πάναγνε, σαῖς ὠλέναις βαστάζουσα, καὶ μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις, τρισάγιον, τροπάριον· ἦχος α'.

Τῆς ἐρήμου πολίτης, καὶ ἐν σώματι Ἄγγελος, καὶ θαυματουργὸς ἀνεδείχθης, Ἰωάννη πατὴρ ἡμῶν· νηστείᾳ, ἀγρυπνίᾳ, προσευχῇ οὐράνια χαρίσματα λαβών, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει προστρεχόντων σοι, δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ στεφανώσαντι· δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ πᾶσιν ἰάματα.

Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἐξ ἔθους ἅπασαν ἀκολουθίαν κανόνες γ'. Ὁ ἀναστάσιμος μετὰ τῆς Θεοτόκου εἰς ς'. Ὁ παρὼν τοῦ Τετρῳδίου εἰς δ'. καὶ τοῦ Ἁγίου εἰς δ'. Ὁ Κανὼν τοῦ Τριῳδίου· ἦχος πλ. α'.

Ὠδὴ α'. Τῷ Σωτῆρι Θεῷ.

Ὡμοιώθην, Χριστέ, τῷ ἐν χερσὶ τῶν λῃστῶν περιπεσόντι, καὶ τοῖς πλήμασιν ἠμαυρωμένῳ ὑπὸ τούτων καταλειφθέντι Σωτήρ· κἀγὼ οὕτω πέπληγμαι ταῖς ἁμαρτίαις μου.

Μὴ παρίδῃς ἐμὲ τὸν ἀσθενοῦντα δεινῶς, ἐβόα, Σῶτερ, ὀδυρόμενος, εἰς τοὺς λῃστὰς ὁ τὸν πλοῦτον ἀποσυλήσας σου· κἀγὼ οὕτω δέομαι, οἰκτειρον, σῶσόν με.

Ἰατρεύσας ἐμὲ τὸν μαστιχθέντα τὸν νοῦν ταῖς ἁμαρτίαις ἐν ταῖς μάστιξιν, ὑπὸ λῃστῶν τῶν ἀδίκων, καὶ πονηρῶν λογισμῶν, Χριστὲ Σωτὴρ σῶσόν με, ὡς πολυέλεος. Θεοτ.

Ἄχραντε Μήτηρ Χριστοῦ, τὸν σαρκωθέντα ἐκ σοῦ, καὶ ἐκ τῶν κόλπων τοῦ Γεννήτορος μὴ ἐκφοιτήσαντα Θεὸν ἀπαύστως πρέσβευε, ἐκ πάσης περιστάσεως σῶσαι, οὓς ἔπλασεν.

Ἕτερος κανὼν τοῦ Ὁσίου εἰς δ'. ἦχος πλ. δ'.

Ὑγρὰν διοδεύσας.

Ἐν φωτὶ ἀΰλῳ καὶ νοητῷ ἐκ τῆς κατηφείας τῶν ὑλικῶν ἀναδραμὼν, Ἰωάννη Ὅσιε, λιταῖς σου ταῖς πρὸς τὸν Κύριον με φώτισον.

Ὡς τῆς ἐγκρατείας τὸν γλυκασμὸν θηλάσας, ἀπώσω τὴν πικρίαν τῶν ἡδονῶν· ὅθεν ὑπὲρ μέλι καὶ κηρίον ἡδύνεις Πάτερ τὰς αἰσθήσεις ἡμῶν.

Ἐπιβὰς τῷ ὕψει τῶν ἀρετῶν, καὶ τὰς χαμαιζήλους διαπτύσας τῶν ἡδονῶν, γλυκασμὸς ἐδείχθης σωτηρίας, Ὅσιε Πάτερ, τῷ ποιμνίῳ σου.

Θεοτοκίον.

Σοφίαν καὶ Λόγον ἡ τοῦ Πατρὸς ἀφράστως τεκοῦσα, τῆς ψυχῆς μου τὸ χαλεπὸν θεράπευσον τραῦμα, καὶ καρδίας τὴν ἀλγηδόνα καταπράϋνον.

Καταβασία.

Ἀνοίξω τὸ στόμα μου.

Ὠδὴ γ'. Στερέωσον.

Ὁδῷ ἐν τῇ τοῦ βίου, Χριστὲ, δεινῶς ὁδεύων, τετραυμάτισμαι ὑπὸ λῃστῶν ἐν τοῖς πάθεσιν· ἀλλ' ἀνάστησόν με, δέομαι.

Ἐσύλησαν τὸν νοῦν μου λῃσταὶ, καὶ ἔλιπόν με ἐν τοῖς μώλωψιν ἠμαυρωμένον τῶν πλημμελημάτων μου, ἀλλὰ ἴασαί με Κύριε.

Ἐγύμνωσάν με, Σῶτερ Χριστὲ, τῶν ἐντολῶν σου τὰ παθήματα, καὶ ἡδοναῖς μεμαστίγωμαι· ἀλλ' ἐπίχεε μοι ἔλεος.

Θεοτοκίον.

Ἱκέτευε ἀπαύστως ἁγνὴ τὸν προελθόντα ἐκ λαγόνων σου, ῥυσθῆναι πλάνης διαβόλου τοὺς ὑμνοῦντάς σε Μητέρα Θεοῦ.

Ἄλλος. Σὺ εἶ τὸ στερέωμα.

Ἔφλεξας τῷ ἄνθρακι τῷ τῆς ἀσκήσεως ἔνδοξε, τὴν τῶν παθῶν ἄκανθαν, καὶ θάλπεις μοναστῶν τὰ συστήματα.

Μύρον ἁγιάσματος ἐκ τῶν ἀσκητικῶν, Ὅσιε, ἀρωμάτων ὅλος συνετέθης, εἰς ὀσμὴν εὐωδίας Θεοῦ.

Νόμοις τῆς ἀσκήσεως ἐμμελετῶν τὰ πάθη ἐβύθισας, ὥσπερ ἄλλους νῦν Φαραωνίτας, τῇ ῥοῇ τῶν δακρύων σου. Θεοτ.

Στῆσον μου τὸν ἄστατον τῶν λογισμῶν ἁγνὴ τάραχον; Μῆτερ Θεοῦ, τὴν πρὸς τὸν υἱόν σου κατευθύνουσα κίνησιν.

Καταβασία. Τοὺς σοὺς ὑμνολόγους.

Κάθ. ἦχος πλ. α'. Τὸ ξένον τῆς.

Τὸν ἄχραντον Σταυρόν σου, Σωτὴρ ἡμῶν, ὡς ὅπλον σωτηρίας κατέχοντες, ἐν αὐτῷ σοὶ βοῶμεν, σῶσον ἡμᾶς ὁ παθὼν ἑκουσίως ὑπὲρ ἡμῶν ὁ πάντων Θεὸς, ὡς πολυέλεος.

Δόξα, τοῦ Ὁσίου· ἦχος δ'.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Ταῖς ἀρεταῖς πρὸς οὐρανὸν ἀναλάμψας, κατοπτεύσαμενος σαφῶς ἐπανῆλθες πρὸς θεωρίας ἄπλετον βυθὸν, εὐσεβῶς πάσας ἐκλιπὼν τὰς μὲν τῶν δαιμόνων ἐνέδρας, σκέπεις ἐκ τῆς λώβης δὲ τοὺς ἀνθρώπους τῆς τούτων, Ἰωάννη κλίμαξ ἀρετῶν· καὶ νῦν πρέσβευε σωθῆναι τοὺς δούλους σου.

Καὶ

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.

Ὁ Ἐπὶ θρόνου Χερουβὶμ καθεζόμενος· καὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς αὐλιζόμενος, ὡς ἐπὶ θρόνου κάθηται ἁγίου αὐτοῦ, Δέσποινα, ἐν κόλποις σου σαρκικῶς, ὁ Θεὸς γὰρ οὕτως βασιλεύσας τε ἐπὶ πάντα τὰ ἔθνη· καὶ συνετῶς νῦν ψάλλομεν αὐτῷ· ὃν ἐκδυσώπει σωθῆναι τοὺς δούλους σου.

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε τὴν

Λῃσταί μου ἐσύλησαν τὴν ἐργασίαν τὴν ἔνθεον, καὶ κατέλιπόν με ταῖς πληγαῖς τιμωρούμενον.

Ἐξέδυσαν Σῶτερ με τῶν ἐντολῶν σου οἱ ἄστατοι λογισμοί μου· ὅθεν μεμαστίγωμαι πταίσμασι.

Λευΐτης τοῖς μώλωψι τραυματισθέντα ὡς εἶδε με παρῆλθε, Σωτήρ μου, ἀλλὰ σύ με διάσωσον.

Θεοτοκίον.

Κυρίως δοξάζομεν σὲ Θεοτόκε Ἀνύμφευτε, καὶ τῷ σῷ λιμένι οἱ ποσοὶ καταφεύγομεν.

Ἄλλος. Εἰσακήκοα Κύριε.

Ὡς λειμὼν εὐωδέστατος, καὶ τῶν ἀρετῶν Παράδεισος ἔμψυχος τὴν ἐγκράτειαν ἐξήνθησας, δι᾽ ἧς πάντας ἔθρεψας τοὺς τιμῶντάς σε.

Νομοθέτην ἀσκήσεως, καὶ τῶν μοναστῶν κανόνα πράϊστατον, ὡς Μωσῆν σε καὶ Δαβὶδ ἀληθῶς κεκτημένοι, Πάτερ, μακαρίζομεν.

Φυτευθεὶς ἐν τοῖς ὕδασι τοῖς τῆς ἐγκρατείας, ὤφθης, μακάριε, κλῆμα, Πάτερ, εὐθαλέστατον, εὐσεβείας βότρυας προβαλλόμενον.

Θεοτοκίον.

Ὑπὸ χρόνον γενόμενον τὸν ἐκ τοῦ Πατρὸς ἀχρόνως ἐκλάμψαντα, Θεομῆτορ, ἡμῖν τέτοκας, ὃν δυσώπει σῶσαι τοὺς ὑμνοῦντάς σε.

Καταβασία. Τὴν ἀνεξιχνίαστον.

Ὠδὴ ε΄. Ἐκ νυκτὸς ὀρθρίζοντες.

Ἰῆσαι ἐπίσκεψαι τοὺς μώλωπας ψυχῆς τῆς ἐμῆς, καθάπερ πάλαι τὸν ἐν χερσὶ πεσόντα λῃστῶν· καὶ ἰάτρευσόν μου, Χριστὲ, τὸ ἄλγος, δέομαι.

Ἀγεννῶς ταῖς μάστιξιν ἠσθένησε ψυχή μου, Χριστὲ, ταῖς τῶν πταισμάτων· καὶ ἔνθεν γυμνὸς περίκειμαι ἀρετῶν ἐνθέων, καθικετεύω, σῶσόν με.

Ἱερεὺς ὡς εἶδέ με, καὶ Λευΐτης οὐκ ἴσχυσε σαφῶς, παρῆλθον γάρ με· ἀλλ᾽ αὐτὸς ὡς εὔσπλαγχνος, νῦν τὴν σωτηρίαν παρέχεις, καὶ διέσωσας.

Θεοτοκίον.

Μὴ παρίδῃς, Δέσποτα, τὸν δείλαιον ἐμὲ, δυσωπῶ, τὸν μαστιχθέντα τὸν νοῦν ἀλγεινῶς ὑπὸ λῃστῶν· ἀλλ᾽ οἰκτείρησον πρεσβείαις, Σωτὴρ, τῆς κυησάσης σε.

Ἄλλος. Γυναῖκ μου ἀπίσω.

Σβέσας πάντα τὰ πάθη δρόσῳ τῶν ἀγώνων σου, Πάτερ μακάριε, δαψιλῶς ἀνῆψας τῷ πυρὶ τῆς ἀγάπης καὶ Πίστεως· ἐγκρατείας λύχνος, καὶ φωτισμὸς τῆς ἀπαθείας, καὶ ἡμέρας υἱὸς ἐχρημάτισας.

Τὸν τῆς Πίστεως βότρυν θείᾳ γεωργίᾳ σου, Πάτερ, ἐξέθρεψας· καὶ ληνοῖς ἀπέθου, καὶ ἐξέθλιψας πόνοις ἀσκήσεως· καὶ κρατῆρα πλήσας πνευματικὸν τῆς ἐγκρατείας, κατευφραίνεις καρδίας τῆς ποίμνης σου.

Ὑπομείνας γενναίως προσβολὰς, καὶ στίγματα τῶν ἐναντίων ἐχθρῶν, ἀνεδείχθης στῦλος καρτερίας, στηρίζων τὴν ποίμνην σου, βακτηρίᾳ θείᾳ, ἐπὶ νομὰς τῆς ἐγκρατείας, καὶ ἐφ᾽ ὕδωρ ἐκτρέφων, μακάριε.

Θεοτοκίον.

Ῥήσεσι σῶν χειλέων, πάναγνε, ἑπόμενοι, σὲ μακαρίζομεν· μεγάλα σοὶ γὰρ ὄντως μεγαλεῖα ποιήσας ὁ Κύριος, ἐμεγάλυνέ σε, καὶ ἀληθῆ Θεοῦ Μητέρα γεννηθεὶς ἐκ γαστρός σου ἀνέδειξεν.

Καταβασία. Ἐξέστη τὰ Σύμπαντα.

Ὠδὴ ς΄. Ἐκύκλωσέ με Ἄβυσσος.

Τοῖς πάθεσιν ἀνήλωσα τὸν βίον τὸν ἔνθεον, Δέσποτα, καὶ ὅλως τοῖς πταίσμασι δεινῶς μαστιζόμενος κατέφυγόν σοι, οἰκτείρησόν με δέομαι.

Ἀφήρπασαν τὸν πλοῦτόν μου, καὶ ὥσπερ νεκρόν με κατέλιπον λῃσταὶ τοῖς παθήμασι, τὸν νοῦν μου μαστίξαντες· ἀλλ᾽ οἰκτειρήσας, διάσωσόν με Κύριε.

Ὡς εἶδεν ὁ Λευΐτης μου μαστίγων τὸ ἄλγος, τοὺς μώλωπας μὴ φέρων παρῆλθέ με· αὐτὸς δὲ φιλάνθρωπε κατέχεάς μοι, τὸ πλούσιόν σου ἔλεος.

Θεοτοκίον.

Βάτον σε ἀκατάφλεκτον, καὶ ὄρος, καὶ κλίμακα ἔμψυχον, καὶ πύλην οὐράνιον ἀξίως δοξάζομεν, Μαρία ἔνδοξε, ὀρθοδόξων καύχημα.

Ἄλλος, Ἱλάσθητί μοι Σωτήρ.

Ἐδέξω ἐν τῇ ψυχῇ τὸν θεῖον πλοῦτον τοῦ Πνεύματος, τὴν ἄμεμπτον προσευχὴν, ἁγνείαν, σεμνότητα, ἀγρυπνίαν σύντονον, ἐγκρατείας πόνους, δι᾽ ὧν οἶκος ἐγνωρίσθης Θεοῦ.

Ὕλης τῆς κάτω, Σοφὲ, παρέδραμες τὴν εὐτέλειαν, ἀΰλῳ δὲ προσευχῇ τὸν νοῦν ἀνεπτέρωσας, καὶ τῆς ἄνω λήξεως ὤφθης κληρονόμος διὰ βίου τελειότητα.

Ἱδρῶσιν ἀσκητικοῖς τοὺς ἄνθρακας τῶν βελῶν τοῦ ἐχθροῦ κατέσβεσας ἀληθῶς, καὶ τὸ πῦρ τῆς Πίστεως ἐκλάμψας, κατέφλεξας τὰ τῆς ἀπιστίας τῶν αἱρέσεων φρυάγματα.



Digitized by Google

Θεοτοκίον.

Ἐξέλαμψεν ἐκ Σιὼν ἡ τοῦ ὑψίστου εὐπρέπεια, τὸ περίβλημα τῆς σαρκὸς καθ' ἕνωσιν ἄρρητον ἐκ σοῦ, Ἀπειρόγαμε, περιβεβλημένη, καὶ τὸν Κόσμον κατεφώτισε.

Καταβασία. Τὴν θείαν ταύτην.

Κοντάκιον. Ἦχ. δʹ. Ἐπεφάνης σήμερον.

Ἐν τῷ ὕψει Κύριος τῆς ἐγκρατείας ἀληθῆ σε ἔθετο, ὥσπερ Ἀστέρα ἀπλανῆ, φωταγωγοῦντα τὰ πέρατα, Καθηγητὰ Ἰωάννη Πατὴρ ἡμῶν.

Ὁ Οἶκος.

Οἶκον Θεοῦ ὡς ἀληθῶς σαυτὸν εἰργάσω Πάτερ ταῖς θείαις ἀρεταῖς σου, σαφῶς κατακοσμήσας, ὥσπερ χρυσίον τηλαυγὲς, Πίστιν, Ἐλπίδα, καὶ Ἀγάπην ἀληθῆ, θείους θεσμοὺς ἐκθέμενος· ἐγκρατείᾳ ἀσκήσας, ὡς ἄσαρκος, Φρόνησιν, Ἀνδρείαν, Σωφροσύνην, κτησάμενος Ταπείνωσιν, δι' ἧς ἀνυψώθης· διὸ καὶ ἐφωτίσθης εὐχαῖς ἀεννάοις, καὶ τοῦ Οὐρανοῦ κατέλαβες τὰς σκηνώσεις, Καθηγητὰ Ἰωάννη Πατὴρ ἡμῶν.

Εἶτα ἀναγινώσκεται τὸ Συναξάριον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου· τῇ αὐτῇ ἡμέρᾳ Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Συγγραφέως τῆς Κλίμακος ἐν εἰρήνῃ τελειωθέντος.

Ὁ σάρκα, καὶ ζῶν, νεκρὸς ὢν Ἰωάννης.
Αἰωνίως ζῇ, καὶ νεκρὸς φανεὶς ἄπνους.
Σύγγραμμα λιπὼν Κλίμακα τῇ ἀνόδῳ,
Δείκνυσιν αὐτοῦ πορείαν τῆς ἀνόδου.
Ἰωάννην ἔκθανε τριακοστὴ παροῦσα.

Ὃς ἓξ καὶ δέκα χρόνων ὑπάρχων, καὶ ἀγχίνους ὢν, προσενήνοχεν ἑαυτὸν τῷ Θεῷ θῦμα ἱερώτατον, ἐν τῷ Σιναίῳ ὄρει ἀνελθών· εἶτα μετὰ ἐννέα καὶ δέκα χρόνους ἀναστὰς, ἔρχεται ἐπὶ τὸ τῆς ἡσυχίας στάδιον, ἀπὸ σημείων πέντε τοῦ Κυριακοῦ τῆς παλαίστρας μονὴν εἰληφὼς, Θωλᾶς ὄνομα τῷ χώρῳ, τεσσαράκοντα ἔτη διαπεράνας ἐν διακαεῖ ἔρωτι, καὶ πυρὶ θείας ἀγάπης ἀεὶ πυρπολούμενος· ἤσθιε μὲν ἅπαντα, ἃ ἀμέμπτως ἐφοίτα τῷ ἐπαγγέλματι· βραχὺ δὲ λίαν, καὶ ἐν τούτῳ οἶμαι, τὸ τοῦ τύφου κέρας κλῶν πανσόφως· ἀλλὰ τὴν τῶν δακρύων ἐκείνου πηγὴν τίς ἐξείποι νοῦς; ὕπνου δὲ μετελάμβανεν, ὅσον τὴν τοῦ νοὸς οὐσίαν τῇ ἀγρυπνίᾳ μὴ λυμήνασθαι· ὁ δὲ δρόμος αὐτοῦ προσευχὴ ἦν ἀέναος, καὶ πρὸς Θεὸν ἔρως ἀνείκαστος· τούτοις πᾶσι θαρρέστως βιώσας τοῖς κατορθώμασι, τὴν Κλίμακα συγγράψας, Λόγους ἐκθεὶς διδαχῆς, καὶ πλήρης χρηστότητος, ἀξίως ἀνεπαύσατο ἐν Κυρίῳ, πολλὰ καὶ ἕτερα συγγράμματα καταλελοιπώς.

Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς ἐλέησον, καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Ὁ ὑπερυψούμενος.

Λῃσταὶ περιέπεσον ἐπ' ἐμὲ τὸν δείλαιον, καὶ μάστιξιν ἔλιπον νεκρὸν ὥσπερ ἄπνουν με, διὸ σε ἱκετεύω, ὁ Θεὸς ἐπίσκεψαί με.

Τὸν νοῦν μου ἐσύλησαν λογισμοὶ οἱ ἄστατοι, καὶ πλήξαντες πάθεσι, νεκρόν με ἔλιπον τῷ πλήθει τῶν πταισμάτων· ἀλλὰ Σῶτερ ἴασαί με.

Ὡς εἶδε Λευΐτης με ταῖς πληγαῖς ὀδυνώμενον, μὴ φέρων τοὺς μώλωπας διὰ τὸ ἀνίατον παρῆλθέ με, Σωτήρ μου, ἀλλ' αὐτὸς ἰάτρευσόν με.

Θεοτοκίον.

Σὺ ὁ ἐκ Παρθένου με σαρκωθεὶς διέσωσας, τοῖς μώλωψι χέας μου τὸ πλούσιον ἔλεος, Χριστὲ, τῶν οἰκτιρμῶν σου· διὰ τοῦτο σε δοξάζω.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἐν τῇ χλόῃ τῆς ἄνω Βασιλείας τὴν ποίμνην Πάτερ ἐξέθρεψας, καὶ ῥάβδῳ τῶν δογμάτων τοὺς θῆρας ἀπελάσας τῶν αἱρέσεων, ἔψαλλες, ὁ τῶν Πατέρων ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Ἐν τῇ ἄνω εἰσῆλθες νυμφικῇ εὐωχίᾳ τοῦ Βασιλέως Χριστοῦ, στολὴν ἐνδεδυμένος ἀξίαν τοῦ καλοῦντος· ἐν ᾧ καὶ ἀνεκλίθης βοῶν, ὁ τῶν Πατέρων Θεός.

Μὴ βραχεῖς ἁμαρτίαις ποταμὸς ἀνεδείχθης τῆς ἐγκρατείας Πάτερ, λογισμοὺς κατακλύζων, καὶ ῥύπον ἐκκαθαίρων τῶν βοώντων ἐκ πίστεως· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Θεοτοκίον.

Ἐκ γαστρός σου προῆλθε σαρκωθεὶς ἐκ Παρθένου τῶν ὅλων Κύριος· διό σε Θεοτόκον φρονοῦντες ὀρθοδόξως, τῷ Υἱῷ σου κραυγάζομεν· ὁ τῶν Πατέρων Θεὸς εὐλογητὸς εἶ.

Καταβασία. Οὐκ ἐλάτρευσαν. Ὠδὴ ηʹ.

Σοὶ τῷ Παντουργῷ ἐν τῇ καμίνῳ Παῖδες.

Ὑπὸ τῶν λῃστῶν τῶν λογισμῶν μου, Σῶτερ, διέφθειρα βίον μου πταισμάτων μάστιξιν, ὅθεν τῆς θείας γεγύμνωμαι εἰκόνος σου τοῦ φιλανθρώπου Θεοῦ, ἀλλ' οἰκτείρησόν με.

Ἦλθες ἐπὶ γῆς ἐκ τῶν ὑψίστων Σῶτερ, οἰκτείρας τὸν μάστιξι τραυματισθέντα με ὅλον, πταισμάτων τοῖς μώλωψιν Οἰκτίρμον, καὶ ἐξέχεάς μοι Χριστὲ τὸ ἔλεός σου.

Σῶμα καὶ ψυχὴν σὺ ὁ Δεσπότης Σῶτερ, ἀντίλυτρον δέδωκας, ἐμοῦ καὶ ἔσωσας ὅλου πταισμάτων ἑσμῷ τραυματισθέντος ἐν ταῖς ἀνιάτοις πληγαῖς ὡς ἐλεήμων.

Θεοτοκίον.

Σὲ τὴν ὑπὲρ νοῦν θεανδρικῶς τῷ λόγῳ τεκοῦσαν τὸν Κύριον, καὶ παρθενεύουσαν, πάντα τὰ ἔργα, Παρθένε, εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς Ἄλλος. Τὸν Βασιλέα τῶν.

Στήλην σε ἔμπνουν ὡς ἀληθῶς, καὶ εἰκόνα ἐγκρατείας Πάτερ κεκτημένοι, πάντες σου τὴν μνήμην τιμῶμεν Ἰωάννη.

Θία-

Θίασος χαίρει τῶν μοναστῶν, καὶ χορεία τῶν Ὁσίων δῆμος καὶ Δικαίων· στέφος γὰρ ἀξίως σὺ τούτοις ἐκόμισω.

Ὡραϊσμένος ταῖς ἀρεταῖς εἰς νυμφῶνα τῆς ἀρρήτου δόξης συνεισῆλθες, ὕμνον ἀναμέλπων Χριστῷ εἰς τοὺς αἰῶνας.

Θεοτοκίον.

Τοὺς βοηθείας τῆς παρὰ σοῦ δεομένους μὴ παρίδῃς Παρθένε, ὑμνοῦντας, καὶ ὑπερυψοῦντας εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν εὐλογοῦμεν. Ὁ Εἱρμός.

Παῖδας εὐαγεῖς.

Ὠδὴ θ. Ἡσαΐα χόρευε.

Ἐντολάς σου Δέσποτα, μὴ φυλάξας γνώμῃ ἐμαυτοῦ, τοῖς πάθεσιν ὑπελθὼν τοῖς τῶν ἡδονῶν, γεγύμνωμαι χάριτος, καὶ ταῖς πληγαῖς ἔρριμμαι γυμνὸς, ὅθεν αἰτοῦμαι σὲ τὸν Σωτῆρα διασῶσαί με.

Οὐ Λευΐτης ἴσχυσεν ἀποσμῆξαι μώλωπας ἐμοὺς, ἀλλ' ἦλθες ὁ ἀγαθὸς πρός με συμπαθῶς, καὶ ἔχεας ἔλεος σῶν οἰκτιρμῶν Σῶτερ ἐπ' ἐμὲ, ὥσπερ πανάριστος ἰατρός μου ἰασάμενος.

Ὡς ὑπάρχων εὔσπλαγχνος κατοικτείρας ἔσωσας Χριστὲ, τὸν μάστιξιν ἀλγεινῶς ὑπὸ τῶν λῃστῶν, Σωτὴρ, μαστιχθέντα με, καὶ τὴν ψυχὴν σώματι σαυτοῦ, ὥσπερ δηνάρια δύο, δέδωκας ἀντίλυτρον.

Θεοτοκίον.

Ὑπὲρ νοῦν ὁ τόκος σου Θεομῆτορ, ἄνευ γὰρ ἀνδρὸς ἡ σύλληψις ἐν σοὶ, καὶ παρθενικῶς ἡ κύησις γέγονε, καὶ γὰρ Θεὸς ἐστὶν ὁ τεχθείς· ὃν μεγαλύνοντες, σὲ Παρθένε μακαρίζομεν.

Ἄλλος. Τὴν Ἁγνήν.

Ἰατὴρ νοσούντων ἐν πταίσμασι θεόθεν μακάριε, ἐλατὴρ δὲ ἐδείχθης, καὶ διώκτης τῶν πονηρῶν πνευμάτων, διό σε μακαρίζομεν.

Τὴν γῆν ὡς φθορᾶς οἰκητήριον κατέλιπες Πάτερ, καὶ εἰς γῆν κατεσκήνωσας τῶν πραέων, καὶ σὺν αὐτοῖς ἀγάλλῃ, τῆς θείας ἀπολαύων τρυφῆς.

Σήμερον ἡμέρα ἑόρτιος πάντα. συγκαλεῖ γὰρ τῶν μοναζόντων τὰ ποίμνια εἰς χορείαν πνευματικὴν, τράπεζαν, καὶ βρῶσιν ἀκηράτου ζωῆς.

Θεοτοκίον.

Ὁ ἐν σοὶ σκηνώσας, Πανάμωμε, τὸν πρὶν τοὺς Γενάρχας κακοτρόπως πτερνίσαντα βροτοκτόνον καταβαλὼν, ἐτέχθη, καὶ πάντας ἡμᾶς ἔσωσε.

**Καταβασία.**

Ἅπας γηγενής.

Ἐξαποστειλάριον Ἀναστάσιμον τὸ Ἑωθινὸν, καὶ τοῦ Ὁσίου.

Γυναῖκες ἀκουτίσθητε.

Τοῦ Κόσμου τὴν ἀπάθειαν ὡς μοχθηρὰν ἐξέκλινας· καὶ ἀτροφίᾳ τὴν σάρκα μαράνας, ἀνεκαίνισας ψυχῆς τὸν τόνον Ὅσιε· καὶ δόξαν κατεπλούτησας οὐράνιον ἀοίδιμε· διὸ μὴ παύσῃ πρεσβεύων ὑπὲρ ἡμῶν Ἰωάννη.

Θεοτοκίον Ὅμοιον.

Κυρίως Θεοτόκον σε ὁμολογοῦμεν, Δέσποινα, οἱ διὰ σοῦ σεσωσμένοι καὶ γὰρ Θεὸν ἐκύησας ἀπορρήτως, τὸν λύσαντα διὰ Σταυροῦ τὸν θάνατον· πρὸς ἑαυτὸν δὲ ἑλκύσαντα ὁσίων δήμους, μεθ' ὧν σε ἀνευφημοῦμεν Παρθένε.

Εἰς τοὺς Αἴνους τὰ Ἀναστάσιμα τῆς Ὀκτωήχου, καὶ τὰ ἀνατολικὰ, εἶτα λέγομεν.

Στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου.

Καὶ ψάλλομεν τὸ Ἰδιόμελον, ἦχ. ά.

Δεῦτε ἐργασώμεθα ἐν τῷ μυστικῷ ἀμπελῶνι, καρποὺς μετανοίας ἐν τούτῳ ποιούμενοι, οὐκ ἐν βρώμασι, καὶ πόμασι κοπιῶντες, ἀλλ' ἐν προσευχαῖς, καὶ νηστείαις τὰς ἀρετὰς κατορθοῦντες· τούτοις ἀρεσκόμενος ὁ Κύριος τοῦ ἔργου δηνάριον παρέχει, δι' οὗ ψυχὰς λυτροῦται χρέους ἁμαρτίας, ὁ μόνος πολυέλεος.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν.

Ὑπερευλογημένη. Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις Ἡ πρώτη Ὥρα, καὶ ἡ Κατήχησις, καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς συνήθως. Εἰς τὴν Λειτουργίαν Τυπικὰ, καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου. Προκείμενον τοῦ Ἀποστόλου, τοῦ ἐνορδίνου, καὶ τοῦ Ὁσίου.

Καυχήσονται Ὅσιοι ἐν δόξῃ.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Ὁ Ἀπόστολος τῆς ἡμέρας.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνά.

Ἀδελφοὶ, Τῷ Ἀβραὰμ ἐπαγγειλάμενος ὁ Θεὸς, ἐπεὶ κατ' οὐδενὸς εἶχε μείζονος ὀμόσαι, ὤμοσε καθ' ἑαυτοῦ, λέγων, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ σε· καὶ οὕτω μακροθυμήσας, ἐπέτυχε τῆς ἐπαγγελίας. ἄνθρωποι μὲν γὰρ κατὰ τοῦ μείζονος ὀμνύουσι, καὶ πάσης αὐτοῖς ἀντιλογίας πέρας εἰς βεβαίωσιν ὁ ὅρκος· ἐν ᾧ περισσότερον βουλόμενος ὁ Θεὸς ἐπιδεῖξαι τοῖς κληρονόμοις τῆς ἐπαγγελίας τὸ ἀμετάθετον τῆς βουλῆς αὐτοῦ, ἐμεσίτευσεν ὅρκῳ· ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεὸν, ἰσχυρὰν παράκλησιν ἔχωμεν οἱ καταφυγόντες κρατῆσαι τῆς προκειμένης ἐλπίδος· ἣν ὡς ἄγκυραν ἔχομεν τῆς ψυχῆς ἀσφαλῆ τε, καὶ βεβαίαν, καὶ εἰσερχομένην εἰς τὸ ἐσώτερον τοῦ καταπετάσματος, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθεν Ἰησοῦς, κατὰ τὴν τάξιν Μελχισεδὲκ, Ἀρχιερεὺς γενόμενος εἰς τὸν αἰῶνα.



Digitized by Google

Καὶ τοῦ Ὁσίου. Πρὸς Ἐφεσίους.

Ὡς τέκνα δὲ φωτός, Ἀδελφοί, περιπατεῖτε, ὁ γὰρ καρπὸς τοῦ Πνεύματος ἐν πάσῃ ἀγαθωσύνῃ καὶ δικαιοσύνῃ καὶ ἀληθείᾳ, δοκιμάζοντες τί ἐστιν εὐάρεστον τῷ Κυρίῳ, καὶ μὴ συγκοινωνεῖτε τοῖς ἔργοις τοῖς ἀκάρποις τοῦ σκότους, μᾶλλον δὲ καὶ ἐλέγχετε· τὰ γὰρ κρυφῆ γινόμενα ὑπ' αὐτῶν, αἰσχρόν ἐστι καὶ λέγειν, τὰ δὲ πάντα ἐλεγχόμενα ὑπὸ τοῦ φωτὸς φανεροῦται· πᾶν γὰρ τὸ φανερούμενον, φῶς ἐστι· διὸ λέγει· ἔγειραι ὁ καθεύδων, καὶ ἀνάστα ἐκ τῶν νεκρῶν, καὶ ἐπιφαύσει σοι ὁ Χριστός· βλέπετε οὖν πῶς ἀκριβῶς περιπατεῖτε· μὴ ὡς ἄσοφοι, ἀλλ' ὡς σοφοί, ἐξαγοραζόμενοι τὸν καιρόν, ὅτι αἱ ἡμέραι πονηραί εἰσι· διὰ τοῦτο μὴ γίνεσθε ἄφρονες, ἀλλὰ συνιέντες τί, τὸ θέλημα τοῦ Κυρίου· καὶ μὴ μεθύσκεσθε οἴνῳ, ἐν ᾧ ἐστιν ἀσωτία· ἀλλὰ πληροῦσθε ἐν πνεύματι, λαλοῦντες ἑαυτοῖς ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς ᾄδοντες καὶ ψάλλοντες ἐν τῇ καρδίᾳ ὑμῶν τῷ Κυρίῳ.

Ἀλληλούϊα τοῦ ἤχου, καὶ τοῦ Ὁσίου, Πεφυτευμένος ἐν τῷ οἴκῳ Κυρίου. Εὐαγγέλια, τὰ ἀμφότερα. Κοινωνικὸν, Αἰνεῖτε, καὶ εἰς μνημόσυνον.

Τῇ Κυριακῇ Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν ψαλμὸν, στιχολογουμένου τὸ συνήθως καθ. τοῦ Ψαλτηρίου. Εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. καὶ τοῦ Τριωδίου προσόμοια τοῦ κυρίου Ἰωσήφ, ἦχος γ'.

Μεγάλη τοῦ Σταυροῦ σου.

Μεγίστους ἐν καιρῷ, πιστοί, ἐπιδειξώμεθα τῆς ἐγκρατείας πόνους, ὅπως μεγίστης δόξης ἐπιτύχωμεν, ἐλέει τοῦ μεγάλου Θεοῦ ῥυόμενοι τῆς φλογὸς τῆς γεέννης.

Ὅμοιον.

Τὸν χρόνον τῆς νηστείας νῦν ὑπερμεσάσαντες, ἀρχὴν ἐνθέου δόξης σαφῶς ἐπιδειξώμεθα· καὶ εἰς τέλος ἐναρέτου πολιτείας φθάσαι θερμῶς σπεύσωμεν, ὅπως ληψώμεθα τὴν τρυφὴν τὴν ἀγήρω.

Ἕτερον τοῦ κυρίου Θεοδώρου, ἦχ. βαρύς.

Ὑπὸ τὴν σκέπην σου.

Ὑπερμεσάσαντες ταύτην τὴν ἱερὰν τῆς νηστείας περίοδον, πρὸς τὸ μέλλον ἐν χαρᾷ διευθυδρομήσωμεν, εὐποιΐας ἐλαίῳ τὰς ψυχὰς ἀλειφόμενοι· ὅπως ἀξιωθῶμεν Χριστοῦ τοῦ Θεοῦ ἡμῶν καὶ τὰ θεῖα παθήματα προσκυνῆσαι, προφθάσαι καὶ τὴν φρικτήν, καὶ ἁγίαν Ἀνάστασιν.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν, Θεοτ.

Εἴσοδος. Προκείμενον, ἦχ. πλ. δ'.

Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι· ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν.

Στίχ.

Ἡ σωτηρία σου, ὁ Θεός, ἀντιλάβοιτό μου· Στίχ. Ἰδέτωσαν πτωχοί, καὶ εὐφρανθήτωσαν, καὶ πάλιν. Μὴ ἀποστρέψῃς· ἡ συνήθης ἐκτενή. εἰς τὸν στίχ. τὰ Ἰδιόμελα τῆς ἡμέρας, ἦχος βαρύς.

Ὁ τὸν ἀμπελῶνα φυτεύσας, καὶ τοὺς ἐργάτας καλέσας, ἐγγὺς ὑπάρχει Σωτήρ· δεῦτε οἱ τῆς νηστείας ἀγωνισταὶ μισθὸν ἀπολαύσωμεν, ὅτι πλούσιος ὑπάρχει ὁ δοτήρ, καὶ ἐλεήμων· μικρὸν ἐργασάμενοι κομισώμεθα τὸ τῆς ψυχῆς ἔλεος.

Ἕτερον Ἰδιόμελον· ἦχος πλ. β'.

Λῃσταῖς λογισμοῖς περιπεσὼν ὁ Ἀδάμ, ἐκλάπη τὸν νοῦν, τραυματισθεὶς τὴν ψυχήν, καὶ ἔκειτο γυμνὸς ἀντιλήψεως· οὔτε Ἱερεὺς ὁ πρὸ τοῦ νόμου προσέσχεν αὐτῷ, οὔτε Λευΐτης μετὰ νόμον ἐπεῖδεν αὐτόν· εἰ μὴ σὺ ὁ παραγενόμενος Θεὸς οὐκ ἐκ Σαμαρείας, ἀλλ' ἐκ τῆς Θεοτόκου, Κύριε, δόξα σοι.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου, Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Ἀρχαγγελικῶς ἀνυμνήσωμεν πιστοὶ τὴν οὐράνιον παστάδα, καὶ πύλην σφραγισθεῖσαν ἀληθῶς· χαῖρε δι' ἧς ἀνεβλάστησεν ἡμῖν ὁ Σωτὴρ ὁ τῶν ἁπάντων Χριστός, ὁ ζωοδότης καὶ Θεός. κατάβαλε Δέσποινα τοὺς ἀθέους τυράννους ἐχθροὺς ἡμῶν τῇ χειρί σου, ἄχραντε, ἡ ἐλπὶς χριστιανῶν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία κατὰ τὸ σύνηθες.

Τῇ Δευτέρᾳ τῆς Πέμπτης Ἑβδομάδος εἰς τὸν Ὄρθρον, τὰ Τριαδικὰ τοῦ λαχόντος ἤχου· μετὰ τὴν α'. στιχολ. ψάλλομεν καθίσματα κατανυκτικὰ τῆς Ὀκτωήχου δύο μετὰ καὶ Θεοτοκίου. μετὰ δὲ τὴν β'. στιχολ. λέγομεν τὰ παρόντα καθίσματα τοῦ κυρίου Ἰωσὴφ ἦχος γ'.

Τὴν ὡραιότητα.

Ὁ ὡραιότατος καιρὸς ἐφέστηκεν, ἡ ἀξιέπαινος ἡμέρα ἔλαμψε τῆς ἐγκρατείας ἀδελφοί, σπουδάσωμεν καθαρθῆναι· ὅπως ἐποφθείημεν καθαροὶ τῷ ποιήσαντι, καὶ τῆς ὡραιότητος τῆς αὐτοῦ ἐπιτύχωμεν πρεσβείαις τῆς αὐτὸν κυησάσης μόνης Ἁγνῆς Θεομήτορος.

Θεοτοκίον Ὅμοιον.

Τὴν ὡραιότητα τῆς παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου ὁ Γαβριὴλ

κατα-

Digitized by Google

καταπλαγεὶς ἐβόα σοι, Θεοτόκε· ποῖον σοι ἐγκώμιον προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε, ἀπορῶ καὶ ἐξίσταμαι· διὸ ὡς προσετάγην βοῶ σοι. Χαῖρε ἡ Κεχαριτωμένη.

Εἰς τὴν τρίτην στιχολ. κάθισ. τοῦ κυρίου Θεοδώρου, ἦχος βαρύς. Κύριε ἡμεῖς ἐσμέν.

ΚΥ'ριε ὁ δοὺς ἡμῖν προφθάσαι τὴν σήμερον ἡμέραν Ἑβδομάδα ἁγίαν, προλάμπουσαν φαιδρᾶς τῆς Λαζάρου ἐκ νεκρῶν ἐγέρσεως φρικτῆς, ἀξίωσον τοὺς δούλους σου τῷ φόβῳ σου προελθεῖν, τὸ στάδιον τῆς νηστείας ἅπαν διανύοντας.

Θεοτοκίον, ἦχ. ὁ αὐτός.

ΤΙμιωτέρα τῶν ἐνδόξων Χερουβὶμ ὑπάρχεις Παναγία Παρθένε· ἐκεῖνα γὰρ τὴν θείαν μὴ φέροντα δύναμιν, πτέρυξι κατακεκαλυμμένῳ προσώπῳ τὴν λειτουργίαν ἐπιτελοῦσιν· αὐτὴ δὲ σεσαρκωμένον τὸν Λόγον αὐτοπτῶς ὁρῶσα φέρεις· ὃν ἀπαύστως ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ψάλλομεν δὲ τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὸ Τριῴδιον τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή. Ὠδὴ α΄. ἦχ. γ΄.

Ὁ τὰ ὕδατα.

ΤΑ`ς ἡμῶν διανοίας θείῳ ἀρότρῳ νεώσαντες, τῆς ἐνθέου νηστείας ἀρετῶν ἀστάχυν καρποφορήσωμεν, ὅπως μὴ πεινάσωμεν εἰς τὸν αἰῶνα, τρυφῶντες τρυφὴν τὴν ἀδάπανον ἐπαγαλλόμενοι.

ΠΟλυχρόνια πάθη ἔνδοθεν φέρω σκοτίζοντα τὴν ἀθλίαν ψυχήν μου, πρὸς τὴν σὴν ἄχρονον Λόγε ἀνάρχου Πατρὸς δύναμιν ἀτενίζων συντετριμμένῃ καρδίᾳ προσπίπτω, καὶ δέομαι, οἰκτειρόν σῶσόν με.

Ἡ Καλλίστη νηστεία τρέφει καρδίας, πιαίνουσα λογισμοὺς θεαρέστους, καὶ παθῶν ἄβυσσον ἀποξηραίνουσα, ὄμβροις κατανύξεως ἀποκαθαίρει τοὺς πίστει αἴνεσιν προσάγοντας τῷ Παντοκράτορι.

ΠΟλυώνυμε Κόρη χαίροις Ἁγία Παρθένε Θεοκυῆτορ Μαρία, τῶν πιστῶν καύχημα, κατάρας λύτρωσις, κλίμαξ ἐπουράνιε, ἀκατανόητον θαῦμα, βάτε ἀκατάφλεκτε, γῆ ἀγεώργητε.

Εἱρμὸς ἄλλος τοῦ κυρίου Θεοδώρου, ἦχ. βαρύς.

Ἄσωμεν τῷ Κυρίῳ.

ΤΟ` ζωηφόρον ξύλον προσκυνήσαντες, ἐντεῦθεν ἴωμεν διὰ ὁδοῦ τῆς νηστείας πρὸς τὸ Πάθος τοῦ Χριστοῦ ἀγαλλόμενοι.

ΧΡιστῷ ἀκολουθοῦντες ἀρνησώμεθα Κόσμον, καὶ ἄρωμεν τὸν Σταυρὸν ἐπὶ ὤμων, συμμορφούμενοι αὐτοῦ τοῖς θείοις Πάθεσι.

Δόξα.

ΤΗ`ν ἐν τρισὶ προσώποις ὑπερούσιον μίαν Θεότητα ἀνυμνήσωμεν πάντες, τὸν Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα Ἅγιον.

Καὶ νῦν.

ΟΝ ἀκατανοήτως ἀπεκύησας φθορὰν μὴ γνοῦσα Ἁγνή, Ἰησοῦν τὸν Σωτῆρα ἐξιλέωσαι καὶ νῦν ὑπὲρ τῶν δούλων σου.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΟΤαν ἔλθῃς ἐν δόξῃ μετὰ τῶν Ἀγγέλων κρῖναι τὰ σύμπαντα, καλὴν ἀπολογίαν ἀποδοῦναί σοι Χριστὲ ἡμᾶς, καταξίωσον.

Ὁ Εἱρμός.

ΑἌσωμεν τῷ Κυρίῳ τῷ βυθίσαντι πᾶσαν τὴν δύναμιν Φαραὼ ἐν θαλάσσῃ ἐπινίκιον ᾠ-
„ δήν, ὅτι δεδόξασται.

Ὠδὴ η΄. Βαβυλωνία κάμινος.

ΤΑῖς βλαβεραῖς τοῦ ὄφεως πλάναις ἐξελκόμενος, καὶ δελεαζόμενος τὸν νοῦν καθ' ἡμέραν τῷ ἄλγει μου προσίθω, Σῶτερ, ἄλγος. διὸ κραυγάζω σοι· ἰατρὲ τῶν νοσούντων ἐπίστρεψον, σῶσόν με.

ΝΕνηστευκὼς ἀνέστησε παῖδα Σουναμίτιδος πάλαι δυναμούμενος σαφῶς Ἐλισσαῖος τῷ Πνεύματι· ἡμεῖς δὲ νεκρωθέντες ταῖς ἡδοναῖς τῶν παθῶν ζωηφόρῳ νηστείᾳ, πιστοί, ἀναζησώμεθα.

ΤΟὺς Νινευΐτας ἔσωσας Κύριε φιλάνθρωπε, πάλαι μεταγνόντας ἐν κλαυθμῷ καὶ νηστείᾳ ὡς εὔσπλαγχνος· ἡμᾶς δὲ τῷ ἐλέει τῷ σῷ οἰκτείρησον ἀποροῦντας, δι' ἔργων ἐξομολογεῖσθαί σοι.

Θεοτοκίον.

Ἡ Μετὰ τόκον ἄφθορος μείνασα, Παναμώμε, λύτρωσαι δεόμεθα, Ἁγνή, καταφθορᾶς τοὺς δούλους σου, πιστῶς τοὺς μελῳδοῦντας ἐν ὁμονοίᾳ ψυχῆς, εὐλογεῖτε τὰ ἔργα.

Εἱρμὸς ἄλλος. Τὸν φοβερὸν τοῖς.

ΤΗ`ς ἐγκρατείας σὺν Θεῷ τὴν νύσσαν ἔχοντες πιστοί, τὸ λοιπὸν νεανικῶς διαδράμωμεν ἅγιον στάδιον, καὶ στέφη φορήσωμεν.

ΤΗ`ν ἀκαρπίαν καθορῶν τῆς πολυωδύνου μου ψυχῆς, ἔτι ἔμμεινον Χριστέ, καὶ μὴ ἐκκόψῃς με, ὡς τὴν συκῆν ἐκείνην τὴν ἐπικατάρατον.

Εὐλογοῦμεν Πατέρα.

ΜΟναρχικώτατε Τριάς, καὶ τρισυπόστατε μονάς, Πάτερ, Υἱέ, καὶ τὸ Πνεῦμα, ἐκ παντοίων ῥῦσαι πειρασμῶν, καὶ κινδύνων τοὺς σὲ ἀναμέλποντας.

Καὶ νῦν.

ΧΑῖρε τὸ ὄρος τοῦ Θεοῦ· χαῖρε ἀείφωτε λαμπάς· χαῖρε νέε Οὐρανέ· χαῖρε νοῦς ἀστράπτων· χαῖρε ναὲ Κυρίου· χαῖρε πανύμνητε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΟ`ν φοβερόν σου ἐτασμὸν κατανοούμενος, Χριστέ, φρίττω, τρέμω, καὶ βοῶ, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος σῶσόν με τὸν δείλαιον.



Digitized by Google

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν φοβερὸν τοῖς Σεραφὶμ, καὶ θαυμαστὸν τοῖς Χερουβὶμ, καὶ τοῦ Κόσμου Ποιητὴν Ἱερεῖς, καὶ δοῦ„ λοι, καὶ πνεύματα Δικαίων ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. Καινὸν τὸ θαῦμα.

Κρατῆρα θεῖον πλήσασα νυνὶ κατανύξεως ἡ τῆς νηστείας χάρις σαφῶς συγκαλεῖται ἅπαντας πιστοὺς, ἐκβοῶσα μετ' εὐφροσύνης, δεῦτε ἀπολαύσωμεν, τὴν μέθην παθῶν ἀποβαλόντες, ἵνα μελλούσης ἀξιωθείητε παρακλήσεως.

Ἐγγὺς ἡ κρίσις, πρόσεχε ψυχὴ, συνειδήσεως ἐπιμελοῦ, καὶ πρᾶττε καλῶς, καὶ σὲ ἀκατάκριτον ἀεὶ συντηροῦσα· εἰ ἑαυτοὺς δὲ ὧδε διεκρίναμεν, οὐδ' ὅλως ἐκεῖ κατακριθῶμεν, ἀνευ μαρτύρων ἔνθα ὑπεύθυνοι κατακρίνονται.

Ἀρχαὶ, Δυνάμεις, Θρόνοι, Σεραφὶμ, Κυριότητες, καὶ Ἐξουσίαι, καὶ Χερουβὶμ, Ἄγγελοι, Ἀρχάγγελοι Θεὸν δυσωπεῖτε, τῶν νηστειῶν τὸν χρόνον διανῦσαι ἡμᾶς τὸ τούτου εὐάρεστον ποιοῦντας, ἵνα ὡς δοῦλοι εὐαρεστήσαντες δόξης τύχωμεν.

Θεοτοκίον.

Μετὰ Μαρτύρων, μετὰ Προφητῶν τὴν τεκοῦσάν σε, μετὰ Ὁσίων πάντων, Χριστὲ, δυσωποῦσαν πρόσδεξαι ἀεὶ ὑπὲρ δούλων τῶν παροργισάντων σε τὸν μόνον φιλάνθρωπον Δεσπότην, ὃν ἐπουράνιαι τάξεις τρέμουσιν.

Εἱρμὸς ἄλλος. Τὴν ὑπὲρ φύσιν Μητέρα.

Τὸν γαληνὸν τῆς νηστείας ἐν τῇ τοῦ Πνεύματος αὔρᾳ ὑπερπεράσαντες πλοῦν, πρὸς τὸν λιμένα τῶν Παθημάτων Χριστοῦ καταντῆσαι ἐπευξώμεθα.

Τὴν Χαναναίαν ζηλώσας, ἐλέησόν με, βοῶ σοι, Υἱὲ Δαβὶδ ὁ Θεός· καὶ ἴασαί μου τὴν ἀσθενοῦσαν ψυχὴν ὡς ἐκείνης τὸ θυγάτριον.

Δόξα.

Τὴν τῆς Θεότητος φύσιν ἑνιζομένην Μονάδα, καὶ χαρακτῆρσι τρισὶ τριαζομένην, Πατέρα, καὶ τὸν Υἱὸν, καὶ Πνεῦμα ἀνυμνολογήσωμεν.

Καὶ νῦν.

Ἡ ἐν γαστρὶ συλλαβοῦσα τὸν ἀπερίληπτον Λόγον, καὶ τοῦτον ἄνευ σπορᾶς σαρκὶ τεκοῦσα, ἱκέτευε ἐκτενῶς, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα σοι ὁ Θεός.

Ὁ δικαιώσας Τελώνην ἱλάσθητί μοι βοῶντι· κἀμοὶ τῷ ἁμαρτωλῷ ἵλεως ἔσο ὁ τῶν ἁπάντων Κριτὴς, συγχωρῶν μου τὰ ἐγκλήματα.

Ὁ Εἱρμός.

Τὴν ὑπὲρ φύσιν Μητέρα, καὶ κατὰ φύσιν Παρθένον, τὴν μόνην ἐν γυναιξὶν εὐλογημέ„ νην ᾄσμασι μυστικοῖς οἱ πιστοὶ μεγαλύνωμεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ Ἰδιόμελον· ἦχος πλ. β'. δίς.

Τῷ τοῖς λῃσταῖς περιπεσόντι ὡμοιώθην ἐγὼ Δέσποτα τῶν ἁπάντων, τοῖς πταίσμασί μου περιπεσὼν, καὶ ὑπ' αὐτῶν ἀνηλεῶς κατετρώθην· ἀλλὰ μὴ ἐγκαταλίπῃς με ἀνιάτρευτον, ὁ οὐκ ἐκ Σαμαρείας, ἀλλ' ἐκ τῆς Ἀχράντου Παρθένου σαρκωθεὶς ὁ Λόγος, Ἰησοῦ τὸ σωτήριον ὄνομα, ἐλέησόν με.

Μαρτυρικόν.

Τί ὑμᾶς καλέσωμεν Ἅγιοι; Χερουβίμ; ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστός. Σεραφίμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν. Ἀγγέλους; τὸ γὰρ σῶμα ἀπεστράφητε. Δυνάμεις; ἐνεργεῖτε ἐν τοῖς θαύμασι· πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

Τὰ οὐράνια ὑμνεῖ σε Κεχαριτωμένη Μήτηρ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν. Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Τριτοέκτην Τροπάριον τῆς Προφητείας, ἦχος γ'.

Ὅτι αἱ ἀνομίαι ἡμῶν ἀντέστησαν ἡμῖν· ἀνάστα Κύριε, βοήθησον ἡμῖν· σὺ γὰρ εἶ Πατὴρ ἡμῶν, ἐκτός σου ἄλλον οὐ γινώσκομεν.

Προκείμ. Ψαλμ. πγ'. ἦχ. γ'.

Τὰ θυσιαστήριά σου Κύριε τῶν Δυνάμεων.

Στίχ. Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος ἐπὶ Βασιλέα Ἀσσυρίων· οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ' αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ' αὐτὴν θυρεὸν, οὐδὲ μὴ κυκλώσῃ ἐπ' αὐτὴν χάρακα, ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ, τάδε λέγει Κύριος· ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου· καὶ ἐξῆλθεν Ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσυρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας· καὶ ἀναστάντες τὸ πρωῒ, εὗρον πάντα τὰ σώματα νεκρά· καὶ ἀπῆλθεν ἀποστραφεὶς Σενναχηρεὶμ Βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευῇ· καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ τὸν Πάτραρχον αὐτοῦ, Ἀδραμέλεχ, καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις, αὐτοὶ δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰν ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ· ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ, ἐμαλακίσθη Ἐζεκίας ἕως θανάτου· καὶ ἦλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ Προφήτης, καὶ εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος, τάξαι περὶ τοῦ οἴκου σου· ἀποθνήσκεις γὰρ σὺ, καὶ οὐ ζήσῃ· καὶ ἀπέ-

στρε-

στρέψεν Ἐζεκίας τὸ πρόσωπον αὐτοῦ πρὸς τὸν τοῖχον, καὶ προσηύξατο πρὸς Κύριον, λέγων· μνήσθητι Κύριε, ὡς ἐπορεύθην ἐνώπιόν σου μετὰ ἀληθείας, ἐν καρδίᾳ ἀληθινῇ, καὶ τὰ ἀρεστὰ ἐνώπιόν σου ἐποίησα, καὶ ἔκλαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ· καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἡσαΐαν, λέγων· πορεύθητι, καὶ εἰπὸν Ἐζεκίᾳ, τάδε λέγει Κύριος ὁ Θεὸς Δαβὶδ τοῦ Πατρός σου· ἤκουσα τῆς προσευχῆς σου, καὶ εἶδον τὰ δάκρυά σου, ἰδοὺ προστίθημι πρὸς τὸν χρόνον σου δεκαπέντε ἔτη, καὶ ἐκ χειρὸς Βασιλέως Ἀσσυρίων ῥύσομαί σε καὶ τὴν Πόλιν ταύτην· καὶ ὑπερασπιῶ ὑπὲρ τῆς Πόλεως ταύτης.

Προκείμενον, Ψαλμὸς πδʹ. ἦχ. πλ. δʹ.

Δεῖξον ἡμῖν Κύριε τὸ ἔλεός σου.

Στίχ. Εὐδόκησας Κύριε τὴν γῆν σου.

Τῇ Δευτέρᾳ τῆς Πέμπτης Ἑβδομάδος Ἑσπέρας στιχολογοῦμεν ἀντὶ τῶν πρὸς Κύριον τὸ ἐνορδίνου καθ. τοῦ Ψαλτηρίου, εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ϛʹ. καὶ ψάλλομεν τὰ παρόντα γʹα προσόμοια, καὶ τοῦ Μηναίου γʹ. στιχη. προσόμοια τοῦ Τριῳδίου τοῦ Κυρίου Ἰωσήφ.

Ἦχ. γʹ. Σταυροφανῶς Μωϋσῆς.

Ὁδοὺς ἡμῖν τῆς νηστείας τὸν χρόνον, τοῦ ἐπιστρέψαι, καὶ ζῆσαι, καὶ μηδαμῶς ἀπολέσθαι, Λόγε Θεοῦ, καταξίωσον πάντας εὐαρεστῆσαί σοι καλῶς, καὶ ἐν θερμῇ κατανύξει θεραπεῦσαί σε Χριστὲ, ὥσπερ ἡ Πόρνη ἡ σώφρων, καὶ σεμνὴ, ἥ ποτε τῷ μύρῳ, καὶ ταῖς προχύσεσι τῶν θερμῶν δακρύων, τῶν πταισμάτων λαβοῦσα τὴν ἄφεσιν.

Ὅμοιον.

Ὡς ὁ τυφλὸς ἐκ καρδίας σοι κράζω, Υἱὲ Θεοῦ φώτισόν μου τοὺς ὀφθαλμοὺς τῆς καρδίας· ὡς ἡ πιστὴ Χαναναία σοι βοῶ, ἐλέησόν με οἰκτίρμον· καὶ γὰρ ψυχὴν δαιμονῶσαν κέκτημαι ταῖς ἡδοναῖς· ἣν ἀπαλλάξας τοῦ σκότους τῶν παθῶν, τὸ λοιπὸν βιῶσαι καθαρῶς ποίησον, ἵνα δοξάζω σου τὴν πολλὴν ἀγαθότητα.

Ἕτερον τοῦ κυρίου Θεοδώρου· ἦχος βʹ.

Ἡ θεόκλητος Μάρτυς.

Ἡ θεόφωτος χάρις τῆς ἐγκρατείας ἡμῖν σήμερον λάμψασα φαιδρότερον τοῦ Ἡλίου τὰς ψυχὰς ἡμῶν φωταγωγεῖ, ὥσπερ νέφη τὰ πάθη τῆς ἁμαρτίας ἐκδιώκουσα· διὰ τοῦτο ἅπαντες δράμωμεν εὐψύχως αὐτὴν ἀσπαζόμενοι χαίροντες, τελοῦμεν τὸ θεῖον στάδιον αὐτῆς, ἧς ταῖς εὐφροσύναις εὐωχούμενοι βοήσωμεν Χριστῷ, ἁγίασον τοὺς ταύτην, ἀγαθὲ, ἐκτελοῦντας πιστῶς.

Καὶ τοῦ Μηναίου γʹ. Δόξα. Καὶ νῦν, θεοτ. Ἑσπέρας Προκείμενον Ψαλμ. πεʹ. ἦχ. δʹ.

Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ εἰσάκουσόν μου.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἄβραμ δὲ κατῴκησεν ἐν γῇ Χαναάν. Λὼτ δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων, καὶ ἐσκήνωσεν ἐν Σοδόμοις· οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ Θεοῦ σφόδρα· ὁ δὲ Θεὸς εἶπε τῷ Ἄβραμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ᾽ αὐτοῦ, ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σὺ εἶ πρὸς Βορρᾶν, καὶ Λίβα, καὶ Ἀνατολὰς, καὶ θάλασσαν· ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος· καὶ ποιήσω τὸ σπέρμα σου, ὡς τὴν ἄμμον τῆς γῆς· εἰ, δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς, καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται· ἀναστὰς διόδευσον τὴν γῆν εἴς τε τὸ μῆκος αὐτῆς καὶ εἰς τὸ πλάτος, ὅτι σοι δώσω αὐτὴν καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα· καὶ ἀποσκηνώσας Ἄβραμ, ἐλθὼν κατῴκησε παρὰ τὴν Δρῦν τὴν Μαμβρῆ ἡ ἦν ἐν Χεβρὼμ· καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ.

Προκείμενον Ψαλμὸς πϛʹ. ἦχ. δʹ.

Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών.

Στίχ. Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Πρόσταγμα Κυρίου πηγὴ ζωῆς, ποιεῖ δὲ ἐκκλίνειν ἐκ παγίδος θανάτου· ἐν πολλῷ ἔθνει δόξα Βασιλέως, ἐν δὲ ἐκλείψει λαοῦ συντριβὴ δυνάστου· μακρόθυμος ἀνὴρ πολὺς ἐν φρονήσει, ὁ δὲ ὀλιγόψυχος ἰσχυρῶς ἄφρων· πραΰθυμος ἀνὴρ καρδίας ἰατρὸς, σὴς δὲ ὀστέων καρδία αἰσθητική· ὁ συκοφαντῶν πένητα παροξύνει τὸν ποιήσαντα αὐτόν· ὁ δὲ τιμῶν αὐτὸν ἐλεεῖ πτωχόν· ἐν κακίᾳ αὐτοῦ ἀπωσθήσεται ἀσεβὴς, ὁ δὲ πεποιθὼς τῇ ἑαυτοῦ ὁσιότητι δίκαιος· ἐν καρδίᾳ ἀγαθῇ ἀνδρὸς σοφία, ἐν δὲ καρδίᾳ ἀφρόνων οὐ διαγινώσκεται· δικαιοσύνη ὑψοῖ ἔθνος· ἐλασσονοῦσι δὲ φυλὰς ἁμαρτίαι· δεκτὸς Βασιλεῖ ὑπηρέτης νοήμων, τῇ δὲ ἑαυτοῦ εὐστροφίᾳ ἀφαιρεῖται ἀτιμίαν· ὀργὴ ἀπόλλυσι καὶ φρονίμους, ἀπόκρισις δὲ ὑποπίπτουσα ἀποστρέφει θυμόν, λόγος δὲ λυπηρὸς ἐγείρει ὀργὰς, γλῶσσα σοφῶν καλὰ ἐπίσταται· στόμα δὲ ἀφρόνων ἀναγγέλλει κακά· ἐν παντὶ τόπῳ ὀφθαλμοὶ Κυρίου σκοπεύουσι κακούς τε καὶ ἀγαθούς· ἴασις γλώσσης δένδρον ζωῆς· ὁ δὲ συντηρῶν αὐτὴν πλησθήσεται Πνεύματος.

Εἰς τὸν στίχ. τὸ ἰδιόμ. ἦχος βαρὺς Ἅπαξ.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστὰς, καὶ τετραυματισμένος, οὕτω κἀγὼ περιέπεσον ἐξ ἐμῶν ἁμαρτιῶν, καὶ τετραυματισμένη ὑπάρχει μου ἡ ψυχή· πρὸς τίνα καταφύγω τοῦ θεραπευθῆναι, εἰ μὴ πρὸς σὲ τὸν ἰατρὸν ψυχῶν τε καὶ σωμάτων; ἐπίχεε ἐπ᾽ ἐμὲ ὁ Θεὸς τὸ μέγα ἔλεος.

Ἕτερον ἰδιόμ. ἦχ. δ'. Ἅπαξ καὶ αὐτό.

Ἀποσφαλέντες ἐκ παραβάσεως τῆς τροφῆς, ἐν Παραδείσῳ τρυφῆς, καὶ ἀπολαύσεως, κατήχθημεν εἰς ἀτιμοτάτην ζωήν· τὴν ἀρετὴν γὰρ τὴν πρέπουσαν ἐπαινετὴν διαγωγὴν ἐκδυθέντες τοῖς πταίσμασι, ὡς λῃσταῖς περιεπέσομεν· ἡμιθανεῖς δὲ τυγχάνομεν, ἐξαμαρτήσαντες τῆς σωτηρίου σου διδαγμάτων· ἀλλά σε ἱκετεύομεν, τὸν ἐκ Μαρίας ἐπιφανέντα, καὶ ἀπαθῶς πάθει προσομιλήσαντα Δεσπότην· κατάδησαι ἡμῶν τὰς ἐκ τῆς ἁμαρτίας ἐπιφερομένας μώλωπας, καὶ τὸν ἀνείκαστόν σου οἶκτον, ἐπίχεον ἡμῖν τὴν σὴν θεραπευτικὴν ἐπιμέλειαν, ὡς φιλάνθρωπος.

Μαρτυρικόν.

Ὁ τῶν Ἁγίων Μαρτύρων δεξάμενος τὴν ὑπομονήν, καὶ παρ' ἡμῶν δέχου τὴν ὑμνῳδίαν φιλάνθρωπε, δωρούμενος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους σου φύλαττε εὐλογημένη Θεοτόκε, ἵνα σε δοξάζωμεν τὴν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Τῇ Τρίτῃ τῆς Πέμπτης Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ Τριαδικά· μετὰ τὴν α'. στιχολ. λέγομεν καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου δύο μετὰ καὶ Θεοτοκίου· μετὰ δὲ τὴν β'. στιχολ. λέγομεν κάθισ. τοῦ Κυρίου Ἰωσήφ, ἦχος β'.

Θείας πίστεως ὁμολογ.

Ζέσει Πίστεως διὰ ἐγκρατείας, πάθει φλέξωμεν τῆς ἀκρασίας· καὶ τὸν κρημνὸν τῆς ἁμαρτίας ἐκφύγωμεν· καὶ τῶν δακρύων κρουνοῖς κατασβέσωμεν τὴν αἰωνίζουσαν φλόγα κραυγάζοντες· ὑπεράγαθε, ἡμάρτομέν σοι, ἱλάσθητι, καὶ δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεοτοκίον. Ὅμοιον.

Θεία γέγονας σκηνὴ τοῦ Λόγου, μόνη πανάγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ χεῖρον γενόμενον, σαρκὸς πλημμελήμασιν ἀποκάθαρον πρεσβείαις σου, τοῖς ἐνθέοις νάμασι παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Εἰς τὴν γ'. στιχολ. λέγομεν τὸ παρὸν κάθ. τοῦ κυρίου Θεοδώρου· ἦχος β'.

Ὑπερευλογημένη ὑπάρχεις.

Ὑπερδεδοξασμένη ἡ χάρις τῆς παναγίου νηστείας· διὰ αὐτῆς Ἠλιοῦ ὁ Προφήτης εὑρίσκει ἅρμα πύρινον, καὶ Μωσῆς πλάκας δέχεται· Δανιὴλ τεθαυμάστωται, Ἐλισσαῖος νεκρὸν ἤγειρε. Παῖδες τὸ πῦρ κατέσβεσαν, καὶ πᾶς τις Θεῷ οἰκειοῦται, αὐτῇ ἐνευφωνοῦντες βοήσωμεν· εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

Θεοτ. ἦχος ὁ αὐτός. Τὴν ἄχραντον.

Τὴν ἄμαχον πρεσβείαν σου κεκτημένος ἐν θλίψεσι, λυτρωθείην τῶν θλιβόντων με παρ' ἐλπίδα θαυμαστῶς, ὦ Μῆτερ Θεοῦ· προεφθάνεις γὰρ πάντοτε τοῖς αἰτοῦσί σε πιστῶς, καὶ λύεις συνεχόμενα πειρατήρια ἐχθρῶν· ὅθεν εὐχαρίστως βοῶμέν σοι· Δέξαι, Δέσποινα, βραχέα χαριστήρια, ἀνθ' ὧν ὑπάρχεις μοι ἐν πᾶσι Παρθένε βοήθεια.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια τοῦ κυρίου Ἰωσήφ, καὶ στιχολο. ἡ ᾠδή. Ὠδὴ β'. ἦχ. γ'. Ὁ Εἱρμός.

Πρόσεχε γῆ καὶ Οὐρανέ, καὶ ἐνωτίζου τὰ ῥήματά μου· λαλήσω γὰρ τοῖς ἐν γῇ Θεοῦ θαυμάσια.

Ἀδιαλείπτοις προσευχαῖς, καὶ ἐγκρατείᾳ καὶ θεωρίᾳ πτερώσωμεν τὰς ψυχὰς πρὸς θεῖον ἔρωτα.

Τῆς ἀκρασίας τὸν κρημνὸν διεκφυγόντες, θάλπωμεν πάντες τῆς ἐγκρατείας φωτὶ ἐν θείῳ Πνεύματι.

Ἄλατι θείων ἀρετῶν τὴν σηπεδόνα τῆς ἁμαρτίας ἀποβαλοῦσα ψυχή, Θεῷ κολλήθητι.

Θεοτοκίον.

Ἐπανεπαύσατο Χριστὸς ἐν σοὶ τῇ μόνῃ Εὐλογημένῃ, καὶ σάρκα τὴν ἑαυτοῦ ἐκ σοῦ ἐφόρεσε.

Εἱρμὸς ἄλλος, ἦχος. β'.

Πρόσεχε λαός.

Νηστείαν καθαράν, εὐχάς, δάκρυα, μελέτην τῶν θείων, καὶ πᾶσαν ἄλλην ἀρετὴν συμποριζόμενοι τῷ Δεσπότῃ Θεῷ, καὶ νῦν προσοίσωμεν.

Ἡ Εὔα ἀλλοτρία καρποῦ γέγονε, ψυχή μου, βλέπε σὺ μὴ δελεάζου, εἰ προσβάλλει σοι ὁ ὄφις ποτέ, συμβουλεύων, φαγεῖν σε ἡδονῆς τοὺς καρπούς.

Δόξα.

Τὰ τρία τῆς μιᾶς μορφῆς Πρόσωπα δοξάζω, Πατέρα, Υἱόν, καὶ Πνεῦμα· ἓν τὸ κράτος τῆς Θεότητος, Βασιλείαν ἁπάντων καὶ Θεότητα.

Καὶ νῦν.

Ὁ Τόκος σου, Ἁγνή, φρικτὸς πέφυκε. Θεὸς γὰρ ὑπάρχει ἐνανθρωπήσας, ὁ ἄναρχος ἐκ Πατρὸς γεννηθείς, καὶ ἐκ σοῦ ἐπ' ἐσχάτων πλὴν ἀνδρὸς κυηθείς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Αἱμόρρουν ἐπαφῇ τοῦ κρασπέδου σου, ἰάσω Χριστέ μου· κἀμὲ ἐν πίστει τοῦ ἐλέους σου ἀπολλύμενον ὑγιῆ ἐκ παθῶν ἀποκατάστησον.

Ὁ Εἱρ-

Digitized by Google

Ὁ Εἱρμός.

Προσέχετε λαοὶ τὰ τεράστια τῶν ἔργων τῆς θείας μου δυναστείας· καὶ ἐν τούτῳ ἐπιγνώσεσθε, „ ὅτι μόνος ἐγώ εἰμι Θεὸς τοῦ παντός.

Ὠδὴ η΄. Τὸν ὑπ' Ἀγγέλων ᾆσι.

Ἐν ἀποκρύφῳ ἐνεδρεύων καθ' ἡμέραν ὁ παμπόνηρος, ἐπιζητεῖ με συλλαβεῖν, καὶ κατάβρωμα ποιήσασθαι· αὐτός με τῆς κακίας ῥῦσαι Σωτὴρ ὁ σώσας τὸν Ἰωνᾶν ἐκ τοῦ κήτους.

Διὰ νηστείας καθαιρόμενοι ἀρετῶν ὄρει προσέλθωμεν, καὶ ἀκουσώμεθα σαφῶς τί λαλήσει ἐν ἡμῖν ὁ Θεός· λαλήσει γὰρ εἰρήνην, καὶ φωτισμόν, καὶ ἴασιν ψυχικῶν συντριμμάτων.

Ἁμαρτημάτων ἀμαυρώσει καθ' ἑκάστην ἐκτυφλούμενος, ἀδυνατῶ κατανοεῖν τὰ θαυμάσιά σου Κύριε· διό μου τῆς καρδίας τοὺς ὀφθαλμοὺς διάνοιξον, Ἰησοῦ φωτοδότα.

Θεοτοκίον.

Τῶν οἰκτιρμῶν σου ταῖς ῥανίσιν, Ἀειπάρθενε Ὀμόλυντε, τοὺς μολυσμοὺς τοὺς ἐμπαθεῖς τῆς καρδίας μου ἀπόπλυνον, δακρύων ὀχετούς μοι παρεκτικοὺς καθάρσεως ψυχικῆς δωρουμένη.

Εἱρμὸς ἄλλος. Τὸν πάλαι δροσί.

Τὸ πῦρ οὐ σβεσθήσεται, καὶ ὁ σκώληξ, φησίν, οὐ τελευτᾷ· φοβοῦ τὴν ἀπείλησιν, ὦ ψυχή μου, θεραπεύουσα Χριστὸν, ἵνα εὕρῃς ἀπόλαυσιν, ἔνθα πάντων τῶν εὐφραινομένων ἐστὶν ἡ κατοικία.

Τῇ καύσει πυρέξασαν ψυχήν μου τῶν ἐπιθυμιῶν ἀνάστησον, δέομαι, δι' ἀφῆς σου, ὡς τὴν τοῦ Πέτρου πενθεράν· ἵνα εὕρῃ δουλεῦσαί σοι, εὐαρέστως ἀνθομολογοῦσα εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ Ἅγιον Πνεῦμα.

Ἀΐδιον, ἄναρχον τὸν Πατέρα ὑμνήσωμεν πιστοί· Υἱὸν δὲ συνάναρχον, καὶ τὸ Πνεῦμα συνεκλάμψαν ἐκ Πατρὸς· ὁμοούσια Πρόσωπα, μιᾶς ὄντα τῆς παντοδυνάμου Ἀρχῆς, καὶ Ἐξουσίας.

Καὶ νῦν.

Μαρία Θεόκλητε, ἱλαστήριον ὄντως τῶν πιστῶν· ἐκ σοῦ γὰρ ἡ ἄφεσις παρέχεται τοῖς πᾶσι δαψιλῶς· τὸν Υἱόν σου καὶ Κύριον μὴ ἐλλίπῃς εὐμενιζομένη ὑπὲρ τῶν σε ὑμνούντων.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τὰ ὦτα διάνοιξον τῆς ψυχῆς μου κωφεύοντα Χριστέ, καὶ γλῶσσάν μου τράνωσον, ὡς τοῦ πάλαι μογγιλάλου καὶ κωφοῦ· ἵνα ἐνωτιζόμενος τῶν φωνῶν σου ψάλλω, καὶ τῇ γλώττῃ αἰνῶ σε εἰς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

Τὸν πάλαι δροσίσαντα τῶν Ἑβραίων τοὺς Παῖδας ἐν φλογί, καὶ φλέξαντα Κύριον „ τοὺς Χαλδαίους παραδόξως ἐν αὐτῇ, ἀνυμνήσω„ μεν λέγοντες· εὐλογεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ θ΄. Σὲ τὴν ἀκα.

Φλόγα τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ νῦν κεκτημένοι, θερμοτάτῳ λογισμῷ τῆς μετανοίας τῷ πυρὶ νῦν προσέλθωμεν, πάθη φλογίζοντες.

Στόματος νηστεύοντος πάλαι πυρακτούμενος λόγος ἐξελθὼν ζηλωτικῶς κλονεῖ στοιχεῖα· τοῦτον ζήλου ψυχὴ, καὶ καλῶς πορεύθητι.

Βῆμα τὸ φρικτὸν ἐννοοῦσα, παναθλία ψυχή μου, τὰς πορείας σου ἀεὶ πρὸς θελημάτων ἀποπλήρωσιν τοῦ Λυτρωτοῦ διευτρέπιζε.

Θεοτοκίον.

Τὴν ἐσκοτισμένην ψυχήν μου ἡδονῶν ἀμαυρώσει φωταγώγησον ἁγνὴ ἡ φῶς τεκοῦσα, ἵνα πίστει ἀεὶ μεγαλύνω σε.

Ἄλλος. Τὴν ὑπερφυῶς.

Μέλος πᾶν ἡμῶν σαρκὸς παραστήσωμεν Χριστῷ ὅπλα δικαιοσύνης, χεῖρας, φησὶν, αἴροντες ὁσίας, χωρὶς ὀργῆς, καὶ τῶν διαλογισμῶν.

Σύ ποτε τοὺς Μαθητὰς ἐν τῷ πλοίῳ ἐπιστὰς, κατέπαυσας, Χριστέ μου, μαινομένην θάλασσαν· κἀμοῦ τὰς τρικυμίας κόπασον τῶν λογισμῶν.

Δόξα.

Μίαν Φύσιν προσκυνῶ, τρία Πρόσωπα ὑμνῶ, ἕνα Θεὸν τῶν ὅλων· τὸν Πατέρα καὶ Υἱὸν, καὶ Πνεῦμα τὸ Ἅγιον, τὴν ἀΐδιον Ἀρχήν.

Καὶ νῦν.

Ἡ Ἁγνὴ παιδοποιεῖς, ἡ Παρθένος γαλουχεῖς· πῶς ἐν ταυτῷ τὰ δύο, παρθενεύεις τίκτουσα; Θεὸς ἐστὶν ὁ δράσας, μὴ ἐκζήτει μοι τὸ πῶς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἐκ λῃστείας μου παθῶν μιανθεῖσαν τὴν ψυχὴν θεράπευσον Χριστέ μου, χέων σου τὸ ἔλεος ὡς τὸν περιπεσόντα ὑπὸ χεῖρας τῶν λῃστῶν.

Ὁ Εἱρμός.

Τὴν ὑπερφυῶς σαρκὶ συλλαβοῦσαν ἐν γαστρὶ τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμ„ ψαντα Λόγον ἐν ὕμνοις ἀσιγήτοις, μεγαλύνω„ μεν πιστοί.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας, ἦχος βαρύς. Δίς.

Τὴν τετραυματισμένην μου ψυχὴν, καὶ τεταπεινωμένην ἐπίσκεψαι Κύριε, ἴασαι τῶν νοσούντων, καὶ τῶν ἀπηλπισμένων λιμὴν ἀχείμαστε· σὺ γὰρ εἶ ὁ ἐλθὼν Λυτρωτὴς τοῦ Κόσμου, ἐγεῖραι ἐκ φθορᾶς τὸν παραπεσόντα· κἀμὲ προσπίπτοντα ἀνάστησον διὰ τὸ μέγα σου ἔλεος.

Μαρτ.

Ἐν μέσῳ τοῦ σταδίου τῶν παρανόμων ἀγαλλόμενοι ἀνεβόων οἱ ἀθλοφόροι, Κύριε δόξα σοι.

Δόξα. Καὶ νῦν, Θεοτοκίον ἦχος ὁ αὐτός.

Ὑμνοῦμέν σε πανάχραντε Θεοτόκε, καὶ δοξάζομεν ὃν ἐκύησας Θεὸν Λόγον, κράζοντες, δόξα σοι.

Εἰς

Εἰς τὴν Τριθέκτην, τροπάριον τῆς Προφητείας, ἦχος γ'.

Ἀντιλήπτωρ ἡμῶν ὁ Θεὸς Ἰακὼβ, καὶ ὑπερασπιστὴς ἐστὶν, ἐν ἡμέρᾳ θλίψεως.

Προκείμενον Ψαλμὸς πζ'. ἦχος πλ. β'.

Πτωχός εἰμι ἐγὼ, καὶ ἐν κόποις ἐν νεότητι.

Στίχ. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. Τίνι ὡμοιώσατε Κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτὸν; ὁμοίωμα κατεσκεύασεν αὐτὸν; ξύλον γὰρ ἄσηπτον ἐκλέγεται τέκτων, καὶ σοφῶς ζητήσει πῶς στήσει εἰκόνα αὐτοῦ, καὶ ἵνα μὴ σαλεύηται· οὐ γνώσεσθε; οὐκ ἀκούσεσθε; οὐκ ἀνηγγέλλη ἐξ ἀρχῆς ὑμῖν; οὐκ ἔγνωτε τὰ θεμέλια τῆς γῆς; ὁ κατέχων τὸν γῦρον τῆς γῆς· καὶ οἱ ἐνοικοῦντες ἐν αὐτῇ ὡς ἀκρίδες· ὁ στήσας ὡς καμάραν τὸν Οὐρανὸν, καὶ διατείνας ὡς σκηνὴν κατοικεῖν, ὁ διδοὺς ἄρχοντας ὡς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησεν· οὐ γὰρ μὴ φυτεύσωσιν, οὐδὲ μὴ σπείρωσιν, οὐδὲ μὴ ῥιζωθῇ εἰς τὴν γῆν ἡ ῥίζα αὐτῶν· ἔπνευσεν ἐπ' αὐτοὺς, καὶ ἐξηράνθησαν, καὶ καταιγὶς ὡς φρύγανα λήψεται αὐτούς. Νῦν οὖν τίνι με ὡμοιώσατε, καὶ ὑψωθήσομαι; εἶπεν ὁ Ἅγιος· ἀναβλέψατε εἰς τὸ ὕψος τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ ἴδετε τίς, κατέδειξε ταῦτα πάντα; ὁ ἐκφέρων κατ' ἀριθμὸν τὸν Κόσμον αὐτοῦ, πάντας ἐπ' ὀνόματι καλέσει ἀπὸ πολλῆς δόξης, καὶ ἐν κράτει ἰσχύος αὐτοῦ οὐδέν σε ἔλαθε· μὴ γὰρ εἴπῃς Ἰακὼβ, καὶ τί ἐλάλησας Ἰσραήλ; ἀπεκρύβη ἡ ὁδός μου ἀπὸ τοῦ Θεοῦ, καὶ ὁ Θεός μου τὴν κρίσιν ἀφεῖλε, καὶ ἀπέστη· καὶ νῦν οὐκ ἔγνως, εἰ μὴ ἤκουσας Θεὸς αἰώνιος, ὁ Θεὸς ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει, οὐδὲ κοπιάσει, οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ· διδοὺς τοῖς πεινῶσιν ἰσχὺν, καὶ τοῖς μὴ ὀδυνωμένοις λύπην· πεινάσουσι γὰρ νεώτεροι, καὶ κοπιάσουσι νεανίσκοι· καὶ ἐκλεκτοὶ ἀνίσχυες ἔσονται· οἱ δὲ ὑπομένοντες τὸν Θεὸν, ἀλλάξουσιν ἰσχύν.

Προκείμενον Ψαλμὸς πη'. ἦχος πλ. β'.

Μακάριος ὁ λαὸς ὁ γινώσκων.

Στίχ. Κύριε ἐν τῷ φωτὶ τοῦ προσώπου σου.

Τῇ γ'. τῆς ε'. Ἑβδομάδος Ἑσπέρας στιχολογοῦμεν ἀντὶ τῶν πρὸς Κύριον τὸ ἐνορδίνου κάθισμα τοῦ Ψαλτηρίου. Εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ϛ'. καὶ ψάλλομεν στιχηρ. προσόμοια τοῦ Τριῳδίου γ'. καὶ τοῦ Μηναίου γ'. τὰ προσόμοια τοῦ Κυρίου Ἰωσὴφ, ἦχ. πλ. δ'. Τί ὑμᾶς καλέ.

Βρῶμα τὴν ἀγάπην ποιούμενοι, ἐγκρατείᾳ τῶν παθῶν κατακρατήσωμεν πιστοί· καὶ Θεῷ τῷ δι' ἡμᾶς ἀνυψωθέντι ἐν Σταυρῷ· καὶ λόγχῃ κεντηθέντι τὴν πλευρὰν αὐτοῦ, βιῶσαι εὐαρέστως ἐπειχθείημεν, ἵνα τρυφῆς ἀπολαύσωμεν αἰωνιζούσης, καὶ κρείττονος, δοξάζοντες τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ὅμοιον

Ξύλῳ πάλαι θάνατον εὕρομεν, νῦν δὲ πάλιν τὴν ζωὴν διὰ τοῦ ξύλου τοῦ Σταυροῦ· τῶν παθῶν οὖν τὰς ὁρμὰς ἀπονεκρώσωμεν πιστοί· καὶ φθάσαι τὴν σωτήριον Ἀνάστασιν· τὸν πάντων εὐεργέτην δυσωπήσωμεν, πράξεσι θείαις λαμπόμενοι, καὶ ἀρεταῖς καλλυνόμενοι, δοξάζοντες τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Ἕτερον στιχηρ. προσόμοιον τοῦ Κυρίου Θεοδώρου ἦχ. β'. Τῶν ὑπὲρ νοῦν ἀγαθῶν.

Τὸν ζωηφόρον Σταυρὸν αἰνοῦμέν σου Κύριε, καὶ τὰ καθ' ἡμᾶς ἱερὰ τῆς σαρκός σου παθήματα, τὴν λόγχην τε, τὴν σφαγὴν, τοὺς γέλωτας, τοὺς ἐμπτυσμοὺς, τὰ ῥαπίσματα, καὶ τὰ κολαφίσματα, σὺν τῇ πορφύρᾳ καὶ τὸ στέφος τὸ ἀκανθόπλεκτον· ἐν οἷς ἐκ τῆς κατάρας πάντας ἐκλυτρωσάμενος ἔσωσας ἡμᾶς· διὸ δυσωποῦμέν σε, τῆς νηστείας τὸν χρόνον εἰρηνικῶς τελέσαι, παράσχου ἡμῖν.

Ἑσπέρας Προκείμενον Ψαλμὸς πθ'. ἦχος δ'.

Κύριε καταφυγὴ ἐγενήθης ἡμῖν.

Στίχ. Πρὸ τοῦ ὄρη γεννηθῆναι, καὶ πλασθῆναι.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἄβραμ ἐν ὁράματι, λέγων· μὴ φοβοῦ Ἄβραμ· ἐγὼ ὑπερασπίζω σου, ὁ μισθός σου πολὺς ἔσται σφόδρα· λέγει δὲ Ἄβραμ. Δέσποτα Κύριε τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος· ὁ δὲ υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου, οὗτος δαμασκὸς Ἐλιέζερ, καὶ εἶπεν Ἄβραμ· ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει με, καὶ εὐθὺς φωνὴ Κυρίου ἐγένετο πρὸς αὐτὸν, λέγουσα· οὐ κληρονομήσει σε οὗτος, ἀλλ' ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει σε, ἐξήγαγε δὲ αὐτὸν ἔξω, καὶ εἶπεν αὐτῷ· ἀνάβλεψον δὴ εἰς τὸν Οὐρανὸν, καὶ ἀρίθμησον τοὺς Ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς· καὶ εἶπεν, οὕτως ἔσται τὸ σπέρμα σου, καὶ ἐπίστευσεν Ἄβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην· εἶπε δὲ πρὸς αὐτὸν, ἐγὼ ὁ Θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι· εἶπε δέ. Δέσποτα Κύριε κατὰ τί γνώσομαι, ὅτι κληρονομήσω αὐτήν; εἶπε δὲ αὐτῷ· λάβε μοι δάμαλιν τριετίζουσαν, καὶ αἶγα τριετίζουσαν, καὶ κριὸν τριετίζοντα, καὶ τρυγόνα, καὶ περιστεράν· ἔλαβε δὲ αὐτῷ πάντα ταῦτα, καὶ διεῖλεν αὐτὰ μέσα, καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσωπα

ναντία ἀλλήλοις· τὰ δὲ ὄρνεα οὐ διεῖλε· κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα, ἐπὶ τὰ διχοτομήματα αὐτῶν, καὶ συνεκάθισεν αὐτοῖς Ἄβραμ· περὶ δὲ Ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἄβραμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ, καὶ ἐρρέθη πρὸς Ἄβραμ· γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ· καὶ δουλώσουσιν αὐτοὺς, καὶ κακώσουσιν αὐτοὺς, καὶ ταπεινώσουσιν αὐτοὺς τετρακόσια ἔτη, τὸ δὲ ἔθνος ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς, σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, ταφεὶς ἐν γήρᾳ καλῷ.

Προκείμενον Ψαλμὸς ϟ΄. ἦχος πλ. α΄.

Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ Ὑψίστου.

Στίχ. Ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ μου εἶ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΧΕίλη σοφῶν δέδεται αἰσθήσει, καρδίαι δὲ ἀφρόνων οὐκ ἀσφαλεῖς· θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, εὐχαὶ δὲ κατευθυνόντων δεκταὶ παρ᾽ αὐτῷ· βδέλυγμα Κυρίῳ ὁδοὶ ἀσεβοῦς, διώκοντας δὲ δικαιοσύνην ἀγαπᾷ· παιδεία ἀκάκου γνωρίζεται ὑπὸ τῶν παριόντων, οἱ δὲ μισοῦντες ἐλέγχους τελευτῶσιν αἰσχρῶς. Ἅδης καὶ ἀπώλεια φανερὰ παρὰ τῷ Κυρίῳ, πῶς οὐχὶ καὶ αἱ καρδίαι τῶν ἀνθρώπων; οὐκ ἀγαπήσει ἀπαίδευτος τοὺς ἐλέγχοντας αὐτόν· μετὰ δὲ σοφῶν οὐχ ὁμιλήσει· καρδίας εὐφραινομένης πρόσωπον θάλλει, ἐν δὲ λύπαις οὔσης σκυθρωπάζει· καρδία ὀρθὴ ζητεῖ αἴσθησιν, στόμα δὲ ἀπαιδεύτων γνώσεται κακά· πάντα τὸν χρόνον οἱ ὀφθαλμοὶ τῶν κακῶν προσδέχονται κακὰ, οἱ δὲ ἀγαθοὶ ἡσυχάζουσι διὰ παντός· κρεῖσσον μικρὰ μερὶς μετὰ φόβου Κυρίου, ἢ θησαυροὶ μεγάλοι μετὰ ἀφοβίας· κρείσσων ξενισμὸς μετὰ λαχάνων πρὸς φιλίαν καὶ χάριν, ἢ παράθεσις μόσχων μετ᾽ ἔχθρας· ἀνὴρ θυμώδης παρασκευάζει μάχας, μακρόθυμος δὲ καὶ τὴν μέλλουσαν καταπραΰνει· μακρόθυμος ἀνὴρ κατασβέσει κρίσεις, ὁ δὲ ἀσεβὴς ἐγείρει μᾶλλον· ὁδοὶ ἀέργων ἐστρωμέναι ἀκάνθαις, αἱ δὲ τῶν ἀνδρείων τετριμμέναι.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. ἦχ. πλ. α΄. Ἅπαξ.

ἘΞωστρακισθεὶς τῆς εὐθείας ὁδοῦ σου ὑπὸ παθῶν ὁ δύστηνος κατεκρημνίσθην εἰς βάραθρον. Λῃσταῖς δὲ σὺν Ἱερεῖ ἀθροισθέντες ἀπηξίωσαν· σὺ δὲ Χριστέ με ἠλέησας· καὶ τῷ ὅπλῳ τῷ τοῦ Σταυροῦ τῆς ἁμαρτίας τὸ ἔγγραφον διαρρήξας, τῇ ἀπαθείᾳ ἐλάμπρυνας, καὶ τῷ Πατρὶ σύνεδρόν με πεποίηκας· ὅθεν κραυγάζω, ἀκατάληπτε Κύριε, δόξα σοι.

Ἕτερον· ἦχος πλ. δ΄.

ἘΞ Ἱερουσαλὴμ κατέβην ἀπολισθήσας τῶν ἐν αὐτῇ τοῖς ἔθνεσι γραφέντων ἐνταλμάτων σου· εἰς Ἱεριχὼ δὲ πορευόμενος, τῇ πρὸς μιμήσει ὁρμῇ τῶν ἐν αὐτῇ πάλαι διὰ κακίαν ὑπὸ σοῦ πρὸς φόνον ἐκδοθέντων τῷ λαῷ σου, διὰ τῆς παρακοῆς ψυχοφθόροις ἐνέτυχον πάθεσιν· ὡς λῃσταῖς ὑφ᾽ ὧν πληγέντα, καὶ παραβραχὺ θανατωθέντα, ὁ τοῖς ἥλοις, καὶ τῇ λόγχῃ τὸ σῶμα τραυματισθεὶς ἑκουσίως διὰ ἁμαρτίας ἀνθρώπων· καὶ τὴν κοινὴν τελέσας διὰ Σταυροῦ σωτηρίαν ἐν Ἱερουσαλὴμ, ἴασαί με Κύριε, καὶ σῶσόν με.

Μαρτυρικόν.

ΟἹ Μάρτυρές σου Κύριε ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων διὰ τὴν μέλλουσαν ζωὴν, ταύτης κληρονόμοι ἀνεδείχθησαν, ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

ΚΎριε, ὅτε σε ὁ Ἥλιος εἶδεν ἐπὶ τοῦ ξύλου κρεμάμενον, Ἥλιε τῆς Δικαιοσύνης, τὰς ἀκτῖνας ἐναπέκρυψε· καὶ ἡ Σελήνη τὸ φῶς εἰς σκότος μετέβαλε· ἡ δὲ πανάμωμός σου Μήτηρ τὰ σπλάγχνα διετέτρωτο.

Τῇ δ΄. τῆς ε΄. Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ Τριαδικά· μετὰ τὴν α΄. στιχολ. καθίσ. σταυρώσιμα τῆς Ὀκτωήχου δύο μετὰ σταυροθεοτοκίου· μετὰ δὲ τὴν β΄. στιχολ. λεγόμενον τὸ παρὸν κάθ. τοῦ Κυρίου Ἰωσήφ· ἦχος πλ. δ΄. Τὸ προσταχθέν.

ΞΎλου γευσάμενος Ἀδὰμ μὴ προσηκόντως, τῆς ἀκρασίας τοὺς καρποὺς πικρῶς ἐτρύγησεν· ὑψωθεὶς δὲ ἐν ξύλῳ, τοῦτον ἐλυτρώσω, Οἰκτίρμον, τῆς καταδίκης τῆς χαλεπῆς· διό σοι ἀναβοῶμεν, δίδου ἡμῖν ἐγκρατεύεσθαι, Δέσποτα, ἀπὸ καρποῦ φθοροποιοῦ, καὶ πράττειν σου τὸ θέλημα, ὅπως εὕρωμεν ἔλεος.

Σταυροθεοτ. Ὅμοιον.

ΤΟν ἐξ αἱμάτων σου ἁγνῶν σωματωθέντα, καὶ ὑπὲρ ἔννοιαν ἐκ σοῦ, σεμνὴ, τεχθέντα, ἐπὶ ξύλου κρεμάμενον μέσον τῶν κακούργων ὁρῶσα, τὰ σπλάγχνα ἤλγεις, καὶ μητρικῶς θρηνοῦσα, ἐβόας, οἴμοι Τέκνον ἐμὸν, τίς ἡ θεία, καὶ ἄφατος οἰκονομία σου, δι᾽ ἧς ἐζώωσας τὸ πλάσμα σου; ἀνυμνῶ σου τὸ εὔσπλαγχνον.

Εἰς τὴν γ΄. στιχολ. λέγομεν τὸ παρὸν κάθ. τοῦ Κυρίου Θεοδώρου, ἦχ. β΄. Τὴν ἄχραντον.

ΤΟ ξύλον τὸ σωτήριον ἀνυμνοῦντες τοῦ Σταυροῦ, τὴν ἄκραν ἀγαθότητα προσκυνοῦμέν σου ἀεὶ, Χριστὲ ὁ Θεὸς, ἐν τούτῳ γὰρ κατήργησας τὰς δυνάμεις τοῦ ἐχθροῦ, καὶ ἔδωκας σημείωσιν τοῖς πιστεύουσιν εἰς σέ· ὅθεν εὐχαρίστως βοῶμεν σοι· πάντας ἀξίωσον εὐθύμως εἰρηνεύοντας ἀποπληρῶσαι τῆς νηστείας τὸν χρόνον.

Σταυροθεοτοκίον Ὅμοιον.

ΤΟ'ν ἄμωμον Ποιμένα σε καθορῶσα ἡ Ἀμνὰς ἐν ξύλῳ ἀναρτώμενον, θρηνῳδοῦσα μητρικῶς ἐβόα, θανάτῳ σε, Υἱὲ, κατέκρινεν ὁ ἀχάριστος λαὸς, ἀνθ' ὧν νεφέλην ἥπλωσας εἰς διάβασιν αὐτῶν· οἴμοι ἀτεκνοῦμαι ἡ ἄνανδρος· ἀλλ' ἐξανάστηθι, καὶ λάμψον Ἥλιε, καὶ δοξασθήσομαι ἐν τοῖς υἱοῖς τῶν γηγενῶν.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ παρόντα Τριῴδια τοῦ Κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή· ᾠδὴ γ'. ἦχος πλ. δ'.

Οὐρανίας ἁψῖδος.

ΚΑτακείνας τὴν ἔχθραν, ἐν τῷ Σταυρῷ ἐτείνας σου Δικαιοκρῖτα παλάμας, νῦν δὲ κατάκριτον ὄντα με πταίσμασι σῶσον τὸν ἄσωτον, Σῶτερ, τὸν παραπικράναντά σε τὸν μακρόθυμον.

ΤΗ'ν κτηνώδη ποθήσας παθοποιὸν βίωσιν, σοῦ τῶν ἐντολῶν ἐμακρύνθην, Σῶτερ πανάγαθε, ξένοις δουλεύων, καὶ ἀκαθάρτοις πολίταις, νῦν δὲ ἐπιστρέφοντα δέξαι, καὶ σῶσόν με.

ΜΟγιλάλου ὡς πάλαι τὰς ἀκοὰς ἤνοιξας, ἄνοιξον ψυχῆς μου τὰ ὦτα γνώμῃ κωφεύοντα, καὶ ἐνωτίζεσθαι σοῦ τὸν σωτήριον λόγον, Ἰησοῦ, ἀξίωσον, μόνε φιλάνθρωπε.

Θεοτοκίον.

Η' Σωτήριος πύλη, ἡ πρὸς Θεὸν γέφυρα, τῶν χριστιανῶν ἡ προστάτις, πάναγνε Δέσποινα, περιστατούμενον ταῖς συμφοραῖς με τοῦ βίου, καὶ κλυδωνιζόμενον, Κόρη, κυβέρνησον.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου ἦχος β'.

Στερεωθέντα μου τὸν νοῦν.

ΔΙὰ σπλάγχνα οἰκτιρμῶν ἀνελθὼν ἐν τῷ Σταυρῷ, ἀνείλκυσάς με ἐκ βαράθρων παθῶν, καὶ ἀνύψωσας Χριστὲ εἰς τὰ οὐράνια.

Ε'Κπετάσας ἐν Σταυρῷ τὰς παλάμας σου Χριστὲ, τὰ ἔθνη πάντα, τὰ μακρὰν ἀπὸ σοῦ ἠγκαλίσω, κατεγγὺς στῆναι τοῦ κράτους σου.

Δόξα.

ΤΡισυπόστατε Μονὰς, ὑπερούσιε Τριὰς, Θεότης μία· ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα τὸ εὐθὲς, σῶζε τοὺς σέβοντάς σε.

Θεοτοκίον.

ΤΙ'ς αἰνεῖν σε γηγενῶν κατ' ἀξίαν ἱκανοὶ, Παρθενομῆτορ; σὺ γὰρ ἐν γυναιξὶ μόνη ὤφθης ἐκλεκτὴ, καὶ παμμακάριστος.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Α'Νυψώθης ἐν Σταυρῷ, ἐλογχεύθης τὴν πλευρὰν, χολῆς ἐγεύσω δι' ἐμὲ, Ἰησοῦ, τὸν ἐκ τῆς παρακοῆς παραπικράναντα.

Ὁ Εἱρμός.

ΣΤερεωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

ᾨδὴ η'. Ἑπταπλασίως.

ΤΩ̃ ἀκοιμήτῳ ὄμματι ἐπιβλέψας με οἰκτειρον τῷ τῆς ῥαθυμίας νυσταγμῷ κρατούμενον, καὶ ὕπνῳ δουλεύοντα τῶν ἡδονῶν ἐν κλίνῃ παθῶν· ὁ ἐπὶ Σταυροῦ τὴν κεφαλὴν σου προσκλίνας· καὶ θέλων ἀφυπνώσας, καὶ τὴν νύκτα μειώσας, Χριστὲ, τῆς ἁμαρτίας, φῶς ὢν δικαιοσύνης.

ΠΛουτοποιοῖς χαρίσμασι κοσμηθεὶς ἐκ βαπτίσματος, μᾶλλον τὴν πενίαν τῶν κακῶν ἠγάπησα, καὶ ξένος γεγένημαι τῶν ἀρετῶν ὁ τάλας ἐγὼ, χώραν εἰς μακρὰν ἀποδημήσας κακίας· διό με ἐπιστρέψαντα ἐναγκάλισαι Σῶτερ, τῷ σῷ Σταυρῷ τειχίζων εἰς πάντας τοὺς αἰῶνας.

ΜΕ'θην παθῶν ἀπόρριψον, καὶ δακρύων ἐκζήτησον τὸν καθαρτικὸν διὰ νηστείας οἶνον, ψυχὴ, καρδίαν εὐφραίνοντα, καὶ ἡδονὰς μαραίνοντα, καὶ τὰς τῆς σαρκὸς ἀποτεφροῦντα καμίνους, καὶ σπεῦσον τῷ παθόντι διὰ σὲ ἐπὶ ξύλου Χριστῷ συσταυρωθῆναι, καὶ ζῆσαι εἰς αἰῶνας.

Θεοτοκίον.

ΘΕογεννῆτορ πάναγνε, τῆς ψυχῆς μου τὰ τραύματα, καὶ τῆς ἁμαρτίας τὰς οὐλὰς ἐξάλειψον, πηγαῖς ἀποσμήχουσα ταῖς ἐκ πλευρᾶς τοῦ τόκου σου, καὶ τοῖς ἐξ αὐτῆς ἀποκαθαίρουσα ῥείθροις· πρὸς σὲ γὰρ ἀνακράζω, καὶ πρὸς σὲ καταφεύγω· καὶ σὲ ἐπικαλοῦμαι τὴν Κεχαριτωμένην.

Εἱρμὸς ἄλλος. Τὸν ἐν φωναῖς ἀγγε.

ΤΟ'ν σταυρωθέντα σαρκικῶς, καὶ θεϊκῶς μὴ παθόντα Ἰησοῦν ὑμνοῦσιν οἱ Ἄγγελοι, καὶ ἡμεῖς οἱ γηγενεῖς εἰς τοὺς αἰῶνας ἅπαντας.

Ε'Ν τῇ σταυρώσει σου Χριστὲ, τὸν ἐπονείδιστον θάνατον ἑλὼν τὸν ἐπικατάρατον, ἔσωσας ἡμᾶς φθορᾶς ἐκλυτρωσάμενος.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΧΕρουβικῶς σε, ὦ Τριὰς, Ἅγιος, Ἅγιος, Ἅγιος, ὑμνῶ τὴν μίαν Θεότητα, ἄναρχον, ἁπλῆν, καὶ πᾶσιν ἀκατάληπτον.

Καὶ νῦν.

ΤΟῖς ἐγκωμίοις σε, ἁγνὴ, λαμπρῶς γεραίρουσι πᾶσαι αἱ γενεαὶ, τὸν Κτίστην γὰρ τέτοκας· ὢ θαῦμα φρικτὸν, ἔργον παμμακάριστον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΠΑ'ντα ὑπήνεγκας παθεῖν ὑπὲρ ἑνὸς, τοῦ σωθῆναι με Χριστέ· ὑμνῶ σου τὴν σταύρωσιν, τοὺς ἥλους, καὶ τὴν σφαγὴν, εἰς τοὺς αἰῶνας ἅπαντας.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

ΤΟ'ν ἐν φωναῖς ἀγγελικαῖς ἐν Οὐρανοῖς δοξαζόμενον Θεὸν αἰνέσωμεν ἅπαντες οἱ γηγενεῖς εἰς τοὺς αἰῶνας ἅπαντας.

ᾨδὴ

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τούτῳ.

Ὁρῶν σε ἡπλωμένον ἐπὶ Σταυροῦ, τὰς ἀκτῖνας συνέστειλεν Ἥλιος, πᾶσα δὲ γῆ τρόμῳ ἐκλονεῖτο, Παμβασιλεῦ, ἐθελουσίως βλέπουσα πάσχοντα τὸν φύσει σε ἀπαθῆ· διό σε ἱκετεύω, τὰ πάθη τῆς ψυχῆς μου, ὡς ἰατρὸς, Χριστὲ, θεράπευσον.

Ὁδοὺς σωτηριώδεις καταλιπὼν, τὰς εἰς Ἅδην φερούσας διώδευσα, σκότος βαθὺ ἔχων περικύκλῳ τὰς ἡδονὰς, καὶ τῶν παθῶν τὸν ὄλισθον, καὶ τὴν καταιγίδα τῶν πειρασμῶν· διό σε ἱκετεύω, τῷ σῷ Σταυρῷ με σῶσον, Χριστὲ, ὡς μόνος πολυέλεος.

Χειμῶσι συνεχόμενος πειρασμῶν, καὶ παθῶν τρικυμίαις ποντούμενος, καὶ ἡδονῶν σάλῳ χειμαζόμενος χαλεπῶς, τὸ τῆς νηστείας πέλαγος ἔφθασα τὸ πρᾶον, καὶ γαλήνιον· ἐν ᾧ με κυβερνήσας τῷ σῷ Σταυρῷ, Οἰκτίρμον, πρὸς σωτηρίαν ἐγκαθόρμισον.

Θεοτοκίον.

Συνέλαβες, Παρθένε, δίχα σπορᾶς τὸν τὰ σύμπαντα δημιουργήσαντα Λόγον Θεοῦ, ἄνευ θελημάτων τῶν τῆς σαρκός· ἄνευ φθορᾶς δὲ τέτοκας, ἄνευθεν ὠδίνων τῶν μητρικῶν, διό σε Θεοτόκον, καὶ γλώσσῃ, καὶ καρδίᾳ ὁμολογοῦντες μεγαλύνομεν.

Ἄλλος. Τὴν παρθενίαν σου.

Ἑκὼν ὑπέμεινας σταυρωθῆναι, Σωτὴρ ἡμῶν, ἵνα παράσχῃς πᾶσι ζωὴν, τοῦ θανάτου ἐκλυτρωσάμενος.

Ξύλῳ νενέκρωμαι, καὶ Σταυροῦ ξύλῳ ἔζησα· ἐν ᾧ ὁ Χριστός μου προσηλωθεὶς, τὸν ἐχθρόν μου ἐθανάτωσε.

Δόξα.

Ὡς συνυπάρχοντα τὸν Υἱὸν τῷ Γεννήτορι, καὶ Πνεῦμα τὸ Ἅγιον συμπαρὸν ὁμοφρόνως προσκυνήσωμεν.

Θεοτοκίον.

Θαῦμα παράδοξον, καὶ ἐξαίσιον ἄκουσμα, πῶς καὶ ὡς Μήτηρ τίκτεις ἁγνὴ, καὶ οὐκ ἔγνως ὡς Παρθένος φθοράν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὑμνῶ τὴν λόγχην σου, ἀνυμνῶ καὶ τοὺς ἥλους σου, τὸν σπόγγον, τὸν κάλαμον, τὸν Σταυρὸν, δι᾽ ὧν σέσωσμαι, Ἰησοῦ ὁ Θεός.

Ὁ Εἱρμός.

Τὴν παρθενίαν σου, Θεοτόκε ἀμίαντε, ἣν οὐ κατέφλεξε τὸ πῦρ τῆς Θεότητος, ὕμνοις ἀσιγήτοις μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. ἦχος γ'. δίς.

Τὸ ὕψος τῶν ἀρετῶν καταλιποῦσα ψυχή μου, ἐπὶ τὸ βάθος τῆς ἁμαρτίας κατελήλυθας, πονηροῖς ὁδοστάταις ἐμπεσοῦσα· τραυμάτων δὲ ὀδωδότων γέμουσα, κεῖσαι ἐρριμμένη ἄπορος· διὸ βόησον Χριστῷ τῷ Θεῷ, τῷ διὰ σὲ σταυρωθέντι, καὶ μώλωπας ἑκουσίως δεξαμένῳ· ἐπιμελήθητί μου, Κύριε, καὶ σῶσόν με.

Ἕτερον ἦχος πλ. δ'.

Τοῖς λῃστρικοῖς λογισμοῖς τραυματισθεὶς ὁ δείλαιος, ἡμίθνητος γέγονα, Κύριε· Προφητῶν δὲ ὁ χορὸς παρεῖδεν ἡμιθανῆ κατιδὼν τυγχάνοντα, καὶ τέχναις ἀνθρωπίναις ἀνίατον· διὸ χαλεπῶς ὀδυνώμενος, ἐν ταπεινώσει καρδίας κραυγάζω σοι· Χριστὲ ὁ Θεὸς, ἐπίχεε ὡς εὔσπλαγχνος ἐπ᾽ ἐμὲ τὸ μέγα σου ἔλεος.

Μαρτ.

Μάρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ Σταυροῦ· ἀπελάβετε τὴν χάριν τῆς αἰωνίου ζωῆς. Τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε, βασάνοις αἰκιζόμενοι εὐφραίνεσθε· καὶ γὰρ τὰ αἵματα ὑμῶν γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν· πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, σταυροθεοτοκίον.

Ἡ Πάναγνος ὡς εἶδέ σε σαρκὶ κρεμάμενον τῷ ξύλῳ, τὴν καρδίαν ἐτιτρώσκετο, καὶ ὠλόλυζε δακρύουσα. Λόγε, ποῦ μου ἔδυς παμφίλτατε Ἰησοῦ, Υἱέ μου, καὶ Κύριε; μὴ λίπῃς με μόνην Χριστὲ, τὴν τεκοῦσάν σε.

Εἰς τὴν Τριτέκτην. Τροπάριον τῆς Προφητείας· ἦχος α'.

Τὰς ἀλγηδόνας τῶν Ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, φιλάνθρωπε, δεόμεθα.

Προκείμενον Ψαλμὸς ϙα'. ἦχος δ'.

Ἀγαθὸν, τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ.

Στίχ. Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Οὕτω λέγει Κύριος, ἐγὼ Θεὸς πρῶτος, καὶ εἰς τὰ ἐπερχόμενα ἐγώ εἰμι· εἴδοσαν ἔθνη καὶ ἐφοβήθησαν, τὰ ἄκρα τῆς γῆς ἤγγισαν, καὶ ἦλθον ἅμα, κρίνων ἕκαστος τῷ πλησίον, καὶ τῷ ἀδελφῷ βοηθῆσαι· καὶ ἐρεῖ, ἴσχυσεν ἀνὴρ τέκτων, καὶ χαλκεὺς τύπτων σφύρῃ, ἅμα ἐλαύνων· ποτὲ μὲν ἐρεῖ, σύμβλημα καλόν ἐστιν· ἰσχύρωσαν αὐτὰ ἐν ἥλοις· θήσουσιν αὐτὰ, καὶ οὐ κινηθήσονται· σὺ δὲ Ἰσραὴλ παῖς μου Ἰακὼβ, καὶ ὃν ἐξελεξάμην σπέρμα Ἀβραὰμ, ὃν ἠγάπησα, οὗ ἀντελαβόμην ἀπ᾽ ἄκρων τῆς γῆς, καὶ ἐκ τῶν σκοπιῶν αὐτῆς ἐκάλεσά σε, καὶ εἶπά σοι, παῖς μου εἶ, ἐξελεξάμην σε, καὶ οὐκ ἐγκατέλιπόν σε, μὴ φοβοῦ, μετὰ σοῦ γάρ εἰμι, μὴ πλανῶ· ἐγὼ γάρ εἰμι ὁ Θεός σου, ὁ ἐνισχύσας σε καὶ ἐβοήθησά σοι, καὶ ἠσφαλισάμην σε τῇ δεξιᾷ τῇ δικαίᾳ μου· ἰδοὺ αἰσχυνθήσονται, καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοί σοι, ἔσονται γὰρ ὡς οὐκ ὄντες· καὶ ἀπολοῦνται πάντες οἱ ἀντίδικοί σου· ζητήσεις αὐτοὺς, καὶ οὐ μὴ εὕρῃς τοὺς ἀνθρώπους, οἳ παροινήσουσιν εἰς σέ· ἔσονται γὰρ ὡς οὐκ ὄντες· καὶ

οὐκ ἔσονται οἱ ἀντιπολεμοῦντές σε· ὅτι ἐγὼ ὁ Θεός σου, ὁ κρατῶν τῆς δεξιᾶς σου, ὁ λέγων σοι, μὴ φοβοῦ Ἰακὼβ ὀλιγοστὸς Ἰσραήλ· ἐγὼ ἐβοήθησά σοι, λέγει ὁ Θεός σου, ὁ λυτρούμενός σε Ἰσραήλ.

Προκείμενον Ψαλμὸς ϙβʹ. ἦχος πλ. βʹ.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.

Στίχ. Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.

Τῇ Τετάρτῃ Ἑσπέρας στιχολογουμένου τὸ πρὸς Κύριον. Εἰς τό, Κύριε ἐκέκραξα· στιχηρὰ Ἰδιόμελον, ὁ λεγόμενον Δίς. Ἀρχόμεθα δὲ στίχ. ἀπὸ τοῦ. Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτοῦ· ἦχος πλ. δʹ.

Τοῖς τῶν ἐμῶν λογισμῶν λῃσταῖς περιπεσών, ἐσυλήθην ὁ τάλας τὸν νοῦν· καὶ δεινῶς πληγωθείς, ὅλην μου τὴν ψυχὴν τετραυμάτισμαι· καὶ ἔνθεν κεῖμαι γυμνὸς ἀρετῶν ἐν τῇ τοῦ βίου ὁδῷ. Ἱερεὺς δὲ ἰδών με τῷ μώλωπι ὀδυνώμενον, διὰ τὸ ἀνίατον παρεωρῶν, οὐκ ἐπιβλέπει με. Λευΐτης δὲ πάλιν μὴ φέρων τὴν ψυχοφθόρον ἀλγηδόνα, καὶ αὐτὸς κατιδών, ἀντιπαρῆλθέ μοι· σὺ δὲ ὁ εὐδοκήσας οὐκ ἐκ Σαμαρείας, ἀλλ' ἐκ Μαρίας σαρκωθῆναι, Χριστὲ ὁ Θεός· τῇ φιλανθρωπίᾳ σου παράσχου μοι τὴν ἴασιν, ἐπιχέων ἐπ' ἐμὲ τὸ μέγα σου ἔλεος.

Στίχ.

Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, φωνῇ μου πρὸς Κύριον ἐδεήθην· πάλιν τὸ αὐτό.

Στίχ.

Ἐκχεῶ ἐνώπιον αὐτοῦ τὴν δέη. Μαρτ.

Εἴ τις ἀρετή, καὶ εἴ τις ἔπαινος, πρέπει τοῖς Ἁγίοις· ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας διὰ σὲ τὸν κλίναντα Οὐρανούς, καὶ καταβάντα· ἐξέχεαν τὸ αἷμα αὐτῶν διὰ σὲ τὸν κενώσαντα ἑαυτόν, καὶ μορφὴν δούλου λαβόντα, ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι· ὧν ταῖς εὐχαῖς κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Στίχ. Ἐν τῷ ἐκλείπειν ἐξ ἐμοῦ.

Ἕτερον στιχηρ. προσόμοιον, τοῦ κυρίου Ἰωσήφ, ἦχος πλ. δʹ.

Κύριε εἰ καὶ κριτηρίῳ.

Κύριε, σὺ τοὺς ἱεροὺς Μαθητάς σου λογικοὺς Οὐρανοὺς ἔδειξας· τούτων ἱεραῖς μεσιτείαις τῶν τῆς γῆς κακῶν με λύτρωσαι· δι' ἐγκρατείας ὕψωσον, συνέσεως ἑκάστοτε τῆς πρὸς τὰ πάθη τὸν λογισμόν μου, ὡς Οἰκτίρμων, καὶ φιλάνθρωπος.

Ὅμοιον.

Στίχ. Ἐν ὁδῷ ταύτῃ, ᾗ ἐπορευό.

Ἔχοντες πάντες τὸν καιρὸν τῆς νηστείας ὡς συνεργὸν θείων πράξεων, κλαύσωμεν ἐξ ὅλης καρδίας, καὶ τῷ Σωτῆρι βοήσωμεν· διὰ τῶν σῶν Μαθητῶν, Κύριε πολυέλεε, σῶσον τοὺς φόβῳ σε ὑμνοῦντας, ὡς οἰκτίρμων, καὶ φιλάνθρωπος.

Ἕτερον τοῦ Κυρίου Θεοδώρου, ἦχος ὁ αὐτός. Τὴν ἔνδοξον, καὶ ἄχραντον.

Στίχ.

Κατενόουν εἰς τὰ δεξιὰ καὶ ἐπέ.

Ἀπόστολοι πανεύφημοι, οἱ τοῦ Κόσμου πρεσβευταί, ἀσθενούντων ἰατροί, τῆς ὑγείας φύλακες, ἀμφοτέρωθεν ἡμᾶς συντηρήσατε τὸν νηστείας τὸν χρόνον διϊππεύοντας· ἐν ἀλλήλοις ἐνθέως ἐρωτεύοντας, τὸν νῦν ἀνενόχλητον τῶν παθῶν φυλάττοντες, ἵνα ᾄσωμεν Χριστῷ, ὡς νικητῇ ἐξαναστάντι, ὕμνον ἅπαντες.

Ἕτερα στιχηρ. κατὰ Ἀλφάβητον· ἦχ. δʹ.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι.

Στίχ. Ἀπώλετο φυγὴ ἀπ' ἐμοῦ.

Ἅπας ὁ βίος μου μετὰ πορνῶν, καὶ τελωνῶν ἐκδεδαπάνηται· ἄρα δυνήσομαι κἂν ἐν γήρει μεταγνῶναι ἅπερ ἐξήμαρτον. Δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐκέκραξα πρὸς σὲ Κύριε, Κύριε, εἶπα, σὺ εἶ.

Βάρει συνέχομαι ἀμελείας, τῷ βορβόρῳ ἐγκυλινδούμενος· βέλει κεντούμενος τοῦ Βελίαρ, καὶ μολύνω τὸ κατ' εἰκόνα μου· ἐπιστροφὴ ἀμελούντων, καὶ λυτρωτὰ ἐπταισμένων. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Πρόσχες πρὸς τὴν δέησίν μου.

Γέγονα πρόσκομμα τῶν ἀνθρώπων, γεωργήσας ὡς γεγηγενὴς γενεά· γάμῳ ὁμίλησα σῇ προστάξει, καὶ παρέβην μιάνας κοίτην ἐμήν· ὁ ἀπὸ γῆς πλαστουργήσας, τὸ πλάσμα σου μὴ παρίδῃς, Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων.

Δήμιος γέγονα τῇ ψυχῇ μου, τῆς σαρκός μου πρόνοιαν ποιησάμενος· δαίμοσι παίγνιον κατεστάθην, ἡδοναῖς δουλεύων καὶ ἀτοπήμασι· τῇ εὐσπλαγχνίᾳ σου φεῖσαι, φυγαδευτὰ τῶν δαιμόνων Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐξάγαγε ἐκ φυλακῆς τὴν.

Ἑκὼν ἐξήμαρτον ὑπὲρ πάντας, διὰ τοῦτο ἐγκαταλέλειμμαι· ἔχω ἀντίδικον τῆς ψυχῆς μου τῆς σαρκὸς τὸ φρόνημα, καὶ σκοτίζει με· ὁ φωτισμὸς τῶν ἐν σκότει, καὶ ὁδηγὸς πλανωμένων Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐμὲ ὑπομενοῦσι δίκαιοι.

Ζήσεται, ἔλεγεν ὁ Προφήτης, ἡ ψυχή μου, Κύριε, καὶ αἰνέσει σε· ζήτησον πρόβατον πλανηθέν με, καὶ ἀρίθμησόν με τῇ ποίμνῃ σου· δός μοι καιρὸν μετανοίας, ἵνα στενάζων βοῶ σοι,

Κύριε

Digitized by Google

Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι, Κύριε.

Ἥμαρτον, ἥμαρτον ἀθετήσας τὰ προστάγματά σου Χριστὲ ὁ Θεός· ἵλεως γενοῦ μοι ὦ εὐεργέτα, ἵνα βλέψω τοῖς ἔνδοθεν ὀφθαλμοῖς, καὶ ἀποφύγω τοῦ σκότους, καὶ μετὰ φόβου βοήσω. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Γενηθήτω τὰ ὦτά σου προσέχοντα.

Θῆρες με ἄγριοι περιέχουν, ἀλλ' ἐξ αὐτῶν με ἅρπασον, Δέσποτα· θέλεις γὰρ ἅπαντας τοῦ σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν πάντας ἀνθρώπους, ὡς Κτίστης, καὶ μετὰ πάντων με σῶσον. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐὰν ἀνομίας παρατηρήσῃς.

Ἴαμα γίνου μοι εὐεργέτα, Λυτρωτὰ, Σωτήρ μου, καὶ μὴ ἀπώσῃ με, ἴδε με κείμενον ἀνομίαις, καὶ ἀνάστησόν με ὡς παντοδύναμος, ἵνα κἀγὼ ἐξαγγέλλω τὰς πράξεις μου, καὶ βοῶ σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἕνεκεν τοῦ ὀνόματός σου.

Κρύψας τὸ τάλαντον τὸ δοθέν μοι, ὡς ἀγνώμων δοῦλος, τῇ γῇ κατέχωσα· καὶ γὰρ ὡς ἄχρηστος κατεκρίθην, καὶ οὐ τολμῶ λοιπὸν ἐξαιτῆσαί σοι, ὡς ἀνεξίκακος οἰκτειρόν με, ἵνα κἀγὼ ἀνακράζω. Κύριε, πρὶν εἰς τέλος, ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἀπὸ φυλακῆς πρωΐας.

Αἱμάτων ἐξήρανας παθημάτων τῆς αἱμοῤῥοούσης ἁφῇ κρασπέδου σου· λήψομαι ἄφεσιν ἐγκλημάτων ἀδιστάκτῳ πίστει σοι προσερχόμενος· δέξαι κἀμὲ ὡς ἐκείνην, καὶ ἴασαί μου τὸ ἄλγος. Κύριε, πρὶν εἰς τέλος, ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος.

Μέλλεις καθέζεσθαι ἐπὶ θρόνου, ὁ ποιήσας λόγῳ τὸν Οὐρανὸν, καὶ τὴν γῆν· μέλλομεν ἅπαντες παρασῆναι, ἐξαγγέλλοντές σοι τὰς ἁμαρτίας ἡμῶν· πρὸ τῆς ἡμέρας ἐκείνης ἐν μετανοίᾳ με δέξαι. Κύριε, πρὶν εἰς τέλος, ἀπόλωμαι, σῶσόν με.

Στίχ. Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη.

Νεῦσον τῷ ὄμματι τῷ εὐσπλάγχνῳ, καὶ γενοῦ μοι ἵλεως, μόνε Σωτήρ· νάματα δώρησαι ἰαμάτων τῇ ἀθλίᾳ μου, καὶ ταλαιπώρῳ ψυχῇ· ἀπόσμηξον ἐκ τοῦ ῥύπου τῶν ἔργων μου, ἵνα μέλψω. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ὅτι ἐκραταιώθη τὸ ἔλεος.

Ξίφη ηὐτρέπισεν ὁ βελίαρ, ἐκθηρεῦσαι σπεύδων τὴν ταπεινήν μου ψυχὴν, ξένον ἐποίησέ με, Οἰκτίρμον, φωτισμοῦ τῆς γνώσεως τοῦ προσώπου σου· ὁ κραταιὸς ἐν ἰσχύϊ τούτου σκεῦος ἅρπασόν με. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς.

Ὅλοις τοῖς πάθεσιν ἐδουλώθην, ἐγκαταλείψας νόμον, καὶ θείας γραφάς· ὅλον με ἴασαι, εὐεργέτα, δι' ἐμὲ κατ' ἐμὲ γεγονὼς, ἀγαθέ· ἐπίστρεψόν με, Οἰκτίρμον, ὁ τῶν παθῶν καθαιρέτης. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Στίχ. Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς.

Πόρνη τοῖς δάκρυσι καταβρέχει τοὺς ἀχράντους τε, καὶ τιμίους πόδας σου, πάντας προτρέπουσα τοῦ προστρέχειν, καὶ λαμβάνειν λύσιν τῶν ἐγκλημάτων αὐτῶν· αὐτῆς τὴν πίστιν παράσχου κἀμοὶ, Σωτὴρ, τοῦ βοᾶν σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ῥύπον καθάρισον τῆς ψυχῆς μου, ὁ δι' ἐμὲ πτωχεύσας, καὶ νηπιάσας σαρκί· ῥανίδα ἐλέους σου καταπέμψας τῷ ἀσθενεῖ, καὶ τεθλασμένῳ, Χριστὲ, ἀπόπλυνον ἐκ τοῦ ῥύπου, ἰάτρευσον ἀσθενοῦντα. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Στήριξον, Δέσποτα, τὴν ψυχήν μου σοὶ προστρέχειν, καὶ σοὶ δουλεύειν ἀεί· σκέπη ὑπάρχεις γάρ μου, καὶ φύλαξ, καὶ ἀντίληψις, καὶ βοήθεια· ἀξίωσον, Θεὲ Λόγε, βοᾶν με ἐν παῤῥησίᾳ. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τεῖχος ἀπόρθητον ἡμῖν γενοῦ, Ἰησοῦ Σωτὴρ, καὶ ἐλεήμων Θεέ· τρόποις, καὶ ἔργοις ἀπατηλοῖς γὰρ συμπεπτώκαμεν, ἀλλ' ἀνάστησον, ὡς εὐεργέτης, τὸ πλάσμα, καὶ διαλλάγηθι ὡς Οἰκτίρμων. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Υἱὸς ὁ ἄσωτος ἐγενόμην, διασκορπίσας τὸν πλοῦτον, λιμῷ νῦν τήκομαι· ὑπὸ τὴν σκέπην σου καταφεύγω, ὥσπερ ἐκεῖνον δέξαι με Πάτερ ἀγαθέ· καὶ μέτοχον τῆς τραπέζης ἀξίωσον τοῦ βοᾶν σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Φθόνῳ ἐξέβαλε Παραδείσου τὸν Πρωτόπλαστον ὁ ἀρχέκακος, φάσκων τὸ Μνήσθητι ἐπὶ ξύλου, ὁ Λῃστὴς, ἀπέλαβε τὸν Παράδεισον, ἐγὼ δὲ πίστει, καὶ φόβῳ τὸ Μνήσθητί μου βοῶ σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Χεῖρά μοι ἔκτεινον ὡς τῷ Πέτρῳ, καὶ ἀνάγαγε τοῦ βυθοῦ ὁ Θεός· χάριν, καὶ ἔλεός μοι παράσχου, τῇ πρεσβείᾳ τῆς παναμώμου Μητρὸς, τῆς σὲ τεκούσης ἀσπόρως, καὶ τῶν Ἁγίων σου πάντων. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ψάλλοντα δέξαι με καθ' ἑκάστην ὁ Ἀμνὸς, ὁ αἴρων τὴν ἁμαρτίαν μου· ψυχήν, καὶ σῶμά

μου ὁλοκλήρως εἰς τὰς χεῖράς σου παρατίθημι· καὶ ἐν νυκτὶ, καὶ ἡμέρᾳ χριστιανικῶς ἐκβοῶ σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Δόξα.

Ὢ τῆς ἀφάτου σου εὐσπλαγχνίας, ὑπεράγαθε, ἀνεξίκακε Κύριε, ὦ ἀναμάρτητε, καὶ Οἰκτίρμον, μή με ἀποῤῥίψῃς ἀπὸ τοῦ προσώπου σου· ὅπως κἀγὼ εὐχαρίστως χαίρων, καὶ ψάλλων βοῶ σοι. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Θεοτοκίον.

Ὢ τῇ ἀῤῥήτῳ συγκαταβάσει, ὢ τοῦ ξένου τόκου τοῦ ὑπερθαυμαστοῦ· ὢ πῶς Παρθένος βρέφος σε φέρει ἐν ἀγκάλαις ταύτης, τὸν Ποιητὴν, καὶ Θεὸν, ὁ ἐξ αὐτῆς σαρκωθῆναι καταδεξάμενος, εὐεργέτα. Κύριε, πρὶν εἰς τέλος ἀπόλωμαι, σῶσόν με.

Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον Ψαλμὸς ϟγ'. ἦχος δ'.

Θεὸς ἐκδικήσεων Κύριος.

Στίχ. Ὑψώθητι ὁ κρίνων τὴν γῆν.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐγένετο δὲ Ἄβραμ ἐτῶν ἐννενηκονταεννέα, καὶ ὤφθη Κύριος τῷ Ἄβραμ, καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεός σου, εὐαρέστει ἐνώπιον ἐμοῦ, καὶ γίνου ἄμεμπτος· καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ, καὶ ἀνὰ μέσον σου· καὶ πληθυνῶ σε σφόδρα· καὶ ἔπεσεν Ἄβραμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐλάλησεν αὐτῷ ὁ Θεὸς, λέγων· καὶ ἐγὼ ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ, καὶ ἔσῃ Πατὴρ πλήθους ἐθνῶν· καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἄβραμ· ἀλλ' ἔσται τὸ ὄνομά σου Ἀβραάμ, ὅτι Πατέρα πολλῶν ἐθνῶν τέθεικά σε, καὶ αὐξανῶ σε σφόδρα σφόδρα, καὶ θήσω σε εἰς ἔθνη· καὶ Βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται· καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σου, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον εἶναι σου Θεὸς, καὶ τοῦ σπέρματός σου μετὰ σέ· καὶ δώσω σοι καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναὰν εἰς κατάσχεσιν αἰώνιον, καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν· καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἀβραάμ, σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν.

Προκείμενον Ψαλμὸς ϟε'. ἦχος πλ. β'.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὸς σοφὸς εὐφραίνει Πατέρα, υἱὸς δὲ ἄφρων μυκτηρίζει Μητέρα αὐτοῦ· ἀνοήτου τρίβοι ἐνδεεῖς φρενῶν, ἀνὴρ δὲ φρόνιμος κατευθύνων πορεύεται· ὑπερτίθενται λογισμοὺς οἱ μὴ τιμῶντες συνέδρια, ἐν δὲ καρδίαις βουλευομένων μένει βουλή· οὐ μὴ ὑπακούσει ὁ κακὸς αὐτῇ, οὐδὲ μὴ εἴπῃ καίριόν τι καὶ καλὸν τῷ κοινῷ· ὁδοὶ ζωῆς διανοήματα συνετοῦ, ἵνα ἐκκλίνας ἐκ τοῦ ᾍδου σωθῇ· οἴκους ὑβριστῶν κατασπᾷ Κύριος, ἐστήριξε δὲ ὅριον χήρας· βδέλυγμα Κυρίῳ λογισμὸς ἄδικος, ἁγνῶν δὲ ῥήσεις σεμναί· ἐξόλλυσιν ἑαυτὸν ὁ δωρολήπτης, ὁ δὲ μισῶν δώρων λήψεις, σώζεται· ἐλεημοσύναις, καὶ πίστεσιν ἀποκαθαίρονται ἁμαρτίαι· τῷ δὲ φόβῳ Κυρίου ἐκκλίνει πᾶς ἀπὸ κακοῦ· καρδίαι δικαίων μελετῶσι πίστεις, στόμα δὲ ἀσεβῶν ἀποκρίνεται κακά· δεκταὶ παρὰ Κυρίῳ ὁδοὶ ἀνθρώπων δικαίων· διὰ δὲ αὐτῶν καὶ οἱ ἐχθροὶ φίλοι γίνονται· μακρὰν ἀπέχει ὁ Θεὸς ἀπὸ ἀσεβῶν, εὐχαῖς δὲ δικαίων ἐπακούει· κρείσσων ὀλίγη λῆψις μετὰ δικαιοσύνης, ἢ πολλὰ γεννήματα μετὰ ἀδικίας. Καρδία ἀνδρὸς λογιζέσθω δίκαια, ἵνα ὑπὸ τοῦ Θεοῦ διορθωθῇ τὰ διαβήματα αὐτοῦ. Θεωρῶν ὀφθαλμὸς καλὰ, εὐφραίνει καρδίαν· φήμη δὲ ἀγαθὴ πιαίνει ὀστᾶ· ὃς ἀπωθεῖται παιδείαν μισεῖ ἑαυτόν· ὁ δὲ τηρῶν ἐλέγχους ἀγαπᾷ ψυχὴν αὐτοῦ· φόβος Κυρίου παιδεία καὶ σοφία, καὶ ἀρχὴ δόξης ἀποκριθήσεται αὐτῇ· πάντα τὰ ἔργα τοῦ ταπεινοῦ φανερὰ παρὰ τῷ Θεῷ, οἱ δὲ ἀσεβεῖς ἐν ἡμέρᾳ κακῇ ὀλοῦνται· ἀκάθαρτος παρὰ Θεῷ πᾶς ὑψηλοκάρδιος· χειρὶ δὲ χεῖρας ἐμβαλὼν ἀδίκως οὐκ ἀθῳωθήσεται· ἀρχὴ ὁδοῦ ἀγαθῆς τὸ ποιεῖν τὰ δίκαια· δεκτὰ δὲ παρὰ Θεῷ μᾶλλον ἢ θύειν θυσίας· ὁ ζητῶν τὸν Κύριον, εὑρήσει γνῶσιν μετὰ δικαιοσύνης· οἱ δὲ ὀρθῶς ζητοῦντες αὐτὸν εὑρήσουσιν εἰρήνην· πάντα τὰ ἔργα τοῦ Κυρίου μετὰ δικαιοσύνης· φυλάσσεται δὲ ὁ ἀσεβὴς εἰς ἡμέραν κακήν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων· εἰς τὴν τράπεζαν μεταλαμβάνομεν οἴνου· τὰ δὲ Ἀπόδειπνα ψάλλομεν ἐν τοῖς Κελλίοις.

Τῇ Πέμπτῃ τῆς Πέμπτης Ἑβδομάδος σημαίνει ὥρα δ'. τῆς νυκτός· ἐπισυναχθέντων ἡμῶν ἐν τῇ Ἐκκλησίᾳ, γίνεται Εὐλογητὸς παρὰ τοῦ Ἱερέως, ὡς συνήθως, καὶ λεγομένου τὸν Ἑξάψαλμον, τὸ Ἀλληλούϊα, καὶ τὰ Τριαδικὰ ὡς ἔθος τοῦ ἤχου· στιχολογοῦμεν καὶ τὸ ἀδιάτακτον κάθισμα τοῦ Ψαλτηρίου, εἶτα λέγομεν τὰ καθίσματα τῆς Ὀκτωήχου, καὶ ἀναγινώσκομεν τὸν βίον τῆς ὁσίας Μαρίας τῆς Αἰγυπτίας, διαιρέσεις δύο· εἶτα ὁ Ν. καὶ εὐθὺς ἀρχόμεθα τοῦ μεγάλου Κανόνος ἀργῶς, καὶ μετὰ συντετριμμένης καρδίας, καὶ φωνῆς, ποιοῦντες εἰς καθ' ἓν Τροπ. μετανοίας γ'. Κανὼν ὁ μέγας, ποίημα τοῦ Ἁγίου Πατρὸς ἡμῶν Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου.

Ὠδὴ α'. ἦχος πλ. β'. Ὁ Εἱρμός.

Βοηθὸς, καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν, οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτόν.
„ Θεὸς τοῦ Πατρός μου, καὶ ὑψώσω αὐτόν. ἐνδόξως
„ γὰρ δεδόξασται.

Δίς.

Digitized by Google

Δίς.

ΠΟΘΕΝ ἄρξομαι θρηνεῖν τὰς τοῦ ἀθλίου μου βίου πράξεις; ποίαν ἀπαρχὴν ἐπιθήσω, Χριστὲ, τῇ νῦν θρηνῳδίᾳ; ἀλλ᾽, ὡς εὔσπλαγχνος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

ΔΕῦρο, τάλαινα ψυχὴ, σὺν τῇ σαρκί σου, τῷ πάντων Κτίστῃ ἐξομολογοῦ, καὶ ἀπόσχου λοιπὸν τῆς πρὶν ἀλογίας, καὶ προσάγαγε Θεῷ, ἐν μετανοίᾳ δάκρυα.

ΤΟὺν Πρωτόπλαστον Ἀδὰμ τῇ παραβάσει παραζηλώσας, ἔγνων ἐμαυτὸν γυμνωθέντα Θεοῦ, καὶ τῆς ἀϊδίου Βασιλείας, καὶ τρυφῆς διὰ τὰς ἁμαρτίας μου.

ΟΙ΄μοι τάλαινα ψυχὴ, τί ὡμοιώθης τῇ πρώτῃ Εὔᾳ; εἶδες γὰρ κακῶς, καὶ ἐτρώθης πικρῶς, καὶ ἥψω τοῦ ξύλου, καὶ ἐγεύσω προπετῶς τῆς παραλόγου βρώσεως.

ἈΝτὶ Εὔας αἰσθητῆς ἡ νοητή μοι κατέστη Εὔα, ὁ ἐν τῇ σαρκὶ ἐμπαθὴς λογισμός, δεικνὺς τὰ ἡδέα, καὶ γευόμενος ἀεὶ τῆς πικρᾶς καταπόσεως.

ἘΠαξίως τῆς Ἐδὲμ προεξερρίφη ὡς μὴ φυλάξας μίαν σου, Σωτὴρ, ἐντολὴν ὁ Ἀδάμ· ἐγὼ δὲ τί πάθω, ἀθετῶν διὰ παντὸς τὰ ζωηρά σου λόγια;

ΤΗ`ν τοῦ Κάϊν ὑπελθὼν μιαιφονίαν τῇ προαιρέσει, γέγονα φονεὺς συνειδότι ψυχῆς, ζωώσας τὴν σάρκα, καὶ στρατεύσας κατ᾽ αὐτῆς, ταῖς πονηραῖς μου πράξεσι.

ΤΗ῀ τοῦ Ἄβελ, Ἰησοῦ, οὐχ᾽ ὡμοιώθην δικαιοσύνῃ, δῶρα σοι δεκτὰ οὐ προσήξα ποτὲ, οὐ πράξεις ἐνθέους, οὐ θυσίαν καθαρὰν, οὐ βίον ἀνεπίληπτον.

ὩΣ ὁ Κάϊν καὶ ἡμεῖς, ψυχὴ ἀθλία, τῷ πάντων Κτίστῃ πράξεις ῥυπαρὰς, καὶ θυσίαν ψεκτὴν, καὶ ἄχρηστον βίον προσηγάγομεν ὁμοῦ, διὸ καὶ κατεκρίθημεν.

ΤΟὺν πηλὸν ὁ κεραμεὺς ζωοπλαστήσας ἐνέθηκάς μοι σάρκα, καὶ ὀστᾶ, καὶ πνοὴν, καὶ ζωήν· ἀλλ᾽ ὦ Ποιητά μου, Λυτρωτά μου, καὶ Κριτὰ, μετανοοῦντα δέξαι με.

ἘΞαγγέλω σοι, Σωτὴρ, τὰς ἁμαρτίας, ἃς εἰργασάμην, καὶ τὰς τῆς ψυχῆς, καὶ τοῦ σώματός μου πληγὰς, ἃς οἱ ἔνδον μιαιφόνοι λογισμοὶ λῃστρικῶς μοι ἐπέθηκαν.

ΕΙ᾽ καὶ ἥμαρτον, Σωτὴρ, ἀλλ᾽ οἶδα ὅτι φιλάνθρωπος εἶ, πλήττεις συμπαθῶς, καὶ σπλαγχνίζῃ θερμῶς. δακρύοντα βλέπεις, καὶ προστρέχεις, ὡς Πατὴρ, ἀνακαλῶν τὸν Ἄσωτον.

ἘΡῥιμμένον με, Σωτὴρ, πρὸ τῶν πυλῶν σου κἂν ἐν τῷ γήρει, μή με ἀποῤῥίψῃς εἰς Ἅδου κενόν· ἀλλὰ πρὸ τοῦ τέλους, ὡς φιλάνθρωπος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

Ὁ Λῃσταῖς περιπεσὼν ἐγὼ ὑπάρχω τοῖς λογισμοῖς μου, ὅλος ὑπ᾽ αὐτῶν τετραυμάτισμαι νῦν· ἐπλήσθην μωλώπων, ἀλλ᾽ αὐτός μοι ἐπιστὰς, Χριστὲ Σωτὴρ, ἰάτρευσον.

ἹΕρεύς με προϊδὼν ἀντιπαρῆλθε, καὶ ὁ Λευΐτης βλέπων ἐν δεινοῖς ὑπερεῖδε γυμνόν· ἀλλ᾽ ὁ ἐκ Μαρίας ἀνατείλας Ἰησοῦ, σὺ ἐπιστάς με οἰκτείρον.

Ὁ Ἀμνὸς ὁ τοῦ Θεοῦ, ὁ αἴρων πάντων τὰς ἁμαρτίας, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας, καὶ ὡς εὔσπλαγχνος, μοι δὸς, παραπτωμάτων ἄφεσιν.

ΜΕτανοίας ὁ καιρὸς, προσέρχομαί σοι τῷ Πλαστουργῷ μου· ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς εὔσπλαγχνος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

ΜΗ` βδελύξῃ με Σωτὴρ, μὴ ἀποῤῥίψῃς τοῦ σοῦ προσώπου· ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς εὔσπλαγχνος, μοι δὸς παραπτωμάτων ἄφεσιν.

ΤΑ` ἑκούσια, Σωτὴρ, καὶ τὰ ἀκούσια πταίσματά μου, καὶ τὰ φανερὰ, καὶ κρυπτὰ, καὶ γνωστὰ, καὶ ἄγνωστα πάντα συγχωρήσας ὡς Θεὸς, ἱλάσθητι, καὶ σῶσόν με.

ἘΚ νεότητος, Σωτὴρ, τὰς ἐντολάς σου ἐπαρωσάμην· ὅλον ἐμπαθῶς ἀμελῶν, ῥαθυμῶν, παρῆλθον τὸν βίον· διὸ κράζω σοι, Σωτὴρ, κἂν ἐν τῷ τέλει σῶσόν με.

ΤΗ`ν οὐσίαν τῆς ψυχῆς καταναλώσας ταῖς ἀσωτίαις, ἔρημός εἰμι ἀρετῶν εὐσεβῶν· λιμώττων δὲ κράζω· ὁ Πατὴρ τῶν οἰκτιρμῶν προφθάσας, σύ με οἰκτείρον.

ΣΟὶ προσπίπτω, Ἰησοῦ, ἡμάρτηκά σοι, ἱλάσθητί μοι· ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρὺν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς εὔσπλαγχνος, μοι δὸς δάκρυα κατανύξεως.

ΜΗ` εἰσέλθῃς μετ᾽ ἐμοῦ ἐν κρίσει, φέρων μου τὰ πρακτέα· λόγους ἐκζητῶν, καὶ εὐθύνων ὁρμάς· ἀλλ᾽ ἐν οἰκτιρμοῖς σου παρορῶν μου τὰ δεινὰ, σῶσόν με, παντοδύναμε.

Ἕτερος Κανὼν τῆς Ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας, εἰς τὸν αὐτὸν Ἦχον, καὶ Εἱρμόν· οὗ ἡ ἀκροστιχίς.

Σὺ ἡ Ὁσία Μαρία βοήθει.

ΣΗ`ν μοι δίδου φωταυγῆ ἐκ θείας ἄνωθεν προμηθείας χάριν ἐκφυγεῖν τῶν παθῶν σκοτασμὸν, καὶ ᾆσαι προθύμως τοῦ σοῦ βίου τὰ τερπνὰ, Μαρία, κατορθώματα.

ὙΠοκύψασα Χριστοῦ τοῖς θείοις νόμοις τούτῳ προσῆλθες, τὰς τῶν ἡδονῶν ἀκαθέκτους ὁρμὰς λιποῦσα, καὶ πᾶσαν ἀρετὴν πανευλαβῶς ὡς μίαν ἐκατόρθωσας.

Ἀνδρέου.

ἹΚεσίαις σου ἡμᾶς, Ἀνδρέα, ῥῦσαι παθῶν ἀτίμων, καὶ τῆς Βασιλείας νῦν Χριστοῦ κοινωνοὺς τοὺς πίστει, καὶ πόθῳ ἀνυμνοῦντάς σε, κλεινὲ, ἀνάδειξον δεόμεθα.

Δό-

Δόξα.

Ὑπερούσιε Τριάς, ἡ ἐν Μονάδι προσκυνουμένη, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας, καί, ὡς εὔσπλαγχνος, μοι δὸς δάκρυα κατανύξεως.

Καὶ νῦν.

Θεοτόκε ἡ ἐλπὶς, καὶ προστασία τῶν σὲ ὑμνούντων, ἆρον τὸν κλοιὸν ἀπ᾽ ἐμοῦ τὸν βαρύν, τὸν τῆς ἁμαρτίας· καὶ ὡς Δέσποινα ἁγνή, μετανοοῦντα δέξαι με.

Ὠδὴ β'. Ὁ Εἱρμός.

Πρόσεχε Οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

Πρόσεχε Οὐρανὲ, καὶ λαλήσω, γῆ ἐνωτίζου φωνῆς μετανοούσης Θεῷ, καὶ ἀνυμνούσης αὐτόν.

Πρόσχες μοι ὁ Θεὸς ὡς οἰκτίρμων ἱλέῳ ὄμματί σου, καὶ δέξαι μου τὴν θερμὴν ἐξομολόγησιν.

Ἡμάρτηκα ὑπὲρ πάντας ἀνθρώπους, μόνος ἡμάρτηκά σοι· ἀλλ᾽ οἴκτειρον, ὡς Θεὸς, Σωτὴρ, τὸ ποίημά σου.

Ζάλη με τῶν κακῶν περιέχει, εὔσπλαγχνε Κύριε· ἀλλ᾽ ὡς τῷ Πέτρῳ, κἀμοὶ τὴν χεῖρα ἔκτεινον.

Τὰ δάκρυα, τὰ τῆς πόρνης, Οἰκτίρμον, κἀγὼ προβάλλομαι· ἱλάσθητί μοι, Σωτὴρ, τῇ εὐσπλαγχνίᾳ σου.

Ἠμαύρωσα τῆς ψυχῆς τὸ ὡραῖον ταῖς τῶν παθῶν ἡδοναῖς, καὶ ὅλως ὅλον τὸν νοῦν χοῦν ἀπετέλεσα.

Διέρρηξα νῦν τὴν στολήν μου τὴν πρώτην, ἣν ἐξυφάνατό μοι ὁ Πλαστουργὸς ἐξ ἀρχῆς, καὶ ἔνθεν κεῖμαι γυμνός.

Ἐνδέδυμαι διερρηγμένον χιτῶνα, ὃν ἐξυφάνατό μοι ὁ ὄφις τῇ συμβουλῇ, καὶ καταισχύνομαι.

Προσέβλεψα τοῦ φυτοῦ τὸ ὡραῖον, καὶ ἠπατήθην τὸν νοῦν· καὶ ἄρτι κεῖμαι γυμνὸς, καὶ καταισχύνομαι.

Ἐτέκταινον ἐπὶ τὸν νῶτόν μου πάντες οἱ ἀρχηγοὶ τῶν κακῶν, μακρύνοντες κατ᾽ ἐμοῦ τὴν ἀνομίαν αὐτῶν.

Ἀπώλεσα καὶ τὸ πρωτόκτιστον κάλλος, καὶ τὴν εὐπρέπειάν μου· καὶ ἄρτι κεῖμαι γυμνὸς, καὶ καταισχύνομαι.

Κατέρραψε τοὺς δερματίνους χιτῶνας ἡ ἁμαρτία κἀμοί· γυμνώσασά με τῆς πρὶν θεοϋφάντου στολῆς.

Περίκειμαι τὸν στολισμὸν τῆς αἰσχύνης, καθάπερ φύλλα συκῆς, εἰς ἔλεγχον τῶν ἐμῶν αὐτεξουσίων παθῶν.

Ἐστόλισμαι κατεστιγμένον χιτῶνα, καὶ ἡμαγμένον αἰσχρῶς τῇ ῥύσει τῆς ἐμπαθοῦς, καὶ φιληδόνου ζωῆς.

Ἐσπίλωσα τὸν τῆς σαρκός μου χιτῶνα, καὶ κατερρύπωσα τὸ κατ᾽ εἰκόνα, Σωτὴρ, καὶ καθ᾽ ὁμοίωσιν.

Ὑπέπεσα τῇ τῶν παθῶν ἀλγηδόνι, καὶ τῇ ἐν ὕλῃ φθορᾷ· καὶ ἔνθεν νῦν ὁ ἐχθρὸς καταπιέζει με.

Φιλόϋλον, καὶ φιλοκτήμονα βίον τῆς ἀκτησίας, Σωτὴρ, προκρίνας, νῦν τὸν βαρὺν κλοιὸν περίκειμαι.

Ἐκόσμησα τὸν τῆς σαρκὸς ἀνδριάντα τῇ τῶν αἰσχρῶν λογισμῶν ποικίλῃ περιβολῇ, καὶ κατακρίνομαι.

Τῆς ἔξωθεν ἐπιμελῶς εὐκοσμίας μόνης ἐφρόντισα, τῆς ἔνδον ὑπεριδὼν θεοτυπώτου σκηνῆς.

Μορφώσας μου τῇ τῶν παθῶν ἀμορφίᾳ, ταῖς φιληδόνοις ὁρμαῖς ἐλυμηνάμην τοῦ νοῦ τὴν ὡραιότητα.

Κατέχωσα τῆς πρὶν εἰκόνος τὸ κάλλος, Σῶτερ, τοῖς πάθεσιν· ἀλλ᾽ ὡς ποτὲ τὴν δραχμὴν ἀναζητήσας, εὑρέ.

Ἡμάρτηκα, ὥσπερ ἡ Πόρνη βοῶ σοι, μόνος ἡμάρτηκά σοι· ὡς μύρον δέχου, Σωτὴρ, κἀμοῦ τὰ δάκρυα.

Ὠλίσθησα, ὡς ὁ Δαβὶδ ἀκολάστως, καὶ βεβόρβορωμαι· ἀλλὰ ἀπόλουσαι κἀμὲ, Σωτὴρ, τοῖς δάκρυσι.

Ἱλάσθητι, ὡς ὁ Τελώνης βοῶ σοι, Σῶτερ ἱλάσθητί μοι· οὐδεὶς γὰρ τῶν ἐξ Ἀδὰμ, ὡς ἐγὼ, ἡμάρτηκέ σοι.

Οὐ δάκρυα, οὐδὲ μετάνοιαν ἔχω, οὐδὲ κατάνυξιν· αὐτός μοι ταῦτα, Σωτὴρ, ὡς Θεὸς δώρησαι.

Τὴν θύραν σου μὴ ἀποκλείσῃς μοι τότε, Κύριε, ἀλλ᾽ ἄνοιξόν μοι αὐτὴν, μετανοοῦντί σοι.

Φιλάνθρωπε, ὁ πάντας θέλων σωθῆναι, σὺ ἀνακάλεσαί με, καὶ δέξαι ὡς ἀγαθὸς μετανοοῦντά με.

Ἐνώτισαι τοὺς στεναγμοὺς τῆς ψυχῆς μου, καὶ τῶν ἐμῶν ὀφθαλμῶν προσδέχου τοὺς σταλαγμοὺς, Σωτὴρ, καὶ σῶσόν με.

Θεοτοκίον.

Ἄχραντε Θεοτόκε Παρθένε, μόνη Πανύμνητε, ἱκέτευε ἐκτενῶς εἰς τὸ σωθῆναι ἡμᾶς.

Εἱρμὸς ἄλλος.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου τῇ μόνῃ δεξιᾷ, καὶ τῇ ἰσχύϊ τῇ ἐμῇ.

Ἴδετε, ἴδετε, ὅτι ἐγώ εἰμι Θεός· ἐνωτίζου, ψυχή μου, τοῦ Κυρίου βοῶντος, καὶ ἀποσπάσθητι τῆς

προτέ-

προφώτης ἁμαρτίας· καὶ φοβοῦ ὡς Δικαστὴν, καὶ ὡς Κριτὴν, καὶ Θεόν.

Τίνι ὡμοιώθης, πολυαμάρτητε ψυχή; οἴμοι, τῷ πρώτῳ Κάϊν, καὶ τῷ Λάμεχ ἐκείνῳ, λιθοκτονήσασα τὸ σῶμα κακουργίαις, καὶ κτείνασα τὸν νοῦν ταῖς παραλόγοις ὁρμαῖς.

Πάντας τοὺς πρὸ νόμου παραδραμοῦσα, ὦ ψυχή, τῷ Σὴθ οὐχ ὡμοιώθης, οὐ τὸν Ἐνὼς ἐμιμήσω, οὐ τὸν Ἐνὼχ τῇ μεταθέσει, οὐ τὸν Νῶε, ἀλλ' ὤφθης πενιχρὰ τῆς τῶν δικαίων ζωῆς.

Μόνη ἐξήνοιξας τοὺς καταῤῥάκτας τῆς ὀργῆς τοῦ Θεοῦ σου, ψυχή μου· καὶ κατέκλυσας πᾶσαν, ὡς γῆν, τὴν σάρκα, καὶ τὰς πράξεις, καὶ τὸν βίον· καὶ ἔμεινας ἐκτὸς τῆς σωστικῆς κιβωτοῦ.

Ἄνδρα ἀπέκτεινα, φησὶν, εἰς μώλωπα ἐμοὶ, καὶ νεανίσκον εἰς τραῦμα, Λάμεχ θρηνῶν ἐβόα· σὺ δὲ οὐ τρέμεις, ὦ ψυχή μου, ῥυπωθεῖσα τὴν σάρκα, καὶ τὸν νοῦν καταμιλώσασα.

Ὢ πῶς ἐζήλωσα Λάμεχ, τὸν πρῴην φονευτὴν, τὴν ψυχὴν ὥσπερ ἄνδρα, τὸν νοῦν ὡς νεανίσκον, ὡς ἀδελφόν δέ μου τὸ σῶμα ἀποκτείνας, ὡς Κάϊν ὁ φονεὺς, ταῖς φιληδόνοις ὁρμαῖς.

Πύργον ἐσοφίσω οἰκοδομῆσαι, ὦ ψυχή, καὶ ὀχύρωμα πῆξαι ταῖς σαῖς ἐπιθυμίαις, εἰ μὴ συνέχεεν ὁ Κτίστης τὰς βουλάς σου, καὶ κατέαξεν εἰς γῆν τὰ μηχανήματά σου.

Τέτρωμαι, πέπληγμαι, ἰδοὺ τὰ βέλη τοῦ ἐχθροῦ, τὰ κατατρήξαντά μου τὴν ψυχὴν, καὶ τὸ σῶμα· ἰδοὺ τὰ τραύματα, τὰ ἕλκη, αἱ πηρώσεις, βοῶσι, τὰς πληγὰς τῶν αὐθαιρέτων μου παθῶν.

Ἔβρεξε Κύριος παρὰ Κυρίου πῦρ ποτε, ἀνομίαν ὀργῶσαν πυρπολήσας Σοδόμων· σὺ δὲ τὸ πῦρ ἐξέκαυσας, τὸ τῆς γεέννης, ἐν ᾧ μέλλεις, ὦ ψυχή, συγκατακαίεσθαι.

Γνῶτε, καὶ ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ ἐρευνῶν καρδίας, καὶ κολάζων ἐννοίας, ἐλέγχων πράξεις, καὶ φλογίζων ἁμαρτίας, καὶ κρίνων ὀρφανὸν, καὶ ταπεινὸν, καὶ πτωχόν.

Τῆς Ὁσίας.

Ἥπλωσας χεῖράς σου πρὸς τὸν οἰκτίρμονα Θεὸν, Μαρία, ἐν ἀβύσσῳ κακῶν βυθιζομένη, καὶ ὡς τῷ Πέτρῳ φιλανθρώπως χεῖρα βοηθείας ἐξέτεινε, τὴν σὴν ἐπιστροφὴν πάντως ζητῶν.

Ὅλῃ προθυμίᾳ, πόθῳ προσέδραμες Χριστῷ, τὴν πρὶν τῆς ἁμαρτίας ὁδὸν ἀποστραφεῖσα, καὶ ἐν ἐρήμοις ταῖς ἀβάτοις τρεφομένη, καὶ τούτου καθαρῶς τελοῦσα θείας ἐντολάς.

Ἀνδρέου.

Ἴδωμεν, ἴδωμεν φιλανθρωπίαν, ὦ ψυχή, τοῦ Θεοῦ, καὶ Δεσπότου, διὰ τοῦτο πρὸ τέλους αὐτῷ σὺν δάκρυσι προσπέσωμεν βοῶντες, Ἀνδρέου ταῖς λιταῖς, Σῶτερ, ἐλέησον ἡμᾶς.

Δόξα.

Ἄναρχε, ἄκτιστε Τριὰς, ἀμέριστε μονὰς, μετανοοῦντά με δέξαι, ἡμαρτηκότα σῶσον· σόν εἰμι πλάσμα, μὴ παρίδῃς, ἀλλὰ φεῖσαι, καὶ ῥῦσαι τοῦ πυρὸς τῆς καταδίκης με.

Καὶ νῦν.

Ἄχραντε Δέσποινα, Θεογεννῆτορ, ἡ ἐλπὶς τῶν εἰς σὲ προστρεχόντων, καὶ λιμὴν τῶν ἐν ζάλῃ, τὸν ἐλεήμονα, καὶ Κτίστην, καὶ Υἱόν σου ἱλέωσαι κἀμοὶ ταῖς ἱκεσίαις ταῖς σαῖς.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

Ἐπὶ τὴν ἀσάλευτον, Χριστὲ, πέτραν τῶν ἐντολῶν σου, τὴν Ἐκκλησίαν σου στερέωσον.

Πῦρ παρὰ Κυρίου, ψυχή, Κύριος ἐπιβρέξας, τὴν γῆν Σοδόμων πρὶν κατέφλεξεν.

Εἰς τὸ ὄρος σώζου, ψυχή, ὥσπερ ὁ Λὼτ ἐκεῖνος, καὶ εἰς Σηγὼρ προανασώθητι.

Φεῦγε ἐμπρησμὸν, ὦ ψυχή μου, φεῦγε Σοδόμων καῦσιν, φεῦγε φθορὰν θείας φλογώσεως.

Ἐξομολογοῦμαί σοι, Σωτὴρ, ἥμαρτον, ἥμαρτόν σοι, ἀλλ' ἄνες, ἄφες μοι ὡς εὔσπλαγχνος.

Ἡμαρτόν σοι μόνος ἐγὼ, ἥμαρτον ὑπὲρ πάντας, Χριστὲ Σωτὴρ μὴ ὑπερίδῃς με.

Σὺ εἶ ὁ ποιμὴν ὁ καλὸς, ζήτησόν με τὸν ἄρνα, καὶ πλανηθέντα μὴ παρίδῃς με.

Σὺ εἶ ὁ γλυκὺς Ἰησοῦς, σὺ εἶ ὁ πλαστουργός μου, ἐν σοὶ, Σωτὴρ, δικαιωθήσομαι.

Δόξα.

Ὢ Τριὰς μονὰς ὁ Θεὸς, σῶσον ἡμᾶς ἐκ πλάνης, καὶ πειρασμῶν, καὶ περιστάσεων.

Θεοτοκίον.

Χαῖρε θεοδόχε γαστὴρ, χαῖρε θρόνε Κυρίου, χαῖρε ἡ Μήτηρ τῆς ζωῆς ἡμῶν.

Εἱρμός.

Στερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου, ὅτι μόνος ἅγιος ὑπάρχεις, καὶ Κύριος.

Πηγὴν ζωῆς κέκτημαί σε τοῦ θανάτου τὸν καθαιρέτην, καὶ βοῶ σοι ἐκ καρδίας μου πρὸ τοῦ τέλους, ἥμαρτον, ἱλάσθητι, σῶσόν με.

Τοὺς ἐπὶ Νῶε, Σωτὴρ, ἠσελγηκότας ἐμιμησάμην, τὴν ἐκείνων κληρωσάμενος καταδίκην ἐν κατακλυσμῷ καταδύσεως.

Ἡμάρτηκα, Κύριε, ἡμάρτηκά σοι, ἱλάσθητί μοι, οὐ γάρ ἐστιν ὅς τις ἥμαρτεν ἐν ἀνθρώποις, ὃν οὐχ ὑπερέβην τοῖς πταίσμασι.

Τὸν Χὰμ ἐκεῖνον, ψυχή, τὸν πατραλοίαν μιμησαμένη, τὴν αἰσχύνην οὐκ ἐκάλυψας τοῦ πλησίον, ὀπισθοφανῶς ἀνακάμψασα.

Τὴν εὐλογίαν τοῦ Σὴμ οὐκ ἐκληρώσω, ψυχὴ ἀθλία, οὐ πλατεῖαν τὴν κατάσχεσιν, ὡς Ἰάφεθ, ἔσχες ἐν τῇ γῇ τῆς ἀφέσεως.

Ἐκ γῆς Χαῤῥὰν ἔξελθε τῆς ἁμαρτίας, ψυχή μου, δεῦρο εἰς γῆν ῥέουσαν ἀείζωον ἀφθαρσίαν, ἣν ὁ Ἀβραὰμ ἐκληρώσατο.

Τὸν Ἀβραὰμ ἤκουσας πάλαι, ψυχή μου, καταλιπόντα γῆν πατρῴαν, καὶ γενόμενον μετανάστην, τούτου τὴν προαίρεσιν μίμησαι.

Ἐν τῇ δρυῒ τῇ Μαμβρῆ φιλοξενήσας ὁ Πατριάρχης τοὺς Ἀγγέλους, ἐκληρώσατο μετὰ γῆρας τῆς ἐπαγγελίας τὸ θήραμα.

Τὸν Ἰσαάκ, τάλαινα, γνοῦσα, ψυχή μου, καινὴν θυσίαν μυστικῶς ὁλοκαρπούμενον τῷ Κυρίῳ, μίμησαι αὐτοῦ τὴν προαίρεσιν.

Τὸν Ἰσμαὴλ ἤκουσας, νῆφε ψυχή μου, ἐκδιωχθέντα, ὡς παιδίσκης ἀποκύημα, βλέπε, μήπως ὅμοιόν τι πάθῃς λαγνεύουσα.

Τῇ Ἄγαρ πάλαι, ψυχή, τῇ Αἰγυπτίᾳ παρωμοιώθης, δουλωθεῖσα τὴν προαίρεσιν, καὶ τεκοῦσα νέον Ἰσμαὴλ, τὴν αὐθάδειαν.

Τὴν Ἰακὼβ κλίμακα ἔγνως, ψυχή μου, δεικνυμένην ἀπὸ γῆς πρὸς τὰ οὐράνια, τί μὴ ἔσχες βάσιν ἀσφαλῆ, τὴν εὐσέβειαν;

Τὸν Ἱερέα Θεοῦ, καὶ βασιλέα μεμονωμένον, τοῦ Χριστοῦ τὸ ἀφομοίωμα τοῦ ἐν Κόσμῳ βίου ἐν ἀνθρώποις, μιμήθητι.

Μὴ γενοῦ στήλη ἁλὸς, ψυχή, στραφεῖσα εἰς τὰ ὀπίσω, τὸ ὑπόδειγμα φοβείτω σε τῶν Σοδόμων· ἄνω εἰς Σηγὼρ διασώθητι.

Τὸν ἐμπρησμὸν ὥσπερ Λὼτ φεῦγε, ψυχή μου, τῆς ἁμαρτίας, φεῦγε Σόδομα, καὶ Γόμοῤῥα, φεῦγε φλόγα πάσης παραλόγου ὀρέξεως.

Ἐλέησον, Κύριε, ἐλέησόν με, ἀναβοῶ σοι, ὅτε ἥξεις μετ' Ἀγγέλων σου, ἀποδοῦναι πᾶσι κατ' ἀξίαν τῶν πράξεων.

Τὴν δέησιν, Δέσποτα, τῶν σε ὑμνούντων μὴ ὑπερίδῃς· ἀλλ' οἰκτείρησον φιλάνθρωπε, καὶ παράσχου πίστει αἰτουμένοις τὴν ἄφεσιν.

Τῆς Ὁσίας.

Συνέχομαι κλύδωνι, καὶ τρικυμίᾳ, Μῆτερ, πταισμάτων· ἀλλ' αὐτή με νῦν διάσωσον, καὶ πρὸς ὅρμον θείας μετανοίας εἰσάγαγε.

Ἱκέσιον δέησιν νυνὶ, Ὁσία, προσαγαγοῦσα πρὸς τὴν εὔσπλαγχνον πρεσβείᾳ σου Θεοτόκον, ἄνοιξόν μοι θείας εἰσόδους σου.

Ἀνδρέου.

Ταῖς σαῖς λιταῖς δώρησαι κἀμοὶ τὴν λύσιν τῶν ὀφλημάτων, ὦ Ἀνδρέα Κρήτης Πρόεδρε, μετανοίας σὺ μυσταγωγὸς γὰρ πανάριστος.

Δόξα.

Τριὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε φύσις, ἡ ἐν Τριάδι ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον τοὺς δοξολογοῦντας τὸ κράτος σου.

Καὶ νῦν.

Τὸν ἐκ Πατρὸς ἄχρονον Υἱὸν ἐν χρόνῳ, Θεοκυῆτορ, ἀπειράνδρως ἀπεκύησας, ξένον θαῦμα, μείνασα Παρθένος, θηλάζουσα.

Ὁ Εἱρμός.

Στερέωσον, Κύριε, ἐπὶ τὴν πέτραν τῶν ἐντολῶν σου σαλευθεῖσαν τὴν καρδίαν μου, ὅτι μόνος ἅγιος ὑπάρχεις, καὶ Κύριος.

Τὰ καθίσ. τοῦ κυρίου Ἰωσήφ· ἦχος πλ. δ'.

Ἀνέστης ἐκ νεκρῶν.

Φωστῆρες θεαυγεῖς, τοῦ Σωτῆρος αὐτόπται, φωτίσατε ἡμᾶς τοὺς ἐν σκότει τοῦ βίου, ὅπως ὡς ἐν ἡμέρᾳ νῦν εὐσχημόνως περιπατήσωμεν· φέγγει τῆς ἐγκρατείας νυκτώδη πάθη ἀποδιώκοντες, καὶ τὰ λαμπρὰ κατίδωμεν Χριστοῦ παθήματα χαίροντες.

Δόξα, ἕτερον· ἦχος ὁ αὐτός.

Τὸ προσταχθέν.

Τῶν Ἀποστόλων δωδεκὰς ἡ θεόλεκτος, ἱκετηρίαν τῷ Χριστῷ νῦν προσάγαγε, τὸ νηστείας στάδιον πάντας διανύσαι, τελοῦντας ἐν κατανύξει τὰς προσευχὰς, ποιοῦντας ἐν προθυμίᾳ τὰς ἀρετὰς, ὅπως οὕτως προφθάσωμεν ἰδεῖν Χριστοῦ τοῦ Θεοῦ τὴν ἔνδοξον Ἀνάστασιν, δόξαν, αἶνον προσάγοντες.

Καὶ νῦν Θεοτ. Ὅμοιον.

Τὸν ἀπερίληπτον Θεοῦ Υἱὸν, καὶ Λόγον ἀνερμηνεύτως ὑπὸ νοῦν ἐκ σοῦ τεχθέντα, Θεοτόκε, ἱκέτευε σὺν τοῖς Ἀποστόλοις, εἰρήνην τῇ Οἰκουμένῃ εἰλικρινῆ βραβεῦσαι, καὶ τῶν πταισμάτων δοῦναι ἡμῖν πρὸ τοῦ τέλους συγχώρησιν, καὶ Βασιλείας Οὐρανῶν δι' ἄκραν ἀγαθότητα, ἀξιῶσαι τοὺς δούλους σου.

Εἶτα τὸ Τριῴδιον ἀντὶ μετανοιῶν.

Στιχολογοῦμεν δὲ τὴν τετάρτην.

Ὠδὴ δ'. ἦχος πλ. δ'. Εἰσακήκοα Κύριε.

Ἐγκρατείᾳ συζήσαντες, οἱ πεφωτισμένοι Χριστοῦ Ἀπόστολοι, ἐγκρατείας τὸν καιρὸν ἡμῖν μεσιτείαις θείαις εὐμβρίζουσι.

Δωδεκάχορδον ὄργανον μέλος ἐκελάδησε τὸ σωτήριον, Μαθητῶν χορὸς ὁ ἔνθεος, πονηρὰ συγχέων μελῳδήματα.

Ἐπομβρείαις τοῦ Πνεύματος πᾶσαν τὴν ὑφήλιον κατηρδεύσατε, τὸν αὐχμὸν ἀποδιώξαντες τῆς πολυθείας, παμμακάριστοι.

Θεοτοκίον.

Ταπεινώσασα σῶσόν με τὸν ὑψηλοφρόνως πολιτευσάμενον, ἡ τεκοῦσα τὸν ὑψώσαντα τὴν ταπεινωθεῖσαν φύσιν, πάναγνε.

Εἱρμὸς ἄλλος, ἦχος ὁ αὐτός.

Εἰσακήκοα, Κύριε, τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασα τὸ κράτος σου, Δέσποτα.

Ἀποστόλων ἡ πάνσεπτος χοροστασία τῷ πάντων Κτίσῃ δυσωποῦσα παρακλήθητι, ἐλεῆσαι ἡμᾶς τοὺς ἀνευφημοῦντάς σε.

Ὡς ἐργάται ὑπάρχοντες Χριστοῦ Ἀπόστολοι, πάντα Κόσμον θείῳ λόγῳ γεωργήσαντες, προσηγάγετε καρποὺς αὐτῷ πάντοτε.

Ἀμ-

Ἀμπελὼν ἐβλυήθητε Χριστοῦ τοῦ ὄντως ἠγαπημένου· τὸν γὰρ οἶνον τοῦ πνεύματος ἐξεβλύσατε τῷ Κόσμῳ Ἀπόστολοι. Δόξα.

Ὑπεράρχιε, σύμμορφε, παντοδυναστάτη Τριὰς ἁγία, Πάτερ, Λόγε, Πνεῦμα ἅγιον, Θεὲ φῶς, καὶ ζωὴ, φύλαττε τὴν ποίμνην σου. Θεοτ.

Χαῖρε θρόνε πυρίμορφε, χαῖρε λυχνία λαμπαδηφόρε, χαῖρε ὄρος ἁγιάσματος, κιβωτὲ τῆς ζωῆς, Ἁγίων ἁγία σκηνή.

Εἱρμὸς ἄλλος.

Ἀκήκοεν ὁ Προφήτης τὴν ἔλευσίν σου, Κύριε, καὶ ἐφοβήθη, ὅτι μέλλεις ἐκ Παρθένου τίκτεσθαι, καὶ ἀνθρώποις δείκνυσθαι, καὶ ἔλεγεν· ἀκήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, δόξα τῇ δυνάμει σου Κύριε.

Τὰ ἔργα σου μὴ παρίδῃς, τὸ πλάσμα σου μὴ παρόψῃ, δικαιοκρίτα· εἰ καὶ μόνος ἥμαρτον, ὡς ἄνθρωπος, ὑπὲρ πάντα ἄνθρωπον, φιλάνθρωπε· ἀλλ' ἔχεις, ὡς Κύριος πάντων, τὴν ἐξουσίαν ἀφιέναι ἁμαρτήματα.

Ἐγγίζει, ψυχὴ, τὸ τέλος, ἐγγίζει, καὶ οὐ φροντίζεις, οὐχ ἑτοιμάζῃ, ὁ καιρὸς συντέμνει, διανάστηθι, ἐγγὺς ἐπὶ θύραις ὁ κριτής ἐστιν· ὡς ὄναρ, ὡς ἄνθος, ὁ χρόνος τοῦ βίου τρέχει, τί μάτην ταραττόμεθα;

Ἀνάνηψον, ὦ ψυχή μου, τὰς πράξεις σου, ἃς εἰργάσω, ἀναλογίζου, καὶ ταύτας ἐπ' ὄψεσι προσάγαγε, καὶ σταγόνας στάλαξον δακρύων σου· εἰπὲ παῤῥησίᾳ τὰς πράξεις, τὰς ἐνθυμήσεις Χριστῷ, καὶ δικαιώθητι.

Οὐ γέγονεν ἐν τῷ βίῳ ἁμάρτημα, οὐδὲ πρᾶξις, οὐδὲ κακία ἣν ἐγὼ, Σωτὴρ, οὐκ ἐπλημμέλησα κατὰ νοῦν, καὶ λόγον, καὶ προαίρεσιν, καὶ θέσει, καὶ γνώμῃ, καὶ πράξει ἐξαμαρτήσας, ὡς ἄλλος οὐδεὶς πώποτε.

Ἐντεῦθεν καὶ κατεκρίθην, ἐντεῦθεν κατεδικάσθην ἐγὼ ὁ τάλας ὑπὸ τῆς οἰκείας συνειδήσεως, ἧς οὐδὲν ἐν Κόσμῳ βιαιότερον· Κριτὰ λυτρωτά μου, καὶ γνῶστα, φεῖσαι, καὶ ῥῦσαι, καὶ σῶσόν με τὸν δείλαιον.

Ἡ κλίμαξ, ἣν εἶδε πάλαι ὁ μέγας ἐν Πατριάρχαις, δεῖγμα, ψυχή μου, πρακτικῆς ὑπάρχει ἐπιβάσεως, γνωστικῆς τυγχάνει ἀναβάσεως· εἰ θέλεις οὖν πράξει, καὶ γνώσει, καὶ θεωρίᾳ βιοῦν, ἀνακαινίσθητι.

Τὸν καύσωνα τῆς ἡμέρας ὑπέμεινε δι' ἔνδειαν ὁ Πατριάρχης, καὶ τὸν παγετὸν τῆς νυκτὸς ἤνεγκε, καθ' ἡμέραν κλέμματα ποιούμενος, ποιμαίνων, πυκτεύων, δουλεύων, ἵνα τὰς δύο γυναῖκας εἰσαγάγηται.

Γυναῖκάς μοι δύο νόει, τήν πρᾶξίν τε, καὶ τὴν γνῶσιν ἐν θεωρίᾳ· τὴν μὲν Λείαν, πρᾶξιν, ὡς πολύτεκνον, τὴν Ῥαχὴλ δὲ, γνῶσιν, ὡς πολύπονον· καὶ γὰρ ἄνευ πόνων οὐ πρᾶξις, οὐ θεωρία, ψυχὴ, κατορθωθήσεται.

Γρηγόρησον, ὦ ψυχή μου, ἀρίστευσον ὡς ὁ μέγας ἐν Πατριάρχαις, ἵνα κτήσῃ πρᾶξιν μετὰ γνώσεως, ἵνα χρηματίσῃς νοῦς ὁρῶν τὸν Θεόν· καὶ φθάσῃς τὸν ἄδυτον γνόφον ἐν θεωρίᾳ, καὶ γένῃ μεγαλέμπορος.

Τοὺς δώδεκα Πατριάρχας ὁ μέγας ἐν Πατριάρχαις παιδοποιήσας, μυστικῶς ἐστήριξέ σοι κλίμακα πρακτικῆς, ψυχή μου, ἀναβάσεως, τοὺς παῖδας ὡς βάθρα, τὰς βάσεις ὡς ἀναβάσεις πανσόφως ὑποθέμενος.

Ἡσαῦ τὸν μεμισημένον ζηλοῦσα, ψυχὴ, ἀπέδου τῷ πτερνιστῇ σου τὰ τοῦ πρώτου κάλλους πρωτοτόκια, καὶ τῆς πατρικῆς εὐχῆς ἐξέπεσας, καὶ δὶς ἐπτερνίσθης, ἀθλία, πράξει, καὶ γνώσει, διὸ νῦν μετανόησον.

Ἐδὼμ ὁ Ἡσαῦ ἐκλήθη δι' ἄκραν θηλυμανίας ἐπιμιξίαν· ἀκρασίᾳ γὰρ ἀεὶ πυρούμενος, καὶ ταῖς ἡδοναῖς καταστιλούμενος, Ἐδὼμ ὠνομάσθη, ὃ λέγεται θερμασία ψυχῆς φιλαμαρτήμονος.

Ἰὼβ τὸν ἐπὶ κοπρίας ἀκούσασα, ὦ ψυχή μου, δικαιωθέντα, τὴν αὐτοῦ ἀνδρείαν οὐκ ἐζήλωσας, τὸ στεῤῥὸν οὐκ ἔχεις τῆς προθέσεως ἐν πᾶσιν, οἷς ἔγνως, οἷς οἶδας, οἷς ἐπειράσθης, ἀλλ' ὤφθης ἀκαρτέρητος.

Ὁ πρότερον ἐπὶ θρόνου, γυμνὸς νῦν ἐπὶ κοπρίας καθηλκωμένος, ὁ πολὺς ἐν τέκνοις, καὶ περίβλεπτος, ἄπαις, ἀφαιρέοικος αἰφνίδιον· παλάτιον γὰρ τὴν κοπρίαν, καὶ μαργαρίτας τὰ ἕλκη ἐλογίζετο.

Βασίλειον τὴν ἀξίαν, διάδημα, καὶ πορφύραν ἠμφιεσμένος, πολυκτήμων ἄνθρωπος, καὶ δίκαιος, πλούτῳ ἐπιβρίθων, καὶ βοσκήμασιν, ἐξαίφνης τὸν πλοῦτον, τὴν δόξαν, τὴν βασιλείαν πτωχεύσας, ἀπεκείρατο.

Εἰ δίκαιος ἦν ἐκεῖνος, καὶ ἄμεμπτος παρὰ πάντας, καὶ οὐκ ἀπέδρα τὰ τοῦ πλάνου ἔνεδρα, καὶ σκάμματα· σὺ φιλαμαρτήμων οὖσα, τάλαινα ψυχὴ, τί ποιήσεις, ἐάν τι τῶν ἀδοκήτων συμβῇ ἐπενεχθῆναί σοι;

Τὸ σῶμα κατεῤῥυπώθην, τὸ πνεῦμα κατεσπιλώθην, ὅλος ἡλκώθην· ἀλλ' ὡς ἰατρὸς, Χριστὲ, ἀμφότερα διὰ μετανοίας μοι θεράπευσον, ἀπόλουσον, κάθαρον, πλῦνον, δεῖξον, χιόνος, Σωτήρ μου, καθαρώτερον.

Τὸ σῶμά σου, καὶ τὸ αἷμα, σταυρούμενος, ὑπὲρ πάντων ἔθηκας, Λόγε· τὸ μὲν σῶμα, ἵνα ἀναπλάσῃς με, τὸ δὲ αἷμα, ἵνα ἀποπλύνῃς με, τὸ πνεῦμα παρέδωκας, ἵνα ἐμὲ προσάξῃς, Χριστὲ, τῷ σῷ Γεννήτορι.

Εἰργάσω τὴν σωτηρίαν ἐν μέσῳ τῆς γῆς ὁ κτίστης, ἵνα σωθῶμεν· ἑκουσίως ξύλῳ ἀνεσταυρώθης, ἡ Ἐδὲμ κλεισθεῖσα ἀνεῴγνυτο· τὰ ἄνω, τὰ κάτω, ἡ κτίσις, τὰ ἔθνη πάντα σωθέντα προσκυνοῦσί σε.

ΓΕνέσθω μοι κολυμβήθρα τὸ αἷμα, τὸ ἐκ πλευρᾶς σου, ἅμα καὶ πόμα, τὸ πηγάσαν ὕδωρ τῆς ἀφέσεως, ἵνα ἑκατέρωθεν καθαίρωμαι· χριόμενος πίνων, ὡς χρῖσμα, καὶ πόμα, Λόγε, τὰ ζωηρά σου λόγια.

ΓΥμνός εἰμι τοῦ νυμφῶνος, γυμνός εἰμι καὶ τοῦ γάμου, ἅμα καὶ δείπνου· ἡ λαμπὰς ἐσβέσθη ὡς ἄνελαιος, ἡ παστὰς ἐκλείσθη μοι καθεύδοντι, τὸ δεῖπνον ἐβρώθη, ἐγὼ δὲ χεῖρας, καὶ πόδας δεθεὶς, ἔξω ἀπέρριμμαι.

ΚΡατῆρα ἡ Ἐκκλησία ἐκτήσατο τὴν πλευράν σου τὴν ζωηφόρον, ἐξ ἧς ὁ διπλοῦς ἡμῖν ἐξέβλυσε κρουνὸς τῆς ἀφέσεως, καὶ γνώσεως εἰς τύπον τῆς πάλαι, τῆς νέας, τῶν δύο ἅμα, Διαθηκῶν Σωτὴρ, ἡμῶν.

Ὁ Χρόνος ὁ τῆς ζωῆς μου ὀλίγος, καὶ πλήρης πόνων, καὶ πονηρίας· ἀλλ' ἐν μετανοίᾳ με πρόσλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

Ὑψηγορος νῦν ὑπάρχω, θρασὺς δὲ καὶ τὴν καρδίαν εἰκῇ καὶ μάτην, μὴ τῷ Φαρισαίῳ συγκαταδικάσῃς με, μᾶλλον τοῦ Τελώνου τὴν ταπείνωσιν παράσχου μοι, μόνε οἰκτίρμων δικαιοκρῖτα, καὶ τούτῳ συναρίθμησον.

Ἐξήμαρτον, ἐνυβρίσας τὸ σκεῦος τὸ τῆς σαρκός μου, οἶδα οἰκτίρμον· ἀλλ' ἐν μετανοίᾳ με πρόσλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

ΑὐτείδωΛον ἐγενόμην, τοῖς πάθεσι τὴν ψυχήν μου βλάπτων, οἰκτίρμον· ἀλλ' ἐν μετανοίᾳ με πρόσλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

ΟὐΚ ἤκουσα τῆς φωνῆς σου, παρήκουσα τῆς γραφῆς σου τοῦ νομοθέτου, ἀλλ' ἐν μετανοίᾳ με πρόσλαβε, καὶ ἐν ἐπιγνώσει ἀνακάλεσαι· μὴ γένωμαι κτῆμα, μὴ βρῶμα τοῦ ἀλλοτρίου, Σωτὴρ, αὐτός με οἰκτείρησον.

Τῆς Ὁσίας.

ἈΣώματον πολιτείαν ἐν σώματι μετελθοῦσα, χάριν, Ὁσία, πρὸς Θεοῦ μεγίστην ὄντως εἴληφας, τῶν πιστῶν τιμώντων σε πρεσβεύουσα· διὸ δυσωποῦμεν, παντοίων πειρατηρίων ἡμᾶς εὐχαῖς σου λύτρωσαι.

ΜΕγάλων ἀτοπημάτων εἰς βάθος κατενεχθεῖσα, οὐ κατεσχέθης· ἀλλ' ἀνέδραμες λογισμῷ κρείττονι πρὸς τὴν ἀκροτάτην διὰ πράξεως σαφῶς ἀρετὴν, παραδόξως Ἀγγέλων φύσιν, Μαρία, καταπλήξασα.

Ἀνδρέου.

ἈΝδρέα Πατέρων κλέος, εὐχαῖς σου μὴ ἐπιλάθῃ καθικετεύων παρεστὼς Τριάδα τὴν ὑπέρθεον, ὅπως λυτρωθῶμεν τῆς κολάσεως οἱ πόθῳ προστάτην σε θεῖον ἐπικαλοῦντες, τὸ Κρήτης ἐγκαλλώπισμα.

Δόξα.

ἈΜέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις, θεολογῶ σε τὴν τριαδικὴν μίαν Θεότητα, ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Θεοτοκίον.

ΚΑὶ τίκτεις, καὶ παρθενεύεις, καὶ μένεις διὰ ἀμφοτέρων φύσει Παρθένος, ὁ τεχθεὶς καινίζει νόμους φύσεως, ἡ νηδὺς δὲ κύει μὴ λοχεύουσα· Θεὸς ὅπου θέλει, νικᾶται φύσεως τάξις· ποιεῖ γὰρ ὅσα βούλεται.

Ὠδὴ έ. ὁ Εἱρμός.

ἘΚ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου· καὶ δίδαξόν με, Σωτὴρ, ποιεῖν τὸ θέλημά σου.

ἘΝ νυκτὶ τὸν βίον μου διῆλθον ἀεί· σκότος γὰρ γέγονε, καὶ βαθεῖα μοι ἀχλὺς ἡ νὺξ τῆς ἁμαρτίας· ἀλλ' ὡς ἡμέρας υἱὸν, Σωτὴρ, ἀνάδειξόν με.

ΤὸΝ Ῥουβὶμ μιμούμενος ὁ τάλας ἐγὼ, ἔπραξα ἄθεσμον, καὶ παράνομον βουλὴν κατὰ Θεοῦ ὑψίστου, μιάνας κοίτην ἐμὴν, ὡς τοῦ πατρὸς ἐκεῖνος.

ἘΞομολογοῦμαί σοι, Χριστὲ Βασιλεῦ· ἥμαρτον, ἥμαρτον, ὡς οἱ πρὶν τοῦ Ἰωσὴφ ἀδελφοὶ πεπρακότες τὸν τῆς ἁγνείας καρπὸν, καὶ τὸν τῆς σωφροσύνης.

ὙΠὸ τῶν συγγόνων ἡ δικαία ψυχὴ δέδοτο, πέπρατο εἰς δουλείαν ὁ γλυκὺς εἰς τύπον τοῦ Κυρίου· αὐτὴ δὲ ὅλη, ψυχὴ, ἐπράθης τοῖς κακοῖς σου.

ἸΩσὴφ τὸν δίκαιον, καὶ σώφρονα νοῦν μίμησαι, τάλαινα, καὶ ἀδόκιμε ψυχὴ, καὶ μὴ ἀκολασταίνου ταῖς παραλόγοις ὁρμαῖς ἀεὶ παρανομοῦσα.

ΕἸ καὶ λάκκῳ ᾤκησέ ποτε Ἰωσὴφ, Δέσποτα Κύριε, ἀλλ' εἰς τύπον τῆς ταφῆς, καὶ τῆς ἐγέρσεώς σου· ἐγὼ δὲ τί σοι ποτὲ τοιοῦτο προσοίσω;

ΤΟῦ Μωσέως ἤκουσας τὴν θίβην, ψυχὴ, ὕδασι, κύμασι φερομένην ποταμοῦ, ὡς ἐν θαλάμῳ πάλαι, φυγοῦσαν δρᾶμα πικρὸν βουλῆς Φαραωνίτου.

ΕἸ τὰς μαίας ἤκουσας κτεινούσας ποτὲ ἄνηβον, τάλαινα, τὴν ἀρρενωπὸν, ψυχὴ, τῆς σωφροσύνης πρᾶξιν· νῦν, ὡς ὁ μέγας Μωσῆς, τιθηνοῦ τὴν σοφίαν.

ὩΣ Μωσῆς ὁ μέγας, τὸν αἰγύπτιον νοῦν πλήξασα, τάλαινα, οὐκ ἀπέκτεινας, ψυχὴ, καὶ πῶς οἰκήσεις, λέγε, τὴν ἔρημον τῶν παθῶν διὰ τῆς μετανοίας;



Digitized by Google

Τὰς ἐρήμους ᾤκησεν ὁ μέγας Μωσῆς, δεῦρο δὴ, μίμησαι τὴν αὐτοῦ διαγωγὴν, ἵνα τῆς ἐν βάτῳ θεοφανείας, ψυχὴ, ἐν θεωρίᾳ γένῃ.

Τὴν Μωσέως ῥάβδον εἰκόνιζε, ψυχὴ, πλήττουσαν θάλασσαν, καὶ πηγνύουσαν βυθὸν τύπῳ Σταυροῦ τοῦ θείου, δι' οὗ δυνήσῃ καὶ σὺ μεγάλα ἐκτελέσαι.

Ἀαρὼν προσέφερε τὸ πῦρ τῷ Θεῷ ἄμωμον, ἄδολον, ἀλλ' Ὀφνεὶ καὶ Φινεὲς, ὡς σὺ ψυχὴ, προσῆγον ἀλλότριον τῷ Θεῷ, ῥερυπωμένον βίον.

Ὡς βαρὺς τῇ γνώμῃ Φαραὼ τῷ πικρῷ γέγονα, Δέσποτα, ὡς Ἰαννὴς, καὶ Ἰαμβρῆς τὴν ψυχὴν, καὶ τὸ σῶμα, καὶ ὑποβρύχιον νοῦν, ἀλλὰ βοήθησόν μοι.

Τῷ πηλῷ συμπέφυρμαι ὁ τάλας τὸν νοῦν, πλῦνόν με, Δέσποτα, τῷ λουτῆρι τῶν ἐμῶν δακρύων, δέομαί σου, τὴν τῆς σαρκός μου στολὴν λευκάνας ὡς χιόνα.

Ἐὰν ἐρευνήσω μου, τὰ ἔργα, Σωτὴρ, ἅπαντα ἄνθρωπον ὑπερβάντα ἐμαυτὸν ὁρῶ ταῖς ἁμαρτίαις, ὅτι ἐν γνώσει φρενῶν ἥμαρτον, οὐκ ἀγνοίᾳ.

Φεῖσαι, φεῖσαι, Κύριε, τοῦ πλάσματός σου· ἥμαρτον, ἄνες μοι· ὁ τῇ φύσει καθαρὸς, αὐτὸς ὑπάρχεις μόνος, καὶ ἄλλος πλὴν σου οὐδεὶς ὑπάρχει ἔξω ῥύπου.

Δι' ἐμὲ Θεὸς ὢν, ἐμορφώθης ἐμὲ, ἔδειξας θαύματα, ἰασάμενος λεπροὺς, καὶ παραλύτους σφίγξας, Αἱμόῤῥους στήσας, Σωτὴρ, ἁφῇ κρασπέδου ῥύσιν.

Τὴν Αἱμόῤῥουν μίμησαι, ἀθλία ψυχὴ, πρόσδραμε, κράτησον τοῦ κρασπέδου τοῦ Χριστοῦ, ἵνα ῥυσθῇς μαστίγων, ἀκούσῃς δὲ παρ' αὐτοῦ. πίστις σου σέσωκέ σε.

Τὴν χαμαὶ συγκύπτουσαν μιμοῦ, ὦ ψυχὴ, προσελθε, προσπέσον τοῖς ποσὶ τοῦ Ἰησοῦ, ἵνα σε ἀνορθώσῃ, καὶ βηματίσῃς ὀρθῶς τὰς τρίβους τοῦ Κυρίου.

Εἰ καὶ φρέαρ, Δέσποτα, ὑπάρχεις βαθὺ, βλῦσόν μοι νάματα ἐξ ἀχράντων σου φλεβῶν, ἵν' ὡς ἡ Σαμαρεῖτις, μηκέτι πίνων διψῶ· ζωῆς γὰρ ῥεῖθρον βλύζεις.

Σιλωὰμ γενέσθω μοι τὰ δάκρυά μου, Δέσποτα Κύριε, ἵνα νίψωμαι κἀγὼ τὰς κόρας τῆς ψυχῆς μου, καὶ ἴδω σε νοερῶς, τὸ φῶς τὸ πρὸ αἰώνων.

Τῆς Ὁσίας.

Ἀσυγκρίτῳ ἔρωτι, πανόλβιε, ξύλον ποθήσασα προσκυνῆσαι τῆς ζωῆς, ἠξίωσαι τοῦ πόθου· ἀξίωσον οὖν κἀμὲ τυχεῖν τῆς ἄνω δόξης.

Ῥεῖθρον Ἰορδάνιον περάσασα, εὗρες ἀνάπαυσιν τὴν ἀνώδυνον, σαρκὸς ἡδονὴν ἐκφυγοῦσα· ἧς καὶ ἡμᾶς ἐξέλου ταῖς προσευχαῖς Ὁσία.

Ἀνδρέου.

Ὡς ποιμένων ἄριστον, Ἀνδρέα σοφὲ, πρόκριτον ὄντα σε πόθῳ δέομαι πολλῷ, καὶ φόβῳ, ταῖς πρεσβείαις τῆς σωτηρίας τυχεῖν, ζωῆς, καὶ αἰωνίου.

Δόξα.

Σὲ Τριὰς δοξάζομεν, τὸν ἕνα Θεόν· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ τὸ Πνεῦμα· ἁπλῆ οὐσία, μονὰς ἀεὶ προσκυνουμένη.

Καὶ νῦν.

Ἐκ σοῦ ἠμφιάσατο τὸ φύραμά μου· ἄφθορε, ἄνανδρε, Μῆτερ παρθένε, Θεὸς, ὁ κτίσας τοὺς αἰῶνας, καὶ ἥνωσεν ἑαυτῷ τὴν τῶν ἀνθρώπων φύσιν.

Ὠδὴ ϛ'. ὁ Εἱρμός.

Ἐβόησα ἐν ὅλῃ καρδίᾳ μου πρὸς τὸν οἰκτίρμονα Θεὸν· καὶ ἐπήκουσέ μου ἐξ ᾅδου κατωτάτου, καὶ ἀνήγαγεν ἐκ φθορᾶς τὴν ζωήν μου.

Τὰ δάκρυα, Σωτὴρ, τῶν ὀμμάτων μου, καὶ τοὺς ἐκ βάθους στεναγμοὺς καθαρῶς προσφέρω, βοώσης τῆς καρδίας· ὁ Θεὸς ἡμάρτηκά σοι, ἱλάσθητί μοι.

Ἐξένευσας, ψυχὴ, τοῦ Κυρίου σου, ὥσπερ Δαθὰν, καὶ Ἀβειρὼν· ἀλλὰ, φεῖσαι, κράξον ἐξ ὅλης τῆς καρδίας· ἵνα μὴ τὸ χάσμα τῆς γῆς σε συγκαλύψῃ.

Ὡς δάμαλις, ψυχὴ, παροιστρήσασα, ἐξωμοιώθης τῷ Ἐφραίμ· ὡς δορκὰς ἐκ βρόχων ἀνάσωσον τὸν βίον, πτερωθεῖσα πράξει τὸν νοῦν, καὶ θεωρίᾳ.

Ἡ χεὶρ ἡμᾶς Μωσέως πιστώσεται, ψυχὴ, πῶς δύναται Θεὸς λεπρωθέντα βίον λευκᾶναι, καὶ καθᾶραι· καὶ μὴ ἀπογνῷς σεαυτὴν, κἂν ἐλεπρώθης.

Τὰ κύματα, Σωτὴρ, τῶν πταισμάτων μου, ὡς ἐν θαλάσσῃ ἐρυθρᾷ ἐπαναστραφέντα ἐκάλυψέ με ἄφνω, ὡς τοὺς Αἰγυπτίους ποτὲ, καὶ τοὺς τριστάτας.

Ἀγνώμονα, ψυχὴ, τὴν προαίρεσιν ἔσχες ὡς πρὶν ὁ Ἰσραήλ· τοῦ γὰρ θείου μάννα προέκρινας ἀλόγως τὴν φιλήδονον τῶν παθῶν ἀδηφαγίαν.

Τὰ ὕεια κρέα, καὶ τοὺς λέβητας, καὶ τὴν Αἰγύπτιον τροφὴν τῆς ἐπουρανίου προέκρινας, ψυχή μου, ὡς ὁ πρὶν ἀγνώμων λαὸς ἐν τῇ ἐρήμῳ.

Τὰ φρέατα, ψυχὴ, προετίμησας τῶν Χαναναίων ἐννοιῶν τῆς φλεβὸς τῆς πέτρας, ἐξ ἧς ὁ τῆς σοφίας ποταμὸς προχέει κρουνοὺς θεολογίας.

Ὡς ἔπληξε Μωσῆς ὁ θεράπων σου ῥάβδῳ τὴν πέτραν, τυπικῶς τὴν ζωοποιόν σου πλευ-

ρεὰν προδιετύπου· ἐξ ἧς πάντες πόμα ζωῆς, Σωτὴρ, ἀντλοῦμεν.

Ἐρεύνησον, ψυχὴ, κατασκόπευσον, ὡς Ἰησοῦς ὁ τοῦ Ναυῆ, τῆς κληροδοσίας τὴν γῆν, ὁποία ἐστι, καὶ κατοίκησον ἐν αὐτῇ δι' εὐνομίας.

Ἀνάστηθι, καὶ καταπολέμησον, ὡς Ἰησοῦς τὸν Ἀμαλὴκ, τῆς σαρκὸς τὰ πάθη, καὶ τοὺς Γαβαωνίτας· τοὺς ἀπατηλοὺς λογισμοὺς ἀεὶ νικῶσα.

Διάβηθι τοῦ χρόνου τὴν ῥέουσαν φύσιν, ὡς πρὶν ἡ Κιβωτός· καὶ τῆς γῆς ἐκείνης γενοῦ ἐν κατασχέσει τῆς ἐπαγγελίας, ψυχὴ, Θεὸς κελεύει.

Ὡς ἔσωσας τὸν Πέτρον βοήσαντα, σῶσον προφθάσας με, Σωτήρ, τοῦ θηρός με ῥῦσαι, ἐκτείνας σου τὴν χεῖρα, καὶ ἀνάγαγε τοῦ βυθοῦ τῆς ἁμαρτίας.

Λιμένα σε γινώσκω γαλήνιον πταίουσι, Δέσποτα Χριστέ· ἀλλ' ἐκ τῶν ἀδύτων βυθῶν τῆς ἁμαρτίας, καὶ τῆς ἀπογνώσεώς με, προφθάσας, ῥῦσαι.

Ἐγώ εἰμι, Σωτὴρ, ἣν ἀπώλεσας πάλαι βασίλειον δραχμήν· ἀλλ' ἀνάψας λύχνον, τὸν Πρόδρομόν σου, Λόγε, ἀναζήτησον, καὶ εὑρὲ τὴν εἰκόνα.

Τῆς Ὁσίας.

Ἵνα παθῶν τὴν φλόγα κατασβέσῃς, δακρύων ἔβλυζες ἀεὶ ὀχετοὺς, Μαρία, ψυχὴν πυρπολουμένην· ὧν τὴν χάριν νέμοις κἀμοὶ τῷ σῷ οἰκέτῃ.

Ἀπάθειαν ἐκτήσω οὐράνιον διʼ ἀκροτάτης ἐπὶ γῆς πολιτείας, Μῆτερ, διὸ τοὺς σὲ ὑμνοῦντας ἐκ παθῶν ῥυσθῆναι, πρεσβείαις σου δυσώπει.

Ἀνδρέου.

Τῆς Κρήτης σε, ποιμένα καὶ πρόεδρον, καὶ Οἰκουμένης πρεσβευτὴν, ἐγνωκὼς προστρέχω, Ἀνδρέα, καὶ βοῶ σοι· ἐξελοῦ με, Πάτερ, βυθοῦ τῆς ἁμαρτίας.

Δόξα.

Τριάς εἰμι ἁπλῆ ἀδιαίρετος, διαιρετὴ προσωπικῶς, καὶ μονὰς ὑπάρχω τῇ φύσει ἡνωμένη, ὁ Πατήρ φησιν, ὁ Υἱὸς, καὶ θεῖον Πνεῦμα.

Καὶ νῦν.

Ἡ μήτρα σου Θεὸν ἡμῖν ἔτεκε μεμορφωμένον καθ' ἡμᾶς· ὃν ὡς κτίστην πάντων δυσώπει, Θεοτόκε, ἵνα ταῖς πρεσβείαις ταῖς σαῖς δικαιωθῶμεν.

Κοντάκιον· Ἰδιόμ. ἦχ. πλ. β'.

Ψυχή μου, ψυχή μου, ἀνάστα, τί καθεύδεις; τὸ τέλος ἐγγίζει, καὶ μέλλεις θορυβεῖσθαι· ἀνάνηψον οὖν, ἵνα φείσηταί σου Χριστὸς ὁ Θεός· ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Ὁ οἶκος.

Τὸ τοῦ Χριστοῦ ἰατρεῖον βλέπων ἀνεῳγμένον, καὶ τὴν ἐκ τούτου τῷ Ἀδὰμ πηγάζουσαν ὑγείαν, ἔπαθεν, ἐπλήγη ὁ διάβολος, καὶ ὡς κινδυνεύων ὠδύρετο, καὶ τοῖς αὐτοῦ φίλοις ἀνεβόησε· τί ποιήσω τῷ Υἱῷ τῆς Μαρίας; κτείνει με ὁ Βηθλεεμίτης, Ὁ πανταχοῦ παρὼν, καὶ τὰ πάντα πληρῶν.

Τὸ Συναξάριον πρῶτον τοῦ Μηναίου· εἶτα τὸ παρόν.

Στίχ. Κατανύξεως, Χριστέ μου, τρόπους διδοὺς ἀδόντας νυνί. Κανόνα σοι τὸν μέγαν.

Τῇ αὐτῇ ἡμέρᾳ κατὰ τὴν ἀρχαίαν παράδοσιν ψάλλομεν καὶ τὴν τοῦ μεγάλου Κανόνος Ἀκολουθίαν. Τοῦτον τὸν ὄντως Κανόνων μέγιστον ἁπάντων ἀρίστως, καὶ τεχνικῶς ἡρμόσατο, καὶ συνέγραψεν ὁ ἐν Ἁγίοις Πατὴρ ἡμῶν Ἀνδρέας ὁ Ἀρχιεπίσκοπος Κρήτης, ὁ καὶ Ἱεροσολυμίτης ὀνομαζόμενος· ὃς ὥρμητο μὲν ἐκ Δαμασκοῦ· ἐπὶ τέσσαρες καὶ δεκάτῳ δὲ ἔτει τῆς αὐτοῦ ἡλικίας παιδευτηρίῳ γραμματικῆς ἐκδοθεὶς, καὶ τὴν ἐγκύκλιον παίδευσιν ἐξασκήσας, εἰς Ἱεροσόλυμα γεγονὼς, τὸν μοναστὴν ὑπέρχεται βίον· Ὁσίως δὲ, καὶ θεοφιλῶς διάγων ἐν ἡσύχῳ, καὶ ἀταράχῳ τῇ βιωτῇ, πολλὰ μὲν, καὶ ἄλλα συγγράμματα βιοφελῆ καταλείπει τῇ Θεοῦ Ἐκκλησίᾳ λόγους τε, καὶ Κανόνας, μᾶλλον ἀδρότερος ἐν τοῖς Πανηγυρικοῖς γινόμενός τε, καὶ δεικνύμενος· σὺν πολλοῖς δὲ ἄλλοις καὶ τὸν παρόντα μέγαν Κανόνα συνέταξε κατάνυξιν ἄπειρον ἔχοντα· πᾶσαν γὰρ Παλαιᾶς, καὶ Νέας ἱστορίαν διαθήκης ἐρανισάμενος, καὶ ἀθροίσας, τὸ παρὸν ἡρμόσατο μέλος, ἀπὸ Ἀδὰμ δηλαδὴ, μέχρι καὶ αὐτῆς τῆς Χριστοῦ Ἀναλήψεως, καὶ τοῦ τῶν Ἀποστόλων κηρύγματος· Προτρέπεται γοῦν διὰ τούτου πᾶσαν ψυχήν, ὅσα μὲν ἀγαθὰ τῆς ἱστορίας ζηλοῦν, καὶ μιμεῖσθαι πρὸς δύναμιν, ὅσα δὲ τῶν φαύλων ἀποφεύγειν, καὶ ἀεὶ πρὸς Θεὸν ἀνατρέχειν διὰ μετανοίας, διὰ δακρύων, καὶ ἐξομολογήσεως, καὶ τῆς ἄλλης δηλονότι εὐαρεστήσεως· πλὴν εἰς τοσοῦτόν ἐστιν εὐρὺς, καὶ ἐμμελὴς, ὡς καὶ αὐτὴν τὴν σκληροτέραν ψυχὴν ἱκανὸς μαλάξαι, καὶ πρὸς ἀνάληψιν ἀγαθοῦ διεγεῖραι· εἰ μόνον μετὰ συντετριμμένης καρδίας, καὶ προσοχῆς ἀνηκούσης ψάλλοιτο. Ἐποίησε δὲ τοῦτον, ὅτε καὶ ὁ Πατριάρχης Ἱεροσολύμων ὁ μέγας Σωφρόνιος τὸν τῆς Αἰγυπτίας Μαρίας βίον συνεγράψατο· κατάνυξιν γὰρ καὶ οὗτος ὁ βίος προβέβληται ἄπειρον, καὶ πολλὴν τοῖς ἐπταικόσι, καὶ ἁμαρτάνουσι παραμυθίαν δίδωσιν, εἰ μόνον τῶν φαύλων ἀποστῆναι βούλοιντο. Ἐτάχθησαν δὲ καὶ κατὰ τὴν παροῦσαν ἡμέραν ψάλλεσθαι, καὶ ἀναγινώσκεσθαι δι' αἰτίαν τοιαύτην· ἐπειδὴ γὰρ πρὸς τὸ τέλος ἐγγίζει ἡ ἁγία Τεσσαρακοστὴ, ἵνα μὴ οἱ ἄνθρωποι ῥάθυμοι γεγονότες πρὸς τοὺς πνευματικοὺς ἀγῶνας ἀμελέστερον διατεθῶσι· καὶ τῆς σωφροσύνης καθάπαξ ἐν πᾶσιν ἀπόσχωνται. Ὁ μὲν μέγιστος Ἀνδρέας,



Digitized by Google

οἷά τις ἀλείπτης, διὰ τῆς ἱστορίας τοῦ μεγάλου Κανόνος τῶν μεγάλων ἀνδρῶν λέγων τὴν ἀρετήν, καὶ τῶν φαύλων αὖθις τὴν ἐκτροπήν, ὡς ἄν τις φαίη, γενναιοτέρους τοὺς κάμνοντας παρασκευάζει καὶ ἀνδρικῶς τοῖς ἔμπροσθεν ἐπεκτείνεσθαι. Ὁ δὲ ἱερὸς Σωφρόνιος διὰ τοῦ ὑπερφυοῦς αὐτοῦ λόγου σώφρονας καὶ αὖθις εἶναι ποιεῖ, καὶ πρὸς Θεὸν διεγείρει, καὶ μὴ καταπίπτειν, μὴ δὲ ἀπογινώσκειν· εἰ καὶ τέως τισὶν ἑάλωσαν παραπτώμασιν· ὅση γὰρ ἡ τοῦ Θεοῦ φιλανθρωπία, καὶ συμπάθεια τοῖς ὁλοψύχως ἐκ τῶν προτέρων πταισμάτων ἐπιστρέφειν αἱρουμένοις ἡ κατὰ τὴν Αἰγυπτίαν διήγησις παριστᾷ· λέγεται δὲ μέγας Κανών, ἴσως ἄν τις εἴπῃ, καὶ κατ᾽ αὐτὰς τὰς ἐννοίας, καὶ τὰ ἐνθυμήματα· γόνιμος γάρ ἐστιν ὁ τούτου ποιητὴς ἀρίστως αὐτὰ συντιθέμενος. Καὶ ὅτι τῶν λοιπῶν Κανόνων ἀνὰ τριάκοντα, καὶ μικρόν τι πρὸς τροπαρίων ἐχόντων, οὗτος εἰς διακόσια καὶ πεντήκοντα πρόεισιν, ἑνὸς ἑκάστου ἄρρητον ἀποστάζοντος ἡδονήν· ἁρμοδίως οὖν ἄρα, καὶ προσηκόντως ὁ μέγας οὗτος Κανὼν καὶ μεγάλην κεκτημένος κατάνυξιν, κἂν τῇ μεγάλῃ τῶν Τεσσαρακοστῶν κατατέτακται. Τοῦτον τὸν ἄριστον Κανόνα, καὶ μέγιστον, καὶ τὸν τῆς ὁσίας Μαρίας λόγον ὁ αὐτὸς Πατὴρ ἡμῶν Ἀνδρέας πρῶτος εἰς τὴν Κωνσταντίνου κεκόμικεν· ὅτε πρὸς τοῦ Πατριάρχου Ἱεροσολύμων Θεοδώρου τῇ ἕκτῃ Συνόδῳ σταλεὶς εἰς βοήθειαν παρεγένετο· τότε γὰρ ἀρίστως κατὰ τῶν Μονοθελητῶν ἀγωνισάμενος, ἔτι διατελῶν ἐν μονάζουσι, τῷ τῆς ἐν Κωνσταντινουπόλει Ἐκκλησίας Κλήρῳ συγκαταλέγεται· εἶτα Διάκονος, καὶ ὀρφανοτρόφος ἐν ταύτῃ καθίσταται, καὶ μετὰ μικρὸν Ἀρχιεπίσκοπος Κρήτης γενόμενος, ὕστερον ἀγχιστάπου πρὸς τῇ λεγομένῃ Ἱερισσῷ καταντήσας ἐν Μιτυλήνῃ, πρὸς Κύριον ἐκδημεῖ, ἀρκοῦντος τοῦ ἰδίου Θρόνου ἐν μεθέξει γενόμενος. Ταῖς αὐτοῦ πρεσβείαις ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Εἶτα, οἱ μακαρισμοὶ μετὰ τὴν μετάνοιαν·

ἦχος πλ. β΄.

Ἐν τῇ Βασιλείᾳ σου μνήσθητι ἡμῶν Κύριε.

Λῃστὴν τοῦ Παραδείσου, Χριστέ, πολίτην ἐπὶ Σταυροῦ σοι βοήσαντα, τὸ Μνήσθητί μου, προσαπειργάσω, αὐτοῦ τῆς μετανοίας ἀξίωσον κἀμὲ τὸν ἀνάξιον.

Στίχ. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν.

Τὸν Μανωὲ ἀκούεις πάλαι, ψυχή μου, Θεοῦ ἐν φαντασίᾳ γενόμενον, καὶ τὸν ἐκ στείρας τότε λαβόντα καρπὸν ἐπαγγελίας· αὐτοῦ τὸ εὐσεβὲς μιμησώμεθα.

Στίχ. Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοί.

Τὴν τοῦ Σαμψὼν ζηλώσασα ῥαθυμίαν, τὴν δόξαν ἀπεκείρω τῶν ἔργων σου, ψυχή, προδοῦσα τοῖς ἀλλοφύλοις διὰ φιληδονίας τὴν σώφρονα ζωήν, καὶ μακάριον.

Στίχ. Μακάριοι οἱ πραεῖς ὅτι αὐτοί.

Ὁ πρὶν ἐν σιαγόνι ὄνου νικήσας τοὺς ἀλλοφύλους, νῦν παρανάλωμα τῆς ἐμπαθοῦς λαγνείας εὑρέθη, ἀλλ᾽ ἔκφυγε, ψυχή μου, τὴν μίμησιν, τὴν πρᾶξιν, τὴν χαύνωσιν.

Στίχ. Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες.

Βαράκ, καὶ Ἰεφθάε, οἱ στρατιάρχαι, κριταὶ τοῦ Ἰσραὴλ προεκρίθησαν, μεθ᾽ ὧν Δεββόρρα ἡ ἀρρενόφρων· αὐτῶν ταῖς ἀριστείαις, ψυχή, ἀρρενωθεῖσα κρατύνθητι.

Στίχ. Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοί.

Τὴν Ἰαὴλ ἀνδρείαν ἔγνως, ψυχή μου, τὴν τὸν Σισάρα πρὶν σκολοπίσασαν, καὶ σωτηρίαν ἐργασαμένην τὸν πάσσαλον ἀκούεις, δι᾽ οὗ σοι ὁ Σταυρὸς εἰκονίζεται.

Στίχ. Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι.

Θῦσον ψυχὴ θυσίαν ἐπαινουμένην, πρᾶξιν ὡς θυγατέρα προσάγαγε τῆς Ἰεφθάε καθαρωτέραν, καὶ σφάζον, ὥσπερ θῦμα, τὰ πάθη τῆς σαρκὸς τῷ Κυρίῳ σου.

Στίχ. Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι.

Τοῦ Γεδεὼν τὸν πόκον νόει, ψυχή μου, ἐξ Οὐρανοῦ τὴν δρόσον ὑποδέξαι, καὶ κύψον ὥσπερ κύων, καὶ πίε τὸ νᾶμα, τὸ ἐκ νόμου ῥυὲν τῇ ἀποθλίψει τοῦ γράμματος.

Στίχ. Μακάριοι οἱ δεδιωγμένοι.

Ἠλεὶ τοῦ Ἱερέως τὴν καταδίκην, ψυχή μου, ἐπεσπάσω δι᾽ ἔνδειαν φρενῶν, ἀναχομένη τὰ πάθη ἐν σοί, ὥσπερ ἐκεῖνος, τὰ τέκνα ἐνεργεῖν τὰ παράνομα.

Στίχ. Μακάριοι ἐστέ, ὅταν ὀνειδίσωσιν ἡμᾶς.

Ἐν τοῖς κριταῖς Λευΐτης δι᾽ ἐμμελείας τὴν ἑαυτοῦ γυναῖκα ταῖς δώδεκα φυλαῖς διεῖλε, ψυχή μου, ἵνα τὸ μῖσος θριαμβεύσῃ τὸ ἐκ Βενιαμίν, τὸ παράνομον.

Στίχ. Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν.

Ἡ φιλόσωφρον Ἄννα προσευχομένη τὰ χείλη μὲν ἐκίνει πρὸς αἴνεσιν· φωνὴ δὲ ταύτης οὐκ ἐξηχεῖτο· ἀλλ᾽ ὅμως, στεῖρα οὖσα, υἱὸν τῆς προσευχῆς τίκτει ἄξιον.

Στίχ. Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς.

Ἐν τοῖς κριταῖς ὁ Ἄννης ἐκρίθη γόνος, ὁ μέγας Σαμουήλ, ὃν ἐθρέψατο ἡ Ἀρμαθὲμ ἐν οἴκῳ Κυρίου· αὐτὸν ζήλου ψυχή μου, καὶ κρῖναι πρὸ τῶν ἄλλων τὰ ἔργα σου.

Στίχ. Μνήσθητι ἡμῶν Δέσποτα, ὅταν ἔλθῃς.

Δαβὶδ εἰς Βασιλέα ἐκλελεγμένος, βασιλικῶς ἐχρίσθη τῷ κέρατι τοῦ θείου μύρου· σὺ οὖν, ψυχή μου, τὴν ἄνω Βασιλείαν εἰ θέλεις, μύρῳ χρῖσαι τοῖς δάκρυσιν.

Στίχ. Μνήσθητι ἡμῶν ἅγιε, ὅταν.

Ἐλέησον τὸ πλάσμα σου, ἐλεῆμον, οἴκτειρον τῶν χειρῶν σου τὸ ποίημα, καὶ φεῖσαι πάντων ἡμαρ-

ἡμαρτηκότων, κἀμοῦ τοῦ ὑπὲρ πάντας τοῖς σοῖς ὑπερειδόντος προστάγμασιν.

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

Ἄναρχον καὶ γεννήσει τε, καὶ προόδῳ Πατέρα προσκυνῶν τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον Πατρί τε, καὶ Υἱῷ Πνεῦμα ἅγιον.

Θεοτοκίον.

Τὸν ὑπὲρ φύσιν τόκον σου προσκυνοῦμεν, τὴν κατὰ φύσιν δόξαν τοῦ βρέφους σου μὴ διαιροῦντες, Θεογεννῆτορ· ὁ εἷς γὰρ τῷ προσώπῳ διτλοῦς ὁμολογεῖται ταῖς φύσεσιν.

Ὠδὴ ζ. Ὁ Εἱρμός.

Ἡμάρτομεν, ἠνομήσαμεν, ἠδικήσαμεν ἐνώπιόν σου· οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν, καθὼς ἐνετείλω ἡμῖν· ἀλλὰ μὴ παραδώῃς ἡμᾶς εἰς τέλος, ὁ τῶν Πατέρων Θεός.

Ἡμάρτηκα, ἐπλημμέλησα, καὶ ἠθέτησα τὴν ἐντολήν σου· ὅτι ἐν ἁμαρτίαις προήχθην, καὶ προσέθηκα τοῖς μώλωψι τραῦμα ἐμοί· ἀλλ' αὐτός με ἐλέησον, ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

Τὰ κρύφια, τῆς καρδίας μου ἐξηγόρευσά σοι τῷ Κριτῇ μου· ἴδε μου τὴν ταπείνωσιν, ἴδε καὶ τὴν θλῖψιν μου, καὶ πρόσχες τῇ κρίσει μου νῦν, καὶ αὐτός με ἐλέησον, ὡς εὔσπλαγχνος, ὁ τῶν Πατέρων Θεός.

Σαοὺλ ποτὲ ὡς ἀπώλεσε τοῦ πατρὸς αὐτοῦ, ψυχὴ, τὰς ὄνους, πάρεργον τὸ βασίλειον εὗρε πρὸς ἀνάῤῥυσιν· ἀλλ' ὅρα μὴ λάθῃς σαυτὴν, τὰς κτηνώδεις ὀρέξεις σου προκρίνουσα τῆς Βασιλείας Χριστοῦ.

Δαβὶδ ποτὲ ὁ προπάτωρ εἰ καὶ ἥμαρτε διττῶς, ψυχή μου, βέλει μὲν τοξευθεὶς τῆς μοιχείας, τῷ δὲ δόρατι ἁλοὺς τῆς τοῦ φόνου ποινῆς, ἀλλ' αὐτὴ τὰ βαρύτερα τῶν ἔργων νοσεῖς, ταῖς κατὰ γνώμην ὁρμαῖς.

Συνῆψε μὲν ὁ Δαβὶδ ποτε ἀνομήματι τὴν ἀνομίαν, φόνῳ γὰρ τὴν μοιχείαν ἔκιρνα, τὴν μετάνοιαν εὐθὺς παραδείξας διπλῆν· ἀλλ' αὐτὴ πονηρότερα εἰργάσω, ψυχὴ, μὴ μεταγνοῦσα Θεῷ.

Δαβὶδ ποτὲ ἀνεστήλωσε, συγγραψάμενος ὡς ἐν εἰκόνι ὕμνον, δι' οὗ τὴν πρᾶξιν ἐλέγχει, ἣν εἰργάσατο, κραυγάζων, ἐλέησόν με· σοὶ γὰρ μόνῳ ἐξήμαρτον τῷ πάντων Θεῷ, αὐτὸς καθάρισόν με.

Ἡ Κιβωτὸς ὡς ἐφέρετο ἐπὶ δίφρου, Ὀζὰ ἐκεῖνος ὅτε, ἀνατραπέντος τοῦ μόσχου, μόνον ἥψατο, Θεοῦ ἐπειράθη ὀργῆς· ἀλλ' αὐτοῦ τὴν αὐθάδειαν φυγοῦσα, ψυχὴ, σέβου τὰ θεῖα καλῶς.

Ἀκήκοας τοῦ Ἀβεσσαλὼμ, πῶς τῆς φύσεως ἀντεξανέστη, ἔγνως τὰς ἐναγεῖς αὐτοῦ πράξεις, αἷς ἐξύβρισε τὴν κοίτην Δαβὶδ τοῦ πατρός· ἀλλ' αὐτὴ ἐμιμήσω τὰς αὐτοῦ ἐμπαθεῖς, καὶ φιληδόνους ὁρμάς.

Ὑπέταξας τὸ ἀδούλωτόν σου ἀξίωμα τῷ σώματί σου, ἄλλον γὰρ Ἀρχιτόφελ εὑροῦσα τὸν ἐχθρὸν, ψυχὴ, συνῆλθες ταῖς τούτου βουλαῖς· ἀλλ' αὐτὰς διεσκέδασεν αὐτὸς ὁ Χριστὸς, ἵνα σὺ πάντως σωθῇς.

Ὁ Σολομὼν ὁ θαυμάσιος, ὁ καὶ χάριτος σοφίας πλήρης· οὗτος τὸ πονηρὸν ἐναντίον τοῦ Θεοῦ ποτὲ ποιήσας, ἀπέστη αὐτοῦ· ᾧ αὐτὴ τὸν ἐπάρατόν σου βίον, ψυχὴ, προσαφωμοίωσας.

Ταῖς ἡδοναῖς ἑξελκόμενος τῶν παθῶν αὐτοῦ κατεῤῥυπαίνετο· οἴμοι, ὁ ἐραστὴς τῆς σοφίας, ἐραστὴς πορνῶν γυναικῶν, καὶ ξένος Θεοῦ· ὃν αὐτὴ ἐμιμήσω κατὰ νοῦν, ὦ ψυχὴ, ἡδυπαθείαις αἰσχραῖς.

Τὸν Ῥοβοὰμ παρεζήλωσας ἀλογήσαντα βουλὴν πατρῴαν· ἅμα δὲ καὶ τὸν κάκιστον δοῦλον Ἱεροβοὰμ, τὸν πρὶν ἀποστάτην, ψυχή· ἀλλὰ φεῦγε τὴν μίμησιν, καὶ κρᾶζε Θεῷ, ἥμαρτον, οἰκτείρησόν με.

Τὸν Ἀχαὰβ παρεζήλωσας τοῖς μιάσμασι, ψυχή μου, οἴμοι γέγονας σαρκικῶν μολυσμάτων καταγώγιον, καὶ σκεῦος αἰσχρὸν τῶν παθῶν· ἀλλὰ φεῦγε τὴν μίμησιν, καὶ λέγε Θεῷ τὰς ἁμαρτίας σου.

Ἐνεπύρησεν Ἠλιοῦ ποτε τοὺς πεντήκοντα τῆς Ἰεζάβελ· ὅτε τοὺς τῆς αἰσχύνης προφήτας κατηνάλωσεν εἰς ἔλεγχον τοῦ Ἀχαάβ· ἀλλὰ φεῦγε τὴν μίμησιν τῶν δύο, ψυχὴ, καὶ κραταιώθητι.

Ἐκλείσθη σοι Οὐρανὸς, ψυχὴ, καὶ λιμὸς Θεοῦ κατέλαβέ σε· ὅτε τοῖς Ἠλιοῦ τοῦ Θεσβίτου ὡς ὁ Ἀχαὰβ ἠπείθησε λόγοις ποτέ· ἀλλὰ τὴν Σαρεφθίαν μιμουμένη, σὺ θρέψον προφήτου ψυχήν.

Τοῦ Μανασσῆ ἐπεσωρεύσας τὰ ἐγκλήματα τῇ προαιρέσει, στήσασα ὡς βδελύγματα πάθη, καὶ πληθύνουσα, ψυχὴ, προσοχθίσματα· ἀλλ' αὐτοῦ τὴν μετάνοιαν ζηλοῦσα θερμῶς, κτῆσαι κατάνυξιν.

Προσπίπτω σοι, καὶ προσάγω σοι, ὥσπερ δάκρυα, τὰ ῥήματά μου· ἥμαρτον, ὡς οὐχ ἥμαρτε Πόρνη, καὶ ἠνόμησα, ὡς ἄλλος οὐδεὶς ἐπὶ γῆς, ἀλλ' οἰκτείρησον, Δέσποτα, τὸ ποίημά σου, καὶ ἀνακάλεσαί με.

Κατέχωσα τὴν εἰκόνα σου, καὶ παρέφθειρα τὴν ἐντολήν σου· ὅλον ἀπημαυρώθη τὸ κάλλος, καὶ τοῖς πάθεσιν ἐσβέσθη, Σωτὴρ, ἡ λαμπάς· ἀλλ' οἰκτείρας, ἀπόδος μοι, ὡς ψάλλει Δαβὶδ, τὴν ἀγαλλίασιν.

Ἐπίστρεψον, μετανόησον, ἀνακάλυψον τὰ κεκρυμμένα· λέγε Θεῷ τῷ τὰ πάντα εἰδότι, σὺ γινώσκεις μου τὰ κρύφια, μόνε Σωτὴρ, καὶ αὐτός με ἐλέησον, ὡς ψάλλει Δαβὶδ, κατὰ τὸ ἔλεός σου.

Ἐξέλιπον αἱ ἡμέραι μου, ὡς ἐνύπνιον ἐγειρομένου· ὅθεν ὡς Ἐζεκίας δακρύω ἐπὶ κλίνης μου, προστεθῆναί μοι χρόνους ζωῆς· ἀλλὰ τίς Ἡσαΐας παραστήσεταί σοι, ψυχή, εἰ μὴ ὁ πάντων Θεός;

Τῆς Ὁσίας.

Βοήσασα πρὸς τὴν ἄχραντον Θεομήτορα πρίν, ἀπεκρούσω λύσσαν παθῶν βιαίως ἐνοχλούντων, καὶ κατῄσχυνας ἐχθρὸν τὸν πτερνίσαντα, ἀλλὰ δὸς νῦν βοήθειαν ἐκ θλίψεως κἀμοὶ τῷ δούλῳ σου.

Ὃν ἔστερξας, ὃν ἐπόθησας, Μῆτερ, οὗ τινος κατ' ἴχνος ἦκες· οὗτος σου τὴν μετάνοιαν εὗρε, καὶ δεδώρηται, ὡς μόνος Θεὸς συμπαθής· ὃν ἀπαύστως ἱκέτευε, παθῶν λυτρωθῆναι ἡμᾶς, καὶ περιστάσεων.

Ἀνδρέου.

Τῆς πίστεως ἐν τῇ πέτρᾳ με ταῖς πρεσβείαις σου στήριξον, Πάτερ· φόβῳ με τῷ ἐνθέῳ τειχίζων, καὶ μετάνοιαν, Ἀνδρέα, παράσχου μοι νῦν δυσωπῶ σε, καὶ ῥῦσαί με παγίδος ἐχθρῶν, τῶν ἐκζητούντων με.

Δόξα.

Τριὰς ἁπλῆ, ἀδιαίρετε, ὁμοούσιε, καὶ φύσις μία· φῶτα, καὶ φῶς, καὶ ἅγια τρία, καὶ ἓν ἅγιον, ὑμνεῖται Θεὸς ἡ Τριάς· ἀλλ' ἀνύμνησον, δόξασον ζωὴν, καὶ ζωάς, ψυχή, τὸν πάντων Θεόν.

Θεοτοκίον.

Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, Θεογεννῆτορ, ὅτι τῆς ἀχωρίστου Τριάδος ἀπεκύησας τὸν ἕνα, Υἱὸν, καὶ Θεόν· καὶ αὐτὴ προηνέωξας ἡμῖν τοῖς ἐν γῇ τὰ ἐπουράνια.

Τὸ Τριῴδιον ἦχ. πλ. δʹ. Ὠδὴ ηʹ. ὁ Εἱρμός.

Τὸν ἄναρχον Βασιλέα τῆς δόξης, ὃν φρίττουσιν Οὐρανῶν αἱ Δυνάμεις, καὶ τρέμουσι τῶν
„ Ἀγγέλων αἱ τάξεις, ὑμνεῖτε Ἱερεῖς, λαὸς ὑπερ-
„ υψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὡς ἄνθρακες τοῦ πυρὸς τοῦ ἀΰλου συμφλέξατε τὰ ὑλώδη μου πάθη, ἀνάπτοντές μοι νῦν τὸν ἔρωτα τῆς θείας, Ἀπόστολοι, ἀγάπης.

Τὰς σάλπιγγας τὰς εὐήχους τοῦ Λόγου τιμήσωμεν, δι' ὧν πέπτωκε τείχη ἀνίδρυτα ἐχθροῦ, καὶ τῆς θεογνωσίας ἑδράσθησαν ἐπάλξεις.

Ἰνδάλματα ἐμπαθῆ τῆς ψυχῆς μου συντρίψατε, οἱ ναούς τε, καὶ στήλας συντρίψαντες ἐχθροῦ, Ἀπόστολοι Κυρίου, ναοὶ ἡγιασμένοι.

Θεοτοκίον.

Ἐχώρησας τὸν ἀχώρητον φύσει, ἐβάστασας τὸν βαστάζοντα πάντα, ἐθήλασας, ἁγνή· τὸν τρέφοντα τὴν Κτίσιν, Χριστὸν τὸν ζωοδότην.

Ἕτερον Τριῴδιον. Εἱρμὸς ὁ αὐτός.

Τοῦ Πνεύματος τῇ ἀρχιτεκτονίᾳ, δειμάμενοι πᾶσαν τὴν Ἐκκλησίαν, Ἀπόστολοι Χριστοῦ, ἐν ταύτῃ εὐλογεῖτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Σαλπίσαντες σάλπιγξι τῶν δογμάτων κατέστρεψαν οἱ Ἀπόστολοι πᾶσαν πλάνην εἰδωλικὴν, Χριστὸν ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ἀπόστολοι, ἡ καλὴ μετοικία, οἱ ἔφοροι Κόσμου, καὶ τῶν Οὐρανῶν πολῖται, τοὺς ὑμᾶς ἀεὶ ἀνευφημοῦντας λυτρώσατε κινδύνων.

Δόξα.

Τρισήλιε παμφαὴς Θεαρχία, ὁμόδοξε, καὶ ὁμόθρονε φύσις, Πατὴρ ὁ παντουργὸς, Υἱὲ, καὶ θεῖον Πνεῦμα, ὑμνῶ σε εἰς αἰῶνας.

Καὶ νῦν.

Ὡς ἔντιμον, καὶ ὑπέρτατον θρόνον ὑμνήσωμεν τοῦ Θεοῦ τὴν Μητέρα ἀπαύστως, οἱ λαοί, τὴν μόνην μετὰ τόκον Μητέρα, καὶ Παρθένον.

Εἱρμὸς ἄλλος.

Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι· καὶ φρίττει τὰ Χερουβὶμ, καὶ τὰ Σεραφίμ· πᾶσα πνοὴ
„ καὶ κτίσις, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Ἡμαρτηκότα, Σωτὴρ, ἐλέησον, διέγειρόν μου τὸν νοῦν πρὸς ἐπιστροφήν· δέξαι μετανοοῦντα, οἰκτείρησον βοῶντα· ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Ὁ διφρηλάτης Ἠλίας ἅρματι ταῖς ἀρεταῖς ἐπιβὰς, ὡς εἰς Οὐρανοὺς ἤρετο ὑπεράνω ποτὲ τῶν ἐπιγείων· τούτου οὖν, ψυχή μου, τὴν ἄνοδον ἀναλογίζου.

Τοῦ Ἰορδάνου τὸ ῥεῖθρον πρότερον τῇ μηλωτῇ Ἠλιοῦ διʼ Ἐλισσαιὲ ἔστη ἔνθα, καὶ ἔνθα, αὐτὴ δὲ, ὦ ψυχή μου, ταύτης οὐ μετέχεις τῆς χάριτος δι' ἀκρασίαν.

Ὁ Ἐλισσαῖος ποτὲ δεξάμενος τὴν μηλωτὴν Ἠλιοῦ, ἔλαβε διπλῆν χάριν παρὰ Κυρίου, αὐτὴ δὲ, ὦ ψυχή μου, ταύτης οὐ μετέχεις τῆς χάριτος δι' ἀκρασίαν.

Ἡ Σωμανῖτίς ποτε τὸν δίκαιον ἐξένισεν, ὦ ψυχή, γνώμῃ ἀγαθῇ· σὺ δὲ οὐκ εἰσῳκίσω, οὐ ξένον οὐχ ὁδίτην· ὅθεν τοῦ νυμφῶνος ῥιφήσῃ ἔξω θρηνῳδοῦσα.

Τοῦ Γιεζῆ ἐμιμήσω, τάλαινα, τὴν γνώμην τὴν ῥυπαρὰν πάντοτε, ψυχή· οὗ τὴν φιλαργυρίαν ἀπόθου κἂν ἐν γήρει· φεῦγε τῆς γεέννης τὸ πῦρ ἐκστᾶσα τῶν κακῶν σου.

Σὺ τὸν Ὀζίαν, ψυχή, ζηλώσασα, τὴν τούτου λέπραν ἐν σοὶ ἔσχες ἐν διπλῷ· ἄτοπα γὰρ λογίζῃ, παράνομα δὲ πράττεις· ἄφες ἃ κατέχεις, καὶ πρόσδραμε τῇ μετανοίᾳ.

Τοὺς Νινευΐτας, ψυχή, ἀκήκοας μετανοοῦντας Θεῷ σάκκῳ, καὶ σποδῷ· τούτους οὐκ ἐμιμήσω, ἀλλ' ὤφθης σκαιοτέρα πάντων τῶν πρὸ νόμου, καὶ μετὰ νόμον ἐπταικότων.

Τὸν ἐν τῷ λάκκῳ βορβόρου ἤκουσας Ἱερεμίαν, ψυχή, πόλιν τὴν Σιὼν θρήνοις καταβοῶντα, καὶ δάκρυα ζητοῦντα· μίμησαι τὸν τούτου θρηνώδη βίον, καὶ σωθήσῃ.



Digitized by Google

Ὁ Ἰωνᾶς εἰς Θαρσεῖς ἀπέδραμε, προγνοὺς τὴν ἐπιστροφὴν τῶν Νινευϊτῶν· ἔγνω γὰρ, ὡς Προφήτης, Θεοῦ τὴν εὐσπλαγχνίαν· ὅθεν παρεζήλου, τὴν προφητείαν μὴ ψευσθῆναι.

Τὸν Δανιὴλ ἐν τῷ λάκκῳ ἤκουσας, πῶς ἔφραξεν, ὦ ψυχὴ, στόματα θηρῶν· ἔγνωκας πῶς οἱ Παῖδες, οἱ περὶ Ἀζαρίαν, ἔσβεσαν τῇ πίστει, καμίνου φλόγα καιομένης.

Τῆς παλαιᾶς Διαθήκης ἅπαντας παρήγαγόν σοι, ψυχὴ, πρὸς ὑπογραμμόν· μίμησαι τῶν δικαίων τὰς φιλοθέους πράξεις· ἔκφυγε δὲ πάλιν τῶν πονηρῶν τὰς ἁμαρτίας.

Δικαιοκρῖτα Σωτὴρ ἐλέησον, καὶ ῥῦσαί με τοῦ πυρὸς, καὶ τῆς ἀπειλῆς, ἧς μέλλω ἐν τῇ κρίσει δικαίως ὑποστῆναι· ἄνες μοι πρὸ τέλους διὰ ἀρετῆς, καὶ μετανοίας.

Ὡς ὁ Λῃστὴς ἐκβοῶ τὸ Μνήσθητι, ὡς Πέτρος κλαίω πικρῶς, ἄνες μοι, Σωτήρ· κράζω ὡς ὁ Τελώνης, δακρύω ὡς ἡ Πόρνη· δέξαι μου τὸν θρῆνον, καθὼς ποτε τῆς Χαναναίας.

Τὴν σηπεδόνα, Σωτὴρ, θεράπευσον, τῆς ταπεινῆς μου ψυχῆς, μόνε ἰατρέ· μάλαγμά μοι ἐπίθες, καὶ ἔλαιον, καὶ οἶνον· ἔργα μετανοίας, κατάνυξιν μετὰ δακρύων.

Τὴν Χαναναίαν κἀγὼ μιμούμενος, ἐλέησόν με, βοῶ τῷ Υἱῷ Δαβίδ· ἅπτομαι τοῦ κρασπέδου ὡς ἡ Αἱμοῤῥοοῦσα· κλαίω ὡς ἡ Μάρθα, καὶ ἡ Μαρία ἐπὶ Λαζάρου.

Τὸ τῶν δακρύων, Σωτὴρ, ἀλάβαστρον ὡς μύρον κατακενῶν ἐπὶ κεφαλῆς, κράζω σοι, ὡς ἡ Πόρνη, τὸν ἔλεον ζητοῦσα, δέησιν προσάγω, καὶ ἄφεσιν, αἰτῶ, λαβεῖν με.

Εἰ καὶ μηδεὶς, ὡς ἐγὼ, σοὶ ἥμαρτεν, ἀλλ' ὅμως δέξαι κἀμὲ, εὔσπλαγχνε Σωτὴρ, φόβῳ μετανοοῦντα, καὶ πόθῳ κεκραγότα· ἥμαρτόν σοι μόνῳ, ἠνόμησα, ἐλέησόν με.

Φεῖσαι, Σωτὴρ, τοῦ ἰδίου πλάσματος, καὶ ζήτησον, ὡς ποιμὴν τὸ ἀπολωλὸς πρόβατον, πλανηθέντα ἐξάρπασον τοῦ λύκου· ποίησόν με θρέμμα ἐν τῇ νομῇ τῶν σῶν προβάτων.

Ὅταν Κριτὴς καθίσῃς ὡς εὔσπλαγχνος, καὶ δείξῃς τὴν φοβερὰν δόξαν σου, Χριστέ· ὢ ποῖος φόβος τότε, καμίνου καιομένης, πάντων δειλιώντων τὸ ἄστεκτον τοῦ Βήματός σου.

Τῆς Ὁσίας.

Ἡ τοῦ φωτὸς τοῦ ἀδύτου Μήτηρ σε φωτίσασα σκοτασμοῦ ἔλυσε παθῶν· ὅθεν εἰσδεδεγμένη τοῦ Πνεύματος τὴν χάριν, φώτισον, Μαρία, τοὺς σὲ πιστῶς ἀνευφημοῦντας.

Θαῦμα καινὸν κατιδὼν ἐξίστατο ὁ θεῖος ὄντως ἐν σοὶ, Μῆτερ, Ζωσιμᾶς· ἄγγελον γὰρ ἑώρα ἐν σώματι, καὶ θάμβους ὅλος ἐπληροῦτο, Χριστὸν ὑμνῶν εἰς τοὺς αἰῶνας.

Ἀνδρέου.

Ὡς παῤῥησίαν ἔχων πρὸς Κύριον, Ἀνδρέα, Κρήτης σεπτὸν κλέος, δυσωπῶ· πρέσβευε τοῦ δεσμοῦ με τῆς ἀνομίας λύσιν νῦν εὑρεῖν εὐχαῖς σου, διδάσκαλε, Ὁσίων δόξα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Ἄναρχε Πάτερ, Υἱὲ συνάναρχε, Παράκλητε ἀγαθὲ, Πνεῦμα τὸ εὐθές. Λόγου Θεοῦ Γεννῆτορ, Πατρὸς ἀνάρχου Λόγε, Πνεῦμα ζῶν, καὶ κτίζον, Τριὰς μονὰς ἐλέησόν με.

Θεοτοκίον.

Ὡς ἐκ βαφῆς ἁλουργίδος, ἄχραντε, ἡ νοητὴ πορφυρὶς τοῦ Ἐμμανουὴλ ἔνδον ἐν τῇ γαστρί σου, ἡ σὰρξ συνεξυφάνθη· ὅθεν Θεοτόκον ἐν ἀληθείᾳ σε τιμῶμεν.

Αἰνοῦμεν, εὐλογοῦμεν. Καὶ πάλιν τὸν Εἱρμόν. Τὸ Τελώδιον· ἦχ. πλ. δ'. Ὠδὴ θ'.

Κυρίως Θεοτόκον σε ὁμολογοῦμεν, οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε ἁγνὴ, σὺν Ἀσωμάτων „ χορείαις σε μεγαλύνοντες.

Πηγαὶ τοῦ σωτηρίου, νάματος δεχθέντες, τὴν ἐκτακεῖσαν ψυχήν μου, Ἀπόστολοι, τῆς ἁμαρτίας τῇ δίψῃ, κατεδροσίσατε.

Νηχόμενον πελάγει, τῷ τῆς ἀπωλείας, καὶ ὑποβρύχιον ἤδη γινόμενον, σῇ δεξιᾷ ὡς τὸν Πέτρον, Κύριε σῶσόν με.

Ὡς ἅλας τῶν νοσίμων ὄντες διδαγμάτων, τὴν σηπεδόνα νοός μου ξηράνατε, καὶ τῆς ἀγνοίας τὸ σκότος ἀποδιώξατε.

Θεοτοκίον.

Χαρὰν ὡς τετοκυῖα, πένθος μοι παράσχου, διὰ οὗ τὴν θείαν παράκλησιν Δέσποινα, ἐν τῇ μελλούσῃ ἡμέρᾳ εὑρεῖν δυνήσομαι.

Εἱρμὸς ἄλλος.

Σὲ τὴν Οὐρανοῦ, καὶ γῆς μεσίτιν, πᾶσαι γενεαὶ μεγαλύνομεν, σωματικῶς γὰρ ἐσκήνωσεν „ ἐν σοὶ τὸ πλήρωμα, Παρθένε, τῆς Θεό„ τητος.

Σὲ τὸ εὐκλεὲς τῶν Ἀποστόλων σύστημα ᾠδαῖς μεγαλύνομεν, τῆς Οἰκουμένης φωστῆρες γὰρ φαιδροὶ ἐδείχθητε, τὴν πλάνην ἐκδιώκοντες.

Εὐαγγελικῇ ὑμῶν σαγήνῃ λογικοὺς ἰχθύας ἀγρεύοντες, αὐτοὺς προσφέρετε πάντοτε Χριστῷ ὀψώνιον, Ἀπόστολοι μακάριοι.

Ἐν τῇ πρὸς Θεὸν ὑμῶν αἰτήσει μέμνησθε ἡμῶν, Ἀπόστολοι, ἀπὸ παντὸς λυτρωθῆναι πειρασμοῦ, δεόμεθα, τοὺς πόθῳ ἀνυμνοῦντας ὑμᾶς.

Δόξα.

Σὲ τὴν τρισυπόστατον μονάδα, Πάτερ, Υἱὲ, σὺν τῷ Πνεύματι, ἕνα Θεὸν ὁμοούσιον ὑμνοῦμεν, Τριάδα ὁμοδύναμον καὶ ἄναρχον.

Θεοτοκίον.

Σὲ τὴν παιδοτόκον, καὶ Παρθένον, πᾶσαι γενεαὶ μακαρίζομεν, ὡς διὰ σοῦ λυτρωθέντες

Digitized by Google

τας τῆς ἀρετῆς, χαρὰν γὰρ ἡμῖν ἔτεκες τὸν Κύριον.

Τοῦ μεγάλου Κανόνος. Εἱρμὸς ἄλλος.

ΑΣπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος μητρὸς ἀνάνδρου· ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαί, ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

ΟΝοῦς τετραυμάτισται, τὸ σῶμα μεμαλάκισται, νοσεῖ τὸ Πνεῦμα· ὁ λόγος ἠσθένησεν, ὁ βίος νενέκρωται, τὸ τέλος ἐπὶ θύραις· διό μοι, τάλαινα ψυχή, τί ποιήσεις, ὅταν ἔλθῃ ὁ Κριτής, ἀνερευνῆσαι τὰ σά;

ΜΩσέως παρήγαγον, ψυχή, τὴν κοσμογένεσιν, καὶ ἐξ ἐκείνου πᾶσαν ἐνδιάθετον γραφὴν ἱστοροῦσάν σοι δικαίους, καὶ ἀδίκους· ὧν τοὺς δευτέρους, ὦ ψυχή, ἐμιμήσω, οὐ τοὺς πρώτους, εἰς Θεὸν ἐξαμαρτήσασα.

ΟΝόμος ἠσθένησεν, ἀργεῖ τὸ Εὐαγγέλιον, Γραφὴ δὲ πᾶσα ἐν σοὶ παρημέληται, Προφῆται ἠτόνησαν, καὶ πᾶς δικαίου λόγος· αἱ τραυματίαι σου, ψυχή, ἐπληθύνθησαν, οὐκ ὄντος ἰατροῦ τοῦ ὑγιοῦντός σε.

ΤΗς νέας παράγω σοι Γραφῆς τὰ ὑποδείγματα, ἐνάγοντά σε· ψυχή, πρὸς κατάνυξιν· δικαίους οὖν ζήλωσον, ἁμαρτωλοὺς ἐκτρέπου· καὶ ἐξιλέωσαι Χριστὸν προσευχαῖς τε, καὶ νηστείαις, καὶ ἁγνείᾳ, καὶ σεμνότητι.

ΧΡιστὸς ἐνηνθρώπησε, σαρκὶ προσομιλήσας μοι, καὶ πάντα, ὅσα ὑπάρχει τῆς φύσεως, βουλήσει ἐπλήρωσε, τῆς ἁμαρτίας δίχα, ὑπογραμμόν σοι, ὦ ψυχή, καὶ εἰκόνα προδεικνύων τῆς αὐτοῦ συγκαταβάσεως.

ΧΡιστὸς ἐνηνθρώπησε, καλέσας πρὸς μετάνοιαν Λῃστάς, καὶ Πόρνας· ψυχὴ μετανόησον, ἡ θύρα ἠνέῳκται τῆς Βασιλείας ἤδη, καὶ προαρπάζουσιν αὐτὴν Φαρισαῖοι, καὶ Τελῶναι, καὶ μοιχοὶ μεταποιούμενοι.

ΧΡιστὸς μάγους ἔσωσε, ποιμένας συνεκάλεσε, νηπίων δήμους ἀπέδειξε Μάρτυρας, Πρεσβύτην ἐδόξασε, καὶ γηραλαίαν Χήραν· ὧν οὐκ ἐζήλωσας, ψυχή, οὐ τὰς πράξεις, οὐ τὸν βίον, ἀλλ' οὐαί σοι ἐν τῷ κρίνεσθαι.

ΝΗστεύσας ὁ Κύριος ἡμέρας τεσσαράκοντα ἐν τῇ ἐρήμῳ, ὕστερον ἐπείνασε, δεικνὺς τὸ ἀνθρώπινον· ψυχὴ μὴ ἀθυμήσῃς, ἄν σοι προσβάλλῃ ὁ ἐχθρός, προσευχαῖς τε, καὶ νηστείαις, ἐκ ποδῶν ἀποκρουσθήτω σοι.

ΧΡιστὸς ἐπειράζετο, Διάβολος ἐπείραζε δεικνὺς τοὺς λίθους, ἵνα ἄρτοι γένωνται· εἰς ὄρος ἀνήγαγεν, ἰδεῖν τὰς βασιλείας τοῦ Κόσμου πάσας ἐν ῥιπῇ, φοβοῦ, ὦ ψυχή, τὸ δρᾶμα, νῆφε, εὔχου πᾶσαν ὥραν Θεῷ.

ΤΡυγὼν ἡ φιλέρημος, φωνὴ βοῶντος ἤχησε, Χριστοῦ ὁ λύχνος, κηρύττων μετάνοιαν, Ἡρώδης ἠνόμησε σὺν τῇ Ἡρωδιάδι· βλέπε, ψυχή μου, μὴ παγῇς τῶν ἀνόμων ταῖς παγίσιν, ἀλλ' ἀσπάζου τὴν μετάνοιαν.

ΤΗν ἔρημον ᾤκησεν ὁ Πρόδρομος τῆς χάριτος, καὶ Ἰουδαία πᾶσα, καὶ Σαμάρεια, ἀκούοντες ἔτρεχον, καὶ ἐξωμολογοῦντο τὰς ἁμαρτίας ἑαυτῶν, βαπτιζόμενοι προθύμως, οὓς αὐτὴ οὐκ ἐμιμήσω, ψυχή.

ΟΓάμος μὲν τίμιος, ἡ κοίτη δὲ ἀμίαντος· ἀμφότερα γὰρ Χριστὸς προευλόγησε, σαρκὶ ἐσθιόμενος, καὶ ἐν Κανᾷ δὲ γάμῳ τὸ ὕδωρ οἶνον ἐκτελῶν, καὶ δεικνύων πρῶτον θαῦμα, ἵνα σὺ μεταπεθῇς, ὦ ψυχή.

ΠΑράλυτον ἔσφιγξε Χριστὸς τὴν κλίνην ἄραντα, καὶ νεανίσκον θανέντα ἐξήγειρε, τῆς χήρας τὸ κύημα, καὶ τοῦ Ἑκατοντάρχου, καὶ Σαμαρείτιδι φανείς, τὴν ἐν πνεύματι λατρείαν σοί, ψυχή, προεζωγράφησεν.

ΑΙμόρρουν ἰάσατο ἁφῇ κρασπέδου Κύριος, λεπροὺς ἐκαθῆρε, τυφλούς, καὶ χωλεύοντας φωτίσας ἀνώρθωσε, κωφούς τε, καὶ ἀλάλους, καὶ τὴν συγκύπτουσαν χαμαὶ ἐθεράπευσε τῷ λόγῳ, ἵνα σὺ σωθῇς, ἀθλία ψυχή.

ΤΑς νόσους ἰώμενος, πτωχοῖς εὐηγγελίζετο Χριστὸς ὁ Λόγος, χωλοὺς ἐθεράπευσε, τελώναις συνήσθιεν, ἁμαρτωλοῖς ὡμίλει, τῆς Ἰαείρου θυγατρὸς τὴν ψυχὴν προμεταστᾶσαν ἐπανήγαγεν ἁφῇ τῆς χειρός.

ΤΕλώνης ἐσώζετο, καὶ Πόρνη ἐσωφρόνιζε, καὶ Φαρισαῖος αὐχῶν κατεκρίνετο· ὁ μὲν γάρ, ἱλάσθητι, ἡ δέ, ἐλέησόν με, ὁ δὲ ἐκόμπαζε βοῶν· ὁ Θεός, εὐχαριστῶ σοι, καὶ ἑξῆς τὰ τῆς ἀνοίας ῥητά.

ΖΑκχαῖος τελώνης ἦν, ἀλλ' ὅμως διεσώζετο, καὶ Φαρισαῖος ὁ Σίμων ἐσφάλλετο, καὶ Πόρνη ἐλάμβανε τὰς ἀφεσίμους λύσεις παρὰ τοῦ ἔχοντος ἰσχὺν ἀφιέναι ἁμαρτίας· ὅν, ψυχή, σαυτῇ ἱλέωσαι.

ΤΗν Πόρνην, ὦ τάλαινα ψυχή μου, οὐκ ἐζήλωσας, ἥτις λαβοῦσα μύρου τὸ ἀλάβαστρον, σὺν δάκρυσιν ἤλειψε τοὺς πόδας τοῦ Κυρίου, ἐξέμαξε δὲ ταῖς θριξί, τῶν ἀρχαίων ἐγκλημάτων τὸ χειρόγραφον ῥηγνύντος αὐτῇ.

ΤΑς πόλεις, αἷς ἔδωκε Χριστὸς τὸ Εὐαγγέλιον, ψυχή μου, ἔγνως· ὅπως κατηράθησαν· φοβοῦ τὸ ὑπόδειγμα, μὴ γένῃ ὡς ἐκεῖναι· ταῖς ἐν Σοδόμοις γὰρ αὐτὰς ὁ Δεσπότης παρεικάσας, ἕως ᾅδου κατεδίκασε.

ΜΗ χεῖρον, ὦ ψυχή μου, φανῇς δι' ἀπογνώσεως τῆς Χαναναίας, τὴν πίστιν ἀκούσασα, δι' ἧς τὸ θυγάτριον λόγῳ Θεοῦ ἰάθη. Υἱὲ Δαβίδ, σῶσον κἀμέ, ἀναβόησον ἐκ βάθους τῆς καρδίας, ὡς ἐκείνη, Χριστῷ.

ΣΠλαγχνίσθητι, σῶσόν με, Υἱὲ Δαβίδ, ἐλέησον, ὁ δαιμονῶντας λόγῳ ἰασάμενος, φωνὴν

δὲ τὴν εὔσπλαγχνον, ὡς τῷ Ληστῇ, καὶ φεῖσον. Ἀμὴν σοι λέγω, μετ' ἐμοῦ ἔσῃ ἐν τῷ Παραδείσῳ, ὅταν ἔλθω ἐν τῇ δόξῃ μου.

Λῃστὴς κατηγόρει σοι, Λῃστὴς ἐθεολόγει σοι, ἀμφότεροι γὰρ Σταυρῷ συνεκρέμαντο· ἀλλ' ὦ πολυεύσπλαγχνε, ὡς τῷ πιστῷ Λῃστῇ σου, τῷ ἐπιγνόντι σε Θεόν, κἀμοὶ ἄνοιξον τὴν θύραν τῆς ἐνδόξου Βασιλείας σου.

Ἡ Κτίσις συνείχετο, σταυρούμενόν σε βλέπουσα· ὄρη, καὶ πέτραι φόβῳ διερρήγνυντο, καὶ γῆ συνεσείετο, καὶ ᾅδης ἐγυμνοῦτο, καὶ συνεσκότασε τὸ φῶς ἐν ἡμέρᾳ καθορῶν σε, Ἰησοῦ, προσηλωμένον σαρκί.

Ἀξίους μετανοίας καρποὺς μὴ ἀπαιτήσῃς με· ἡ γὰρ ἰσχύς μου ἐν ἐμοὶ ἐξέλιπε, καρδίαν μοι δώρησαι ἀεὶ συντετριμμένην, πτωχείαν δὲ πνευματικήν, ἵνα ταῦτά σοι προσοίσω, ὡς δεκτὴν θυσίαν, μόνε Σωτήρ.

Κριτά μου, καὶ γνῶστά μου, ὁ μέλλων πάλιν ἔρχεσθαι σὺν τοῖς Ἀγγέλοις, κρῖναι Κόσμον ἅπαντα, ἱλέῳ σου ὄμματι τότε ἰδών με, φεῖσαι, καὶ οἰκτείρόν με, Ἰησοῦ, τὸν ὑπὲρ τὴν πᾶσαν φύσιν τῶν ἀνθρώπων ἁμαρτήσαντα.

Τῆς Ὁσίας.

Ἁπάσας ἐξέστησας τῇ ξένῃ πολιτείᾳ σου Ἀγγέλων τάξεις, βροτῶν τὰ συστήματα, ἀΰλως βιώσασα, καὶ φύσιν ὑπερβᾶσα· ἀνθ' ὧν ὡς ἄϋλος τοῖς ποσὶν ἐπιβαίνουσα, Μαρία, Ἰορδάνην διεπέρασας.

Τὸν Κτίστην ἱλέωσαι ὑπὲρ τῶν εὐφημούντων σε, ὁσία Μῆτερ, ῥυσθῆναι κακώσεων, καὶ θλίψεων, τῶν κύκλῳ συνεπιτιθεμένων, ἵνα ῥυσθέντες τῶν πειρασμῶν, μεγαλύνωμεν ἀπαύστως, τὸν δοξάσαντά σε Κύριον.

Ἀνδρέου.

Ἀνδρέα σεβάσμιε, καὶ Πάτερ τρισμακάριστε, ποιμὴν τῆς Κρήτης, μὴ παύσῃ δεόμενος ὑπὲρ τῶν σε ὑμνούντων, ἵνα ῥυσθῶμεν πάσης ὀργῆς, καὶ θλίψεως, καὶ φθορᾶς, καὶ πταισμάτων ἀνεικάστων, οἱ τιμῶντες σου τὴν μνήμην πιστῶς.

Δόξα.

Τριὰς ὁμοούσιε, μονὰς ἡ τρισυπόστατος, σὲ ἀνυμνοῦμεν, Πατέρα δοξάζοντες, Υἱὸν μεγαλύνοντες, καὶ Πνεῦμα προσκυνοῦντες, τὸν ἕνα φύσει ἀληθῶς Θεόν, ζωήν τε, καὶ ζωάς, Βασιλείαν ἀτελεύτητον.

Θεοτοκίον.

Τὴν πόλιν σου φύλαττε, Θεογεννῆτορ ἄχραντε· ἐν σοὶ γὰρ αὕτη πιστῶς βασιλεύουσα, ἐν σοὶ καὶ κρατύνεται, καὶ διὰ σοῦ νικῶσα τροποῦται πάντα πειρασμόν, καὶ σκυλεύει πολεμίους, καὶ διέπει τὸ ὑπήκοον.

Καὶ αὖθις τὸν Εἱρμόν· Ἐξαποστειλάριον τὸ Φωταγωγικὸν ὡς συνήθως.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. ἦχ. πλ. δ'. Δίς.

Ταῖς λῃστρικαῖς ἐφόδοις, περιπεσοῦσα ψυχή μου, δεινῶς τετραυμάτισαι ἐκ τῶν οἰκείων πταισμάτων, παραδοθεῖσα ἀνοήτοις ἐχθροῖς· ἀλλ' ὡς ἔχουσα καιρόν, ἐν κατανύξει βόησον· ἐλπὶς ἀπηλπισμένων, ζωὴ ἀπεγνωσμένων, Σωτὴρ ἀνάστησον, καὶ σῶσόν με.

Μαρτυρικόν.

Τὸν θώρακα τῆς πίστεως ἐνδυσάμενοι καλῶς, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ καθοπλίσαντες ἑαυτοὺς στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε· τοῖς τυράννοις ἀνδρείως ἀντεκατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφίσατε, νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε, πρεσβεύσατε ἀεὶ ὑπὲρ ἡμῶν, εἰς τὸ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Δέχου τὰς φωνὰς τῶν οἰκετῶν σου, πάναγνε Παρθένε Θεοτόκε, καὶ πρέσβευε ἀπαύστως, πλημμελημάτων λύσιν, καὶ εἰρήνην δωρηθῆναι ἡμῖν.

Συνάπτεται δὲ καὶ ἡ τρίτη Ὥρα ἄνευ στιχολογίας, καὶ Ἀπόλυσις. Εἰς τὴν Τριθέκτην Τροπάριον τῆς Προφητείας· ἦχος πλ. β'.

Εὔσπλαγχνε, μακρόθυμε Παντοκράτορ Κύριε, κατάπεμψον τὸ ἔλεός σου ἐπὶ τὸν λαόν σου.

Προκείμενον, Ψαλμὸς ϟϛ'. ἦχ. πλ. β'.

Ὁ Κύριος ἐβασίλευσεν, ἀγαλλιάσθω ἡ γῆ.

Στίχ. Εὐφρανθήτωσαν νῆσοι πολλαί.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ ποιήσας τὸν Οὐρανόν, καὶ πήξας αὐτόν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ, τῷ ἐπ' αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν· ἐγὼ Κύριος ὁ Θεὸς ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς, καὶ καθημένους ἐν σκότει. Ἐγὼ Κύριος ὁ Θεός, τοῦτό μου ἐστὶ τὸ ὄνομα, τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω, οὐδὲ τὰς ἀρετάς μου τοῖς γλυπτοῖς, τὰ ἀπ' ἀρχῆς ἰδοὺ ἥκασι, καὶ καινά, ἃ ἐγὼ ἀναγγέλλω, καὶ πρὸ τοῦ ἀναγγεῖλαι, ἐδηλώθη ὑμῖν. Ὑμνήσατε τῷ Κυρίῳ ὕμνον καινόν, ἡ ἀρχὴ αὐτοῦ δοξάζετε τὸ ὄνομα αὐτοῦ ἀπ' ἄκρου τῆς γῆς, οἱ καταβαίνοντες εἰς τὴν θάλασσαν, καὶ πλέοντες αὐτήν, αἱ νῆσοι, καὶ οἱ κατοικοῦντες αὐτάς· εὐφράνθητι ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς, ἐπαύλεις, καὶ οἱ κατοικοῦντες Κηδάρ· εὐφρανθήσονται οἱ κατοικοῦντες πέτραν, ἀπ' ἄκρου τῶν ὀρέων βοήσουσι· δώσουσι τῷ Θεῷ δόξαν, τὰς ἀρετὰς αὐτοῦ ἐν ταῖς νήσοις ἀναγγελοῦσι. Κύριος ὁ Θεὸς τῶν δυνάμεων ἐξελεύσεται, καὶ συντρίψει πόλεμον, ἐπεγερεῖ ζῆλον, καὶ βοήσεται ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ μετὰ ἰσχύος, ἐσιώπησα, μὴ καὶ

ἀεὶ

Digitized by Google

αἰεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; ὡς ἡ τίκτουσα ἐκαρτέρησα, ἐκστήσω, καὶ ξηρανῶ ἅμα, ἐρημώσω ὄρη, καὶ βουνοὺς, καὶ πάντα χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ· καὶ ἄξω τυφλοὺς ἐν ὁδῷ ᾗ οὐκ ἔγνωσαν, καὶ τρίβους, ἃς οὐκ ᾔδεισαν, πατῆσαι ποιήσω αὐτούς· ποιήσω αὐτοῖς τὸ σκότος εἰς φῶς, καὶ τὰ σκολιὰ εἰς εὐθεῖαν, ταῦτα τὰ ῥήματα ποιήσω, καὶ οὐκ ἐγκαταλείψω αὐτοὺς, λέγει Κύριος.

Προκείμενον, Ψαλμὸς ϟζʹ. ἦχ. πλ. βʹ.

Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.

Στίχ. Ἔσωσεν αὐτὸν ἡ δεξιὰ αὐτοῦ.

Τῇ Πέμπτῃ Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν Στιχολογουμένου ἀντὶ τοῦ, πρὸς Κύριον, τὸ κάθισμα, ὅπερ ἀφῄρηθη ἐν τῇ πρώτῃ Ὥρᾳ. Σημαίνει δὲ τὸ Λυχνικὸν ταχύτερον διὰ τὸν κόπον τῆς Ἀγρυπνίας. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ιʹ. Καὶ ψάλλομεν τὸ Ἰδιόμελον· ἦχος πλ. δʹ. Δίς.

Αὐτεξουσίως ἐξεδύθην τῇ πρώτῃ μου παραβάσει τῶν ἀρετῶν τὴν εὐπρέπειαν· ἠμφιασάμην δὲ ταύτην αὖθις τῇ πρός με συγκαταβάσει σου, Λόγε Θεοῦ· οὐ παρεῖδες γάρ με τὸν ἐν δεινοῖς παθήμασι κατασχεθέντα, καὶ λῃστρικῶς ὁδοπατηθέντα, ἀλλὰ τῇ πανσθενεῖ σου δυναστείᾳ περιποιησάμενός με, ἀντιλήψεως ἠξίωσας, πολυέλεε.

Μαρτ.

Μάρτυρες Κυρίου πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Ἕτερον στιχη. προσόμοιον· ἦχος αʹ.

Πανεύφημοι Μάρτυρες.

Ἠλειμμένος, Κύριε, Σταυρῷ Ἀδὰμ τὸ χειρόγραφον, τῇ θείᾳ Λόγχῃ διέρρηξας· διὸ διάρρηξον τοὺς δεσμούς μου, Λόγε. ὅπως σοι αἰνέσεως θυσίαν θύσω πίστει γηθόμενος, καιρὸν εὐπρόσδεκτον τῆς νηστείας νῦν εὑράμενος, ὃν εἰς πάντων σωτηρίαν ἔδειξας.

Ὅμοιον.

Νηστείας λαμπρότητι ποτὲ Μωϋσῆς λαμπόμενος, Θεοῦ τὴν δόξαν τεθέαται· τοῦτον ζηλώσασα, ταπεινὴ ψυχή μου, τὸν Σταυρῷ τανύσαντα παλάμας διὰ σὲ ἀγαθότητι, ἔργοις θεράπευσον ἐγκρατείας, καὶ δεήσεως, ὅπως τύχῃς θείας ἀπολαύσεως.

Ἕτερον στιχη. προσόμοιον· ἦχ. πλ. βʹ.

Ἀρχαγγελικῶς ἀνυμνήσωμεν πιστοί.

Τὸν ζωοποιὸν προσκυνοῦντές σου Σταυρὸν τῆς ἀφράστου πρὸς ἡμᾶς σου ἀμέτρου ἀγαθότητος, Χριστὲ, καὶ ἐν αὐτῷ φωτισθέντες τὰς ψυχὰς, ἀνυμνοῦμέν σε ἀπαύστως, αἰτούμενοι, εὐθύμως ἐν χαρᾷ τελέσαι τὸ στάδιον τῆς νηστείας, καὶ φθάσαι τὰ πάθη σου ἀνυμνῆσαι, Κύριε, δι᾽ ὧν ἔσωσας ἡμᾶς.

Καὶ τοῦ Μηναίου δʹ. Δόξα. Καὶ νῦν, σταυροθεοτ. Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον Ψαλμὸς ϟηʹ. ἦχ. βαρύς.

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε δὲ Κύριος, κραυγὴ Σοδόμων, καὶ Γομόρρας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα, καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με, συντελοῦνται, εἰ δὲ μὴ, ἵνα γνῶ. Καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες, ἦλθον εἰς Σόδομα. Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς ἐναντίον Κυρίου. Καὶ ἐγγίσας Ἀβραὰμ, εἶπε· μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβὴς, ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ; μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής· μηδαμῶς· ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν; εἶπε δὲ Κύριος, ἐὰν ὦσιν ἐν Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν, καὶ πάντα τὸν τόπον δι᾽ αὐτούς· καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε, νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου· ἐγὼ δέ εἰμι γῆ, καὶ σποδός· ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαράκοντα πέντε, ἀπολεῖς ἕνεκεν τῶν τεσσαράκοντα πέντε πᾶσαν τὴν πόλιν, καὶ εἶπεν, οὐ μὴ ἀπολέσω· ἐὰν εὕρω ἐκεῖ τεσσαράκοντα πέντε, καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτὸν, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα· καὶ εἶπε· μήτι Κύριε ἐὰν λαλήσω; ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα· καὶ εἶπεν, ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν Κύριον· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἐὰν εὕρω ἐκεῖ εἴκοσι· καὶ εἶπε· μήτι Κύριε ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν, οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα. Ἀπῆλθε δὲ Κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραὰμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Προκείμενον Ψαλμὸς ϟθʹ. ἦχος πλ. βʹ.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Στίχ. Δουλεύσατε τῷ Κυρίῳ ἐν εὐφροσύνῃ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ὁ Δεχόμενος παιδείαν ἐν ἀγαθοῖς ἔσται, ὁ δὲ φυλάσσων ἐλέγχους σοφισθήσεται· ὃς φυλάσσει τὰς ἑαυτοῦ ὁδοὺς, τηρεῖ τὴν ἑαυτοῦ ψυχήν· ἀγαπῶν δὲ ζωὴν αὐτοῦ φείσεται στόματος αὐτοῦ· πρὸ συντριβῆς ἡγεῖται ὕβρις, πρὸ δὲ πτώματος κακοφροσύνη· κρείσσων πραΰθυμος μετὰ ταπεινώσεως, ἢ ὃς διαιρεῖται σκῦλα μετὰ ὑβριστῶν· συνετὸς ἐν πράγμασιν εὑρετὴς ἀγαθῶν, πεποιθὼς δὲ ἐπὶ Θεῷ μακαριστός· τοὺς σοφοὺς καὶ συνετοὺς φαύλους καλοῦσιν, οἱ δὲ γλυκεῖς ἐν λόγῳ πλείονα ἀκούσονται· πηγὴ ζωῆς ἔννοια τοῖς κεκτημένοις, παιδεία δὲ ἀφρόνων κακή· καρδία σοφοῦ νοήσει τὰ ἀπὸ τοῦ ἰδίου στόματος, ἐπὶ δὲ χείλεσι φορέσει ἐπιγνωμοσύνην· κηρία μέλιτος λόγοι καλοί· γλύκασμα δὲ αὐτοῦ ἴασις ψυχῆς· εἰσὶν ὁδοὶ δοκοῦσαι εἶναι ὀρθαὶ ἀνδρὶ, τὰ μέντοι τελευταῖα αὐτῶν βλέπει εἰς πυθμένα ᾅδου· ἀνὴρ ἐν πόνοις πονεῖ ἑαυτῷ, καὶ ἐκβιάζεται τὴν ἀπώλειαν ἑαυτοῦ· ὁ μέντοι σκολιὸς ἐπὶ τῷ ἑαυτοῦ στόματι φορεῖ τὴν ἀπώλειαν· ἀνὴρ ἄφρων ὀρύσσει ἑαυτῷ κακὰ, ἐπὶ δὲ τῶν χειλέων ἑαυτοῦ, θησαυρίζει πῦρ· ἀνὴρ σκολιὸς διαπέμπεται κακὰ, καὶ λαμπτῆρα δόλου πυρσεύσει κακοῖς, καὶ διαχωρίζει φίλους· ἀνὴρ παράνομος ἀποπειρᾶται φίλων, καὶ ἀπάγει αὐτοὺς ὁδοὺς οὐκ ἀγαθάς, στηρίζων δὲ ὀφθαλμοὺς αὐτοῦ διαλογίζεται διεστραμμένα, ὁρίζει δὲ τοῖς χείλεσιν αὐτοῦ πάντα τὰ κακά· οὗτος κάμινός ἐστι κακίας· στέφανος καυχήσεως γῆρας, ἐν δὲ ὁδοῖς δικαιοσύνης εὑρίσκεται· κρείσσων ἀνὴρ μακρόθυμος ἰσχυροῦ, ὁ δὲ κρατῶν ὀργῆς κρείσσων καταλαμβανομένου πόλιν· εἰς κόλπους ἐπέρχεται πάντα τοῖς ἀδίκοις, παρὰ δὲ Κυρίου πάντα τὰ δίκαια· κρείσσων ψωμὸς μεθ' ἡδονῆς ἐν εἰρήνῃ, ἢ οἶκος πολλῶν ἀγαθῶν καὶ ἀδίκων θυμάτων μετὰ μάχης· οἰκέτης νοήμων κρατήσει δεσποτῶν ἀφρόνων, ἐν δὲ ἀδελφοῖς διελεῖται μέρη· ὥσπερ δοκιμάζεται ἐν καμίνῳ ἄργυρος καὶ χρυσὸς, οὕτως ἐκλεκταὶ καρδίαι παρὰ Κυρίῳ· κακὸς ὑπακούει γλώσσης παρανόμων, δίκαιος δὲ οὐ προσέχει χείλεσι ψευδέσιν· ὁ καταγελῶν πτωχοῦ παροξύνει τὸν ποιήσαντα αὐτόν, ὁ δὲ ἐπιχαίρων ἀπολλυμένῳ οὐκ ἀθῳωθήσεται· ὁ δὲ ἐπισπλαγχνιζόμενος ἐλεηθήσεται, στέφανος γερόντων τέκνα τέκνων, καύχημα δὲ τέκνων πατέρες αὐτῶν· τοῦ πιστοῦ ὅλος ὁ κόσμος τῶν χρημάτων, τοῦ δὲ ἀπίστου οὐδὲ ὀβολός· οὐχ ἁρμόσει, ἄφρονι χείλη πιστά, οὐδὲ δικαίῳ χείλη ψευδῆ· μισθὸς χαρίτων ἡ παιδεία τοῖς χρωμένοις, οὗ δ' ἂν ἐπιστρέψῃ, εὐοδωθήσεται· ὃς κρύπτει ἀδικήματα, ζητεῖ φιλίαν, ὃς δὲ μισεῖ κρύπτειν, διΐστησι φίλους καὶ οἰκείους· συντρίβει ἀπειλὴ καρδίαν φρονίμου, ἄφρων δὲ μαστιγωθεὶς, οὐκ αἰσθάνεται· ἀντιλογίας ἐγείρει πᾶς κακός, ὁ δὲ Κύριος ἄγγελον ἀνελεήμονα ἐκπέμψει αὐτῷ· ἐμπεσεῖται μέριμνα ἀνδρὶ νοήμονι, οἱ δὲ ἄφρονες διαλογιοῦνται κακά· ὃς ἀποδίδωσι κακὰ ἀντὶ ἀγαθῶν, οὐ κινηθήσεται κακὰ ἐκ τοῦ οἴκου αὐτοῦ· ἐξουσίαν δίδωσι λόγοις ἀρχὴ δικαιοσύνης, προηγεῖται δὲ τῆς ἐνδείας στάσις καὶ μάχη· ὃς δίκαιον κρίνει τὸν ἄδικον, ἄδικον δὲ τὸν δίκαιον, ἀκάθαρτος καὶ βδελυκτὸς παρὰ Θεῷ· ἵνα τί ὑπῆρξε χρήματα ἄφρονι; κτήσασθαι γὰρ σοφίαν ἀκάρδιος οὐ δυνήσεται· ὃς ὑψηλὸν ποιεῖ τὸν ἑαυτοῦ οἶκον, ζητεῖ συντριβήν, ὁ δὲ σκολιάζων τοῦ μαθεῖν, ἐμπεσεῖται εἰς κακά· εἰς πάντα καιρὸν φίλος ὑπαρχέτω σοι, ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων. Ἐν ᾗ μεταλαμβάνομεν καὶ τῶν ἁγίων τοῦ Χριστοῦ Μυστηρίων. Δεῖ εἰδέναι, ὡς ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς κατὰ τὴν ἡμέραν ταύτην, προψάλλεται ἡ Ἀκολουθία τοῦ μεγάλου Κανόνος τῇ Τρίτῃ, ἤγουν τῇ Δευτέρᾳ ἑσπέρας, ἡ δὲ Ἑορτὴ γίνεται ἀμετάθετος.

Τῇ Παρασκευῇ τῆς ε΄. Ἑβδομάδος εἰς τὸν Ὄρθρον τὰ Τριαδικά. Μετὰ τὴν πρώτην στιχολογίαν λέγομεν καθίσμ. σταυρώσιμα τῆς Ὀκτωήχου δύο μετὰ καὶ Θεοτοκίου· μετὰ δὲ τὴν β΄. στιχολογίαν λέγομεν τὸ παρὸν κάθισμα ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Ἐξέτεινας, Χριστὲ, τὰς παλάμας ἐν ξύλῳ, ἰώμενος πληγὴν τοῦ Ἀδὰμ ταῖς πληγαῖς σου, διὸ ἱκετεύω σε, τὰς πληγάς μου θεράπευσον· ἃς ἀπέθετο ἐν τῇ ψυχῇ μου ὁ πλάνος· καὶ ἀξίωσον ἐν προσευχῇ, καὶ νηστείᾳ, Σωτὴρ, θεραπεῦσαί σε.

Σταυροθεοτοκίον. Ὅμοιον.

Ὁρῶσά σε, Χριστέ, ἡ πανάμωμος Μήτηρ νεκρὸν ἐπὶ Σταυροῦ ἡπλωμένον, ἐβόα. Υἱέ μου συνάναρχε τῷ Πατρὶ, καὶ τῷ Πνεύματι· τίς ἡ ἄφατός σου οἰκονομία αὕτη; δι' ἧς ἔσωσας τὸ τῶν ἀχράντων χειρῶν σου, οἰκτίρμον, πλαστούργημα.

Εἰς τὴν γ΄. στιχολογ. κάθισ. ἦχος πλ. β΄.

Ἐλπὶς τοῦ Κόσμου.

Σταυρὲ τοῦ Κόσμου φυλακτὴρ, τῶν δαιμόνων διώκτα, τοὺς σὲ κτωμένους ἐν παντὶ προστασίαν ἄμαχον, ἀξίωσον, τὸ τῆς νηστείας διελθεῖν ὑπόλοιπον ἐν συνειδήσει καθαρᾷ, εὐθύνων τὰς ψυχὰς ἡμῶν ἐνώπιον Χριστοῦ, ξύλον εὐλογημένον.

Σταυροθεοτοκίον Ὅμοιον.

Ἁγνὴ Παρθένε, καὶ σεμνὴ, τῶν Ἀγγέλων ἡ δόξα, ὅτε παρέστης τῷ Σταυρῷ τοῦ Υἱοῦ, καὶ Θεοῦ σου, μὴ φέρουσα ὁρᾶν τὰς παροινίας τῶν ἐχθρῶν, ἐκραύγαζες ὀδυρομένη μητρικῶς· πῶς

φέρεις

φέρεις, ὦ φιλάνθρωπε, τὰς πάντων ἀπειλάς; δόξα τῇ μακροθυμίᾳ σου.

Τὸ Τριῴδιον τοῦ Κυρίου Ἰωσήφ. Καὶ συλλογᾶται ἡ ᾠδή, ᾠδὴ ε΄. ἦχος α΄.

Ὁ φωτίσας τῇ ἐλλάμψει.

ΟὙρανὸν ὁ κτείνας ὡσεὶ δέρριν, ἐξέτεινας τὰς παλάμας ἐν Σταυρῷ Ἰησοῦ ὑπεράγαθε· διὸ ἱκετεύω σε, καταπατουμένην ἐχθρῶν με ταῖς ἐπηρείαις οἰκτείρησον.

ἈΦύπνωσας ἐν Σταυρῷ, Ἰησοῦ ὑπεράγαθε, ἐγρήγορσιν σωτηρίας ἡμῖν παρεχόμενος τοῖς κειμένοις, Κύριε, ἐν κατωτάτῳ ἀπωλείας· ὅθεν σε πίστει δοξάζομεν.

ΤΟῦ πάθους σου τὴν ἡμέραν ἰδεῖν καταξίωσον τοὺς δούλους σου, φωτισθέντας καρδίας φαιδρότητι, καὶ τὴν ζωηφόρον σου, Σωτήρ, Ἀνάστασιν ὑμνοῦντας τὸ κράτος τῆς Βασιλείας σου.

ὉΡῶσά σε ἐν Σταυρῷ ἠρτημένον ἡ πανάγνος ἠλάλαζε, τετρωμένη τὰ σπλάγχνα, καὶ ἔλεγε· διὰ σπλάγχνα, Κύριε, σῶν οἰκτιρμῶν παθεῖν ἠνέσχου, πᾶσι παρέχων ἀπάθειαν.

Εἱρμὸς ἄλλος τοῦ Κυρίου Θεοδώρου, ἦχος πλ. β΄.

Ἐκ νυκτὸς ὀρθρίζοντα.

ἘΝ Σταυρῷ, φιλάνθρωπε, τὰς χεῖράς σου ἥλωσαν, ἥλωσαν, νύξαντες καὶ τὴν πλευρὰν τῇ λόγχῃ Ἰουδαῖοι· καὶ φέρεις πάντα, Χριστέ, ἵνα ἡμεῖς σωθῶμεν.

ΞΎλου βρώσει τέθνηκέ ποτε ὁ Ἀδάμ, πάλιν δὲ εὕρατο ἐν τῷ ξύλῳ τοῦ Σταυροῦ ζωήν, δι' ἧς, οἰκτίρμον, ἀπολαύει τρυφῆς ἔνδον τοῦ Παραδείσου.

Δόξα.

ΜΟνάδα τῇ φύσει σέ, Τριάς, ἀνυμνῶ, ἄναρχον, ἄκτιστον, ἀρχικήν, βασιλικήν, ὑπερτελῆ ἑνάδα, Θεόν, καὶ φῶς, καὶ ζωὴν δημιουργὸν τοῦ Κόσμου.

Καὶ νῦν.

ἘΝ τῇ ὑπερφυεῖ σου κυήσει, ἁγνή, νόμοι σοι φύσεως καταλύονται σαφῶς· καὶ γὰρ ἀσπόρως τίκτεις τὸν πρὸ αἰώνων Θεὸν ἐκ Πατρὸς γεννηθέντα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΟν Σταυρόν, τὴν λόγχην, καὶ τοὺς ἥλους σου σέβομαι, Δέσποτα· δι' αὐτῶν γὰρ τῆς φθορᾶς ἡμᾶς ἀπελύτρωσω, ἐν τῷ σῷ πάθει, Χριστέ, ἀπαθανατισθέντες.

Ὁ Εἱρμός.

ἘΚ νυκτὸς ὀρθρίζοντα, φιλάνθρωπε, φώτισον, δέομαι, καὶ ὁδήγησον κἀμὲ ἐν τοῖς προστάγμασί σου, καὶ δίδαξόν με, Σωτήρ, ποιεῖν τὸ θέλημά σου.

Ὠδὴ η΄. Θαύματος ὑπερφυοῦς.

ἭΜβλυνας τοῦ πονηροῦ, Σωτήρ, τὰ κέντρα, καθηλούμενος ἥλοις ἐν ξύλῳ, ἀκανθῶν διάδημα ἀνεδύσω χλευαστικῶς, ἐκριζῶν τῆς παραβάσεως τὴν ἄκανθαν· διὸ ἀνυμνοῦντες, σοὶ κραυγάζομεν· εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

ἭΠλωσας ἐπὶ Σταυροῦ, Χριστέ, παλάμας, τὸ ἀνθρώπινον ἐπισυνάγων πρὸς τὴν σὴν ἐπίγνωσιν, καὶ τῇ λόγχῃ τὴν σὴν πλευρὰν κεντηθῆναι, κατεδέξω, ἀναβλύσας ἡμῖν κρουνοὺς σωτηρίας ἀναμέλπουσιν, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ τὰ ἑξῆς.

ῬΕῖθρεις εὐσπλαγχνίας σου, Οἰκτίρμων, ἀποκάθαρον μου τὴν καρδίαν ἁμαρτίας, δήγματι ἀπολωλεῖσαν, καὶ ποταμοὺς κατανύξεως πηγάζειν με ἀξίωσον, Χριστὲ Ἰησοῦ, ἵνα κραυγάζω σοι, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω.

Θεοτ.

ΣΤάμνον σε τὸ θεῖον μάννα κεκτημένην τῆς Θεότητος ἔγνωμεν, κόρη, κιβωτόν, καὶ τράπεζαν, καὶ λυχνίαν, θρόνον Θεοῦ, καὶ παλάτιον, καὶ γέφυραν μετάγουσαν πρὸς θείαν ζωὴν τοὺς ἀναμέλποντας, εὐλογείτω ἡ Κτίσις πᾶσα τὸν Κύριον, καὶ ὑπερυψούτω εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Τῶν παίδων τὴν ᾠδήν.

ΣΤαυροῦται ὁ Χριστός, καὶ ζωούμενος ἐγὼ συμψάλλω τοῖς Παισίν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

ὉΚόσμος ἐκ φθορᾶς τῇ σταυρώσει σου ῥυσθείς, συμψάλλει τοῖς Παισίν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα.

ΤΡιὰς ἰσοκλεής, ὁμοούσιε μονάς, ὁ Πατήρ, καὶ ὁ Υἱός, καὶ τὸ Πνεῦμα, σῶσόν με τὸν πίστει ὑμνοῦντά σε.

Καὶ νῦν.

ΤΟν τόκον τῆς ἁγνῆς Θεοτόκου προσκυνῶ, συμψάλλων τοῖς Παισίν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ὙΜνῶ σου τὸν Σταυρόν, δι' οὗ σέσωσμαι, Σωτήρ, συμψάλλων τοῖς Παισίν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Ὁ Εἱρμός.

ΤΩν Παίδων τὴν ᾠδὴν ἐκμιμούμενος βοῶ, συμψάλλων τοῖς Παισίν, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ΄. Τύπον τῆς ἁγνῆς λοχείας σου.

ΕἾδεν Ἠλιοὺ τὸν Κύριον ἐν λεπτοτάτῃ αὔρᾳ, λεπτύνας πρότερον σάρκα προσευχῶν, καὶ νηστειῶν ἐπιδόσεσιν, ὃν ζηλοῦσα ψυχή μου, ἀπόρριψον τῶν ἡδονῶν τὸ πάχος, ὅπως θεάσῃ τὸν ποθούμενον.

ΞΎλῳ ἀνυψώσας πρότερον ὁ Μωϋσῆς τὸν ὄφιν, Σωτήρ, ἐτύπου σου τὴν ἀνύψωσιν τὴν ἐν Σταυρῷ, ὑπεράγαθε, ἰοβόλου κακίας τοῦ ὄφεως, δι' ἧς ἀπελύτρωσω πάντα τὰ ἔθνη προσκυνοῦντά σε.

Τά-

ΤΑ΄φῳ ῥαθυμίας κείμενος, ἐπιβαροῦντα ἔχων λίθον πωρώσεως, τὸν ἀείζωον μὴ συνιὼν, Σῶτερ, λόγον σου, καὶ τοῦ φόβου σου μὴ αἰσθανόμενος, οἰκτείρησόν με, σῶσον τῷ σῷ ἐλέει, πολυέλεε.

ΠΑ΄ντων ὑπερτέρα Δέσποινα, τῆς τῶν παθῶν κακίας δεῖξον ὑπέρτερον τὸν δοξάζοντα πανάληθη Θεοτόκον σε, καὶ ὑμνοῦντα τὸν τόκον σου, ἄχραντε, τὸν ἀκαταλήψια, Θεοχαρίτωτε, τιμώμενον.

Εἱρμὸς ἄλλος. Α᾿σπόρου συλλήψεως.

ΕΣταύρωσαι, καὶ σώζεις με, καὶ θνήσκεις, καὶ ζωοῖς ἐμὲ, ὢ εὐσπλαγχνίας, ὢ φιλανθρωπίας σου, τίς εἶδε, τίς ἤκουσε Δεσπότην ὑπὲρ δούλων ἑλόντα θάνατον ὁρατόν; ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ ἀγαθότητί σου, Κύριε.

Ο῾ Ἥλιος ἔδυσε, σταυρούμενον ὡς εἶδέ σε· πῶς γὰρ μὴ ἔδυ, τὴν ὕβριν αἰσθόμενος τοῦ δημιουργοῦ αὐτοῦ; ὡς καὶ ἡ κτίσις πᾶσα συγκλονουμένη τοῖς σταυρωταῖς σιωπῶσα ἀνεβόα, ὅτι σὺ Θεὸς ὑπάρχεις παντός.

Δόξα.

ΜΟ΄νου μονογενήτορ, μονογενοῦς Υἱοῦ Πατὴρ, καὶ μόνε μόνου, φῶς φωτὸς ἀπαύγασμα, καὶ μόνον μόνου Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου Κύριος, ὄντως ὢν, ὦ Τριὰς μονὰς ἁγία, σῶσόν με θεολογοῦντά σε.

Καὶ νῦν.

ΤΟ᾿ θαῦμα τοῦ τόκου σου ἐκπλήττει με, πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον, εἰπὲ πῶς παρθενεύεις γεννήσασα ὡς μήτηρ; τὸ ὑπὲρ φύσιν πίστει λαβὼν, τὸ τικτόμενον προσκυνεῖ· ὅσα θέλει γὰρ καὶ δύναται.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΔΙ᾿ ἡμᾶς ὑπέστη σου ἕκαστον μέλος πάθημα, πυγμὴν ἡ κάρα, ἡ ὄψις ῥαπίσματα, αἱ χεῖρες προσηλώσεις, καὶ ἡ πλευρὰ τὴν λόγχην· καὶ τὰ ἐξαίρετα τοῦ Σταυροῦ, ἀλλὰ δόξα τῇ ἀῤῥήτῳ εὐσπλαγχνίᾳ σου, Σωτὴρ ἡμῶν.

Ο῾ Εἱρμός.

ΑΣπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ
„ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶ-
„ σαι αἱ γενεαὶ ὡς Θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. ἦχος πλ. δ΄. Δίς.

Ο῾ Μετὰ λῃστῶν ἐν Σταυρῷ προσπαγεὶς, Χριστὲ ὁ Θεὸς, καὶ τῷ μώλωπί σου τὴν ἀνθρωπίνην φύσιν ἰασάμενος, μὴ παρίδῃς με νοητοῖς ὁδοστάταις, καὶ λῃσταῖς ἀσωμάτοις ἐμπεσόντα, καὶ τῆς ἀρετῆς ὑπ' αὐτῶν ἐκδυθέντα, καὶ χαλεπῶς τραυματισθέντα, παρὰ μηδενὸς δὲ τῶν ὁσίων ἰαθῆναι δυνάμενον· ἡμιθνὴς γὰρ εἰμὶ, βραχύτατον ἔχων ζωῆς λείψανον, τὴν εἰς σὲ μόνην ἐλπίδα, τὸν καὶ νεκροῖς ζωὴν παρέχοντα· ἀλλὰ κατάδησόν μου τὰ τραύματα, τὴν σὴν ἐπιστάξας μοι χρηστότητα, μόνε φιλάνθρωπε.

Μαρτυρικόν.

ΤΙ΄ ἡμᾶς καλέσωμεν, ἅγιοι; Χερουβίμ; ὅτι ὑμῖν ἐπανεπαύσατο Χριστός. Σεραφίμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν. Α᾿γγέλους; τὸ γὰρ σῶμα ἀπεστράφητε. Δυνάμεις; ἐνεργεῖτε ἐν τοῖς θαύμασι· πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα· πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, καὶ νῦν· σταυροθεοτοκ. ἦχος ὁ αὐτός.

Ω῏ τοῦ παραδόξου.

ΩῙ Τοῦ παραδόξου θαύματος, ὢ μυστηρίου καινοῦ, ὢ φρικτῆς ἐγχειρήσεως, ἡ Παρθένος ἔλεγεν, ἐν Σταυρῷ σε ὡς ἔβλεψεν ἐν μέσῳ δύο λῃστῶν κρεμάμενον, ὃν δίχα πόνου, καὶ φθορᾶς τέτοκε· πῶς σε ὁ ἄνομος δῆμος, καὶ ἀχάριστος, σπλάγχνον ἐμὸν Ἰησοῦ γλυκύτατε, Σταυρῷ προσήλωσεν;

Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. α΄.

ΥὙπερύμνητος εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ σαλεύων τὴν γῆν εἰς τὸ ἐπιστρέψαι, καὶ στηρίξαι τοὺς κατοικοῦντας ἐν αὐτῇ, καὶ πάλιν στερεῶν αὐτὴν, διὰ ἰδίαν ἀγαθότητα, καὶ ἄφατον εὐσπλαγχνίαν, πρεσβείαις τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Προκείμ. Ψαλμ. ρ΄. ἦχος πλ. β΄.

Ε῎λεον καὶ κρίσιν ᾄσομαί σοι Κύριε.

Στίχ. Ψαλῶ, καὶ συνήσω ἐν ὁδῷ ἀμώμῳ.

Προφητείας Ἠσαΐου τὸ Α᾿νάγνωσμα.

ΟὝτω λέγει Κύριος ὁ Θεὸς ὁ ἅγιος Ἰσραὴλ, ὁ ποιήσας τὰ ἐπερχόμενα· ἐρωτήσατέ με περὶ τῶν υἱῶν μου, καὶ περὶ τῶν ἔργων τῶν χειρῶν μου ἐντείλασθέ μοι· ἐγὼ ἐποίησα γῆν, καὶ ἄνθρωπον ἐπ' αὐτῆς, ἐγὼ τῇ χειρί μου ἐστερέωσα τὸν Οὐρανὸν, ἐγὼ πᾶσι τοῖς ἄστροις ἐνετειλάμην· ἐγὼ ἤγειρα αὐτὸν μετὰ δικαιοσύνης Βασιλέα, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ εὐθεῖαι· οὗτος οἰκοδομήσει τὴν πόλιν μου, καὶ τὴν αἰχμαλωσίαν τοῦ λαοῦ μου ἐπιστρέψει, οὐ μετὰ λύτρων, οὐδὲ μετὰ δώρων, εἶπε Κύριος Σαβαώθ· οὕτω λέγει Κύριος Σαβαώθ· ἐκοπίασεν Αἴγυπτος, καὶ ἐμπορεία Αἰθιόπων, καὶ οἱ Σαβαεὶμ ἄνδρες ὑψηλοὶ ἐπὶ σὲ διαβήσονται, καὶ σοὶ ἔσονται δοῦλοι, καὶ ὀπίσω σου ἀκολουθήσουσι δεδεμένοι χειροπέδαις, καὶ διαβήσονται πρὸς σὲ, καὶ προσκυνήσουσί σοι καὶ ἐν σοὶ προσεύξονται· ὅτι Θεὸς ἐν σοί ἐστι, καὶ οὐκ ἔστι Θεὸς πλὴν σοῦ· σὺ γὰρ εἶ Θεὸς, καὶ οὐκ ᾔδειμεν, ὁ Θεὸς τοῦ Ἰσραὴλ Σωτήρ· αἰσχυνθήσονται καὶ ἐντραπήσονται πάντες οἱ ἀντικείμενοι αὐτῷ, καὶ πορεύσονται ἐν αἰσχύνῃ· ἐγκαινίζεσθε πρός με νῆσοι, Ἰσραὴλ σώζεται ὑπὸ Κυρίου σωτηρίαν αἰώνιον· οὐκ αἰσχυνθήσονται,

οὐδὲ

οὐδὲ μὴ ἐνζαπωῶσιν ἕως τοῦ αἰῶνος· ἔτι οὕτως λέγει Κύριος.

Προκείμ. Ψαλμὸς ρά. ἦχος δ'.

Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, καὶ ἡ κραυγή μου.

Στίχ. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ' ἐμοῦ.

Τῇ Παρασκευῇ Ἑσπέρας, μετὰ τὴν συνήθως στιχολογ. εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν τὸ ἰδιόμελον, ἦχος πλ. β'. Δίς.

Ὡς ἐξ Ἱερουσαλὴμ, σοῦ τῶν θείων ἐντολῶν ἐξερχόμενος, καὶ πρὸς τὰ πάθη τῆς Ἱεριχὼ καταντήσας, τῇ δόξῃ τῆς ἀτιμίας τῶν βιωτικῶν μελημάτων κατασυρεὶς, λῃσταῖς περιέπεσον τῶν λογισμῶν, τῆς υἱοθεσίας τῇ χάριτι, τὸν χιτῶνα ὑπ' αὐτῶν ἐκδυθεὶς, καὶ ταῖς πληγαῖς, ὡς ἄπνους, κατάκειμαι. Ἱερεὺς δὲ παρὼν, καὶ τὸ πτῶμα κατιδὼν, οὐ προσέσχε. Λευίτης, καὶ αὐτὸς βδελυξάμενος, ἀντιπαρῆλθέ μοι· σὺ δὲ Κύριε ὁ ἐκ Παρθένου ἀφράστως σαρκωθεὶς τῇ ἐκχύσει τοῦ σωτηρίου, καὶ ἑκουσίως ἐκ πλευρᾶς σου ἐκχυθέντος αἵματος, καὶ ὕδατος· ὡς ἔλαιον ἐπιστάξας, Χριστὲ ὁ Θεὸς, τὰς οὐλὰς τῶν τραυμάτων μου τῇ μοτώσει περίσφιγξον, καὶ πρὸς οὐράνιον συγκαταρίθμησον χῶρον, ὡς εὔσπλαγχνος.

Μαρτυρικόν.

Οἱ Μάρτυρές σου, Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου· ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Εἶτα ψάλλομεν στιχηρὰ προσόμοια τῆς Ὑπεραγίας Θεοτόκου γ'. Ποιοῦντες αὐτὰ ἑπτά, ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

Βουλὴν προαιώνιον ἀποκαλύπτων σοι, Κόρη, Γαβριὴλ ἐφέστηκε, σὲ κατασπαζόμενος, καὶ φθεγγόμενος. χαῖρε γῆ ἄσπορε, χαῖρε βάτε ἄφλεκτε, χαῖρε βάθος δυσθεώρητον, χαῖρε ἡ γέφυρα πρὸς τοὺς Οὐρανοὺς ἡ μετάγουσα, καὶ κλίμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο, χαῖρε θεία στάμνε τοῦ μάννα, χαῖρε λύσις τῆς ἀρᾶς, χαῖρε Ἀδὰμ ἡ ἀνάκλησις, μετὰ σοῦ ὁ Κύριος.

Ὅμοιον.

Φαίνῃ μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη πρὸς τὸν Ἀρχιστράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον; μετ' ἐμοῦ ἔφης γὰρ τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνώσειν ἐν τῇ μήτρᾳ μου, καὶ πῶς γενήσομαι, λέγε μοι, χωρίον εὐρύχωρον, καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος; μή με δελεάσῃς ἀπάτῃ, οὐ γὰρ ἔγνων ἡδονὴν, γάμου ὑπάρχω ἀμύητος, πῶς οὖν παῖδα τέξομαι;

Ὅμοιον.

Θεὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις, φησὶν ὁ ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται· τοῖς ἐμοῖς πίστευε ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε· ἡ δὲ ἐβόησε· γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου, καὶ τέξομαι τὸν ἄσαρκον σάρκα ἐξ ἐμοῦ δανεισάμενον· ὅπως ἀναγάγῃ τὸν ἄνθρωπον, ὡς μόνος δυνατὸς, εἰς τὸ ἀρχαῖον ἀξίωμα διὰ τῆς συγκράσεως.

Δόξα. Καὶ νῦν, ἦχος β'.

Τὸ ἀπ' αἰῶνος μυστήριον ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ υἱὸς ἀνθρώπου γίνεται, ἵνα τοῦ χείρονος μεταλαβὼν μεταδῷ μοι τοῦ βελτίονος· ἐψεύσθη πάλαι Ἀδὰμ, καὶ Θεὸς, ἐπιθυμήσας, οὐ γέγονεν· ἄνθρωπος γίνεται Θεὸς, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται· εὐφραινέσθω ἡ Κτίσις, χορευέτω ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ μετὰ δέους παρίσταται, καὶ τὸ χαῖρε κομίζει τῆς λύπης ἀντίθετον· ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας Θεὸς ἡμῶν, δόξα σοι.

Εἴσοδος. Τὸ, φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον. Ψαλμὸς ρβ'. ἦχ. δ'.

Οἰκτίρμων, καὶ ἐλεήμων ὁ Κύριος, μακρόθ.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, καὶ πάντα.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεὸς ἐπείρασε τὸν Ἀβραὰμ, καὶ εἶπεν αὐτῷ, Ἀβραὰμ Ἀβραὰμ, καὶ εἶπεν· ἰδοὺ ἐγώ· καὶ εἶπε λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας τὸν Ἰσαὰκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω· ἀναστὰς δὲ Ἀβραὰμ τὸ πρωῒ, ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας, καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη· καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ· καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν, καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε· καὶ προσκυνήσαντες, ἀναστρέψομεν πρὸς ὑμᾶς· Ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως, καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ καὶ τὸ πῦρ μετὰ χεῖρας, καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα· εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ· ὁ δὲ εἶπε· τί ἐστι τέκνον; εἶπε δὲ, ἰδοὺ τὸ πῦρ, καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; εἶπε δὲ Ἀβραὰμ, ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. Πορευθέντες δὲ ἀμφότεροι ἅμα, ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων· καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ, λαβεῖν τὴν μάχαιραν, σφάξαι

τὸν

Digitized by Google

τὸν υἱὸν αὐτοῦ· καὶ ἐκάλεσεν αὐτὸν Ἄγγελος Κυρίου ἐκ τοῦ Οὐρανοῦ, καὶ εἶπεν. Ἀβραάμ· ὁ δὲ εἶπεν ἰδοὺ ἐγώ, καὶ εἶπε, μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μὴ δὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν. Καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ· καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε· καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραάμ, καὶ ἔλαβε τὸν κριόν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν, ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη. Καὶ ἐκάλεσεν Ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ Οὐρανοῦ, λέγων· κατ' ἐμαυτοῦ ὤμοσα λέγει Κύριος· οὗ ἕνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμέ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ Οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς Πόλεις τῶν ὑπεναντίων· καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ' ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Προκείμ. Ψαλμ. ργ΄. ἦχ. δ΄.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου Κύριε.

Στίχ. Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ἀδελφοὶ δὲ ἐν ἀνάγκαις χρήσιμοι ἔστωσαν, τούτου γὰρ χάριν γεννῶνται· ἀνὴρ ἄφρων ἐπικροτεῖ καὶ ἐπιχαίρει ἑαυτῷ, ὡς καὶ ὁ ἐγγυώμενος ἐγγύῃ τῶν ἑαυτοῦ φίλων· φιλαμαρτήμων χαίρει μάχαις, ὁ δὲ σκληροκάρδιος οὐ συναντᾷ ἀγαθοῖς· ἀνὴρ εὐμετάβολος γλώσσῃ ἐμπεσεῖται εἰς κακά· καρδία δὲ ἄφρονος ὀδύνη τῷ κεκτημένῳ αὐτήν· οὐκ εὐφραίνεται πατὴρ ἐφ' υἱῷ ἀπαιδεύτῳ, υἱὸς δὲ φρόνιμος εὐφραίνει μητέρα αὐτοῦ· καρδία εὐφραινομένη εὐεκτεῖν ποιεῖ, ἀνδρὸς δὲ λυπηροῦ ξηραίνεται τὰ ὀστᾶ· λαμβάνοντος δῶρα ἀδίκως ἐν κόλπῳ οὐ κατευοδοῦνται ὁδοῖς· ἀσεβὴς δὲ ἐκκλίνει ὁδοὺς δικαιοσύνης· πρόσωπον συνετὸν ἀνδρὸς σοφοῦ, οἱ δὲ ὀφθαλμοὶ τοῦ ἄφρονος ἐπ' ἄκρα γῆς· ὀργὴ πατρὶ υἱὸς ἄφρων, καὶ ὀδύνη τῇ τεκούσῃ αὐτόν· ζημιοῦν ἄνδρα δίκαιον οὐ καλόν, οὐδὲ ὅσιον ἐπιβουλεύειν δυνάσταις δικαίοις· ὃς φείδεται ῥῆμα προέσθαι σκληρόν, ἐπιγνώμων, μακρόθυμος δὲ ἀνὴρ φρόνιμος· ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν σοφία λογισθήσεται, ἐνεὸν δέ τις ἑαυτὸν ποιήσας, δόξει φρόνιμος εἶναι· Προφάσεις ζητεῖ ἀνὴρ βουλόμενος χωρίζεσθαι ἀπὸ φίλων, ἐν παντὶ δὲ καιρῷ ἐπονείδιστος ἔσται· οὐ χρείαν ἔχει σοφίας ἐνδεὴς φρενῶν, μᾶλλον γὰρ ἄγεται ἀφροσύνῃ· ὅταν ἔλθῃ ἀσεβὴς εἰς βάθος κακῶν, καταφρονεῖ, ἐπέρχεται δὲ αὐτῷ ἀτιμία καὶ ὄνειδος· ὕδωρ βαθὺ λόγος ἐν καρδίᾳ ἀνδρός, ποταμὸς δὲ ἀναπηδύει καὶ πηγὴ ζωῆς· θαυμάσαι πρόσωπον ἀσεβοῦς οὐ καλόν· οὐ δὲ ὅσιον ἐκκλίνειν τὸ δίκαιον ἐν κρίσει.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων. Εἰς τὰ Ἀπόδειπνα ψάλλομεν τὸν νεκρώσιμον Κανόνα τοῦ ἐνδιατάκτου ἤχου, Ὡσαύτως καὶ τὸ Μηναῖον τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου.

Τῷ Σαββάτῳ τῆς Πέμπτης Ἑβδομάδος ἐν τῷ Ὄρθρῳ σημαίνει ὥρα δ΄. τῆς νυκτός, διὰ τὴν ἱκετήριον Ἀκολουθίαν τῆς Ἀκαθίστου. Μετὰ δὲ τὸν Ἑξάψαλμον, τὸ **Θεὸς Κύριος**, εἰς ἦχον πλ. δ΄. Καὶ ψάλλομεν ἐκ τρίτου τὸ τροπάριον ἀργῶς· ἦχ. πλ. δ΄.

Τὸ προσταχθὲν μυστικῶς λαβὼν ἐν γνώσει, ἐν τῇ σκηνῇ τοῦ Ἰωσὴφ σπουδῇ ἐπέστη ὁ ἀσώματος, λέγων τῇ ἀπειρογάμῳ· ὁ κλίνας τῇ καταβάσει τοὺς Οὐρανοὺς χωρεῖται ἀναλλοιώτως ὅλος ἐν σοί· ὃν καὶ βλέπων ἐν μήτρᾳ σου λαβόντα δούλου μορφήν, ἐξίσταμαι κραυγάζειν σοι· χαῖρε Νύμφη ἀνύμφευτε.

Εἶτα στιχολογοῦμεν κάθ. τοῦ Ψαλτηρίου ἓν τό. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου. Καὶ μετὰ τὴν τούτου συμπλήρωσιν, ψάλλομεν τὸ Κοντάκιον ἐν τῷ μέσῳ μετὰ μέλους ἀργῶς.

Ἦχος πλ. δ΄.

Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν, εὐχαριστήρια ἀναγράφω σοι ἡ πόλις σου, Θεοτόκε· ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι. Χαῖρε Νύμφη ἀνύμφευτε.

Καὶ ἀναγινώσκομεν ἀπὸ τῶν Οἴκων ϛ΄.

Ἱστάμεθα εἰς τὴν τούτων Ἀνάγνωσιν.

Οἱ αὐτοὶ δὲ Οἶκοι εἰσὶ κατὰ ἀλφάβητον, ἤγουν κδ΄. καὶ λέγονται παρὰ τοῦ Ἱερέως.

Οἶκος πρῶτος.

Ἄγγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ σωματούμενόν σε θεωρῶν, Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα· χαῖρε δι' ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε δι' ἧς ἡ ἀρὰ ἐκλείψει· χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις· χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς· χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα· χαῖρε ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον· χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως· χαῖρε δι'

Digitized by Google

δι᾽ ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι᾽ ἧς προσκυνεῖται ὁ πλάστης.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Βλέπουσα ἡ ἁγία ἑαυτὴν ἐν ἁγνείᾳ, φησὶ τῷ Γαβριὴλ θαρσαλέως· τὸ παράδοξόν σου τῆς φωνῆς, δυσπαράδεκτόν μου τῇ ψυχῇ φαίνεται· ἀσπόρου γὰρ συλλήψεως τὴν κύησιν πῶς λέγεις; κράζων.

Ἀλληλούϊα.

Γνῶσιν ἄγνωστον γνῶναι ἡ Παρθένος ζητοῦσα, ἐβόησε πρὸς τὸν λειτουργοῦντα· ἐκ λαγόνων ἁγνῶν υἱὸν πῶς ἐστὶ τεχθῆναι δυνατόν; λέξον μοι· πρὸς ἣν ἐκεῖνος ἔφησεν ἐν φόβῳ, πλὴν κραυγάζων οὕτω· Χαῖρε βουλῆς ἀπορρήτου μύστις· χαῖρε σιγῆς δεομένων πίστις· χαῖρε τῶν θαυμάτων Χριστοῦ τὸ προοίμιον· χαῖρε τῶν δογμάτων αὐτοῦ τὸ κεφάλαιον· χαῖρε κλίμαξ ἐπουράνιε, δι᾽ ἧς κατέβη ὁ Θεός· χαῖρε γέφυρα μετάγουσα τοὺς ἐκ γῆς πρὸς Οὐρανόν· χαῖρε τὸ τῶν Ἀγγέλων πολυθρύλλητον θαῦμα· χαῖρε τὸ τῶν δαιμόνων πολυθρήνητον τραῦμα· χαῖρε τὸ φῶς ἀρρήτως γεννήσασα· χαῖρε τὸ πῶς μηδένα διδάξασα· χαῖρε σοφῶν ὑπερβαίνουσα γνῶσιν· χαῖρε πιστῶν καταυγάζουσα φρένας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Δύναμις τοῦ ὑψίστου ἐπεσκίασε τότε πρὸς σύλληψιν τῇ ἀπειρογάμῳ· καὶ τὴν εὔκαρπον ταύτης νηδὺν, ὡς ἀγρὸν ὑπέδειξεν ἡδὺν ἅπασι, τοῖς θέλουσι θερίζειν σωτηρίαν, ἐν τῷ ψάλλειν οὕτως.

Ἀλληλούϊα.

Ἔχουσα θεοδόχον ἡ Παρθένος τὴν μήτραν, ἀνέδραμε πρὸς τὴν Ἐλισάβετ· τὸ δὲ βρέφος ἐκείνης εὐθὺς ἐπιγνοῦν τὸν ταύτης ἀσπασμὸν ἔχαιρε, καὶ ἅλμασιν ὡς ᾄσμασιν ἐβόα πρὸς τὴν Θεοτόκον· χαῖρε βλαστοῦ ἀμαράντου κλῆμα· χαῖρε καρποῦ ἀκηράτου κτῆμα· χαῖρε γεωργὸν γεωργοῦσα φιλάνθρωπον· χαῖρε φυτουργὸν τῆς ζωῆς ἡμῶν φύουσα· χαῖρε ἄρουρα βλαστάνουσα εὐφορίαν οἰκτιρμῶν· χαῖρε τράπεζα βαστάζουσα εὐθηνίαν ἱλασμῶν· χαῖρε, ὅτι λειμῶνα τῆς τρυφῆς ἀναθάλλεις· χαῖρε, ὅτι λιμένα τῶν ψυχῶν ἑτοιμάζεις· χαῖρε δεκτὸν πρεσβείας θυμίαμα· χαῖρε παντὸς τοῦ Κόσμου ἐξίλασμα· χαῖρε Θεοῦ πρὸς θνητοὺς εὐδοκία· χαῖρε θνητῶν πρὸς Θεὸν παῤῥησία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Ζάλην ἔνδοθεν ἔχων λογισμῶν ἀμφιβόλων ὁ σώφρων Ἰωσὴφ ἐταράχθη· πρὸς τὴν ἄγαμόν σε θεωρῶν, καὶ κλεψίγαμον ὑπονοῶν ἄμεμπτε· μαθὼν δέ σου τὴν σύλληψιν ἐκ Πνεύματος ἁγίου, ἔφη.

Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Ἀναγινώσκομεν ἐκ τοῦ λόγου τῆς Ἀκαθίστου στάσιν μίαν. Εἶτα ἀρχολογουμένου τὸν Ἄμωμον. Καὶ αὖθις λεγομένου τὸ Κοντάκιον.

Καὶ ἕτερος Οἶκος ϛ΄.

Ἤκουσαν οἱ ποιμένες τῶν Ἀγγέλων ὑμνούντων τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν· καὶ δραμόντες ὡς πρὸς ποιμένα, θεωροῦσι τοῦτον ὡς ἀμνὸν ἄμωμον ἐν τῇ γαστρὶ Μαρίας βοσκηθέντα, ἣν ὑμνοῦντες εἶπον. Χαῖρε ἀμνοῦ, καὶ ποιμένος μήτηρ· χαῖρε αὐλὴ λογικῶν προβάτων· χαῖρε ἀοράτων ἐχθρῶν ἀμυντήριον· χαῖρε Παραδείσου θυρῶν ἀνοικτήριον· χαῖρε, ὅτι τὰ οὐράνια συναγάλλονται τῇ γῇ, χαῖρε, ὅτι τὰ ἐπίγεια συγχορεύει Οὐρανοῖς· χαῖρε τῶν Ἀποστόλων τὸ ἀσίγητον στόμα· χαῖρε τῶν Ἀθλοφόρων τὸ ἀνίκητον θάρσος· χαῖρε στεῤῥὸν τῆς πίστεως ἔρεισμα· χαῖρε λαμπρὸν τῆς χάριτος γνώρισμα· χαῖρε, δι᾽ ἧς ἐγυμνώθη ὁ Ἅδης. χαῖρε, δι᾽ ἧς ἐνεδύθημεν δόξαν.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Θεοδρόμον ἀστέρα θεωρήσαντες Μάγοι, τῇ τούτου ἠκολούθησαν αἴγλῃ· καὶ ὡς λύχνον κρατοῦντες αὐτὸν, δι᾽ αὐτοῦ ἠρεύνων κραταιὸν Ἄνακτα· καὶ φθάσαντες τὸν ἄφθαστον, ἐχάρησαν, αὐτῷ βοῶντες.

Ἀλληλούϊα.

Ἴδον παῖδες Χαλδαίων ἐν χερσὶ τῆς Παρθένου τὸν πλάσαντα χερσὶ τοὺς ἀνθρώπους, καὶ Δεσπότην νοοῦντες αὐτὸν, εἰ καὶ δούλου ἔλαβε μορφὴν, ἔσπευσαν τοῖς δώροις θεραπεῦσαι, καὶ βοῆσαι τῇ εὐλογημένῃ· χαῖρε ἀστέρος ἀδύτου μήτηρ· χαῖρε αὐγὴ μυστικῆς ἡμέρας· χαῖρε τῆς ἀπάτης τὴν κάμινον σβέσασα· χαῖρε τῆς Τριάδος τοὺς μύστας φωτίζουσα· χαῖρε τύραννον ἀπάνθρωπον ἐκβαλοῦσα τῆς ἀρχῆς· χαῖρε Κύριον φιλάνθρωπον ἐπιδείξασα Χριστόν· χαῖρε, ἡ τῆς βαρβάρου λυτρουμένη θρησκείας· χαῖρε ἡ τοῦ βορβόρου ῥυομένη τῶν ἔργων· χαῖρε πυρὸς προσκύνησιν παύσασα· χαῖρε φλογὸς παθῶν ἀπαλλάττουσα· χαῖρε πιστῶν ὁδηγὲ σωφροσύνης· χαῖρε πασῶν γενεῶν εὐφροσύνη.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Κήρυκες θεοφόροι γεγονότες οἱ Μάγοι, ὑπέστρεψαν εἰς τὴν Βαβυλῶνα, ἐκτελέσαντές σου τὸν χρησμὸν, καὶ κηρύξαντές σε τὸν Χριστὸν ἅπασιν· ἀφέντες τὸν Ἡρώδην ὡς ληρώδη, μὴ εἰδότα ψάλλειν.

Ἀλληλούϊα.

Λάμψας ἐν τῇ Αἰγύπτῳ φωτισμὸν ἀληθείας, ἐδίωξας τοῦ ψεύδους τὸ σκότος· τὰ γὰρ εἴδωλα ταύτης, Σωτὴρ, μὴ ἐνέγκαντά σου τὴν ἰσχὺν πέπτωκεν· οἱ τούτων δὲ ῥυσθέντες ἐβόων πρὸς τὴν Θεοτόκον· Χαῖρε ἀνόρθωσις τῶν ἀνθρώπων· χαῖρε κατάπτωσις τῶν δαιμόνων· χαῖρε τῆς ἀπάτης τὴν πλάνην πατήσασα· χαῖρε τῶν εἰδώλων τὸν δόλον ἐλέγξασα· χαῖρε θάλασσα ποντί-

τίσασα Φαραὼ τὸν νοητόν· χαῖρε πέτρα ἡ ποτίσασα τοὺς διψῶντας τὴν ζωήν· χαῖρε πύρινε στύλε, ὁδηγῶν τοὺς ἐν σκότει· χαῖρε σκέπη τοῦ Κόσμου πλατυτέρα νεφέλης· χαῖρε τροφὴ τοῦ μάννα διάδοχε· χαῖρε τρυφῆς ἁγίας διάκονε· χαῖρε ἡ γῆ τῆς ἐπαγγελίας· χαῖρε, ἐξ ἧς ῥέει μέλι, καὶ γάλα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΜΕλλοντος Συμεῶνος τοῦ παρόντος αἰῶνος μεθίστασθαι τοῦ ἀπατεῶνος, ἐπεδόθης ὡς βρέφος αὐτῷ, ἀλλ' ἐγνώσθης τούτῳ καὶ Θεὸς τέλειος· διόπερ ἐξεπλάγη σου τὴν ἄρρητον σοφίαν, κράζων.

Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Εἶτα ἀναγινώσκομεν τὸν λοιπὸν λόγον τῆς Ἀκαθίστου· καὶ οἱ Κανόνες τοῦ Ἁγίου τῆς Μονῆς εἰς δ'. καὶ τῆς Ὑπεραγίας Θεοτόκου εἰς ς'. Ποίημα τοῦ κυρίου Ἰωσήφ. Οὗ ἡ ἀκροστιχίς.

Χαρᾶς δοχεῖον, σοὶ πρέπει χαίρειν μόνῃ.

Ὠδὴ ά. ἦχ. δ'. Ἀνοίξω τὸ στόμα μου.

ΧΡιστοῦ βίβλον ἔμψυχον ἐσφραγισμένην σε πνεύματι ὁ μέγας Ἀρχάγγελος, ἁγνή, θεώμενος, ἐπιφωνεῖ σοι, χαῖρε χαρᾶς δοχεῖον, δι' ἧς τῆς προμήτορος ἀρὰ λυθήσεται.

ἈΔὰμ ἐπανόρθωσις χαῖρε, Παρθένε θεονύμφε, τοῦ ᾅδου ἡ νέκρωσις χαῖρε, πανάμωμε, τὸ παλάτιον τοῦ πάντων Βασιλέως, χαῖρε θρόνε πύρινε τοῦ παντοκράτορος.

ΡΌδον τὸ ἀμάραντον χαῖρε, ἡ μόνη βλαστήσασα τὸ μῆλον τὸ εὔοσμον· χαῖρε ἡ τέξασα τὸ ὀσφράδιον τοῦ μόνου Βασιλέως, χαῖρε ἀπειρόγαμε, Κόσμου διάσωσμα.

ἉΓνείας θησαύρισμα χαῖρε, δι' ἧς ἐκ τοῦ πτώματος ἡμῶν ἐξανέστημεν, χαῖρε ἡδύπνοον κρίνον, Δέσποινα, πιστοὺς εὐωδιάζον, θυμίαμα εὔοσμον, μύρον πολύτιμον.

Καταβασία.

ἈΝοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος ταύτης τὰ θαύματα.

Ὠδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

ΣΤάχυν ἡ βλαστήσασα τὸν θεῖον, ὡς χώρα ἀνήροτος σαφῶς, χαῖρε ἔμψυχε τράπεζα, ἄρτον ζωῆς χωρήσασα, χαῖρε τοῦ ζῶντος ὕδατος πηγὴ ἀκένωτος Δέσποινα.

ΔΆμαλις τὸν μόσχον ἡ τεκοῦσα τὸν ἄμωμον χαῖρε τοῖς πιστοῖς, χαῖρε ἀμνὰς κυήσασα Θεοῦ ἀμνόν, τὸν αἴροντα Κόσμου παντὸς τὰ πταίσματα, χαῖρε θερμὸν ἱλαστήριον.

ὈΡθρος φαεινὸς χαῖρε, ἡ μόνη τὸν Ἥλιον φέρουσα Χριστόν, φωτὸς κατοικητήριον, χαῖρε τὸ σκότος λύσασα, καὶ τοὺς ζοφώδεις δαίμονας ὁλοτελῶς ἐκμειώσασα.

ΧΑῖρε πύλη μόνη, ἣν ὁ Λόγος διώδευσε μόνος, ἡ μοχλοὺς, καὶ πύλας ᾅδου, Δέσποινα, τῷ τόκῳ σου συντρίψασα· χαῖρε ἡ θεία εἴσοδος τῶν σωζομένων πανύμνητε.

ΤΟὺς σοὺς ὑμνολόγους, Θεοτόκε, ἡ ζῶσα, καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας,
„ πνευματικόν, στερέωσον ἐπὶ τῇ θείᾳ δόξῃ σου,
„ στεφάνων δόξης ἀξίωσον.

Αἴτησις μικρά· καὶ μετὰ τὴν Ἐκφώνησιν τὸ Κοντάκιον. Τῇ ὑπερμάχῳ. Καὶ ἀναγινώσκομεν ἑτέρους ἐξ Οἴκους.

ΝΈαν ἔδειξε κτίσιν ἐμφανίσας ὁ Κτίστης ἡμῖν τοῖς ὑπ' αὐτοῦ γενομένοις· ἐξ ἀσπόρου βλαστήσας γαστρός, καὶ φυλάξας ταύτην ὥσπερ ἦν ἄφθορον, ἵνα τὸ θαῦμα βλέποντες, ὑμνήσωμεν αὐτὴν βοῶντες. Χαῖρε τὸ ἄνθος τῆς ἀφθαρσίας· χαῖρε τὸ στέφος τῆς ἐγκρατείας· χαῖρε τῆς ἀναστάσεως τύπον ἐκλάμπουσα· χαῖρε τῶν Ἀγγέλων τὸν βίον ἐμφαίνουσα· χαῖρε δένδρον ἀγλαόκαρπον, ἐξ οὗ τρέφονται πιστοί· χαῖρε ξύλον εὐσκιόφυλλον, ὑφ' οὗ σκέπονται πολλοί· χαῖρε κυοφοροῦσα ὁδηγὸν πλανωμένοις· χαῖρε ἀπογεννῶσα λυτρωτὴν αἰχμαλώτοις· χαῖρε Κριτοῦ δικαίου δυσώπησις· χαῖρε πολλῶν πταιόντων συγχώρησις· χαῖρε στολὴ τῶν γυμνῶν παῤῥησίας· χαῖρε στοργὴ πάντα πόθον νικῶσα.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΞΈνον τόκον ἰδόντες, ξενωθῶμεν τοῦ Κόσμου, τὸν νοῦν εἰς Οὐρανοὺς μεταθέντες· διὰ τοῦτο γὰρ ὁ ὑψηλὸς Θεὸς ἐπὶ γῆς ἐφάνη ταπεινὸς ἄνθρωπος, βουλόμενος ἑλκύσαι πρὸς τὸ ὕψος τοὺς αὐτῷ βοῶντας.

Ἀλληλούϊα.

ὍΛος ἦν ἐν τοῖς κάτω, καὶ τῶν ἄνω οὐδ' ὅλως ἀπῆν ὁ ἀπερίγραπτος Λόγος· συγκατάβασις γὰρ θεϊκή, οὐ μετάβασις δὲ τοπικὴ γέγονε, καὶ τόκος ἐκ Παρθένου θεολήπτου ἀκουούσης ταῦτα. Χαῖρε Θεοῦ ἀχωρήτου χώρα. χαῖρε σεπτοῦ μυστηρίου θύρα, χαῖρε τῶν ἀπίστων ἀμφίβολον ἄκουσμα, χαῖρε τῶν πιστῶν ἀναμφίβολον καύχημα, χαῖρε ὄχημα πανάγιον τοῦ ἐπὶ τῶν Χερουβίμ· χαῖρε οἴκημα πανάριστον τοῦ ἐπὶ τῶν Σεραφίμ· χαῖρε, ἡ τἀναντία εἰς ταυτὸ ἀγαγοῦσα· χαῖρε, ἡ παρθενίαν, καὶ λοχείαν ζευγνῦσα· χαῖρε, δι' ἧς ἐλύθη παράβασις· χαῖρε, δι' ἧς ἠνοίχθη Παράδεισος· χαῖρε ἡ κλεὶς τῆς Χριστοῦ Βασιλείας· χαῖρε ἐλπὶς ἀγαθῶν αἰωνίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΠΆσα φύσις Ἀγγέλων κατεπλάγη τὸ μέγα τῆς σῆς ἐνανθρωπήσεως ἔργον· τὸν ἀπρόσιτον γὰρ, ὡς Θεόν, ἐθεώρει πᾶσι προσιτὸν ἄνθρωπον, ἡμῖν μὲν συνδιάγοντα, ἀκούοντα δὲ παρὰ πάντων οὕτως.

Ἀλ-

Digitized by Google

Ἀλληλούϊα.

Ῥήτορας πολυφθόγγους, ὡς ἰχθύας ἀφώνους ὁρῶμεν ἐπὶ σοί, Θεοτόκε· ἀποροῦσι γὰρ λέγειν τὸ πῶς, καὶ Παρθένος μένεις, καὶ τεκεῖν ἴσχυσας· ἡμεῖς δὲ τὸ μυστήριον θαυμάζοντες, πιστῶς βοῶμεν. Χαῖρε σοφίας Θεοῦ δοχεῖον· χαῖρε προνοίας αὐτοῦ ταμεῖον· χαῖρε φιλοσόφους ἀσόφους δεικνύουσα· χαῖρε τεχνολόγους ἀλόγους ἐλέγχουσα· χαῖρε, ὅτι ἐμωράνθησαν οἱ δεινοὶ συζητηταί· χαῖρε, ὅτι ἐμαράνθησαν οἱ τῶν μύθων ποιηταί. χαῖρε τῶν Ἀθηναίων τὰς πλοκὰς διασπῶσα· χαῖρε τῶν ἁλιέων τὰς σαγήνας πληροῦσα· χαῖρε βυθοῦ ἀγνοίας ἐξέλκουσα· χαῖρε πολλοὺς ἐν γνώσει φωτίζουσα· χαῖρε ὁλκὰς τῶν θελόντων σωθῆναι· χαῖρε λιμὴν τῶν τοῦ βίου πλωτήρων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Σῶσαι θέλων τὸν Κόσμον ὁ τῶν ὅλων κοσμήτωρ, πρὸς τοῦτον αὐτεπάγγελτος ἦλθε, καὶ ποιμὴν ὑπάρχων, ὡς Θεός, δι' ἡμᾶς ἐφάνη καθ' ἡμᾶς ἄνθρωπος· ὁμοίῳ γὰρ τὸ ὅμοιον καλέσας, ὡς Θεὸς ἀκούει.

Ἀλληλούϊα.

Καὶ πάλιν τὸ Κοντάκιον· Συναπτή· καὶ τὰ καθίσ. ἦχ. α'. Τὸν τάφον σου Σωτήρ.

Ὁ Μέγας στρατηγὸς τῶν ἀΰλων Ἀγγέλων, εἰς πόλιν Ναζαρὲτ ἐπιστὰς βασιλέα μηνύει σοι, ἄχραντε, τῶν αἰώνων, καὶ Κύριον· χαῖρε λέγων σοι, εὐλογημένη Μαρία· ἀκατάληπτον, καὶ ἀνερμήνευτον βάθος, βροτῶν ἡ ἀνάκλησις.

Δόξα· τὸ τέλος καὶ νῦν, τὸ ὅλον. Καὶ πάλιν Ἀνάγνωσις· ᾠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Ἐν φωναῖς ᾀσμάτων Κόρη, σοὶ βοῶμεν πανύμνητε· χαῖρε πῖον ὄρος, καὶ τετυρωμένον ἐν πνεύματι· χαῖρε λυχνία, καὶ στάμνε μάννα φέρουσα τὸ γλυκαῖνον τὰ τῶν εὐσεβῶν αἰσθητήρια.

Ἱλαστήριον τοῦ Κόσμου χαῖρε, ἄχραντε Δέσποινα· χαῖρε κλίμαξ γῆθεν πάντας ἀνυψώσασα χάριτι· χαῖρε ἡ γέφυρα ὄντως ἡ μετάγουσα ἐκ θανάτου πάντας πρὸς ζωὴν τοὺς ὑμνοῦντάς σε.

Οὐρανῶν ὑψηλοτέρα, χαῖρε γῆς τὸ θεμέλιον, ἐν τῇ σῇ νηδύϊ, ἄχραντε, ἀκόπως βαστάσασα· χαῖρε κογχύλη πορφύραν θείαν βάψασα ἐξ αἱμάτων σου τῷ Βασιλεῖ τῶν Δυνάμεων.

Νομοθέτην ἡ τεκοῦσα ἀληθῶς χαῖρε Δέσποινα, τὸν τὰς ἀνομίας πάντων δωρεὰν ἐξαλείφοντα, ἀκατανόητον βάθος, ὕψος ἄρρητον, ἀπειρόγαμε, δι' ἧς ἡμεῖς ἐθεώθημεν.

Σὲ τὴν πλέξασαν τῷ Κόσμῳ ἀχειρόπλοκον στέφανον ἀνυμνολογοῦμεν, χαῖρέ σοι Παρθένε, κραυγάζοντες, τὸ φυλακτήριον πάντων, καὶ χαράκωμα, καὶ κραταίωμα, καὶ ἱερὸν καταφύγιον.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Ὁδὸν ἡ κυήσασα ζωῆς, χαῖρε πανάμωμε, ἡ κατακλυσμοῦ τῆς ἁμαρτίας σώσασα Κόσμον· χαῖρε Θεόνυμφε, ἄκουσμα, καὶ λάλημα φρικτόν. χαῖρε ἐνδιαίτημα τοῦ Δεσπότου τῆς Κτίσεως.

Ἰσχύς, καὶ ὀχύρωμα ἀνθρώπων, χαῖρε ἄχραντε, τόπε ἁγιάσματος τῆς δόξης, νέκρωσις ᾅδου, νυμφὼν ὁλόφωτε· χαῖρε τῶν Ἀγγέλων χαρμονή· χαῖρε ἡ βοήθεια τῶν πιστῶς δεομένων σου.

Πυρίμορφον ὄχημα τοῦ Λόγου, χαῖρε Δέσποινα, ἔμψυχε Παράδεισε, τὸ ξύλον ἐν μέσῳ ἔχων ζωῆς τὸν Κύριον, οὗ ὁ γλυκασμὸς ζωοποιεῖ πίστει τοὺς μετέχοντας, καὶ φθορᾷ ὑποκύψαντας.

Ῥωννύμενοι σθένει σου, πιστῶς ἀναβοῶμέν σοι, χαῖρε πόλις τοῦ παμβασιλέως, δεδοξασμένα, καὶ ἀξιάκουστα περὶ ἧς λελάληνται σαφῶς, ὄρος ἀλατόμητον, χαῖρε βάθος ἀμέτρητον.

Εὐρύχωρον σκήνωμα τοῦ Λόγου χαῖρε ἄχραντε, κόχλος, ἡ τὸν θεῖον μαργαρίτην προαγαγοῦσα, χαῖρε πανθαύμαστε, πάντων πρὸς Θεὸν καταλλαγὴ τῶν μακαριζόντων σε, Θεοτόκε, ἑκάστοτε.

Ἐνταῦθα σχολάζει ὁ Κανὼν τοῦ Ἁγίου τῆς Μονῆς.

Ὠδὴ ς'. Τὴν θείαν ταύτην.

Παστὰς τοῦ Λόγου ἀμόλυντε, αἰτία τῆς τῶν πάντων θεώσεως, χαῖρε πανάχραντε, τῶν Προφητῶν περιήχημα· χαῖρε τῶν Ἀποστόλων τὸ ἐγκαλλώπισμα.

Ἐκ σοῦ ἡ δρόσος ἀπέσταξε, φλογμὸν πολυθεΐας ἡ σβέσασα, ὅθεν βοῶμέν σοι, χαῖρε ὁ πόκος ὁ ἔνδροσος, ὃν Γεδεών, Παρθένε, προεθεάσατο.

Ἰδού σοι Χαῖρε κραυγάζομεν, λιμὴν ἡμῖν γενοῦ θαλαττεύουσι, καὶ ὁρμητήριον ἐν τοῖς πελάγει τῶν θλίψεων, καὶ τῶν σκανδάλων πάντων τοῦ πολεμήτορος.

Χαρᾶς αἰτία, χαρίτωσον ἡμῶν τὸν λογισμόν, τοῦ κραυγάζειν σοι. χαῖρε ἡ ἄφλεκτος βάτος, νεφέλη ὁλόφωτε, ἡ τοὺς πιστοὺς ἀπαύστως ἐπισκιάζουσα.

Εἶτα τὸ Τετραώδιον· οὗ ἡ ἀκροστιχίς.

Αὕτη ἡ ᾠδὴ τοῦ Ἰωσήφ· ᾠδὴ ς'. ἦχος πλ. β'.

Τοῦ βίου τὴν θάλασσαν.

Ἀθλοῦντες οἱ Μάρτυρες, καὶ ὡς λίθοι ἐκλεκτοὶ ἐπὶ γῆς κυλιόμενοι, οἰκοδομίαν ἅπασαν τοῦ ἐχθροῦ τελείως κατέστρεψαν, καὶ ναοὶ Θεοῦ ζῶντος ἐχρημάτισαν.

Ὑμᾶς ἱκετεύομεν, τοὺς τὸν δρόμον τὸν καλὸν τετελεκότας, Μάρτυρες, τὸν τῆς νηστείας δρόμον τρέχειν ἡμᾶς καλῶς ἐνισχύσατε, ἀρετῶν τελειώσει διαλάμποντας.

Τοὺς δούλους σου, Δέσποτα, μεταστάντας ἀπὸ γῆς πρὸς σὲ τὸν ὑπεράγαθον, σῆς Βασι-

λείας ποίησον κοινωνοὺς, τῶν θείων μαρτύρων σου ἱεραῖς μεσιτείαις, πολυέλεε.

Θεοτοκίον.

ΗΜόνη πανύμνητος, τοῖς ὑμνοῦσί σε πιστῶς ἁμαρτημάτων ἄφεσιν, καὶ χαρισμάτων θείων διανομὴν δοθῆναι, ἱκέτευε τὸν πανάγιον Λόγον, Μητροπάρθενε.

Εἱρμὸς ἄλλος. ἦχ. πλ. α΄. Τοῦ κήτους τόν.

ΤΗν μνήμην ἐκτελοῦντες τῶν Μαρτύρων, Κυρίῳ ἀναπέμψωμεν τοὺς ὕμνους σήμερον, ἐνθέως εὐφραινόμενοι.

ΤΑ ξίφη, καὶ τὸ πῦρ μὴ πτοηθέντες, θαῤῥοῦντες ἐν τῇ πίστει, Ἀθλοφόροι, τυράννους ἐν τούτῳ κατεπλήξατε.

Δόξα.

ΤΡιάδα τοῖς προσώποις ἀνυμνῶ σε, μονάδα κατ' οὐσίαν προσκυνῶ σε, Πάτερ, Υἱὲ, καὶ Πνεῦμα ἅγιον.

Καὶ νῦν.

ΑΓγέλων, καὶ ἀνθρώπων εὐφημία ὑπάρχεις, ὅτι ἔτεκες, Παρθένε, Χριστὸν τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς.

ΘΑνάτῳ τὴν ζωὴν ἀντιλαβόντες, σκιρτᾶτε, τὰ οὐράνια οἰκοῦντες, Ἀθλοφόροι ἔνδοξοι Χριστοῦ τοῦ Θεοῦ.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλι.

ΘΑνάτου, καὶ ζωῆς ὁ κυριεύων τοὺς πίστει μεταστάντας ἐκ τοῦ βίου, Χριστὲ, σὺν Ἁγίοις σου ἀνάπαυσον.

Ὁ Εἱρμός.

ΤΟῦ κήτους τὸν Προφήτην ἐλυτρώσω, ἐμὲ δὲ ἐκ βυθοῦ ἁμαρτημάτων ἀνάγαγε, Κύριε, καὶ σῶσόν με.

Καὶ πάλιν ψάλλομεν τὸ Κοντάκιον.

Καὶ ἀναγινώσκομεν καὶ τοὺς καταλειφθέντας ϛ΄.

Οἶκους.

ΤΕῖχος εἶ τῶν παρθένων, Θεοτόκε Παρθένε, καὶ πάντων τῶν εἰς σὲ προστρεχόντων· ὁ γὰρ τοῦ Οὐρανοῦ, καὶ τῆς γῆς κατεσκεύασέ σε Ποιητὴς, ἄχραντε, οἰκήσας ἐν τῇ μήτρᾳ σου, καὶ πάντας σοι προσφωνεῖν διδάξας· Χαῖρε ἡ στήλη τῆς παρθενίας· χαῖρε ἡ πύλη τῆς σωτηρίας· χαῖρε ἀρχηγὲ νοητῆς ἀναπλάσεως· χαῖρε χορηγὲ θεϊκῆς ἀγαθότητος· χαῖρε, σὺ γὰρ ἀνεγέννησας τοὺς συλληφθέντας αἰσχρῶς· χαῖρε, σὺ γὰρ ἐνουθέτησας τοὺς συλληφθέντας τὸν νοῦν· χαῖρε, ἡ τὸν φθορέα τῶν φρενῶν καταργοῦσα· χαῖρε, ἡ τὸν σπορέα τῆς ἁγνείας τεκοῦσα· χαῖρε παστὰς ἀσπόρου νυμφεύσεως· χαῖρε πιστοὺς Κυρίῳ ἁρμόζουσα· χαῖρε καλὴ κουροτρόφε παρθένων· χαῖρε ψυχῶν νυμφοστόλε ἁγίων.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΥΜνος ἅπας ἡττᾶται, συνεκτείνεσθαι σπεύδων, τῷ πλήθει τῶν πολλῶν οἰκτιρμῶν σου· ἰσαρίθμους γὰρ τῇ ψάμμῳ ᾠδὰς ἂν προσφέρωμέν σοι, Βασιλεῦ ἅγιε, οὐδὲν τελοῦμεν ἄξιον, ὧν δέδωκας ἡμῖν τοῖς σοὶ βοῶσιν.

Ἀλληλούϊα.

ΦΩτοδόχον λαμπάδα τοῖς ἐν σκότει φανεῖσαν ὁρῶμεν τὴν ἁγίαν Παρθένον· τὸ γὰρ ἄϋλον ἅπτουσα φῶς ὁδηγεῖ πρὸς γνῶσιν θεϊκὴν ἅπαντας· αὐγῇ τὸν νοῦν φωτίζουσα, κραυγῇ δὲ τιμωμένη ταῦτα. Χαῖρε ἀκτὶς νοητοῦ Ἡλίου· χαῖρε βολὶς τοῦ ἀδύτου φέγγους· χαῖρε ἀστραπὴ τὰς ψυχὰς καταλάμπουσα· χαῖρε ὡς βροντὴ τοὺς ἐχθροὺς καταπλήττουσα· χαῖρε, ὅτι τὸν πολύφωτον ἀνατέλλεις φωτισμόν· χαῖρε, ὅτι τὸν πολύῤῥυτον ἀναβλύζεις ποταμόν· χαῖρε τῆς κολυμβήθρας ζωγραφοῦσα τὸν τύπον· χαῖρε τῆς ἁμαρτίας ἀναιροῦσα τὸν ῥύπον· χαῖρε λουτὴρ ἐκπλύνων συνείδησιν· χαῖρε κρατὴρ κιρνῶν ἀγαλλίασιν· χαῖρε ὀσμὴ τῆς Χριστοῦ εὐωδίας· χαῖρε ζωὴ μυστικῆς εὐωχίας.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΧΑριν δοῦναι θελήσας ὀφλημάτων ἀρχαίων ὁ πάντων χρεωλύτης ἀνθρώπων, ἐπεδήμησε δι' ἑαυτοῦ πρὸς τοὺς ἀποδήμους τῆς αὐτοῦ χάριτος, καὶ σχίσας τὸ χειρόγραφον, ἀκούει παρὰ πάντων οὕτως.

Ἀλληλούϊα.

ΨΑλλοντές σου τὸν τόκον, ἀνυμνοῦμέν σε πάντες, ὡς ἔμψυχον ναὸν, Θεοτόκε· ἐν τῇ σῇ γὰρ οἰκήσας γαστρὶ, ὁ συνέχων πάντα τῇ χειρὶ Κύριος, ἡγίασεν, ἐδόξασεν, ἐδίδαξε βοᾶν σοι πάντας. Χαῖρε σκηνὴ τοῦ Θεοῦ καὶ Λόγου· χαῖρε Ἁγία Ἁγίων μείζων· χαῖρε κιβωτὲ χρυσωθεῖσα τῷ Πνεύματι· χαῖρε θησαυρὲ τῆς ζωῆς ἀδαπάνητε· χαῖρε τίμιον διάδημα Βασιλέων εὐσεβῶν· χαῖρε καύχημα σεβάσμιον Ἱερέων εὐλαβῶν· χαῖρε τῆς Ἐκκλησίας ὁ ἀσάλευτος πύργος· χαῖρε τῆς Βασιλείας τὸ ἀπόρθητον τεῖχος· χαῖρε, δι' ἧς ἐγείρονται τρόπαια. χαῖρε, δι' ἧς ἐχθροὶ καταπίπτουσι· χαῖρε χρωτὸς τοῦ ἐμοῦ θεραπεία. Χαῖρε ψυχῆς τῆς ἐμῆς σωτηρία.

Χαῖρε Νύμφη ἀνύμφευτε.

ΩΠανύμνητε Μῆτερ, ἡ τεκοῦσα τὸν πάντων Ἁγίων ἁγιώτατον Λόγον, δεξαμένη τὴν νῦν προσφορὰν, ἀπὸ πάσης ῥῦσαι συμφορᾶς ἅπαντας, καὶ τῆς μελλούσης λύτρωσαι κολάσεως τοὺς σοὶ βοῶντας.

Ἀλληλούϊα.

Καὶ πάλιν ἀναγινώσκεται ὁ πρῶτος Οἶκος.

ΑΓγελος πρωτοστάτης οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε· καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ σωματούμενόν σε θεωρῶν, Κύριε, ἐξίστατο, καὶ ἵστατο κραυγάζων πρὸς αὐτὴν τοιαῦτα. Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει· χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει· χαῖρε τοῦ πεσόντος Ἀδὰμ ἡ ἀνάκλησις· χαῖρε τῶν δακρύων τῆς

Εὔας

Εὔας ἡ λύτρωσις· χαῖρε ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς· χαῖρε βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς· χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα· χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα· χαῖρε ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον· χαῖρε γαστὴρ ἐνθέου σαρκώσεως· χαῖρε, δι᾽ ἧς νεουργεῖται ἡ κτίσις· χαῖρε, δι᾽ ἧς προσκυνεῖται ὁ πλάστης.

Χαῖρε Νύμφη ἀνύμφευτε.

Καὶ πάλιν τὸ Κοντάκ. Τῇ ὑπερμάχῳ. Εἶτα ἀναγινώσκονται τὰ Συναξάρια, πρῶτον τοῦ Μηναίου· εἶθ᾽ οὕτω τὸ παρόν.

Στίχ. Ὕμνοις ἀΰπνοις εὐχαρίστως ἡ πόλις
Τὴν ἐν μάχαις ἄγρυπνον ὑμνεῖ προστάτιν.

ΤΗ͂ αὐτῇ ἡμέρᾳ τὸν Ἀκάθιστον Ὕμνον ἑορτάζομεν τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου δι᾽ αἰτίαν τοιαύτην. Ἡρακλείου τὴν αὐτοκράτορος Ῥωμαίοις ἀρχὴν διέποντος, ὁ τῶν Περσῶν Βασιλεὺς Χοσρόης ἰδὼν τὰ Ῥωμαίων ἄκρως ταπεινωθέντα παρὰ Φωκᾶ Βασιλέως τοῦ τυράννου, ἕνα τῶν σατραπῶν Σάρβαρον ὄνομα μετὰ χιλιάδων πλείστων στέλλει, πᾶσαν τὴν Ἕω αὐτῷ ὑποποιήσασθαι, ἔφθη γὰρ καὶ πρότερον ὡσεὶ δέκα μυριάδας Χριστιανῶν διαφθείρας Χοσρόης, ἀπὸ τῶν Ἑβραίων αὐτοὺς ἐξωνουμένων, καὶ ἀπολλύντων· ὁ γοῦν ἀρχισατράπης Σάρβαρος τὴν Ἕω ληϊσάμενος ἅπασαν, ἔφθασεν ἄχρι καὶ αὐτῆς τῆς Χρυσοπόλεως, ἣ νῦν Σκουτάριον ἐπικέκληται· ὁ τοίνυν Βασιλεὺς Ἡράκλειος ἐν ἀπορίᾳ καταστὰς δημοσίων χρημάτων, τὰ Ἱερὰ τῶν Ἐκκλησιῶν εἰς κέρμα μετασκευασάμενος ἐπὶ ἀποδόσει μείζονι, καὶ πλειοτέρα διὰ τοῦ Εὐξείνου μετὰ πλοίων τοῖς τῆς Περσίας μέρεσιν εἰσβαλὼν, ἀφανίζει αὐτήν· καὶ κατακράτος ἡττᾶται τούτῳ ὁ Χοσρόης σὺν τῇ λοιπῇ στρατιᾷ· μετ᾽ ὀλίγον δὲ καὶ Σιρόης ὁ υἱὸς Χοσρόου ἀποστὰς τοῦ πατρὸς τὴν ἀρχὴν ἑαυτῷ περιτίθησι, καὶ τὸν πατέρα Χοσρόην ἀποκτείνας, τῷ Βασιλεῖ Ἡρακλείῳ σπένδεται. Χαγάνος γοῦν ὁ τῶν Μυσῶν, καὶ Σκυθῶν ἀρχηγὸς μαθὼν τὸν Βασιλέα διαπόντιον εἰς Πέρσας γενόμενον, τὰς μετὰ Ῥωμαίων διαλύσας σπονδὰς, σίφη μυριάριθμα ἐπαγόμενος, διὰ τῶν Θρακικῶν εἰσβάλλει μερῶν εἰς τὴν Κωνσταντίνου, κατὰ Θεοῦ βλασφήμους ἐκπέμπων φωνάς· αὐτίκα τοίνυν ἡ μὲν θάλασσα πλοίων, ἡ δὲ γῆ πεζῶν, καὶ ἱππέων ἀπείρων ἔμπλεως ἦν. Σέργιος δὲ ὁ Πατριάρχης πολλὰ τὸν τῆς Κωνσταντίνου παρεκάλει λαὸν, μὴ καταπίπτειν, ἀλλὰ πᾶσαν τὴν ἐλπίδα ἐκ ψυχῆς εἰς Θεὸν ἀναφέρειν, καὶ εἰς τὴν αὐτοῦ Μητέρα τὴν πανάχραντον Θεοτόκον· ναὶ μὴν, καὶ Βόνος πατρίκιος ὁ τηνικαῦτα τὴν Πόλιν διέπων, τὰ ἀνήκοντα εἰς ἀποτροπὴν τῶν πολεμίων παρεσκευάζετο· δεῖ γὰρ μετὰ τῆς ἄνωθεν βοηθείας καὶ ἡμᾶς τὰ προσήκοντα ἐνεργεῖν, ὁ δὲ Πατριάρχης τὰς θείας Εἰκόνας τῆς Θεομήτορος μετὰ παντὸς ἐπαγόμενος τοῦ πλήθους, περιῄει τὸ τεῖχος ἄνωθεν, ἐντεῦθεν τὸ ἀσφαλὲς αὐτοῖς πορίζόμενος, ὡς δὲ ὁ μὲν Σάρβαρος ἐξ Ἑῴας, Χαγάνος δ᾽ ἀπὸ Δυσμῶν πυρπολεῖν τὰ πέριξ τῆς πόλεως ἤρχοντο· ὁ Πατριάρχης τὴν ἀχειροποίητον τοῦ Χριστοῦ Εἰκόνα, καὶ τὰ τίμια, καὶ ζωοποιὰ Ξύλα, προσέτι δὲ, καὶ τὴν τιμίαν ἐσθῆτα τῆς Θεομήτορος ἐπιφερόμενος, διὰ τῶν τειχῶν περιήρχετο. Χαγάνος δὲ ὁ Σκύθης διὰ τῶν χερσαίων τειχῶν προσβάλλει τῇ Κωνσταντίνου σὺν πλήθει ἀπείρῳ, ἄκρως ἐξ ὅπλων ἠσφαλισμένων, καὶ τοσούτῳ ὡς ἕνα Ῥωμαῖον πρὸς δέκα Σκύθας σαφῶς διαμάχεσθαι· ἀλλ᾽ ἡ ἄμαχος πρόμαχος, διὰ τῶν παρευρεθέντων ὀλίγων πάνυ στρατιωτῶν ἐν τῷ Ναῷ ταύτης τῷ τῆς πηγῆς, πλείστους αὐτῶν διαπώλεσεν· κἀντεῦθεν οἱ Ῥωμαῖοι ἀναθαρσήσαντές τε, καὶ ἀνασκιρτήσαντες ὑπὸ στρατηγῷ ἀμάχῳ τῇ Θεομήτορι, αὐτοὺς ἀεὶ κατὰ κράτος ἐνίκων· βλέψαντες δὲ καὶ πρὸς σπονδὰς οἱ τῆς Πόλεως, ἐπεκρούσθησαν· ἀνεῖπε γὰρ ὁ Χαγάνος, μὴ ἀπατᾶσθε ἐπὶ τῷ Θεῷ, ᾧ πιστεύετε· πάντως γὰρ αὔριον τὴν Πόλιν ὑμῶν καταλήψομαι· οἱ δὲ τῆς Πόλεως διακούσαντες, χεῖρας ἔτεινον εἰς Θεόν· συμφωνήσαντες οὖν Χαγάνος τε, καὶ ὁ Σάρβαρος διὰ ξηρᾶς, καὶ διὰ θαλάσσης προσβάλλουσι, διὰ μηχανημάτων τὴν Πόλιν ἑλεῖν προθυμούμενοι· ἀλλὰ τοσοῦτον ὑπὸ τῶν Ῥωμαίων ἡττήθησαν, ὡς μηδὲ ἱκανοὺς εἶναι τοὺς ζῶντας καίειν τοὺς τεθνηκότας, τὰ δὲ μονόξυλα ὁπλιτῶν πλήρη, διὰ τοῦ ἐπιλεγομένου Κέρατος κόλπου εἰς τὸν ἐν Βλαχέρναις Ναὸν τῆς Θεομήτορος καταγόμενα, καταιγίδος αἰφνηδὸν τῇ θαλάσσῃ ἐπεισπεσούσης ῥαγδαίας, καὶ διαρρηξάσης ταύτην εἰς τμήματα, σὺν τοῖς πλοίοις ἅπασι τῶν ἐχθρῶν διεφθάρη, καὶ εἶδεν ἄντις παράδοξον ἀριστούργημα τῆς Παναγίου, καὶ Θεομήτορος· πάντας γὰρ παρὰ τὸ χεῖλος τῆς θαλάσσης τὸ ἐν Βλαχέρναις ἐξέβρασεν, ὁ δὲ λαὸς ὅσον τάχος τὰς πύλας ἀναπετάσαντες, ἄρδην πάντας ἀπέκτειναν, καὶ παῖδες, καὶ γυναῖκες κατ᾽ αὐτῶν ἀνδριζόμενοι· οἱ δὲ ἀρχηγοὶ τούτων ὑπέστρεψαν, κλαίοντες ἅμα, καὶ ὀδυρόμενοι· ὅγε μὴν θεοφιλὴς τῆς Κωνσταντίνου λαὸς τῇ Θεομήτορι τὴν χάριν ἀφοσιούμενοι, ὁλονύκτιον τὸν ὕμνον, καὶ ἀκάθιστον αὐτῇ ἐμελῴδησαν, ὡς ὑπὲρ αὐτῶν ἀγρυπνησάσῃ, καὶ ὑπερφυεῖ δυνάμει διαπραξαμένῃ τὸ κατὰ τῶν ἐχθρῶν τρόπαιον· ἔκτοτε οὖν εἰς μνείαν τοῦ τοσούτου, καὶ ὑπερφυοῦς θαύματος, ἡ Ἐκκλησία τὴν τοιαύτην Ἑορτὴν παρέλαβε τῇ Μητρὶ ἀνατιθέναι τοῦ Θεοῦ τῷ παρόντι καιρῷ, ὅτε καὶ τὸ τρόπαιον τῇ Θεομήτορι γέγονεν. Ἀκάθιστον δὲ ὠνόμασαν, διὰ τὸ τότε οὕτω πρᾶξαι τὸν τῆς Πόλεως Κλῆρον τε, καὶ λαὸν ἅπαντα· μετὰ δὲ παρέλευσιν χρόνου, τριάκον-

τα ἕξ, ἐπὶ τῆς Βασιλείας Κωνσταντίνου τοῦ Πωγωνάτου οἱ Ἀγαρηνοὶ ἄπειρον στρατιὰν ἐπαγόμενοι, πάλιν τῇ Κωνσταντίνου ἐπέθεντο, καὶ ἐπὶ ἑπτὰ ἔτεσι ταύτην πολιορκοῦνται, ὅτε καὶ ἐν τοῖς Κυζίκου παρεχείμαζον μέρεσι, πολλοὺς τῶν οἰκείων διέφθειραν· εἶτα ἐπιπόντες, καὶ μετὰ τοῦ στόλου αὐτῶν ὑποστρέφοντες, κἀν τῷ Συλαίῳ γενόμενοι, τῇ θαλάσσῃ πάντες κατεποντίσθησαν πρεσβείᾳ τῆς πανάγνου, καὶ Θεομήτορος· ἀλλὰ καὶ τὸ τρίτον αὖθις ἐπὶ Λέοντος τοῦ Ἰσαύρου, οἱ ἐξ Ἄγαρ ὑπὲρ πλείστας μυριάδας ἀριθμούμενοι, πρότερον μὲν τὴν τῶν Περσῶν ἀφανίζουσι Βασιλείαν, εἶτα τὴν Αἴγυπτον καὶ Λιβύην ἐπιδραμόντες, καὶ Ἰνδοὺς, Αἰθίοπάς τε, καὶ Ἱσπανοὺς, ὕστερον καὶ κατ᾽ αὐτῆς τῆς Βασιλίδος τῶν Πόλεων ἐπιστρατεύουσι, χίλια ὀκτακόσια πλοῖα ἐπιφερόμενοι, κυκλώσαντες οὖν αὐτὴν, ὡς αὐτίκα ἐξαναρπάσαντες ἔμενον· ὁ δὲ τῆς Πόλεως Ἱερὸς λαὸς τὸ σεπτὸν ξύλον τοῦ τιμίου, καὶ ζωοποιοῦ Σταυροῦ, καὶ τὴν σεβάσμιον Εἰκόνα τῆς Θεομήτορος Ὁδηγητρίας ἐπαγόμενοι, τὸ τεῖχος περιεκύκλουν, σὺν δάκρυσι τὸν Θεὸν ἱλεούμενοι· δόξαν οὖν οὕτω τοῖς Ἀγαρηνοῖς, εἰς δύο διαιροῦνται μέρη, καὶ οἱ μὲν κατὰ Βουλγάρων στρατεύουσι, καὶ πίπτουσιν ἐκεῖσε ὑπὲρ μυριάδας δύο· οἱ δὲ περιελείφθησαν, τὴν πόλιν ἑλεῖν· κωλυθέντες δὲ ὑπὸ τῆς ἁλύσεως, διηκούσης ἀπὸ τῶν Γαλάτου εἰς τὰ τείχη τῆς πόλεως, ἀναχθέντες περὶ τὸ λεγόμενον Σωσθένιον γίνονται, κἀκεῖ ἀνέμου Βορέου καταρραγέντος, τὰ πολλὰ τῶν πλοίων αὐτῶν διερράγη, καὶ διεφθάρησαν· οἱ δὲ περιλειφθέντες λιμῷ σφοδρῷ περιέπεσον, ὡς καὶ ἀνθρωπίνων σαρκῶν ἅψασθαι, κόπριά τε φυρᾶν, καὶ ἐσθίειν· εἶτα φυγόντες, καὶ κατὰ τὸ Αἰγαῖον γενόμενοι πέλαγος, τὰ σκάφη αὐτῶν ἅπαντα, καὶ ἑαυτοὺς τῷ τῆς θαλάσσης διδοῦσι βυθῷ· χάλαζα γὰρ ῥαγδαία οὐρανόθεν κατασπεύσασα, καὶ βρασμὸν κατὰ τῆς θαλάσσης ποιήσασα τὴν τῶν πλοίων πίσσαν διέλυσε, καὶ οὕτως ὁ ἀπειροπληθὴς ἐκεῖνος στόλος διώλετο, τριῶν μόνων εἰς ἀγγελίαν περιλειφθέντων. Διὰ ταῦτα τοίνυν ἅπαντα τὰ ὑπερφυῆ θαυμάσια τῆς πανάγνου, καὶ Θεομήτορος τὴν παροῦσαν Ἑορτὴν ἑορτάζομεν. Ἀκάθιστος δὲ εἴρηται, διότι ὀρθοστάδην τότε πᾶς ὁ λαὸς κατὰ τὴν νύκτα ἐκείνην τὸν ὕμνον τῇ τοῦ Λόγου Μητρὶ ἔμελψαν· καὶ ὅτι ἐν πᾶσι τοῖς ἄλλοις οἴκοις καθῆσθαι ἐξέθους ἔχοντες, ἐν τοῖς παροῦσι τῆς Θεομήτορος ὀρθοὶ πάντες ἀκροώμεθα· ταῖς τῆς σῆς ὑπερμάχου τε, καὶ ἀπροσμάχου Μητρὸς πρεσβείαις, Χριστὲ ὁ Θεὸς, τῶν περικειμένων καὶ ἡμᾶς ἀπάλλαξον συμφορῶν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος φιλάνθρωπος.

Στιχολογεῖται καὶ ἡ ζ. ᾠδὴ, ᾠδὴ ζ.

Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Ἀνυμνοῦμέν σε βοῶντες, χαῖρε ὄχημα Ἡλίου τοῦ νοητοῦ, ἄμπελος ἀληθινὴ, τὸν βότρυν τὸν πέπειρον ἡ γεωργήσασα, οἶνον στάζοντα, τὸν τὰς ψυχὰς εὐφραίνοντα, τῶν πιστῶς σε δοξαζόντων.

Ἰατῆρα τῶν ἀνθρώπων ἡ κυήσασα, χαῖρε Θεόνυμφε, ἡ ῥάβδος ἡ μυστικὴ, ἄνθος τὸ ἀμάραντον ἡ ἐξανθήσασα· χαῖρε Δέσποινα, δι᾽ ἧς χαρᾶς πληρούμεθα, καὶ ζωὴν κληρονομοῦμεν.

Ῥητορεύουσα οὐ σθένει γλῶσσα, Δέσποινα, ὑμνολογῆσαί σε· ὑπὲρ γὰρ τὰ Σεραφὶμ ὑψώθης κυήσασα τὸν Βασιλέα Χριστὸν, ὃν ἱκέτευε, ταύτην τὴν πόλιν σώζεσθαι ἐκ πολλῶν πειρατηρίων.

Εὐφημεῖ σε μακαρίζοντα τὰ πέρατα, καὶ πόθῳ κράζει σοι, χαῖρε ὁ τόμος, ἐν ᾧ δακτύλῳ ἐγγέγραπται Πατρὸς ὁ Λόγος, ἁγνὴ, ὃν ἱκέτευε βίβλῳ ζωῆς τοὺς δούλους σου καταγράψαι, Θεοτόκε.

Ἱκετεύομεν οἱ δοῦλοί σου, καὶ κλίνομεν γόνυ καρδίας ἡμῶν, κλῖνον τὸ οὖς σου, ἁγνὴ, καὶ σῶσον τοὺς θλίψεσι βυθιζομένους ἀεὶ, καὶ συντήρησον, πάσης ἐχθρῶν ἁλώσεως τὴν σὴν Πόλιν, Θεοτόκε.

Εἱρμὸς ἄλλος. Δροσοβόλον.

Ἡ ὑπέρφωτος ὁμήγυρις τῶν θείων σου Μαρτύρων, πολυέλεε, ἐν τῷ φωτί σου τῷ ἀδύτῳ νῦν περιπολεῖ, αὐτῶν ἱκεσίαις φωτισμὸν, ἁμαρτιῶν τε ἱλασμὸν παράσχου πᾶσι, Χριστέ.

Ὡς ὡραῖος ὁ καιρὸς, ὃν ἡμῖν δέδωκας τῆς ἐγκρατείας, Κύριε, ἐν ᾧ οἴκτειρον τὰς ψυχὰς ἡμῶν ὡς ἀγαθὸς εὐχαῖς τῶν ἁγίων Ἀθλητῶν, τῶν τὰ ὡραῖα, καὶ σεπτὰ στερξάντων πάθη σου.

Διελθόντας πολυώδυνον κλυδώνιον τοῦ βίου, τοὺς οἰκέτας σου ἐγκαθόρμισον εἰς λιμένα, Δέσποτα, ζωῆς, βοᾶν μετὰ πάντων ἐκλεκτῶν· εὐλογητὸς εἶ ὁ Θεός.

Ἡ τοῦ νόμου τὸν δοτῆρα, Ἀειπάρθενε, κυήσασα ἱκέτευε, τὰς ἀνομίας ὑπεξᾶραι πάσας ἐν καιρῷ τῷ νῦν ἐνεστῶτι τοῖς καλῶς προαιρουμένοις ἐξασκεῖν θείας νηστείας σπουδήν.

Εἱρμὸς ἄλλος. Εὐλογητὸς εἶ ὁ Θεός.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ δείξας γενναίους ὑπὲρ σοῦ ἀθλοῦντας τοὺς Μάρτυρας, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τοὺς Ἀθλοφόρους πρέσβεις ἡμῖν εἰς σὲ παρασχόμενος, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.

Δόξα.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ εἷς μὲν τῇ φύσει, προσώποις δὲ τρισὶ γνωριζόμενος, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.



Digitized by Google

Καὶ νῦν.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ τεχθεὶς ἀπόρως, καὶ τὴν τεκοῦσαν δείξας ἀγνεύουσαν, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.

Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ θῆρας φιμώσας, καὶ σβέσας πῦρ εἰς δόξαν τῶν Ἁγίων σου, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.

Μακάριοι, οὓς ἐξελέξω.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ ἀπὸ θανάτου εἰς ἄπειρον ζωὴν μεταθέμενος τοὺς πίστει ἐν τῷ βίῳ λειτουργήσαντάς σοι.

Ὁ Εἱρμός.

Εὐλογητὸς εἶ ὁ Θεὸς, ὁ βλέπων ἀβύσσους, ὁ καθήμενος ἐπὶ τῶν Χερουβίμ, ὁ ὑπερύμνητος, καὶ ὑπερένδοξος.

Ὠδὴ η'. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Νηδύϊ τὸν λόγον ὑπεδέξω, τὸν πάντα βαστάζοντα ἐβάστασας, γάλακτι ἐξέθρεψας, νεύματι τὸν τρέφοντα τὴν οἰκουμένην ἅπασαν, ἁγνὴ, ᾧ ψάλλομεν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Μωσῆς κατενόησεν ἐν βάτῳ τὸ μέγα μυστήριον τοῦ τόκου σου. Παῖδες προεικόνιζον τοῦτο ἐμφανέστατα μέσον πυρὸς ἱστάμενοι, καὶ μὴ φλεγόμενοι, ἀκήρατε ἁγία Παρθένε, ὅθεν σε τιμῶμεν εἰς πάντας τοὺς αἰῶνας.

Οἱ πρῴην ἀπάτῃ γυμνωθέντες, στολὴν ἀφθαρσίας ἐνεδύθημεν τῇ κυοφορίᾳ σου· καὶ οἱ καθεζόμενοι ἐν σκότει παραπτώσεων, φῶς κατωπτεύσαμεν, φωτὸς κατοικητήριον Κόρη· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Νεκροὶ διὰ σοῦ ζωοποιοῦνται, ζωὴν γὰρ τὴν ἐνυπόστατον ἐκύησας· εὔλαλοι οἱ ἄλαλοι πρῴην χρηματίζοντες, λεπροὶ ἀποκαθαίρονται, νόσοι διώκονται, πνευμάτων ἀερίων τὰ πλήθη ἥττηνται, Παρθένε βροτῶν ἡ σωτηρία.

Ἡ κόσμῳ τεκοῦσα σωτηρίαν, δι' ἧς ἀπὸ γῆς πρὸς ὕψος ἤρθημεν· χαῖρε παντευλόγητε, σκέπη καὶ κραταίωμα, τεῖχος καὶ ὀχύρωμα τῶν μελῳδούντων, ἁγνή· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Ἐκ φλογὸς τοῖς.

Τῶν ἁγίων Μαρτύρων τὰ κατορθώματα ἐπουράνιοι Νόες ὑπερεθαύμασαν· τούτων πρεσβείαις τὰ ἐλέη σου, Δέσποτα, ἐν ἡμῖν πλουσίως θαυμάστωσον, οἰκτίρμον.

Οἱ τὸ πῦρ θείᾳ δρόσῳ καταπατήσαντες, Ἀθληταὶ τοῦ Κυρίου ἀξιοθαύμαστοι, ῥύσατε ἡμᾶς τοῦ πυρὸς τοῦ κολάζοντος ταῖς πρὸς τὸν Δεσπότην θερμαῖς ὑμῶν πρεσβείαις.

Ὑπεράγαθε Λόγε, τοὺς ἐκδημήσαντας ἐξ ἡμῶν ὀρθοδόξως ζωῆς ἀξίωσον, τῆς ἐν Οὐρανοῖς, καὶ ἁγίας λαμπρότητος ταῖς τῶν καλλινίκων Μαρτύρων ἱκεσίαις.

Θεοτοκίον.

Ἱκεσίαις, οἰκτίρμον, τῆς κυησάσης σε, καὶ ἁγίων Μαρτύρων, καὶ Ἀποστόλων σου φώτισον ἡμῶν τὰς ψυχὰς, τοῦ δοξάζειν σε ἐν ἀγαλλιάσει ψυχῆς εἰς τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Τὸν ποιητὴν τῆς Κτί.

Χοροὶ Μαρτύρων ἅγιοι μιμηταὶ τοῦ πάθους ἀνυμνούντων ὑμᾶς, καὶ ὑπερυψούντων Χριστὸν εἰς τοὺς αἰῶνας.

Ξίφει τυμπανιζόμενοι ἔχαιρον οἱ Μάρτυρες, ὑμνοῦντες Χριστὸν, καὶ ὑπερυψοῦντες εἰς πάντας τοὺς αἰῶνας.

Ξενοπρεπῶς μερίζεται ἡ Τριὰς, καὶ μένει ἀμερὴς ὡς Θεός. ἣν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καὶ νῦν.

Παρθένος βρέφος τέτοκε, Θεὸς γὰρ ἐκ ταύτης ἐνηνθρώπησε· πᾶσα σὰρξ ὑμνείτω αὐτὸν εἰς τοὺς αἰῶνας.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς.

Στῆλαι ἀνδρείας ὤφθησαν, πᾶσιν διαβόλου θριαμβεύοντες οἱ Μάρτυρες, ὑμνοῦντες Χριστὸν, καὶ ὑπερυψοῦντες.

Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς.

Τὸν Ἀβραὰμ κολπώσασθαι ἀξίωσον, Κύριε τοὺς δούλους σου πίστει μεταστάντας πρὸς σὲ, καὶ τῇ ἐλπίδι.

Αἰνοῦμεν, εὐλογοῦμεν· ὁ Εἱρμός.

Τὸν ποιητὴν τῆς Κτίσεως, ὃν τρέμουσιν Ἄγγελοι, ὑμνεῖτε λαοὶ, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἅπας γηγενής.

Ἵνα σοι πιστοὶ τὸ χαῖρε κραυγάζωμεν, οἱ διὰ σοῦ τῆς χαρᾶς μέτοχοι γενόμενοι τῆς ἀϊδίου, ῥῦσαι ἡμᾶς πειρασμῶν, βαρβαρικῆς ἁλώσεως, καὶ πάσης ἄλλης πληγῆς διὰ πλῆθος, Κόρη, παραπτώσεων ἐπιούσης βροτοῖς ἁμαρτάνουσιν.

Ὤφθης φωτισμὸς ἡμῶν, καὶ βεβαίωσις, ὅθεν βοῶμέν σοι· χαῖρε ἄστρον ἄδυτον εἰσάγον κόσμῳ τὸν μέγαν Ἥλιον· χαῖρε Ἐδὲμ ἀνοίξασα τὴν κεκλεισμένην, ἁγνή· χαῖρε σκεῦος μύρον τὸ ἀκένωτον, ἐπὶ σὲ κενωθὲν εἰσδεξάμενον.

Στῶμεν εὐλαβῶς ἐν οἴκῳ Θεοῦ ἡμῶν, καὶ ἐκβοήσωμεν· χαῖρε κόσμου Δέσποινα, χαῖρε Μαρία Κυρία πάντων ἡμῶν· χαῖρε ἡ μόνη ἄμωμος ἐν γυναιξὶ, καὶ καλή· χαῖρε στῦλε πύρινε, εἰσάγουσα εἰς τὴν ἄνω ζωὴν τὸ ἀνθρώπινον.

Ἡ Περιστερὰ, ἡ τὸν ἐλεήμονα ἀποκυήσασα, χαῖρε Ἀειπάρθενε, Ὁσίων πάντων χαῖρε τὸ καύχημα, τῶν Ἀθλητῶν στεφάνωμα, χαῖρε ἁπάντων τε τῶν Δικαίων θεῖον ἐγκαλλώπισμα, καὶ ἡμῶν τῶν πιστῶν τὸ διάσωσμα.

Φείσαι ὁ Θεὸς τῆς κληρονομίας σου, τὰς ἁμαρτίας ἡμῶν πάσας παραβλέπων νῦν, εἰς τοῦτο ἔχων

Digitized by Google

ἔχων ἐκδυσωποῦσάν σε, τὴν ἐπὶ γῆς ἀσπόρως σε κυοφορήσασαν, διὰ μέγα ἔλεος θελήσαντα μορφωθῆναι, Χριστὲ, τὸ ἀνθρώπινον.

Εἱρμὸς ἄλλος. Θεὸν ἀνθρώποις ἰδεῖν ἀδύ.

ΩΣ φωςς, ὡς Ἥλιος ἀνατείλαντες πᾶσαν τὴν γῆν ἀκτῖσιν εὐσεβείας οἱ Μάρτυρες, καὶ λαμπάσι θαυμάτων ἐφώτισαν, καὶ τῆς πολυθείας σκότος ἠφάνισαν· ὧν ταῖς ἱκεσίαις ὁ Θεὸς ἡμᾶς ἐλέησον.

ΣΤρατὸς Μαρτύρων ἀκαταγώνιστος, πάντας ἡμᾶς ἐνίσχυσον καλῶς ἀγωνίσασθαι, καὶ τελέσαι νηστείας τὸ στάδιον, ὅπως ἐνθέου βίου ἔργα τελέσαντες, μέτοχοι γενώμεθα ζωῆς ἀγαλλιώμενοι.

ΗΣὴ φθασάτω χρηστότης, Κύριε, τοὺς ἐξ ἡμῶν φρικώδει μεταστάντας κελεύσει σου· κυκλωσάτω αὐτοὺς σοῦ τὸ ἔλεος, καὶ καθοδηγησάτω πρὸς τὰ σκηνώματα, τὰ καταυγαζόμενα φωτὶ τοῦ σοῦ προσώπου σου.

ΦΩνῇ Ἀγγέλου βουλῆς τὸν ἄγγελον τῆς τοῦ Πατρὸς ἀρρήτως, Θεοτόκε, ἐκύησας· τὰς φωνὰς οὖν τῶν δούλων σου πρόσδεξαι, ἃς ἐν τῷ τῆς νηστείας χρόνῳ προσάγομεν· καὶ ταύτας προσάγαγε Θεῷ, ὥσπερ θυμίαμα.

Εἱρμὸς ἄλλος. Ἡσαΐα χόρευε.

ΤΕλοῦντες πανήγυριν Μαρτυρικὴν σήμερον, λαοὶ, σκιρτήσωμεν, ἐν ᾠδαῖς μέλποντες Χριστῷ τῷ ἀθλοθετήσαντι, καὶ τὰς νίκας κατὰ τῶν ἐχθρῶν τούτοις παρέχοντα, ὃν ἐν ὕμνοις μεγαλύνομεν.

ΟΝυξὶ ξεόμενοι, καὶ τμηθέντες ξίφει μεληδὸν συνήφθητε τῷ Χριστῷ, ἀγαπητικῶς, πανεύφημοι Μάρτυρες, διὸ καὶ νῦν ἐν τοῖς Οὐρανοῖς ἀγαλλιώμενοι ὑπὲρ πάντων ἱκετεύσατε.

Δόξα.

ΟΜοουσιότητι ἀνυμνῶ σε, ἄναρχε Τριὰς, σεπτὴ, ζωαρχικὴ, ἄτμητε μονάς, Πατὴρ ὁ ἀγέννητος, καὶ γεννητὲ Λόγε καὶ Υἱὲ, Πνεῦμα τὸ ἅγιον, ἡμᾶς σῶσον τοὺς ὑμνοῦντάς σε.

Καὶ νῦν.

ΥΠὲρ νοῦν ὁ τόκος σου, Θεομῆτορ, ἄνευ γὰρ ἀνδρὸς ἡ σύλληψις ἐν σοὶ, καὶ παρθενικῶς ἡ κύησις γέγονε, καὶ γὰρ Θεός ἐστιν ὁ τεχθείς· ὃν μεγαλύνοντες, σὲ, Παρθένε, μακαρίζομεν.

Τοῖς Ἁγίοις, τοῖς ἐν τῇ γῇ.

ΤΟ γενναῖον στράτευμα τοῦ Ἄνακτος πάντων καὶ Θεοῦ, τοὺς Μάρτυρας ἐν ᾠδαῖς στέψωμεν, λαοί· αὐτοὶ γὰρ ἐνίκησαν δαιμονικὰς φάλαγγας σαφῶς· οὓς ἀναμέλποντες, τὸν Δεσπότην μεγαλύνομεν.

Μακάριοι, οὓς ἐξελέξω.

ΟΤε πᾶν τὸ πλάσμα σου ἀναστήσῃς κρίνεσθαι, Χριστὲ, οὓς προσελάβου, καὶ νῦν δούλους σου πιστοὺς ἐλέησον, σύγγνωθι τὰ ἐν βίῳ πταίσματα αὐτῶν, καὶ σὺν Ἁγίοις σου ἀνάπαυσον εἰς αἰῶνας αὐτούς.

Ὁ Εἱρμός.

ΗΣαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρί, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουὴλ, Θεόν τε καὶ ἄνθρωπον, Ἀνατολὴ ὄνομα αὐτῷ, ὃν μεγαλύνοντες, σὲ, Παρθένε, μακαρίζομεν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκούσατε.

ΤΟ ἀπ' αἰῶνος σήμερον γνωρίζεται μυστήριον· ὁ τοῦ Θεοῦ Θεὸς Λόγος υἱὸς Παρθένου Μαρίας δι' εὐσπλαγχνίαν γίνεται, καὶ χαρᾶς εὐαγγέλια ὁ Γαβριὴλ προσφθέγγεται· μεθ' οὗ βοήσωμεν πάντες, χαῖρε ἡ Μήτηρ Χριστοῦ.

Εἰς τοὺς Αἴνους, Πᾶσα πνοή· ἱστῶμεν στίχους δʹ. καὶ ψάλλομεν στιχηρὰ προσόμοια· ἦχος δʹ.

Ὡς γενναῖον ἐν Μάρτυσιν.

ΚΕκρυμμένον μυστήριον, καὶ Ἀγγέλοις ἀγνώριστον Γαβριὴλ πιστεύεται ὁ Ἀρχάγγελος, καὶ ἐπὶ σὲ νῦν ἐλεύσεται τὴν μόνην ἀκήρατον, καὶ καλὴν περιστερὰν, καὶ τοῦ γένους ἀνάπλασιν, καὶ βοήσει σοι, Παναγία, τὸ χαῖρε, ἑτοιμάζου διὰ λόγου, Θεὸν Λόγον σοῦ ταῖς λαγόσιν εἰσδέξασθαι.

Ὅμοιον.

ΦΩτοφόρον παλάτιον ἡτοιμάσθη σοι, Δέσποτα, ἡ νηδὺς ἡ ἄχραντος τῆς Θεόπαιδος· δεῦρο πρὸς τοῦτο κατάβηθι, οἰκτείρας τὸ πλάσμα σου φθονερῶς πολεμηθὲν, καὶ δουλείᾳ κρατούμενον τοῦ ἀλάστορος, καὶ τὸ κάλλος τὸ πρῶτον ἀπολέσαν, καὶ τὴν σὴν σωτηριώδη προσεκδεχόμενον κατάβασιν.

Ὅμοιον.

ΓΑβριὴλ ὁ Ἀρχάγγελος ἐπὶ σὲ, παναμώμητε, ἐμφανῶς ἐλεύσεται, καὶ βοήσει σοι· χαῖρε κατάρας λυτήριον, πεσόντων ἀνάστασις, χαῖρε μόνη ἐκλεκτὴ τῷ Θεῷ χρηματίσασα, χαῖρε ὄχημα τοῦ Ἡλίου τῆς δόξης, ὑποδέχου τὸν ἀχώρητον, ἐν μήτρᾳ τῇ σῇ οἰκῆσαι θελήσαντα.

Δευτεροῦντες τὸ αʹ. Δόξα. Καὶ νῦν, Ἰδιόμελον ἦχος δʹ.

ΓΛῶσσαν, ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος τοῦ εὐαγγελισμοῦ τὰ ῥήματα· ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμὸν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν· διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι, ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεὸς, εἰρήνην τῷ Κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν Τυπικά. Καὶ ἀπὸ τοῦ Κανόνος τῆς Ἀκαθίστου, καὶ τῶν τεσσάρων ᾠδῶν.

Προκείμενον ἦχος γʹ. ᾠδὴ τῆς Θεοτόκου.

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον.

Στιχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνω.



Digitized by Google

Ὁ Ἀπόστολ. ε΄. τῆς ἡμέρας. Πρὸς Ἑβραίους.

Ἀδελφοί, οὐκ εἰς χειροποίητα ἅγια εἰσῆλθεν ὁ Χριστὸς, ἀντίτυπα τῶν ἀληθινῶν, ἀλλ᾽ εἰς αὐτὸν τὸν Οὐρανὸν, νῦν ἐμφανισθῆναι τῷ προσώπῳ τοῦ Θεοῦ ὑπὲρ ἡμῶν· οὐδ᾽ ἵνα πολλάκις προσφέρῃ ἑαυτὸν, ὥσπερ ὁ Ἀρχιερεὺς εἰσέρχεται εἰς τὰ Ἅγια κατ᾽ ἐνιαυτὸν ἐν αἵματι ἀλλοτρίῳ, ἐπεὶ ἔδει αὐτὸν πολλάκις παθεῖν ἀπὸ καταβολῆς Κόσμου, νῦν δὲ ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων, εἰς ἀθέτησιν ἁμαρτίας, διὰ τῆς θυσίας αὐτοῦ πεφανέρωται· καὶ καθ᾽ ὅσον ἀπόκειται τοῖς ἀνθρώποις, ἅπαξ ἀποθανεῖν, μετὰ δὲ τοῦτο κρίσις· οὕτω καὶ ὁ Χριστὸς ἅπαξ προσενεχθεὶς, εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται τοῖς αὐτὸν ἀπεκδεχομένοις εἰς σωτηρίαν.

Καὶ τῆς Θεοτόκου ἐκ τῆς αὐτῆς Ἐπιστολῆς.

Εἶχε μὲν γὰρ καὶ ἡ πρώτη σκηνὴ, ἀδελφοί, δικαιώματα λατρείας, τό τε ἅγιον κοσμικόν· σκηνὴ γὰρ κατεσκευάσθη ἡ πρώτη, ἐν ᾗ ἥτε λυχνία, καὶ ἡ τράπεζα, καὶ ἡ πρόθεσις τῶν ἄρτων, ἥτις λέγεται ἁγία· μετὰ δὲ τὸ δεύτερον καταπέτασμα, σκηνὴ ἡ λεγομένη Ἅγια Ἁγίων, χρυσοῦν ἔχουσα θυμιατήριον, καὶ τὴν κιβωτὸν τῆς διαθήκης περικεκαλυμμένην πάντοθεν χρυσίῳ, ἐν ᾗ στάμνος χρυσῆ ἔχουσα τὸ μάννα, καὶ ἡ ῥάβδος Ἀαρὼν ἡ βλαστήσασα, καὶ αἱ πλάκες τῆς διαθήκης, ὑπεράνω δὲ αὐτῆς Χερουβὶμ δόξης, κατασκιάζοντα τὸ ἱλαστήριον, περὶ ὧν οὐκ ἔστι νῦν λέγειν κατὰ μέρος. Τούτων δὲ οὕτω κατεσκευασμένων, εἰς μὲν τὴν πρώτην σκηνὴν διαπαντὸς εἰσίασιν οἱ Ἱερεῖς τὰς λατρείας ἐπιτελοῦντες, εἰς δὲ τὴν δευτέραν, ἅπαξ τοῦ ἐνιαυτοῦ μόνος ὁ Ἀρχιερεὺς, οὐ χωρὶς αἵματος, ὃ προσφέρει ὑπὲρ ἑαυτοῦ, καὶ τῶν τοῦ λαοῦ ἀγνοημάτων.

Ἀλληλουϊάριον, ἦχος πλ. δ΄.

Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου.

Στίχ. Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς.

Εὐαγγέλια τῆς ἡμέρας, καὶ τῆς Θεοτόκου.

Ἀναστᾶσα Μαριάμ. Κανωνικόν.

Ποτήριον σωτηρίου λήψομαι.

Κυριακὴ ε΄. ἡ Ἀκολουθία ὁμοίως, ὡς καὶ ἐν ταῖς λοιπαῖς Κυριακαῖς. Ἐν ᾗ ψάλλομεν καὶ τοῦ Μηναίου τὴν Ἀκολουθίαν τοῦ ἐπιλαχόντος Ἁγίου. Ἄλλοι δὲ μεταγενέστεροι παρέδωκαν ψάλλεσθαι ἐν ταύτῃ τῇ Κυριακῇ τὴν Ἀκολουθίαν τῆς ὁσίας Μητρὸς ἡμῶν Μαρίας τῆς Αἰγυπτίας. Εἰς τὸ λυχνικὸν μετὰ τὸν Προοιμιακὸν, καὶ τὴν συνήθως στιχολογ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. Καὶ ψάλλομεν τῆς Ὀκτωήχου στιχηρὰ ἀναστάσιμα γ΄. καὶ ἀνατολικὰ γ΄. Καὶ τῆς Ὁσίας στιχηρὰ προσόμοια γ΄. ποιοῦντες αὐτὰ εἰς δ΄. ἦχος πλ. β΄.

Ὅλην ἀποθέμενοι.

Σὲ μὲν διεκώλυε τῆς τῶν σεπτῶν ἐποπτείας μολυσμῶν τε πρότερον τὸ ἐπισυρόμενον μιαντήριον· ἡ δὲ σὴ αἴσθησις, καὶ τῶν σοὶ, θεόφρον, πεπραγμένων ἡ συνείδησις τὴν πρὸς τὰ κρείττονα σοὶ ἐπιστροφὴν ἐνειργάσατο. Εἰκόνι γὰρ προσβλέψασα τῆς εὐλογημένης Θεόπαιδος, πάντων κατεγνοῦσα πταισμάτων σου, πανεύφημε, τῶν πρὶν, ἐν παρρησίᾳ τὸ τίμιον Ξύλον προσεκύνησας.

Ὅμοιον.

Τοὺς τόπους προσκυνήσασα περιχαρῶς τοὺς ἁγίους, ἀρετῆς ἐφόδιον σωτηριωδέστατον ἐκεῖθεν γέγονας· καὶ σφοδρῶς ἔδραμες τὴν καλὴν πορείαν, καὶ τὸ ῥεῖθρον ἐκπεράσασα τὸ Ἰορδάνειον, τὸ τοῦ Βαπτιστοῦ ἐνδιαίτημα προθύμως κατεσκήνωσας, καὶ τὴν τῶν παθῶν ἀγριότητα διὰ πολιτείας ἠμαύρωσας, λεπτύνασα σαρκὸς ἐν παρρησίᾳ, ἀείμνηστε Μῆτερ, τὰ οἰδήματα.

Ὅμοιον.

Ἔρημον οἰκήσασα, τῶν σῶν παθῶν τὰς εἰκόνας ἐκ ψυχῆς ἀπήλειψας, τὸ θεοειδέστατον ἐξεικόνισμα ἐν ψυχῇ γράψασα, ἀρετῶν ἰδέας, καὶ τοσοῦτον ὑπερέλαμψας, ὡς καὶ τοῖς ὕδασι κούφως ὑπερβαίνειν, μακαρία· καὶ γῆθεν ὑπεραίρεσθαι ἐν ταῖς πρὸς Θεόν σου ἐντεύξεσιν, καὶ νῦν ἐν παρρησίᾳ, πανένδοξε Μαρία, τῷ Χριστῷ παρισταμένη, δυσώπησον ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος δ΄.

Ἐθαυματούργησε, Χριστὲ, τοῦ Σταυροῦ σου ἡ δύναμις, ὅτι καὶ ἡ πρώην Πόρνη ἀσκητικὸν ἀγῶνα ἠγωνίσατο, ὅθεν καὶ τὸ ἀσθενὲς ἀπορρίψαμένη, γενναίως ἀντέστη κατὰ τοῦ διαβόλου· διὸ καὶ τὸ βραβεῖον τῆς νίκης κομισαμένη πρεσβεύει ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν, Θεοτοκίον τὸ α΄. τοῦ ἤχου, εἰς τὸν στίχ. στιχηρὰ τῆς Ὀκτωήχου. Δόξα, τῆς Ὁσίας ἦχ. β΄.

Τὰ τῆς ψυχῆς θηρεύματα, καὶ τὰ πάθη τῆς σαρκὸς τῷ ξίφει τῆς ἐγκρατείας ἔτεμες· τὰ τῆς ἐννοίας ἐγκλήματα τῇ σιγῇ τῆς ἀσκήσεως ἀπέπνιξας· καὶ ῥείθροις τῶν δακρύων σου τὴν ἔρημον ἅπασαν κατήρδευσας, καὶ ἐβλάστησας ἡμῖν τῆς μετανοίας καρπούς· διό σου τὴν μνήμην, Ὁσία, ἑορτάζομεν.

Καὶ νῦν, Θεοτοκίον Εἰς τὸν αὐτὸν ἦχον.

Ὢ θαύματος καινοῦ πάντων τῶν πάλαι θαυμάτων· τίς γὰρ ἔγνω μητέρα ἄνευ ἀνδρὸς τεκοῦσαν, καὶ ἐν ἀγκάλαις φέρουσαν τὸν ἅπασαν τὴν Κτίσιν περιέχοντα; Θεοῦ ἐστι βουλὴ τὸ κυηθέν· ὃν ὡς βρέφος, πάναγνε, σαῖς ὠλέναις βαστάσασα, καὶ μητρικὴν παρρησίαν πρὸς αὐτὸν κεκτημένη, μὴ παύσῃ δυσωποῦσα ὑπὲρ τῶν σὲ

τιμώντων, τοῦ οἰκτειρῆσαι, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀπολυτίκιον ἀναστάσιμον.

Καὶ τῆς Ὁσίας· ἦχος πλαγ. δ'.

ΕΝ σοί, Μῆτερ, ἀκριβῶς διεσώθη τὸ κατ' εἰκόνα· λαβοῦσα γὰρ τὸν Σταυρὸν ἠκολούθησας τῷ Χριστῷ, καὶ πράττουσα ἐδίδασκες ὑπερορᾶν μὲν σαρκός· παρέρχεται γάρ· ἐπιμελεῖσθαι δὲ ψυχῆς, πράγματος ἀθανάτου· διὸ καὶ μετὰ Ἀγγέλων συναγάλλεται, ὁσία Μαρία, τὸ πνεῦμά σου.

Καὶ νῦν, Θεοτοκίον.

Ὁ δι' ἡμᾶς γεννηθείς.

Τὰ αὐτὰ καὶ εἰς τὸ Θεὸς Κύριος. Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς συνήθως. Εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἐξ ἔθους ἅπασαν Ἀκολουθίαν, Κανόνες γ'. ὁ ἀναστάσιμος μετὰ τῆς Θεοτόκου εἰς ϛ'. ὁ παρὼν τοῦ Τριῳδίου εἰς δ'. Καὶ τῆς Ὁσίας εἰς δ'. Κανὼν εἰς τὸν πλούσιον, καὶ εἰς τὸν Λάζαρον.

Ὠδὴ α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδ.

ΠΑρέοικά με πλούτῳ τῶν ἡδονῶν τῷ εὐφραινομένῳ καθ' ἡμέραν ἐν τῇ τρυφῇ πλουσίῳ, διό σε ἱκετεύω, Σῶτερ, πυρός με ὡς Λάζαρον λύτρωσαι.

ΗΜφίεσμαι, Σῶτερ, ταῖς ἡδοναῖς, ὥσπερ ὁ τὴν βύσσον περιθέμενος καὶ χρυσόν, χρυσαυγοῦντα ἐσθῆτα, ἀλλὰ μή με ἐν τῷ πυρὶ ὡς ἐκεῖνον ἐκπέμψειας.

ΕΥφραίνετο πλούτῳ, καὶ τῇ τρυφῇ ὁ πλούσιος πάλαι ἐν τῷ βίῳ τῷ φθαρτικῷ· διόπερ βασάνοις κατεκρίθη, ὁ δὲ πτωχὸς ἐδροσίζετο Λάζαρος.

Θεοτοκίον.

ΤΑ'ξεις σε Ἀγγέλων, καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς· τὸν κτίστην γὰρ τούτων, ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Ἕτερος Κανὼν τῆς Ὁσίας εἰς δ'. ἦχος πλ. β'.

Κύματι θαλάσσης.

ΠΟ'θῳ τὴν φωσφόρον, καὶ θείαν σου μνήμην πανηγυρίζοντι, φῶς μοι κατάπεμψον παρεστηκυῖα, ὁσία, τῷ φωτὶ τῷ ἀπροσίτῳ Χριστῷ, πειρασμῶν παντοίων με τοῦ βίου διασώζουσα.

Ο' Τοῖς αἰγυπτίοις σαρκὶ ἐνδημήσας ὁ ἀπειρογαπτος, καὶ προαιώνιος, ὁλοφαῆ σε ἀστέρα ἐξ Αἰγύπτου ἀναδείκνυσιν, ὁ γινώσκων Κύριος τὰ πάντα πρὶν γενέσεως.

ΘΕίων ἐνταλμάτων, σεμνή, ἀγνοοῦσα, θεῖον εἰκόνισμα Θεοῦ ἐρρύπωσας· θεία προνοίᾳ δὲ πάλιν ἀπεκάθηρας, πανεύφημε, θεωθεῖσα πράξεσιν, ὁσία, ταῖς ἐνθέοις σου.

Ω' Τῆς σῆς, Θεέ μου, πολλῆς εὐσπλαγχνίας, καὶ τῆς ἀφάτου σου συγκαταβάσεως, ὅπως τὴν πρότερον Πόρνην μητρικαῖς σου παρακλήσεσιν ὡς ἁγνήν, καὶ ἄμωμον Ἀγγέλοις καθωμοίωσας.

Ὠδὴ γ'. Σὺ εἶ τὸ στερέωμα.

ΛΑ'ζαρον ὡς ἔσωσας ἐκ τῆς φλογός, Χριστέ, οὕτω με ἐκ τοῦ πυρὸς ῥῦσαι τῆς γεέννης τὸν ἀνάξιον δοῦλόν σου.

ΠΛούσιος τοῖς πάθεσι, καὶ ἡδοναῖς εἰμι, Κύριε, Λάζαρος δὲ πένης τῇ στερήσει ἀρετῶν, ἀλλὰ σῶσόν με.

ΚΟ'κκινον, καὶ βύσσινον ἐνεδιδύσκετο πλούσιος ταῖς ἡδοναῖς, καὶ ταῖς ἁμαρτίαις, διὰ τοῦτο φλογίζεται.

ΔΟ'ς ἡμῖν βοήθειαν ταῖς ἱκεσίαις σου, πάναγνε, τὰς προσβολὰς ἀποκρουομένη τῶν δεινῶν περιστάσεων.

Ἄλλος, Σὲ τὸν ἐπὶ ὑδάτων.

ΠΥ'λας τῆς ἀπωλείας ἐγγίσασαν πράξεσι ταῖς ἀτόποις, πύλας ὁ πρὶν τοῦ ᾅδου συντρίψας σθένει Θεότητος, πύλας τῆς μετανοίας σοι ἀνοίγει, πάνσεμνε, πύλη τῆς ζωῆς ὑπάρχων αὐτός.

ΟΠλον τῆς ἁμαρτίας, μακρόθυμε, τὴν πρὶν γεγενημένην, ὅπλῳ Σταυροῦ τοῦ θείου τῇ προσκυνήσει ἀνέδειξας, ὅπλα δαιμόνων ἅπαντα, καὶ πανουργεύματα ὅλως τροπουμένην, εὔσπλαγχνε.

ΛΥ'τρον ὑπὲρ ἁπάντων τὸ ἴδιον ὁ πρὶν ἐκχέας Αἷμα, λουτρῷ τῷ τῶν δακρύων σε καθαρὰν ἀπεργάζεται, λέπραν δεινὴν νοσήσασαν κακίστης πράξεως, ὅλως ὁ τὸ ζῆν πᾶσι διδούς.

ΛΟ'γου παντὸς ὑπάρχει ἀνώτερον τὸ ἐπὶ σοί, Παρθένε, Λόγος Πατρὸς ἐν σοὶ γὰρ θεοπρεπῶς κατεσκήνωσε, λύσιν πταισμάτων ἅπασι τοῖς ἁμαρτάνουσι λόγῳ μόνῳ παρεχόμενος.

Κάθισμ. ἦχος πλ. δ'. Τὴν σοφίαν, καὶ Λόγον.

ΤΑ' σκιρτήματα πάντα τὰ τῆς σαρκὸς χαλινώσασα πόνοις ἀσκητικοῖς, ἀνδρεῖον ἀνέδειξας τῆς ψυχῆς σου τὸ φρόνημα· τὸν γὰρ Σταυρὸν θεάσασθαι Κυρίου ποθήσασα, ἑαυτήν, ἀοίδιμε, τῷ Κόσμῳ ἐσταύρωσας· ὅθεν καὶ πρὸς ζῆλον ἀγγελικῆς πολιτείας προθύμως διήγειρας σεαυτήν, παμμακάριστε· πρέσβευε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν.

Ὅμοιον Θεοτοκίον.

ΤΗ'ν οὐράνιον πύλην, καὶ κιβωτόν, τὸ πανάγιον ὄρος, τὴν φωταυγῆ νεφέλην ὑμνήσωμεν, τὴν ἀκατάφλεκτον βάτον τοῦ λογικοῦ Παραδείσου, τῆς Εὔας τὴν ἀνάκλησιν, τῆς Οἰκουμένης πάσης τὸ μέγα κειμήλιον· ὅτι σωτηρία ἐν αὐτῇ διεπράχθη τῷ Κόσμῳ, καὶ ἄφεσις τῶν ἀρχαίων ἐγκλημάτων, διὸ καὶ βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ, καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς εὐσεβῶς προσκυνοῦσι τὸν πανάγιον τόκον σου.

Ὠδὴ

Ὠδὴ δ΄. Εἰσακήκοα Κύριε.

ΚΑταξύφα ὁ πλούσιος, βρώσει, καὶ ἐνδύμασιν εὐφραινόμενος· ὁ δὲ Λάζαρος χορτάζεσθαι ἐπεθύμει τούτου τῶν τραπέζης ψιχίων.

ΟΙ μὲν κύνες ἀπέλιχον γλώττῃ τοῦ πτωχοῦ Λαζάρου τοὺς μώλωπας, συμπαθέστεροι γενόμενοι τῆς πλουσίου γνώμης εἰς τὸν πένητα.

ΤΩ͂ πυλῶνι ἐβέβλητο πάλαι τοῦ πλουσίου, Σῶτερ, ὁ Λάζαρος, τιμωρούμενος ταῖς μάστιξι τῆς πενίας, ὅθεν νῦν δοξάζεται.

Θεοτοκίον.

ΟΝ ἐκύησας, ἄχραντε, πρέσβευε σωθῆναι τοὺς ἀνυμνοῦντάς σε ἐκ δουλείας τοῦ ἀλάστορος, ὅτι μόνη πέλεις προστασία ἡμῶν.

Ἄλλος. Τὴν ἐν Σταυρῷ σου θείαν κένωσιν.

ΩΣ πλαστουργὸς βροτείας φύσεως, ὡς ἐλέους πηγὴ, καὶ εὐσπλαγχνίας πλοῦτος, ᾠκτείρησας, φιλάνθρωπε, προσέφυγα τὴν σὴν, καὶ ἀφήρπασας ταύτην τοῦ ὀλεθρίου θηρός.

ΣΤαυρὸν ἰδέσθαι ἐπιποθοῦσα, σταυρικῷ φωτισμῷ, Μαρία, κατηυγάσθης Σταυρῷ τοῦ ὁμιλήσαντος νεύσει θεϊκῇ, σταυρωθεῖσα τῷ Κόσμῳ, ἀξιοθαύμαστε.

Η Τῶν κακῶν αἰτία πρότερον ἡδονὴ πονηρὰ πολλοῖς γεγενημένη, Ἡλίου δίκην λάμψασα, πᾶσιν ὁδηγὸς ἡ ὁσία ἐδείχθη τοῖς ἁμαρτάνουσιν.

Θεοτοκίον.

ΝΟῦν ὑπερέβης καὶ οὐράνιον, νοητὲ Οὐρανὲ, τοῦ πάντων Βασιλέως· νομίμων γὰρ τῆς φύσεως ἄνωθεν, ἁγνὴ, νομοδότην, καὶ Κτίστην πάντων ἐκυήσας.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω.

ΑΒραὰμ ἐν τοῖς κόλποις Λάζαρον ὁ πλούσιος ὡς ἐθεάσατο ἐν φωτὶ, καὶ δόξῃ εὐφραινόμενον, πάτερ, ἐκραύγαζεν, Ἀβραὰμ ἐλέησόν με, τὸν ἐν πυρὶ κατακριθέντα, καὶ τὴν γλῶτταν δεινῶς φλογιζόμενον.

ΚΑτετρύφησας πλούτῳ, βίου εὐφραινόμενος, Ἀβραὰμ ἔφησε τῷ πλουσίῳ, ὅθεν τετιμώρησαι ὧδε αἰώνια, ἐν πυρὶ ὑπάρχων, πτωχὸς ἐν εὐφροσύνῃ τῇ ἀλήκτῳ ἀγάλλεται Λάζαρος.

ΤΗ͂ τοῦ βίου ἀπάτῃ πλούσιος γεγένημαι, ὥσπερ ὁ πλούσιος, ὁ τὸν βίον ὅλον ἡδοναῖς δαπανήσας, φιλάνθρωπε· ἀλλὰ δέομαί σου τῶν οἰκτιρμῶν, τοῦ λυτρωθῆναι τοῦ πυρὸς, ὥσπερ σέσωσαι Λάζαρος.

Θεοτοκίον.

ΜΗτρικὴν παῤῥησίαν, τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη, πάναγνε, συγγενοῦς προνοίας τῆς ἡμῶν μὴ παρίδῃς δεόμεθα, ὅτι σὲ καὶ μόνην χριστιανοὶ πρὸς τὸν Δεσπότην ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ἄλλος. Θεοφανείας σου Χριστέ.

ΜΩσῆς δεδόξασται ποτὲ ἐν τῷ Σινᾷ, Θεοῦ τὰ ὀπίσθια μυστικῶς θεώμενος ὁ ἔνδοξος, ὑπογράφων ξένον μυστήριον· μανναδόχον δὲ στάμνον νυνί, εἰκόνα ἄχραντον θερμῶς προσπτύξασα Μαρία, ἀγγελικὸν βίον κομίζεται.

ΝΑοῦ εὐπρέπειαν τοῦ σου ἐπιποθοῦσα ψαλμικῶς θεάσασθαι, νοερόν τε σκήνωμα τῆς δόξης σου, ἡ τὸν σὸν Ναὸν βεβηλώσασα· νοεραῖς πρεσβείαις, Χριστὲ, τῆς ἀπειράνδρου σου Ναοῦ γενομένης, ναόν με τοῦ παντουργοῦ ποίησον Πνεύματος.

Η Τῷ ἀγκίστρῳ τῆς σαρκὸς, δι' ὀφθαλμῶν τοὺς πολλοὺς ζωγρήσασα, ἡδονῇ βραχείᾳ τε κατάβρωμα διαβόλου τούτους ποιήσασα, ἠγκιστρεύθη παναληθῶς τῇ θείᾳ χάριτι Σταυροῦ τοῦ τιμίου, ἥδιστον τῷ Χριστῷ ὄψον ὑπάρξασα.

Θεοτοκίον.

ΜΕμυημένος ὁ χορὸς τῶν Προφητῶν τὸ ἐν σοὶ μυστήριον μυστικαῖς θεηγορίαις, ἄχραντε, σὲ ποικιλοτρόπως προέλεγε· μανναδόχου στάμνου δὲ νυνὶ εἰκόνα ἄχραντον αὐτῇ προσπτύξασα Μαρία, ἡ ἐγγυήτρια ἁμαρτωλῶν πρὸς Θεόν.

Ὠδὴ ς΄. Ἱλάσθητί μοι Σωτήρ.

Ο Πλούσιος ἑαυτὸν φλογὶ πυρὸς κατεδίκασε τῇ ἐνηδόνῳ ζωῇ, ὁ πένης δὲ Λάζαρος πτωχείαν ἑλόμενος ἐν τῷ δὲ τῷ βίῳ, ἠξιώθη τῆς ἀλήκτου χαρᾶς.

ΕΝ κόλποις τοῦ Ἀβραὰμ ὁ Λάζαρος κατηξίωται τῆς αἰωνίου ζωῆς, Χριστὲ, ἐμφορούμενος, πυρὶ δὲ ὁ πλούσιος τὴν ψυχὴν, καὶ σῶμα κατεκρίθη τιμωρούμενος.

ΚΑτεδικάσθη εἰς πῦρ ὁ πλούσιος διὰ Λάζαρον· μὴ κατακρίνῃς ἐμὲ τὸν δείλαιον δέομαι, φιλάνθρωπε Κύριε, ἀλλ' ὡς Λάζαρόν με τοῦ φωτός σου καταξίωσον.

Θεοτοκίον.

ΡΥσθείημεν τῶν δεινῶν πταισμάτων ταῖς ἱκεσίαις σου, Θεοκυῆτορ ἁγνὴ, καὶ τύχοιμεν, πάναγνε, τῆς θείας ἐλλάμψεως, τοῦ ἐκ σοῦ ἀφράστως σαρκωθέντος Υἱοῦ τοῦ Θεοῦ.

Ἄλλος. Ἄβυσσος ἐσχάτη.

ΧΑίρουσι, Μαρία, τὰ τῶν Ἀγγέλων στρατεύματα, τὸν ἐφάμιλλον, ὁσία, βίον τούτων ἐν σοὶ καθορῶντες, καὶ δόξαν τῷ Κυρίῳ κραυγάζουσιν.

ΦΡίττουσι δαιμόνων τῶν ζοφερῶν τὰ συστήματα τὸ τῆς σῆς καρτερικὸν ἰσχύος. ὅτι γυνὴ παραδόξως καὶ γυμνὴ, καὶ μόνη τούτους ᾔσχυνας.

ΕΛαμψας Ἡλίου δίκην, Μαρία πανεύφημε, καὶ τὴν ἔρημον ταῖς φρυκτωρίαις πᾶσαν ἐφώτισας· ὅθεν κἀμὲ τῷ σῷ φωτὶ καταλάμπρυνον.

Θεοτοκίον.

Ἄγγελοι περιλαμφθέντες τῇ δόξῃ τοῦ τόκου σου, ἐν τῇ γῇ εἰρήνην πᾶσιν ἡμῖν, καὶ εὐδοκίαν ἀνθρώποις, Παρθένε, κεκράγασιν.

Κοντάκιον, ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ Πορνείαις πρότερον μεμεστωμένη παντοίαις, Χριστοῦ νύμφη σήμερον τῇ μετανοίᾳ ἐδείχθη. Ἀγγέλων τὴν πολιτείαν ἐκμιμουμένη· δαίμονας Σταυροῦ τῷ ὅπλῳ ἐξαφανίζει· διὰ τοῦτο Βασιλείας ἐφάνης νύμφη, Μαρία ἔνδοξε.

Ὁ Οἶκος.

Τὴν ἀμνάδα Χριστοῦ, καὶ θυγατέρα ᾄσμασιν εὐφημήσωμεν νῦν Μαρίαν τὴν ἀοίδιμον, τὴν τῶν Αἰγυπτίων ἀναφανεῖσαν θρέμμα, καὶ πλάνην τούτων ἅπασαν πέφευγε· καὶ μόνη προσήνεκται τῇ Ἐκκλησίᾳ βλάστημα τέλειον δι' ἐγκρατείας, καὶ δεήσεως, ἀσκησαμένη ὑπὲρ τὸ μέτρον τῆς ἀνθρωπίνης φύσεως· διὸ καὶ ὕψωσεν αὐτῆς καὶ τὸν βίον, καὶ τὴν πρᾶξιν ὁ μόνος Παντοκράτωρ, Μαρία ἔνδοξε.

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἰὼβ καθάπερ πάλαι ἐν σαπρίᾳ σκωλήκων, καὶ ἐν κοπρίᾳ ἰσῶς ὑπῆρξε, πρὸ πυλῶνος ὁ Λάζαρος ὡσαύτως τοῦ πλουσίου ἐκάθευδεν, ὁ τῶν Πατέρων, βοῶν, Θεὸς εὐλογητὸς εἶ.

Βεβλημένος πυλῶσι τοῦ ἀσπλάγχνου πλουσίου πάλαι ὁ Λάζαρος, ψιχίων ἐπεθύμει αὐτοῦ τῶν τῆς τραπέζης, ἀλλ' οὐδεὶς ἐπεδίδου αὐτῷ· ἀλλ' ἀντὶ τούτων εὗρε τοῦ Ἀβραὰμ τοὺς κόλπους.

Τοῦ ἀσπλάγχνου πλουσίου τῆς μερίδος, Χριστέ μου, ῥῦσαί με, δέομαι· καὶ πένητι Λαζάρῳ συντάξας με, βοᾶν σοι εὐχαρίστως, ἀξίωσον· ὁ τῶν Πατέρων ἡμῶν.

Θεοτοκίον.

Παρθενικῆς ἐκ νηδύος σαρκωθεὶς ἐπεφάνης εἰς σωτηρίαν ἡμῶν· διό σου τὴν Μητέρα εἰδότες Θεοτόκον, εὐχαρίστως κραυγάζομεν· ὁ τῶν Πατέρων ἡμῶν.

Ἄλλος. Οἱ Παῖδες ἐν Βαβυλῶνι.

Ὁ Μέγιστος ἐν πατράσι περιπολεύων τὴν ἔρημον Ζωσιμᾶς ὁ σοφὸς, τὴν ὁσίαν ἰδεῖν κατηξίωται, εὐλογητὸς εἶ, κράζει δὲ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Τί, Πάτερ, ξένον ἁπάσης ἰδεῖν ἐλήλυθας γύναιον ἀρετῆς πρακτικῆς; ἡ ὁσία ἐβόα τῷ γέροντι· εὐλογητὸς εἶ, κράζει δὲ, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Νεκρώσασα, μακαρία, τὰ τῶν παθῶν σου σκιρτήματα· ἀπαθείας νυνὶ προσωρμίσθης λιμένι κραυγάζουσα· εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν Πατέρων ἡμῶν.

Συνέλαβες ἀπορρήτως, Παρθένος μείνασα, ἄχραντε, καὶ ἐκύησας Κόσμῳ τὴν σωτηρίαν Χριστὸν, τὸν Θεὸν ἡμῶν· διά σε πάντες ᾄσμασιν οἱ πιστοὶ μεγαλύνομεν.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Στολὴν κοκκίνην, βύσσον τε, καὶ πορφύραν ὁ πλούσιος πάλαι ἐνεδύετο λαμπρῶς ὁ δείλαιος, ὁ πένης δὲ Λάζαρος ἐν τῷ πυλῶνι τούτου δεινῶς ἔκειτο, ψιχίων τῶν πιπτόντων τραπέζης ἐθέλων κορεσθῆναι, καὶ οὐδεὶς ἐπεδίδου αὐτῷ, διὸ ἐν δόξῃ Χριστῷ συμβασιλεύει.

Ἐν τῷ πυλῶνι ἔκειτο τοῦ πλουσίου ὁ Λάζαρος, σεσηπὼς τῷ σώματι πληγαῖς, καὶ ἤθελε κορέννυσθαι βρώσεως, καὶ οὐκ ἐδίδου τούτῳ οὐδείς· ἀλλὰ καὶ οἱ κύνες συμπαθῶς ἐν τῇ γλώττῃ ἀπέλιχον τὰ ἕλκη, καὶ τοὺς μώλωπας τούτου· διὸ ἐν Παραδείσῳ τρυφῆς κατηξιώθη.

Ἐν ἡδοναῖς ἐπλούτησα, ὥσπερ πάλαι ὁ πλούσιος, ὁ ἐνδεδυμένος καθ' ἡμέραν κόκκινον, κἀγὼ, πολυέλεε, ἐν τῇ τοῦ βίου τούτου τρυφῇ ἐμαυτὸν κατακρίνω ταῖς τρυφαῖς, καὶ ἀπάταις· διό σε ἱκετεύω, ἐκ πυρὸς τοῦ ῥυσθῆναι, Χριστὲ, τοῦ αἰωνίου εἰς πάντας τοὺς αἰῶνας.

Τριστοφαῆ θεότητα, ἑνιαίαν ἐκλάμπουσαν, αἴγλην ἐκ μιᾶς τρισυποστάτου φύσεως. Γεννήτορα ἄναρχον, ὁμοφυᾶ τε Λόγον Πατρὸς, καὶ συμβασιλεῦον ὁμοούσιον Πνεῦμα οἱ παῖδες εὐλογεῖτε.

Ἄλλος. Ἔκστηθι φρίττων Οὐρανέ.

Βάθη καρδίας ἐρευνῶν ὁ πρὸ γενέσεως προγινώσκων τὰ ἡμῶν βιαίας βιωτῆς ἀφήρπασας τὴν προσφυγοῦσαν σοι, Σωτὴρ, βεβαίως τῇ σῇ φιλανθρωπίᾳ βοῶσαν ἀσιγήτως, Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε.

Ὢ Ἀλλοιώσεως σεπτῆς, τῆς πρὸς τὸ κρεῖττον σου μεταθέσεως, σεμνή· ὢ πόθου θεϊκοῦ μισήσαντος τὰς σαρκικὰς ἡδονάς· ὢ πίστεως ζεούσης καὶ θείας, πανεύφημε Μαρία, ἣν πιστῶς εὐφημοῦμεν, καὶ ὑπερυψοῦμεν.

Εὗρες τῶν πόνων ἀμοιβήν. καὶ τῶν καμάτων σου τὴν ἀντίδοσιν, σεμνὴ Μαρία, δι' ὧν καταβέβληκας τὸν παλαμναῖον ἐχθρὸν, καὶ νῦν σὺν τοῖς Ἀγγέλοις κραυγάζεις τὸν ὕμνον ἀσιγήτως βοῶσα, καὶ ὑπερυψοῦσα Χριστόν.

Θεοτοκίον.

Ὅλον ἀνέπλασεν ἐμὲ δι' ἀγαθότητα ἐν τῇ μήτρᾳ σου, ἁγνὴ, οὐ φθείρας ἑκατέρας φύσεως τὰ ἰδιώματα, ὡς πάντων τῶν αἰώνων Δεσπότης· ὅθεν σε ὡς αἰτίαν τῆς ἡμῶν σωτηρίας ᾄσμασιν ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Σὲ τὴν ἀπειρόγαμον.

Πένητα με Λάζαρον, Χριστὲ, αἰτοῦμαι ἀπεργάζου, τὰς τῶν ἡδονῶν ὀρέξεις μου ἐξορίζων, ὡς φύσει Θεὸς, ταῖς δὲ ἀρεταῖς με, ὡς τὸν πλούσιον· ἵνα πίστει ἐν ὑμνῳδίαις μεγαλύνω σε.

Πλούσιος, καὶ ἄσπλαγχνος τὸν νοῦν παρέβλεψά μου πίστει σοῦ τῶν ἐντολῶν, φιλάνθρωπε, περὶ πυλῶν ἐρριμμένος δεινῶς· ἀλλ' ὡς συμπαθὴς, καὶ φιλοικτίρμων ἀνάστησον, ὥσπερ πάλαι τὸν τεταρταῖον φίλον Λάζαρον.

Πάντες μεμαθήκαμεν παραβολὴν τὴν τοῦ Δεσπότου· πάντες οὖν πιστοὶ μισήσωμεν τοῦ πλουσίου τὸ ἄσπλαγχνον, ἵνα τῆς κολάσεως ἐκφύγωμεν, καὶ ἐν κόλποις τοῦ Ἀβραὰμ ἀεὶ χορεύσωμεν.

Θεοτοκίον.

Σὲ τὴν τὸν ἀόρατον Θεὸν βαστάσασαν ἀγκάλαις, τὸν ἐν Οὐρανοῖς ὑμνούμενον ὑπὸ πάσης τῆς Κτίσεως, καὶ διὰ σοῦ ἡμῖν δωρούμενον πάντοτε σωτηρίαν, ἐν πίστει μεγαλύνομεν.

Ἄλλος. Μὴ ἐποδύρου μου Μῆτερ.

Ῥᾶον ἀπέφερες, Μῆτερ, τῆς ἐρήμου τὸν πόνον, ῥυθμιζομένη κραταιᾷ δυνάμει τοῦ Χριστοῦ· ῥυπαροὺς λογισμοὺς ἐπερχομένους, καὶ γὰρ ῥείθροις θείων δακρύων ἔσβενυες, σεμνὴ, ἀσκητῶν ἡ ἀκρότης, ὁσίων καύχημα.

Φαεινοτάταις ἀκτῖσι καταυγάζει σε μόνη, ἡ φῶς τεκοῦσα τὸν Χριστὸν, Παρθένος καὶ ἁγνή· φοβερὰν ἐχθροῖς σὲ καθιστῶσα, σεμνή· φανερὰν δὲ τοῖς πᾶσι, Μαρία, δεικνύς σε, ἀσκητῶν ὡραιότης, ὁσίων ἔρεισμα.

Καταλιποῦσα ἐμφρόνως τὰ ἐπίγεια πάντα, κατοικητήριον σεπτὸν τοῦ Πνεύματος ὤφθης, κοσμικῶν οὖν δεινῶν ἀπολύτρωσαι, καθικέτευε μόνον Χριστὸν τὸν λυτρωτὴν, τοὺς πιστοὺς ἐκτελοῦντας τὴν θείαν μνήμην σου.

Θεοτοκίον.

Νόμους τῆς φύσεως, Κόρη, ὑπὲρ φύσιν λαθοῦσα, νέον παιδίον ἐπὶ γῆς ἐκύησας, ἁγνὴ, νομοδότην ὄντα, καὶ παλαιὸν ἡμερῶν, νοητὲ Οὐρανὲ τοῦ τῶν πάντων Ποιητοῦ· διὸ πίστει, καὶ πόθῳ σὲ μακαρίζομεν.

Ἐξαποστειλάριον τὸ Ἑωθινὸν ἀναστάσιμον

Εἶτα τῆς Ὁσίας. Ὁ Οὐρανὸς τοῖς.

Ὑπόδειγμα μετανοίας σε ἔχοντες, πανοσία Μαρία, Χριστὸν δυσώπει ἐν τῷ καιρῷ τῆς νηστείας, τοῦτο ἡμῖν δωρηθῆναι· ὅπως ἐν πίστει, καὶ πόθῳ σε ᾄσμασιν εὐφημῶμεν.

Θεοτοκίον Ὅμοιον.

Ὁ Γλυκασμὸς τῶν Ἀγγέλων, τῶν θλιβομένων ἡ χαρὰ, χριστιανῶν ἡ προστάτις, Παρθένε Μῆτερ Κυρίου, ἀντιλαβοῦ μου, καὶ ῥῦσαι τῶν αἰωνίων βασάνων.

Εἰς τοὺς Αἴνους, στιχ. ἀναστάσιμα τῆς Ὀκτωήχου δ'. Καὶ ἀνατολικὰ δ'. Εἶτα λέγομεν στίχ. Ἀνάστηθι Κύριε ὁ Θεός μου. Ἰδιόμ. ἦχος ά.

Οὐκ ἔστιν ἡ Βασιλεία τοῦ Θεοῦ βρῶσις, καὶ πόσις, ἀλλὰ δικαιοσύνη, καὶ ἄσκησις σὺν ἁγιασμῷ· ὅθεν οὐδὲ πλούσιοι εἰσελεύσονται ἐν αὐτῇ, ἀλλ' ὅσοι τοὺς θησαυροὺς αὐτῶν ἐν χερσὶ πενήτων ἀποτίθενται· ταῦτα καὶ Δαβὶδ ὁ Προφήτης διδάσκει λέγων· Δίκαιος ἀνὴρ, ὁ ἐλεῶν ὅλην τὴν ἡμέραν, ὁ κατατρυφῶν τῷ Κυρίῳ, καὶ τῷ φωτὶ περιπατῶν, ὃς οὐ μὴ προσκόψῃ· ταῦτα δὲ πάντα πρὸς νουθεσίαν ἡμῶν γέγραπται· ὅπως νηστεύοντες, χρηστότητα ποιήσωμεν, καὶ δῴη ἡμῖν Κύριος ἀντὶ τῶν ἐπιγείων τὰ ἐπουράνια.

Δόξα, πάλιν τὸ αὐτό. Καὶ νῦν, Ὑπερευλογημένη· Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λιτὴν συνήθως τὸ ἑωθινὸν Ἰδιόμελον, καὶ τὰ λοιπά. Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ τοῦ ἤχου. Προκείμενον τοῦ Ἀποστόλου, τὸ τοῦ ἤχου.

Ὁ Ἀπόστολος Πρὸς Ἑβραίους.

Ἀδελφοὶ, Χριστὸς παραγενόμενος Ἀρχιερεὺς τῶν μελλόντων ἀγαθῶν, διὰ τῆς μείζονος, καὶ τελειοτέρας σκηνῆς, οὐ χειροποιήτου, τουτέστιν, οὐ ταύτης τῆς κτίσεως· οὐδὲ δι' αἵματος τράγων, καὶ μόσχων, διὰ δὲ τοῦ ἰδίου Αἵματος εἰσῆλθεν ἐφάπαξ εἰς τὰ Ἅγια, αἰωνίαν λύτρωσιν εὑράμενος· εἰ γὰρ τὸ αἷμα ταύρων, καὶ τράγων, καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τὴν τῆς σαρκὸς καθαρότητα, πόσῳ μᾶλλον τὸ Αἷμα τοῦ Χριστοῦ, ὃς διὰ Πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν ἄμωμον τῷ Θεῷ, καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι;

Καὶ τῆς Ὁσίας. Πρὸς Γαλάτας.

Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ἀδελφοὶ, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι· ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστὸν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν· ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν· πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ· ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε· οὐκ ἔνι Ἰουδαῖος, οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος, οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν καὶ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ· εἰ δὲ ὑμεῖς Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστὲ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι.

Ἀλληλούϊα τοῦ ἤχου.

Εὐαγγέλιον τῆς ἡμέρας, καὶ τῆς Ὁσίας.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν δ'. κατανυκτικὰ τοῦ ἤχου τῆς Ὀκτωήχου.

Καὶ τοῦ Τριῳδίου προσόμοια, ἦχος ά.

Πανεύφημοι Μάρτυρες.

Πτωχεύσας ὁ πλούσιος, Χριστὲ, τοὺς βροτοὺς ἐπλούτησας ἀθανασίαν, καὶ ἔλλαμψιν, διὸ πτωχεύσαντα ἡδοναῖς τοῦ βίου, ἀρεταῖς με πλούτισον, καὶ πένητι Λαζάρῳ με σύνταξον, τῆς τοῦ

πλου-

πλουσίου με τιμωρίας ἐξαιρούμενος, καὶ γεέννης, τῆς ἀποκειμένης μοι.

Ὅμοιον.

ΚΑκίαν ἐπλούτησα δεινῶς, καὶ τρυφὴν ἠγάπησα, καὶ τῶν ἐν βίῳ ἀπήλαυσα ἡδονῶν, Κύριε, καὶ πυρὸς γεέννης ὑπόδικος γέγονα· λιμώττοντα τὸν νοῦν μου, ὡς Λάζαρον παραβλεψάμενος, πρὸ πυλῶν τῶν θείων πράξεων, ἐρριμμένον, οἰκτειρόν με, Δέσποτα.

Ἕτερον στιχ. προσόμοιον· ἦχος ὁ αὐτός.

Νεφέλην σε φωτός. Θεοδώρου.

ΤΗν ἕκτην τῶν σεπτῶν Νηστειῶν Ἑβδομάδα προθύμως ἀπαρξώμεθα, Κυρίῳ προεόρτιον ὕμνον τῶν Βαΐων οἴσωμεν, πιστοί, ἐρχομένῳ ἐν δόξῃ, δυνάμει Θεότητος ἐπὶ τὴν Ἱερουσαλὴμ νεκρῶσαι τὸν θάνατον· διὸ ἑτοιμάσωμεν εὐσεβῶς τὰ τῆς νίκης σύμβολα, τοὺς κλάδους τῶν ἀρετῶν· τὸ Ὡσαννὰ ἐκβοῆσαι τῷ Ποιητῇ τοῦ παντός.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν, θεοτ. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον, ἦχος πλ. δ'.

Ἔδωκας κληρονομίαν τοῖς φοβουμένοις τὸ ὄνομά σου.

Στίχ. Ἀπὸ τῶν περάτων τῆς γῆς πρὸς σέ.

Στίχ. Σκεπασθήσομαι ἐν τῇ σκέπῃ τῶν πτερύγων σου.

Στίχ. Οὕτω ψαλῶ τῷ ὀνόματί σου εἰς τοὺς αἰῶνας. Καὶ πάλιν·

Ἔδωκας κληρονομίαν. Ἡ συνήθως Ἐκτενή, καὶ τὰ λοιπὰ ὡς συνήθως.

Ἀπὸ στίχ. ἰδιόμ. τῆς ἡμέρας Δίς. ἦχος α'.

ΘΑυμαστὴ τοῦ Σωτῆρος ἡ δι' ἡμᾶς φιλάνθρωπος γνώμη· τῶν μελλόντων γὰρ τὴν γνῶσιν, ὡς παρόντων κεκτημένος, τοῦ Λαζάρου, καὶ τοῦ πλουσίου τὸν βίον ἐστηλίτευσε· τῶν ἑκατέρων τὸ τέλος ἐνοπτριζόμενοι, τοῦ μὲν φύγωμεν τὸ ἀπηνές, καὶ μισάνθρωπον· τοῦ δὲ ζηλώσωμεν τὸ καρτερές, καὶ μακρόθυμον· πρὸς τοῖς σὺν αὐτῷ τοῦ Ἀβραὰμ κόλποις ἐνθαλπόμενοι, βοᾶν, δικαιοκρίτα Κύριε, δόξα σοι.

Μαρτ.

ΤΗ πρεσβείᾳ, Κύριε, πάντων τῶν Ἁγίων, καὶ τῆς Θεοτόκου τὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Δόξα. Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΤΩν οὐρανίων ταγμάτων τὸ ἀγαλλίαμα, τῶν ἐπὶ γῆς ἀνθρώπων κραταιὰ προστασία, ἄχραντε Παρθένε, σῶσον ἡμᾶς, τοὺς εἰς σὲ καταφεύγοντας, ὅτι ἐν σοὶ τὰς ἐλπίδας μετὰ Θεόν, Θεοτόκε, ἀνεθέμεθα.

Τῇ β'. τῶν Βαΐων, ἐν τῷ Ὄρθρῳ τὰ Τριαδικά, Μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β'. στιχολ. καθίσ. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

ΤΟν λίθον ἐκκυλίσας τῆς πωρώσεως, Κύριε, ἀπὸ τῆς ἐμῆς καρδίας, νεκρωθεῖσαν τοῖς πάθεσιν ἐξέγειρον ψυχήν μου, ἀγαθέ, καὶ φέρειν σοι Βάϊα ἀρετῶν ὡς νικητῇ τοῦ ᾅδου ἐν κατανύξει, Δέσποτα, ἀξίωσον· ὅπως τῆς αἰωνίου ζωῆς τύχω, ὑμνολογῶν σου τὸ κράτος, καὶ τὴν εὐσπλαγχνίαν σου, μόνε φιλάνθρωπε.

Θεοτ. ἦχος ὁ αὐτός.

ΘΑῦμα θαυμάτων Κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ Κτίσις ἀγάλλεται· συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀφράστως, ὃν ταξιαρχίαι Ἀγγέλων ὁρᾶν οὐ δεδύνηνται· αὐτόν, Θεοτόκε, ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν γ'. στιχολ. καθίσ. ἦχος α'.

Τοῦ λίθου σφραγισθέντος.

ΤΗν ἕκτην Ἑβδομάδα τῆς νηστείας ἐπέχοντες, προεόρτιον ὕμνον τῶν Βαΐων οἴσωμεν Χριστῷ τῷ ἐρχομένῳ δι' ἡμᾶς καθίσαι ἐπὶ πώλου ὀνικοῦ, τὸν τῶν ἐθνῶν ὑποκλῖναι, ὡς Βασιλεύς, ἀλόγιστον τῷ Γεννήτορι, τοὺς κλάδους αὐτῷ τῶν ἀρετῶν πάντες προευτρεπίσωμεν, ὅπως καὶ τὴν Ἀνάστασιν αὐτοῦ χαίροντες ἴδωμεν.

Θεοτ. Ὅμοιον.

ΤΑς χεῖράς σου τὰς θείας, αἷς τὸν Κτίστην ἐβάστασας, Παρθένε παναγία, σαρκωθέντα χρηστότητι, προτείνασα δυσώπησον, λυτρώσασθαι ἡμᾶς ἐκ πειρασμῶν, καὶ παθῶν, καὶ κινδύνων, τοὺς εὐφημοῦντας, καὶ πόθῳ βοῶντάς σοι· δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Τὸ Τριῴδιον, καὶ στιχολ. ἡ ᾠδή, ᾠδὴ α'. ἦχος α'.

Ὠδὴν ἐπινίκιον ᾄσωμεν πάν.

ΤΑ πάθη νεκρώσωμεν δι' ἐγκρατείας· τὸ πνεῦμα ζωώσωμεν δι' ἐνθέων πράξεων, ὅπως ὀψώμεθα Πάθος Χριστοῦ τὸ σεπτὸν καθαρωτάτῳ νοΐ.

ἈΣπλάγχνου ζηλώσαντα πλουσίου τρόπους, οἰκτίρμον φιλάνθρωπε, ἱκετεύω συνταξόν Λαζάρῳ πένητι· λυτρούμενός με τῆς φλογός, καὶ τοῦ ἀσβέστου πυρός.

ἘΚ πάντων ἐνήστευσα, κατορθωμάτων· εἰς κόρον ἀπήλαυσα τῶν σφαλμάτων, Κύριε, δεινῶς πεινῶντά με, σωτηριώδους, καὶ σεπτῆς ἔμπλησον βρώσεως.

ἘΜὲ τὸν κατάκριτον ἐν καταδίκῃ, πανάχραντε Δέσποινα, ἐρριμμένων ἔργων μου, σῶσον, οἰκτείρησον, τὸν πανοικτίρμονα Θεὸν ἀποκυήσασα.

Ἀλ-

Digitized by Google

Ἄλλος· ἦχος ὁ αὐτός.

Τῷ βοηθήσαντι.

ΤΗ͂ τῶν Βαΐων Ἑορτῇ ὑπαντήσωμεν πιστοί, προεορτάζοντες αὐτὴν ἀπὸ σήμερον φαιδρῶς, ἵνα τὸ ζωηφόρον ἀξιωθῶμεν Πάθος ἰδεῖν.

Ἔρχεται, ἥκει ὁ Χριστὸς πρὸς τὴν Ἱερουσαλήμ, ὡς Βασιλεύς, κεκαθηκὼς ἐπὶ πώλου ὀνικοῦ, τὸ τῶν ἐθνῶν ὑποκλῖναι ἀλόγιστον ὑπὸ ζυγὸν τῷ Πατρί.

Δόξα.

Ἡ ἐν Θεότητι μιᾷ τρισυπόστατος μονάς. Πάτερ ἀγέννητε Θεέ, καὶ Υἱὲ μονογενές, καὶ μόνον ἅγιον Πνεῦμα· ὁμοβασίλειον κράτος, σῶσον πάντας ἡμᾶς.

Θεοτοκίον.

Δεδοξασμένα περὶ σοῦ ἐλαλήθη πανταχοῦ· ὅτι ἐκύησας σαρκὶ τὸν τῶν ὅλων ποιητήν, Θεοτόκε Μαρία, ἀνύμφευτε καὶ ἀπειρόγαμε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰδοὺ ἀφίκετο Χριστὸς πρὸς τὴν πόλιν Βηθφαγῆ· χαῖρε Λαζάρου ἡ πατρὶς Βηθανία, ὅτι σοὶ δείξει θαυμάσιον μέγα, τὸν Λάζαρον ἐξανιστῶν ἐκ νεκρῶν.

Ὁ Εἱρμός.

"Τῷ βοηθήσαντι Θεῷ ἐν Αἰγύπτῳ τῷ Μωσῇ, καὶ δι' αὐτοῦ τὸν Φαραὼ πανστρατιᾷ βυθίσαντι, ἐπινίκιον ᾠδὴν ᾄσωμεν, ὅτι δεδόξασται."

Ὠδὴ ε΄. Ὄν φρίττουσιν.

Ἀκάρπους ἐπλούτησα ὁ τάλας λογισμούς, ψυχὴν κατεμόλυνα ἀθέσμοις ἡδοναῖς, καὶ σκότος κυκλοῖ με ἀπογνώσεως· αὔγασόν μοι φέγγος, Θεέ μου, μετανοίας.

Ὡς πάλαι ἐφώτισας Τυφλὸν ἐκ γενετῆς, ψυχήν μου καταύγασον, μὴ βλέπουσαν τὸ φῶς τὸ σόν, ἐλεῆμον, ἀλλ' ἐν σκότει δεινῆς λήθης συγχωσθεῖσαν, καὶ μερίμναις τοῦ βίου.

Νηστεύσας ἀνέῳξεν Ἠλίας Οὐρανούς, καὶ ὄμβροις κατήρδευσε διψήσασαν τὴν γῆν, νηστεύσωμεν, ῥείθροις καταντλούμενοι ψυχικῶν δακρύων, ὅπως ἐλεηθῶμεν.

Θεοτοκίον.

Ὡς ἔμψυχος ἄμπελος ἐξεβλάστησας ἡμῖν τὸν βότρυν τὸν πέπειρον, πηγάσαντα, ἁγνὴ Παρθένε, τὸν οἶνον τῆς ἀφέσεως, καὶ τῆς ἁμαρτίας ξηράναντα τὴν μέθην.

Εἱρμὸς ἄλλος. Ὕμνον σοι προσφέρω.

Ἤνοικται τὰ πρόθυρα τῆς τοῦ Λαζάρου ζωοποιΐας, Χριστὸς γὰρ ἥκει, ὡς ἐξ ὕπνου ἐγεῖραι τὸν θανέντα, καὶ καταπαλαῖσαι ζωῇ τὸν θάνατον.

Μέγα σου τὸ καύχημα, ὦ Βηθανία, ὅτι τὸν Κτίστην ξεναγωγῆσαι ἀξιοῦσαι, βοῶσα· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Σὲ τὴν ὑπερούσιον τριπλῆν μονάδα, τὴν ἑνουμένην ἐν διαιρέσει τῇ μορφῇ τοῖς προσώποις, τὸν Πατέρα, καὶ Υἱόν, καὶ Πνεῦμα θεῖον δοξολογήσωμεν.

Καὶ νῦν.

Τὸ Χαῖρε φθεγγόμεθα σὺν τῷ Ἀγγέλῳ, ὅτι ἀνῆψας χαρὰν τῷ Κόσμῳ, τὸν Σωτῆρα τοῦ Κόσμου, ὃν δυσώπει Παρθένε πανύμνητε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ὕμνον σοι προσφέρομεν, ὅτι ἐν πώλῳ ὀχηματίζεις ὁ ἐν ὑψίστοις Χερουβὶμ ἐπιβαίνων, ἵνα πάντας καθυποτάξῃς, Χριστέ, τῷ κράτει σου.

Αἰνοῦμεν, εὐλογοῦμεν, ὁ Εἱρμός.

Ὕμνον σοι προσφέρομεν τῶν ἀσωμάτων, ὥσπερ οἱ Παῖδες ἐν τῇ καμίνῳ, καὶ ὑμνοῦντες λέγομεν· εὐλογεῖτε, καὶ ὑπερυψοῦτε Χριστὸν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Τὴν ζωοδόχον πηγήν.

Θανατωθεὶς τοῖς πολλοῖς πλημμελήμασι, τῆς ἀμελείας ἐν τάφῳ συνέχομαι, λίθον ἀπογνώσεως ἔχων ἐπικείμενον· ὅνπερ διάρας, Χριστέ, τῷ σῷ ἐλέει, ὥσπερ τὸν Λάζαρον πρίν, ἐξανάστησον.

Τὴν τοῦ πλουσίου ἐκφύγωμεν μίμησιν, καταχριθέντος εἰς φλόγα τὴν ἄσβεστον, καὶ Λαζάρου στέρξωμεν τὸ ἐν πόνοις ἔμμονον· ὅπως ἡμᾶς Ἰησοῦς παρακαλέσῃ, καὶ Βασιλείας μετόχους ἐργάσηται.

Τὴν παθοκτόνον νηστείαν ποθήσωμεν, ταῖς προσευχαῖς ἐπιμόνως σχολάσωμεν, κλαύσωμεν, πενθήσωμεν, καὶ θερμῶς στενάξωμεν· ὅπως ἐντεῦθεν ἡμᾶς ἀποδημοῦντας ὁ Ἀβραὰμ ἐν τοῖς κόλποις εἰσδέξηται.

Τῆς παρθενίας τὸ θεῖον κειμήλιον, τῶν προπατόρων τὴν μόνην ἀνόρθωσιν, τὴν πηγὴν τὴν βρύουσαν εὐσπλαγχνίας ἄβυσσον, τὴν καλλονὴν Ἰακώβ, τὴν Θεοτόκον οἱ δι' αὐτῆς σεσωσμένοι ὑμνήσωμεν.

Ἄλλος. Σὲ τὴν ὡραθεῖσαν πύλην.

Σήμερον Χριστῷ δηλοῦται πέραν Ἰορδάνου διατρίβοντι ἡ νόσος τοῦ Λαζάρου, καὶ ὡς προγνώστης λέγει, ἡ ἀσθένεια αὕτη, οὐκ ἔστι πρὸς θάνατον.

Εὐτρέπιζε Βηθανία, κόσμησόν σου θείως τὰς εἰσόδους, πλάτυνον τὰς ἐπαύλεις· ἰδοὺ γὰρ ὁ Δεσπότης ἥξει σὺν Ἀποστόλοις, τὸ θρέμμα σου ζωούμενος.

Δόξα.

Σὲ τὴν τρισυπόστατον μονάδα, καὶ ἀδιαίρετον οὐσίαν ἡ τῶν ἑξαπτερύγων δοξολογεῖ στρατιά, καὶ ἀνθρώπων τὸ γένος ἐν ὕμνοις μεγαλύνομεν.

Καὶ νῦν.

Σὲ τὸν ἐκ Πατρὸς ἀχρόνως, καὶ ἐκ τῆς Μητρὸς ἀνερμηνεύτως ἐν χρόνῳ γεννηθέντα εἰς

πάν-

πάντων σωτηρίαν, ὡς Ποιητὴν καὶ Δεσπότην, ἐν ὕμνοις μεγαλύνομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΣΥν τοῖς εὐποίαις κλάδοις, καὶ ἀγνείας φέροντες Βάϊα, ἑτοιμασθῶμεν πάντες, Χριστῷ προσυπαντῆσαι, πρὸς τὴν Ἱερουσαλὴμ ἥκοντι, ὡς Θεῷ ἡμῶν.

Ὁ Εἱρμός.

ΣΕ τὴν ὁραθεῖσαν πύλην ὑπὸ Ἰεζεκιὴλ τοῦ Προφήτου, ἐν ᾗ οὐδεὶς διῆλθεν, εἰμὴ Θεὸς μόνος, Θεοτόκε Παρθένε, ἐν ὕμνοις μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμ. Δίς. ἦχος πλ. α'.

ΜΗ καταδικάσῃς με, Χριστὲ, ἐν φλογὶ γεέννης, ὡς τὸν πλούσιον διὰ Λάζαρον, ἀλλὰ δώρησαι κἀμοὶ ἐν κλαυθμῷ αἰτοῦντι ῥανίδα φιλανθρωπίας, ὁ Θεὸς, καὶ ἐλέησόν με.

Μαρτ.

ΕΥλογημένος ὁ στρατὸς τοῦ Βασιλέως τῶν Οὐρανῶν· εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ Ἀθλοφόροι, ἀλλὰ ἀγγελικὴν ἀξίαν ἔσπευδον φθάσαι, τῶν σωμάτων καταφρονήσαντες· καὶ διὰ τῶν παθημάτων τῆς τῶν ἀσωμάτων ἀξιωθέντες τιμῆς, εὐχαῖς αὐτῶν, Κύριε, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΗΚεχαριτωμένη, μεσίτευσον ταῖς δεήσεσι, καὶ αἴτησαι ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. α'.

ΑΥτὴ ἐστὶν, ὁ Θεὸς, ἡ φοβερὰ ἡμέρα, ἧς φθάσαι τὴν ἑσπέραν οὐκ ἐλπίζομεν, καὶ ταύτην ἰδεῖν ἡμᾶς φιλανθρώπως κατηξίωσας, τρισάγιε δόξα σοι.

Προκείμ. Ψαλμ. ρδ'. ἦχος πλ. β'.

Εὐφρανθήτω καρδία ζητούντων τὸν Κύριον.

Στιχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

ΟΥτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, ἅγιος Ἰσραήλ· ἐγώ εἰμι ὁ Θεός σου, δέδειχά σοι τοῦ εὑρεῖν σε τὴν ὁδὸν, ἐν ᾗ πορεύσῃ ἐν αὐτῇ. Καὶ εἰ ἤκουσας τῶν ἐντολῶν μου, ἐγένετο ἂν ὡσεὶ ποταμὸς ἡ εἰρήνη σου, καὶ ἡ δικαιοσύνη σου ὡς κῦμα θαλάσσης· καὶ ἐγένετο ἂν ὡς ἡ ἄμμος τὸ σπέρμα σου, καὶ τὰ ἔγγονα τῆς κοιλίας σου, ὡς ὁ χοῦς τῆς γῆς· καὶ οὐδὲ νῦν οὐ μὴ ἐξολοθρευθῇς, οὐδὲ ἀπολεῖται τὸ ὄνομά σου ἐνώπιόν μου. Ἔξελθε ἐκ Βαβυλῶνος φεύγων ἀπὸ τῶν Χαλδαίων, φωνὴν εὐφροσύνης ἀναγγείλατε, καὶ ἀκουστὸν γενέσθω τοῦτο, ἀναγγείλατε ἕως ἐσχάτου τῆς γῆς· λέγετε, ὅτι ἐρρύσατο Κύριος τὸν δοῦλον αὐτοῦ Ἰακὼβ, καὶ ἐὰν διψήσωσι, δι' ἐρήμου ἄξει αὐτοὺς, ὕδωρ ἐκ πέτρας ἐξάξει αὐτοῖς, σχισθήσεται πέτρα, καὶ ῥυήσεται ὕδωρ, καὶ πίεται ὁ λαός μου· οὐκ ἔστι χαίρειν, λέγει Κύριος τοῖς ἀσεβέσι. Ἀκούσατέ μου νῆσοι, καὶ προσέχετε ἔθνη, διὰ χρόνου πολλοῦ στήσεται, λέγει Κύριος· ἐκ κοιλίας μητρός μου, ἐκάλεσε τὸ ὄνομά μου· καὶ ἔθηκε τὸ στόμα μου ὡς μάχαιραν ὀξεῖαν, καὶ ὑπὸ τὴν σκέπην τῆς χειρὸς αὐτοῦ ἔκρυψέ με· ἔθηκέ με ὡς βέλος ἐκλεκτὸν, καὶ ἐν τῇ φαρέτρᾳ αὐτοῦ ἔκρυψέ με· καὶ εἶπέ μοι· δοῦλός μου εἶ σὺ Ἰσραὴλ, καὶ ἐν σοὶ ἐνδοξασθήσομαι· καὶ ἐγὼ εἶπα· κενῶς ἐκοπίασα, εἰς μάταιον καὶ εἰς οὐδὲν ἔδωκα τὴν ἰσχύν μου· διὰ τοῦτο ἡ κρίσις μου παρὰ Κυρίῳ, καὶ ὁ πόνος μου ἐναντίον τοῦ Θεοῦ.

Προκείμ. Ψαλμὸς ρε'. ἦχος πλ. β'.

Εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὁ ποιῶν θαυ.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι Χρηστός.

Τῇ β'. Ἑσπέρας, μετὰ τὴν συνήθως στιχολογ. εἰς τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. Καὶ ψάλλομεν τὰ παρόντα προσόμοια τοῦ Τριῳδίου, ποίημα τοῦ κυρίου Ἰωσήφ, ἦχος πλ. β'.

Ὅλην ἀποθέμενοι.

ΠΟλλοῖς παραπτώμασι, καὶ ἡδοναῖς ταῖς τοῦ βίου ἀσθενοῦσαν κέκτημαι τὴν ἰσχὺν ὁ δείλαιος, καὶ κατάκειμαι ἐπὶ κλίνης πάντοτε ῥαθυμίας, Δέσποτα, καὶ βοῶ σοι, συμπαθέστατε· ἐλθὼν ἐπίσκεψαι, ῥᾶσιν μοι παρέχων καὶ ἔλεος, καὶ μὴ ἐγκαταλίπῃς με, μήποτε ὑπνώσω εἰς θάνατον, καὶ ἐπιχαρῇ μοι ἐχθρὸς τῇ ἀπωλείᾳ, ὁ ζητῶν εἰς ᾅδου βάραθρα πάνδεινα, Σῶτερ, κατασπάσαι με.

Ὅμοιον.

ΤΟν ἄσπλαγχνον πλούσιον ἐν ἀφροσύνῃ ζηλώσας, ἡδέως εὐφραίνομαι, ἡδοναῖς καὶ πάθεσι βυθιζόμενος· καὶ ὁρῶν κείμενον περὶ πυλῶν πάντοτε μετανοίας, ὥσπερ Λάζαρον, τὸν νοῦν μου; Κύριε, τοῦτον ἀναισθήτως παρέρχομαι, λιμώττοντα νοσοῦντά τε, καὶ δηλκωμένον τοῖς πάθεσιν· ὅθεν τῆς γεέννης ὑπόδικός εἰμι τῆς ἐν φλογί· ἐξ ἧς με λύτρωσαι, Δέσποτα μόνε πολυέλεε.

Ἕτερον τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. α'.

Κύριε ἐπὶ Μωϋσέως.

ΚΥριε πέραν Ἰορδάνου σαρκὶ διατρίβων, προαγορεύεις, Λαζάρου τὴν νόσον πρὸς θάνατον μὴ εἶναι, ἀλλ' ὑπὲρ σοῦ τοῦ Θεοῦ ἡμῶν τῆς δόξης γεγενῆσθαι· δόξα τῇ μεγαλουργίᾳ σου, καὶ παντοκρατορίᾳ σου, ὅτι καθεῖλες τὸν θάνατον διὰ πλῆθος ἐλέους, φιλάνθρωπε.

Καὶ

Καὶ τοῦ Μηναίου. Δόξα. Καὶ νῦν, Θεοτ.
Ἑσπέρας Προκείμενον Ψαλμ. ρϛ΄. ἦχ. δ΄.
Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι Χρηστός, ὅτι εἰς.
Στίχ. Εἰπάτωσαν οἱ λελυτρωμένοι ὑπὸ Κυρίου.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐγένετο δὲ μετὰ τὸ γηράσαι τὸν Ἰσαάκ, καὶ ἠμβλυώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν· καὶ ἐκάλεσεν Ἡσαῦ τὸν υἱὸν αὐτοῦ τὸν πρεσβύτερον, καὶ εἶπεν αὐτῷ· υἱέ μου· καὶ εἶπεν· ἰδοὺ ἐγώ· καὶ εἶπεν· ἰδοὺ γεγήρακα, καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου· νῦν οὖν λάβε τὸ σκεῦός σου, τήν τε φαρέτραν, καὶ τὸ τόξον· καὶ ἔξελθε εἰς τὸ πεδίον, καὶ θήρευσόν μοι θήραν· καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ· καὶ ἔνεγκέ μοι, ἵνα φάγω· ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου, πρὶν ἀποθανεῖν με. Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἡσαῦ τὸν υἱὸν αὐτοῦ· ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ· Ῥεβέκκα δὲ εἶπε πρὸς τὸν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν ἐλάσσω· ἰδέ, ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου, λέγοντος· ἔνεγκόν μοι θήραν· καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον Κυρίου πρὸ τοῦ ἀποθανεῖν με· νῦν οὖν υἱέ μου ἄκουσόν μου, καθὰ ἐγώ σοι ἐντέλλομαι· καὶ πορευθεὶς εἰς τὰ πρόβατα, λάβε μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλούς, καὶ καλούς· καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ· καὶ εἰσοίσεις τῷ πατρί σου καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν· εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκκαν τὴν μητέρα αὐτοῦ· ἔστιν Ἡσαῦ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος· μήποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν· καὶ ἐπάξω ἐπ᾽ ἐμαυτὸν κατάραν, καὶ οὐκ εὐλογίαν· εἶπε δὲ αὐτῷ ἡ μήτηρ· ἐπ᾽ ἐμὲ ἡ κατάρα σου τέκνον· μόνον ἐπάκουσόν μου τῆς φωνῆς· καὶ πορευθεὶς ἔνεγκέ μοι· πορευθεὶς δέ, ἔλαβε καὶ ἤνεγκε τῇ μητρί, καὶ ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἐδέσματα, καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ· καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ᾽ αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον· καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ, καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ· καὶ ἔδωκε τὰ ἐδέσματα, καὶ τοὺς ἄρτους οὓς ἐποίησεν, εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς, καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ· εἶπε δέ· πάτερ· ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ· τίς εἶ σὺ τέκνον; καὶ εἶπεν Ἰακὼβ τῷ πατρί· ἐγὼ Ἡσαῦ ὁ πρωτότοκός σου, πεποίηκα καθὰ ἐλάλησάς μοι· ἀναστάς, κάθισον καὶ φάγε ἀπὸ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου· εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· τί τοῦτο, ὃ ταχὺ εὗρες ὦ τέκνον; ὁ δὲ εἶπεν· ὃ παρέδωκε Κύριος ὁ Θεός σου ἐναντίον μου· εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακώβ· ἔγγισόν μοι, καὶ ψηλαφήσω σε τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἡσαῦ, ἢ οὔ· ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ· καὶ ἐψηλάφησεν αὐτόν, καὶ εἶπεν· ἡ μὲν φωνή, φωνὴ Ἰακώβ· αἱ δὲ χεῖρες, χεῖρες Ἡσαῦ· καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ, ὡς αἱ χεῖρες Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι· καὶ εὐλόγησεν αὐτόν, καὶ εἶπε· σὺ εἶ ὁ υἱός μου Ἡσαῦ; ὁ δὲ εἶπεν· ἐγώ· καὶ εἶπε· προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου· καὶ προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε· καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· ἔγγισόν μοι, καὶ φίλησόν με τέκνον· καὶ ἐγγίσας ἐφίλησεν αὐτόν· καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν· καὶ εἶπεν· ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου, ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος· καὶ δῴη σοι ὁ Θεὸς ἀπὸ τῆς δρόσου τοῦ Οὐρανοῦ, καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς, καὶ πλῆθος σίτου καὶ οἴνου· καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου· καὶ προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου· ὁ καταρώμενός σε, ἐπικατάρατος· ὁ δὲ εὐλογῶν σε, εὐλογημένος. Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ· καὶ ἐγένετο, ὡς ἂν ἐξῆλθεν Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας· καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα, καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ· καὶ εἶπε τῷ πατρί· ἀναστήτω ὁ πατήρ μου· καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου· καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· τίς εἶ σύ; ὁ δέ, εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ· ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα, καὶ εἶπε· τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰσενέγκας μοι, καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ ἐλθεῖν σε; καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται. Ἐγένετο δὲ ἡνίκα ἤκουσεν Ἡσαῦ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα· καὶ εἶπεν· εὐλόγησον δὴ κἀμὲ πάτερ· εἶπε δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου, ἔλαβε τὴν εὐλογίαν σου· καὶ εἶπε· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε· καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου· καὶ εἶπεν Ἡσαῦ τῷ πατρὶ αὐτοῦ· οὐχ ὑπελίπου μοι εὐλογίαν πάτερ; ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπε τῷ Ἡσαῦ· εἰ Κύριον αὐτὸν πεποίηκά σου, καὶ πάντας τοὺς ἀδελφοὺς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας· σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν· σοὶ δὲ τί ποιήσω τέκνον; εἶπε δὲ Ἡσαῦ πρὸς τὸν πατέρα αὐτοῦ· μὴ εὐλογία μία σοι ἐστὶ πάτερ; εὐλόγησον δὴ κἀμὲ πάτερ· κατανυχθέντος δὲ Ἰσαάκ, ἀνεβόησε φωνῇ Ἡσαῦ, καὶ ἔκλαυσεν·

ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ, εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου, καὶ ἀπὸ τῆς δρόσου τοῦ Οὐρανοῦ ἄνωθεν· καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ, καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἐὰν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου· καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας, ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ·

Προκείμενον, Ψαλμὸς ρζ΄. ἦχος βαρύς.

Ὑψώθητι ἐπὶ τοὺς Οὐρανοὺς ὁ Θεός.

Στίχ. Ἑτοίμη ἡ καρδία μου ὁ Θεός.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Ὃς φυλάσσει ἐντολὴν, τηρεῖ τὴν ἑαυτοῦ ψυχὴν, ὁ δὲ καταφρονῶν τῶν ἑαυτοῦ ὁδῶν, ἀπολεῖται· δανείζει Θεῷ ὁ ἐλεῶν πτωχὸν, κατὰ δὲ τὸ δόμα αὐτοῦ ἀνταποδώσει αὐτῷ· παίδευε υἱόν σου, οὕτως γὰρ ἔσται εὔελπις, εἰς δὲ ὕβριν μὴ ἐπαίρου τῇ ψυχῇ σου· κακόφρων ἀνὴρ πολλὰ ζημιωθήσεται, ἐὰν δὲ λοιμεύηται, καὶ τὴν ψυχὴν αὐτοῦ προσθήσει· ἄκουε υἱὲ παιδείαν πατρός σου, ἵνα σοφὸς γένῃ ἐπ᾽ ἐσχάτων σου· πολλοὶ λογισμοὶ ἐν καρδίᾳ ἀνδρὸς, ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει· καρπὸς ἀνδρὶ ἐλεημοσύνη, κρείσσων δὲ πτωχὸς δίκαιος ἢ πλούσιος ψεύδης· φόβος Κυρίου εἰς ζωὴν ἀνδρί, ὁ δὲ ἄφοβος αὐλισθήσεται ἐν τόποις οὗ οὐκ ἐπισκοπεῖται γνῶσις· ὁ ἐγκρύπτων εἰς τὸν κόλπον αὐτοῦ χεῖρας ἀδίκως, οὐδὲ τῷ στόματι οὐ μὴ προσοίσει αὐτάς· λοιμοῦ μαστιγουμένου, ἄφρων πανουργότερος γίνεται· ἐὰν δὲ ἐλέγχῃς ἄνδρα φρόνιμον, νοήσει αἴσθησιν.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. τῆς ἡμέρας Δὶς ἦχ. δ΄.

Τῆς ψυχοβλαβοῦς πλεονεξίας ἐλευθέρωσον Σωτὴρ, καὶ μετὰ Λαζάρου τοῦ πένητος ἐν τοῖς κόλποις Ἀβραὰμ ἀξίωσον ἡμᾶς· σὺ γὰρ ἐν ἐλέει πλούσιος ὢν, ἑκουσίως δι᾽ ἡμᾶς ἐπτώχευσας, καὶ ἐκ φθορᾶς, εἰς ἀφθαρσίαν μετεπανήγαγες, ὡς συμπαθὴς Θεὸς, καὶ φιλάνθρωπος.

Μαρτ.

Ὁ τῶν ἁγίων Μαρτύρων δεξάμενος τὴν ὑπομονὴν, καὶ παρ᾽ ἡμῶν δέχου τὴν ὑμνῳδίαν, φιλάνθρωπε, δωρούμενος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν, Μῆτερ Θεοῦ, ἡ τεκοῦσα τὸν τῶν ὅλων Ποιητὴν, ἵνα πάντες κράζωμέν σοι. Χαῖρε ἡ προστασία τῶν ψυχῶν ἡμῶν.

Τῇ γ΄. τῶν Βαΐων ἐν τῷ Ὄρθρῳ Μετὰ τὴν α΄. στιχολο. καθίσ. κατανυκτικὰ· τῆς Ὀκτωήχου δύο μετὰ καὶ Θεοτοκίου. Μετὰ δὲ τὴν β΄. στιχολο. καθίσ. τοῦ κυρίου Ἰωσήφ, ἦχος πλ. β΄.

Ἀγγελικαὶ Δυνάμεις.

Ἁμαρτιῶν τῇ νόσῳ κατατηκόμενος τῆς ἀπογνώσεως κλίνῃ κατάκειμαι· διό με, ἰατρὲ τῶν ἀσθενούντων, ἐπισκέψαι τῇ φιλανθρωπίᾳ, καὶ μὴ παραχωρήσῃς ἐναφυπνῶσαι δεινῶς εἰς θάνατον, πανοικτίρμον, ἵνα βοῶ σοι θερμῶς, ὁ τοῦ ἐλέους χορηγὸς, Κύριε, δόξα σοι.

Θεοτοκίον Ὅμοιον.

Ἀρχὴ σωτηρίας ἡ τοῦ Γαβριὴλ προσηγορία πρὸς τὴν Παρθένον γέγονεν· ἤκουσε γὰρ τὸ, Χαῖρε, οὐκ ἀπέφυγε τὸν ἀσπασμὸν· οὐκ ἐδίστασεν ὡς ἡ Σάῤῥα ἐν τῇ σκηνῇ, ἀλλ᾽ οὕτως ἔλεγεν· ἰδοὺ ἡ δούλη Κυρίου, γένοιτό μοι κατὰ τὸ ῥῆμά σου.

Εἰς τὴν γ΄. στιχολο. καθίσ. τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. α΄. Λάμπει σήμερον.

Χθὲς καὶ σήμερον ἡ νόσος ἡ τοῦ Λαζάρου· ταύτην γὰρ Χριστῷ δηλοῦσιν αἱ σύγγονοι· ἐν χαρᾷ ἡ Βηθανία προδιεγείρεται, τὸν Δεσπότην ξεναγωγῆσαι, καὶ Βασιλέα, σὺν ἡμῖν βοῆσαι, Κύριε δόξα σοι.

Θεοτοκίον ἦχος ὁ αὐτός.

Μῆτερ Θεοῦ παναγία, τὸ τεῖχος τῶν χριστιανῶν, ῥῦσαι λαόν σου συνήθως κραυγάζοντά σοι ἐκτενῶς, ἀντιτάχθητι αἰσχροῖς, καὶ ἀλαζόσι λογισμοῖς, ἵνα βοῶμέν σοι, Χαῖρε Ἀειπάρθενε.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου τοῦ Ἁγίου, τοῦ κατὰ τὴν ἡμέραν, καὶ τὰ Τριῴδια τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδὴ, ᾠδὴ β΄. ἦχος πλ. β΄. ὁ Εἱρμός.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ μάννα ἐπομβρήσας, καὶ τὸ ὕδωρ ἐκ πέτρας πηγάσας πάλαι ἐν ἐρήμῳ τῷ λαῷ μου τῇ μόνῃ δεξιᾷ, τῇ ἰσχύϊ τῇ ἐμῇ.

Θέλων ἐπτώχευσας ὁ φύσει πλούσιος, Χριστὲ, ἐπείνασας θελήσει ὁ ἐμπιμπλῶν πᾶν ζῷον· διό με κόρεσον πεινῶντά σου τὴν χάριν, καὶ δεῖξον τῆς ἐκεῖ τραπέζης, Λόγε, κοινωνόν.

Λάζαρον πτωχόν με ἀμαρτιῶν δεῖξον, Χριστὲ, καὶ σκόρπισον τὸν πλοῦτον, ὅνπερ κακῶς συνῆξα, καὶ τὴν τελείαν σου ἀγάπησιν, οἰκτίρμον, ἐμπλήσας, τῆς ἐκεῖ ῥῦσαι κολάσεως φρικτῆς.

Παῖδας στομώσασα δυνατωτέρους τοῦ πυρὸς εἰργάσατο νηστεία ποτὲ ἐν Βαβυλῶνι· αὐτοὺς ζήλωσα, ὦ ψυχή μου, μὴ ἀθυμεῖ, καὶ πῦρ τῶν ἡδονῶν πνεύματος σβέσεις δροσισμῷ.

Θεοτοκίον.

Χαῖρέ σοι βοῶμεν τῇ κυησάσῃ τὴν χαρὰν, ἡ κεχαριτωμένη Θεοτόκε Παρθένε, Θεὸν, ὃν

ὃν ἔπτηξας, δυσώπει λυτρωθῆναι κινδύνων, καὶ φθορᾶς τοὺς ἀνυμνοῦντάς σε ἀεί.

Ἄλλος τοῦ κυρίου Θεοδώρου, ἦχος πλ. ά.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ πέραν Ἰορδάνου διατρίβων, ἐπακούσας ὅτι Λάζαρος νοσεῖ, καὶ φήσας ὅτι οὐ θνήσκει, ἀλλ᾽ ἔστι τοῦτο ὑπὲρ τῆς δόξης μου.

Θρηνώδεις βαλλόμεναι αἱ τοῦ Λαζάρου ἀδελφαὶ, τὸ πάθος σοὶ τῷ γνώστῃ τῶν ἁπάντων φανεροῦσιν· ἀλλὰ μείνεις πρὸς μικρὸν, ἵνα ἐπανάγῃς τὸ θαῦμα, καὶ ὑποδείξῃς τοῖς Μαθηταῖς σου φρικτά.

Δόξα.

Ὁμοβασίλειε ἡ τρισυπόστατος μονὰς, Κυρία βασιλεία τῶν αἰώνων, σὲ δοξάζει τὸν Πατέρα, Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα πληθὺς Ἀγγέλων, καὶ πᾶσα φύσις βροτῶν.

Καὶ νῦν.

Τίς μὴ θαυμάσει, βλέπων ἐν σοὶ τὸν πλαστουργὸν, Παρθένε, ἀναπλάσαντα Ἀδὰμ τὸν πεπτωκότα, καὶ ἀφράστῳ ἑνώσει ἐκ σοῦ σαρκὶ τεχθέντα ἀναλλοιώτως εἰς σωτηρίαν ἡμῶν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Νῦν εὐτρεπίσθητι, ὦ Βηθανία, χαρᾷ, ποιοῦσα τὴν δοχὴν τοῦ Βασιλέως τῶν ἁπάντων· ὅτι ἥξει ἐπὶ σὲ, ἵνα τὸν Λάζαρον δείξῃ πάλιν δρομοῦντα ἐκ τῆς φθορᾶς εἰς ζωήν.

Ὁ Εἱρμός.

Ἴδετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ σάρκα ἐνδυσάμενος βουλήσει ἑκουσίᾳ, ἵνα σώσω τὸν Ἀδὰμ, τὸν ἐκ πλάνης πεσόντα τῇ παραβάσει διὰ τοῦ ὄφεως.

Ὠδὴ ή. Ἐκ φλογὸς τοῖς ὁσίοις.

Ἐννοῶν μου τὰ πλήθη τῶν παραπτώσεων, καὶ πληττόμενος κέντρῳ τῆς συνειδήσεως, ὥσπερ ἐν φλογὶ ὀδυνῶμαι ὁ ἄθλιος, οἰκτειρόν με, Λόγε Θεοῦ, τῷ σῷ ἐλέει.

Παραβλέψας Λαζάρου τὰ κατορθώματα, τοῦ ἀσπλάγχνου πλουσίου τρόπους ἐζήλωσα, εὔσπλαγχνε Θεὲ, ἐπιστρέψας με οἴκτειρον, ἵνα σὲ δοξάζω εἰς πάντας τοὺς αἰῶνας,

Ψυχικῇ ἀσθενείᾳ περικρατούμενος, καὶ τεθνήξεσθαι μέλλων δι᾽ ἀπογνώσεως, τῆς σῆς, Ἰησοῦ, ἐπισκέψεως δέομαι, τῆς ζωοποιούσης τοὺς σὲ προσκαλουμένους.

Θεοτοκίον.

Παναγία Παρθένε, σύ με διάσωσον, τῆς ἐμῆς ἀσθενείας γενοῦ βοήθεια, ἡ τὸν θελητὴν τοῦ ἐλέους κυήσασα· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Οἱ ὅσιοί σου Παῖδες.

Ἀγάλλου Βηθανία, ἡ τοῦ Λαζάρου πατρὶς, ἐπὶ σοὶ γὰρ ὁ Χριστὸς ἐπιστὰς, μεγαλεῖον τελέσας, ζωώσας τὸν Λάζαρον.

Λάζαρος νοσηλεύεται, ἵνα σὺ δοξασθῇς ὁ Υἱὸς τοῦ Θεοῦ ἐν αὐτῷ, καὶ ὑμνεῖ σε ἀπαύστως τὰ ἔργα τὸν Κύριον.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Τριάδα παναγίαν, τὴν ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ Πνεύματι ὑμνοῦντες ψάλλομεν, εὐλογεῖτε τὰ ἔργα τὸν Κύριον.

Τὸν ἄρρητόν σου τόκον, πάντες ὑμνοῦμεν ἁγνὴ, καὶ σέβοντες αὐτὸν, ὡς Θεὸν, εὐλογοῦμεν τὰ ἔργα, ὡς κτίστην, καὶ Κύριον.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῶν ἀρετῶν τοὺς κλάδους πρὸς ὑπάντησιν τοῦ Χριστοῦ εὐτρεπίζοντες, νῦν κράζομεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Οἱ ὅσιοί σου Παῖδες ἐν τῇ καμίνῳ, Χριστὲ, ἀνυμνοῦντες ἔψαλλον, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ὠδὴ θ᾽. Θεὸν ἀνθρώποις ἰδεῖν.

Τὸν πρὶν τὸν ἄνθρωπον, τὸν πρωτόπλαστον, γεῦσις πικρὰ δεινῶς τοῦ Παραδείσου ἐξώρισε, καὶ θανάτου τοῖς βρόχοις ὑπέζευξε· νήστευσον, ὦ ψυχή μου, φεῦγε τὴν μίμησιν, φεῦγε τῆς τρυφῆς τὴν ἡδονὴν τὴν πολυώδυνον.

Εἰς νῦν λαμβάνω σου τὸ κριτήριον, τὸ τῆς φλογὸς τὸ ἄσβεστον, Κριτὰ δικαιότατε· ἐμαυτὸν κατακρίνω πρὸ κρίσεως· δέδοικα γὰρ, καὶ τρέμω, ἅμαρτα πταίσας σοι ἄλλος ὡς οὐδεὶς ἐπὶ τῆς γῆς, διό με οἴκτειρον.

Παθῶν ἐκπλύνωμεν ἀμαυρότητα φωτιστικαῖς εὐχαῖς, καὶ ἀρετῶν κλάδους φέροντες, ὑπαντῆσαι Χριστῷ ἐπισπεύσωμεν, πώλῳ, προσδοκωμένῳ, νῦν ἐπιβήσεσθαι, ἑτοιμαζομένῳ τε παθεῖν διὰ τὸ σῶσαι ἡμᾶς.

Ἐκ σοῦ, Παρθένε θεοχαρίτωτε, τοῖς ἐν νυκτὶ παθῶν κεκρατημένοις ἀνέτειλε τοῦ φωτὸς, καὶ εἰρήνης Χριστὸς χορηγὸς, τὴν ἐξ ἀπροσεξίας λύων παράβασιν, καὶ τὴν ἀπολύτρωσιν ἡμῖν σαφῶς δωρούμενος.

Ἄλλος. Ἡσαΐα χόρευε

Νῦν τὰ νεκροτάφια ἑτοίμαζε, Λάζαρε σοφέ· ἐκλείπεις γὰρ τῆς ζωῆς, αὔριον θανὼν· τὸν τάφον ἐπίβλεψον, ὃν οἰκήσεις, ἀλλά σε Χριστὸς πάλιν ζωώσεται, ἀναστήσας τεταρταῖον.

Βηθανία χόρευε, ἐπὶ σὲ γὰρ ἥξει ὁ Χριστὸς, θαυμάσιον ἐκτελῶν μέγα, καὶ φρικτόν· δεσμεύσας τὸν θάνατον, ἀναστήσει πάντως ὡς Θεὸς Λάζαρον θνήξαντα, καὶ τὸν Κτίστην μεγαλύνοντα.

Δόξα.

Ὁμοουσιότητι ἀνυμνῶ σε, ἄναρχε Τριὰς, ἀεὶ πέλη ζωαρχικὴ, ἄτμητε μονὰς, Πατὴρ ὁ ἀγέννητος, καὶ γεννητὲ Λόγε καὶ Υἱὲ, Πνεῦμα τὸ ἅγιον ἡμᾶς σῶσον τοὺς ὑμνοῦντάς σε.

Θεοτοκίον.

Υ'Πὲρ νοῦν ὁ τόκος σου Θεομῆτορ, ἄνευ γὰρ ἀνδρὸς ἡ σύλληψις ἐν σοί, καὶ παρθενικῶς ἡ κύησις γέγονε, καὶ γὰρ Θεὸς ἐστιν ὁ τεχθείς, ὃν μεγαλύνοντες, σὲ, Παρθένε, μακαρίζομεν.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΔΕῦτε ἑτοιμάσωμεν τῷ Κυρίῳ τὰ πρὸς ὑπάντησιν, Βαΐα ἀρετῶν φέροντες αὐτῷ· οὕτω γὰρ δεξώμεθα, ὡς εἰς πόλιν Ἱερουσαλήμ, ἐν τῇ ψυχῇ ἡμῶν προσκυνοῦντες, καὶ ὑμνοῦντες αὐτόν.

Ὁ Εἱρμός.

Η'Σαΐα χόρευε, ἡ Παρθένος ἔσχεν ἐν γαστρὶ, καὶ ἔτεκεν Υἱὸν τὸν Ἐμμανουήλ, Θεόν τε
„ καὶ ἄνθρωπον, Ἀνατολὴ ὄνομα αὐτῷ· ὃν με-
„ γαλύνοντες, σὲ, Παρθένε, μακαρίζομεν.

Τὸ Φωταγωγικὸν· Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. τῆς ἡμέρας Δὶς· ἦχος πλ. δ'.

Ο' Διαθηρῶς τοῖς παραπτώμασι, καὶ ταῖς σειραῖς τῶν ἁμαρτημάτων συνδεδεμένη, ὦ ψυχή, τί ῥαθυμεῖς; τί ἀμελεῖς; φεῦγε ἀεὶ Σοδόμων, καὶ Γομόρρας ὡς ὁ Λὼτ ἀσελγείας τὸν ἐμπρησμόν, μὴ στραφῇς εἰς τὰ ὀπίσω, καὶ γένῃ καθάπερ στήλη ἁλός· εἰς ὄρος ἀνασώζου τῶν ἀρετῶν· φεῦγε ἀεὶ τοῦ ἀσώτου πλουσίου ἀσπλαγχνίας τὴν φλεγμονήν· εἰς τοὺς κόλπους προσβαίνε τοῦ Ἀβραάμ, ὡς ὁ Λάζαρος· διὰ ταπεινοφροσύνης βόησον, ἡ ἐλπίς μου, καὶ καταφυγή, Κύριε, δόξα σοι.

Μαρτυρικόν.

ΟΙ' Ἀθλοφόροι σου Κύριε τὰς τάξεις τῶν Ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι, ταῖς βασάνοις ἐνεκαρτέρησαν, μονολόγιστον ἐλπίδα ἔχοντες τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν· ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, θεοτ. ἦχος ὁ αὐτός.

ΣΕ' δυσωποῦμεν, ὡς Θεοῦ Μητέρα, εὐλογημένη πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν Τριτέκτην Τροπάριον τῆς Προφητείας, ἦχος πλ. α'.

Α'Καταμάχητον τεῖχος ἔδωκας τῇ πόλει ἡμῶν τὴν τεκοῦσάν σε Παρθένον· δι' αὐτῆς, Σῶτερ, ἀπὸ τῶν κύκλῳ συνεπιτιθεμένων κακῶν ἐξελοῦ δυόμεθα τὰς ψυχὰς ἡμῶν.

Προκείμενον Ψαλμ. ρη'. ἦχος δ'.

Βοήθησόν μοι Κύριε, ὁ Θεός μου.

Στίχ. Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς.

Προφητείας Ἠσαΐου, τὸ Ἀνάγνωσμα.

ΤΑ'δε λέγει Κύριος· ἰδοὺ δέδωκά σε εἰς διαθήκην γένους, εἰς φῶς ἐθνῶν, τοῦ εἶναι σε εἰς σωτηρίαν ἕως ἐσχάτου τῆς γῆς· οὕτω λέγει Κύριος, ὁ ῥυσάμενός σε, ὁ Θεὸς Ἰσραήλ· ἁγιάσατε τὸν φαυλίζοντα τὴν ψυχὴν αὐτοῦ, τὸν βδελυσσόμενον ὑπὸ τῶν ἐθνῶν τῶν δούλων τῶν ἀρχόντων· Βασιλεῖς ὄψονται αὐτόν, καὶ ἀναστήσονται ἄρχοντες, καὶ προσκυνήσουσιν αὐτῷ, ἕνεκεν Κυρίου· ὅτι πιστός ἐστιν ὁ ἅγιος Ἰσραήλ, καὶ ἐξελεξάμην σε· οὕτως λέγει Κύριος· καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν τοῦ καταστῆσαι τὴν γῆν, καὶ κληρονομῆσαι κληρονομίας ἐρήμους, λέγοντα τοῖς ἐν δεσμοῖς, ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει, ἀνακαλυφθῆναι· ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ νομὴ αὐτῶν· οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ Ἥλιος, ἀλλ' ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει.

Προκείμενον Ψαλμὸς ρθ'. ἦχος δ'.

Σὺ Ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν.

Στίχ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου.

Τῇ Τρίτῃ Ἑσπέρας ἡ συνήθως στιχολογ. εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ς'. καὶ ψάλλομεν στιχ. προσόμοια τοῦ Κυρίου Ἰωσήφ· ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου σε.

ΠΑ'σαις προσβολαῖς τοῦ πονηροῦ ἡ πολυπαθής μου καρδία ἐξασθενήσασα τάφῳ κατενήνεκται τῆς ῥαθυμίας δεινῶς, καὶ ὡς λίθῳ καλύπτεται τῇ ἀναισθησίᾳ, Σῶτερ, ὁ τῷ ξύλῳ σου τοῦ ζωηφόρου Σταυροῦ πάντας τοὺς ἐν ᾅδῃ ζωώσας, ἔγειρόν με, ζώωσον, ὅπως φόβῳ σου δοξάζω τὴν Θεότητα.

Ὅμοιον.

ΠΑ'ντων ἡδονῶν φθοροποιῶν τῇ τοῦ πονηροῦ συνεργείᾳ πάντοτε ἔστερξα, μάτην εὐφραινόμενος ὁ ἀσυνείδητος· τὸν δὲ νοῦν μου παρέβλεψα, ὡς Λάζαρον ἄλλον στένοντα, λιμώττοντα ἐνθέου βρώσεως, Λόγε, τῆς φλογὸς τῆς μελλούσης ῥῦσαί με τῇ σῇ εὐσπλαγχνίᾳ, ὅπως σὲ δοξάζω τὸν φιλάνθρωπον.

Ἕτερον Θεοδώρου, ἦχος γ'. Ἔστησαν τά.

ΣΗ'μερον ἐναπέψυξεν ὁ Λάζαρος, καὶ θρηνεῖ τοῦτον Βηθανία, ὃν ὁ Σωτὴρ ἡμῶν ἐγείρεις ἐκ τῶν νεκρῶν, προπιστοῦσαι ἐν τῷ φίλῳ σου τὰ τῆς Ἀναστάσεώς σου τῆς φρικτῆς, τοῦ ᾅδου τὴν νέκρωσιν, καὶ Ἀδὰμ τὴν ζωήν, διὰ τοῦτο σὲ ὑμνοῦμεν.

Καὶ τοῦ Μηναίου γ'. Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Ἑσπέρας Προκείμενον Ψαλμ. ρι'. ἦχος δ'.

Ἀρχὴ σοφίας φόβος Κυρίου.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου.

Γε-

Γενέσεως τὸ Ἀνάγνωσμα.

Εἶπε δὲ Κύριος πρὸς Ἰακώβ· ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου, καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ· ἀποστείλας δὲ Ἰακώβ, ἐκάλεσε Λείαν, καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ ἦν τὰ ποίμνια, καὶ εἶπεν αὐταῖς· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρὸς ἐμοῦ, ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ Θεὸς τοῦ πατρός μου ἦν μετ᾿ ἐμοῦ· καὶ αὐταὶ δὲ οἴδατε, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν· ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με, καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνάδων· καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με· ἐὰν οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σου μισθός· καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα, ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σου μισθός· καὶ τέξεται πάντα τὰ πρόβατα λευκά· καὶ ἀφείλετο ὁ Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν, καὶ ἔδωκέ μοι αὐτά· καὶ ἐγένετο ἡνίκα ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα· καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ· καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας, διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί· καὶ εἶπέ μοι ὁ Ἄγγελος τοῦ Θεοῦ καθ᾿ ὕπνον. Ἰακώβ· ἐγὼ δὲ εἶπα· τί ἐστι; καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἴδε τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα, καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γὰρ ὅσα σοι Λάβαν ποιεῖ· ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην, καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνάστηθι, καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης, καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ· καὶ ἀποκριθεῖσαι Ῥαχὴλ, καὶ Λεία εἶπαν αὐτῷ· μὴ ἔστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν; οὐχ ὡς αἱ ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς, καὶ καταβρώσει κατέφαγε τὸ ἀργύριον ἡμῶν· πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται, καὶ τοῖς τέκνοις ἡμῶν· νῦν οὖν ὅσα σοι εἴρηκεν ὁ Θεός σου, ποίει.

Προκείμ. Ψαλμ. ρια΄. ἦχος δ΄.

Ἐλεήμων, καὶ οἰκτίρμων, καὶ δίκαιος.

Στίχ. Μακάριος ἀνὴρ, ὁ φοβούμενος τὸν Κύριον.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ποιεῖν δίκαια, καὶ ἀληθεύειν ἀρεστὰ παρὰ Θεῷ μᾶλλον, ἢ θυσιῶν αἷμα· μεγαλόφρον ἐν ὕβρει θρασυκάρδιος· λαμπτὴρ δὲ ἀσεβῶν ἁμαρτία· ὁ ἐνεργῶν θησαυρίσματα γλώσσῃ ψευδεῖ, μάταια διώκει ἐπὶ παγίδας θανάτου· ὄλεθρος ἀσεβέσιν ἐπιξενωθήσεται, οὐ γὰρ βούλονται πράσσειν τὰ δίκαια· πρὸς τοὺς σκολιοὺς σκολιὰς ὁδοὺς ἀποστέλλει ὁ Θεός, ἁγνὰ γὰρ, καὶ ὀρθὰ τὰ ἔργα αὐτοῦ· κρεῖσσον οἰκεῖν ἐπὶ γωνίας ὑπαίθρου, ἢ ἐν κεκονιαμένοις μετὰ ἀδικίας καὶ ἐν οἴκῳ κοινῷ· ψυχὴ ἀσεβοῦς οὐκ ἐλεηθήσεται ὑπ᾿ οὐδενὸς τῶν ἀνθρώπων· ζημιουμένου ἀκολάστου, πανουργότερος γίνεται ὁ ἄκακος, συνιὼν δὲ σοφὸς δέξεται γνῶσιν· συνιεῖ δίκαιος καρδίας ἀσεβῶν, καὶ φαυλίζει ἀσεβεῖς ἐν κακοῖς· ὃς φράσσει τὰ ὦτα αὐτοῦ, μὴ ἐπακοῦσαι ἀσθενοῦς, καὶ αὐτὸς ἐπικαλέσεται, καὶ οὐκ ἔσται ὁ εἰσακούων· δόσις λάθριος ἀνατρέπει ὀργάς, δώρων δὲ ὁ φειδόμενος θυμὸν ἐγείρει ἰσχυρόν· εὐφροσύνη δικαίων ποιεῖν κρίμα, ὅσιος δὲ ἀκάθαρτος παρὰ κακούργοις· ἀνὴρ πλανώμενος ἐξ ὁδοῦ δικαιοσύνης, ἐν συναγωγῇ γιγάντων ἀναπαύσεται· ἀνὴρ ἐνδεὴς ἀγαπᾷ εὐφροσύνην, φιλῶν οἶνον καὶ ἔλεον εἰς πλοῦτον, περικάθαρμα δὲ δικαίου ἄνομος· κρεῖσσον οἰκεῖν ἐν τῇ ἐρήμῳ, ἢ μετὰ γυναικὸς μαχίμου, καὶ γλωσσώδους, καὶ ὀργίλου· θησαυρὸς ἐπιθυμητὸς ἀναπαύσεται ἐπὶ στόματος σοφοῦ, ἄφρονες δὲ ἄνδρες καταπίονται αὐτόν· ὁδὸς δικαιοσύνης καὶ ἐλεημοσύνης εὑρήσει ζωὴν καὶ δόξαν.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. τῆς ἡμέρας

Δίς, ἦχος α΄.

Πορφύραν αὐτοκρατορίας θεότευκτον, καὶ βύσσον ἀφθαρσίας ἐστολισμένη ψυχή μου, τὴν οἰκείαν ἀξίαν καθυβρίσασα, πλοῦτον, καὶ τρυφὴν ἐπὶ ἁμαρτίᾳ ποιησαμένη, καὶ καταπαιρομένη τῶν ὁμοφύλων, ὡς ὁ τὸν πτωχὸν Λάζαρον παριδὼν πλούσιος· ἀλλ᾿ ἵνα μὴ σὺν ἐκείνῳ κολασθῇς, πτώχευσον τῷ πνεύματι, καὶ τῷ διὰ σὲ πτωχεύσαντι Κυρίῳ κράζον· ὁ πορφύραν ὕβρεως πρὸ Σταυροῦ φορέσας, καὶ γυμνὸς ἐν Σταυρῷ παγεὶς δι᾿ ἐμὲ, τῷ τῆς σῆς Βασιλείας ἐνδύματι ἐξ αἰσχύνης αἰωνίου, Χριστὲ, ῥῦσαί με.

Μαρτ.

Ὢ Τῆς καλῆς ὑμῶν πραγματείας, Ἅγιοι· ὅτι αἵματα ἐδώκατε, καὶ Οὐρανοὺς ἐκληρονομήσατε, καὶ πρόσκαιρον πειρασθέντες αἰωνίως ἀγάλλεσθε· ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα· φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε, καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως Τριάδα ὁμοούσιον.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Πανεύφημοι Μάρτυρες.

Ῥομφαία διῆλθεν, ὦ υἱὲ, ἡ Παρθένος ἔλεγεν, ἐπὶ τοῦ ξύλου ὡς ἔβλεψε Χριστὸν κρεμάμενον, τὴν ἐμὴν καρδίαν καὶ σπαράττει, Δέσποτα, ὡς πάλαι Συμεών μοι προέφησεν, ἀλλὰ ἀνάστηθι, καὶ συνδόξασον, ἀθάνατε, τὴν Μητέρα, καὶ δούλην σου, δέομαι.

Τῇ δ΄. τῶν Βαΐων ἐν τῷ Ὄρθρῳ μετὰ τὴν α΄ στιχολ. καθίσμ. σταυρώσιμα τῆς Ὀκτωήχου δύο.

Μετὰ καὶ σταυροθεοτ. μετὰ δὲ τὴν β'. στιχολ. καθίσ. τοῦ Κυρίου Ἰωσὴφ· ἦχος β'.

Τὸν λίθον τοῦ μνήματος.

Ω'Σ λίθῳ βαρυνόμενος ταῖς πολλαῖς ἁμαρτίαις ἐν τάφῳ κατάκειμαι ἀμελείας, οἰκτίρμον, ἐξ οὗ με ἀνάγαγε, ἐξάλλαξε Κύριε.

Σταυροθεοτ. ἦχος ὁ αὐτός. Εὐσπλαγχνίας.

ΤΩ͂ τιμίῳ Σταυρῷ τοῦ Υἱοῦ σου φυλαττόμενοι, Δέσποινα ἁγνὴ Θεοτόκε, πᾶσαν προσβολὴν τοῦ πολεμήτορος ἅπαντες ῥαδίως ἐκκρουόμεθα· διό σε καταξίως δοξάζομεν ὡς Μητέρα τοῦ φωτός, καὶ μόνην ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν γ'. στιχολογ. καθίσμ. τοῦ Κυρίου Θεοδώρου. ἦχος γ'. Τὴν ὡραιότητα.

ΣΗ'μερον Λάζαρος θανὼν ἐνθάπτεται, καὶ θρῆνον ᾄδουσιν αἱ τούτου σύγγονοι· ὡς δὲ προγνώστης, καὶ Θεὸς τὸ πάθος προηγόρευσας. Λάζαρος κεκοίμηται· τοῖς Μαθηταῖς προφθεγξάμενος· ἀλλὰ νῦν ἀπέρχομαι ἀναστῆσαι, ὃν ἔπλασα· διό σοι πάντες βοῶμεν, δόξα τῷ κράτει τῆς ἰσχύος σου.

Σταυροθεοτ. Ὅμοιον.

Η'Ἀπειρόγαμος ἁγνὴ, καὶ Μήτηρ σου, Χριστὲ, ὁρῶσά σε νεκρὸν κρεμάμενον ἐπὶ τοῦ ξύλου, μητρικῶς θρηνολογοῦσα ἔλεγε· τί σοι ἀνταπέδωκε τῶν Ἑβραίων ὁ ἄνομος δῆμος, καὶ ἀχάριστος, ὁ πολλῶν, καὶ μεγάλων σου, Υἱέ μου, δωρεῶν ἀπολαύσας, ὑμνῶ σου τὴν θείαν συγκατάβασιν.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου τοῦ Ἁγίου, τοῦ κατὰ τὴν ἡμέραν, καὶ τὰ Τριῴδια τοῦ Κυρίου Ἰωσὴφ· καὶ στιχολογεῖται ἡ ᾨδή.

ᾨδὴ γ'. ἦχος β'. Στερεωθέντα.

ΤΗ͂ δυνάμει τοῦ Σταυροῦ δυναμώσας με τὴν νῦν ἐξασθενοῦντα προσβολαῖς πονηραῖς, πρὸς τὸ θέλημα τὸ σὸν ἴθυνον, Κύριε.

ΡΑ'θυμίας νυσταγμῷ ἐπὶ κλίνης ἡδονῶν καθεύδοντά με διανάστησον, Χριστὲ, καὶ τῶν σῶν προσκυνητὴν Παθῶν ἀνάδειξον.

ΛΑμπρυνθέντες τὰς ψυχὰς τῇ νηστείᾳ, καθαροὶ προσυπαντῆσαι ἐπειχθῶμεν Χριστῷ, πρὸς τὴν Ἱερουσαλὴμ ἐπιδημοῦντι σαρκί.

ΜΗ' φλεχθεῖσα τῷ πυρὶ τῆς Θεότητος ἁγνὴ, κατάφλεξόν μου τὰς ὑλώδεις ὁρμὰς τῶν παθῶν, ὅπως πιστῶς, ἁγνὴ, δοξάζω σε.

Εἱρμὸς ἄλλος, ἦχος γ'.

Στεῤῥὰ ψυχὴ, καὶ ἄρονε.

ΤΗ'ν σήμερον ὁ Λάζαρος θανὼν οὐκ ἔλαθε τὸ παντέφορον ὄμμα Ἰησοῦ, διὸ ἐκφράζει τοῦτο τοῖς Μαθηταῖς βοῶν· ὅτι Λάζαρος ὁ φίλος κεκοίμηται, ἀναστῆσαι ἥκω αὐτόν.

ΠΡὸς Ἰουδαίαν, Κύριε, πάλιν ἀπαίρειν εἰπὼν, τοὺς Μαθητὰς ἐφόβησας, ἀλλ' εὐθαρσῶς ἐβόων· ζωὴ ἐστὶν, ἄγωμεν· κἂν γὰρ καὶ θνῃζώμεθα, αὖθις ἀναζήσωμεν.

Δόξα.

ΤΡιὰς ἡ ὁμοούσιος, ὁ παντοκράτωρ Πατὴρ, ὁ Υἱὸς ὁ συνάναρχος σὺν τῷ συνθρόνῳ θείῳ Πνεύματι, ἡ μία προσκύνησις, Θεότης ἡ ἄκτιστος, σὲ ὑμνοῦμεν πάντες βροτοί.

Καὶ νῦν.

ΠΑ'ρθενομῆτορ ἄχραντε, ἡ ῥίζα τοῦ Ἰεσσαὶ, ἐξ ἧς Χριστὸς ἀνέτειλε, τὸ ζωηφόρον ἄνθος τῶν γηγενῶν, δι' ἧς ἐλυτρώθημεν φθορᾶς, καὶ θνητότητος, σὲ ὑμνοῦμεν πάντες, ἁγνή.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΧΑ'ιρε Σιὼν, νῦν ἔρχεται ὁ Βασιλεύς σου πραΰς, ὡς ὁ Προφήτης κέκραγε· καὶ ἄγει πῶλος τοῦτον σωματικῶς, τὸν ἐν τῇ χειρὶ αὐτοῦ τὸ πᾶν περιέχοντα· ᾄσωμεν τῷ κράτει αὐτοῦ.

Ὁ Εἱρμός.

ΣΤεῤῥὰ ψυχὴ, καὶ ἄρονε, κτῆσαι καρπὸν εὐκλεῆ· εὐφραινομένη βόησον, ἐστερεώθην διὰ σοῦ ὁ Θεός· οὐκ ἔστιν ἅγιος, οὐκ ἔστι δίκαιος πλήν σου Κύριε.

ᾨδὴ η'. Τὸν ἐν τῇ βάτῳ Μωσῇ.

ΤΗ͂ς ταπεινῆς μου ψυχῆς τὸν βαρύτατον λίθον τῆς δεινῆς ῥαθυμίας ἀποκύλισον, Χριστὲ· καὶ ἔγειρόν με τάφου, τοῦ τῆς ἀναισθησίας εἰς αἴνεσίν σου, Λόγε.

ΘΑ'νατον φίλου τοῦ σοῦ προεδήλωσας φίλοις διὰ σπλάγχνα ἐλέους ὁ προγνώστης, καὶ Θεὸς, ὃν ἔμελλες ἐγείρειν ἐκ τάφου τεταρταῖον πρὸς σὴν δοξολογίαν.

ΠΡὸς Ἰουδαίαν, Χριστὲ, πάλιν ἔρχῃ ζητοῦσαν, τῆς ζωῆς σε τὸ ξύλον διὰ ξύλου ἀνελεῖν, παθὼν ἀθανατίσαι τοὺς τεθανατωμένους τῇ διὰ ξύλου βρώσει.

Θεοτοκίον.

ΕΝ σοὶ, Παρθένε ἁγνὴ, ἐθεωρήθησαν πᾶσαι τοῦ Θεοῦ αἱ πορεῖαι, τοῦ φυλάξαντος τὴν ἁγνείαν μετὰ τόκον ἐσφραγισμένην σαφῶς εἰς πάντας τοὺς αἰῶνας.

Εἱρμὸς ἄλλος. Τὸν ἐξ ἀνάρχου τοῦ.

ΛΑ'ζαρος σήμερον θανὼν ἐκκομίζεται ὁ φίλος Χριστοῦ, καὶ θρηνῳδοῦσιν αἱ περὶ τὴν Μάρθαν τὴν ἀδελφικὴν συμφοράν· ὁ δὲ Χριστὸς ἐν χαρᾷ μεταβαίνει πρὸς αὐτὸν, τοῦ δεῖξαι τοῖς λαοῖς, ὅτι ἐστὶν αὐτὸς ἡ ζωὴ τῶν ἁπάντων.

ΩΣ ἐξ ὄρους ἐλαιῶν, ἀπὸ ὕψους ἐλεημοσυνῶν ἀρετῶν κλάδους οἱ λαοὶ τεμόντες, δεῦτε ἑτοιμάσωμεν τὴν πρὸς ἡμᾶς νοητῶς παρουσίαν τοῦ Χριστοῦ, ὑμνοῦντες, εὐλογοῦντες, καὶ ὑπερυψοῦντες αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

ΗΤελεσιουργὸς μονὰς, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ ζῶν, μία Θεότης, Βασιλεία, σὲ αἰνεῖ τὸ ἄδυτον φῶς Ἀγγέλων αἱ στρατιαὶ, καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Καὶ

Digitized by Google

Καὶ νῦν.

Ἰδοὺ πᾶσαι γυναῖκες μακαρίζομέν σε, ἄχραντε· τὰ μεγαλεῖα τὰ σὰ καθορῶντες· σὺ γὰρ τίκτεις ὑπερφυῶς τὸν τοῦ παντὸς ποιητὴν, Θεὸν ὄντα, καὶ βροτόν· ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μετὰ τῶν Παίδων καὶ ἡμεῖς ὑπαντήσωμεν Χριστῷ τῷ Θεῷ, ἀντὶ Βαΐων προσάγοντες ἐλεημοσύνην ἐν καρδίας προσευχῇ· μετὰ κλάδων Ὡσαννὰ βοῶντες, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Τὸν ἐξ ἀνάρχου τοῦ Πατρὸς γεννηθέντα πρὸ αἰώνων Θεὸν, καὶ ἐπ' ἐσχάτων ἐκ τῆς Θεοτόκου σάρκα ἐνδυσάμενον, ὡς τέλειον ἄνθρωπον, καὶ Θεὸν ἀληθινὸν ὑμνοῦμεν, εὐλογοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θʹ. Τὰν γηγενῶν τίς ἤκουσε.

Ὁ Δανιὴλ νηστείᾳ πεφραγμένος ἔφραξε στόματα θηρῶν· τοῦτον ζηλοῦσα, ψυχή μου, τὸν ὠρυόμενον καθάπερ λέοντα ὄφιν, καὶ ἐκζητοῦντα κατάβρωμα ποιῆσαι πᾶσαν ψυχὴν, τῇ τοῦ Σταυροῦ συμμαχίᾳ ἀποδίωξον.

Λόγε Θεοῦ, τὴν τεθανατωμένην ταῖς ἁμαρτίαις ψυχήν μου, καὶ καθειργμένην τάφῳ τῆς παραβάσεως ζωοποιῷ χάριτι τοῦ σοῦ λόγου ἐξαναστήσας, προσφέρειν σοι Βαΐα τῶν ἀρετῶν τῷ νικητῇ τοῦ θανάτου, καταξίωσον.

Ὁ Οὐρανὸν ὡς θρόνον κεκτημένος, καὶ ὑποπόδιον τὴν γῆν ὁ τοῦ Θεοῦ Πατρὸς Λόγος, πώλῳ ὀχούμενος ἐπὶ τὴν Πόλιν εἰσέρχεται τὴν ἁγίαν, ἐκ στόματος νηπίων αἶνον τερπνὸν ὡς Βασιλεὺς τῶν ἁπάντων καταρτίσασθαι.

Θεοτοκίον.

Ἐν γυναιξὶ σὺ μόνη ὡραιώθης, ὦ ὑπερθαύμαστε ἁγνὴ, τὸν ὡραιότατον Λόγον ἀποκυήσασα, τὸν ὑπὲρ πάντας φανέντα βροτοὺς ὡραῖον, αὐτὸν οὖν ἐκδυσώπει, τὸ εἰδεχθὲς καθωραΐσαι, Παρθένε, τῆς καρδίας μου.

Ἄλλος. Ἐν Σιναίῳ τῷ ὄρει.

Ἐπιτάφια δάκρυα ῥαίνουσιν αἱ Λαζάρου ἀδελφαὶ καθορῶσαι τὸν σύγγονον σήμερον ὑπὸ λίθον τὸν πικρόν· ὁ Χριστὸς δέ μου πόῤῥω τοῦτο δηλῶν, ἔλεγες τοῖς Ἀποστόλοις σου· χαίρω δι' ὑμᾶς· οὐ παρῆς τῇ σαρκὶ γὰρ ἐκεῖ.

Πάλιν ἥκει πρὸς σὲ τὴν φονεύτριαν Ἰουδαίαν ὁ Χριστὸς, τὸ σωτήριον πάθος γλιχόμενος ἐκπληρῶσαι, ὡς Θεός· ὃν ἐζήτεις λιθάσαι, ἰδού σοι αὐτόκλητος, θέλων προσίεται τῆς μιαιφονίας σου, εἰς τὸ σῶσαι ἡμᾶς.

Δόξα.

Ἡ Θεότης μονὰς, καὶ Τριάς ἐστι, παραδόξου στροφῆς, ἑνουμένη τῇ φύσει μερίζεται τοῖς προσώποις ἰδικῶς, μὴ τεμνομένη γὰρ τέμνεται· ἓν οὖσα τριαδεύεται· αὕτη Πατήρ ἐστιν, Υἱός, καὶ Πνεῦμα τὸ ζῶν, ἡ φρουροῦσα τὸ πᾶν.

Θεοτοκίον.

Παιδοτόκον Παρθένον τίς ἤκουσε, καὶ Μητέρα πλὴν ἀνδρός; Μαριὰμ ἐκτελεῖς τὸ τεράστιον, ἀλλὰ φράζε μοι τὸ πῶς; μὴ ἐρεύνα τὰ βάθη τῆς Θεοτοκίας μου, τοῦτο παναληθὲς, ὑπὲρ δὲ ἀνθρώπινον νοῦν ἡ κατάληψις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τῶν φοινίκων Βαΐα συμπλέξαντες νοητῶς, καὶ αἰσθητῶς ὑπαντὴν τῷ Δεσπότῃ ποιήσωμεν ἐρχομένῳ πρὸς ἡμᾶς· καὶ γὰρ εὐλογημένος αὐτὸς ὁ ἐρχόμενος ἐν τῷ ὀνόματι τοῦ Κυρίου τε, καὶ Πατρὸς, ὡς Υἱὸς ἀληθής.

Ὁ Εἱρμός.

Ἐν Σιναίῳ τῷ ὄρει κατεῖδέ σε ἐν τῇ Βάτῳ Μωϋσῆς τὴν ἀφλέκτως τὸ πῦρ τῆς Θεότητος συλλαβοῦσαν ἐν γαστρί. Δανιὴλ δέ σε εἶδεν Ὄρος ἀλατόμητον. Ῥάβδον βλαστήσασαν Ἡσαΐας κέκραγε, τὴν ἐκ ῥίζης Δαβίδ.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας Δίς· ἦχος αʹ.

Ὁ Ἰσραὴλ πορφύραν, καὶ βύσσον ἐνεδέδυτο, στολαῖς ἱεραῖς, καὶ βασιλείοις λάμπων, Νόμον δὲ, καὶ Προφήτας πλουτῶν, νομίμοις λατρείαις ἐνευφραίνετο· ἀλλά σε πτωχεύσαντα, σταυρώσας ἔξω πυλῶν, εὐεργέτα, καὶ ζῶντα μετὰ Σταυρὸν ἀθετῶν, τὸν ἐν κόλποις Θεοῦ Πατρὸς ἀεὶ ὄντα, διψεῖ σταγόνα χάριτος, ὡς πλούσιος ἄσπλαγχνος Λαζάρῳ πένητι, ὁ πορφύρας, καὶ βύσσου ἄσβεστον πῦρ ἀνθυποδύς· καὶ βλέπων ὀδυνᾶται τὸν πρὶν ψυχίων ἀληθείας ἐνδεῆ λαὸν τῶν ἐθνῶν, νῦν ἐν κόλποις πίστεως Ἀβραὰμ θαλπόμενον, τὴν τοῦ Αἵματός σου πορφυρίδα σὺν τῇ βύσσῳ τοῦ Βαπτίσματος φοροῦντα, καὶ συνευθυμούμενον, καὶ ἐντρυφῶντα χαρίσμασι, καὶ λέγοντα. Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Μαρτ.

Ὑμᾶς, πανεύφημοι Μάρτυρες, οὐ θλίψις, οὐ στενοχωρία, οὐ λιμὸς, οὐ διωγμὸς, οὐδὲ μάστιγες, οὐ θυμὸς θηρῶν, οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν χωρίσαι Θεοῦ δεδύνηνται· πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτὸν, ὡς ἐν ἀλλοτρίοις ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες· ὅθεν καὶ ἐπαξίως τῶν πόνων ὑμῶν μισθὸν ἐκομίσασθε, Οὐρανῶν Βασιλείας κληρονόμοι γεγόνατε· πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Πανεύφημοι Μάρτυρες.

Ὁρῶσα κρεμάμενον, Χριστὲ, ἡ ἁγνὴ κυήσασά σε, τὸν κρεμάσαντα ὕδασι τὴν γῆν, φιλάνθρωπε, ἀνεβόα· οἴμοι, τί τὸ ξένον θέαμα, ποῦ ἔδυ σου τὸ κάλλος, γλυκύτατε Υἱὲ, τὸ

ἀπει-

ἄπειρον; μεγαλύνω σου τὸ ἔλεος, ὅτι πάσχεις ἑκὼν ὑπὲρ ἅπαντας.

Εἰς τὴν Τριτοέκτην τροπάριον τῆς Προφητείας, ἦχος πλ. α΄.

ΤΑ᾿ ἐλέη σου Κύριε ποίησον μεθ' ἡμῶν, καὶ μὴ παραδώσῃς ἡμᾶς ταῖς ἀνομίαις ἡμῶν, ἅγιε Δέσποτα Παντοκράτωρ, σοῦ δεόμεθα.

Προκείμ. Ψαλμ. ριβ΄. ἦχος δ΄.

Αἰνεῖτε παῖδες Κύριον, αἰνεῖτε τὸ ὄνομα Κυρίου.

Στίχ. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα.

ΟΥ῞τω λέγει Κύριος· ἀναβόησον ἐν ἰσχύϊ, καὶ μὴ φείσῃ, ὡς σάλπιγγι ὕψωσον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ μου τὰ ἁμαρτήματα αὐτῶν, καὶ τῷ οἴκῳ Ἰακὼβ τὰς ἀνομίας αὐτῶν· ἐμὲ ἡμέραν ἐξ ἡμέρας ζητοῦσιν, καὶ γνῶναί μου τὰς ὁδοὺς ἐπιθυμοῦσιν, ὡς λαὸς δικαιοσύνην πεποιηκώς, καὶ κρίσιν Θεοῦ αὐτοῦ μὴ ἐγκαταλελοιπώς· αἰτοῦσί με νῦν κρίσιν δικαίαν, καὶ ἐγγίζειν Θεῷ ἐπιθυμοῦσι, λέγοντες· τί ὅτι ἐνηστεύσαμεν, καὶ οὐκ εἶδες; ἐταπεινώσαμεν τὰς ψυχὰς ἡμῶν, καὶ οὐκ ἔγνως; ἐν γὰρ ταῖς ἡμέραις τῶν νηστειῶν ὑμῶν εὑρίσκετε τὰ θελήματα ὑμῶν, καὶ πάντας τοὺς ὑποχειρίους ὑμῶν ὑπονύσσετε· εἰ εἰς κρίσεις καὶ μάχας νηστεύετε, καὶ τύπτετε πυγμαῖς ταπεινόν, ἵνα τί μοι νηστεύετε ὡς σήμερον ἀκουσθῆναι ἐν κραυγῇ τὴν φωνὴν ὑμῶν; οὐ ταύτην τὴν νηστείαν ἐξελεξάμην, καὶ ἡμέραν ταπεινοῦν ἄνθρωπον τὴν ψυχὴν αὐτοῦ· οὐδ' ἂν κάμψῃς ὡς κρίκον τὸν τράχηλόν σου, καὶ σάκκον καὶ σποδὸν ὑποστρώσῃ, οὐδ' οὕτω καλέσετε νηστείαν δεκτήν· οὐχὶ τοιαύτην νηστείαν ἐξελεξάμην, λέγει Κύριος· ἀλλὰ λύε πάντα σύνδεσμον ἀδικίας, διάλυε στραγγαλιὰς βιαίων συναλλαγμάτων, ἀπόστελλε τεθραυσμένους ἐν ἀφέσει, καὶ πᾶσαν συγγραφὴν ἄδικον διάσπα· διάθρυπτε πεινῶντι τὸν ἄρτον σου, καὶ πτωχοὺς ἀστέγους εἴσαγε εἰς τὸν οἶκόν σου· ἐὰν ἴδῃς γυμνόν, περίβαλε, καὶ ἀπὸ τῶν οἰκείων τοῦ σπέρματός σου οὐχ ὑπερόψει· τότε ῥαγήσεται πρώϊμον τὸ φῶς σου, καὶ τὰ ἰάματά σου ταχὺ ἀνατελεῖ, καὶ προπορεύσεται ἔμπροσθέν σου ἡ δικαιοσύνη σου, καὶ ἡ δόξα τοῦ Θεοῦ περιστελεῖ σε· τότε βοήσῃ, καὶ ὁ Θεὸς εἰσακούσεταί σου, ἔτι λαλοῦντός σου ἐρεῖ, ἰδοὺ πάρειμι· ἐὰν ἀφέλῃς ἀπὸ σοῦ σύνδεσμον καὶ χειροτονίαν, καὶ ῥῆμα γογγυσμοῦ, καὶ δῷς πεινῶντι τὸν ἄρτον ἐκ ψυχῆς σου, καὶ ψυχὴν τεταπεινωμένην ἐμπλήσῃς, τότε ἀνατελεῖ ἐν τῷ σκότει τὸ Φῶς σου, καὶ τὸ σκότος σου ὡς μεσημβρία, καὶ ἔσται ὁ Θεός σου μετὰ σοῦ διαπαντός.

Προκείμενον Ψαλμὸς ριγ΄. ἦχ. πλ. β΄.

Εὐλογημένοι ἡμεῖς τῷ ποιήσαντι.

Στίχ. Οὐρανὸς τοῦ Οὐρανοῦ τῷ Κυρίῳ.

Τῇ δ΄. Ἑσπέρας ἡ συνήθως στιχολογ. εἰς τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμ. τῆς ἡμέρας Δίς· ἦχος πλ. α΄.

ΠΛοῦσιος ἐν πάθεσιν ὑπάρχων, τὴν ἀπατηλὴν τῆς ὑποκρίσεως περίκειμαι στολήν, εὐφραινόμενος ἐν τοῖς κακοῖς τῆς ἀκρασίας, καὶ τὴν ἄμετρον ἀσπλαγχνίαν ἐπιδείκνυμαι· παρορῶν μου τὸν νοῦν πρὸ τοῦ πυλῶνος βεβλημένον τῆς μετανοίας, λιμώττοντα παντὸς ἀγαθοῦ, καὶ νοσοῦντα τὴν ἀπροσεξίαν· ἀλλὰ σύ, Κύριε, Λάζαρόν με ποίησον πτωχὸν ἁμαρτημάτων, μή ποτε δεηθεὶς ἀποτύχω δακτύλου δροσίζοντος, ὀδυνωμένης μου τῆς γλώττης ἐν ἀσβέστῳ φλογί· ἐν δὲ τοῖς τοῦ Πατριάρχου με κόλποις Ἀβραὰμ κατασκήνωσον, ὡς φιλάνθρωπος.

Μαρτυρικόν.

ΑΚορέστῳ διαθέσει ψυχῆς Χριστὸν οὐκ ἀρνησάμενοι ἅγιοι Μάρτυρες, οἵτινες διαφόρους αἰκισμοὺς παθημάτων ὑπομείναντες, τῶν τυράννων τὰ θράση κατηδαφίσατε, ἀκλινῆ, καὶ ἄτρωτον τὴν πίστιν φυλάξαντες, εἰς Οὐρανοὺς μετέστητε· ὅθεν καὶ παῤῥησίας τυχόντες πρὸς αὐτόν, αἰτήσατε, δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερα στιχη. προσόμ. τοῦ Κυρίου Ἰωσήφ, ἦχ. πλ. α΄.

Χαίροις ἀσκητικῶν.

ΠΕ῎ραν τοῦ Ἰορδάνου σαρκὶ περιπολεύων, Ἰησοῦ, τοῖς συνοῦσί σοι ἐβόας, ὁ φίλος ἤδη Λάζαρος ἀποθανὼν τῇ ταφῇ ἀρτίως παραδίδοται· διὸ χαίρω, φίλοι μου, δι' ὑμᾶς, ἵνα μάθητε, ὡς πάντα οἶδα, Θεὸς ὢν ἀδιάστατος· εἰ καὶ φαίνομαι τὸ ὁρώμενον ἄνθρωπος· ἄγωμεν οὖν, ζωώσαντες αὐτόν, ὅπως θάνατος αἴσθηται τούτου τὸ νῖκος, καὶ τὴν τελείαν κατάλυσιν σαφῶς, ἣν ποιήσω, παρεχόμενος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Ὅμοιον.

ΜΑ῎ρθαν, καὶ τὴν Μαρίαν, πιστοί, ἐκμιμησάμενοι, πρὸς Κύριον πέμψωμεν ἐνθέους, ὡς πρέσβεις, πράξεις, ὅπως ἐλθών, τὸν ἡμῶν νοῦν ἐξαναστήσῃ νεκρὸν κείμενον, δεινῶς ἐν τῷ μνήματι ἀμελείας ἀναίσθητον, φόβου τοῦ θείου μηδαμῶς αἰσθανόμενον, καὶ ἐνέργειαν ζωτικὴν νῦν μὴ ἔχοντα, κράζοντες, ἰδὲ Κύριε, καὶ ὥσπερ τὸν φίλον σου Λάζαρον πάλαι οἰκτίρμων ἐπιστασίᾳ ἐξήγειρας φρικτῇ, οὕτω πάντας ζωοποίησον, παρέχων τὸ μέγα ἔλεος.

Ἕτερον στιχη. προσόμοιον, τοῦ Κυρίου Θεοδώρου, ἦχος πλ. β΄. Κύριε ἐπὶ τὸν τάφον.

ΔΙστημερεύει Λάζαρος ἐν τῷ τάφῳ, τοὺς ἀπ' αἰῶνος βλέπει θανέντας, ἐκεῖ τεθέαται δείματα ξένα, πληθὺν ἀναρίθμητον ᾅδου κρατουμένην τοῖς δεσμοῖς· διὸ αἱ σύγγονοι θρηνοῦσι πικρῶς,

πικρῶς, περιβλέπουσαι τὸν τάφον αὐτοῦ. Χριστὸς δὲ ἥκει ζωῶσαι τὸν φίλον τὸν ἑαυτοῦ, τοῦ μίαν παρὰ πάντων ἐπιτελεῖσθαι συμφωνίαν· εὐλογημένος εἶ Σωτὴρ, ἐλέησον ἡμᾶς.

Καὶ τοῦ Μωυσέως δʹ. Δόξα. Καὶ νῦν, Θεοτοκίον. Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον Ψαλμὸς ριδʹ. ἦχος δʹ.

Εὐαρεστήσω ἐνώπιον Κυρίου ἐν χώρᾳ ζώντων.

Στίχ. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος.

Γενέσεως τὸ Ἀνάγνωσμα.

ΠΡοσήνεγκαν τῷ Ἰωσὴφ οἱ ἀδελφοὶ αὐτοῦ τὰ δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν εἰς τὸν οἶκον, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν· ἠρώτησε δὲ αὐτοὺς, πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς· εἰ ὑγιαίνει ὁ Πατὴρ ὑμῶν ὁ πρεσβύτης, ὃν εἴπατε, ἔτι ζῇ; οἱ δὲ εἶπαν, ὑγιαίνει ὁ παῖς σου ὁ Πατὴρ ἡμῶν, ἔτι ζῇ· καὶ εἶπεν· εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ· καὶ κύψαντες προσεκύνησαν αὐτῷ· ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ Ἰωσὴφ, εἶδε Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον, καὶ εἶπεν· οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; καὶ εἶπεν, ὁ Θεὸς ἐλεήσαι σε τέκνον, ἐταράχθη δὲ Ἰωσὴφ, συνεστρέφετο γὰρ τὰ ἔγκατα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμεῖον, ἔκλαυσεν ἐκεῖ· καὶ νιψάμενος τὸ πρόσωπον, ἐξελθὼν ἐνεκρατεύσατο.

ΚΑὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων αὐτῷ, ἀλλ' εἶπεν· ἐξαποστείλατε πάντας ἀπ' ἐμοῦ· καὶ οὐ παρειστήκει οὐδεὶς τῷ Ἰωσὴφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ· καὶ ἀφῆκε φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραώ· εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἐγώ εἰμι Ἰωσήφ· ἔτι ὁ πατήρ μου ζῇ; καὶ οὐκ ἠδύναντο οἱ ἀδελφοὶ ἀποκριθῆναι αὐτῷ, ἐταράχθησαν γάρ· εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἐγγίσατε πρός με· καὶ ἤγγισαν· καὶ εἶπεν· ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον· νῦν οὖν μὴ λυπεῖσθε, μὴ δὲ σκληρὸν ὑμῖν φανείτω, ὅτι ἀπέδοσθέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν· τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ ἔστιν ἀροτρίασις, οὐδὲ ἀμητός· ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς· καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην· νῦν οὖν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ' ὁ Θεός· καὶ ἐποίησέ με, ὡς πατέρα Φαραὼ, καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ, καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου· σπεύσαντες οὖν, ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ· τάδε λέγει ὁ υἱός σου Ἰωσὴφ, ἐποίησέ με ὁ Θεὸς Κύριον πάσης γῆς Αἰγύπτου, κατάβηθι οὖν πρός με, καὶ μὴ μείνῃς· καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας· καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου, καὶ υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ οἱ βόες σου, καὶ ὅσα σοι ἐστί· καὶ ἐκθρέψω σε ἐκεῖ· ἔτι γὰρ πέντε ἔτη λιμός· ἵνα μὴ ἐκτριβῇς συ, καὶ οἱ υἱοί σου, καὶ πάντα τὰ ὑπάρχοντά σου ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι, καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς· ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ, καὶ ὅσα ἴδετε· καὶ ταχύναντες, καταγάγετε τὸν πατέρα μου ὧδε· καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Βενιαμὶν τοῦ ἀδελφοῦ αὐτοῦ, ἔκλαυσεν ἐπ' αὐτῷ, καὶ Βενιαμὶν ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ· καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, ἔκλαυσεν ἐπ' αὐτοῖς· καὶ μετὰ ταῦτα, ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν· καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ, λέγοντες· ἥκασιν οἱ ἀδελφοὶ Ἰωσήφ· ἐχάρη δὲ Φαραὼ. καὶ ἡ θεραπεία αὐτοῦ.

Προκείμενον Ψαλμὸς ριέ. ἦχος δʹ.

Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω ἐναντίον.

Στίχ. Ἐπίστευσα, διὸ ἐλάλησα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΟΣ φυλάσσει τὸ στόμα αὐτοῦ, καὶ τὴν γλῶσσαν, διατηρεῖ ἐκ θλίψεως τὴν ψυχὴν αὐτοῦ· θρασὺς καὶ αὐθάδης καὶ ἀλαζὼν λοιμὸς καλεῖται, ὃς δὲ μνησικακεῖ, παράνομος· ἐπιθυμίαι ὀκνηρὸν ἀποκτείνουσιν· οὐ γὰρ προαιροῦνται αἱ χεῖρες αὐτοῦ ποιεῖν τι· ἀσεβὴς ἐπιθυμεῖ ὅλην τὴν ἡμέραν ἐπιθυμίας κακάς· ὁ δὲ δίκαιος ἐλεεῖ καὶ οἰκτείρει ἀφειδῶς· θυσίαι ἀσεβῶν βδέλυγμα Κυρίῳ, καὶ γὰρ παρανόμως προσφέρουσιν αὐτάς· μάρτυς ψευδὴς ἀπολεῖται, ἀνὴρ δὲ ὑπήκοος φυλασσόμενος λαλήσει· ἀσεβὴς ἀνὴρ ἀναιδῶς ὑφίσταται προσώπῳ, ὁ δὲ εὐθὺς αὐτὸς συνιεῖ τὰς ὁδοὺς αὐτοῦ· οὐκ ἔστι σοφία, οὐκ ἔστιν ἀνδρεία, οὐκ ἔστι βουλὴ πρὸς τὸν ἀσεβῆ· ἵππος ἑτοιμάζεται εἰς ἡμέραν πολέμου, παρὰ δὲ Κυρίου ἡ βοήθεια· Αἱρετώτερον ὄνομα καλὸν ἢ πλοῦτος πολύς, ὑπὲρ δὲ ἀργύριον καὶ χρυσίον χάρις ἀγαθή· πλούσιος καὶ πτωχὸς συνήντησαν ἀλλήλοις, ἀμφοτέρους δὲ ὁ Κύριος ἐποίησεν· πανοῦργος ἰδὼν πονηρὸν τιμωρούμενον κραταιῶς, αὐτὸς παιδεύεται· οἱ δὲ ἄφρονες παρελθόντες ἐζημιώθησαν· γενεὰ σοφίας φόβος Κυρίου καὶ πλοῦτος καὶ δόξα καὶ ζωή.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Τῇ έ. τῶν Βαΐων ἐν τῷ Ὄρθρῳ τὰ Τριαδικά. Μετὰ τὴν ά. στιχολ. καθίσ. ἀποστολικὰ τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν βʹ. στιχολ. λεγόμενα τὸ παρὸν κάθ. τοῦ κυρίου Ἰωσήφ· ἦχος πλ. ά.

Τὸν συνάναρχον.

ΘΕωρίαν, καὶ πρᾶξιν ὥσπερ συζεύξαντες, πρὸς Χριστὸν ἱκεσίαν ἐκπέμψαι σπεύσωμεν, τὸν

τεθαμμένον ἡμῶν νῦν, ὡς ἄλλον Λάζαρον, ὅπως ζωώσῃ τῇ αὐτοῦ ἐπιστασίᾳ τῇ φρικτῇ, Βαΐα δικαιοσύνης αὐτῷ προσφέρειν, καὶ κράζειν· εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Θεοτοκίον Ὅμοιον.

Τῆς ψυχῆς μου τὰ πάθη τὰ πολυώδυνα, καὶ σαρκός μου τὰς νόσους ἐν τάχει ἴασαι, τὰς τοῦ νοός μου ἐκτροπὰς στῆσον, πανάμωμε, καὶ ἐν γαλήνῃ λογισμοῦ εὐχὰς προσφέρειν καθαρὰς τῷ Βασιλεῖ τῶν ἁπάντων ἀξίωσον, Θεοτόκε, καὶ ἐξαιτεῖσθαι πταισμάτων ἄφεσιν.

Εἰς τὴν τρίτην στιχολ. λεγόμενον τὸ παρὸν κάθ. τοῦ Κυρίου Θεοδώρου, ἦχος πλ. β΄.

Ἀγγελικαὶ δυνάμεις.

Διημερεύει σήμερον θανὼν ὁ Λάζαρος, καὶ ἐπὶ τούτῳ χέουσι λύπης τὰ δάκρυα αἱ σύγγονοι, Μαρία σὺν τῇ Μάρθᾳ τὸν λίθον τοῦ μνήματος προβλέπουσαι· ἐφίσταται ὁ κτίστης σὺν τοῖς αὐτοῦ μαθηταῖς τὸν θάνατον σκυλεῦσαι, δωρούμενος τὴν ζωήν· διὸ βοήσωμεν αὐτῷ, Κύριε δόξα σοι.

Θεοτοκίον. Ὁ αὐτὸς ἦχος.

Ἁγία Δέσποινα τοῦ Θεοῦ ἡμῶν Μήτηρ, ὡς τὸν ἁπάντων Ποιητὴν ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν Ἀποστόλοις ἱεροῖς ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ ἄφεσιν ἡμῖν δοῦναι ἀνομημάτων.

Ψάλλομεν τὸν Κανόνα τοῦ Μηναίου, καὶ τὰ Τριῴδια τοῦ Κυρίου Ἰωσήφ, καὶ στιχολογεῖται ἡ ᾠδή, ᾠδὴ δ΄. ἦχος πλ. δ.

Τὴν θείαν ἐννοήσας σου κένωσιν.

Ἀκτῖσι τῆς ἡμῶν παρακλήσεως κατῳκισμένους ἐν φρουρᾷ ἁμαρτημάτων φωτίσατε, τοὺς εὐσεβῶς, φωτοφόροι, ὑμᾶς ἀνευφημοῦντας, Ἀπόστολοι.

Ἀγάπην συμπαθείᾳ συζεύξαντες πρὸς ἱκεσίαν τῷ Χριστῷ, πιστοί, ἐκπέμψαι σπουδάσωμεν, ὅπως ἡμᾶς ἀναστήσῃ ἐκ τάφου τῶν κρυφίων παθῶν ἡμῶν.

Φιλίαν σαρκικὴν ἀφειδήσωμεν οἱ νεκρωθέντες τῇ ψυχῇ, καὶ προσφιλεῖς χρηματίσωμεν τῷ λυτρωτῇ, ὅπως ᾅδου φρικτῆς ἡμᾶς λυτρώσηται κρίσεως.

Προέφης τοῦ Λαζάρου τὴν κοίμησιν, ὃν μετ' ὀλίγον ἀνιστῶν, ἐκ θηλαζόντων τὴν αἴνεσιν κλαδηφορούντων προσδέξῃ, τοῦ Πάθους σου, Σωτήρ μου, τὰ σύμβολα.

Θεοτοκίον.

Ἐκ σοῦ τὸ θεῖον ὕδωρ ἀνέβλυσεν ἀθανασίας, καὶ ζωῆς, Θεοκυῆτορ πανάμωμε, οὗ οἱ γευόμενοι δίψης, ἁγνή, θανατηφόρου ῥυσθήσονται.

Εἱρμὸς Ἄλλος τοῦ Κυρίου Θεοδώρου, ἦχος πλ. β΄.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου.

Ἐνθάπτεται Λάζαρος, καὶ ἐν τῷ τάφῳ αἱ περὶ Μάρθαν νῦν πενθοῦσί τε, καὶ κλαίουσιν, ἐπιστῆναί σε τὸν ζωοδότην γλιχόμεναι.

Ὁ θάνατος ἄρχεται ἐκδειματοῦσθαι, τὴν πρὸς αὐτόν σου ἄφιξιν, Χριστέ, αἰσθόμενος· ὡς ζωὴ γὰρ φροῦδον αὐτὸν δείξεις τοῖς πέρασιν.

Δόξα.

Μονὰς ἁπλῆ, ἄκτιστε, ἄναρχε φύσις, ἡ ἐν Τριάδι ὑμνουμένη ὑποστάσεων, ἡμᾶς σῶσον πίστει προσκυνοῦντας τὸ κράτος σου.

Καὶ νῦν.

Τὸν ἐκ Πατρὸς ἄχρονον Υἱὸν ἐν χρόνῳ, Θεογεννῆτορ, ἀπειράνδρως ἀπεκύησας, ξένον θαῦμα, μείνασα Παρθένος θηλάζουσα.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Συνέλθετε, ἥκετε οἱ ἐν ἐρήμοις, καὶ ἐν σπηλαίοις ὑπαντῆσαι τὸν ἐρχόμενον ἐπὶ πώλου Κύριον τῆς δόξης ἐν ᾄσμασιν.

Ὁ Εἱρμός.

Ἀκήκοα Κύριε τὴν ἀκοήν σου, καὶ ἐφοβήθην, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην, δόξα τῇ δυνάμει σου Κύριε.

ᾨδὴ η΄. Σοὶ τῷ παντουργῷ.

Λίθον τὸν βαρὺν ἐκ τῆς ἐμῆς καρδίας ἆραι, πρεσβεύσατε τὸν πανοικτίρμονα, λίθοι φανέντες τοῦ ἀκρογωνιαίου λίθου, θεηγόροι Ἀπόστολοι Κυρίου.

Ἄγωμεν, τοῖς σοῖς προσεφώνεις φίλοις, ὁ φίλος μου Λάζαρος ἤδη κεκοίμηται· τοῦτον ἐγείρων, κοιμήσω τοῦ θανάτου τὴν ὀλεθροτόκον κακίαν εἰς αἰῶνας.

Πρᾶοι τῇ ψυχῇ, καὶ ταπεινοὶ τῇ γνώμῃ γενόμενοι χαίρετε, ὑποδεξώμεθα πρᾶον τὸν πάντων ἐρχόμενον Δεσπότην, τὴν ἀλαζονείαν τοῦ πονηροῦ συντρίψαι.

Θεοτοκίον.

Πύλην σε φωτὸς πεφωτισμένην βλέπει Προφήτης, πανάμωμε, τὸν φωτοδότην γὰρ τίκτεις ἀφράστως ἡμῖν ὁμοιωθέντα, ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Οἱ ὅσιοί σου Παῖδες.

Μαρία τε, καὶ Μάρθα νῦν θρηνῳδοῦσιν ἐν τάφῳ, κατακείμενον βλέπουσαι τὸν Λάζαρον, καὶ πόνῳ ἀναβοῶσιν· εἰ ἦν Χριστὸς ἐνταῦθα, ὁ σύγγονος ἡμῶν οὐκ ἂν τέθνηκεν.

Ὁ ᾅδης προσδοκάσθω ὀλοθρευθῆναι· ἡ γὰρ ζωὴ ἐπελεύσεται τὸν Λάζαρον ἐγεῖραι ἀναβοῶντα, εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Εὐλογοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα.

Ἀνάρχῳ καὶ γεννήσει τε, καὶ προόδῳ Πατέρα προσκυνῶ τὸν γεννήσαντα, Υἱὸν δοξάζω τὸν γεννηθέντα, ὑμνῶ τὸ συνεκλάμπον Πατρί τε, καὶ Υἱῷ Πνεῦμα ἅγιον.



Digitized by Google

Θεοτοκίον.

ΟΝ ἔτεκες, Παρθένε, ἀνερμηνεύτως, διαπαντὸς ὡς φιλάνθρωπον μὴ διαλίπῃς δυσωποῦσα, ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΤΑς ἀρετὰς ὡς κλάδους, καὶ ὡς Βαΐα πρὸς ὑπάντησιν ἑτοιμάσωμεν Βασιλέως, πιστοί, βοῶντες, εὐλογεῖτε ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. ὁ Εἱρμός.

ΟΙ ὅσιοί σου Παῖδες ἐν τῇ καμίνῳ τὰ Χερουβὶμ ἐμιμήσαντο, τὸν τρισάγιον ὕμνον ἀνα- ,, βοῶντες, εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς ,, πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Ἡσαΐα χόρευε.

ΤΗς φιλίας ῥῦσαί με τοῦ δόλου, Δέσποτα Χριστέ, ὁ φίλους σου τοὺς σοφοὺς δείξας Μαθητάς, μεθ' ὧν ἀφικόμενος, ἐξήγειρας φίλον σου πιστόν, Σῶτερ, τὸν Λάζαρον, εὐχαρίστως ἀνυμνοῦντά σε.

ΣΥμπληρώσει, Κύριε, τῆς νηστείας πλήρωσον ἡμῶν καρδίας τε, καὶ τὸν νοῦν, εὔσπλαγχνε, χαρᾶς ταῖς τῶν Ἀποστόλων σου ἱκεσίαις, τῶν εἰλικρινῶς ἀγαπησάντων σε, τὸν Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

ΟΔωδὼς τοῖς ἕλκεσι τῆς κακίας, τάφον κατοικῶ τῆς ῥαθυμίας, Χριστέ, ὅθεν σοι βοῶ, ἀνάστησον, σῶσόν με, ὅπως κἀγὼ κλάδοις ἀρετῶν καθυπαντήσω σοι, ἀνακράζων Ὡσαννὰ τοῦ Θεοῦ.

Θεοτοκίον.

ΕΝ δυσὶ θελήσεσι, καὶ οὐσίαις τέτοκας ὑμῖν Υἱὸν τὸν μονογενῆ, Κόρη, τοῦ Πατρός, γενόμενον ἄνθρωπον, ἵνα ἡμᾶς δείξῃ κοινωνοὺς φύσεως, ἄχραντε, θειοτέρας ὁ ὑπέρθεος.

Ἄλλος. Ἀσπόρου συλλήψεως.

ΕΝ τάφῳ ὁ Λάζαρος διασπείρεται σήμερον, καὶ ἐπὶ τούτῳ χέουσι τὰ δάκρυα Μαρία τε, καὶ Μάρθα, ὡς ἀδελφαὶ γνήσιαι. Χριστὸς δὲ ἔρχεται πρὸς αὐτὸν σὺν τοῖς θείοις Ἀποστόλοις, δεῖξαι μέγιστον τεράστιον.

ΘΑνατε πανώλεθρε, ἐνδέχου τὴν κατάλυσιν, οἱ πυλωροί σου τὰ κλεῖθρα βλεπέτωσαν, καὶ γὰρ διὰ ῥήματος συνθλάσει σου τὰς πύλας, Χριστὸς τὸν Λάζαρον ἀνιστῶν, τί πρότερον τοῦτο ᾄδη, ὁ Προφήτης σοι βοᾷ σὺν ἡμῖν.

Δόξα.

ΜΟνε μονογεννῆτορ μονογενοῦς Υἱοῦ Πατήρ, καὶ μόνε μόνου, φῶς φωτὸς ἀπαύγασμα· καὶ μόνον μόνου Θεοῦ ἅγιον Πνεῦμα, Κυρίου κύριον ὄντος ὄν· ὦ Τριὰς μονὰς ἁγία, σῶσόν με θεολογοῦντά σε.

Καὶ νῦν.

ΤΟ θαῦμα τοῦ τόκου σου ἐκπλήττει με, πανάμωμε, πῶς συλλαμβάνεις ἀσπόρως τὸν ἄληπτον, εἰπὲ πῶς παρθενεύεις, γεννήσασα ὡς Μήτηρ; τὸ ὑπὲρ φύσιν τόκου λαβὼν, τὸ τικτόμενον προσκύνει, ὅσα θέλει γὰρ, καὶ δύναται.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

ΟΚύριος ἔρχεται καθίσαι, ὥσπερ γέγραπται, ἐπὶ τοῦ πώλου· λαοὶ ἑτοιμάσθητε, προσδέξασθαι ἐν φόβῳ τὸν πάντων Βασιλέα μετὰ Βαΐων ὡς νικητὴν, τοῦ θανάτου, καὶ τοῦ ᾅδου ἐξεγείραντα τὸν Λάζαρον.

Ὁ Εἱρμός.

ΑΣπόρου συλλήψεως ὁ τόκος ἀνερμήνευτος, Μητρὸς ἀνάνδρου ἄφθορος ἡ κύησις, Θεοῦ γὰρ ἡ γέννησις καινοποιεῖ τὰς φύσεις· διό σε πᾶσαι αἱ γενεαὶ, ὡς θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου· εἰς τὸν στίχ. τὸ ἰδιόμ. τῆς ἡμέρας δίς, ἦχος πλ. α΄.

ΔΕῦτε πρὸ τέλους, πάντες ἀδελφοί, ἐν καθαρᾷ καρδίᾳ προσέλθωμεν τῷ εὐσπλάγχνῳ Θεῷ· τὰς βιωτικὰς μερίμνας ἀπορρίψαντες, τῶν ψυχῶν τὴν φροντίδα ποιησώμεθα· τῶν βρωμάτων τὰς ἡδονὰς δι' ἐγκρατείας βδελυξάμενοι, τῆς ἐλεημοσύνης ἐπιμελησώμεθα· δι' αὐτῆς γὰρ, ὡς γέγραπται, ἔλαθόν τινες ξενίσαντες Ἀγγέλους· θρέψωμεν διὰ τῶν πενήτων τὸν θρέψαντα ἡμᾶς οἰκείᾳ σαρκί· ἐνδύσωμεν ἑαυτοὺς τὸν ἀναβαλλόμενον τὸ φῶς ὥσπερ ἱμάτιον, ἵνα ταῖς πρεσβείαις τῆς ἀχράντου Θεοτόκου, καὶ Παρθένου Μητρὸς τῆς ἀφέσεως τυχόντες τῶν ἁμαρτιῶν, ἐν κατανύξει πρὸς αὐτὸν ἐκβοήσωμεν. Κύριε ῥῦσαι ἡμᾶς τῆς ἐξ εὐωνύμων ἀποφάσεως, καὶ ἀξίωσον ἡμᾶς τῆς ἐκ δεξιῶν σου παραστάσεως, ὡς ἐλεήμων, καὶ φιλάνθρωπος.

Μαρτ.

ΕΝ ταῖς βασάνοις ὄντες οἱ Ἅγιοι, ἀγαλλόμενοι ἀνεβόων, συναλλάγματα ἡμῖν ἐστι ταῦτα πρὸς τὸν Δεσπότην, ἀντὶ τῶν ἐπανισταμένων μωλώπων τοῦ σώματος φωτεινὸν ἔνδυμα ἐν τῇ ἀναστάσει ἐπανθήσει ἡμῖν, ἀντὶ τῆς ἀτιμίας οἱ στέφανοι, ἀντὶ δεσμωτηρίων ὁ Παράδεισος, καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης ἡ μετὰ Ἀγγέλων διαγωγή· διὸ εὐχαῖς αὐτῶν, Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Ἡ κεχαριτωμένη.

ΗΠροσκλελεγμένη ἐκ πασῶν τῶν γενεῶν εἰσάκουσον τῆς φωνῆς ἡμῶν, καὶ δώρησαι τὰ αἰτήματα τῶν ψυχῶν ἡμῶν, λύτρωσιν παθῶν, καὶ τῶν ὀδυνῶν διὰ τῶν Ἀποστόλων, πάντα δυναμένη, ὡς Μήτηρ Θεοῦ.

Εἰς τὴν Τετάρτην τροπάριον τῆς Προφητείας, ἦχος α΄.



Digitized by Google

Τῆς φωνῆς τῶν οἰκετῶν σου, Κύριε, μὴ ἐπιλάθῃ· μνήσθητι, ὅτι πάντοτε εἰς σὲ τὴν ἐλπίδα ἐθέμεθα τὸν πάντα δυνάμενον, καὶ βοήθησον ἡμῖν δεόμεθα.

Προκείμ. Ψάλμ. ριζ΄. ἦχος δ΄.

Αὕτη ἡ πύλη τοῦ Κυρίου, δίκαιοι εἰσελεύσονται.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Οὕτω λέγει Κύριος· ὃν τρόπον εὑρεθήσεται ὁ ῥὼξ ἐν τῷ βότρυϊ, καὶ ἐροῦσι, μὴ λυμήνῃ αὐτόν, ὅτι εὐλογία ἐστὶν ἐν αὐτῷ· οὕτω ποιήσω ἕνεκεν τοῦ δουλεύοντός μοι, τούτου ἕνεκεν οὐ μὴ ἀπολέσω πάντας· καὶ ἐξάξω τὸ ἐξ Ἰακὼβ σπέρμα, καὶ ἐξ Ἰούδα, καὶ κληρονομήσει τὸ ὄρος τὸ ἅγιόν μου· καὶ κληρονομήσουσιν οἱ ἐκλεκτοί μου, καὶ οἱ δοῦλοί μου, καὶ κατοικήσουσιν ἐκεῖ· καὶ ἔσονται ἐν τῷ δρυμῷ ἐπαύλεις ποιμνίων· καὶ φάραγξ Ἀχὼρ εἰς ἀνάπαυσιν βουκολίων τῷ λαῷ μου, οἱ ἐζήτησάν με· ὑμεῖς δὲ οἱ ἐγκαταλιπόντες με, καὶ ἐπιλανθανόμενοι τὸ ὄρος τὸ ἅγιόν μου· καὶ ἑτοιμάζοντες τῷ δαιμονίῳ τράπεζαν καὶ πληροῦντες τῇ Τύχῃ κέρασμα, ἐγὼ παραδώσω ὑμᾶς εἰς μάχαιραν, πάντες ἐν σφαγῇ πεσεῖσθε· ὅτι ἐκάλεσα ὑμᾶς, καὶ οὐχ ὑπηκούσατε, ἐλάλησα, καὶ παρηκούσατε, καὶ ἐποιήσατε τὸ πονηρὸν ἐναντίον ἐμοῦ· καὶ ἃ οὐκ ἐβουλόμην, ἐξελέξασθε· διὰ τοῦτο τάδε λέγει Κύριος· ἰδοὺ οἱ δουλεύοντές μοι φάγονται, ὑμεῖς δὲ πεινάσετε· ἰδοὺ οἱ δουλεύοντές μοι πίονται, ὑμεῖς δὲ διψήσετε· ἰδοὺ οἱ δουλεύοντές μοι εὐφρανθήσονται, ὑμεῖς δὲ αἰσχυνθήσεσθε· ἰδοὺ οἱ δουλεύοντές μοι ἀγαλλιάσονται ἐν εὐφροσύνῃ, ὑμεῖς δὲ κεκράξεσθε διὰ τὸν πόνον τῆς καρδίας ὑμῶν, καὶ ἀπὸ συντριβῆς πνεύματος ὀλολύξετε· καταλείψετε γὰρ τὸ ὄνομα ὑμῶν εἰς πλησμονὴν τοῖς ἐκλεκτοῖς μου, ὑμᾶς δὲ ἀνελεῖ Κύριος· τοῖς δὲ δουλεύουσί μοι κληθήσεται ὄνομα καινόν, ὃ εὐλογηθήσεται ἐπὶ τῆς γῆς· εὐλογήσουσι γὰρ τὸν Θεὸν τὸν ἀληθινόν.

Προκείμενον Ψαλμὸς ριη΄. ἦχος δ΄.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν ἐ.

Στίχ. Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν.

Τῇ ε΄. Ἑσπέρας ἡ συνήθως στιχολ. εἰς τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ϛ΄. καὶ ψάλλομεν στιχη. προσόμοια τοῦ Κυρίου Ἰωσήφ· ἦχος δ΄.

Ὁ ἐξ ὑψίστου κληθείς.

Τῶν Ἀποστόλων δυὰς ἱεροτάτη ἕνα τῆς Τριάδος σε ἐπισταμένη, Χριστέ, νῦν παρὰ σοῦ ἀποστέλλεται ἀγάγαι πῶλον ὑποζυγίου υἱόν, ὡς γέγραπται· ἐφ᾽ ᾧ ταπεινούμενος καθίσεις, εὔσπλαγχνε, τὴν ἐν ὑψίστοις θελήματι καθέδραν πᾶσι τοῖς σὲ ποθοῦσιν, ἑτοιμαζόμενος, καὶ τοὺς ἀλόγοις ὑποκύψαντας φρενοβλαβῶς, Λόγε, πάθεσι, λογικοὺς ἀπεργάσῃ ὡσαννά σοι ἀνακράζοντας.

Ὅμοιον.

Καθυποδέχου Σιὼν τὸν Βασιλέα, ἰδού σοι πρᾳότατος ἤδη ἐφίσταται, ἐξαναστήσας τὸν Λάζαρον, καὶ καταλύσας τὸ τοῦ θανάτου πικρὸν βασίλειον· πληθὺς θεοσύλλεκτε τῶν ἱερῶν Μοναστῶν μετὰ μιγάδων ἀθροισθεῖσα, καθυπαντῆσαι μετὰ Βαΐων Χριστῷ, κραυγάζοντες, εὐλογημένος ὁ ἐρχόμενος σῶσαι γένος βροτῶν διὰ πάθους Σταυροῦ, καὶ ἀπάθειαν πᾶσι παρασχεῖν δι᾽ ἀγαθότητα.

Ἕτερον στιχη. προσόμοιον τοῦ Κυρίου Θεοδώρου.

ἦχος πλ. δ΄. Ὁ ἐν Ἐδέμ.

Ὁ Σεραφὶμ τοῖς ἄνω φοβερός, Χριστέ, ἐποχούμενος, ὡς Θεός τε καὶ τῶν ὅλων ποιητής, αὐτὸς ἐν πώλῳ ἐπὶ γῆς καθεσθῆναι ἐπέγνωσαι, ὡς ὑπάρχων καθ᾽ ἡμᾶς ἀνθρωπικῶς· ἡ Βηθανία ἀγάλλεται, ὡς δεχομένη σε, Σωτήρ. Ἱεροσόλυμα χαίρει δέ, ὡς προσδοκῶντα σε λαβεῖν· θάνατος τέθνηκε, προαισθόμενος τὸν Λάζαρον φοιτᾶν ἐκ τῶν νεκρῶν· καὶ ἡμεῖς τοῖς Βαΐοις προϋπαντῶν τελοῦντες ἐν χαρᾷ, ἀνυμνοῦμεν τὸ κράτος τῆς ἀγαθότητός σου Κύριε.

Καὶ τοῦ Μηναίου γ΄. Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Ἑσπέρας Προκείμ. Ψαλμ. ριθ΄. ἦχος πλ. β΄.

Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με.

Στιχ. Κύριε ῥῦσαι τὴν ψυχήν μου ἀπὸ χειλέων ἀδί.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἀπάρας Ἰσραήλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου· καὶ ἔθυσε θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ· εἶπε δὲ ὁ Θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτός, εἰπών. Ἰακώβ, Ἰακώβ· ὁ δὲ εἶπε· τί ἐστιν; ὁ δὲ λέγει αὐτῷ· ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ· καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος· καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου. Ἀνέστη δὲ Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου· καὶ ἀνέλαβον οἱ υἱοὶ Ἰσραὴλ τὸν πατέρα αὐτῶν, καὶ τὴν ἀποσκευήν, καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ἆραι αὐτόν· καὶ ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν, καὶ πᾶσαν τὴν κτῆσιν, ἣν ἐκτήσαντο ἐν γῇ Χαναάν, εἰσῆλθον εἰς Αἴγυπτον, Ἰακώβ, καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ᾽ αὐτοῦ, υἱοί, καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ, θυγατέρες, καὶ θυγατέρες τῶν θυγατέρων αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.

Προκείμ. Ψαλμ. ρκ΄. ἦχος πλ. β΄.

Κύριος φυλάξαι σε ἀπὸ παντὸς κακοῦ.

Στίχ.

Στίχ. Ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

ΥἹὲ ἐὰν σοφὴ γένηταί σοι ἡ καρδία, εὐφρανεῖς καὶ τὴν ἐμὴν καρδίαν· καὶ ἐνδιατρίψει λόγοις τὰ σὰ χείλη πρὸς τὰ ἐμὰ χείλη, ἐὰν ὀρθὰ ὦσι· μὴ ζηλούτω ἡ καρδία σου ἁμαρτωλούς, ἀλλὰ ἐν φόβῳ Κυρίου ἴσθι ὅλην τὴν ἡμέραν· ἐὰν γὰρ τηρήσῃς αὐτά, ἔσται σοι ἔκγονα, ἡ δὲ ἐλπίς σου οὐκ ἀποστήσεται· ἄκουε υἱέ, καὶ σοφὸς γίνου, καὶ κατεύθυνε ἐννοίας σῆς καρδίας· μὴ ἴσθι οἰνοπότης, μὴ δὲ ἐκτείνου συμβολαῖς, κρεῶν τε ἀγορασμοῖς· πᾶς γὰρ μέθυσος καὶ πορνοκόπος πτωχεύσει, καὶ ἐνδύσεται διεῤῥηγμένα καὶ ῥακώδη πᾶς ὑπνώδης. Ἄκουε υἱὲ πατρὸς τοῦ γεννήσαντός σε, καὶ μὴ καταφρόνει ὅτι γεγήρακέ σου ἡ μήτηρ· καλῶς ἐκτρέφει πατὴρ δίκαιος, ἐπὶ δὲ υἱῷ σοφῷ εὐφραίνεται ἡ ψυχὴ αὐτοῦ· εὐφραινέσθω ὁ πατήρ σου ἐπὶ σοί, καὶ χαιρέτω ἡ τεκοῦσά σε· δός μοι υἱὲ σὴν καρδίαν, οἱ δὲ σοὶ ὀφθαλμοὶ ἐμὰς ὁδοὺς τηρείτωσαν· πίθος γὰρ τετρημένος ἐστὶν ἀλλότριος οἶκος, καὶ φρέαρ στενὸν ἀλλότριον· οὗτος γὰρ συντόμως ἀπολεῖται, καὶ πᾶς παράνομος ἀναλωθήσεται· τίνι οὐαί; τίνι θόρυβος; τίνι κρίσεις; τίνι δὲ ἀηδίαι καὶ λέσχαι; τίνι συντρίμματα διακενῆς; τίνος πελιδνοὶ οἱ ὀφθαλμοί; οὐ τῶν ἐγχρονιζόντων ἐν οἴνοις; οὐ τῶν ἰχνευόντων ποῦ πότοι γίνονται; μὴ μεθύσκεσθε ἐν οἴνοις, ἀλλὰ ὁμιλεῖτε ἀνθρώποις δικαίοις, καὶ ὁμιλεῖτε ἐν περιπάτοις· ἐὰν γὰρ εἰς τὰς φιάλας καὶ τὰ ποτήρια δῷς τοὺς ὀφθαλμούς σου, ὕστερον περιπατήσεις γυμνότερος ὑπέρου· τὸ δὲ ἔσχατον ὥσπερ ὑπὸ ὄφεως πεπληγὼς ἐκτείνεται, καὶ ὥσπερ ὑπὸ κεράστου διαχεῖται αὐτῷ ὁ ἰός. Οἱ ὀφθαλμοί σου ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σου τότε λαλήσει σκολιά, καὶ κατακείσῃ ὥσπερ ἐν καρδίᾳ θαλάσσης, καὶ ὥσπερ κυβερνήτης ἐν πολλῷ κλύδωνι· ἐρεῖς δέ, τύπτουσίν με, καὶ οὐκ ἐπόνεσα, καὶ ἐνέπαιξάν μοι, ἐγὼ δὲ οὐκ ᾔδειν. πότε ὄρθρος ἔσται, ἵνα ἐλθὼν ζητήσω μεθ' ὧν συνελεύσομαι· υἱέ, μὴ ζηλώσῃς κακοὺς ἄνδρας, μὴ δὲ ἐπιθυμήσῃς εἶναι μετ' αὐτῶν· ψευδῆ γὰρ μελετᾷ ἡ καρδία αὐτῶν, καὶ πόνους τὰ χείλη αὐτῶν λαλεῖ· μετὰ σοφίας οἰκοδομεῖται οἶκος, καὶ μετὰ συνέσεως ἀνορθοῦται· μετὰ αἰσθήσεως ἐμπίπλανται τὰ ταμιεῖα, ἐκ παντὸς πλούτου τιμίου καὶ καλοῦ· κρείσσων σοφὸς ἰσχυροῦ, καὶ ἀνὴρ φρόνησιν ἔχων γεωργίου μεγάλου.

Εἰς τὸν στίχ. τὸ Ἰδιόμ. τῆς ἡμέρας Δίς, ἦχος πλ. δ'.

ΤΟῦ πλουσίου τῆς ἀσυμπαθοῦς ὁμοιώσεως, καὶ ἀμεταδότου γνώμης ῥῦσαί με, Χριστὲ ὁ Θεός· ὁ διὰ Σταυροῦ σου καθαρισμὸν τῶν ἁμαρτιῶν ἡμῶν ποιησάμενος. Λαζάρου δὲ τοῦ πτωχοῦ τῆς εὐχαρίστου ὑπομονῆς ζηλωτὴν ἀνάδειξον, καὶ τῶν κόλπων τοῦ Πατριάρχου Ἀβραὰμ μὴ ἀποξενώσῃς με διὰ τὸ μέγα σου ἔλεος.

Μαρτ.

ΜἈρτυρες Κυρίου πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε· καὶ νῦν πρεσβεύσατε, ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

Δόξα. Καὶ νῦν, σταυροθεοτ. ἦχος ὁ αὐτός.

Ὢ τοῦ παραδόξου.

ὪΤοῦ παραδόξου θαύματος, ὢ μυστηρίου φρικτοῦ, ὢ φρικτῆς ἐγχειρίσεως, ἡ Παρθένος ἔλεγεν, ἐν Σταυρῷ σε ὡς ἔβλεψεν ἐν μέσῳ δύο λῃστῶν κρεμάμενον, τὸν ἀνωδύνως φρικτῶς κυήσασα, ἔκλαιε λέγουσα, οἴμοι τέκνον φίλτατον, πῶς ὁ δεινὸς δῆμος, καὶ ἀχάριστος Σταυρῷ προσήλωσε.

Τῇ Παρασκευῇ τῶν Βαΐων, ἐν τῷ Ὄρθρῳ τὰ Τριαδικά. Μετὰ τὴν α'. στιχολογ. καθίσ. σταυρώσιμα τῆς Ὀκτωήχου. Μετὰ δὲ τὴν β'. στιχολογ. λέγομεν τὸ παρὸν κάθισμα τοῦ κυρίου Ἰωσήφ· ἦχος δ'.

Ταχὺ προκατάλαβε.

ΔΥὰς ἀποστέλλεται τῶν Μαθητῶν ἀγαγεῖν τὸν πῶλον, ὡς γέγραπται, ἐν ᾧ Χριστὸς ἐπιβάς, ὡραῖος ἐλεύσεται, αἴνεσιν ἐκ νηπίων καταρτίσασθαι θείαν· τοῦτον οὖν ὑπαντῆσαι ἐπειχθῶμεν σπουδαίως, Βαΐα ἀρετῶν αὐτῷ φέροντες πράξεων.

Σταυροθεοτ. Ὅμοιον.

ΠΑρθένε πανάμωμε, Μῆτερ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθέ σου τὴν παναγίαν ψυχήν, ἡνίκα σταυρούμενον ἔβλεψας ἑκουσίως τὸν Υἱόν, καὶ Θεόν σου· ὅνπερ εὐλογημένη δυσωποῦσα μὴ παύσῃ, συγχώρησιν πταισμάτων καιρῷ νηστείας δωρήσασθαι.

Εἰς τὴν γ'. στιχολ. καθίσ. τοῦ κυρίου Θεοδώρου· ἦχ. πλ. δ'. Ἀνέστης ἐκ νεκρῶν.

ΔΥὰς τῶν Μαθητῶν ἀποστέλλεται σήμερον τὸν πῶλον ἀγαγεῖν τῷ Δεσπότῃ τῶν ἁπάντων, ἔρχεται ἐπιβῆναι ὁ ὀχούμενος Σεραφὶμ πλήθεσιν· ἄρχεται δειματοῦσθαι ὁ κοσμοκράτωρ παμφάγος θάνατος, διὰ Λαζάρου πρῶτον σκυλευθεὶς τὸ γένος τῶν ἀνθρώπων.

Σταυροθεοτ. Ὅμοιον.

ΤῼΩ͂ πάθει Υἱοῦ ἡ ἁγνὴ ἐφεστῶσα, θρηνοῦσα γοερῶς, κατηλάλαζε μέλος· πῶς σε τὸν ἀσιγήτοις Ἀγγέλων ὕμνοις δοξολογούμενον παῖδες Ἑβραίων, φεῦ μοι, Πιλάτου κρίσει Υἱὲ παρέστησαν· ὑμνολογῶ σου, Λόγε, τὴν πολλήν, καὶ ἄρρητον εὐσπλαγχνίαν.

Ψαλλομένου τὸν Κανόνα τοῦ Μηναίου· καὶ τὰ Τριῴδια τοῦ κυρίου Ἰωσήφ· καὶ στιχολογεῖται ἡ ᾠδή, ᾠδὴ ε'. ἦχος δ'.



Digitized by Google

Ἀνάτειλόν μοι Κύριε.

Ἐπὶ Σταυροῦ σὺ Κύριε ὑπνώσας, μεταβέβληκας εἰς ὕπνον, Δέσποτα, τὸν θάνατον. Λάζαρος γὰρ ἐβόας ὁ φίλος κεκοίμηται· ἀλλὰ ἀπελεύσομαι ἐξυπνῆσαι νῦν αὐτόν.

Τῶν Προφητῶν κηρύγματα πληρῶν προφητευόμενα, προφητοκτόνον πρὸς τὴν πόλιν, Χριστὲ οἰκτίρμον, παραγίνῃ σταυρωθῆναι θελήματι, τὸν ἀποκτανθέντα μοι διασώζων τῇ φθορᾷ.

Οἱ σῶμα τὸ δυσήνιον τῷ λόγῳ ὑποτάξαντες, δι᾽ ἐγκρατείας, καὶ δεήσεως, μοναστὰι, καὶ μιγάδες Χριστῷ ὑπαντήσατε πώλῳ ἐπιβαίνοντι, ἐρχομένῳ τε παθεῖν.

Ῥάνισι τοῦ ἐλέους σου κατάρδευσον, πανάγαθε, τὴν ἐκτακεῖσαν μου καρδίαν φλογμῷ τῆς ἁμαρτίας, καὶ τὸν ἐσβεσμένον μου τῆς καρδίας ἄναψον λύχνον, πύλη τοῦ φωτός.

Εἱρμὸς ἄλλος τοῦ κυρίου Θεοδώρου· ἦχος πλ. δ'.

Τὸν ζόφον τῆς ψυχῆς μου.

Δυάδα Μαθητῶν σου ἐν τῷ μέλλειν σε φθάνειν εἰς Βηθανίαν, Χριστὲ, στέλλεις ἀγάγαι σοι πῶλον, ἐφ᾽ ὃν οὐδεὶς ἀνθρώπων ἐκάθισε· πλὴν γάρ σου οὐδεὶς τὰ ἄλογα ἔθνη, Σωτὴρ, καθυπέταξε.

Συνῆλθεν Ἰουδαίων ἐξ Ἱεροσολύμων εἰς Βηθανίαν πληθὺς, καὶ ταῖς συγγόνοις Λαζάρου σήμερον μὲν συμπάσχει, ἐπ᾽ ἂν δὲ αὔριον γνῷ, τοῦτον ἐκ τάφου πηδῶντα, κινεῖται πρὸς φόνον Χριστοῦ.

Δόξα.

Τριὰς ἡ παναγία, ὁ Πατὴρ, ὁ Υἱὸς, καὶ Πνεῦμα τὸ πανσεβὲς, ἡ μακαρία Θεότης, ἡ ἄναρχος οὐσία, τὸ τρισλαμπέστατον φῶς, τὸ πανδερκέστατον κράτος τοὺς δούλους σου φύλαττε.

Καὶ νῦν.

Σταυρῷ σε κατιδοῦσα ἐμπεπαρμένον τοῖς ἥλοις, Χριστὲ, ἡ Μήτηρ σου, καὶ ἐκ πλευρᾶς ζωηρᾶς σου ῥυὲν Αἷμα, καὶ ὕδωρ, κατετιτρώσκετο τῇ μητρικῇ συμπαθείᾳ, Υἱὸν γάρ σε ἔγνω αὐτῆς.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἰδοὺ παρεσκευάσθη ὁ Χριστὸς ἐπιστῆναι πρὸς τὴν Ἱερουσαλὴμ, οἱ ἐν τοῖς ὄρεσι πάντες, καὶ ἐν ταῖς ἐρημίαις συνέλθετε μονασταὶ, αὐτῷ χαρᾷ ὑπαντῆσαι σὺν πάσῃ τῇ ὑπ᾽ οὐρανόν.

Ὁ Εἱρμός.

Τὸν ζόφον τῆς ψυχῆς μου διασκέδασον, φωτοδότα Χριστὲ ὁ Θεὸς, ὁ τὸ ἀρχαίγονον
„ σκότος διώξας τῆς ἀβύσσου, καὶ δώρησαί μοι τὸ
„ φῶς τῶν προσταγμάτων σου, Λόγε, ἵνα ὀρθρί-
„ ζων δοξάζω σε.

Ὠδὴ η'. Γῆ, καὶ πάντα τὰ ἐν αὐτῇ.

Τὴν ἀνάστασιν, καὶ ζωὴν ἔχουσαι γυναῖκες προσφιλῆ, τί ἀποδύρεσθε πικρῶς; παραγίνεται, καὶ ζωώσει τὸν γνήσιον φίλον, τῇ αὐτοῦ ἀναστάσει τὴν ἔγερσιν πάντων προμηνύων ὁ πάντων εὐεργέτης.

Καταγώγια μοναστῶν ἀθροίσθητε ὡς ἄρνες λογικοὶ, τῷ ἀρχιποίμενι Χριστῷ ὑπαντῆσαι νῦν κλαδηφόροι· προέρχεται θέλων ὡς ἀρνίον σφαγιασθῆναι ὁ Κύριος, ὅπως τὴν τοῦ λύκου ἐξάρῃ τυραννίδα.

Ἐρχομένου πρὸς Βηθφαγῆ, κρότου σου ποδῶν ὁ δυσμενὴς ᾔσθετο ᾅδης, καὶ ποδῶν τοῦ Λαζάρου ἥπτετο, λέγων· εἰ μέλλει φωνεῖν σε ἡ ζωὴ, μὴ μελλήσῃς, ἀλλ᾽ ἔξελθε· ἔγνων τὴν ἐμὴν γὰρ κατάλυσιν ἐν τάχει.

Θεοτοκίον.

Ἱεραί σε τῶν Προφητῶν κηρύττουσι φωναὶ συμβολικῶς, πύλην, καὶ ὄρος, καὶ σκηνὴν τὴν ἁγίαν, φωτὸς νεφέλην, ἐξ ἧς τοῖς ἐν σκότει, καὶ σκιᾷ καθημένοις ἀνέτειλεν Ἥλιος, Παρθένε, ὁ μόνος φωτοδότης.

Εἱρμὸς ἄλλος. Ἄγγελοι, καὶ Οὐρανοί.

Ἡ δυὰς τῶν Μαθητῶν ἀποσταλεῖσα φέρει ὑποζύγιον τῷ ἐπὶ ταῖς νεφέλαις ἐπιβαίνοντι, ὃν τὰ πάντα ὑμνοῦσι, καὶ ὑπερυψοῦσιν εἰς πάντας τοὺς αἰῶνας.

Ἐπὶ θύραις ὁ Χριστὸς, λοιπὸν ἡ Βηθανία μὴ σκυθρώπαζε, εἰς γὰρ χαρὰν τὸ πένθος μεταβάλλει σου, τὸ σὸν θρέμμα ἐγείρων Λάζαρον ἐκ τάφου, αὐτὸν ὑμνολογοῦντα.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα.

Εἷς Θεὸς ὢν ἡ Τριὰς, οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς υἱότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν· ἀλλ᾽ ἰδίᾳ καὶ ἄμφω, φῶς Θεὸν τὰ τρία δοξάζω εἰς αἰῶνας.

Καὶ νῦν.

Μόνη ἄφθορος κύεις, μόνη θηλάζεις βρέφος, μὴ λοχεύουσα, μόνη τὸν Κτίστην τίκτεις, καὶ Δεσπότην σου· εἶ καὶ Μήτηρ, καὶ δούλη, σὲ, Παρθενομῆτορ, ὑμνοῦμεν εἰς αἰῶνας.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Τοῖς φυτοῖς τῶν ἀρετῶν, καὶ αἰσθητοῖς τοῖς κλάδοις, ὡς δεσπότην Χριστὸν, ἑτοιμασθῶμεν πάντες, ὑποδέξασθαι ὀχούμενον ἐν πώλῳ· ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

Ἄγγελοι, καὶ Οὐρανοὶ, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζόμενον εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ὠδὴ θ'. Ὅτι ἐποίησέ σοι μεγαλεῖα.

Ἰδοὺ προανεφώνεις, ἀναβαίνομεν, Ἰησοῦ, πρὸς Πόλιν τὴν ἁγίαν, καὶ χερσὶ μιαιφόνων ἀληθῶς παραδοθήσομαι, Σταυρῷ ἀποκτανθῆναι σαρκί.

Θανάτου θέλων, Λόγε, ἐξαρπάσαι φίλον τὸν σὸν, σαρκὶ θανατωθῆναι δι᾽ ἡμᾶς κατεπείγῃ, τοὺς βροτοὺς ἀθανατίζων τοὺς πιστοὺς, μόνε ἀθάνατε.

Βαΐα

Digitized by Google

Βαΐα σωφροσύνης ἐπενεγκώμεθα τῷ Χριστῷ, ἐν πώλῳ ἐποχουμένῳ σαρκί, καὶ προσείπωμεν αὐτῷ, ἐπὶ τὸ πάθος ὁ ἐλθὼν, εὐλογητὸς εἶ, Σωτήρ.

Θεοτοκίον.

Φρικτή σου ἡ λοχεία, Θεοτόκε Μήτηρ Χριστοῦ· διό σε μακαρίζομεν πιστῶς, καὶ δοξάζομεν σεπτῶς αἱ γενεαὶ τῶν γενεῶν εἰς τοὺς αἰῶνας ἀμήν.

Ἄλλος. Τὸν προδηλωθέντα, ἐν.

Ἄρτι ἀποστέλλων τοὺς Μαθητὰς Χριστὸς, ἔφη, λύσαντές μοι πῶλον, ἀγάγετε ἐπιβῆναι. ἵνα λύσω τῆς ἀλογίας τὰ ἔθνη, καὶ καθυποτάξω, ὡς Υἱὸς, τῷ Πατρί.

Ἔρχεται ὁ Κύριος, ἄνοιξόν σου τὰς πύλας, Βηθανία, πρόσδεξαι ἐν πίστει τὸν Δεσπότην, καὶ γὰρ ἥκει ἐξαναστῆσαι ἐκ τάφου Λάζαρον, ὡς μόνος παντοδύναμος.

Δόξα.

Ὁ θεοσοφαὴς, Κύριε, τῆς σῆς μοναρχίας ἐκφαντορικαῖς λάμψεσιν εἰς νοῦν ἡμῶν ἀστράπτον, ἀπὸ πλάνης πολυχεδοῦς ἐπιστρέφει πρὸς ἑνωτικὴν ἡμᾶς ἐνθέωσιν.

Καὶ νῦν.

Χαίροις τὸ παλάτιον τοῦ πάντων Βασιλέως· δι' ἧς τὰ Βασίλεια Οὐρανῶν ἠνεῴχθη τοῖς ἐπὶ γῆς, Θεοτόκε Παρθένε, καὶ ἡ μετ' Ἀγγέλων συγκατοίκησις.

Δόξα σοι ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Οἱ ἐν ταῖς ἐρήμοις, καὶ ὄρεσι, καὶ σπηλαίοις ἥκατε, ἀθροίσθητε σὺν ἡμῖν βαϊοφόροι, ὑπαντῆσαι τῷ Βασιλεῖ, καὶ Δεσπότῃ· ἔρχεται γὰρ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ὁ Εἱρμός.

Τὸν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ, ἐν πυρὶ, καὶ βάτῳ τόκον τὸν τῆς Ἀειπαρ-
„ θένου εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν ὕμνοις ἀσιγή-
„ τοις μεγαλύνωμεν.

Τὸ Φωταγωγικὸν τοῦ ἤχου. Εἰς τὸν στίχ. τὸ Ἰδιόμελον τῆς ἡμέρας Δίς· ἦχος α'.

Ποίημα Λέοντος τοῦ Βασιλέως.

Παραφρονήσασα, ψυχή μου, τῶν θείων χρισμάτων, ἑάλωκας γέγονας ταῖς μηχαναῖς τοῦ ἐχθροῦ· οἰκείᾳ ῥοπῇ παραδοθεῖσα τῇ φθορᾷ, καὶ καρωθεῖσα ὑπὸ ἁμαρτίας πολλῆς τὸ θεότευκτον ἄμφιον ἐρρύπωσας, καὶ ἀνεπιτήδειον τοῦ βασιλικοῦ γάμου πεποίηκας, ἀλλ' ἵνα μὴ σὺν τῇ ἁμαρτίᾳ ἑλκυσθῇς, καὶ ὑποκεκρυμμένη τῶν παθῶν τῷ ἐνδύματι, ἀνακλιθεῖσα, τὰς εὐθύνας τῆς εἰσόδου εἰσπραχθῇς, καὶ τοῦ νυμφῶνος ἐκβληθῇς, τῷ Σωτῆρι κρᾶζον· τὸ φοβερὸν ὄμμα ὁ λαβὼν, ὅπερ εἰμι, καὶ ὃ ἦς, μὴ ἐάσας, καὶ περὶ Σταυροῦ χλαμύδα ἐμπαιγμοῦ δι' ἐμὲ φορέσας, τὸν σάκκον μου διάρρηξον, καὶ εὐφροσύνην ἀμφίασον, καὶ ἐκ σκότους ἐξωτέρου, καὶ κλαυθμοῦ αἰωνίου ῥῦσαί με, καὶ ἐλέησόν με.

Μαρτ.

Τοὺς Ἀθλοφόρους τοῦ Χριστοῦ, δεῦτε λαοὶ ἅπαντες, τιμήσωμεν ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ Κόσμου, καὶ κήρυκας τῆς πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα· αὐτῶν ταῖς ἱκεσίαις Χριστὲ ὁ Θεὸς ἡμῶν τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Δόξα, Ἰδιόμελ. ἦχος πλ. δ'.

Τὴν ψυχοφελῆ πληρώσαντες Τεσσαρακοστὴν, καὶ τὴν ἁγίαν Ἑβδομάδα τοῦ Πάθους σου αἰτοῦμεν κατιδεῖν, φιλάνθρωπε, τοῦ δοξάσαι ἐν αὐτῇ τὰ μεγαλεῖα σου, καὶ τὴν ἄφατον δι' ἡμᾶς οἰκονομίαν σου, ὁμοφρόνως μελῳδοῦντες, Κύριε δόξα σοι.

Καὶ νῦν, πάλιν τὸ αὐτό. Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς συνήθως. Εἰς τὴν Τριτέκτην τροπάριον τῆς Προφητείας ἦχος γ'.

Ἀνυπόστατος, Κύριε, ἡ ὀργὴ τῆς ἐπὶ ἁμαρτωλοὺς ἀπειλῆς σου· καὶ οὐκ ἐσμὲν ἄξιοι ἀτενίσαι, καὶ αἰτῆσαι παρὰ σοῦ τὸ ἔλεος· μὴ τῷ θυμῷ σου, μὴ δὲ τῇ ὀργῇ σου ἀπολέσῃς ἡμᾶς, οὓς ἐκ γῆς τῇ χειρί σου ἔπλασας.

Προκείμενον Ψαλμὸς ρκά. ἦχος δ'.

Ἕνεκα τοῦ οἴκου Κυρίου τοῦ Θεοῦ ἡμῶν.

Στίχ. Εὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Εὐφράνθητι Ἱερουσαλὴμ, καὶ πανηγυρίσατε ἐν αὐτῇ πάντες οἱ ἀγαπῶντες αὐτὴν, χάρητε ἅμα αὐτῇ χαρᾷ πάντες ὅσοι πενθεῖτε ἐπ' αὐτῇ, ἵνα θηλάσητε, καὶ ἐμπλησθῆτε ἀπὸ μαστοῦ παρακλήσεως αὐτῆς, ἵνα ἐκθηλάσαντες τρυφήσητε ἀπὸ εἰσόδου δόξης αὐτῆς· ὅτι τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἐκκλίνω εἰς αὐτοὺς ὡς ποταμὸς εἰρήνης, καὶ ὡς χειμάρρους ἐπικλύζων δόξαν ἐθνῶν· τὰ παιδία αὐτῶν ἐπ' ὤμων ἀρθήσονται, καὶ ἐπὶ γονάτων παρακληθήσονται· ὡς εἴ τινα μήτηρ παρακαλέσει, οὕτω κἀγὼ παρακαλέσω ὑμᾶς, καὶ ἐν Ἱερουσαλὴμ παρακληθήσεσθε, καὶ ὄψεσθε, καὶ χαρήσεται ἡ καρδία ὑμῶν, καὶ τὰ ὀστᾶ ὑμῶν ὡς βοτάνη ἀνατελεῖ· καὶ γνωσθήσεται ἡ χεὶρ Κυρίου τοῖς φοβουμένοις αὐτὸν, καὶ ἀπειλήσει τοῖς ἀπειθοῦσιν· ἰδοὺ γὰρ Κύριος ὡς πῦρ ἥξει, καὶ ὡς καταιγὶς τὰ ἅρματα αὐτοῦ, ἀποδοῦναι ἐν θυμῷ ἐκδίκησιν αὐτοῦ· καὶ ἀποσκορακισμὸν αὐτοῦ ἐν φλογὶ πυρός· ἐν γὰρ τῷ πυρὶ Κυρίου κριθήσεται πᾶσα ἡ γῆ, καὶ ἐν τῇ ῥομφαίᾳ αὐτοῦ πᾶσα σάρξ· πολλοὶ τραυματίαι ἔσονται ὑπὸ Κυρίου, οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον, καὶ τὰ βδελύγματα, καὶ τὸν μῦν, ἐπὶ τὸ αὐτὸ ἀναλωθήσονται, εἶπε Κύριος. Κἀγὼ τὰ ἔργα αὐτῶν καὶ τὸν λογισμὸν αὐτῶν ἔρχομαι συναγαγεῖν

πάντα

πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας· καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου· καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον καὶ ἐξαποστελῶ ἐξ αὐτῶν σεσωσμένους εἰς τὰ ἔθνη εἰς Θαρσεὶς, καὶ Φοὺδ, καὶ Λοὺδ, καὶ Μοσὸχ, καὶ εἰς Θοβὲλ, καὶ εἰς τὴν Ἑλλάδα, καὶ εἰς τὰς νήσους τὰς πόῤῥω, οἳ οὐκ ἀκηκόασί μου τὸ ὄνομα, οὔτε ἑωράκασί μου τὴν δόξαν· καὶ ἀναγγελοῦσι τὴν δόξαν μου ἐν τοῖς ἔθνεσι, καὶ ἄξουσι τοὺς ἀδελφοὺς ὑμῶν ἐκ πάντων τῶν ἐθνῶν, δῶρον Κυρίῳ, μεθ' ἵππων, καὶ ἁρμάτων ἐν λαμπήναις ἡμιόνων μετὰ σκιαδίων εἰς τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, εἶπε Κύριος, ὡς ἀνενέγκαισαν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν ἐμοὶ μετὰ ψαλμῶν εἰς τὸν οἶκον Κυρίου· καὶ ἀπ' αὐτῶν λήψομαι Ἱερεῖς καὶ Λευΐτας, εἶπε Κύριος· ὃν τρόπον γὰρ ὁ Οὐρανὸς καινὸς καὶ ἡ γῆ καινὴ ἃ ἐγὼ ποιῶ μένει ἐνώπιον ἐμοῦ, λέγει Κύριος, οὕτω στήσεται τὸ σπέρμα ὑμῶν, καὶ τὸ ὄνομα ὑμῶν· καὶ ἔσται μὴν ἐκ μηνὸς, καὶ σάββατον ἐκ σαββάτου· ἥξει πᾶσα σὰρξ τοῦ προσκυνῆσαι ἐνώπιον ἐμοῦ ἐν Ἱερουσαλὴμ, εἶπε Κύριος· καὶ ἐξελεύσονται, καὶ ὄψονται τὰ κῶλα τῶν ἀνθρώπων τῶν παραβεβηκότων ἐν ἐμοί· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί.

Προκείμενον Ψαλμὸς ρκβ'. ἦχ. πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς, ὅτι.

Στίχ. Πρὸς σὲ ἦρα τοὺς ὀφθαλμούς μου.

Τῇ Παρασκευῇ Ἑσπέρας εἰς τὸ Λυχνικὸν ἡ συνήθως στιχολ. εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὸ παρὸν Ἰδιόμ. τῆς ἡμέρας Δίς, καὶ τὸ Μαρτυρικόν, καὶ τὰ ε. Ἰδιόμ. τοῦ ὁσίου, καὶ δικαίου Λαζάρου· ποιοῦντες αὐτὰ ἑπτά· τὸ Ἰδιόμελ. ἦχος πλ. δ'. Δίς.

Τὴν ψυχωφελῆ πληρώσαντες Τεσσαρακοστὴν, καὶ τὴν ἁγίαν Ἑβδομάδα τοῦ Πάθους σου, αἰτοῦμεν κατιδεῖν, φιλάνθρωπε, τοῦ δοξάσαι ἐν αὐτῇ τὰ μεγαλεῖά σου, καὶ τὴν ἄφατον δι' ἡμᾶς οἰκονομίαν σου, ὁμοφρόνως μελῳδοῦντες, Κύριε δόξα σοι. Μαρτ.

Μάρτυρες Κυρίου ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσατε ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

Εἶτα ψάλλομεν τοῦ ἁγίου Λαζάρου Ἰδιόμελα ε. Ποίημα τοῦ εὐσεβοῦς Βασιλέως Κυρίου Λέοντος τοῦ σοφοῦ· ἦχος πλ. β'. Δίς.

Κύριε, Λαζάρου θέλων τάφον οἰκεῖν, ἐπηρώτας ποῦ τεθήκατε αὐτόν· μαθεῖν δὲ ὃ οὐκ ἠγνόεις, ἐφώνεις ὃν ἐπόθεις. Λάζαρε, δεῦρο ἔξω· καὶ ὑπήκουσεν ὁ ἄπνους τῷ πνέοντι αὐτῷ διδόντι σοὶ τῷ Σωτῆρι τῶν ψυχῶν ἡμῶν.

Ἦχος πλ. β'. Δίς.

Κύριε, ἐπὶ τὸν τάφον τοῦ τετραημέρου, ἐπὶ τὸ μνῆμα ἦλθες Λαζάρου, καὶ ἐπὶ φίλῳ δάκρυα ῥάνας, νεκρὸν τετραήμερον ἤγειρας· ὁ στάχυς τῆς ζωῆς· διὸ θάνατος ἐδέθη φωνῇ, τὰ σπάργανα ἐλύθη χερσί· τότε χαρᾶς ἐπληροῦτο τὸ σῖφος τῶν Μαθητῶν, καὶ μία παρὰ πάντων ἐλειτουργεῖτο συμφωνία· εὐλογημένος εἶ Σωτὴρ, ἐλέησον ἡμᾶς.

Κύριε, ἡ φωνή σου κατέλυσε τοῦ ᾅδου τὰ βασίλεια, καὶ ὁ λόγος τῆς ἐξουσίας σου ἤγειρεν ἐκ τάφου τετραήμερον, καὶ γέγονεν ὁ Λάζαρος τῆς παλιγγενεσίας προοίμιον σωτήριον· πάντα δυνατά σοι, Δέσποτα, τῷ πάντων Βασιλεῖ· δώρησαι τοῖς δούλοις σου ἱλασμὸν, καὶ τὸ μέγα ἔλεος. Ἦχος πλ. β'.

Κύριε, πιστῶσαι θέλων τοὺς Μαθητάς σου τὴν ἐκ νεκρῶν σου ἔγερσιν, ἐν τῷ μνήματι Λαζάρου παραγέγονας· καὶ φωνήσαντός σου τοῦτον, ὁ ᾅδης ἐσκυλεύθη, καὶ ἀπέλυσε τὸν τετραήμερον, βοῶντα σοι, εὐλογημένος Κύριε, δόξα σοι.

Ἦχος πλ. β'.

Κύριε, παραλαμβάνων τοὺς Μαθητάς σου ἐν Βηθανίᾳ παρεγένου, ἵνα ἐγείρῃς τὸν Λάζαρον· καὶ δακρύσας ἐπ' αὐτὸν νόμῳ φύσεως ἀνθρωπίνης, ὡς Θεὸς τοῦτον τετραήμερον ἤγειρας, καὶ ἐβόα σοι, Σωτὴρ, εὐλογημένος Κύριε, δόξα σοι.

Δόξα. Ἰδιόμελ. ἦχος πλ. δ'.

Ἐπιστὰς τῷ μνήματι Λαζάρου ὁ Σωτὴρ ἡμῶν, καὶ φωνήσας τὸν νεκρὸν, ὡς ἐξ ὕπνου ἐξανέστησας· ἀπεσείσατο τὴν φθορὰν τῆς ἀφθαρσίας τῷ πνεύματι, καὶ συνεξῆλθε τῷ λόγῳ δεδεμένος κειρίαις· πάντα δύνασαι, πάντα σοι δουλεύει φιλάνθρωπε, πάντα σοι ὑποτέτακται, Σωτὴρ ἡμῶν δόξα σοι.

Καὶ νῦν, ἕτερον Ἰδιόμ. ἦχος ὁ αὐτός.

Τὴν ψυχωφελῆ πληρώσαντες Τεσσαρακοστὴν, βοήσωμεν· χαίροις πόλις Βηθανία πατρὶς ἡ τοῦ Λαζάρου· χαίρετε Μάρθα καὶ Μαρία αἱ τούτου ἀδελφαί· αὔριον Χριστὸς παραγίνεται ζωῶσαι ῥήματι τὸν τεθνεῶτα ἀδελφόν· οὗ φωνῆς ἀκούσας ὁ πικρὸς, καὶ ἀκόρεστος ᾅδης φόβῳ τρομάξας, καὶ μέγα στενάξας, ἀπολύσει Λάζαρον κειρίαις ἐσφιγμένον· οὗ τῷ θαύματι δῆμος Ἑβραίων ἐκπλαγεὶς μετὰ βαΐων, καὶ κλάδων αὐτῷ προσυπαντήσουσι· καὶ ὀφθήσονται εὐφημοῦντες παῖδες, ὃν φθονοῦσι πατέρες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Βασιλεὺς τοῦ Ἰσραήλ.

Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμενον Ψαλμὸς ρκγ'. ἦχ. πλ. β'.

Ἡ βοήθεια ἡμῶν ἐν ὀνόματι Κυρίου, τοῦ ποιήσαντος.

Στίχ. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ· καὶ ἐξάρας τοὺς πόδας ἐπὶ τὴν κλίνην, ἐξέλι-

ξέλιπε: καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ. καὶ ἐπιπεσὼν Ἰωσὴφ ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσεν αὐτὸν, καὶ ἐφίλησεν αὐτόν. καὶ προσέταξεν Ἰωσὴφ τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ, καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ἰσραήλ. καὶ ἐπλήρωσαν αὐτοῦ τεσσαράκοντα ἡμέρας. οὕτω γὰρ καταριθμοῦνται αἱ ἡμέραι τῆς ταφῆς. καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας. ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ἰωσὴφ πρὸς τοὺς δυνάστας Φαραὼ, λέγων. εἰ εὗρον χάριν ἐναντίον ὑμῶν, λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα Φαραὼ, λέγοντες, ὁ πατήρ μου ὥρκισέ με, λέγων. ἐν τῷ μνημείῳ, ᾧ ὤρυξα ἐγὼ ἐμαυτῷ ἐν γῇ Χαναὰν, ἐκεῖ με θάψεις. νῦν οὖν ἀναβὰς, θάψω τὸν πατέρα μου, καὶ ἐπανελεύσομαι. καὶ εἶπε Φαραὼ τῷ Ἰωσήφ. ἀνάβηθι, θάψον τὸν πατέρα σου, καθάπερ ὥρκισέ σε. καὶ ἀνέβη Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ. καὶ συνανέβησαν μετ' αὐτοῦ πάντες οἱ παῖδες Φαραὼ, καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ, καὶ πάντες οἱ πρεσβύτεροι τῆς γῆς Αἰγύπτου, καὶ πᾶσα ἡ πανοικία Ἰωσὴφ, καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ. καὶ ἡ συγγένεια αὐτοῦ, καὶ τὰ πρόβατα, καὶ τοὺς βόας ὑπελείποντο ἐν γῇ Γεσέμ. καὶ συνανέβησαν μετ' αὐτοῦ ἅρματα, καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα. καὶ παρεγένοντο εἰς ἅλωνα Ἀτάδ, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου. καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα. καὶ ἐποίησε τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας. καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς Χαναὰν τὸ πένθος ἐπὶ ἅλωνι Ἀτὰδ, καὶ εἶπαν. πένθος μέγα τοῦτό ἐστι τοῖς Αἰγυπτίοις. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου. καὶ ἐποίησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ. καὶ ἀνέλαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν Χαναάν, καὶ ἔθαψαν αὐτὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον ἐν κτήσει μνημείου παρὰ Ἐφρὼν τοῦ Χετταίου, κατέναντι Μαμβρῆ. καὶ ὑπέστρεψεν Ἰωσὴφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ οἱ συναναβάντες θάψαι τὸν πατέρα αὐτοῦ. ἰδόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ, ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν εἶπαν. μήποτε μνησικακήσῃ ἡμῖν Ἰωσὴφ, καὶ ἀνταπόδομα ἀνταποδῷ ἡμῖν πάντα τὰ κακὰ, ἃ ἐνεδειξάμεθα εἰς αὐτόν. καὶ παραγενόμενοι πρὸς Ἰωσὴφ, εἶπαν. ὁ πατήρ σου ὥρκισε πρὸ τοῦ τελευτῆσαι αὐτὸν, λέγων. οὕτως εἴπατε Ἰωσήφ, ἄφες αὐτοῖς τὴν ἀδικίαν καὶ τὴν ἁμαρτίαν αὐτῶν, ὅτι πονηρά σοι ἐνεδείξαντο. καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ Θεοῦ τοῦ πατρός σου. καὶ ἔκλαυσεν Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν. καὶ ἐλθόντες πρὸς αὐτὸν, εἶπαν. οἵδε ἡμεῖς σοὶ οἰκέται. καὶ εἶπεν αὐτοῖς Ἰωσήφ. μὴ φοβεῖσθε. τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ. ὑμεῖς ἐβουλεύσασθε κατ' ἐμοῦ εἰς πονηρά, ὁ δὲ Θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθά, ὅπως ἂν γενηθῇ ὡς σήμερον, καὶ τραφῇ λαὸς πολύς. καὶ εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε. ἐγὼ διαθρέψω ὑμᾶς, καὶ τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς, καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν. καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ. καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. καὶ ἔζησεν Ἰωσὴφ ἔτη ἑκατὸν δέκα. καὶ εἶδεν Ἰωσὴφ Ἐφραὶμ παιδία, ἕως τρίτης γενεᾶς. καὶ οἱ υἱοὶ Μαχεὶρ τοῦ υἱοῦ Μανασσῆ, ἐτέχθησαν ἐπὶ μηρῶν Ἰωσήφ. καὶ εἶπεν Ἰωσὴφ τοῖς ἀδελφοῖς αὐτοῦ, λέγων. ἐγὼ ἀποθνήσκω. ἐπισκοπῇ δὲ ἐπισκέψεται ὁ Θεὸς ὑμᾶς, καὶ ἀνάξει ὑμᾶς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν, ἣν ὤμοσεν τοῖς πατράσιν ἡμῶν Ἀβραὰμ, Ἰσαὰκ, καὶ Ἰακώβ. καὶ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ, λέγων. ἐν τῇ ἐπισκοπῇ ᾗ ἐπισκέψηται ὁ Θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ' ὑμῶν. καὶ ἐτελεύτησεν Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα, καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

Προκείμ. Ψαλμός ρκδ'. ἦχος δ'.

Οἱ πεποιθότες ἐπὶ Κύριον ὄρος Σιών.

Στίχ. Οὐ σαλευθήσεται εἰς τὸν αἰῶνα ὁ κατοικῶν Ἱερουσαλήμ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Υἱὲ, ἄνοιγε σὸν στόμα λόγῳ Θεοῦ, καὶ κρῖναι πάντα ὑγιῶς. ἄνοιγε σὸν στόμα, καὶ κρῖναι δικαίως. διάκρινε δὲ πένητα καὶ ἀσθενῆ. Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοῦ ἀνδρὸς αὐτῆς ἡ τοιαύτη, καλῶν σκύλων οὐκ ἀπορήσει. ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ εἰς ἀγαθὰ πάντα τὸν βίον. μηρυομένη ἔερια καὶ λινὸν, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς κατεφύτευσε κτῆμα. ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. καὶ ἐγεύσατο, ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὁ λύχνος αὐτῆς ὅλην τὴν νύκτα. τοὺς πήχεις αὐτῆς ἐκτείνει πρὸς τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν που χρονίζῃ, πάντες γὰρ οἱ παρ' αὐτῆς ἐνδεδυμένοι εἰσί. δισσὰς χλαίνας ἐποίησε τῷ ἀνδρὶ αὐτῆς, ἐκ δὲ βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. περίβλεπτος δὲ γίνεται ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν

γερόντων κατοίκων τῆς γῆς· σινδόνας ἐποίησε, καὶ ἀπέδοτο περιζώματα τοῖς Χαναναίοις· στόμα αὐτῆς διήνοιξε προσεχόντως καὶ ἐννόμως, καὶ τάξιν ἐστείλατο τῇ γλώσσῃ αὐτῆς· ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις· στεγναὶ διατριβαὶ οἴκων αὐτῆς, σῖτα δὲ ὀκνηρὰ οὐκ ἔφαγε· τὸ στόμα δὲ ἀνοίγει σοφῶς, καὶ νομοθέσμως, ἡ δὲ ἐλεημοσύνη αὐτῆς ἀνέστησε τὰ τέκνα αὐτῆς, καὶ ἐπλούτησαν, καὶ ὁ ἀνὴρ αὐτῆς ᾔνεσεν αὐτήν· πολλαὶ θυγατέρες ἐκτήσαντο πλοῦτον, πολλαὶ ἐποίησαν δύναμιν, σὺ δὲ ὑπέρκεισαι, ὑπερῇρας πάσας· ψευδεῖς ἀρέσκειαι, καὶ μάταιον κάλλος γυναικός, γυνὴ γὰρ συνετὴ εὐλογεῖται, φόβον δὲ Κυρίου αὕτη αἰνείτω· δότε αὐτῇ ἀπὸ καρπῶν χειλέων αὐτῆς, καὶ αἰνείσθω ἐν πύλαις ὁ ἀνὴρ αὐτῆς.

Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων ὡς συνήθως.

Ἰστέον, ὅτι ἀπὸ τῆς σήμερον οὔτε Μαρτυρικὸν, οὔτε Θεοτοκίον, οὔτε Ὀκτώηχος ψάλλεται ἄχρι τοῦ Σαββάτου τοῦ ἁγίου Θωμᾶ.

Εἰς τὸ Ἀπόδειπνον ψάλλομεν τὸν παρόντα Κανόνα, ποίημα τοῦ ἁγίου Πατρὸς κυρίου Ἀνδρέου Κρήτης τοῦ Ἱεροσολυμίτου.

Ὠδὴ ά. ἦχος ά. Ὁ Εἱρμός.

ΩΔὴν ἐπινίκιον ᾄσωμεν πάντες Θεῷ τῷ ποιήσαντι θαυμαστὰ τέρατα βραχίονι ὑψηλῷ, καὶ σώσαντι τὸν Ἰσραὴλ, ὅτι δεδόξασται.

ΝΕκρὸν τετραήμερον ἐξαναστήσας, Σωτήρ μου, τὸν Λάζαρον, τῆς φθορᾶς ἀπήλλαξας βραχίονι ὑψηλῷ, καὶ ἔδειξας, ὡς δυνατὸς, τὴν ἐξουσίαν σου.

ΦΩνήσας τὸν Λάζαρον ἐκ τοῦ μνημείου, εὐθὺς ἐξανέστησας, ἀλλ' ὁ ᾅδης κάτωθεν πικρῶς ὠδύρετο, καὶ στένων ἔτρεμε, Σωτὴρ, τὴν ἐξουσίαν σου.

ἘΔάκρυσας, Κύριε, ἐπὶ Λαζάρῳ, δεικνύων τὴν σάρκωσιν τῆς οἰκονομίας σου, καὶ ὅτι φύσει Θεὸς ὑπάρχων, φύσει καθ' ἡμᾶς γέγονας ἄνθρωπος.

ΤΗ͂ς Μάρθας τὰ δάκρυα καὶ τῆς Μαρίας κατέπαυσας, Κύριε, ἐκ νεκρῶν τὸν Λάζαρον ἐξαναστήσας, Σωτὴρ, καὶ δείξας ἔμπνουν τὸν νεκρὸν τῇ ἐξουσίᾳ σου.

ΤΩ͂ νόμῳ τῆς φύσεως τῆς ἀνθρωπίνης ἠρώτησας, Δέσποτα, ποῦ τέθειται Λάζαρος; δεικνύων πᾶσι, Σωτὴρ, ἀνόθευτον τὴν πρὸς ἡμᾶς οἰκονομίαν σου.

ΤᾺ κλεῖθρα συνέτριψας τότε τοῦ ᾅδου, φωνήσας τὸν Λάζαρον, καὶ τὸ κράτος ἔσεισας τοῦ πολεμήτορος, καὶ ἔπεισας πρὸ τοῦ Σταυροῦ τρέμειν σε, μόνε Σωτήρ.

ΔΕσμώτην τὸν Λάζαρον ὑπὸ τοῦ ᾅδου κρατούμενον, Δέσποτα, ὡς Θεὸς περιέφθασας, καὶ ἔλυσας τῶν δεσμῶν, τῷ σῷ γὰρ πάντα, δυνατὲ, ἥκει προστάγματι.

Δόξα.

ΠΑτέρα δοξάσωμεν, Υἱὸν, καὶ Πνεῦμα, Τριάδα ἀχώριστον ἐν μονάδι φύσεως, καὶ σὺν Ἀγγέλοις αὐτὴν, ὡς ἕνα ἄκτιστον Θεὸν, δοξολογήσωμεν.

Καὶ νῦν.

ἈΤρέπτως ἐκύησας, Παρθενομῆτορ, τὸν Κτίστην τῆς φύσεως ἐξ ἁγίου Πνεύματος κατ' εὐδοκίαν Πατρὸς γενόμενον ὅπερ ἐσμὲν, δίχα τροπῆς, καὶ φυρμοῦ.

Ὠδὴ β'. ὁ Εἱρμός.

ΠΡόσεχε Οὐρανὲ, καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστὸν τὸν Σωτῆρα τοῦ Κόσμου, τὸν μόνον φιλάνθρωπον.

ΔΟ'ξα σοι τῷ φωνήσαντι μόνον, καὶ ἐκ τοῦ τάφου νεκρὸν τεταρταῖον, τὸν φίλον ἐγείραντι Λάζαρον.

ἨΚουσε τῆς φωνῆς σου ὁ ἄπνους, καὶ ψυχωθεὶς ἐκ νεκρῶν ἐξανέστη εὐθέως, δοξάζων σε, Κύριε.

ΠΡόσταγμα ζωηφόρου φωνῆς σου δεξάμενος ὁ ὀδωδὼς, ἐξηγέρθη τοῦ τάφου, Σωτήρ μου, ὁ Λάζαρος.

ἘΔάκρυσας ἐπὶ φίλῳ, Σωτήρ μου, πιστούμενος τὴν ἡμῶν, ὡς ἐφόρεσας, φύσιν, καὶ τοῦτον ἀνέστησας.

ἜΣτόμαξεν, ὡς κατεῖδεν ὁ ᾅδης παλινδρομοῦντα εὐθὺς τὸν δεδεμένον κειρίαις, φονῇ πρὸς τὴν ὧδε ζωήν.

ἘΞέστησαν τῶν Ἑβραίων οἱ δῆμοι, ὅτε φωνήσας, Σωτὴρ, ἐξανέστησας λόγῳ ὀδωδότα τὸν Λάζαρον.

ἘΣείσθησαν τὰ ταμεῖα τοῦ ᾅδου, ὡς ἐψυχοῦτο εὐθὺς κάτω Λάζαρος τότε τῇ φωνῇ τοῦ ζωώσαντος.

Ὠδὴ γ'. ὁ Εἱρμός.

ΛΊθον, ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας· αὐτός ἐστιν ἡ πέτρα, ἐν ᾗ ἐστερέωσε Χριστὸς τὴν Ἐκκλησίαν αὐτοῦ, ἣν ἐξ ἐθνῶν ἐξηγοράσατο.

ΘΑῦμα ξένον, καὶ παράδοξον, πῶς ὁ Κτίστης πάντων ὅπερ οὐκ ἠγνόει, ὡς ἀγνοῶν ἠρώτα· ποῦ κεῖται ὃν θρηνεῖτε; ποῦ τέθαπται Λάζαρος, ὃν μετ' ὀλίγον ἐκ νεκρῶν ζῶντα ὑμῖν ἐξαναστήσω ἐγώ;

ΛΊθον, ὅν σοι προσεκύλησαν οἱ κηδεύσαντές σε, τοῦτον συγκινῆσαι ὁ Ἰησοῦς προστάξας, εὐθὺς ἀνέστησέ σε, φωνήσας σοι, Λάζαρε, ἀνά-

Digitized by Google

ἀνάστα δεῦρο πρός με, ἵνα τὴν σὴν ὁ ᾅδης πλήξῃ φωνήν.

Μάρθα, καὶ Μαρία, Κύριε, ὀδυρμοῖς ἐβόων, ἴδε ὃν ἐφίλεις, τεταρταῖος ὄζει, εἰ ἦς ὧδε τότε, οὐκ ἐθνήσκε Λάζαρος, ἀλλ' ὡς ἀχώριστος παντὶ, τοῦτον εὐθὺς φωνήσας ἤγειρας·

Ῥάνας ἐπὶ φίλῳ δάκρυα, δι' οἰκονομίαν ἔδειξας τὴν σάρκα, τὴν ἐξ ἡμῶν ληφθεῖσαν οὐσίᾳ οὐ δοκήσει, Σωτὴρ, ἑνωθεῖσαν σοι, καὶ ὡς φιλάνθρωπος Θεὸς τοῦτον εὐθὺς φωνήσας ἤγειρας.

Οἴμοι, ὄντως νῦν ἀπόλωλα, ἐκβοᾷν ὁ ᾅδης, οὕτω προσεφώνει τῷ θανάτῳ λέγων· ἰδοὺ ὁ Ναζωραῖος τὰ κάτω συνέσεισε, καὶ τὴν γαστέρα μου τεμὼν, ἄπνουν νεκρὸν φωνήσας ἤγειρε.

Ποῦ ἡ τῶν Ἑβραίων ἄνοια; ποῦ ἡ ἀπιστία; ἕως πότε πλάνοι, ἕως πότε νόθοι ὁρᾶτε τὸν θανέντα φωνῇ ἐξαλλόμενον; καὶ ἀπιστεῖτε τῷ Χριστῷ; ὄντως υἱοὶ τοῦ σκότους πάντες ὑμεῖς.

Δόξα.

Ἕνα τῆς Τριάδος οἶδα σε, εἰ καὶ ἐσαρκώθης· ἕνα καὶ δοξάζω Υἱὸν σεσαρκωμένον, τὸν ἐκ τῆς Θεοτόκου ἀσπόρως βλαστήσαντα, καὶ σὺν Πατρὶ, καὶ Πνεύματι ἕνα Υἱὸν δοξολογούμενον.

Καὶ νῦν.

Ξένον, καὶ φρικτὸν τὸ ὅραμα, ἐξ οἰκονομίας, ὅπερ προεώρων οἱ ἀψευδεῖς Προφῆται, Παρθένον Θεοτόκον, ἀσπόρως μὲν κύουσαν, ἀφθόρως τίκτουσαν Θεὸν, μένουσαν δὲ μετὰ τόκον ἁγνήν.

Ὠδὴ δ'. ὁ Εἱρμός.

Ἐπήρθη ὁ Ἥλιος, καὶ ἡ Σελήνη ἔστη ἐν τῇ τάξει αὐτῆς· ὑψώθης, μακρόθυμε, ἐπὶ τοῦ ξύλου, καὶ ἔπηξας ἐν αὐτῷ τὴν Ἐκκλησίαν σου·

Ἐδάκρυσας, Κύριε, ἐπὶ Λαζάρῳ, δείξας ὅτι ἄνθρωπος εἶ, καὶ ἤγειρας, Δέσποτα, τὸν τεθνεῶτα, καὶ ἔδειξας τοῖς λαοῖς, ὅτι Υἱὸς εἶ τοῦ Θεοῦ.

Ὁ ἄπνους ἤκουσε τὸ πρόσταγμά σου· δεῦρο ἔξω Λάζαρε· δρομαῖος ἀνίστατο σὺν τοῖς σπαργάνοις, καὶ ἥλλατο, ἀγαθὲ, δεικνὺς τὸ κράτος σου.

Τῆς Μάρθας τὰ δάκρυα, καὶ τῆς Μαρίας κατέπαυσας, Χριστὲ ὁ Θεὸς, φωνήσας τὸν Λάζαρον αὐτεξουσίως, συνήγειρας τῇ φωνῇ, καὶ προσεκύνησέ σοι.

Δακρύσας, ὡς ἄνθρωπος, ἐπὶ Λαζάρῳ, ἐξήγειρας αὐτὸν ὡς Θεὸς, ἠρώτας, ποῦ τέθαπται ὁ τεταρταῖος, πιστούμενος, ἀγαθὲ, τὴν ἐνανθρώπησίν σου.

Τοῦ πάθους τὰ σύμβολα, καὶ τοῦ Σταυροῦ σου γνωρίσαι βουληθεὶς, ἀγαθὲ, τοῦ ᾅδου τὴν ἄπληστον γαστέρα ῥήξας, ἀνέστησας, ὡς Θεὸς, τὸν τετραήμερον.

Τίς οἶδε, τίς ἤκουσεν, ὅτι ἀνέστη ἄνθρωπος νεκρὸς ὀδωδώς; Ἠλίας μὲν ἤγειρε, καὶ Ἐλισσαῖος, ἀλλ' οὐκ ἐκ μνήματος, ἀλλ' οὐδὲ τεταρταῖον.

Ὑμνοῦμέν σου, Κύριε, τὴν δυναστείαν, ὑμνοῦμεν καὶ τὰ πάθη, Χριστέ· τῇ μὲν γὰρ, ὡς εὔσπλαγχνος, ἐθαυματούργεις, τὰ δὲ οἰκονομικῶς εἵλου, ὡς ἄνθρωπος.

Θεὸς εἶ καὶ ἄνθρωπος, ἐπαληθεύων τοῖς πράγμασι τὰ ὀνόματα, ἐπέστης τῷ μνήματι σαρκὶ ὁ Λόγος, καὶ ἤγειρας, ὡς Θεὸς, τὸν τετραήμερον.

Ἐξέστησαν, Δέσποτα, Ἑβραίων δῆμοι, ὡς εἶδον ἀναστάντα νεκρὸν ἐκ τάφου Λάζαρον σὺν τῇ φωνῇ σου, καὶ ἔμειναν ἀπειθεῖς τῶν θαυμασίων σου.

Δόξα.

Ἀνάρχως ἐξέλαμψας ἐκ τοῦ Πατρός σου ὡς εἷς τῆς Τριάδος, Σωτὴρ, ἐν χρόνῳ, ἐν Πνεύματι παρθενικῶν σὺ προῆλθες αἱμάτων, σάρκα λαβὼν ὁ ὑπερούσιος.

Καὶ νῦν.

Ἡ σύλληψις ἄσπορος τῆς Θεοτόκου, ὁ τόκος ἄνευ πάθους φθορᾶς. Θεὸς γὰρ ἀμφότερα θαυματουργήσας, ἐκένωσεν ἑαυτὸν, ἵνα ἡμῖν ἑνωθῇ.

Ὠδὴ ε'. ὁ Εἱρμός.

Τὴν σὴν εἰρήνην δὸς ἡμῖν, Υἱὲ τοῦ Θεοῦ, ἄλλον γὰρ ἐκτός σου Θεὸν οὐ γινώσκομεν, τὸ ὄνομά σου ὀνομάζομεν, ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Ζωὴ ὑπάρχων, Κύριε, καὶ φῶς ἀληθινὸν, Λάζαρον φωνήσας ἀνέστησας· ὡς δυνατὸς γὰρ πᾶσιν ἔδειξας, ὅτι Θεὸς ζώντων, καὶ τῶν νεκρῶν ὑπάρχεις.

Τὴν ἄστεκτόν σου πρόσταξιν μὴ φέρων, Ἰησοῦ, ᾅδης, ὁ πολλοὺς δεξάμενος, ἔπληξε, καὶ τεταρταῖον ὄντα Λάζαρον σὺν τῇ φωνῇ ζῶντα, καὶ οὐ νεκρὸν ἐδίδου.

Τὸν χοῦν συνάψας Πνεύματι ὁ πάλαι τὸν πηλὸν Πνεύματι ψυχώσας ζωῆς, Λόγε, λόγῳ σου, καὶ νῦν δὲ λόγῳ ἐξανέστησας ἐκ τῆς φθορᾶς φίλον, καὶ τῶν καταχθονίων.

Τῷ νεύματι σου, Κύριε, ἀνθέστηκεν οὐδείς· ὅτε γὰρ νεκρὸν ἐφώνεις τὸν Λάζαρον, εὐθὺς ὁ ἄπνους ἐξανίστατο, καὶ τὰ δεσμὰ φέρων ποσὶ περιεπάτει.

Ὢ Ἰουδαίων ἄνοια, ὢ πώρωσις ἐχθρῶν· τίς οἶδε νεκρὸν ἐκ τάφου ἐγείραντα; Ἠλίας πάλαι ἐξανέστησεν ἀλλ' οὐκ ἐκ μνήματος, ἀλλ' οὐδὲ τεταρταῖον.

Ἀνέκραξε, μακρόθυμε, ὁ πάντα δι' ἡμᾶς πράττων ὡς Θεὸς, καὶ πάσχων ὡς ἄνθρωπος, πάντας μετόχους ἡμᾶς ποίησον τῆς σῆς Βασιλείας πρεσβείαις τοῦ Λαζάρου.



Digitized by Google

Δόξα.

ΠΡοάναρχε, συνάναρχε, ὁμότιμε Τριὰς, Πάτερ παντοκράτορ, Υἱὲ, Πνεῦμα ἅγιον, μονὰς ἁγία τρισυπόστατε, τοὺς ἐξ Ἀδὰμ σῶζε πιστῶς σε ἀνυμνοῦντας.

Θεοτοκίον.

ΤῊν ἄχραντον γαστέρα σου ἡγίασεν, ἁγνὴ, σάρκα ἐξ αὐτῆς λαβὼν ὁ ὑπέρθεος, ὁ ἐν Τριάδι προσκυνούμενος, ὁ ἐκ Πατρὸς Λόγος, καὶ σὺν τῷ Πνεύματι Θεός.

Ὠδὴ ϛ'. ὁ Εἱρμός.

ἈΠέῤῥιψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ἔσωσάς με, Σωτὴρ, δουλείας θανάτου, καὶ ἔλυσας τὸν δεσμὸν τῶν ἀνομιῶν μου.

ἨΡώτησας· ποῦ εἰμι· ὁ πάντα γινώσκων, ἐδάκρυσάς με, Σωτὴρ, ὡς ἄνθρωπος φύσει, καὶ ἤγειράς με νεκρὸν τῷ προστάγματί σου.

ἘΦώνησάς με ἐξ ᾅδου, Σωτὴρ, καταπλαγεὶς, βοᾷ Λάζαρος πρὸς σὲ τὸν λυτῆρα τοῦ ᾅδου, καὶ ἤγειράς με νεκρὸν τῷ προστάγματί σου.

ἘΝέδυσάς με, Σωτὴρ, τὸ πήλινον σῶμα, καὶ ἐπενέδυσάς μοι ζωὴν, καὶ εἶδον τὸ φῶς σου, καὶ ἤγειράς με νεκρὸν τῷ προστάγματί σου.

ἘΨύχωσας σὺ τὴν ἄπνουν μορφὴν τῆς σαρκός μου, συνέσφιγξάς με, Σωτὴρ, ὀστέοις, καὶ νεύροις, καὶ ἤγειράς με νεκρὸν τῷ προστάγματί σου.

ΤῊν παμφάγον διαῤῥήξας γαστέρα τοῦ ᾅδου, ἐξήρπασάς με, Σωτὴρ, τῇ σῇ δυναστείᾳ, καὶ ἤγειράς με νεκρὸν τῷ προστάγματί σου.

ἘΦόρεσάς μου, Σωτὴρ, τὸ φύραμα ὅλον, ἐφύλαξας δὲ ἁγνὴν τὴν ἄχραντον μήτραν, ἐξ ἧς προῆλθες σαρκωθεὶς, εἷς ὢν τῆς Τριάδος.

Δόξα.

ΤΡιὰς ἁγία, δοξάζω τὴν σὴν εὐσπλαγχνίαν, καὶ σὺν Ἀγγέλοις ὑμνῶ τὸν τρισάγιον ὕμνον, ἐλέησον τὰς ψυχὰς ἡμῶν, τῶν σὲ ἀνυμνούντων.

Θεοτοκίον.

ΤῊν ἄχραντόν σου νηδὺν ὑπέδυ ὁ Λόγος, ἐτήρησε δὲ αὖθις μετὰ γέννησιν ταύτην ἁγνὴν, Θεογεννῆτορ, θαῦμα ὄντως παράδοξον.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

ΤΟὺς ἐν καμίνῳ Παῖδάς σου, Σωτὴρ, οὐχ ἥψατο, οὐδὲ παρηνώχλησε τὸ πῦρ· τότε οἱ τρεῖς, ὡς ἐξ ἑνὸς στόματος, ὕμνουν, καὶ εὐλόγουν, λέγοντες, εὐλογητὸς ὁ Θεὸς, ὁ τῶν Πατέρων ἡμῶν.

ἘΠὶ νεκρῷ ἐδάκρυσας, Σωτὴρ φιλάνθρωπε· ἵνα δείξῃς πᾶσι τοῖς λαοῖς· ὅτι Θεὸς ὢν, δι' ἡμᾶς ἄνθρωπος ὤφθης· καὶ ἑκὼν ἐδάκρυσας, τύπους ἡμῖν προτιθεὶς ἐνδιαθέτου στοργῆς·

Ὁ Τεταρταῖος Λάζαρος, Σωτὴρ, ὡς ἤκουσε κάτω τῆς φωνῆς σου, ἀναστὰς, ἀνύμνησέ σε, καὶ γηθεὶς, οὕτως ἐβόα· σὺ Θεὸς, καὶ Κτίστης μου, σὲ προσκυνῶ, καὶ ὑμνῶ τὸν ἀναστήσαντά με.

ΕἸ' καὶ δεσμὰ περίκειμαι, ὁ Λάζαρος κάτωθεν ἐβόα, Λυτρωτὰ, ἀλλ' οὐδαμῶς ἐν τῇ γαστρὶ μένω τοῦ ᾅδου, ἐὰν μόνον κράξῃς μοι, Λάζαρε δεῦρο ἔξω· σὺ γάρ μου φῶς, καὶ ζωή.

ΠΑρακαλῶ σε, Λάζαρε, φησὶν, ἀνάστηθι, ἔξελθε τῶν κλεῖθρων μου ταχὺ, ἄπιθι οὖν, καλόν μοι γὰρ, ἵνα θρηνῆται πικρῶς ἀφαιρούμενον, παρὰ πάντας, οὓς πρὶν πεινῶν κατέπιον.

ΚΑὶ τί βραδύνεις, Λάζαρε; φησὶν, ὁ φίλος σου, δεῦρο ἔξω, κράζει ἑστηκὼς, ἔξελθε οὖν, ἵνα κἀγὼ ἄνεσιν λάβω· ἀφ' οὗ γάρ σε ἔφαγον, εἰς ἔμετον ἡ τροφὴ ἀντικατέστη μοι.

ΤΙ' οὐκ ἐγείρῃ Λάζαρε ταχὺ; ἀνέκραζε κάτωθεν ὁ ᾅδης θρηνῳδῶν· τί οὐκ εὐθὺς ἐξαναστὰς τρέχεις τὴν ὡδὶ; ἵνα μὴ καὶ ἄλλους μοι, αἰχμαλωτίσῃ Χριστὸς ἐξαναστήσας σε.

ἘΘαυμαστώθης, Δέσποτα Χριστὲ, ἐξαίσια τότε ἐργασάμενος πολλά· φῶς γὰρ τυφλοῖς, κωφῶν δὲ ὦτα ἤνοιξας λόγῳ, καὶ τὸν φίλον Λάζαρον ἐκ τῶν νεκρῶν, ὡς Θεὸς, φωνήσας ἤγειρας.

Δόξα.

ΤΡιαδικὴν ὑμνήσωμεν ᾠδὴν, δοξάζοντες ἄναρχον Πατέρα, καὶ Υἱὸν, Πνεῦμα εὐθὲς· μοναδικὴν μίαν οὐσίαν· ἣν πιστῶς ὑμνήσωμεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ἡ Τριάς.

Θεοτοκίον.

ὩΣ τῆς Τριάδος ἕνα σε, Χριστὲ, δοξάζομεν, ὅτι ἐκ Παρθένου σαρκωθεὶς δίχα τροπῆς, ἀνθρωπικῶς πάντα ἠνέσχου, μὴ ἐκστὰς τῆς φύσεως τῆς πατρικῆς, Ἰησοῦ, εἰ καὶ ἡνώθης ἡμῖν.

Ὠδὴ η'. ὁ Εἱρμός.

ΟἹ Οὐρανοὶ τῶν Οὐρανῶν, καὶ τὸ ὕδωρ τὸ ὑπεράνω τῶν Οὐρανῶν εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε τὸν Κύριον εἰς τοὺς αἰῶνας.

Ὁ Ποιητὴς, καὶ συνοχεὺς τῶν ἁπάντων δι' εὐσπλαγχνίαν ἐν Βηθανίᾳ ἐπέστη, ἐγεῖραι τὸν Λάζαρον.

Ὁ Τεταρταῖος ὀδωδὸς, καὶ κειρίαις συνειλημμένος ἤλλατο ἔμπνους ὁ ἄπνους, φωνήσαντός σου, Κύριε.

ΤΩ͂ν Ἰουδαίων ὁ λαὸς ὡς ἑώρα τὸν τεθνεῶτα τῇ σῇ φωνῇ ἀναστάντα, Χριστὲ, διεπρίετο.

ΟἹ σκοτεινοὶ περὶ τὸ φῶς Ἰουδαῖοι τί ἀπιστεῖτε τῇ τοῦ Λαζάρου ἐγέρσει; Χριστοῦ τὸ ἐγχείρημα.

ἈΓαλλιάσθω ἡ Σιὼν, καὶ ὑμνείτω τὸν ζωοδότην, τὸν ἀναστήσαντα λόγῳ ἐκ τάφου τὸν Λάζαρον.

ΑἹ στρατιαὶ τῶν Οὐρανῶν, καὶ τὸ γένος τῶν γηγενῶν σε ὕμνησαν, ὅτι, Σωτήρ μου, τὸν Λάζαρον ἤγειρας.

Δό-

Δόξα.

Σὺν τῷ Πατρὶ, καὶ τῷ Υἱῷ, καὶ τὸ Πνεῦμα δοξολογῶ, καὶ ὑμνῶν ἀσιγήτως βοῶ, τρισάγιε, δόξα σοι.

Θεοτοκίον.

Σὲ εὐλογῶ, καὶ προσκυνῶ τὸν τεχθέντα ἐκ τῆς Παρθένου, μὴ χωρισθέντα τοῦ θρόνου τῆς ἁγίας δόξης σου.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, καθεῖλε γὰρ δυνάστας ἀπὸ θρόνων, καὶ ὕψωσε ταπεινοὺς ὁ Θεὸς τοῦ Ἰσραήλ· ἐν οἷς ἐπεσκέψατο ἡμᾶς ἀνατολὴ ἐξ ὕψους, καὶ κατεύθυνεν ἡμᾶς εἰς ὁδὸν εἰρήνης.

Ὑμνείτω τὸ θαῦμα Βηθανία σὺν ἡμῖν· ἐν ταύτῃ γὰρ ἐδάκρυσεν ὁ Κτίστης, τὸν Λάζαρον ἀνιστῶν, νόμῳ φύσεως σαρκὸς, καὶ Μάρθας τὰ δάκρυα λοιπὸν, καὶ τὸν κλαυθμὸν Μαρίας εἰς χαρὰν μεταβαλὼν, τὸν νεκρὸν ἐγείρεις.

Πιστούμενος Λόγε τὴν ἀνάστασιν τὴν σὴν, ἐκάλεσας τὸν Λάζαρον ἐκ τάφου, καὶ ἤγειρας ὡς Θεὸς, ἵνα δείξῃς τοῖς λαοῖς Θεόν τε, καὶ ἄνθρωπον ὁμοῦ ἐν ἀληθείᾳ ὄντα, καὶ ἐγείραντα ναὸν τὸν τοῦ σώματός σου.

Συνέτριψας πύλας, καὶ μοχλοὺς τοὺς σιδηροῦς, ἐφόβησας τὸν ᾅδην τῇ φωνῇ σου, καὶ ἔπληξε σὺν αὐτῷ καὶ ὁ θάνατος εὐθὺς, ὡς εἶδον τὸν Λάζαρον, Σωτὴρ, τὸν παρ' αὐτοῖς δεσμώτην ψυχωθέντα τῇ φωνῇ, καὶ ἐξαναστάντα.

Ἐξέστησαν πάντες, ὡς ἑώρων σε, Σωτὴρ, δακρύοντα τὸν Λάζαρον θανέντα, καὶ ἔλεγον οἱ δεινοί· Ἴδε πῶς αὐτὸν φιλεῖ· εὐθὺς οὖν ἐφώνησας αὐτὸν, καὶ ἀναστὰς ὁ ἄπνους, ἀφῃρεῖτο τὴν φθορὰν τῷ προστάγματί σου.

Ἐσείσθησαν πύλαι, συνετρίβησαν μοχλοὶ, ἐλύθησαν δεσμὰ τοῦ τεθνεῶτος, ὁ ᾅδης δὲ τῇ φωνῇ τῆς δυνάμεως Χριστοῦ πικρῶς ἀνεστέναξε, καὶ ἀνεβόα οἴμοι, τίς καὶ πόθεν ἡ φωνὴ, ἡ νεκροὺς ζωῶσα;

Ἀνάστα ἐντεῦθεν, ὑπακούσας τῆς φωνῆς, ὁ φίλος σου γὰρ ἔξω προσφωνεῖ σε· οὗτος ἐστὶν, ὁ τὸ πρὶν ἀναστήσας τοὺς νεκροὺς, Ἠλίας μὲν ἤγειρε νεκρὸν, καὶ Ἐλισσαῖος ἅμα, ἀλλ' αὐτὸς ἦν δι' αὐτῶν καὶ λαλῶν, καὶ πράττων.

Ὑμνοῦμέν σου, Λόγε, τὴν ἀνείκαστον ἰσχύν· ὁσίοις γὰρ καὶ νέοις τὸν θανέντα ἤγειρας λόγῳ τῷ σῷ, ὡς τῶν ὅλων πλαστουργὸς, καὶ τοῦτον ἀνέστησας, Σωτὴρ, ἐκ τῶν καταχθονίων, ὡς τῆς χήρας τὸν υἱὸν, τὸν ἐπὶ τῆς κλίνης.

Δόξα.

Τριὰς παναγία, Πάτερ ἄναρχε Θεὲ, συνάναρχε Υἱὲ, καὶ θεῖε Λόγε, Παράκλητε ἀγαθὲ, Πνεῦμα ἅγιον Θεοῦ, τὸ ἓν, καὶ τρισήλιον φάος, ἡ συμφυὴς οὐσία, εἷς Θεὸς, καὶ Κύριος, οἰκτείρησον τὸν Κόσμον.

Θεοτοκίον.

Ὁ πάντα ποιήσας ἐν σοφίᾳ, Ἰησοῦ, καὶ ὅλον με φορέσας ἐκ Παρθένου, καὶ ὅλος μένων ἀεὶ ἐν τοῖς κόλποις τοῦ Πατρὸς, τὸ ἅγιόν σου Πνεῦμα, Χριστὲ, ἐπὶ τὸ ποίμνιόν σου καταπέμψας, ὡς Θεὸς, ἐπισκίασον ἡμᾶς.

---

Τῷ Σαββάτῳ τοῦ ἁγίου καὶ δικαίου Λαζάρου εἰς τὸν Ὄρθρον, Θεὸς Κύριος, εἰς ἦχον α΄. καὶ ψαλλομένου τὸ τροπάριον ἐκ τρίτου ἦχ. α΄.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς, ὡς οἱ παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν· Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα ἡ στιχολ. Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου.

Εἰς τὴν α΄. στιχολ. καθ. ἦχ. α΄.

Τοῦ λίθου σφραγισθέντος.

Κατανοήσας τῆς Μάρθας, καὶ Μαρίας τὰ δάκρυα, ἐκκυλισθῆναι τὸν λίθον ἐκ τοῦ τάφου προσέταξας, Χριστὲ ὁ Θεός· ἀνέστησας φωνήσας τὸν νεκρὸν, τὴν τοῦ Κόσμου ζωοδότα, δι' αὐτοῦ πιστούμενος ἀνάστασιν· δόξα τῇ δυναστείᾳ σου, Σωτὴρ, δόξα τῇ ἐξουσίᾳ σου, δόξα τῷ διὰ λόγου πάντα συστησαμένῳ.

Δόξα. Καὶ νῦν· πάλιν τὸ αὐτό. Εἶτα στιχολογούμενον τὸν Ἄμωμον· καὶ λέγομεν καὶ τὰ ἀναστάσιμα εὐλογητάρια.

Τῶν ἀγγέλων ὁ δῆμος· καὶ τὰ λοιπὰ ὡς συνήθως ἐν κυριακῇ ἡμέρᾳ τὴν τάξιν συμπληροῦσιν, καθ. ἦχ. πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Ἡ Πηγὴ τῆς σοφίας, καὶ τῆς προγνώσεως, τοὺς περὶ Μάρθαν ἠρώτας ἐν Βηθανίᾳ παρών, ποῦ τεθείκατε, βοῶν, φίλον τὸν Λάζαρον; ὃν δακρύσας συμπαθῶς, τετραήμερον νεκρὸν ἀνέστησας τῇ φωνῇ σου, φιλάνθρωπε, καὶ οἰκτίρμον, ὡς ζωοδότης, καὶ Κύριος.

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό. Ἀνάστασιν Χριστοῦ θεασάμενοι, καὶ ὁ Ν΄. Εὐαγγέλιον δὲ οὐ λέγομεν εἰμὴ εἰς τὸν Ναὸν τοῦ ἁγίου Λαζάρου. Ἀναγνώσεις δὲ ποιοῦμεν εἰς τὸ κατὰ Ἰωάννην, τὸν περὶ τῆς Ἑορτῆς λόγον ξγ΄. καὶ ξδ΄. Οἱ Κανόνες μέχρι τῆς ϛ΄. ᾠδῆς, ποίημα τοῦ κυρίου Θεοφάνους.

Ἐκεῖ-

Digitized by Google

Ἐκεῖθεν δὲ ἀρχόμεθα τῶν προσομοίων.

Ἱστῶμεν στίχ. ιβ΄. Ὁ Κανών.

Ὠδὴ α΄. ἦχ. πλ. δ΄. ὁ Εἱρμός.

Ἄσωμεν τῷ Κυρίῳ, τῷ διαγαγόντι τὸν λαὸν αὐτοῦ ἐν ἐρυθρᾷ θαλάσσῃ, ᾠδὴν ἐπινίκιον, ὅτι δεδόξασται.

Λάζαρον τεθνεῶτα νεύματι τῷ θείῳ ἐξανέστησας, πλαστουργὸς ὡς ὑπάρχων, καὶ ζωῆς ταμιοῦχος, φιλάνθρωπε.

Λόγῳ τὸν τεταρταῖον Λάζαρον ἀνέστησας, ἀθάνατε, σκοτεινόμορφον ᾅδου διαλύσας ἰσχύϊ βασίλειον.

Πᾶσι τῆς ὑπερθέου γνώρισμα Θεότητος ὑπέδειξας, ἐκ τῶν νεκρῶν ἐγείρας τετραήμερον Λάζαρον, Δέσποτα.

Σήμερον Βηθανία προανακηρύττει τὴν Ἀνάστασιν Χριστοῦ τοῦ ζωοδότου, τῇ ἐγέρσει Λαζάρου χορεύουσα.

Ἕτερος Κανὼν τῇ αὐτῇ ἡμέρᾳ, ποίημα Ἰωάννου Μοναχοῦ. Ὠδὴ α΄. ἦχος πλ. δ΄.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Ὁ πρὶν ἐκ μὴ ὄντων παραγαγὼν τὴν σύμπασαν κτίσιν, καὶ γινώσκων τῶν καρδιῶν ταμιεῖα, προλέγεις ὡς Δεσπότης τοῖς Μαθηταῖς τοῦ Λαζάρου τὴν κοίμησιν.

Τὸν ἄνθρωπον φύσει οὐσιωθεὶς, Χριστὲ, ἐκ Παρθένου, τοῦ Λαζάρου σὺ τὴν ταφὴν μαθεῖν ἐπηρώτας ὡς ἄνθρωπος, οὐκ ἀγνοῶν ὡς Θεὸς ὅπου ἔκειτο.

Πιστούμενος, Λόγε, τὴν σεαυτοῦ Ἀνάστασιν ὄντως, ὡς ἐξ ὕπνου τὸν προσφιλῆ ἀνέστησας ἤδη ὀδωδότα, τὸν τεταρταῖον νεκρὸν ἐκ τοῦ μνήματος.

Θεοτοκίον.

Τάξεις σε Ἀγγέλων, καὶ τῶν βροτῶν, ἀνύμφευτε Μῆτερ, εὐφημοῦσιν ἀνελλιπῶς, τὸν Κτίστην γὰρ τούτων, ὥσπερ βρέφος, ἐν ταῖς ἀγκάλαις σου ἐβάστασας.

Καταβασία. ὁ Εἱρμός.

Ὑγρὰν διοδεύσας ὡσεὶ ξηρὰν, καὶ τὴν αἰγυπτίαν μοχθηρίαν διαφυγὼν ὁ Ἰσραηλίτης ἀνεβόα· τῷ Λυτρωτῇ, καὶ Θεῷ ἡμῶν ᾄσωμεν.

Ὠδὴ γ΄. ὁ Εἱρμός.

Σὺ εἶ τὸ στερέωμα τῶν προστρεχόντων σοι, Κύριε, σὺ εἶ τὸ φῶς τῶν ἐσκοτισμένων, καὶ ὑμνεῖ σε τὸ πνεῦμά μου.

Δύο προβαλλόμενος τὰς ἐνεργείας σου, ἔδειξας τῶν οὐσιῶν, Σῶτερ, τὴν διπλόην, Θεὸς γὰρ εἶ, καὶ ἄνθρωπος.

Ἄβυσσος ὢν γνώσεως, σὺ ἐρωτᾷς ποῦ τέθειται ὁ τεθνεὼς, μέλλων ἀναστήσειν, ζωοδότα, τὸν κείμενον.

Τρόπους ἀμειβόμενος, ὡς γεγονὼς βροτὸς πέφηνας περίγραπτος, ὁ πληρῶν τὰ πάντα, ὡς Θεὸς ἀπερίγραπτος.

Λάζαρον ἐξήγειρας τῷ θείῳ σου, Χριστὲ, ῥήματι, κἀμὲ πολλοῖς πταίσμασι θανέντα ἐξανάστησον, δέομαι.

Ἄλλος. Οὐρανίας ἁψῖδος.

Ἐπιστὰς σὺ τῷ τάφῳ, θαυματουργὲ Κύριε, ἐν τῇ Βηθανίᾳ Λαζάρου, τοῦτον ἐδάκρυσας νόμῳ τῆς φύσεως, πιστοποιῶν σου τὴν σάρκα, Ἰησοῦ ὁ Θεός μου, ἥνπερ προσείληφας.

Τῆς Μαρίας τὸ πένθος σὺ παρελθὼν ἔπαυσας, Σῶτερ, καὶ τῆς Μάρθας δεικνύων τὸ αὐτεξούσιον· σὺ γὰρ ἀνάστασις, καὶ σὺ ζωὴ, ὥσπερ ἔφης, ἀληθείας πέλεις γὰρ καὶ πάντων Κύριος.

Εἰλημμένον κειρίαις τὸν προσφιλῆ, Κύριε, ᾅδου ἐκ νεκάδων, καὶ ζόφου τοῦτον ἀφήρπασας, σὺ ἐν τῷ λόγῳ σου τῷ πανσθενεῖ τοῦ θανάτου διαῤῥήξας κλεῖθρά τε, καὶ τὰ βασίλεια.

Ἐνοικήσας Παρθένῳ σωματικῶς, Κύριε, ὤφθης τοῖς ἀνθρώποις, ὡς ἔπρεπε θεαθῆναι σε, ἣν καὶ ἀνέδειξας, ὡς ἀληθῆ Θεοτόκον, καὶ πιστῶν βοήθειαν, μόνε φιλάνθρωπε.

Ὁ Εἱρμός.

Οὐρανίας ἁψῖδος ὀροφουργὲ Κύριε, καὶ τῆς Ἐκκλησίας δομῆτορ, σύ με στερέωσον ἐν τῇ ἀγάπῃ τῇ σῇ, τῶν ἐφετῶν ἡ ἀκρότης, τῶν πιστῶν τὸ στήριγμα, μόνε φιλάνθρωπε.

Καθ. ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Συμπαρέστησαν Χριστῷ αἱ τοῦ Λαζάρου ἀδελφαὶ, καὶ δακρύουσαι πικρῶς, καὶ ὀλολύζουσαι αὐτῷ ἔφησαν, Κύριε, τέθνηκε Λάζαρος, αὐτὸς δὲ ὡς Θεὸς οὐκ ἀγνοῶν τὴν ταφὴν, ἠρώτα πρὸς αὐτὰς, ποῦ τεθήκατε; καὶ προσελθὼν τῷ τάφῳ, προσεφώνει τὸν τετραήμερον Λάζαρον· εὐθὺς ἀνέστη, καὶ προσεκύνει τὸν αὐτὸν ἀναστήσαντα.

Ἕτερον, ἦχ. πλ. δ΄. Τὴν σοφίαν, καὶ Λόγον.

Προγινώσκων τὰ πάντα ὡς ποιητὴς, ἐν Βηθανίᾳ προεῖπας τοῖς Μαθηταῖς, ὁ φίλος ἡμῶν Λάζαρος κεκοίμηται σήμερον, καὶ εἰδὼς ἠρώτας φησί· ποῦ τεθήκατε; καὶ τῷ Πατρὶ προσηύξω δακρύσας ὡς ἄνθρωπος· ὅθεν καὶ φωνήσας ὃν ἐφίλεις, ἐξ ᾅδου ἀνέστησας, Κύριε, τετραήμερον Λάζαρον· διὰ τοῦτο βοῶμέν σοι, πρόσδεξαι, Χριστὲ ὁ Θεὸς, τῶν τολμώντων προσφέρειν τὴν αἴνεσιν, καὶ καταξίωσον πάντας τῆς δόξης σου.

Ὠδὴ δ΄. ὁ Εἱρμός.

Εἰσακήκοα, Κύριε, τῆς οἰκονομίας σου τὸ μυστήριον, κατενόησα τὰ ἔργα σου, καὶ ἐδόξασά σου τὴν Θεότητα.

Οὐ συμμάχου δεόμενος, ἀλλ' οἰκονομίαν τελῶν ἀπόρρητον, προσευχόμενος ἀνέστησας νεκρὸν τετραήμερον, παντοδύναμε.

Ὁ Πατρὶ συναΐδιος Λόγος καὶ Θεὸς τὸ πρὶν καθορώμενος, νῦν ὡς ἄνθρωπος προ-

προσδέχεται, προσδεχὰς ὁ πάντων προσδεχόμενος.

Η Φωνή σου κατέλυσε, Σῶτερ, τοῦ θανάτου πᾶσαν τὴν δύναμιν, τὰ θεμέλια τοῦ ᾅδου δὲ θεϊκῇ δυνάμει διεκλόνησε.

Θεοτοκίον.

ΤΗν Παρθένον ὑμνήσωμεν, ὡς μετὰ τὸν τόκον Παρθένον μείνασαν, καὶ κυήσασαν Χριστὸν τὸν Θεὸν, τὸν ἐκ πλάνης Κόσμον λυτρωσάμενον.

Εἱρμὸς ἄλλος. Σύ μου, Χριστὲ, Κύριος.

ΣΥ ὡς ποιμὴν ἥρπασας, Σῶτερ, τὸν ἄνθρωπον, τὸν φθαρέντα ἤδη τετραήμερον, δημιουργεῖ, λύκου ἐκ δεινοῦ ὄντως, καὶ παμφάγου, ὡς δυνατός τε, καὶ Κύριος ἐν τούτῳ προδεικνύων τὴν παγκόσμιον δόξαν τῆς σῆς νῦν τριημέρου ἐγέρσεως.

ΣΕ τὴν ζωὴν βλέπουσαι αἱ περὶ Μάρθαν, Χριστὲ, ἀνεβόων, εἰ ἧς ὧδε, Κύριε, ὁ φωτισμὸς πάντων, καὶ ζωὴ, ὅλως οὐ τεθνήκει, νεκρὸς οὐκ ὤφθη ὁ Λάζαρος· ζωὴ δὲ τῶν θανόντων σὺ φιλάνθρωπε πέλων, εἰς χαρὰν μεταστρέψεις τὸ πένθος αὐτῶν.

ΣΕ τὴν πηγὴν φρίττουσι, Κύριε, ἄβυσσοι, σοὶ δουλεύει ἡ ὑγρὰ ἡ σύμπασα, σὲ πυλωροὶ τρέμουσι, Χριστέ· ᾅδου δὲ τὰ κλεῖθρα τῷ κράτει σου διαλύονται, Λαζάρου ἀναστάντος ἐκ νεκρῶν τῇ φωνῇ σου, παντοδύναμε Σῶτερ φιλάνθρωπε.

Θεοτοκίον.

ΣΥ τῶν πιστῶν καύχημα πέλεις, ἀνύμφευτε, σὺ προστάτις, σὺ καὶ καταφύγιον, χριστιανῶν τεῖχος, καὶ λιμήν· πρὸς γὰρ τὸν Υἱόν σου ἐντεύξεις φέρεις, πανάμωμε, καὶ σώζεις ἐκ κινδύνων τοὺς ἐν πίστει, καὶ πόθῳ Θεοτόκον ἁγνήν σε γινώσκοντας.

Ὁ Εἱρμός.

ΣΥ μου ἰσχὺς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θεός μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς
„ κόλπους μὴ λιπὼν, καὶ τὴν ἡμετέραν πτωχείαν
„ ἐπισκεψάμενος· διὸ σὺν τῷ Προφήτῃ Ἀββακοὺμ
„ σοι κραυγάζω, τῇ δυνάμει σου δόξα, φιλάν-
„ θρωπε.

Ὠδὴ ε΄. ὁ Εἱρμός. Ἵνα τί με ἀπώσω.

ΕΠιστὰς τῷ Λαζάρου μνήματι, φιλάνθρωπε, τοῦτον ἐκάλεσας, καὶ ζωὴν παρέχεις, ὡς ζωὴ χρηματίζων ἀθάνατος· τῶν βροτῶν ἁπάντων, υἱὲ Θεὸς, τὴν ἐσομένην προδιατυπῶν προδήλως ἀνάστασιν.

ΔΕδεμένος τοὺς πόδας Λάζαρος ἐβάδιζε, θαῦμα ἐν θαύμασι· καὶ γὰρ μεῖζον ὤφθη τοῦ κωλύοντος ὁ ἐνισχύων Χριστὸς, οὗ τῷ λόγῳ πάντα δουλοπρεπῶς ὑπηρετοῦσιν, ὡς Θεῷ, καὶ Δεσπότῃ δουλεύοντα.

ΟΝεκρὸν ὀδώδοτα Λάζαρον ἐγείρας, Χριστὲ, τετραήμερον, ἐξανάστησόν με νεκρωθέντα νῦν ἁμαρτήμασι, καὶ τεθέντα λάκκῳ, καὶ σκοτεινῇ σκιᾷ θανάτου· ἀλλὰ ῥῦσαι, καὶ σῶσον ὡς εὔσπλαγχνος.

Ὁ αὐτός.

ΤΩ Πατρὶ νέμων δόξαν, ὥσπερ οὐκ ἀντίθεος, ἦλθες εὐχόμενος τὸν περιεστῶτα σοὶ πιστούμενος ὄχλον, μακρόθυμε, τὴν εὐχαριστίαν τῷ σῷ Πατρὶ προσαναφέρων, τῇ κελεύσει ἐγείρων τὸν Λάζαρον.

ΩΦωνῆς θεοφθόγγου, θείας τε δυνάμεως, Σῶτερ, τοῦ κράτους σου, δι' ἧς ᾅδου πύλας τοῦ παμφάγου θανάτου συνέτριψας· ἀλλ' ἐξάρπασόν με, ὥσπερ τὸν πρὶν, ἐκ τῶν παθῶν μου, τετραήμερον φίλον σου Λάζαρον.

ΙΚεσίαις Λαζάρου, Μάρθας καὶ Μαρίας τε ἡμᾶς ἀξίωσον θεατὰς γενέσθαι τοῦ Σταυροῦ, καὶ τοῦ Πάθους σου, Κύριε, καὶ τῆς λαμπροφόρου τῆς ἡμέρας, καὶ βασιλίδος Ἀναστάσεως τῆς σῆς, φιλάνθρωπε.

Θεοτοκίον.

ΜΗτρικὴν παῤῥησίαν τὴν πρὸς τὸν Υἱόν σου κεκτημένη, πανάγνε, συγγενοῦς προνοίας τῆς ἡμῶν μὴ παρίδῃς, δεόμεθα· ὅτι σὲ καὶ μόνην, χριστιανοὶ, πρὸς τὸν Δεσπότην ἱλασμὸν εὐμενῆ προβαλλόμεθα.

Ὁ Εἱρμός.

ΙΝα τί με ἀπώσω ἀπὸ τοῦ προσώπου σου τὸ φῶς
„ τὸ ἄδυτον· καὶ ἐκάλυψέ με τὸ ἀλλότριον σκό-
„ τος τὸν δείλαιον; ἀλλ' ἐπίστρεψόν με, καὶ
„ πρὸς τὸ φῶς τῶν ἐντολῶν σου τὰς ὁδούς μου κα-
„ τεύθυνον, δέομαι.

Ἐντεῦθεν ἄρχονται τὰ Τετραῴδια.

Τοὺς Εἱρμοὺς ἀνὰ β΄. καὶ τὰ τροπάρια ἀνὰ δ΄.

Τοῦ Κυρίου Κοσμᾶ. Ὠδὴ ς΄.

Ἦχος πλ. δ΄. ὁ Εἱρμός.

ΤΟν Ἰωνᾶν ἐν τῷ κήτει, Κύριε, μονώτατον κατῴκησας, ἐμὲ δὲ τὸν πεπεδημένον ἐν
„ ἄρκυσι τοῦ ἐχθροῦ, ὡς ἐκ φθορᾶς ἐκεῖνον, διάσω-
„ σον.

ΑΓάπη σου εἰς Βηθανίαν, Κύριε, ἀπήγαγε πρὸς Λάζαρον, καὶ τοῦτον ἤδη ὀδωδότα ἀνέστησας ὡς Θεὸς, καὶ ἐκ δεσμῶν τοῦ ᾅδου λύσας·

ΗΜάρθα μὲν ἀπεγνώκει Λάζαρον, ὡς ἤδη τετραήμερον, Χριστὸς δὲ τὸν διαφθαρέντα ἀνέστησεν ὡς Θεὸς, καὶ εἰς ζωὴν μετήγαγε ῥήματι.

Εἱρμὸς ἄλλος Ἰωάννου μοναχοῦ, ἦχος ὁ αὐτός· Ἱλάσθητί μοι Σωτὴρ

ΘΕὸς ὢν ἀληθινὸς, Λαζάρου ἔγνως τὴν κοίμησιν, καὶ ταύτην τοῖς Μαθηταῖς τοῖς σοῖς προηγόρευσας, πιστούμενος, Δέσποτα, τῆς Θεότητός σου τὴν ἀόριστον ἐνέργειαν.

ΤΗ σαρκὶ περιγραπτὸς ὑπάρχων ὁ ἀπερίγραπτος, εἰς Βηθανίαν ἐλθὼν, ὡς ἄνθρωπος, Δέ-

Digitized by Google

Δέσποτα, δακρύεις τὸν Λάζαρον· ὡς Θεὸς δὲ θέλων, ἀνιστᾷς τὸν τετραήμερον.

Ὁ Εἱρμός.

Ἱλάσθητί μοι, Σωτὴρ, πολλαὶ γὰρ αἱ ἀνομίαι μου, καὶ ἐκ βυθοῦ τῶν κακῶν ἀνάγαγε, δέομαι· πρὸς σὲ γὰρ ἐβόησα, καὶ ἐπάκουσόν μου ὁ Θεὸς τῆς σωτηρίας μου.

Κοντάκιον, ἦχος β'. Τὰ ἄνω ζητῶν.

Ἡ Πάντων χαρὰ Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς, ἡ ζωὴ τοῦ Κόσμου, ἡ ἀνάστασις τοῖς ἐν γῇ πεφανέρωται τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.

Ὁ Οἶκος.

Τοῖς Μαθηταῖς, ὁ Κτίστης τῶν ὅλων προηγόρευσε, λέγων· ἀδελφοὶ, καὶ γνωστοὶ, ἡμῶν ὁ φίλος κεκοίμηται· τούτοις προλέγων, καὶ ἐκδιδάσκων, ὅτι πάντα γινώσκεις ὡς Κτίστης πάντων, ἄγωμεν οὖν, πορευθῶμεν, καὶ ἴδωμεν ξένην ταφὴν, καὶ θρῆνον τὸν τῆς Μαρίας, καὶ τὸν τάφον Λαζάρου ὀψώμεθα· ἐκεῖ γὰρ μέλλω θαυματουργεῖν, ἐκτελῶν τοῦ Σταυροῦ τὰ προοίμια, καὶ πᾶσι παρέχων θείαν ἄφεσιν.

Τὸ Συναξάριον.

Στίχ. Θρηνεῖς Ἰησοῦ, τοῦτο θνητῆς οὐσίας.
Ζωοῖς φίλον σου, τοῦτο θείας ἰσχύος.

Τῇ αὐτῇ ἡμέρᾳ τὴν ἔγερσιν ἑορτάζομεν τοῦ ἁγίου, καὶ δικαίου φίλου Χριστοῦ Λαζάρου τοῦ τετραημέρου· οὗτος Ἑβραῖος μὲν ἦν τὸ γένος, Φαρισαῖος δὲ τὴν αἵρεσιν· καὶ υἱὸς, ὥς πη εὕρηται, τοῦ Φαρισαίου ὢν Σίμωνος, ἀπὸ Βηθανίας τῆς κώμης ὁρμώμενος· τοῦ δὲ Κυρίου ἡμῶν Ἰησοῦ τὰς κατὰ γῆν ποιουμένου διατριβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ οὗτος εἰς φιλίαν αὐτῷ ἐνοῦται· πρὸς γὰρ τὸν Σίμωνα τοῦ Χριστοῦ συνεχῶς διαλεγομένου, ἅτε καὶ αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν μάλα πρεσβεύοντος, καὶ τῇ οἰκίᾳ τούτου προσβάλλοντος συνεχέστερον, ὁ Λάζαρος εἰς γνησιότητα στέργεται· οὐκ αὐτὸς δὲ μόνος, ἀλλὰ καὶ αἱ δύο τούτου ἀδελφαὶ, ἡ Μάρθα δηλονότι, καὶ ἡ Μαρία· ἤδη δὲ τοῦ σωτηρίου πάθους ἐγγίζοντος, ἐπεὶ ἔδει τὸ τῆς ἀναστάσεως μυστήριον ἀκριβέστερον πιστωθῆναι· ἦν μὲν διατρίβων ὁ Ἰησοῦς πέραν τοῦ Ἰορδάνου· πρότερον τὸν τοῦ Ἰαείρου παῖδα, καὶ τὸν τῆς χήρας ἐκ νεκρῶν ἀναστήσας· ὁ δὲ φίλος αὐτοῦ Λάζαρος νόσῳ βαρείᾳ κατεργασθεὶς τέθνηκεν· Ἰησοῦς οὖν, καὶ εἰπὼν, λέγει τοῖς Μαθηταῖς. Λάζαρος ὁ φίλος ἡμῶν κεκοίμηται· καὶ μικρὸν αὖθις διαλιπὼν, Λάζαρος, φησὶν, ἀπέθανεν· ἔρχεται οὖν εἰς Βηθανίαν, τὸν Ἰορδάνην λιπὼν, ὡς παρὰ τῶν ἀδελφῶν αὐτοῦ διαμηνυθείς· διέχει δὲ τῶν Ἱεροσολύμων ἡ Βηθανία ὡσεὶ στάδια πεντεκαίδεκα· καὶ προϋπήντησαν αὐτῷ αἱ ἀδελφαὶ τοῦ Λαζάρου, λέγουσαι. Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός· ἀλλὰ καὶ νῦν εἴ σοι βουλητὸν, ἐγερεῖς αὐτόν· δύνασαι γάρ· ἐρωτᾷ δὲ τὸν ὄχλον ὁ Ἰησοῦς, ποῦ τεθήκατε αὐτόν; καὶ αὐτίκα πάντες προσῆγον ἐπὶ τὸ μνῆμα· καὶ τοῦ λίθου ἀρθέντος, ἡ Μάρθα λέγει. Κύριε, ἤδη ὄζει, τεταρταῖος γάρ ἐστιν· εἶτα προσευξάμενος ὁ Ἰησοῦς, καὶ δάκρυα τῷ κειμένῳ καταγαγὼν, φωνῇ μεγάλῃ ἐκραύγασε. Λάζαρε, δεῦρο ἔξω· καὶ αὐτίκα ὁ τεθνηκὼς ἐξῆλθε, καὶ λυθεὶς, ἀνεχώρησεν οἴκαδε· τοῦτο τὸ ξένον τεράστιον εἰς φθόνον διεγείρει τὸν τῶν Ἑβραίων λαὸν, καὶ κατὰ τοῦ Χριστοῦ ἐκμαίνεται· ὁ δὲ Ἰησοῦς πάλιν φυγὰς ᾤχετο· οἱ δὲ Ἀρχιερεῖς καὶ τὸν Λάζαρον ἀποκτεῖναι διενοήθησαν· διότι πολλοὶ αὐτὸν ὁρῶντες Χριστῷ προσετίθεντο· ἀλλ' ἐκεῖνος τὰ σκεπτόμενα ἐγνωκὼς, πρὸς τὴν Κύπρον νῆσον διαδιδράσκει, κἀκεῖσε διατρίβων, ἐσύστερον παρὰ τῶν Ἀποστόλων Ἀρχιερεὺς τῆς Κιτιαίων ἀναδείκνυται πόλεως· καλῶς δὲ καὶ θεοφιλῶς πολιτευσάμενος, μετὰ τριακονταετῆ χρόνον τῆς αὐτοῦ ἀναβιώσεως θνήσκει πάλιν· κἀκεῖσε δὲ θάπτεται, πολλὰ θαυμάσια κατεργασάμενος· λέγεται δὲ μετὰ τὴν ἀναβίωσιν μηδέν τινος ἐσθίειν χωρὶς γλυκάζοντος· καὶ ὅτι τὸ αὐτοῦ ὠμοφόριον ἡ πάναγνος τοῦ Θεοῦ Μήτηρ οἰκείαις ἐπισκευασαμένη χερσὶν αὐτῷ ἐχαρίσατο· τοῦτο τὸ τίμιον, καὶ ἅγιον λείψανον ὁ σοφώτατος βασιλεὺς Λέων ἔκ τινος ὄψεως θειοτέρας ἐκεῖθεν μετακομισάμενος, ἐν τῷ κατὰ τὴν Κωνσταντίνου πόλιν παρ' αὐτοῦ δομηθέντι Ναῷ εἰς ὄνομα τούτου σεμνῶς, καὶ πολυτελῶς κατατίθησιν, εἰς δεξιὰ τοῦ Νεὼ εἰσιόντι, κατὰ τοὺς τοῦ ἱεροῦ Βήματος ἐμπροσθίους τοίχους· καὶ νῦν εἰσέτι μένει τὸ τίμιον αὐτοῦ λείψανον, ἄρρητόν τινα εὐωδίαν ἀποτελοῦν· Ἑορτάζεσθαι δὲ κατὰ τὴν παροῦσαν ἡμέραν ἐτάχθη ἡ αὐτοῦ Ἔγερσις, ὅτι οἱ ἅγιοι, καὶ θεοφόροι Πατέρες ἡμῶν, μᾶλλον δὲ οἱ ἅγιοι Ἀπόστολοι μετὰ τὴν τεσσαρακονθήμερον Νηστείαν, διὰ τὴν κάθαρσιν τὰ ἅγια Πάθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μέλλοντες θεῖναι· ἐπειδὴ τοῦτο τὸ θαῦμα ἀρχὴν, καὶ αἰτίαν μάλιστα εὗρον τῆς κατὰ τοῦ Χριστοῦ μανίας τῶν Ἰουδαίων, κατὰ τοῦτο ἐνταῦθα τὸ ὑπερφυὲς τοῦτο τεράστιον ἔθεντο· ὃ δὴ ὁ Εὐαγγελιστὴς Ἰωάννης μόνος συγγράφεται, ὡς τῶν ἄλλων Εὐαγγελιστῶν παραλιπόντων αὐτό· ἴσως ὅτι ζῶν ἦν ὁ Λάζαρος, καὶ ὁρώμενος· λέγεται μέντοι, ὅτι καὶ δι' αὐτὸ τοῦτο καὶ τὸ λοιπὸν συνεγράψατο Εὐαγγέλιον· καὶ ὅτι οὐδὲν περὶ τῆς ἀνάρχου Γεννήσεως τοῦ Χριστοῦ οἱ ἄλλοι διέλαβον· τοῦτο γὰρ ἦν τὸ ζητούμενον πιστευθῆναι, ὅτι Υἱὸς Θεοῦ, καὶ Θεὸς ἦν ὁ Χριστός· καὶ ὅτι ἀνέστη, καὶ ἀνάστασις ἔσεται τῶν νεκρῶν· ὃ διὰ τὸν Λάζαρον μᾶλλον πιστεύεται· οὐδὲν δὲ περὶ τῶν ἐν ᾅδου ὁ Λάζαρος εἶπεν, ἢ ὅτι οὐ συνεχωρήθη τελείως ἰδεῖν τὰ ἐκεῖσε, ἢ ἰδὼν, σιγῆσαι ταῦτα, ἐκελεύσθη·

λευθῆ· ἀπὸ τούτου καὶ πᾶς ἄνθρωπος ἄρτι θανὼν Λάζαρος λέγεται· καὶ τὸ ἐντάφιον ἔνδυμα πάλιν λαζάρωμα καλεῖται, αἰνιττομένου τοῦ λόγου εἰς μνείαν τοῦ πρώτου Λαζάρου ἔρχεσθαι· εἰ γὰρ ἐκείνου λόγῳ Χριστοῦ ἀνέστη, καὶ ἀνεβίωσεν αὖθις, οὕτω καὶ οὗτος εἰ καὶ ἔθανεν, ἀλλ' ἐν τῇ ἐσχάτῃ σάλπιγγι ἀναστὰς, αἰωνίως ζήσεται. Ταῖς τοῦ σοῦ φίλου Λαζάρου πρεσβείαις, Χριστὲ ὁ Θεὸς, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. Ὁ Εἱρμός.

ΠΑῖδες Ἑβραίων ἐν καμίνῳ κατεπάτησαν τὴν φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ μετέβαλον, βοῶντες, εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

ΔΑκρύσας ὡς ἄνθρωπος, οἰκτίρμον, ἐξανέστησας ὡς Θεὸς τὸν ἐν τάφῳ, καὶ τοῦ ᾅδου λυθεὶς ὁ Λάζαρος ἐβόα, εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

ἘΞῆλθε κειρίαις δεδεμένος, χάους ᾅδου τε, καὶ ζόφου ἀποδράσας τοῦ Δεσπότου τῷ λόγῳ ὁ Λάζαρος κραυγάζων, εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.

Ἄλλος. Οἱ ἐκ τῆς Ἰουδαίας.

ἘΠὶ φίλῳ δακρύσας, τὸ τῆς Μάρθας, οἰκτίρμον, δάκρυον ἔπαυσας, καὶ πάθει ἑκουσίῳ ἀφεῖλες ἐκ προσώπου τοῦ λαοῦ σου πᾶν δάκρυον, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΤΗ͂ς ζωῆς ὁ ταμείας τὸν νεκρὸν ὡς ὑπνοῦντα, Σῶτερ, ἐκάλεσας, καὶ λόγῳ τὴν τοῦ ᾅδου γαστέρα διαρρήξας, ἐξανέστησας ψάλλοντα, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

ΤΟ`ν νεκρὸν ὀδωδότα δεδεμένον κειρίαις, Δέσποτα, ἤγειρες· κἀμὲ πεπεδημένον σειραῖς ἁμαρτημάτων διανάστησον ψάλλοντα, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὁ Εἱρμός.

ΟἹ ἐκ τῆς Ἰουδαίας καταντήσαντες Παῖδες ἐν Βαβυλῶνί ποτε, τῇ πίστει τῆς Τριάδος τὴν φλόγα τῆς καμίνου κατεπάτησαν ψάλλοντες, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η'. Ὁ Εἱρμός.

ΜΟυσικῶν ὀργάνων συμφωνούντων, καὶ λαῶν ἀπείρων προσκυνούντων εἰκόνι τῇ ἐν Δεηρᾷ, τρεῖς Παῖδες μὴ πεισθέντες, τὸν Κύριον ἀνύμνουν, καὶ ἐδοξολόγουν εἰς πάντας τοὺς αἰῶνας.

ὩΣ ποιμὴν τὸν ἄρνα κατιχνεύσας, καὶ ἐκ λύκου δεινοῦ ὀλετῆρος ἁρπάσας ὁ ἐπικρατὴς, φθαρέντα ἐκαινούργεις, βοῶντα σοι, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ὩΣ βροτὸς τὸν τάφον ἐπεζήτεις, τὸν νεκρὸν ὡς πλάστης ἀναστήσας προστάγματι δεσποτικῷ· ὃν ᾅδης κατεπλάγη βοῶντά σοι, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἄλλος. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

ἘΠιζητεῖς μὲν ὥσπερ θνητὸς, ὡς Θεὸς δὲ ἀνιστᾷς λόγῳ τὸν τεταρταῖον· ὅθεν σε ὑμνοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

ΣΟὶ εὐγνωμόνως ὡς ὀφειλὴν τοῦ συγγόνου ἡ Μαρία, Δέσποτα, προσφέρει μύρον, ἀνυμνοῦσα εἰς πάντας τοὺς αἰῶνας.

ἘΠικαλεῖς μὲν ὥσπερ βροτὸς τὸν Πατέρα, ὡς Θεὸς δὲ Λάζαρον ἐγείρεις· ὅθεν σε ὑμνοῦμεν, Χριστὲ, εἰς τοὺς αἰῶνας.

Αἰνοῦμεν, εὐλογοῦμεν. Ὁ Εἱρμός.

ΤΟ`ν Βασιλέα τῶν Οὐρανῶν ὃν ὑμνοῦσι, στρατιαὶ τῶν Ἀγγέλων ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται.

Ὠδὴ θ'. ὁ Εἱρμός.

ΤΗ`ν ἁγνὴν ἐνδόξως τιμήσωμεν, λαοὶ, Θεοτόκον, τὴν τὸ θεῖον πῦρ ἐν γαστρὶ ἀφλέκτως συλλαβοῦσαν ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν.

ΟἹ λαοὶ ἰδόντες βαδίζοντα νεκρὸν τεταρταῖον, ἐκπλαγέντες τῷ θαύματι ἀνεβόων τῷ Λυτρωτῇ, Θεόν σε ἐν ὕμνοις μεγαλύνοντες.

ΠΡοπιστῶν τὴν ἔνδοξον ἔγερσιν τὴν σὴν, ὦ Σωτήρ μου, νεκρὸν τετραήμερον ἐκ τοῦ ᾅδου ἐλευθεροῖς τὸν Λάζαρον· ἐν ὕμνοις μεγαλύνω σε.

Ἄλλος. Κυρίως Θεοτόκον.

ΤΙμῶν σου τὸν Πατέρα, καὶ ἀποδεικνύων, ὡς οὐκ ἀντίθεος ἦσθα, προσεύχῃ, Χριστὲ, αὐτεξουσίως ἐγείρεις τὸν τετραήμερον.

ἘΚ τάφου τεταρταῖον Λάζαρον ἐγείρεις, τῆς τριημέρου, Χριστέ, σου Ἐγέρσεως παναληθέστατον πᾶσι δεικνύων μάρτυρα.

ΒΑδίζεις, καὶ δακρύεις, φθέγγῃ τε, Σωτήρ μου, τὴν ἀνθρωπίνην δεικνύς σου ἐνέργειαν, τὴν θεϊκὴν δὲ μηνύων, ἐγείρεις Λάζαρον.

ἘΝήργησας ἀφράστως, Δέσποτα Σωτήρ μου, καθ' ἑκατέραν τῶν δύο σου φύσεων αὐτεξουσίῳ θελήσει τὴν σωτηρίαν μου.

Ὁ Εἱρμός.

ΚΥρίως Θεοτόκον σὲ ὁμολογοῦμεν οἱ διὰ σοῦ σεσωσμένοι, Παρθένε ἁγνὴ, σὺν ἀσωμάτοις χορείαις σὲ μεγαλύνοντες.

Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν, ἐκ τρίτου.

Ἐξαποστειλάριον Ἰδιόμελον· ἐκ δευτέρου.

ΛΟ´γῳ σου, Λόγε τοῦ Θεοῦ, Λάζαρος νῦν ἐξάλλεται, πρὸς βίον παλινδρομήσας, καὶ μετὰ κλάδων οἱ λαοί σε, κραταιὲ, γεραίρουσιν, ὅτι εἰς τέλος ὀλέσεις τὸν ᾅδην θανάτῳ σου.

Ἕτερον Ὅμοιον ἅπαξ.

ΔΙὰ Λαζάρου σε Χριστὸς ἤδη σκυλεύει, θάνατε, καὶ ποῦ σου ᾅδη τὸ νῖκος; τῆς Βηθανίας ὁ κλαυθμὸς νῦν ἐπὶ σὲ μεθίσταται· πάντες κλάδους τῆς νίκης αὐτῷ ἐπισείωμεν.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. η΄. Καὶ ψάλλομεν στίχ. ἰδιόμ. τοὺς δ΄. α΄. α΄. τοὺς δύο δ΄. δ΄. Καὶ τοὺς δύο πλ. δ΄. ἦχος α΄.

Δόξα αὕτη ἐστί.

Ἀνάστασις, καὶ ζωὴ τῶν ἀνθρώπων ὑπάρχων, Χριστέ, ἐν τῷ μνήματι Λαζάρου ἐπέστης, πιστούμενος ἡμῖν τὰς δύο οὐσίας σου, μακρόθυμε· ὅτι Θεός, καὶ ἄνθρωπος ἐξ ἁγνῆς Παρθένου παραγέγονας, ὡς μὲν γὰρ βροτὸς ἐπηρώτας ποῦ τέθαπται; ὡς δὲ Θεὸς ἀνέστησας ζωηφόρῳ νεύματι τὸν τετραήμερον.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, ἦχος α΄.

Λάζαρον τεθνεῶτα τετραήμερον ἀνέστησας ἐξ ᾅδου, Χριστέ, πρὸ τοῦ σοῦ θανάτου δονήσας τοῦ θανάτου τὸ κράτος· καὶ δι' ἑνὸς προσφιλοῦς τὴν πάντων ἀνθρώπων προμηνύων ἐκ φθορᾶς ἐλευθερίαν· διὸ προσκυνοῦντές σου τὴν παντοδύναμον ἐξουσίαν, βοῶμεν, εὐλογημένος εἶ, Σωτήρ, ἐλέησον ἡμᾶς.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις, ἦχος α΄.

Μάρθα, καὶ Μαρία τῷ Σωτῆρι ἔλεγον, εἰ ἦς ὧδε, Κύριε, οὐκ ἂν τέθνηκε Λάζαρος. Χριστὸς δὲ ἡ ἀνάστασις τῶν κεκοιμημένων τὸν ἤδη τετραήμερον ἐκ νεκρῶν ἀνέστησε· δεῦτε πάντες οἱ πιστοὶ τοῦτον προσκυνήσωμεν, τὸν ἐρχόμενον ἐν δόξῃ, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος· ἦχος α΄.

Τῆς Θεότητός σου, Χριστέ, παρέχων τοῖς μαθηταῖς σου τὰ σύμβολα, ἐν τοῖς ὄχλοις ἐταπείνου σεαυτόν, ἀποκρύψαι ταύτην βουλόμενος· διὸ τοῖς Ἀποστόλοις, ὡς προγνώστης, καὶ Θεός, τοῦ Λαζάρου τὸν θάνατον προηγόρευσας· ἐν Βηθανίᾳ δὲ παρὼν τοῖς λαοῖς, τοῦ φίλου σου τὸν τάφον προγνοῶν, μαθεῖν ἐζήτεις ὡς ἄνθρωπος· ἀλλ' ὁ διὰ σοῦ τετραήμερος ἀναστὰς τὸ θεῖόν σου κράτος ἐδήλωσε, παντοδύναμε Κύριε δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ, καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς, ἦχος δ΄.

Τετραήμερον ἤγειρας τὸν φίλον σου, Χριστέ, καὶ τὸν τῆς Μάρθας, καὶ Μαρίας θρῆνον ἔπαυσας, ὑποδεικνύων τοῖς πᾶσιν, ὅτι αὐτὸς εἶ, ὁ τὰ πάντα πληρῶν θεϊκῇ δυναστείᾳ αὐτεξουσίῳ θελήματι· ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος εἶ, ὁ ἐπὶ πάντων Θεός, δόξα σοι.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις· ἦχος δ΄.

Μάρθα τῇ Μαρίᾳ ἐβόα, ὁ διδάσκαλος πάρεστι, καὶ φωνεῖ σε, προσελθέ· ἡ δὲ δρομαία ἐλθοῦσα ὅπου ἦν ἑστὼς ὁ Κύριος, ἰδοῦσα, ἀνεβόησε, πεσοῦσα, προσεκύνησε, τοὺς ἀχράντους πόδας σου καταφιλοῦσα, ἔλεγε. Κύριε, εἰ ἦς ὧδε, οὐκ ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφός.

Ἀνάστηθι Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου· ἦχος πλ. δ΄.

Λάζαρον τεθνεῶτα ἐν Βηθανίᾳ ἤγειρας τετραήμερον· μόνον γὰρ ὡς ἐπέστης τῷ μνήματι, ἡ φωνὴ ζωὴ τῷ τεθνεῶτι γέγονε, καὶ στενάξας ὁ ᾅδης, ἀπέλυσε φόβῳ· μέγα τὸ θαῦμα, πολυέλεε Κύριε, δόξα σοι.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου· ἦχος πλ. δ΄.

Καθὼς εἶπας, Κύριε, τῇ Μάρθᾳ, ἐγώ εἰμι ἡ ἀνάστασις, ἔργῳ τὸν λόγον ἐπλήρωσας, ἐξ ᾅδου καλέσας τὸν Λάζαρον· κἀμέ, φιλάνθρωπε, νεκρὸν τοῖς πάθεσιν, ὡς συμπαθής, ἐξανάστησον, δέομαι.

Δόξα ἦχος β΄.

Μέγα, καὶ παράδοξον θαῦμα τετέλεσται σήμερον, ὅτι νεκρὸν τεταρταῖον ἐκ τάφου Χριστὸς φωνήσας ἤγειρε, καὶ φίλον ἐκάλεσε· δοξολογήσωμεν αὐτὸν ὡς ὑπερένδοξον, ὡς ταῖς πρεσβείαις τοῦ δικαίου Λαζάρου σώσοντας ψυχὰς ἡμῶν.

Καὶ νῦν.

Ὑπερευλογημένη ὑπάρχεις.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις. Εἰς τὴν Λειτουργίαν Τυπικά, καὶ τὰς γ΄. καὶ ς΄. Ὠδὰς τῶν Τετραῳδίων. Ἀντὶ δὲ τοῦ Τρισαγίου.

Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε.

Προκείμενον ἦχος γ΄.

Κύριος φωτισμός μου, καὶ Σωτήρ μου.

Στίχ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Ἀδελφοί, Βασιλείαν ἀσάλευτον παραλαμβάνοντες, ἔχωμεν χάριν, δι' ἧς λατρεύωμεν εὐαρέστως τῷ Θεῷ μετὰ αἰδοῦς, καὶ εὐλαβείας, καὶ γὰρ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον· ἡ φιλαδελφία μενέτω· τῆς φιλοξενίας μὴ ἐπιλανθάνεσθε· διὰ ταύτης γὰρ ἔλαθόν τινες ξενίσαντες Ἀγγέλους· μιμνήσκεσθε τῶν δεσμίων, ὡς συνδεδεμένοι, τῶν κακουχουμένων, ὡς καὶ αὐτοὶ ὄντες ἐν σώματι· τίμιος ὁ γάμος ἐν πᾶσι, καὶ ἡ κοίτη ἀμίαντος· πόρνους δέ, καὶ μοιχοὺς κρινεῖ ὁ Θεός· ἀφιλάργυρος ὁ τρόπος, ἀρκούμενοι τοῖς παροῦσιν· αὐτὸς γὰρ εἴρηκεν, οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω· ὥστε θαρροῦντας ἡμᾶς λέγειν. Κύριος ἐμοὶ βοηθός, καὶ οὐ φοβηθήσομαι, τί ποιήσει μοι ἄνθρωπος· μνημονεύετε τῶν ἡγουμένων ὑμῶν, οἵτινες ἐλάλησαν ὑμῖν τὸν λόγον τοῦ Θεοῦ· ὧν ἀναθεωροῦντες τὴν ἔκβασιν τῆς ἀναστροφῆς, μιμεῖσθε τὴν πίστιν. Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας.

Ἀλληλουϊάριον· ἦχος πλ. α΄.

Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν.

Στίχ.

Digitized by Google

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην.

Εὐαγγέλιον κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ ἦν τις ἀσθενῶν Λάζαρος.

Κοινωνικόν. Ἐκ στόματος νηπίων, καὶ θηλαζόντων κατηρτίσω αἶνον.

Ἀλληλούϊα.

Τῷ Σαββάτῳ τῶν Βαΐων Ἑσπέρας ἐν τῷ μικρῷ Ἑσπερινῷ ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν τὰ παρόντα στιχηρὰ προσόμοια.

Ἦχος πλ. β΄. Τριήμερος.

Νήπιων ἐξ ἀκάκων, Χριστέ, τῷ πώλῳ καθεζόμενος, κατεδέξω ἐπινίκιον ᾠδὴν, ἐρχόμενος πρὸς Πάθος, ὁ ζωσαγίῳ ὕμνῳ ὑπὸ Ἀγγέλων ἀνυμνούμενος.

Ἰδοὺ ὁ Βασιλεύς σου, Σιὼν, πραΰς, καὶ σώζων ἔρχεται ἐπὶ πώλου, τοὺς ἐχθροὺς ἐπιζητῶν πατάξαι ἐν ἰσχύϊ, χαῖρε, καὶ κατατέρπου, μετὰ Βαΐων ἑορτάζουσα.

Κροτήσωμεν συμφώνως, πιστοὶ, τοὺς κλάδους ἀρετῶν καὶ ἡμεῖς, ὡς οἱ Παῖδες, νῦν προσφέροντες Χριστῷ, καὶ τούτῳ θείων ἔργων ἀπλώσωμεν τοὺς πέπλους, καὶ μυστικῶς τοῦτον δεξώμεθα.

Βαΐα ἀρετῶν, ἀδελφοὶ, προσάξωμεν Χριστῷ τῷ Θεῷ, ἐρχομένῳ δι' ἡμᾶς ἀνθρωπικῶς παθεῖν ἐθελουσίως, θεότητος ἰσχύϊ πᾶσιν ἀπάθειαν δωρήσασθαι.

Δόξα. Καὶ νῦν. Ὅμοιον.

Ὁ Νώτοις Χερουβὶμ ὡς Θεὸς ὀχούμενος, καθίζεται ἐπὶ πώλου, δι' ἡμᾶς ἐπὶ σφαγὴν ἐρχόμενος θελήσει· δεῦτε προθύμως τοῦτον μετὰ Βαΐων ἀνυμνήσωμεν.

Εἰς τὸν στίχ. στιχη. προσόμοια· ἦχος β΄.

Οἶκος τοῦ Εὐφραθᾶ.

Λαμπρύνου ἡ Σιὼν ἡ νέα, καὶ Βαΐοις ἀνύμνει μετὰ παίδων, ἰδοὺ ὁ Βασιλεύς σου σώζων πρὸς Πάθος ἔρχεται.

Στίχ. Ἐκ [illegible].

Ἀγάλλεσθε Ἀδὰμ καὶ Εὔα σὺν Προφήταις, ἰδοὺ ἀνακαλέσαι ἡμᾶς διὰ τοῦ Πάθους ὁ Κύριος ἐπείγεται.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομ.

Ὁ Ἄνω σὺν Πατρὶ, καὶ Πνεύματι Ἀγγέλων δεχόμενος τὸν ὕμνον, πτωχεύει ξένως κάτω, καὶ παίδων αἶνον δέχεται.

Δόξα. Καὶ νῦν, Ὅμοιον.

Ὑμνοῦ σου τὴν φρικτὴν οἰκονομίαν φόβῳ, τὸ Ὡσαννὰ βοῶ σοι· ἐμὲ γὰρ ἔρχῃ σῶσαι, εὐλογημένε Κύριε.

Νῦν ἀπολύεις· τὸ Τρισάγιον, καὶ τὰ λοιπὰ ὡς σύνηθες. Καὶ τὰ Ἀπολυτίκια τροπάρια· ἦχος α΄. Τὴν κοινὴν Ἀνάστασιν· καὶ ἕτερον, ἦχος δ΄. Συνταφέντες σοι, ζήτει εἰς τὴν Ἑορτήν. Καὶ γίνεται Ἀπόλυσις, καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν.

Τῷ Σαββάτῳ τῶν Βαΐων Ἑσπέρας ἐν τῷ μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν ψαλμὸν ἡ συνήθως στιχολ. τὸ, Μακάριος ἀνὴρ, τὸ κάθ. ὅλον, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν τὰ ἑ Ἰδιόμ. στιχη. τοὺς πλ. β΄. δευτερεύοντες αὐτά· ἦχος πλ. β΄.

Σήμερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἡμᾶς συνήγαγε, καὶ πάντες αἴροντες τὸν Σταυρόν σου, λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ἦχος ὁ αὐτός.

Ὁ Ἔχων θρόνον Οὐρανὸν, καὶ ὑποπόδιον τὴν γῆν, ὁ Θεοῦ Πατρὸς Λόγος, καὶ Υἱὸς συναΐδιος ἐπὶ πώλου ἀλόγου ἐμετρίασε σήμερον, ἐν Βηθανίᾳ ἐλθών· ὅθεν παῖδες Ἑβραίων κλάδους χερσὶ κατέχοντες, εὐφήμουν φωνῇ. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

Δεῦτε καὶ ὑμεῖς σήμερον, πᾶς ὁ νέος Ἰσραὴλ, ἡ ἐξ ἐθνῶν Ἐκκλησία, μετὰ τοῦ Προφήτου Ζαχαρίου ἐκβοήσωμεν· χαῖρε σφόδρα θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ὅτι ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραΰς, καὶ σώζων, καὶ ἐπιβεβηκὼς ἐπὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου· ἑόρταζε τὰ τῶν παίδων, κλάδους χερσὶ κατέχουσα, εὐφήμησον. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

Τὴν σεπτὴν Ἀνάστασιν τὴν σὴν προτυπούμενος ἡμῖν, ἤγειρας θανόντα τῇ προστάξει σου τὸν ἄπνουν Λάζαρον, τὸν φίλον, ἀγαθὲ, ἐκ τοῦ μνήματος τεταρταῖον ὀδωδότα· ὅθεν καὶ τῷ πώλῳ ἐπιβὰς συμβολικῶς, ὥσπερ ἐπ' ὀχήματος φερόμενος, τὰ ἔθνη τεκμαιρόμενος, Σωτήρ· ὅθεν καὶ τὴν αἴνεσιν προσφέρει ὁ ἠγαπημένος Ἰσραὴλ ἐκ στομάτων θηλαζόντων, καὶ νηπίων ἀκάκων, καθορώντων σε, Χριστὲ, εἰσερχόμενον εἰς τὴν ἁγίαν Πόλιν πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα.

Ἦχος ὁ αὐτός.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, καὶ προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ. Κύριε, ποῦ θέλεις, ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; ὁ δὲ ἀπέστελλεν αὐτούς· ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην, καὶ εὑρήσετε ἄνθρωπον κεράμιον ὕδατος βαστάζοντα· ἀκολουθήσατε αὐτῷ, καὶ τῷ οἰκοδεσπότῃ εἴπατε·



Digitized by Google

πατε· ὁ διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου.

Δόξα, τὸ πρῶτον. Σήμερον ἡ χάρις.

Καὶ νῦν, πάλιν τὸ αὐτό. Εἴσοδος. Φῶς ἱλαρόν. Προκείμενον. Ὁ Κύριος ἐβασίλευσεν. Εἶτα τὰ Ἀναγνώσματα. Ἀνάγνωσμα α΄.

Γενέσεως τὸ Ἀνάγνωσμα.

Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπεν αὐτοῖς, συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ' ἐσχάτων τῶν ἡμερῶν· συνάχθητε, καὶ ἀκούσατέ μου υἱοὶ Ἰακώβ· ἀκούσατε Ἰσραήλ, ἀκούσατε τοῦ πατρὸς ὑμῶν. Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου· σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης· ἀναπεσὼν, ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ· καὶ αὐτὸς προσδοκία ἐθνῶν· δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ. πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ· χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ὑπὲρ οἶνον, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

Ἀνάγνωσμα β΄. Προφητείας Σοφονίου.

Τάδε λέγει Κύριος· χαῖρε θύγατερ Σιών· κήρυσσε θύγατερ Ἱερουσαλήμ· εὐφραίνου καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ Ἱερουσαλήμ· περιεῖλε Κύριος τὰ ἀδικήματά σου· λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεύσει Ἰσραὴλ Κύριος ἐν μέσῳ σου· οὐκ ὄψῃ κακὰ οὐκέτι· ἐν τῷ καιρῷ ἐκείνῳ ἐρεῖ Κύριος τῇ Ἱερουσαλήμ· θάρσει Σιών, μὴ παρείσθωσαν αἱ χεῖρές σου. Κύριος ὁ Θεός σου ἐν σοί, ὁ δυνατὸς σώσει σε, ἐπάξει ἐπὶ σὲ εὐφροσύνην, καὶ καινιεῖ σε ἐν τῇ ἀγαπήσει αὐτοῦ· καὶ εὐφρανθήσεται ἐπὶ σὲ ἐν τέρψει, ὡς ἐν ἡμέρᾳ ἑορτῆς· καὶ συνάξω τοὺς συντετριμμένους σου· οὐαὶ τίς ἔλαβεν ἐπ' αὐτὴν ὀνειδισμόν; ἰδοὺ ἐγὼ ποιῶ ἐν σοί, ἕνεκεν σου ἐν τῷ καιρῷ ἐκείνῳ, λέγει Κύριος, καὶ σώσω τὴν ἐκπεπιεσμένην, καὶ τὴν ἀπωσμένην εἰσδέξομαι, καὶ θήσομαι αὐτοὺς εἰς καύχημα, καὶ ὀνομαστοὺς ἐν πάσῃ τῇ γῇ.

Ἀνάγνωσμα γ΄. Προφητείας Ζαχαρ.

Τάδε λέγει Κύριος· χαῖρε σφόδρα θύγατερ Σιών, κήρυσσε θύγατερ Ἱερουσαλήμ· ἰδοὺ ὁ Βασιλεύς ἔρχεταί σοι δίκαιος καὶ σώζων· αὐτὸς πραΰς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραίμ, καὶ ἵππον ἐξ Ἱερουσαλήμ· καὶ ἐξολοθρευθήσεται τόξον πολεμικόν, καὶ πλῆθος καὶ εἰρήνη ἐξ ἐθνῶν, καὶ κατάρξει ὑδάτων ἕως θαλάσσης, καὶ ποταμῶν διεκβολὰς γῆς· καὶ σὺ ἐν αἵματι διαθήκης σου ἐξαπέστειλας δεσμίους σου ἐκ λάκκου οὐκ ἔχοντος ὕδωρ· καθήσεσθε ἐν ὀχυρώμασι δέσμιοι τῆς συναγωγῆς, καὶ ἀντὶ μιᾶς ἡμέρας παροικεσίας σου διπλᾶ ἀνταποδώσω σοι, διότι ἐνέτεινά σε Ἰούδα ἐμαυτῷ τόξον· ἔπλησα τὸν Ἐφραίμ, καὶ ἐξεγερῶ τὰ τέκνα σου Σιὼν ἐπὶ τὰ τέκνα τῶν Ἑλλήνων, καὶ ψηλαφήσω σε ὡς ῥομφαίαν μαχητοῦ, καὶ Κύριος ἔσται ἐπ' αὐτούς· καὶ ἐξελεύσεται ὡς ἀστραπὴ βολίς· καὶ Κύριος παντοκράτωρ ἐν σάλπιγγι σαλπιεῖ· καὶ πορεύσεται ἐν σάλῳ ἀπειλῆς αὐτοῦ, Κύριος παντοκράτωρ ὑπερασπιεῖ αὐτούς.

Εἰς τὴν Λιτὴν στιχη. Ἰδιόμ. ἦχος α΄.

Τὸ πανάγιον Πνεῦμα, τὸ καὶ τοὺς Ἀποστόλους διδάξαν λαλεῖν ἑτέραις ξέναις γλώσσαις· αὐτὸ τοὺς παῖδας τῶν Ἑβραίων τοὺς ἀπειροκάκους προτρέπεται κραυγάζειν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος Βασιλεὺς τοῦ Ἰσραήλ.

Ἦχος ὁ αὐτός.

Ὁ Συνάναρχος, καὶ συναΐδιος Υἱὸς, καὶ Λόγος τοῦ Πατρὸς ἐπὶ πώλου ἀλόγου ἦλθε σήμερον καθεζόμενος ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ· ὃν τὰ Χερουβὶμ μετὰ δέους ἀτενίσαι οὐ δύνανται, παῖδες ἀνευφήμησαν μετὰ Βαΐων καὶ κλάδων, τὸν αἶνον μυστικῶς ἀναμέλποντες. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις τῷ ἐλθόντι σῶσαι ἐκ πλάνης ἅπαν τὸ γένος ἡμῶν.

Ἦχος α΄.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἡ φωνή σου ἠκούσθη, Κύριε, εἰς τὰ βάθη τοῦ ᾅδου· ὅθεν καὶ τὸν Λάζαρον τετραήμερον ἤγειρας· οἱ δὲ παῖδες τῶν Ἑβραίων ἔκραζον. Ὡσαννὰ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Ἦχος β΄.

Εἰσερχομένου σου, Κύριε, εἰς τὴν ἁγίαν Πόλιν ἐπὶ πώλου καθήμενος, ἔσπευδες ἐλθεῖν ἐπὶ τὸ Πάθος, ἵνα πληρώσῃς νόμον, καὶ Προφήτας· οἱ δὲ παῖδες τῶν Ἑβραίων τῆς Ἀναστάσεως τὴν νίκην προμηνύοντες, ὑπήντων σοι μετὰ κλάδων, καὶ Βαΐων, λέγοντες, εὐλογημένος εἶ, Σωτὴρ, ἐλέησον ἡμᾶς.

Ἦχος β΄.

Δόξα σοι, Χριστὲ, τῷ ἐν ὑψίστοις καθημένῳ ἐπὶ τοῦ θρόνου, καὶ νῦν προσδοκωμένῳ μετὰ τοῦ τιμίου σου Σταυροῦ· διὸ εὐφραίνεται θυγάτηρ Σιὼν, ἀγάλλονται τὰ ἔθνη τῆς γῆς· κλάδους κατέχουσι παῖδες, χιτῶνας οἱ μαθηταὶ, καὶ πᾶσα ἡ Οἰκουμένη ἐδιδάχθη τοῦ βοᾶν σοι· εὐλογημένος εἶ Σωτὴρ, ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, ἦχος γ΄.

Πρὸ ἓξ ἡμερῶν τοῦ γενέσθαι τὸ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν ἀνακαλέσασθαι τὸν τεθνεῶτα τετραήμερον Λάζαρον, καὶ προκηρύξαι τὴν ἀνάστασιν· ὑπήντησαν αὐτῷ καὶ αἱ γυναῖκες Μάρθα, καὶ Μαρία ἀδελφαὶ τοῦ Λαζάρου, ἀναβοῶσαι πρὸς αὐτόν. Κύριε, εἰ ἦς ὧδε, οὐκ

ἂν

Digitized by Google

ἂν ἀπέθανεν ἡμῶν ὁ ἀδελφὸς· τότε λέγει πρὸς αὐτάς, οὐ προεῖπον ὑμῖν, ὁ πιστεύων εἰς ἐμὲ κἂν ἀποθάνῃ ζήσεται; ὑποδείξατέ μοι ποῦ τεθήκατε αὐτόν· καὶ ἐβόα πρὸς αὐτὸν ὁ Κτίστης τῶν ἁπάντων, Λάζαρε, δεῦρο ἔξω.

Καὶ αἱ συνήθως Εὐχαὶ ἐν τῷ Νάρθηκι.

Εἰς τὸν στίχ. στιχη. Ἰδιόμελα

ἦχ. πλ. δ'.

Χαῖρε, καὶ εὐφραίνου πόλις Σιών, τέρπου, καὶ ἀγάλλου ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἰδοὺ γὰρ ὁ Βασιλεύς σου παραγέγονεν ἐν δικαιοσύνῃ ἐπὶ πώλου καθεζόμενος, ὑπὸ παίδων ἀνυμνούμενος. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος εἶ ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Στίχ. Ἐκ στόματος νηπίων· ἦχος ὁ αὐτός.

Ἦλθεν ὁ Σωτὴρ σήμερον ἐπὶ τὴν πόλιν Ἱερουσαλήμ, πληρῶσαι τὴν γραφήν, καὶ πάντες ἔλαβον ἐν ταῖς χερσὶ Βαΐα, τοὺς δὲ χιτῶνας ὑπεστρώννυον αὐτῷ· γινώσκοντες, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν, ᾧ τὰ Χερουβὶμ βοῶσιν ἀπαύστως, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις· εὐλογημένος εἶ ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν.

Ἦχος ὁ αὐτός.

Ὁ Τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, ἐπέβης ἐπὶ πώλου δαυϊτικῶς, ἀγαθέ· καὶ παῖδες σε ἀνύμνουν θεοπρεπῶς, Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως· τὸ ἀκάθεκτον τῶν ἐθνῶν ἡ καθέδρα τοῦ πώλου προετύπου, ἐξ ἀπιστίας εἰς πίστιν μεταποιούμενον· δόξα σοι, Χριστέ, ὁ μόνος ἐλεήμων, καὶ φιλάνθρωπος.

Δόξα· ἦχος πλ. β'.

Σήμερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἡμᾶς συνήγαγε· καὶ πάντες αἴροντες τὸν Σταυρόν σου, λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Καὶ νῦν, πάλιν τὸ αὐτό. Νῦν ἀπολύεις· τὸ, Τρισάγιον, καὶ τὰ λοιπὰ ὡς συνήθως. Καὶ λέγομεν τὸ τροπάριον, ἤγουν Ἀπολυτίκιον ἐκ δευτέρου· ἦχος ά.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός· ὅθεν καὶ ἡμεῖς, ὡς οἱ παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ νικητῇ τοῦ θανάτου βοῶμεν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἕτερον λεγόμενον ἅπαξ· ἦχος δ'.

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος, Χριστὲ ὁ Θεὸς ἡμῶν, τῆς ἀθανάτου ζωῆς ἠξιώθημεν τῇ Ἀναστάσει σου, καὶ ἀνυμνοῦντες κράζομεν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Τὰ αὐτὰ καὶ εἰς τὸ, Θεὸς Κύριος. Ἐν ᾧ μετὰ τὴν συνήθως στιχολ. πρώτην.

Κάθισ. ἦχος δ'. Κατεπλάγη Ἰωσήφ.

Μετὰ κλάδων νοητῶς κεκαθαρμένοι τὰς ψυχάς, ὡς οἱ παῖδες, τὸν Χριστὸν ἀνευφημήσωμεν πιστῶς, μεγαλοφώνως κραυγάζοντες τῷ Δεσπότῃ· εὐλογημένος εἶ Σωτήρ, ὁ εἰς τὸν Κόσμον ἐλθὼν τοῦ σῶσαι τὸν Ἀδὰμ ἐκ τῆς ἀρχαίας ἀρᾶς, πνευματικῶς γενόμενος, φιλάνθρωπε, νέος Ἀδὰμ ὡς εὐδόκησας· ὁ πάντα, Λόγε, πρὸς τὸ συμφέρον οἰκονομήσας, δόξα σοι.

Ἕτερον κάθ. ἦχ. δ'. Ἐπεφάνης σήμερον.

Τεταρταῖον Λάζαρον ἐκ τοῦ μνημείου ἀναστήσας, Κύριε, πάντας ἐδίδαξας βοᾶν μετὰ Βαΐων, καὶ κλάδων σοι, εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Εἰς τὴν β'. στιχολ. κάθ. ἦχ. δ'. Κατεπλάγη.

Ἐπὶ φίλῳ σου, Χριστέ, δάκρυα ῥαίνεις μυστικῶς, καὶ ἐγείρεις ἐκ νεκρῶν Λάζαρον κείμενον θνητόν· ἐν ᾧ συμπάθειαν ἔδειξας φιλανθρώπως· μαθόντα δὲ τὴν σὴν παρουσίαν, Σωτήρ, τὰ πλήθη τῶν βρεφῶν, ἐξῆλθον σήμερον ἐν ταῖς χερσὶ κατέχοντα Βαΐα, τὸ Ὡσαννά σοι κραυγάζοντα· εὐλογημένος εἶ, ὅτι τὸν Κόσμον εἰς τὸ σῶσαι ἐλήλυθας.

Ἕτερον κάθ. ἦχ. ά. Τοῦ λίθου σφραγισ.

Αἰνέσατε συμφώνως οἱ λαοί, καὶ τὰ ἔθνη· ὁ γὰρ Βασιλεὺς τῶν Ἀγγέλων ἐπέβη νῦν τῷ πώλῳ· καὶ ἔρχεται θέλων ἐν Σταυρῷ πατάξαι τοὺς ἐχθρούς, ὡς δυνατός· διὰ τοῦτο καὶ οἱ παῖδες μετὰ Βαΐων κράζουσι τὸν ὕμνον· δόξα σοι τῷ ἐλθόντι νικητῇ, δόξα σοι τῷ Σωτῆρι Χριστῷ, δόξα σοι τῷ εὐλογημένῳ μόνῳ Θεῷ ἡμῶν.

Εἶτα ὁ Πολυέλεος. Καὶ μετὰ τὸν Πολυέλεον κάθ. ἦχος πλ. δ'. Τὸ προσταχθὲν.

Ὁ Ἐπὶ θρόνου Χερουβὶμ, καὶ ἐπὶ πώλου ἐπικαθίσας δι' ἡμᾶς, καὶ πρὸς τὸ Πάθος τὸ ἑκούσιον φθάσας, σήμερον ἀκούει τῶν παίδων ἀναβοώντων τὸ Ὡσαννά, τῶν ὄχλων ἀναβοώντων υἱὲ Δαβίδ, πρόφθασον σῶσαι, οὓς ἔπλασας, εὐλογημένε Ἰησοῦ· εἰς τοῦτο γὰρ ἐλήλυθας, ὅπως γνῶμεν τὴν δόξαν σου.

Δόξα. Καὶ νῦν· πάλιν τὸ αὐτό.

Ἀνάγνωσιν δὲ ποιοῦμεν εἰς τὸ κατὰ Ἰωάννην, τὸν περὶ τῆς Ἑορτῆς Λόγον ξέ. καὶ ξς'. Οἱ Ἀναβαθμοί, τὸ πρῶτον Ἀντίφωνον τοῦ δ'. ἤχου.

Προκείμενον ἦχος δ'.

Ἐκ στόματος νηπίων, καὶ θηλαζόντων.

Στίχ. Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν.

Τὸ Πᾶσα πνοή. Εὐαγγέλιον κατὰ Ματθ. Τῷ καιρῷ ἐκείνῳ, ὅτε ἤγγισεν ὁ Ἰησοῦς. Ἀνάστασιν Χριστοῦ οὐ λέγομεν· ἀλλ' εὐθὺς τὸν Ν'.

Δόξα,

Δόξα, ἦχος β'.

ΣΗ'μερον ὁ Χριστὸς εἰσέρχεται ἐν πόλει Βηθανίᾳ ἐν πώλῳ καθήμενος, τὴν ἀλογίαν λύων τῶν ἐθνῶν τὴν κάκιστον, πάλαι κεχερσωμένην.

Καὶ νῦν, πάλιν τὸ αὐτό.

Εἶτα, Ἐλέησόν με ὁ Θεός· ἦχ. πλ. β'.

ΣΗ'μερον ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἡμᾶς συνήγαγε· καὶ πάντες αἴροντες τὸν Σταυρόν σου, λέγομεν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις.

Ὅτι δὲ ἀσπάζονται οἱ Ἀδελφοὶ τὸ Εὐαγγέλιον, διανέμει ὁ Ἡγούμενος τὰ Βαΐα.

Ὁ Κανὼν ποίημα τοῦ Κυρίου Κοσμᾶ· οὗ ἡ ἀκροστιχίς. Ὡσαννὰ Χριστὸς εὐλογημένος Θεός. Καὶ λέγομεν τοὺς Εἱρμοὺς ἀνὰ δευτέρου. Τὰ δὲ τροπάρια ἀνὰ δ'. ἢ ἀνὰ ς'. ὅτι εἰσὶ δύο. Ἔσχατον οἱ δύο Χοροὶ Καταβασία τοὺς Εἱρμούς.

Ὠδὴ α'. ἦχος δ'. Ὁ Εἱρμός.

ΩΦθησαν αἱ πηγαὶ τῆς ἀβύσσου νοτίδος ἄμοιροι, καὶ ἀνεκαλύφθη θαλάσσης κυμαινούσης τὰ θεμέλια, τῇ καταιγίδι νεύματι ταύτης γὰρ ἐπιτίμησας, περιούσιον λαὸν δὲ ἔσωσας ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

ΣΤόματος ἐκ νηπίων ἀκάκων, καὶ θηλαζόντων αἶνον τὸν σῶν οἰκετῶν κατηρτίσω, καταλῦσαι τὸν ἀντίπαλον, καὶ ἐκδικῆσαι πάθει Σταυροῦ τὴν πλάσιν τοῦ πάλαι Ἀδάμ, διὰ ξύλου ἀναστῆσαι τοῦτον δὲ ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

ΑΓ'νεσιν Ἐκκλησία ὁσίων τῷ ἐνοικοῦντι Σιών σοι, Χριστέ, προσφέρει, ἐν σοὶ δὲ Ἰσραὴλ τῷ ποιητῇ αὐτοῦ χαίρει, καὶ ὄρη, ἔθνη ἀντίτυπα λιθοκάρδια ἐκ προσώπου σου ἠγαλλιάσαντο, ᾄδοντα ἐπινίκιον ὕμνον σοι, Κύριε.

Καὶ πάλιν οἱ δύο Χοροὶ τὸν Εἱρμόν. Καταβασία.

Ὠδὴ γ'. ὁ Εἱρμός.

ΝΑ'ουσαν ἀκρότομον προστάγματι σῷ στερεὰν ἐθήλασε πέτραν Ἰσραηλίτης λαός· ἡ δὲ πέτρα σύ, Χριστέ, ὑπάρχεις, καὶ ζωή, ἐν ᾗ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα, Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

ΝΕκρὸν τετραήμερον προστάγματι σῷ ἐκ νεκάδων συνόμιλος ᾅδης ἀφῆκε Λάζαρον, ἡ ἀνάστασις, Χριστέ, σὺ γάρ, καὶ ζωή, ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα, Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

ΑΣατε λαοὶ θεοπρεπῶς ἐν Σιών, καὶ εὐχὴν ἀπόδοτε Χριστῷ ἐν Ἰερουσαλήμ, αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κυρίας· ἐν ᾧ ἐστερεώθη ἡ Ἐκκλησία κράζουσα, Ὡσαννὰ εὐλογημένος εἶ ὁ ἐρχόμενος.

Ἡ Ὑπακοή· ἦχος πλ. β'.

ΜΕτὰ κλάδων ὑμνήσαντες πρότερον, μετὰ ξύλων συνέλαβον ὕστερον οἱ ἀγνώμονες Χριστὸν Ἰουδαῖοι τὸν Θεόν· ἡμεῖς δὲ πίστει ἀμεταθέτῳ ἀεὶ τιμῶντες ὡς εὐεργέτην, διαπαντὸς βοήσωμεν αὐτῷ, εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Εἶτα ἀναγινώσκομεν τὸν Λόγον τοῦ Κυρίου Ἀνδρέου Κρήτης.

Ὠδὴ δ'. ὁ Εἱρμός.

ΧΡιστὸς ὁ ἐρχόμενος ἐμφανῶς Θεὸς ἡμῶν, ἥξει, καὶ οὐ χρονιεῖ, ἐξ ὄρους κατασκίου δασέος, Κόρης τεκούσης ἀπειράνδρου, Προφήτης πάλαι φησί, διὸ πάντες βοῶμεν, δόξα τῇ δυνάμει σου Κύριε.

ΡΗξάτω εὐφροσύνην κραταιὰν ἐπ' ἔλεον ὄρη, καὶ πάντες βουνοί, καὶ ξύλα τοῦ δρυμοῦ ἐπικροτησάτω. Χριστὸν αἰνεῖτε ἔθνη, καὶ τούτῳ πάντες λαοὶ ἐπαινοῦντες βοᾶτε· δόξα τῇ δυνάμει σου Κύριε.

ΙΣχὺν ὁ βασιλεύων τῶν αἰώνων Κύριος ἐνδεδυμένος ἥξει· τῆς τούτου ὡραιότητός τε, καὶ δόξης ἀσύγκριτος ὑπάρχει εὐπρέπεια ἐν Σιών· διὸ πάντες βοῶμεν, δόξα τῇ δυνάμει σου Κύριε.

ΣΠιθαμῇ ὁ μετρήσας Οὐρανόν, δρακῇ δὲ γῆν, Κύριος πάρεστι. Σιὼν γὰρ ἐξελέξατο ἐν αὐτῇ δὲ οἰκεῖν, καὶ βασιλεύειν, ἠγάπησε τὸν λαὸν τὸν ἐν πίστει βοῶντα, δόξα τῇ δυνάμει σου Κύριε.

Ὠδὴ ε'. ὁ Εἱρμός.

ΤΗ'ν Σιὼν ἐπ' ὄρους ἀνάβηθι ὁ εὐαγγελιζόμενος, καὶ τὴν Ἱερουσαλὴμ ὁ κηρύσσων, ἐν ἰσχύϊ ὕψωσον φωνήν· δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ, εἰρήνη ἐπὶ τὸν Ἰσραήλ, καὶ σωτήριον ἔθνεσιν.

ΟΕ'ν τοῖς ὑψίστοις καθήμενος, ἐπὶ τῶν Χερουβὶμ Θεός, καὶ ἐφορῶν τὰ ταπεινά, αὐτὸς ἔρχεται ἐν δόξῃ μετὰ κυρείας, καὶ πληρωθήσεται τὰ πάντα θεϊκῆς αἰνέσεως αὐτοῦ· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ, καὶ σωτήριον ἔθνεσιν.

ΣΙὼν Θεοῦ ὄρος τὸ ἅγιον· καὶ Ἱερουσαλήμ, κύκλῳ τοὺς ὀφθαλμούς σου ἆρον, καὶ ἴδε συνηγμένα τέκνα σου ἐν σοί· ἰδοὺ γὰρ ἥκουσι μακρόθεν προσκυνῆσαι τῷ Βασιλεῖ σου· εἰρήνη ἐπὶ τὸν Ἰσραήλ, καὶ σωτήριον ἔθνεσιν.

Ὠδὴ ς'. ὁ Εἱρμός.

ΕΒόησαν ἐν εὐφροσύνῃ δικαίων τὰ πνεύματα, νῦν τῷ Κόσμῳ διαθήκη καινὴ διατίθεται· καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

ΥΠόδεξαι, Ἰσραήλ, τοῦ Θεοῦ τὸ Βασίλειον. καὶ ὁ βαίνων ἐν τῷ σκότει τὸ φῶς θεασάσθω μέγα, καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

ΔΕλυμένους τοὺς δεσμίους Σιὼν ἐξαπόστειλον, καὶ ἐκ λάκκου ἀγνωσίας ἀνύδρου ἐξάγαγε· καὶ ῥαντίσματι καινουργείσθω λαὸς θείου αἵματος.

Κου-

Digitized by Google

Κοντάκιον Ἰδιόμ. ἦχος πλ. β'.

Τῷ θρόνῳ ἐν οὐρανῷ, τῷ πώλῳ ἐπὶ τῆς γῆς ἐποχούμενος, Χριστὲ ὁ Θεὸς, τῶν Ἀγγέλων τὴν αἴνεσιν, καὶ τῶν παίδων ἀνύμνησιν προσεδέξω βοώντων σοι· εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Ὁ Οἶκος.

Ἐπειδὴ ᾅδην ἔδησας, ἀθάνατε, καὶ θάνατον ἐνέκρωσας, καὶ Κόσμον ἀνέστησας, Βαΐοις τὰ νήπια ἀνευφήμουν σε, Χριστὲ, ὡς νικητὴν, κραυγάζοντά σοι σήμερον, Ὡσαννὰ τῷ υἱῷ Δαβίδ· οὐκέτι γὰρ, φησὶ, σφαγήσονται βρέφη διὰ τὸ βρέφος Μαριάμ· ἀλλ' ὑπὲρ πάντων νηπίων, καὶ πρεσβυτῶν μόνος σταυροῦσαι· οὐκέτι καθ' ἡμῶν χωρήσει τὸ ξίφος, ἡ σὴ γὰρ πλευρὰ νυγήσεται λόγχῃ· ὅθεν ἀγαλλόμενοι φαμέν· εὐλογημένος εἶ ὁ ἐρχόμενος, τὸν Ἀδὰμ ἀνακαλέσασθαι.

Τὸ Συναξάριον, στίχ.

Πώλῳ καθίσας ὁ λόγῳ τείνας Πόλον.
Βροτοὺς ἐκζητεῖ λῦσαι τῆς ἀλογίας.

Τῇ αὐτῇ ἡμέρᾳ τὴν περιφανῆ, καὶ ὑπέρλαμπρον Ἑορτὴν τῶν Βαΐων ἑορτάζομεν δι' αἰτίαν τοιαύτην· μετὰ τὸ ἐγερθῆναι τὸν Λάζαρον ἐκ νεκρῶν, πολλοὶ κατιδόντες τὸ γεγονὸς, ἐπίστευον εἰς τὸν Χριστόν· καὶ δὴ κυροῦται ψῆφος τῇ τῶν Ἰουδαίων συναγωγῇ, τόν τε Χριστὸν, καὶ αὐτὸν ἀποκτεῖναι τὸν Λάζαρον· φεύγει τοίνυν ὁ Ἰησοῦς, χώραν τῇ κακίᾳ διδούς· οἱ δὲ Ἰουδαῖοι ἐν τῇ Ἑορτῇ τοῦ Πάσχα ἀποκτεῖναι τοῦτον μελέτην ἔθεντο, καὶ χρόνου τῇ φυγῇ δοθέντος συχνοῦ, πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, φησὶν, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκώς· κἀκεῖσε ἀρίστου γινομένου, συνήσθιεν αὐτῷ καὶ ὁ Λάζαρος· ἡ δὲ ἀδελφὴ αὐτοῦ Μαρία τοῖς ποσὶ τοῦ Χριστοῦ τὸ μύρον κατέχει· καὶ τῇ ἐπαύριον, στέλλει τοὺς Μαθητὰς αὐτοῦ ἄξοντας τὴν ὄνον, καὶ τὸν πῶλον· καὶ δὴ ὁ ἔχων θρόνον τὸν Οὐρανὸν ἐπιβεβηκὼς τῷ πώλῳ εἰσῄει τὴν Ἱερουσαλήμ· οἱ δὲ παῖδες τῶν Ἑβραίων καὶ αὐτοὶ ὑπέρριπτον αὐτῷ τὰ ἱμάτια, καὶ κλάδους φοινίκων· τοὺς μὲν κόπτοντες, ἄλλους δὲ ταῖς χερσὶ περιφέροντες ἐβόων, αὐτὸν προπέμποντες, Ὡσαννὰ τῷ υἱῷ Δαυίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Βασιλεὺς τοῦ Ἰσραήλ· τοῦτο δὲ γέγονε, τὰς ἐκείνων γλώσσας κινήσαντος τοῦ παναγίου Πνεύματος εἰς αἶνον, καὶ εὐφημίαν Χριστοῦ, ἐδήλου δὲ διὰ τῶν Βαΐων, οἱονεὶ τῶν κλάδων· Βαΐον γὰρ παρ' Ἑβραίοις ὁ ἁπαλὸς κλάδος λέγεται, τὴν κατὰ θανάτου τοῦ Χριστοῦ προσημαίνων νίκην· εἰωθὸς γὰρ ἦν, τοὺς νικητὰς ἀγώνων, ἢ πολέμων τινῶν κλάδοις δένδρων ἀειθαλῶν ἐν ταῖς ἐπινικίοις προπομπαῖς τιμᾶσθαι, καὶ περιάγεσθαι· ἐμφαίνετο δὲ ὁ πῶλος τὸν ἐξ ἐθνῶν ἡμᾶς λαὸν, ἐφ' οὗ κεκαθηκὼς ὁ Χριστὸς, καὶ ἐπαναπαυθεὶς, τροπαιοῦχος, καὶ νικητὴς, Βασιλεύς τε πάσης τῆς γῆς ἀνηγόρευται· περὶ ταύτης τῆς Ἑορτῆς καὶ ὁ Προφήτης ἔλεγε Ζαχαρίας· χαῖρε σφόδρα θύγατερ Σιών· ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον ὄνου, υἱὸν ὑποζυγίου· καὶ ὁ Δαβὶδ πάλιν περὶ τῶν παίδων· ἐκ στόματος νηπίων, καὶ θηλαζόντων κατηρτίσω αἶνον· ἀλλ' εἰσιόντος, φησὶ, τοῦ Χριστοῦ, ἐσείσθη πᾶσα Ἱεροσόλυμα, καὶ εἰς ἄμυναν οἱ ὄχλοι ὑπὸ τῶν Ἀρχιερέων διερεθισθέντες, ἐσκόπουν αὐτὸν ἀνελεῖν· ὃ δ' ἐλάνθανε κρυπτόμενος, καὶ φαινόμενος διὰ παραβολῶν ἐλάλει αὐτοῖς. Τῇ ἀφάτῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἡμῶν, νικητὰς ἡμᾶς τῶν παραλόγων παθῶν ποίησον, καὶ τὴν σὴν ἐναργῆ κατὰ θανάτου νίκην, τήν τε φαιδράν σου, καὶ ζωηφόρον Ἀνάστασιν ἰδεῖν καταξίωσον, καὶ ἐλέησον ἡμᾶς.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

Ὁ Διασώσας ἐν πυρὶ τοὺς Ἀβραμιαίους σου παῖδας, καὶ τοὺς Χαλδαίους ἀνελὼν, οὓς
» ἀδίκως δικαίους ἐνήδρευσαν, ὑπερύμνητε Κύριε,
» ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Γονυπετοῦντες οἱ λαοὶ, καὶ σὺν Μαθηταῖς γενηθέντες, μετὰ Βαΐων Ὡσαννὰ τῷ υἱῷ Δαβὶδ ἔκραζον, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ἡ Ἀπειρόκακος πληθὺς ἔτι νηπιάζουσα φύσις, θεοπρεπῶς σε, Βασιλεῦ Ἰσραὴλ, καὶ Ἀγγέλων, ἀνύμνησεν· ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Μετὰ Βαΐων σὲ, Χριστὲ, κλάδοις ἐπεκρότει τὰ πλήθη· εὐλογημένος ὁ ἐλθὼν Βασιλεὺς τῶν αἰώνων, ἐβόα δὲ, ὑπερύμνητε Κύριε, ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Ὠδὴ η'. ὁ Εἱρμός.

Εὐφράνθητι Ἱερουσαλὴμ, πανηγυρίσατε οἱ ἀγαπῶντες Σιών· ὁ βασιλεύων γὰρ εἰς τοὺς αἰῶνας, Κύριος τῶν Δυνάμεων ἦλθεν· εὐλαβείσθω πᾶσα ἡ γῆ ἐκ προσώπου αὐτοῦ, καὶ βοάτω, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Νέον πῶλον ἐπιβεβηκὼς ὁ Βασιλεύς σου Σιὼν, ἐπέστη Χριστός· τὴν γὰρ ἄλογον εἰδώλων πλάνην λῦσαι, καὶ τὴν ἀκάθεκτον ὁρμὴν ἀναστεῖλαι πάντων ἐθνῶν παραγέγονεν, εἰς τὸ μέλπειν· πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὁ Θεός σου, χαῖρε Σιὼν σφόδρα, ἐβασίλευσεν εἰς τοὺς αἰῶνας Χριστός· οὗτος, ὡς γέγραπται, πραῢς, καὶ σώζων, δίκαιος, λυτρωτὴς ἡμῶν ἦλθεν ἐπὶ πώλου, ἵππειον θράσος ὀλέσαι ἐχθρῶν μὴ βοώντων, πάντα τὰ ἔργα.

Σπαράζεται θείων περιβόλων τὸ παράνομον συνέδριον ἀπειθῶν· τὸν προσευχῆς Θεοῦ ἐπέπερ οἶκον σπήλαιον ἀπειργάσατο λῃστῶν, ἐκ καρδίας τὸν λυτρωτὴν ἀπωσάμενοι· ᾧ

βοῶμεν, πάντα τὰ ἔργα ὑμνεῖτε τὸν Κύριον.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, συστήσασθε ἑορτὴν, καὶ ἀγαλλόμενοι δεῦτε μεγαλύνωμεν Χριστὸν μετὰ Βαΐων, καὶ κλάδων, ὕμνοις κραυγάζοντες· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

Ἔθνη ἵνατί ἐφρυάξατε; Γραφεῖς, καὶ Ἱερεῖς τί κενὰ ἐμελετήσατε; τίς οὗτος; εἰπόντες, ᾧ παῖδες μετὰ Βαΐων καὶ κλάδων ὕμνοις κραυγάζοντες, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν;

Οὗτος ὁ Θεὸς, ᾧ παρόμοιος οὐδείς· δικαίαν πᾶσαν ὁδὸν ἐξεῦρεν, δέδωκε τῷ ἠγαπημένῳ Ἰσραήλ· μετὰ δὲ ταῦτα ἀνθρώποις συνανεστράφη ὀφθεὶς, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτῆρος ἡμῶν.

Σκάνδαλα τρίβου τί ἐχόμενα ἡμῖν, πείθεσθε ἀπειθεῖς; πόδες ὀξεῖς ὑμῶν, αἷμα ἐκχέαι Δεσπότου· ἀλλ' ἀναστήσεται πάντως σῶσαι τοὺς κράζοντας, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου Σωτὴρ ἡμῶν.

Ἐξαποστειλάριον. Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν· ἐκ τρίτου, εἰς τὸν ἦχον τοῦ ὕφους τῆς Ὀκτωήχου· τὸ αὐτὸ, καὶ μόνον λέγομεν.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους ς'. Καὶ ψάλλομεν στιχ. Ἰδιόμ. τοὺς δ'. τετάρτους· δευτεροῦντες τὰ δύο στιχηρὰ Ἰδιόμ. ἦχος δ'.

Ὁ πλεῖστος ὄχλος, Κύριε, ἐστρώννυον ἐν τῇ ὁδῷ τὰ ἱμάτια αὐτῶν, ἄλλοι δὲ ἔκοπτον κλάδους ἀπὸ τῶν δένδρων, καὶ ἐβάσταζον, οἱ προάγοντες δὲ, καὶ οἱ ἀκολουθοῦντες ἔκραζον λέγοντες. Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος εἶ ὁ ἐλθὼν, καὶ πάλιν ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἦχος ὁ αὐτός.

Μέλλοντός σου εἰσιέναι εἰς τὴν ἁγίαν Πόλιν, Κύριε, τὰ κλάδη τῶν φυτῶν οἱ λαοὶ ἐβάσταζον, σὲ ὑμνοῦντες τὸν τῶν ὅλων Δεσπότην, ὁρῶντές σε ἐπὶ πώλου καθήμενον, ὡς ἐπὶ τῶν Χερουβὶμ ἐθεώρουν· καὶ διὰ τοῦτο οὕτως ἐβόων, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος εἶ ὁ ἐλθὼν, καὶ πάλιν ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Ἦχος ὁ αὐτός.

Ἐξέλθετε ἔθνη, ἐξέλθετε καὶ λαοὶ, καὶ θεάσασθε σήμερον τὸν Βασιλέα τῶν Οὐρανῶν, ὡς ἐπὶ θρόνου ὑψηλοῦ, ἐπὶ πώλου εὐτελοῦς τὴν Ἱερουσαλὴμ προσεπιβαίνοντα· γενεὰ Ἰουδαίων ἄπιστε, καὶ μοιχαλὶς, δεῦρο, θέασαι, ὃν εἶδεν Ἡσαΐας ἐν σαρκὶ δι' ἡμᾶς παραγενόμενον, πῶς νυμφεύεται ὡς σώφρονα τὴν νέαν Σιὼν, καὶ ἀποβάλλεται τὴν κατάκριτον συναγωγήν· ὡς ἐν ἀφθάρτῳ δὲ γάμῳ, καὶ ἀμιάντῳ ἀμίαντοι συνέδραμον, εὐφημοῦντες οἱ ἀπειρόκακοι παῖδες· μεθ' ὧν ὑμνοῦντες, βοήσωμεν ὕμνον τὸν ἀγγελικὸν, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις τῷ ἔχοντι τὸ μέγα ἔλεος.

Ἦχος ὁ αὐτός.

Τὴν κοινὴν ἀνάστασιν πρὸ τοῦ ἑκουσίου πάθους σου εἰς πίστωσιν πάντων προενδειξάμενος, Χριστὲ ὁ Θεὸς, τὸν μὲν Λάζαρον ἐν Βηθανίᾳ τῇ κραταιᾷ δυνάμει σου τετραήμερον νεκρὸν ἀνέστησας, καὶ τυφλοῖς μὲν τὸ βλέπειν, ὡς φωτοδότης ἐδωρήσω, Σωτήρ· καὶ εἰς τὴν πόλιν τὴν ἁγίαν μετὰ τῶν σῶν Μαθητῶν εἰσῆλθες, καθήμενος ἐπὶ πώλου ὄνου, τὰ τῶν Προφητῶν ἐκπληρῶν κηρύγματα· ὡς ἐπὶ τῶν Χερουβὶμ ἐποχούμενος, καὶ παῖδες Ἑβραίων μετὰ κλάδων καὶ βαΐων προϋπήντουν σοι· διὸ καὶ ἡμεῖς κλάδους ἐλαιῶν βαστάζοντες, καὶ Βαΐα, εὐχαρίστως σοι βοῶμεν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Δόξα. Καὶ νῦν. ἦχος πλ. β'.

Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, καὶ προσῆλθον αὐτῷ οἱ Μαθηταὶ αὐτοῦ, λέγοντες αὐτῷ. Κύριε, ποῦ θέλεις ἑτοιμάσωμέν σοι φαγεῖν τὸ Πάσχα; ὁ δὲ ἀπέστειλεν αὐτούς· ἀπέλθετε εἰς τὴν ἀπέναντι κώμην, καὶ εὑρήσετε ἄνθρωπον, κεράμιον ὕδατος βαστάζοντα, ἀκολουθήσατε αὐτῷ, καὶ τῷ οἰκοδεσπότῃ εἴπατε· ὁ διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου.

Δοξολογία μεγάλη, καὶ Ἀπόλυσις· καὶ ἡ Λιτὴ ἔξω τοῦ Μοναστηρίου, καὶ ἡ Κατήχησις.

Εἰς τὴν Λειτουργίαν Ἀντίφωνα.

Ἀντίφωνον πρῶτον.

Ἦχος β'. Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου·

Στίχ. β'. Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου.

Ταῖς πρεσβείαις.

Στίχ. γ'. Θλίψιν καὶ ὀδύνην εὗρον, καὶ τὸ ὄνομα Κυρίου.

Ταῖς πρεσβείαις.

Δόξα. Καὶ νῦν. Ταῖς πρεσβείαις.

Ἀντίφωνον β'.

Ἐπίστευσα, διὸ ἐλάλησα, ἐγὼ δὲ ἐταπεινώθην σφόδρα.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐπὶ πώλου ὄνου καθεσθεὶς,

Στίχ. α'. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ, περί.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ. β'. Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Στίχ. γ'. Τὰς εὐχάς μου τῷ Κυρίῳ ἀποδώσω.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ.

Δόξα. Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς, καὶ Λόγος.

Ἀν-

Digitized by Google

Ἀντίφωνον γʹ.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα.

Τὴν κοινὴν ἀνάστασιν.

Στίχ. αʹ. Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθός.

Τὴν κοινὴν ἀνάστασιν.

Στίχ. βʹ. Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθός.

Τὴν κοινὴν ἀνάστασιν.

Στίχ. γʹ. Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι.

Τὴν κοινὴν ἀνάστασιν.

Εἴσοδος, ὁ Ἱερεὺς, σοφία ὀρθή· ὁ λαός.

Τὸ Εἰσοδικόν.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Τὴν κοινὴν ἀνάστασιν.

Δόξα.

Συνταφέντες σοι διὰ τοῦ Βαπτίσματος.

Καὶ νῦν, τὸ Κοντάκιον.

Τῷ θρόνῳ ἐν Οὐρανῷ· τὸ Τρισάγιον.

Προκείμενον τοῦ Ἀποστόλου, ἦχος δʹ.

Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα.

Ὁ Ἀπόστολος. Πρὸς Φιλιππησίους.

Ἀδελφοὶ, χαίρετε ἐν Κυρίῳ πάντοτε, πάλιν ἐρῶ, χαίρετε· τὸ ἐπιεικὲς ὑμῶν γνωσθήτω πᾶσιν ἀνθρώποις· ὁ Κύριος ἐγγύς· μηδὲν μεριμνᾶτε, ἀλλ' ἐν παντὶ τῇ προσευχῇ, καὶ τῇ δεήσει μετὰ εὐχαριστίας τὰ αἰτήματα ὑμῶν γνωριζέσθω πρὸς τὸν Θεόν· καὶ ἡ εἰρήνη τοῦ Θεοῦ ἡ ὑπερέχουσα πάντα νοῦν, φρουρήσει τὰς καρδίας ὑμῶν, καὶ τὰ νοήματα ὑμῶν ἐν Χριστῷ Ἰησοῦ· τὸ λοιπὸν, ἀδελφοὶ, ὅσα ἐστὶν ἀληθῆ, ὅσα σεμνὰ, ὅσα δίκαια, ὅσα ἁγνὰ, ὅσα προσφιλῆ, ὅσα εὔφημα, εἴτις ἀρετὴ, καὶ εἴτις ἔπαινος, ταῦτα λογίζεσθε· ἃ καὶ ἐμάθετε, καὶ παρελάβετε, καὶ ἃ ἠκούσατε, καὶ ἴδετε ἐν ἐμοὶ, ταῦτα πράσσετε· καὶ ὁ Θεὸς τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν.

Ἀλληλουϊάριον, ἦχος αʹ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· στίχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν, Εὐαγγέλιον κατὰ Ἰωάννην. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, καὶ καθεξῆς· ἡ θεία Λειτουργία τοῦ Χρυσοστόμου. Κοινωνικόν. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ἀλληλούϊα. Εἰς τὴν τράπεζαν διάκλησις τοῖς Ἀδελφοῖς. Ἐσθίομεν γὰρ ἰχθύας.

Τῇ Κυριακῇ τῶν Βαΐων Ἑσπέρας, εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ϛʹ. Καὶ ψάλλομεν στιχηρ. Ἰδιόμελα, τὰ τρία πλ. δʹ. ἅτινα εἴπομεν ὀψὲ Σαββάτῳ ἀπὸ στίχ. δευτεροῦντες αὐτά.

Ἦχος πλ. δʹ.

Χαῖρε καὶ εὐφραίνου πόλις Σιών, τέρπου καὶ ἀγάλλου ἡ Ἐκκλησία τοῦ Θεοῦ· ἰδοὺ γὰρ ὁ Βασιλεύς σου παραγέγονεν ἐν δικαιοσύνῃ, ἐπὶ πώλου καθεζόμενος, ὑπὸ παίδων ἀνυμνούμενος, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Ἦλθεν ὁ Σωτὴρ σήμερον ἐπὶ τὴν πόλιν Ἱερουσαλὴμ πληρῶσαι τὴν γραφήν· καὶ πάντες ἔλαβον ἐν ταῖς χερσὶ Βαΐα· τοὺς δὲ χιτῶνας ὑπεστρώννυον αὐτῷ, γινώσκοντες, ὅτι αὐτός ἐστιν ὁ Θεὸς ἡμῶν· ᾧ τὰ Χερουβὶμ βοᾷ ἀπαύστως, Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος εἶ, ὁ ἔχων πλῆθος οἰκτιρμῶν, ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, καὶ ὑμνούμενος ὑπὸ τῶν Σεραφίμ, ἐπέβης ἐπὶ πώλου Δαυϊτικῶς, ἀγαθέ, καὶ παῖδες σε ἀνύμνουν θεοπρεπῶς, Ἰουδαῖοι ἐβλασφήμουν παρανόμως· τὸ ἀκάθεκτόν σου ἐθνῶν ἡ καθέδρα τοῦ πώλου προετύπου, ἐξ ἀπιστίας εἰς πίστιν μεταποιούμενον· δόξα σοι Χριστὲ, ὁ μόνος ἐλεήμων, καὶ φιλάνθρωπος.

Δόξα. Χαῖρε καὶ εὐφραίνου, καὶ νῦν. Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος. Εἴσοδος. Προκείμενον τὸ συνήθως. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον.

Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου.

Εἰς τὸν στίχ. στιχηρὰ Ἰδιόμ. ταῦτα, ἦχ. βʹ.

Ἐκ Βαΐων καὶ κλάδων, ὡς ἐκ θείας Ἑορτῆς, εἰς θείαν μεταβάντες Ἑορτήν, πρὸς σεβασμίαν τῶν Χριστοῦ Παθημάτων, πιστοὶ, συνδράμωμεν, τελετὴν σωτήριον, καὶ τοῦτον ὑπὲρ ἡμῶν Πάθος ὑφιστάμενον κατοπτεύσωμεν ἑκούσιον· αὐτῷ δὲ τὸν ὕμνον εὐχαριστοῦντες ἀναμέλψωμεν ἁρμόδιον, ἀνακράζοντες· ἡ τῆς εὐσπλαγχνίας πηγὴ, καὶ τῆς σωτηρίας λιμὴν, Κύριε δόξα σοι.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν· ἦχ. γʹ.

Φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος, οὗτος κριτής ἐστιν ἐνθυμήσεων καὶ ἐννοιῶν καρδίας· μηδεὶς εἰσέλθῃ πειράζων τὴν πίστιν τὴν ἀμώμητον· ἀλλ' ἐν πραότητι, καὶ φόβῳ Χριστῷ προσέλθωμεν, ἵνα λάβωμεν ἔλεος, καὶ χάριν εὕρωμεν εἰς εὔκαιρον βοήθειαν.

Στίχ. Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς·

ἦχος βαρύς.

Συναγωγὴ πονηρὰ, καὶ μοιχαλὶς, ἡ τῷ ἰδίῳ ἀνδρὶ μὴ φυλάξασα πίστιν, τί κατέχεις διαθήκην, ἧς οὐκ εἶ κληρονόμος; τί καυχᾶσαι ἐν Πατρί, τὸν Υἱὸν ἀθετήσασα; τοὺς Προφήτας οὐκ ἐδέξω τὸν Υἱὸν καταγγείλαντας, κἂν τὰ ἴδια τέκνα αἰσχύνθητι, ὑπὸ βοῶντα. Ὡσαννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.



Digitized by Google

Δόξα, ἦχος β΄. Ἐκ Βαΐων καὶ κλάδων· Καὶ νῦν· ἦχος γ΄. Φοβερὸν τὸ ἐμπεσεῖν. Ἀπολυτίκιον. Θεοτόκε Παρθένε· καὶ τὰ ἕτερα ὡς σύνηθες· καὶ αἱ σύνηθες μετάνοιαι. Ἰστέον, ὅτι τὸ Θεοτόκε Παρθένε, καὶ τὰ λοιπὰ μετὰ μέλους ψάλλεται ἐν ὅλαις ταῖς τῆς ἁγίας Τεσσαρακοστῆς Κυριακαῖς. Ὡσαύτως καὶ ἐν τῇ παρούσῃ. Τὰς δὲ λοιπὰς ἡμέρας τῆς μεγάλης Ἑβδομάδος χύμα λέγονται.

Τῇ αὐτῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ Ἀπόδειπνον ψάλλομεν τὸ Τριῴδιον τοῦ κυροῦ Ἀνδρέου Κρήτης. Ὡσαύτως ποιοῦμεν καὶ τὰς λοιπὰς τῆς μεγάλης Ἑβδομάδος Ἑσπέρας εἰς τὸ Ἀπόδειπνον.

Ὠδὴ α΄. ἦχος πλ. δ΄. Τῷ συντρίψαντι πολέ.

Ἰωσὴφ τὴν σωφροσύνην μιμησώμεθα, πιστοί, γνώμῃ τὸν τιμήσαντα τὴν τῶν ἀνθρώπων λογικὴν οὐσίαν, πάσῃ φυλακῇ πολιτευσάμενοι δι' ἀρετῆς πρακτικῆς.

Τῶν καλῶν ἡ ἀκαρπία ὡμοιώθη τῇ συκῇ· ταύτην οὖν ἐκκλίνωμεν, μὴ ξηρανθῶμεν ὡς ἐκείνη τότε, τὴν συναγωγὴν φύλλοις πυκάζουσαν προϋπογράφουσα.

Τὴν εἰκόνα τοῦ Δεσπότου ὑπογράφων Ἰωσήφ, λάκκῳ κατατίθεται, ἀπεμπολεῖται ὑπὸ τῶν συγγόνων, πάντα ὑπομένει ὁ ἀοίδιμος εἰς τύπον ὄντως Χριστοῦ.

Τῆς συκῆς τὴν ἀκαρπίαν ἐκφυγόντες, ἀδελφοί, γνῶμεν τὸ ὑπόδειγμα, μὴ ξηρανθῶμεν ὡς ἐκείνη τότε, ὅτε ἐπανάγων ὁ φιλάνθρωπος ἦλθε πεινῶν ἐπ' αὐτήν.

Ἰησοῦς ὑπὲρ τοῦ Κόσμου ἐπειγόμενος παθεῖν· θέλων συνανέρχεται τοῖς Μαθηταῖς αὐτοῦ ἐπὶ τὴν πόλιν Ἱερουσαλὴμ πρὸς τὸ ἑκούσιον Πάθος, ὃ ἦλθε παθεῖν.

Κολληθέντες τῷ Κυρίῳ πάντα σπεύδοντι παθεῖν, ἕτοιμοι γινώμεθα πρὸς ἐμπαιγμόν, πρὸς ἐμπτυσμούς, πρὸς χλεύην, ὅπως τοῖς ἀχράντοις αὐτοῦ πάθεσι συνδοξασθῶμεν πιστοί.

Πάθη πάθεσιν ἰᾶται ὁ παθὼν ὑπὲρ ἡμῶν, θέλων γὰρ προσίεται τῇ καθ' ἡμᾶς ἀνθρωπικῇ οὐσίᾳ τὰ ζωοποιὰ αὐτοῦ παθήματα, ἵνα σωθῶμεν ἡμεῖς.

Δόξα.

Τρία ἄναρχα δοξάζω, τρία ἅγια ὑμνῶ, τρία συναΐδια ἐν οὐσιότητι μιᾷ κηρύττω, εἷς γὰρ ἐν Πατρί, Υἱῷ, καὶ Πνεύματι δοξολογεῖται Θεός.

Θεοτοκίον.

Ἡ μὲν ῥάβδος Μωϋσέως, καὶ ἡ ῥάβδος Ἀαρὼν ξένην μεταποίησιν, καὶ ὑπὲρ νοῦν οἰκονομίαν ἔχον, σὺ δὲ ἡ νηδύς, Θεογεννήτρια, τόκον καινίζει καινόν.

Κάθισμ. ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Τῆς συκῆς τὸ ἔγκλημα μή σε προφθάσῃ, ἀλλ' εὐκάρπως ἀπόδοσον καρδίας αὔλακι, ψυχή, τῷ ποιητῇ σου Χριστῷ ἀγαγεῖν, ἐν μετανοίᾳ αὐτῷ προσκομίζουσα.

Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ δόξα.

Σωφροσύνῃ κοσμήσαντες τὸν βίον, καὶ φρονήσει φυλάξαντες τὴν πίστιν, δικαιοσύνης τρόποις πορισώμεθα, ἵνα ἐν ἀνδρείᾳ συνακολουθοῦντες, Χριστῷ συσταυρωθῶμεν.

Ἄλλην Εὔαν εὑρὼν τὴν Αἰγυπτίαν, οὐκ ἐκλάπη πρὸς ἀνοσιουργίαν ὁ Πατριάρχης Ἰωσήφ, ἀλλ' ἔστηκεν ὥσπερ τις ἀδάμας, ὑπὸ τῶν παθῶν μὴ ἁλοὺς τῆς ἁμαρτίας.

Παροδεύων τοῦ βίου τὰς πορείας ὁ Σωτήρ μου, ἐπείνασας βουλήσει, τὴν σωτηρίαν πάντων ἐφιέμενος, τοῦτο γὰρ ἐπείνας, τὴν ἐπιστροφὴν τῶν ἐκ σοῦ ἀποσφαλέντων.

Ὁ Προπάτωρ γευσάμενος τοῦ ξύλου, ὡς ἐγνώσθη γυμνός, καὶ ᾐσχυμμένος, φύλλα συκῆς λαβὼν περιεζώσατο, τὴν συναγωγὴν γὰρ ἀπογυμνωθεῖσαν Χριστοῦ προδιετύπου.

Ἑτοιμάζου, ψυχή, πρὸ τῆς ἐξόδου, εὐτρέπιζε πρὸς τὸν ἐκεῖθεν βίον, καὶ τῷ Χριστῷ παθεῖν διὰ σὲ σπεύδοντι, ἵνα σὲ δοξάσῃ, σπεῦσον συμπαθεῖν, καὶ θανεῖν, καὶ σταυρωθῆναι.

Πῶς μὴ φρίξῃ ὁ θάνατος, Σωτήρ μου; πῶς μὴ πτήξῃ ὁ ᾅδης συναντῶν σοι, κατ' εὐδοκίαν πρὸς τὸ πάθος σπεύδοντι, καὶ ὑπὲρ ἀδίκων, δίκαιον ὁρῶν σε, παθεῖν ἐληλυθότα;

Τοῦ Λαζάρου τὴν ἔγερσιν ὁρῶντες Ἰουδαῖοι, Ἱερεῖς, καὶ Λευῖται, συνωμοσίαν φθόνῳ συσκευάσαντες, δόλῳ προδοσίας τὸν Χριστὸν προεδίδουν εἰς θάνατον Πιλάτῳ.

Ἡ Ἀμνάς σου, καὶ δούλη, καὶ Παρθένος πρὸς τὸ πάθος ὁρμῶντα σε ὁρῶσα, καὶ τὴν ψυχὴν ὑπὲρ ἡμῶν προθέμενον τὸν καλὸν ποιμένα, σπλάγχνοις μητρικοῖς ἐπὶ σοὶ προσωδυνᾶτο.

Δόξα.

Ὡς μονάδα τῇ οὐσίᾳ ὑμνῶ σε, ὡς Τριάδα τοῖς προσώποις σε σέβω. Πάτερ, Υἱέ, καὶ Πνεῦμα τὸ πανάγιον, ἄναρχον τὸ κράτος τῆς σῆς Βασιλείας δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

Δυσωπεῖ σε, Χριστέ, ἡ Θεοτόκος, ἱκετεύει τῶν Μαθητῶν ὁ δῆμος, τὴν σὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ τοὺς οἰκτιρμούς σου χάρισαι πλουσίως ἡμῖν εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. Ἀλλότριον τῶν μητέρων ἡ Παρθ.

Ἀλλότριον τῶν ἀσέμνων ἡ σωφροσύνη, καὶ ξένον τοῖς δικαίοις ἡ παρανομία. Ἰωσὴφ δὲ ὁ μέγας ἐξέκλινε τὴν ἁμαρτίαν, καὶ σωφροσύνης ἐχρημάτισεν εἰκών, καὶ τύπος ὄντως Χριστοῦ.

Ἀλλότριον τῶν ἀνόμων ἡ εὐνομία, καὶ ξένον τοῖς ἀπίστοις ἡ θεογνωσία. Ἰουδαῖοι δὲ ταῦτα

ἀπώ-

Digitized by Google

ἀπώσαντο δι' ἀνομίαν, διὸ καὶ μόνοι ἐκληρώσαντο, καθάπερ ἡ συκῆ, τὴν ἀράν.

Ἐπείνασε τῶν ἀνθρώπων τὴν σωτηρίαν ζωῆς ὑπάρχων ἄρτος ὁ Χριστὸς, καὶ Θεός μου· διὸ συκὴν δὲ προσφθάσας, τὴν ἄκαρπον συναγωγὴν φύλλοις κομῶσαν νομικοῖς, ὡς εἶδε, κατηράσατο.

Τὴν νομικὴν ἀκαρπίαν προκατηράσω, ὡς φύλλα ἐξανθοῦσαν τοῦ γράμματος σκιώδη γνώμην, τοὺς καρποὺς δὲ τῶν ἔργων οὐκ ἔχουσαν δι' ἀνομίαν, ἡμᾶς δὲ πάντας τοὺς τῆς χάριτος υἱοὺς, Σωτὴρ, εὐλόγησον.

Ἡ ῥάβδος μὲν Μωϋσέως τὸ πρὶν εἰς ὄφιν, ἡ Ἀαρὼν δὲ ῥάβδος εἰς χλωρὸν μετεβλήθη, καὶ ἐξηνθήθη φύλλα ἡ ἄκαρπος ἡ ξηρανθεῖσα· συναγωγὴ δὲ ἡ παράνομος, εἰς ἄκαρπον μετήχθη συκῆν.

Ἑτοίμαζε, Ἰουδαία, τοὺς Ἱερεῖς σου, ἐξέτεινε τὰς χεῖρας πρὸς θεοκτονίαν, ἰδοὺ γὰρ ἦλθε σφαγὰς, καὶ ἥσυχος ἐπὶ τὸ πάθος, ἀμνὸς ὑπάρχων, καὶ ποιμὴν ἡμῶν Χριστὸς ὁ Βασιλεὺς Ἰσραήλ.

Ὑπόδεξαι Ἰουδαία τὸν Βασιλέα, ἰδοὺ γὰρ πρὸς τὸ Πάθος ἔρχεται ἑκουσίως, ἵνα πάθῃ, καὶ σώσῃ τοὺς κράζοντας ἀκαταπαύστως, εὐλογημένος ὁ ἐρχόμενος Σταυρῷ σῶσαι τὰ σύμπαντα.

Μετέστρεψεν, Ἰουδαία, τὰς Ἑορτάς σου εἰς πένθος ὁ Δεσπότης κατὰ τὴν προφητείαν, θεοκτόνος γὰρ ὤφθης τοῦ στρέψαντος ποτὲ τὴν πέτραν, καὶ τὴν ἀκρότομον εἰς ὕδατα, καὶ λίμνας, καθὼς ψάλλει Δαβίδ.

Δόξα.

Ἀλλότριον τοῖς ἀνόμοις τὸ σὲ δοξάζειν τὴν ἄναρχον οὐσίαν, Πατέρα, καὶ Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἄκτιστον παντοκρατορείαν, δι' ἧς ὁ σύμπας Κόσμος ἥδρασται τῷ νεύματι τοῦ θείου κράτους αὐτῆς.

Θεοτοκίον.

Προσάγομεν εἰς πρεσβείαν τὴν Θεοτόκον, αὐτῆς ταῖς ἱκεσίαις, καὶ τῶν σῶν Ἀποστόλων κοινωνοὺς ἡμᾶς ποίησον, Δέσποτα, τῶν ἀγαθῶν σου, καὶ τῆς λαμπρότητος ἀξίωσον, Σωτὴρ, τῆς Ἀναστάσεώς σου.

Ἰστέον, ὅτι κατὰ ταύτην τὴν ἁγίαν, καὶ μεγάλην Ἑβδομάδα ἅπαξ πληροῦμεν τὸ Ψαλτήριον, καὶ λέγομεν εἰς τὸν Ὄρθρον καθίσ. γ'. Καὶ εἰς τὴν Τριθέκτην β'. Καὶ τελειοῦται τῇ μεγάλῃ Δ'. Ἐν δὲ τῷ μεγάλῳ Σαββάτῳ στιχολογεῖται ὁ Ἄμωμος. Ἐν τοῖς Λυχνικοῖς δὲ λέγομεν συνήθως τὸ Πρὸς Κύριον.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Β'. ἐν τῷ Ὄρθρῳ Μετὰ τὸν Ἑξάψαλμον ψάλλομεν τὸ Ἀλληλούϊα εἰς ἦχον πλ. δ'. Μεγαλοφώνως, καὶ μελῳδικῶς· Εἶτα ψάλλομεν τὸ Τροπάριον ἀργῶς, καὶ μεγαλοφώνως, καὶ μετὰ μέλους ἐξ ἰσότητος· ἦχος πλ. δ'.

Ἰδοὺ ὁ Νυμφίος ἔρχεται ἐν τῷ μέσῳ τῆς νυκτὸς, καὶ μακάριος ὁ δοῦλος, ὃν εὑρήσει γρηγοροῦντα, ἀνάξιος δὲ πάλιν, ὃν εὑρήσει ῥαθυμοῦντα· βλέπε οὖν, ψυχή μου, μὴ τῷ ὕπνῳ κατενεχθῇς, ἵνα μὴ τῷ θανάτῳ παραδοθῇς, καὶ τῆς Βασιλείας ἔξω κλεισθῇς, ἀλλὰ ἀνάνηψον κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς, διὰ τῆς Θεοτόκου ἐλέησον ἡμᾶς.

Εἶτα ἡ συνήθως στιχολογία μετὰ τὴν μετάνοιαν.

Εἰς τὴν πρώτην στιχολογίαν κάθισ. ἦχος α'.

Τὸν τάφον σου Σωτήρ.

Τὰ Πάθη τὰ σεπτὰ ἡ παροῦσα ἡμέρα, ὡς φῶτα σωστικὰ, ἀνατέλλει τῷ Κόσμῳ· Χριστὸς γὰρ ἐπείγεται τοῦ παθεῖν ἀγαθότητι· ὁ τὰ σύμπαντα ἐν τῇ δρακὶ περιέχων καταδέχεται ἀναρτηθῆναι ἐν ξύλῳ, τοῦ σῶσαι τὸν ἄνθρωπον.

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό.

Εἰς τὴν β'. στιχολογί· κάθισ. Ὅμοιον.

Ἄρατε Κριτὰ, ἐν σαρκὶ πῶς ὡράθης, καὶ ἔρχῃ ὑπ' ἀνδρῶν παρανόμων κτανθῆναι; ἡμῶν τὸ κατάκριμα κατακρίνων τῷ Πάθει σου; ὅθεν αἴνεσιν, μεγαλωσύνην, καὶ δόξαν ἀναπέμποντες τῇ ἐξουσίᾳ σου, Λόγε, συμφώνως προσφέρομεν.

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό.

Εἰς τὴν γ'. στιχολογίαν, κάθισ. ἦχ. πλ. δ'.

Τὴν σοφίαν, καὶ Λόγον.

Τῶν Παθῶν τοῦ Κυρίου τὰς ἀπαρχὰς ἡ παροῦσα ἡμέρα λαμπροφορεῖ, δεῦτε οὖν φιλέορτοι, ὑπαντήσωμεν ᾄσμασιν· ὁ γὰρ Κτίστης ἔρχεται Σταυρὸν καταδέξασθαι, ἐτασμοὺς, καὶ μάστιγας Πιλάτῳ κρινόμενος· ὅθεν καὶ ἐκ δούλου ῥαπισθεὶς ἐπὶ κόρρης, τὰ πάντα προσίεται, ἵνα σώσῃ τὸν ἄνθρωπον, διὰ τοῦτο βοήσωμεν· φιλάνθρωπε Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων δώρησαι τὴν ἄφεσιν τοῖς προσκυνοῦσιν ἐν πίστει τὰ ἄχραντα Πάθη σου.

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό. Καὶ εὐθὺς. Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι. Καὶ λέγει ὁ Ἱερεὺς τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου.

Εἶτα ὁ Ν'. καὶ ψάλλομεν τὸ Τριῴδιον.

Ποίημα τοῦ Κυρίου Κοσμᾶ. Οὗ ἡ ἀκροστιχίς.

Τῇ Δευτέρᾳ.

Τοὺς Εἱρμοὺς ἀνὰ δύο, καὶ τὰ τροπάρια ἀνὰ δ'. ἢ ἀνὰ ϛ'. δηλονότι κατὰ τὴν ποσότητα.

Ὠδὴ α'. ἦχος β'. ὁ Εἱρμός.

Τῷ τὴν ἄβατον κυμαινομένην θάλασσαν θείῳ αὐτοῦ προστάγματι ἀναξηράναντι, καὶ πεζεύ-

„σαι δι' αὐτῆς τὸν Ἰσραηλίτην λαὸν καθοδηγή-
„σαντι, Κυρίῳ ᾄσωμεν, ἐνδόξως γὰρ δεδόξασται·

Ἡ ἀπόρρητος Λόγου Θεοῦ κατάβασις, ὅπερ Χριστὸς αὐτός ἐστι Θεὸς, καὶ ἄνθρωπος, τὸ Θεὸς οὐχ ἁρπαγμὸν εἶναι ἡγησάμενος ἐν τῷ μορφοῦσθαι δοῦλον δεικνύει τοῖς Μαθηταῖς, ἐνδόξως γὰρ δεδόξασται.

Διακονῆσαι αὐτὸς ἐλήλυθα, οὐ τὴν μορφὴν ὁ πλαστουργὸς ἑκὼν περίκειμαι, τῷ πτωχεύσαντι Ἀδὰμ, ὁ πλουτῶν Θεότητι, θήσων ἐμὴν ἑαυτοῦ ψυχὴν ἀντίλυτρον ὁ ἀπαθὴς Θεότητι.

Καὶ πάλιν ὕστερον ἑνούμενοι οἱ δύο. Χοροὶ λέγουσι τὸν Εἱρμὸν, Καταβασία.

Κοντάκιον. ἦχ. πλ. δ'. Ὡς ἀπαρχάς.

Ὁ Ἰακὼβ ὠδύρετο τοῦ Ἰωσὴφ τὴν στέρησιν, καὶ ὁ γενναῖος ἐκάθητο ἅρματι, ὡς Βασιλεὺς τιμώμενος, τῆς Αἰγυπτίας γὰρ τότε ταῖς ἡδοναῖς μὴ δουλεύσας, ἀντεδοξάζετο παρὰ τοῦ βλέποντος τὰς τῶν ἀνθρώπων καρδίας, καὶ πέμποντος στέφος ἄφθαρτον.

Ὁ Οἶκος.

Ἐπὶ τῷ ὀδυρμῷ νῦν προσθήσωμεν ὀδυρμὸν, καὶ ἐκχέωμεν δάκρυα, μετὰ τοῦ Ἰακὼβ συγκοπτόμενοι Ἰωσὴφ τὸν ἀοίδιμον, καὶ σώφρονα, τὸν δουλωθέντα μὲν τῷ σώματι, τὴν ψυχὴν δὲ ἀδούλωτον συντηρήσαντα, καὶ Αἰγύπτου παντὸς κυριεύσαντα· ὁ Θεὸς γὰρ παρέχει τοῖς δούλοις αὐτοῦ στέφος ἄφθαρτον.

Τὸ Συναξάριον, Στίχοι εἰς τὸν Ἰωσὴφ τὸν πάγκαλον.

Σώφρον Ἰωσὴφ, δίκαιος κράτωρ ὤφθη.
Καὶ σιτοδότης ὢ καλῶν θημωνία.

Στίχ. Εἰς τὴν ξηρανθεῖσαν συκῆν.

Τὴν συναγωγὴν συκῆν Χριστὸς Ἑβραίων,
Καρπῶν ἄμοιρον πνευματικῶν εἰκάζων,
Ἀρᾷ ξηραίνει, ἧς φύγωμεν τὸ πάθος.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Δευτέρᾳ, μνείαν ποιούμεθα τοῦ μακαρίου Ἰωσὴφ τοῦ παγκάλου, καὶ τῆς ξηρανθείσης συκῆς, διότι ἀρχὴν ἐντεῦθεν λαμβάνουσι τὰ ἅγια Πάθη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὁ δὲ Ἰωσὴφ εἰς εἰκόνα τούτου, πρῶτον παραλαμβάνεται· οὗτος μὲν οὖν υἱὸς ἦν ὕστερος τοῦ Πατριάρχου Ἰακὼβ, ἐκ τῆς Ῥαχὴλ αὐτῷ γεννηθείς· παρὰ δὲ τῶν ἰδίων ἀδελφῶν φθονηθεὶς ἔκ τινων ὀνειράτων, πρῶτα μὲν εἰς ὄρυγμα λάκκου κρύπτεται, καὶ ὁ πατὴρ αὐτοῦ παρὰ τῶν παίδων ἀπάτῃ διὰ τοῦ ἡμαγμένου ἱματίου κλέπτεται, ὡς ὑπὸ θηρίου ἐβρώθη· εἶτα τριάκοντα ἀργυρίοις πιπράσκεται τοῖς Ἰσμαηλίταις, οἵτινες πάλιν ἀπεμπολοῦσι τοῦτον Πετεφρῇ τῷ ἀρχιευνούχῳ τοῦ Βασιλέως τῶν Αἰγυπτίων Φαραώ· ἐπιμανείσης δὲ τῆς κυρίας αὐτοῦ ἐπὶ τῇ σωφροσύνῃ τοῦ νεανίσκου, ἐπεὶ μὴ τὸ παράνομον πρᾶξαι ἠθέλησε, τὸν χιτῶνα καταλιπὼν φεύγει· ἡ δὲ τῷ Κυρίῳ αὐτοῦ διαβάλλει αὐτόν· καὶ δεσμά, καὶ φυλακὴ πικρὰ τοῦτον δέχεται· εἶτα διὰ τῆς ἐπιλύσεως τῶν ὀνειράτων ἐξάγεται, καὶ τῷ Βασιλεῖ ἐμφανίζεται· καὶ Κύριος πάσης τῆς γῆς Αἰγύπτου καθίσταται· αὖθις δὲ διὰ τῆς σιτοδοσίας τοῖς ἀδελφοῖς φανερὸς γίνεται, καὶ τὸ σύμπαν τῆς αὐτοῦ βιοτῆς ἀρίστως διαγαγὼν, ἐν Αἰγύπτῳ θνήσκει· μέγας ἐπὶ σωφροσύνῃ πρὸς τοῖς ἄλλοις αὐτοῦ καλοῖς γνωριζόμενος· εἰκὼν δὲ οὗτος Χριστοῦ, ὅτι καὶ ὁ Χριστὸς παρὰ τῶν ὁμοφύλων Ἰουδαίων φθονεῖται, καὶ παρὰ τοῦ μαθητοῦ τριάκοντα ἀργυρίοις πιπράσκεται, καὶ εἰς τὸν ζοφώδη, καὶ σκοτεινὸν λάκκον, τὸν τάφον ἐγκλείεται· κἀκεῖθεν αὐτεξουσίως ἀναρραγεὶς βασιλεύει τῆς Αἰγύπτου, ἤγουν τῆς ἁμαρτίας δηλαδὴ πάσης, καὶ κατακράτος ταύτην νικᾷ, τοῦ Κόσμου τε παντὸς ἄρχει, καὶ φιλανθρώπως ἐξωνεῖται ἡμᾶς διὰ τῆς μυστικῆς σιτοδοσίας, ὡς ἑαυτὸν ὑπὲρ ἡμῶν δοὺς, καὶ ἐπιτρέφει ἡμᾶς οὐρανίῳ ἄρτῳ, τῇ αὐτοῦ ζωηφόρῳ σαρκί· κατὰ τοῦτον οὖν τὸν λόγον ὁ πάγκαλος Ἰωσὴφ ἀρτίως παραλαμβάνεται· ἐν ταύτῃ δὲ καὶ τῆς ξηρανθείσης συκῆς μνείαν ποιούμεθα· διότι οἱ θεῖοι Εὐαγγελισταὶ, ὁ Ματθαῖος δηλαδὴ, καὶ ὁ Μάρκος μετὰ τὴν Βαΐων διήγησιν ἐπιφέρουσι· τῇ δὲ ἐπαύριον ἐξελθόντων αὐτῶν ἀπὸ Βηθανίας ἐπείνασε, καὶ ἰδὼν συκῆν φύλλα μόνον ἔχουσαν, ὁ δὲ ἕτερος, πρωΐας δὲ ἐπανάγων ἐπὶ τὴν πόλιν, λέγει, ἐπείνασε, καὶ ἰδὼν συκῆν φύλλα μόνον ἔχουσαν· οὐ γὰρ ἦν καιρὸς σύκων· ἦλθεν ἐπ' αὐτὴν, καὶ ἐπεὶ καρπὸν οὐχ εὗρεν ἐν αὐτῇ, εἶπε· μηκέτι ἐκ σοῦ καρπὸς γένηται εἰς τὸν αἰῶνα, καὶ ἐξηράνθη παραχρῆμα ἡ συκῆ· συκῆ οὖν ἐστιν ἡ συναγωγὴ τῶν Ἰουδαίων, ἐφ' ᾗ μὴ τὸν ἀνήκοντα καρπὸν ὁ Σωτὴρ εὑρηκὼς, εἰ μὴ μόνον τὸ σκιάζον τοῦ Νόμου, καὶ τοῦτο ἀφείλετο ἀπ' αὐτῶν, ἀργὴν παντάπασιν ἐργασάμενος· εἰ δέ τις ἔροιτο, διὰ τί τὸ ἄψυχον ξύλον ξηρὸν γέγονε, τὴν κατάραν λαβὸν, μὴ πταῖσαν, μανθανέτω, ὅτι οἱ Ἰουδαῖοι ὁρῶντες Χριστὸν ἀεὶ πάντας εὐεργετοῦντα, μή τινι δὲ τὸ τυχὸν λυπηρὸν ἐργασάμενον, ἐνόμιζον μόνον δύναμιν ἔχειν εὐεργετεῖν, κακοποιεῖν δὲ οὔ. φιλάνθρωπος δὲ ὢν ὁ Δεσπότης, οὐκ ἠθέλησεν ἐπ' ἀνθρώπῳ δεῖξαι καὶ τοῦτο δύνασθαι, ἵνα τοίνυν πείσῃ τὸν ἀχάριστον δῆμον, ὅτι ἔχει δύναμιν καὶ πρὸς τιμωρίαν ἀρκοῦσαν, ὡς δὲ ἀγαθὸς, οὐ βούλεται, εἰς ἄψυχον, καὶ ἀναίσθητον φύσιν τὴν τιμωρίαν ἐργάζεται, ἅμα δὲ καὶ ἀπόρρητός τις λόγος ἐστὶ, παρὰ γερόντων σοφῶν εἰς ἡμᾶς διαφοιτήσας, ὡς φησιν ὁ Πηλουσιώτης Ἰσίδωρος, ὅτι τὸ ξύλον τῆς παραβάσεως τοῦτο ἦν, οὗ καὶ τοῖς φύλλοις εἰς σκέπην οἱ παραβάντες ἐχρήσαντο· ὅθεν καὶ κατηράθη παρὰ Χριστοῦ φιλανθρώπως, ἐπειδὴ τότε τοῦτο οὐκ ἔπαθε, μηκέτι καρπὸν ἐνεγκεῖν αἴτιον ἁμαρτίας· ὅτι δὲ ἡ

ἁμαρ-

Digitized by Google

ἁμαρτία πρὸς τὴν συκῆν ἀπεικάζεται, εὔδηλον· ἔχει γὰρ τὸ γλυκάζον τῆς ἡδονῆς, τὸ κολλητικὸν τῆς ἁμαρτίας, καὶ τὸ τραχύνον ὕστερον, καὶ δριμύνατον διὰ τῆς συνειδήσεως. Πλὴν τοῖς παροῦσιν ἐνταῦθα ἡ τῆς συκῆς ἱστορία διὰ κατάνυξιν τέθειται, ὡς ὁ Ἰωσὴφ διὰ τὸ τύπον φέρειν Χριστοῦ· ἔστι δὲ συκῆ ψυχὴ πᾶσα παντὸς πνευματικοῦ ἄμοιρος, ἐν ᾗ πρωΐας, κατὰ τὴν παροῦσαν δηλαδὴ ζωὴν μὴ εὑρίσκων ὁ Κύριος ἀνάπαυσιν ἐπ' αὐτήν, ξηραίνει αὐτὴν δι' ἀρᾶς, καὶ εἰς τὸ αἰώνιον παραπέμπει πῦρ, καὶ στήλη τις ἵσταται κατεξηραμμένη, δημαίνουσα τοὺς μὴ προσάσσοντας τὸν ἀνήκοντα τῆς ἀρετῆς καρπόν. Ταῖς τοῦ παγκάλου Ἰωσὴφ πρεσβείαις Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ὠδὴ η'. ὁ Εἱρμός.

Ἔφριξε Παίδων εὐαγῶν τὸ ὁμόστολον ψυχῆς ἄσπιλον σῶμα, καὶ εἶξε τὸ τραφὲν ἐν ἀπείρῳ ὕλῃ ἀκάματον πῦρ· ἀειζώου δὲ ἐκμαρανθείσης φλογός, διαιωνίζων ὕμνος ἀνεμέλπετο· τὸν Κύριον πάντα τὰ ἔργα ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὑμᾶς μου τότε Μαθητὰς πάντες γνώσονται, εἰ τὰς ἐμὰς ἐντολὰς τηρήσεται, φησὶν ὁ Σωτὴρ τοῖς φίλοις πρὸς Πάθος μολών, εἰρηνεύετε ἐν ἑαυτοῖς καὶ πᾶσι, καὶ ταπεινὰ φρονοῦντες, ἀνυψώθητε, καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τάξεως ἔμπαλιν ὑμῖν ἐθνικῆς ἔστω τὸ κράτος ὁμόγνωμον· οὐ κλῆρος γὰρ ἐμός, τυραννὶς δέ, γνώμη αὐθαίρετος· ὁ οὖν πρόκριτος ἐν ὑμῖν εἶναι θέλων, τῶν ἄλλων ἔστω πάντων ἐσχατώτερος, καὶ Κύριον γινώσκοντές με ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. ὁ Εἱρμός.

Ἐμεγάλυνας Χριστὲ τὴν τεκοῦσάν σε Θεοτόκον· ἀφ' ἧς ὁ πλάστης ἡμῶν ὁμοιοπαθὲς περιεθοῦ σῶμα, τὸ τῶν ἡμετέρων λυτήριον ἀμπλακημάτων· ταύτην μακαρίζοντες πᾶσαι γενεαί, σὲ μεγαλύνομεν.

Ῥύπον πάντα ἐμπαθῆ ἀπωσάμενοι, ἐπάξιον τῆς θείας Βασιλείας γνώμην ἀναλάβωμεν ἔμφρονα, τοῖς σοῖς Ἀποστόλοις προέφης ἡ πάντων σοφία· ἐν ᾗ δοξασθήσεσθε, λάμποντες Ἡλίου τηλαυγέστερον.

Ἀφορῶντες εἰς ἐμέ, εἶπας Κύριε τοῖς σεαυτοῦ Μαθηταῖς, μὴ φρονεῖτε ὑψηλά, ἀλλὰ συναπάχθητε τοῖς ταπεινοῖς, ἐμόν, ὅπερ πίνω, πίετε ποτήριον, ὅτι ἐν τῇ Βασιλείᾳ τοῦ Πατρός ἐμοὶ συνδοξασθήσεσθε.

Ἐξαποστειλάριον λεγόμενον ἐκ τρίτου ἀργῶς, καὶ μετὰ μέλους. Τοῦτο δὲ λέγεται ἕως τῇ μεγάλῃ Ε'. Ἰδιόμελ.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ, λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς φωτοδότα, καὶ σῶσόν με.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ'. Καὶ ψάλλομεν στιχηρ. Ἰδιόμ. δευτεροῦντες αὐτὰ στιχηρὰ Ἰδιόμελα ἦχος α'.

Ἐρχόμενος ὁ Κύριος πρὸς τὸ ἑκούσιον Πάθος, τοῖς Ἀποστόλοις ἔλεγεν ἐν τῇ ὁδῷ, ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ Ἀνθρώπου, καθὼς γέγραπται περὶ αὐτοῦ· δεῦτε οὖν καὶ ἡμεῖς κεκαθαρμέναις διανοίαις συμπορευθῶμεν αὐτῷ, καὶ συσταυρωθῶμεν, καὶ νεκρωθῶμεν δι' αὐτὸν ταῖς τοῦ βίου ἡδοναῖς, ἵνα καὶ συζήσωμεν αὐτῷ, καὶ ἀκούσωμεν βοῶντος αὐτοῦ, οὐκέτι εἰς τὴν ἐπίγειον Ἱερουσαλὴμ διὰ τὸ παθεῖν, ἀλλὰ ἀναβαίνω πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν, καὶ συνανυψῶ ὑμᾶς εἰς τὴν ἄνω Ἱερουσαλήμ, ἐν τῇ βασιλείᾳ τῶν Οὐρανῶν.

Ἦχος πλ. α'.

Φθάσαντες, πιστοί, τὸ σωτήριον Πάθος Χριστοῦ τοῦ Θεοῦ, τὴν ἄφατον αὐτοῦ μακροθυμίαν δοξάσωμεν, ὅπως τῇ αὐτοῦ εὐσπλαγχνίᾳ συνεγείρῃ καὶ ἡμᾶς νεκρωθέντας τῇ ἁμαρτίᾳ, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Δόξα. Καὶ νῦν ἦχος πλ. α'.

Κύριε, ἐρχόμενος πρὸς τὸ Πάθος, τοὺς ἰδίους στηρίζων Μαθητὰς ἔλεγες, κατ' ἰδίαν παραλαβὼν αὐτούς· πῶς τῶν ῥημάτων μου ἀμνημονεῖτε, ὧν πάλαι εἶπον ὑμῖν, ὅτι Προφήτην πάντα οὐ γέγραπται, εἰ μὴ ἐν Ἱερουσαλὴμ ἀποκτανθῆναι; νῦν οὖν καιρὸς ἐφέστηκεν, ὃν εἶπον ὑμῖν, ἰδοὺ γὰρ παραδίδομαι ἁμαρτωλῶν χερσὶν ἐμπαιχθῆναι, οἳ καὶ Σταυρῷ με προσπήξαντες, ταφῇ παραδόντες, ἐβδελυγμένον λογιοῦνται ὡς νεκρόν· ὅμως θαρσεῖτε, τριήμερος γὰρ ἐγείρομαι εἰς ἀγαλλίασιν πιστῶν, καὶ ζωὴν αἰώνιον.

Ἀπὸ στίχ. στιχη. Ἰδιόμ. ἦχος πλ. α'.

Κύριε, πρὸς τὸ μυστήριον τὸ ἀπόρρητον τῆς σῆς οἰκονομίας οὐκ ἐξαρκοῦσα ἡ τῶν ἐκ Ἐκ Ζεβεδαίου μήτηρ ᾐτεῖτό σοι, πρόσκαιρον Βασιλείας τιμὴν τοῖς ἑαυτῆς δωρήσασθαι τέκνοις· ἀλλ' ἀντὶ ταύτης ποτήριον θανάτου ἐπηγγείλω πιεῖν τοῖς φίλοις σου, ὃ ποτήριον πρὸ τούτων πιεῖν ὁ αὐτὸς ἔλεγες ἁμαρτημάτων καθαρτήριον· διό σοι βοῶμεν, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν, δόξα σοι.

Ἦχος πλ. α'. στίχ. λεγόμενα τοὺς συνήθως.

Κύριε, τὰ τελειότατα φρονεῖν τοὺς οἰκείους παιδεύων Μαθητάς, μὴ ὁμοιοῦσθαι τοῖς ἔθνεσιν, ἔλεγες, εἰς τὸ κατάρχειν τῶν ἐλαχιστοτέρων· οὐχ οὕτω γὰρ ἔσται ὑμῖν τοῖς ἐμοῖς Μαθηταῖς, ὅτι πτωχὸς θέλων ὑπάρχω· ὁ πρῶτος οὖν ὑμῶν ἔστω πάντων διάκονος, ὁ δὲ ἄρχων ὡς ὁ ἀρχόμενος, ὁ προκριθεὶς δὲ ὡς ὁ ἔσχατος· καὶ γὰρ ἐλήλυθα αὐτὸς τῷ πτωχεύσαντι Ἀδὰμ διακονῆ-

κονῆσαι; καὶ λύτρον δοῦναι ἀντὶ πολλῶν τὴν ψυχὴν τῶν βοώντων μοι, δόξα σοι.

Ἦχος πλ. δ'.

ΤΗς ξηρανθείσης συκῆς διὰ τὴν ἀκαρπίαν τὸ ἐπιτίμιον φοβηθέντες, ἀδελφοὶ, καρποὺς ἀξίους τῆς μετανοίας προσάξωμεν Χριστῷ, τῷ παρέχοντι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν, ἦχος πλ. δ'.

ΔΕυτέραν Εὔαν τὴν Αἰγυπτίαν εὑρὼν ὁ δράκων, διὰ ῥημάτων ἔσπευδε κολακείαις ὑποσκελίσαι τὸν Ἰωσήφ· ἀλλ' αὐτὸς καταλιπὼν τὸν χιτῶνα, ἔφυγε τὴν ἁμαρτίαν, καὶ γυμνὸς οὐκ ᾐσχύνετο, ὡς ὁ πρωτόπλαστος πρὸ τῆς παρακοῆς· αὐτοῦ ταῖς ἱκεσίαις, Χριστὲ, ἐλέησον ἡμᾶς.

Ἰστέον δὲ, ὅτι ἡ πρώτη Ὥρα, καὶ ἡ ἐννάτη οὐ στιχολογεῖται ἐν τῇ μεγάλῃ Ἑβδομάδι.

Ἀλλὰ μόνον ψάλλεται τρόψαλμος. Ἡ δὲ Τριτέκτη στιχολογεῖται.

Ἀναγινώσκεται δὲ καὶ τὸ Τετραευαγγέλιον. Τῇ Β'. τῇ Γ'. καὶ τῇ Δ'. καὶ πληροῦται.

Εἰς τὴν Τριτέκτην τῇ ἁγίᾳ καὶ μεγάλῃ Β'.

Τροπάρ. τῆς Προφητείας· ἦχος πλ. β'.

ΕΝ ψυχῇ συντετριμμένῃ προσπίπτομέν σοι, καὶ δεόμεθά σου Σωτὴρ τοῦ Κόσμου, σὺ γὰρ εἶ Θεὸς τῶν μετανοούντων.

Προκείμενον, Ψαλμὸς ρκε'. ἦχος δ'.

Ἐν τῷ ἐπιστρέψαι Κύριον τὴν αἰχμαλωσίαν.

Στίχ. Τότε ἐπλήσθη χαρᾶς τὸ στόμα ἡμῶν.

Προφητείας Ἰεζεκιήλ.

ΚΑὶ ἐγένετο ἐν τῷ τριακοστῷ ἔτει ἐν τῷ τετάρτῳ μηνὶ πέμπτῃ τοῦ μηνὸς, καὶ ἐγὼ ἤμην ἐν μέσῳ τῆς αἰχμαλωσίας ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἠνοίχθησαν οἱ Οὐρανοὶ, καὶ ἴδον ὁράσεις Θεοῦ πέμπτῃ τοῦ μηνὸς, τοῦτο τὸ ἔτος τὸ πέμπτον τῆς αἰχμαλωσίας τοῦ Βασιλέως Ἰωακεὶμ καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰεζεκιὴλ υἱὸν Βουζεὶ, τὸν Ἱερέα ἐν γῇ Χαλδαίων ἐπὶ τοῦ ποταμοῦ τοῦ Χοβάρ· καὶ ἐγένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου, καὶ ἴδον, καὶ ἰδοὺ πνεῦμα ἐξαῖρον ἤρχετο ἀπὸ Βορρᾶ, καὶ νεφέλη μεγάλη ἐν αὐτῷ, καὶ φέγγος κύκλῳ αὐτοῦ καὶ πῦρ ἐξαστράπτον· καὶ ἐν τῷ μέσῳ αὐτοῦ ὡς ὅρασις ἠλέκτρου ἐν μέσῳ τοῦ πυρὸς, καὶ φέγγος ἐν αὐτῷ, καὶ ἐν τῷ μέσῳ ὡς ὁμοίωμα τεσσάρων ζώων· καὶ αὕτη ἡ ὅρασις αὐτῶν, ὁμοίωμα ἀνθρώπου ἐπ' αὐτοῖς, καὶ τέσσαρα πρόσωπα τῷ ἑνὶ, καὶ τέσσαρες πτέρυγες τῷ ἑνὶ, καὶ τὰ σκέλη αὐτῶν ὀρθὰ, καὶ πτερωτοὶ οἱ πόδες αὐτῶν, καὶ σπινθῆρες ὡς ἐξαστράπτων χαλκός· καὶ ἐλαφραὶ αἱ πτέρυγες αὐτῶν, καὶ χεὶρ ἀνθρώπου ὑποκάτωθεν τῶν πτερύγων αὐτῶν ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν, καὶ τὰ πρόσωπα αὐτῶν τῶν τεσσάρων οὐκ ἐπεστρέφοντο ἐν τῷ βαδίζειν αὐτά· ἕκαστον ἀπέναντι τοῦ προσώπου αὐτῶν ἐπορεύοντο, καὶ ὁμοίωσις τῶν προσώπων αὐτῶν, πρόσωπον ἀνθρώπου, καὶ πρόσωπον τοῦ λέοντος ἐκ δεξιῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον μόσχου ἐξ ἀριστερῶν τοῖς τέσσαρσι, καὶ πρόσωπον ἀετοῦ τοῖς τέσσαρσι· καὶ αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι ἄνωθεν τοῖς τέσσαρσιν· ἑκατέρῳ δύο συνεζευγμέναι πρὸς ἀλλήλας, καὶ δύο ἐπεκάλυπτον ἐπάνω τοῦ σώματος αὐτῶν, καὶ ἑκάτερον κατὰ πρόσωπον αὐτοῦ ἐπορεύετο, οὗ ἂν ἦν τὸ Πνεῦμα πορευόμενον ἐπορεύοντο, καὶ οὐκ ἐπέστρεφον· καὶ ἐν μέσῳ τῶν ζώων ὅρασις, ὡς ἀνθράκων πυρὸς καιομένων, ὡς ὄψις λαμπάδων συστρεφομένων ἀναμέσον τῶν ζώων καὶ φέγγος τοῦ πυρὸς, καὶ ἐκ τοῦ πυρὸς ἐξεπορεύετο ἀστραπή· καὶ εἶδον, καὶ ἰδοὺ τροχὸς εἷς ἐπὶ τῆς γῆς ἐχόμενος τῶν ζώων τοῖς τέσσαρσι· καὶ τὸ εἶδος τῶν τροχῶν, ὡς εἶδος θαρσεὶς, καὶ ὁμοίωμα ἓν τοῖς τέσσαρσι· καὶ τὸ ἔργον αὐτῶν ἦν καθὼς ἂν εἴη τροχὸς ἐν τροχῷ, ἐπὶ τὰ τέσσαρα μέρη αὐτῶν ἐπορεύοντο· οὐκ ἐπέστρεφον ἐν τῷ πορεύεσθαι αὐτὰ, οὐδ' οἱ νῶτοι αὐτῶν, καὶ ὕψος ἦν αὐτοῖς· καὶ ἴδον αὐτὰ, καὶ οἱ νῶτοι αὐτῶν πλήρεις ὀφθαλμῶν κυκλόθεν τοῖς τέσσαρσιν· καὶ ἐν τῷ πορεύεσθαι τὰ ζῶα, ἐπορεύοντο οἱ τροχοὶ ἐχόμενοι αὐτῶν· καὶ ἐν τῷ ἐξαίρειν τὰ ζῶα ἀπὸ τῆς γῆς, ἐξῄροντο οἱ τροχοί· οὗ ἂν ἡ νεφέλη ἐκεῖ ἦν τὸ πνεῦμα τοῦ πορεύεσθαι, ἐπορεύοντο οἱ τροχοὶ καὶ ἐξῄροντο σὺν αὐτοῖς, διότι πνεῦμα ζωῆς ἐν τοῖς τροχοῖς.

Προκείμενον. Ψαλμὸς ρκς', ἦχος β'.

Ἐὰν μὴ Κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην.

Στίχ. Ἐὰν μὴ Κύριος φυλάξῃ πόλιν, εἰς μάτην ἠγρύπνησεν ὁ φυλάσσων.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Β'. Ἑσπέρας μετὰ τὸν Προοιμιακὸν Ψαλμὸν ἡ συνήθως στιχολο. τῶν. Πρὸς Κύριον· Εἰς τὸ, Κύριε ἐκέκραξα· ἱστῶμεν στίχ. ι. Καὶ ψάλλομεν τὰ Ἰδιόμελα τῆς ἡμέρας, ἅπερ εἴπομεν τὸ πρωῒ, δευτεροῦντες τὰ δ'. Τὰ δὲ δύο πρὸς μίαν. Δόξα. Καὶ νῦν, τὸν πλ. δ'. Δευτέραν Εὔαν. Εἴσοδος. Φῶς ἱλαρόν. Ἑσπέρας Προκείμ. Ψαλμὸς ρκζ'. ἦχος πλ. β'.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, ὁ ποιήσας τὸν·

Στίχ. Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

Τῆς ἐξόδου τὸ Ἀνάγνωσμα.

ΤΑῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσπορευομένων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν, ἕκαστος πανοικὶ αὐτῶν εἰσήλθοσαν· Ῥουβὶν, Συμεὼν, Λευὶ, Ἰούδας, Ἰσσάχαρ, Ζαβουλὼν, Βενιαμὶν, Δὰν, καὶ Νεφθαλὶ, Γὰδ, καὶ Ἀσήρ· Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ· ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ, πέντε καὶ ἑβδομήκοντα· ἐτελεύτησε δὲ Ἰωσὴφ, καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ, καὶ πᾶσα ἡ γενεὰ ἐκείνη οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήνθησαν, καὶ ἐπληθύνθησαν, καὶ χυδαῖοι ἐγένοντο, καὶ κατίσχυον σφόδρα σφόδρα· ἐπλήθυνε

δὲ

Digitized by Google

δὲ ἡ γῆ αὐτούς. Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ᾿ Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ. Εἶπε δὲ τῷ ἔθνει αὐτοῦ· Ἰδοὺ τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος, καὶ ἰσχύει ὑπὲρ ἡμᾶς· δεῦτε οὖν κατασοφισώμεθα αὐτούς, μήποτε πληθυνθῇ, καὶ ἡνίκα ἂν συμβῇ ἡμῖν πόλεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους, καὶ ἐκπολεμήσαντες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς. Καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν τε Πιθώ, καὶ Ῥαμεσσῆ, καὶ Ὤν, ἥ ἐστιν Ἡλιούπολις. Καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα· καὶ ἐβδελύσσοντο οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραήλ, καὶ κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ, καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ, καὶ τῇ πλινθείᾳ, καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας. Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων, τῇ μιᾷ αὐτῶν ὄνομα, Σεπφώρα, καὶ τὸ ὄνομα τῆς δευτέρας, Φουά, καὶ εἶπεν· Ὅταν μαιοῦσθαι τὰς Ἑβραίας, καὶ ὦσι πρὸς τῷ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό· ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό. Ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεόν, καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου· καὶ ἐζωογόνουν τὰ ἄρσενα. Ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας, καὶ εἶπεν αὐταῖς· Τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο, καὶ ἐζωογονεῖτε τὰ ἄρσενα; Εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραώ, οὐχ ὡς γυναῖκες Αἰγύπτου, αἱ Ἑβραῖαι· τίκτουσι γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαίας, καὶ ἔτικτον. Εὖ δὲ ἐποίει ὁ Θεὸς ταῖς μαίαις· καὶ ἐπλήθυνεν ὁ λαός, καὶ ἴσχυε σφόδρα.

Προκείμενον. Ψαλμὸς ρκή. Ἦχος πλ. δ΄.

Εὐλογήκαμεν ὑμᾶς ἐν ὀνόματι Κυρίου.

Στίχ. Πλεονάκις ἐπολέμησάν με ἐκ νεότητος.

Ἰὼβ τὸ Ἀνάγνωσμα.

ΑΝθρωπός τις ἦν ἐν χώρᾳ τῇ Αὐσίτιδι, ᾧ ὄνομα Ἰώβ· καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος ἀληθινός, ἄμεμπτος, δίκαιος, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος. Ἐγένοντο δὲ αὐτῷ υἱοὶ ἑπτά, καὶ θυγατέρες τρεῖς. Καὶ ἦν τὰ κτήνη αὐτοῦ πρόβατα ἑπτακισχίλια, κάμηλοι τρισχίλιαι, ζεύγη βοῶν πεντακόσια, θήλειαι ὄνοι νομάδες πεντακόσιαι, καὶ ὑπηρεσία πολλὴ σφόδρα, καὶ ἔργα μεγάλα ἦν αὐτῷ ἐπὶ τῆς γῆς, καὶ ἦν ὁ ἄνθρωπος ἐκεῖνος εὐγενὴς τῶν ἀφ᾿ ἡλίου ἀνατολῶν. Συμπορευόμενοι δὲ οἱ υἱοὶ αὐτοῦ πρὸς ἀλλήλους, ἐποίησαν πότον καθ᾿ ἑκάστην ἡμέραν, συμπαραλαμβάνοντες ἅμα καὶ τὰς τρεῖς ἀδελφὰς αὐτῶν, ἐσθίειν καὶ πίνειν μετ᾿ αὐτῶν· καὶ ὡς ἂν συνετελέσθησαν αἱ ἡμέραι τοῦ πότου, ἀπέστελλεν Ἰὼβ καὶ ἐκαθάριζεν αὐτούς, ἀνιστάμενος τὸ πρωΐ, καὶ προσέφερε περὶ αὐτῶν θυσίας, κατὰ τὸν ἀριθμὸν αὐτῶν, καὶ μόσχον ἕνα περὶ ἁμαρτίας περὶ τῶν ψυχῶν αὐτῶν· ἔλεγε γὰρ Ἰώβ, μή ποτε οἱ υἱοί μου ἐν τῇ διανοίᾳ αὐτῶν κακὰ ἐνενόησαν πρὸς Θεόν. Οὕτως οὖν ἐποίει Ἰὼβ πάσας τὰς ἡμέρας. Καὶ ἐγένετο ὡς ἡ ἡμέρα αὕτη, καὶ ἰδοὺ ἦλθον οἱ Ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἐνώπιον τοῦ Κυρίου, καὶ ὁ Διάβολος ἦλθε μετ᾿ αὐτῶν. Καὶ εἶπεν ὁ Κύριος τῷ Διαβόλῳ· Πόθεν παραγέγονας; Καὶ ἀποκριθεὶς ὁ Διάβολος τῷ Κυρίῳ, εἶπε· Περιελθὼν τὴν γῆν καὶ ἐμπεριπατήσας τὴν ὑπ᾿ οὐρανὸν πάρειμι. Καὶ εἶπεν αὐτῷ ὁ Κύριος· Προσέσχες τῇ διανοίᾳ σου κατὰ τοῦ παιδός μου Ἰώβ; ὅτι οὐκ ἔστιν κατ᾿ αὐτὸν ἐπὶ τῆς γῆς· ἄνθρωπος ἄμεμπτος, ἀληθινός, θεοσεβής, ἀπεχόμενος ἀπὸ παντὸς πονηροῦ πράγματος; Ἀπεκρίθη δὲ ὁ Διάβολος, καὶ εἶπεν ἐναντίον τοῦ Κυρίου· Μὴ δωρεὰν Ἰὼβ σέβεται τὸν Κύριον; οὐ σὺ περιέφραξας τὰ ἔξω αὐτοῦ, καὶ τὰ ἔσω τῆς οἰκίας αὐτοῦ, καὶ τὰ ἔξω πάντων τῶν ὄντων αὐτοῦ κύκλῳ; τὰ δὲ ἔργα τῶν χειρῶν αὐτοῦ εὐλόγησας; καὶ τὰ κτήνη αὐτοῦ πολλὰ ἐποίησας ἐπὶ τῆς γῆς; ἀλλὰ ἀπόστειλον τὴν χεῖρά σου, καὶ ἅψαι πάντων ὧν ἔχει· ἦ μὴν εἰς πρόσωπόν σε εὐλογήσει. Τότε εἶπεν ὁ Κύριος τῷ Διαβόλῳ· Ἰδοὺ πάντα ὅσα ἐστὶν αὐτῷ, δίδωμι ἐν τῇ χειρί σου, ἀλλὰ αὐτοῦ μὴ ἅψῃ, καὶ ἐξῆλθεν ὁ Διάβολος παρὰ τοῦ Κυρίου.

Εἶτα τό, Κατευθυνθήτω· καὶ μετὰ τοῦτο, τὸ Εὐαγγέλιον κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, καθημένου τοῦ Ἰησοῦ. Καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων ὡς συνήθως.

Οὕτως ὀφείλει γίνεσθαι καὶ ἐν τῇ μεγάλῃ Γ΄. καὶ τῇ μεγάλῃ Δ΄.

Ἐσθίομεν δὲ καὶ ξηροφαγίαν ἐν τῇ τραπέζῃ ἄχρι τῆς Πέμπτης.

Τῇ αὐτῇ μεγάλῃ β΄. Ἑσπέρας, εἰς τὸ Ἀπόδειπνον Τὸ Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου Κρήτης. Ὠδὴ β΄. Ἦχος πλ. δ΄. Πρόσεχε Οὐρανέ.

Ὁ Εἱρμός.

ΠΡόσεχε Οὐρανὲ καὶ λαλήσω, καὶ ἀνυμνήσω Χριστόν, τὸν ἐκ Παρθένου σαρκὶ ἐπιδημήσαντα.

ΣΥνέλθωμεν τῷ Χριστῷ πρὸς τὸ ὄρος τῶν Ἐλαιῶν, μυστικῶς μετὰ τῶν Ἀποστόλων συναυλισθῶμεν αὐτῷ.

ΕΝνόησον ταπεινή μου καρδία, τίς ἡ τοῦ μύλωνος Παραβολή, ἣν προεῖπε Χριστός, καὶ νῆψον λοιπόν.

Ἐποί-

ΕΤοίμαζε σεαυτὴν, ὦ ψυχή μου, ἐπὶ τὴν ἔξοδον, ἡ παρουσία ἐγγίζει τοῦ ἀδεκάστου Χριστοῦ.

Θεοτοκίον.

ΑΧραντε Θεοτόκε Παρθένε, μόνη πανύμνητε, τὸν Υἱόν σου δυσώπει ὑπὲρ τῶν δούλων σου.

Εἱρμὸς ἄλλος· ἦχος ὁ αὐτός.

ΙΔετε ἴδετε, ὅτι ἐγώ εἰμι ὁ Θεὸς, ὁ πρὶν γενέσθαι τὸ πᾶν, καὶ πρὸ τοῦ στῆσαι γῆν, καὶ τὸν Οὐρανὸν, γινώσκων τὰ πάντα, ὡς ὅλος ὢν ἐν Πατρὶ, καὶ ὅλον φέρων ἐν ἐμοί.

Ὁ Εἱρμός.

ΙΔετε ἴδετε, ὅτι ἐγώ εἰμι Θεὸς, ὁ πάλαι τὸν Ἰσραὴλ ἐν ἐρυθρᾷ θαλάσσῃ διαγαγὼν, καὶ σώσας, καὶ θρέψας, καὶ ἐκ δουλείας αὐτὸν ἐλευθερώσας Φαραώ.

ΛΟγῳ συνέστησα τὸν Οὐρανὸν ἅμα τῇ γῇ, συνήμην γὰρ τῷ Πατρὶ, καὶ διὰ λόγου φέρω τόδε τὸ πᾶν, ὡς Λόγος, σοφία, καὶ δύναμις, καὶ εἰκὼν, καὶ συνεργὸς, καὶ ἰσουργός.

ΤΙς χρόνους ἔθετο, τίς ὁ αἰῶνας συντηρῶν, τίς ὁ τὸ πᾶν ὁρίζων, καὶ συγκινῶν, εἰμὴ ὁ ἀνάρχως συνὼν ἀεὶ τῷ Πατρὶ, ὥσπερ ἀκτὶς ἐν τῷ φωτί;

ΩΤῆς ἀμέτρου σου φιλανθρωπίας Ἰησοῦ, ἐγνώρισας γὰρ ἡμῖν τῆς συντελείας ἄνωθεν τὸν καιρὸν, καλύψας τὴν ὥραν· τρανώσας δὲ τηλαυγῶς τὰ ὑποδείγματα αὐτῆς.

ΠΑντα ἐπίστασαι, πάντα γινώσκεις Ἰησοῦ, ὡς ἔχων ὅλον ἐν σοὶ τὸ πατρικὸν ἀξίωμα θεϊκῶς, καὶ ὅλον τὸ Πνεῦμα ἐμφύτως φέρων ἐν σοὶ, τὸ συναΐδιον Πατρί.

ΔΕσποτα Κύριε, ὁ τῶν αἰώνων Ποιητὴς, ἀξίωσον καὶ ἡμᾶς τῆς ἱερᾶς ἐκείνης τότε φωνῆς ἀκοῦσαι, καλούσης τοὺς ἐκλεκτοὺς τοῦ Πατρὸς εἰς Βασιλείαν Οὐρανῶν.

Δόξα.

ΑΝαρχε, ἄκτιστε Τριὰς, ἀμέριστε μονὰς, ἡ τρία οὖσα καὶ ἓν, Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα, εἷς ὁ Θεὸς, προσδέχου τὸν ὕμνον ἐκ τῶν πηλίνων γλωσσῶν, ὡς ἐκ στομάτων φλογερῶν.

Θεοτοκίον.

ΣΚήνωμα ἅγιον ὤφθης Παρθένε τοῦ Θεοῦ, ἐν σοὶ γὰρ τῶν Οὐρανῶν ὁ Βασιλεὺς οἰκήσας σωματικῶς, προῆλθεν ὡραῖος, τὸν ἄνθρωπον ἐν αὐτῷ ἀναμορφώσας θεϊκῶς.

Κάθισ. ἦχος β'. Εὐσπλαγχνίας.

ΕΥσπλαγχνίᾳ κινούμενος, Χριστὲ, ἑκουσίως προέρχῃ τοῦ παθεῖν, εὐεργέτα, θέλων τῶν παθῶν ἡμᾶς λυτρώσασθαι, καὶ τῆς ἐν τῷ ᾅδῃ κατακλείσεως· διό σου τὰ τίμια ἀνυμνοῦμεν Παθήματα, καὶ δοξάζομεν, Σωτὴρ, τὴν ἄκραν σου πάντες συγκατάβασιν.

Ὠδὴ η'. ὁ Εἱρμός.

ΑΓγελοι, καὶ Οὐρανοὶ, τὸν ἐπὶ θρόνου δόξης ἐποχούμενον, καὶ ὡς Θεὸν ἀπαύστως δοξαζό-
„ μενον· εὐλογεῖτε, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

ΠΑντως ἤκουσας, ψυχὴ, πῶς ὁ Χριστὸς τοῖς θείοις Μαθηταῖς αὐτοῦ προαναφωνεῖ, λέγων τὴν συντέλειαν· γνοῦσα δέ σου τὸ τέλος, ἑτοίμαζου λοιπὸν, καιρὸς ἐξόδου ἥκει.

ΕΓνως, ἄγονε ψυχὴ, τοῦ πονηροῦ οἰκέτου τὸ ὑπόδειγμα· φοβοῦ, καὶ μὴ ἀμέλει τοῦ χαρίσματος, οὗ ἐδέξω, οὐχ ἵνα κατακρύψῃς εἰς γῆν, ἀλλ' ἵνα ἐμπορεύσῃ.

ΦΑιδρυνέσθω ἡ λαμπὰς, ὑπερεκχείσθω ταύτης καὶ τὸ ἔλαιον, ὡς ταῖς παρθένοις τότε ἡ συμπάθεια, ἵνα εὕρῃς, ψυχή μου, τὸν νυμφῶνα τότε Χριστοῦ ἀνεῳγμένον.

ΕΝ Σαββάτῳ τὴν φυγὴν, καὶ ἐν χειμῶνι λέγων ὁ διδάσκαλος, τὴν τῆς ἑβδόμης ζάλην προαινίττεται τοῦ παρόντος αἰῶνος, ἐν ᾧ ἐπανάζει ὥσπερ χειμὼν τὸ τέλος.

ΩΣπερ τάχος ἀστραπῆς διερχομένης, οὕτω τότε ἔσεσθε τὴν φοβερὰν ἐκείνην τοῦ Δεσπότου σου παρουσίαν, ψυχή μου ἤκουσας, ἑτοίμη λοιπὸν γενέσθαι σπεῦσον.

ΟΤαν ἔλθῃ ὁ Κριτὴς ἐν χιλιάσι τότε, μυριάσι τε Ἀγγελικῶν ταγμάτων, καὶ Δυνάμεων, ποῖος φόβος, ψυχή μου, ποῖος τρόμος, οἴμοι, γυμνῶν ἑστώτων πάντων.

Δόξα.

ΕΙς Θεὸς οὖν ἡ Τριὰς, οὐ τοῦ Πατρὸς ἐκστάντος εἰς ὑϊότητα, οὐδὲ Υἱοῦ τραπέντος εἰς ἐκπόρευσιν, ἀλλ' ἰδίᾳ καὶ ἄμφω, φῶς Θεὸν τὰ τρία, δοξάζω εἰς αἰῶνας.

Θεοτοκίον.

ΤΑῖς πρεσβείαις ὁ Θεὸς τῆς Θεοτόκου δέχου τὴν εὐχὴν ἡμῶν, ἀντικατάπεμψον δὲ τὰ ἐλέη σου ἐπὶ πάντας πλουσίως, καὶ τὴν σὴν παράσχου εἰρήνην τῷ λαῷ σου.

Ὠδὴ θ'. ὁ Εἱρμός.

ΤΟν προδηλωθέντα ἐν ὄρει τῷ νομοθέτῃ, ἐν πυρὶ, καὶ βάτῳ τόκῳ τῷ τῆς Ἀειπαρ-
„ θένου, εἰς ἡμῶν τῶν πιστῶν σωτηρίαν, ὕμνοις ἀ-
„ σιγήτοις μεγαλύνομεν.

ΗΚουσας, ψυχὴ, τοῦ Χριστοῦ προαναφωνοῦντος, καὶ διδάσκοντός σε τῆς συντελείας τὸν χρόνον, ἑτοίμαζε τὰ πρὸς τὴν ἔξοδον ἔργα, μήπως ὡς ἀδόκιμος Θεοῦ ἐκριφῇς.

ΑΠὸ τῆς συκῆς, ὦ ψυχὴ, διδάσκου τὸ τέλος· ὅταν ἁπαλώσῃ τὰ φύλλα, καὶ ἐκφύῃ τοὺς κλάδους, θέρους ὥρα λοιπὸν, καὶ σὺ ὅταν ταῦτα ἴδῃς, γνῶθι, ὅτι ἐπὶ θύραις ἐστίν.

ΤΙς ἐκτός σου ἄλλος τὸν σὸν γινώσκει Πατέρα; ἢ τίς πλὴν σου οἶδε τὴν ὥραν, ἢ τὴν ἡμέραν; παρὰ σοῦ γὰρ οἱ θησαυροὶ τῆς σοφίας πάντες ἐνυπάρχουσι, Χριστὲ ὁ Θεός.

ΒΙβλοι ἀνοιγήσονται, τῶν τε θρόνων τεθέντων, πράξεις δὲ ἐλέγχονται, γυμνῶν ἑ-

στώτων

σώτων πάντων, πεξαχιλιοστὸν γὰρ τὰ πάντα Θεοῦ.

Ἔρχεται ὁ πάντων Κριτὴς ἀχθῆναι εἰς κρίσιν, ὁ ἐπὶ τοῦ θρόνου τῶν Χερουβὶμ ἐφεδρεύων, ὡς ὑπεύθυνος παραστῆναι Πιλάτῳ, πάντα τε παθεῖν, ἵνα σωθῇ ὁ Ἀδάμ.

Ἤγγικε τὸ Πάσχα ἡμῖν τὸ μέγα, καὶ θεῖον, μετὰ δύο γὰρ ὁ Χριστὸς προδιδάσκει ἡμέρας, τὴν τοῦ Πάθους προδιαγράφων ἡμέραν, ἐν ᾗ τῷ Πατρὶ θῦμα προσάγεται.

Παρὰ τῷ Σταυρῷ σου, Σωτὴρ, ἑστῶσα ἡ Μήτηρ, καὶ τὴν ἄδικόν σου σφαγὴν καθορῶσα, ἐβόα, οἴμοι τέκνον ἐμὸν, τὸ ἄδυτον φέγγος λάμψον πᾶσιν, Ἥλιε, τῆς Δόξης τὸ φῶς.

Δόξα.

Ὢ Μονὰς ἁγία, Τριὰς ἡ μία Θεότης, καὶ Τριὰς μονὰς ὁ Θεὸς, τρισυπόστατε φύσις, ἡ ὁμότιμος, καὶ ἀμέριστος δόξα, ῥῦσαι τῶν κινδύνων τὰς ψυχὰς ἡμῶν.

Θεοτοκίον.

Δέχου τὴν Μητέρα τὴν σὴν, Χριστὲ, εἰς πρεσβείαν, ἵνα ταῖς ἱκεσίαις αὐτῆς, εἰρηνεύσῃς τὸν Κόσμον, καὶ κρατιώσῃς τῆς Βασιλείας τὰ σκῆπτρα, καὶ τὰς Ἐκκλησίας σου συνάψῃς εἰς ἕν.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Γ΄. εἰς τὸν Ὄρθρον τὸ Ἀλληλούϊα εἰς ἦχον πλ. δ΄. καὶ τὸ Τριπ. ἐκ γ΄. Ἰδοὺ ὁ Νυμφίος ἔρχεται. Ἡ συνήθως στιχολογία. Εἰς τὴν πρώτην στιχολογίαν κάθισ. ἦχος δ΄. Ὁ ὑψωθεὶς.

Τὸν Νυμφίον, ἀδελφοὶ, ἀγαπήσωμεν, τὰς λαμπάδας ἑαυτῶν εὐτρεπίσωμεν, ἐν ἀρεταῖς ἐκλάμποντες, καὶ πίστει ὀρθῇ, ἵνα ὡς αἱ φρόνιμοι τοῦ Κυρίου παρθένοι, ἕτοιμοι εἰσέλθωμεν σὺν αὐτῷ εἰς τοὺς γάμους· ὁ γὰρ νυμφίος δῶρον, ὡς Θεὸς, πᾶσι παρέχει τὸν ἄφθαρτον στέφανον.

Δόξα. Καὶ νῦν. πάλιν τὸ αὐτό.

Μετὰ τὴν β΄. στιχολογίαν κάθισ. ἦχος δ΄.

Κατεπλάγη Ἰωσήφ.

Βουλευτήριον, Σωτὴρ, παρανομίας κατὰ σοῦ Ἱερεῖς, καὶ Γραμματεῖς φθόνῳ ἀθροίσαντες δεινῶς, εἰς προδοσίαν ἐκίνησαν τὸν Ἰούδαν· ὅθεν ἀναιδῶς ἐξεπορεύετο, ἐλάλει κατὰ σοῦ τοῖς παρανόμοις λαοῖς, τί μοι, φησὶ, παρέχετε, κἀγὼ ὑμῖν αὐτὸν παραδώσω εἰς χεῖρας ὑμῶν; τῆς καταχρίσεως τούτου ῥῦσαι, Κύριε, τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν· τὸ αὐτό.

Μετὰ τὴν γ΄. στιχολο. κάθισ. ἦχος πλ. δ΄.

Τὴν σοφίαν καὶ Λόγον.

Ὁ Ἰούδας τῇ γνώμῃ φιλαργυρεῖ κατὰ τοῦ διδασκάλου ὁ δυσμενὴς κινεῖται, βουλεύεται, μελετᾷ τὴν παράδοσιν. τοῦ φωτὸς, ἐκπίπτει, τὸ σκότος δεχόμενος, συμφωνεῖ τὴν πρᾶσιν, πωλεῖ τὸν ἀτίμητον· ὅθεν καὶ ἀγχόνην, ἀμοιβὴν ὥσπερ ἔδρα, εὑρίσκει ὁ ἄθλιος, καὶ ἐπώδυνον θάνατον· τῆς αὐτοῦ ἡμᾶς λύτρωσαι μερίδος, Χριστὲ ὁ Θεὸς, τῶν πταισμάτων ἄφεσιν δωρούμενος τοῖς ἑορτάζουσι πόθῳ τὸ ἄχραντον Πάθος σου.

Δόξα. Καὶ νῦν. τὸ αὐτό. Εἶτα τὸ Εὐαγγέλιον. Ὁ Πεντηκοστός. Συναπτὴ μικρὰ, καὶ τὸ Κοντάκιον, ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὴν ὥραν, ψυχὴ, τοῦ τέλους ἐννοήσασα, καὶ τὴν ἐκκοπὴν τῆς συκῆς δειλιάσασα, τὸ δοθέν σοι τάλαντον φιλοπόνως ἔργασαι ταλαίπωρε, γρηγοροῦσα, καὶ κράζουσα, μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Ὁ Οἶκος.

Τί ῥαθυμεῖς ἀθλία ψυχή μου; τί φαντάζῃ ἀκαίρως μερίμνας ἀφελῶς; τί ἀσχολεῖς πρὸς τὰ ῥέοντα; ἐσχάτη ὥρα ἐστὶν ἀπαρτὶ, καὶ χωρίζεσθαι μέλλομεν τῶν ἐνταῦθα· ἕως καιρὸν κεκτημένη ἀνάνηψον κράζουσα· ἡμάρτηκά σοι, Σωτήρ μου, μὴ ἐκκόψῃς με, ὥσπερ τὴν ἄκαρπον συκῆν, ἀλλ' ὡς εὔσπλαγχνος Χριστὲ, κατοικτείρησον φόβῳ κραυγάζουσαν. Μὴ μείνωμεν ἔξω τοῦ νυμφῶνος Χριστοῦ.

Τὸ Συναξάριον στίχ.

Τρίτη μεγίστη παρθένους δέκα φέρει.

Νίκην φερούσας ἀδικάστου Δεσπότου.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Τρίτῃ τῆς τῶν δέκα παρθένων Παραβολῆς μνείαν ποιούμεθα, διότι τὰς τοιαύτας Παραβολὰς ἀναβαίνων εἰς τὰ Ἱεροσόλυμα ὁ Κύριος, καὶ ἐπὶ τὸ Πάθος ἐρχόμενος τοῖς ἰδίοις Μαθηταῖς ἔλεγεν· εἰσὶ δὲ ἃς καὶ πρὸς Ἰουδαίους ἀπέτεινε· τὴν γοῦν τῶν δέκα παρθένων Παραβολὴν εἰς ἐλεημοσύνην προτρέπων εἴρηκεν, ὁμοῦ διδάσκων καὶ περὶ τοῦ τέλους, ἅπαντας ἑτοίμους εἶναι· ἐπειδὴ γὰρ περὶ παρθενίας πολλὰ διεξῄει αὐτοῖς, καὶ περὶ εὐνούχων· πολλὴν δὲ καὶ τὴν δόξαν ἡ παρθενία ἔχει, μέγα γὰρ ἐστὶν ὡς ἀληθῶς· ἵνα μή τις τοῦτο τὸ ἔργον κατορθῶν ἀμελῇ τῶν ἄλλων, καὶ μάλιστα τῆς ἐλεημοσύνης, δι' ἧς ἡ λαμπὰς τῆς παρθενίας φαιδρύνεται· εἰσάγει τὸ ἱερὸν Εὐαγγέλιον τὴν Παραβολὴν ταύτην· καὶ τὰς μὲν πέντε φρονίμους ἀναγορεύει, ὡς μετὰ τῆς παρθενίας, καὶ πολὺ, καὶ δαψιλὲς τὸ τῆς ἐλεημοσύνης ἔλαιον προβαλλομένας· τὰς δὲ πέντε μωρὰς, ὡς καὶ αὐτὰς παρθενίαν μὲν ἐχούσας, οὐμὴν καὶ τὴν ἐλεημοσύνην ἀνάλογον· διὰ τοῦτο γὰρ μωραὶ, ὅτι τὸ μέγιστον κατορθώσασαι, τοῦ ἐλάττονος ἠμέλησαν· καὶ οὐδὲν τῶν πορνῶν διέφερον, ὅτι ἐκεῖναι μὲν σωμάτων, αὗται δὲ χρημάτων ἠττήθησαν· τῆς δὲ νυκτὸς τοῦ παρόντος βίου διαδραμούσης, ἐνύσταξαν πᾶσαι αἱ παρθένοι, τουτέστιν ἀπέθα-

νον· ὕπνος γὰρ ὁ θάνατος λέγεται, καὶ καθευδουσῶν αὐτῶν, κραυγὴ περὶ μέσης νυκτὸς ἐγένετο· καὶ αἱ μὲν δαψιλῶς τὸ ἔλαιον προβαλλόμεναι, τῶν θυρῶν ἀναπεταθεισῶν, συνεισῆλθον τῷ Νυμφίῳ, αἱ δὲ μωραὶ μὴ ἀρκοῦν τὸ ἔλαιον ἔχουσαι, μετὰ τὸν ὕπνον ἐζήτουν αὐτό· ἀλλ' αἱ φρόνιμοι βουλόμεναι μὲν δοῦναι, μὴ δυνάμεναι δὲ πρὶν εἰσελθεῖν, ἀπεκρίναντο λέγουσαι· μήποτε οὐκ ἀρκέσῃ ἡμῖν, καὶ ὑμῖν, πορεύεσθε πρὸς τοὺς πωλοῦντας, τουτέστι τοὺς πένητας, καὶ ἀγοράσατε, ἀλλ' οὐκ εὔκολον· μετὰ γὰρ τὸν θάνατον, τοῦτο οὐ δυνατόν· ὃ δὴ καὶ ἐπὶ τῷ πλουσίῳ, καὶ τῷ Λαζάρῳ δείκνυσιν ὁ Ἀβραάμ, λέγων· ἀλλ' αἱ μωραὶ προσιοῦσαι ἀφώτιστοι, οὕτω βοῶσι, τὰς πύλας ἀράσσουσαι. Κύριε, Κύριε, ἄνοιξον ἡμῖν· αὐτὸς δὲ ὁ Κύριος δι' αὐτοῦ τὴν φρικτὴν ἐκείνην ἀπόφασιν δίδωσιν. ἀπέλθετε, εἰπών, οὐκ οἶδα ὑμᾶς· πῶς γὰρ ἂν ἴδητε τὸν Νυμφίον, μὴ προῖκα ἔχουσαι τὴν ἐλεημοσύνην αὐτήν; διὰ τοῦτον οὖν τὸν τρόπον ἡ Παραβολὴ τῶν δέκα παρθένων ἐνταῦθα κεῖσθαι τοῖς θεοφόροις Πατράσιν ἐτάχθη, παιδεύουσα, ἡμᾶς ἀεὶ ἐγρηγορέναι, καὶ ἑτοίμους εἶναι πρὸς τὴν ὑπάντησιν τοῦ ἀληθινοῦ Νυμφίου διὰ τῶν ἀγαθῶν πράξεων, καὶ μᾶλλον τῆς ἐλεημοσύνης, ὅτι ἄδηλος ἡ ἡμέρα, καὶ ὥρα τοῦ τέλους· ὥσπερ καὶ διὰ τοῦ Ἰωσὴφ σωφροσύνης ἀντιποιεῖσθαι, καὶ διὰ τῆς Συκῆς καρπὸν πνευματικὸν προβάλλεσθαι· ὁ γὰρ ἔργον ἓν καὶ μέγιστον ἴσως ἂν ἐργαζόμενος, τῶν δὲ ἄλλων καταφρονῶν, καὶ μᾶλλον τῆς ἐλεημοσύνης, οὐκ εἰσέρχεται σὺν Χριστῷ εἰς τὴν αἰώνιον ἀνάπαυσιν, ἀλλ' ὑποστρέφει κατῃσχυμμένος· οὐδὲν γὰρ ἀνιαρώτερον, καὶ αἰσχύνης ἀνάπλεων παρθενίας ἡττωμένης χρημάτων. Ἀλλ' ὦ Νυμφίε Χριστέ, μετὰ τῶν φρονίμων ἡμᾶς συναρίθμησον παρθένων, καὶ τῇ ἐκλεκτῇ σου σύνταξον ποίμνῃ, καὶ ἐλέησον ἡμᾶς. Ἀμήν.

Καὶ εὐθὺς τῷ Τριῴδ. Οὗ ἡ ἀκροστιχίς. Τρίτην.

Ὠδὴ η΄. ἦχος β΄. ὁ Εἱρμός.

Τοῦ κυρίου Κοσμᾶ.

Τῷ δόγματι τῷ τυραννικῷ οἱ ὅσιοι τρεῖς Παῖδες μὴ πεισθέντες, ἐν τῇ καμίνῳ βληθέντες
„ Θεὸν ὡμολόγουν, ψάλλοντες, εὐλογεῖτε τὰ
„ ἔργα Κυρίου τὸν Κύριον.

Ῥαθυμίαν ἄποθεν ἡμῶν βαλλώμεθα, καὶ φαιδραῖς ταῖς λαμπάσι τῷ ἀθανάτῳ Νυμφίῳ Χριστῷ ὕμνοις συναντήσωμεν· εὐλογεῖτε βοῶντες τὰ ἔργα τὸν Κύριον.

Ἱκανούσθω τὸ κοινωνικὸν ψυχῆς ἡμῶν ἔλαιον ἐν ἀγγείοις, ὅπως ἐπάθλων μὴ θέντες καιρὸν ἐμπορείας ψάλλωμεν· εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Τὸ τάλαντον ὅσοι πρὸς Θεοῦ ἐδέξασθε ἰσοδύναμον χάριν, ἐπικουρίᾳ τοῦ δόντος Χριστοῦ αὐξήσατε ψάλλοντες, εὐλογεῖτε τὰ ἔργα Κυρίου τὸν Κύριον.

Ἔχατονον πάλιν οἱ δύο Χοροὶ τὸν Εἱρμόν.

Καταβασία. Ὠδὴ θ΄. ὁ Εἱρμός.

Ἡ τὸν ἄχρονον Θεὸν ἐν γαστρὶ χωρήσασα, καὶ χαρὰν τῷ Κόσμῳ κυήσασα, σὲ ὑμνοῦμεν παναγία Παρθένε.

Τοῖς Μαθηταῖς ὁ ἀγαθὸς γρηγορεῖτε ἔφησας· ᾗ γὰρ ὥρᾳ ἥξει ὁ Κύριος, ἀγνοεῖτε, ἀποδοῦναι ἑκάστῳ.

Ἐν τῇ δευτέρᾳ σου φρικτῇ Παρουσίᾳ, Δέσποτα, δεξιοῖς προβάτοις με σύνταξον, τῶν πταισμάτων παριδών μου τὰ πλήθη.

Τὸ Ἐξαποστειλάριον ἐκ τρίτου.

Τὸν νυμφῶνα σου βλέπω, Σωτήρ μου κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, Φωτοδότα, καὶ σῶσόν με.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ΄. καὶ ψάλλομεν στιχηρ. Ἰδιόμ. δύο, τὸν α΄. καὶ τὸν δεύτερον.

Δευτεροῦντες αὐτά· ἦχος α΄.

Ἐν ταῖς λαμπρότησι τῶν Ἁγίων σου πῶς εἰσελεύσομαι ὁ ἀνάξιος; ἐὰν γὰρ τολμήσω συνεισελθεῖν εἰς τὸν νυμφῶνα, ὁ χιτών με ἐλέγχει, ὅτι οὐκ ἔστι τοῦ γάμου, καὶ δέσμιος ἐκβάλλομαι ὑπὸ τῶν Ἀγγέλων· καθάρισον, Κύριε, τὸν ῥύπον τῆς ψυχῆς μου, καὶ σῶσόν με ὡς φιλάνθρωπος.

Ἦχος β΄.

Ὁ τῇ ψυχῆς ῥαθυμίᾳ νυστάξας, οὐ κέκτημαι, Νυμφίε Χριστέ, καιομένην λαμπάδα τὴν ἐξ ἀρετῶν, καὶ νεάνισιν ὡμοιώθην μωραῖς, ἐν καιρῷ τῆς ἐργασίας ῥεμβόμενος· τὰ σπλάγχνα τῶν οἰκτιρμῶν σου μὴ κλείσῃς μοι, Δέσποτα· ἀλλ' ἐκτινάξας μου τὸν ζοφερὸν ὕπνον ἐξανάστησον· καὶ ταῖς φρονίμοις συνεισάγαγε παρθένοις εἰς νυμφῶνα τὸν σόν, ὅπου ἦχος καθαρὸς ἑορταζόντων, καὶ βοώντων ἀπαύστως, Κύριε δόξα σοι.

Δόξα, καὶ νῦν· ἦχος δ΄.

Τοῦ κρύψαντος τὸ τάλαντον τὴν κατάκρισιν ἀκούσασα ψυχή, μὴ κρύπτε λόγον Θεοῦ, κατάγγελε τὰ θαυμάσια αὐτοῦ· ἵνα πλεονάζουσα τὸ χάρισμα, εἰσέλθῃς εἰς τὴν χαρὰν τοῦ Κυρίου.

Εἰς τὸν Στίχον, ψάλλομεν στιχηρὰ Ἰδιόμ. ταῦτα. Λέγομεν δὲ καὶ τοὺς συνήθως στίχους, ἦχος πλ. β΄.

Δεῦτε πιστοί, ἐπεργασώμεθα προθύμως τῷ Δεσπότῃ· νέμει γὰρ τοῖς δούλοις τὸν πλοῦτον, καὶ ἀναλόγως ἕκαστος πολυπλασιάσωμεν τὸ τῆς χάριτος τάλαντον· ὁ μὲν σοφίαν κομιζέτω δι' ἔργων ἀγαθῶν· ὁ δὲ λειτουργίαν λαμπρότητος ἐπιτελείσθω· κοινωνείτω δὲ τῷ λόγῳ πιστὸς τῷ ἀμυήτῳ, καὶ σκορπιζέτω τὸν πλοῦτον πένησιν ἄλλος·

Digitized by Google

λος· οὕτω γὰρ τὸ τάλαντον πολυπλασιασώμεθα· καὶ ὡς οἰκονόμοι πιστοὶ τῆς χάριτος διακονικῆς χαρᾶς ἀξιωθῶμεν· αὐτῆς ἡμᾶς καταξίωσον Χριστὲ ὁ Θεὸς, ὡς φιλάνθρωπος.

Ἦχος ὁ αὐτός.

Ὅταν ἔλθῃς ἐν δόξῃ μετ' ἀγγελικῶν Δυνάμεων, καὶ καθίσῃς ἐν θρόνῳ, Ἰησοῦ, διακρίσεως, μή με, ποιμὴν ἀγαθὲ, διαχωρίσῃς· ὁδοὺς δεξιὰς γὰρ οἶδας, διεστραμμέναι δὲ εἰσὶν αἱ εὐώνυμοι, μὴ οὖν ἐρίφοις με τὸν τραχὺν τῇ ἁμαρτίᾳ συναπολέσῃς, ἀλλὰ τοῖς ἐκ δεξιῶν συναριθμήσας προβάτοις, σῶσόν με ὡς φιλάνθρωπος.

Ἦχος ὁ αὐτός.

Ὁ Νυμφίος, ὁ κάλλει ὡραῖος παρὰ πάντας ἀνθρώπους, ὁ συγκαλέσας ἡμᾶς πρὸς ἑστίασιν πνευματικὴν τοῦ νυμφῶνός σου, τὴν δυσειδαίμονά μου μορφὴν τῶν πταισμάτων ἀπαμφίασον τῇ μεθέξει τῶν παθημάτων σου, καὶ στολὴν δόξης κοσμήσας, τῆς σῆς ὡραιότητος δαιτυμόνα φαιδρὸν ἀνάδειξον τῆς βασιλείας σου, ὡς εὔσπλαγχνος.

Δόξα. Καὶ νῦν· ἦχος βαρύς.

Ἰδού σοι τὸ τάλαντον ὁ Δεσπότης ἐμπιστεύει, ψυχή μου, φόβῳ δέξαι τὸ χάρισμα· δάνεισαι τῷ δεδωκότι, διάδος πτωχοῖς, καὶ κτῆσαι φίλον τὸν Κύριον· ἵνα στῇς ἐκ δεξιῶν αὐτοῦ, ὅταν ἔλθῃ ἐν δόξῃ, καὶ ἀκούσῃς μακαρίας φωνῆς· εἴσελθε δοῦλε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου· αὐτῆς ἀξίωσόν με, Σωτὴρ, τὸν πλανηθέντα διὰ τὸ μέγα σου ἔλεος.

Καὶ ἡ λοιπὴ ἀκολουθία, ὡς σύνηθες.

Αἱ ὧραι μετὰ τῆς συνήθους στιχολο. καὶ τῆς ἀναγνώσεως τοῦ τετραευαγγελίου. Εἰς τὴν τριτοέκτην τροπάρ. τῆς προφητείας, ἦχος ά.

Τοῖς ἀμέτρως πταίουσι πλουσίως συγχώρησον, Σωτὴρ, ἀξίωσον ἡμᾶς ἀκατακρίτως προσκυνῆσαί σου τὴν ἁγίαν ἀνάστασιν· πρεσβείαις τῆς τεκούσης σε Μητρὸς, μόνε πολυέλεε.

Προκείμενον Ψαλμὸς ρκθ'. ἦχος πλ. β'.

Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος.

Στίχ. Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε.

Προφητείας Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα.

Ἐν τῷ πορεύεσθαι τὰ ζῶα, ἐπορεύοντο οἱ τροχοί, καὶ ἐν τῷ ἑστάναι αὐτὰ, εἱστήκεισαν, καὶ ἐν τῷ ἐξαίρειν αὐτὰ ἀπὸ τῆς γῆς, ἐξῄροντο σὺν αὐτοῖς, ὅτι πνεῦμα ζωῆς ἦν ἐν τοῖς τροχοῖς· καὶ ὁμοίωμα ὑπὲρ κεφαλῆς αὐτῶν τῶν ζώων, ὡσεὶ στερέωμα ὡς ὅρασις κρυστάλλου, ἐκτεταμένον ἐπὶ τῶν πτερύγων αὐτῶν ἐπάνωθεν, καὶ ὑποκάτωθεν τοῦ στερεώματος αἱ πτέρυγες αὐτῶν ἐκτεταμέναι, πτερυσσόμεναι ἑτέρα τῇ ἑτέρᾳ, ἑκάστῳ δύο ἐπικαλύπτουσαι τὰ σώματα αὐτῶν· καὶ ἤκουον τὴν φωνὴν τῶν πτερύγων αὐτῶν ἐν τῷ πορεύεσθαι αὐτὰ, ὡς φωνὴν ὕδατος πολλοῦ· καὶ ἐν τῷ ἑστάναι αὐτὰ, κατέπαυον αἱ πτέρυγες αὐτῶν· καὶ ἰδοὺ φωνὴ ὑπεράνωθεν τοῦ στερεώματος τοῦ ὄντος ὑπὲρ κεφαλῆς αὐτῶν, ὡς ὅρασις λίθου σαπφείρου, ὁμοίωμα θρόνου ἐπ' αὐτοῦ, καὶ ἐπὶ τοῦ ὁμοιώματος τοῦ θρόνου ὁμοίωμα ὡς εἶδος ἀνθρώπου ἄνωθεν· καὶ ἴδον, ὡς ὄψις ἠλέκτρου ἀπὸ ὁράσεως ὀσφύος καὶ ἐπάνω, καὶ ἀπὸ ὁράσεως ὀσφύος, καὶ ἕως κάτω ἴδον ὅρασιν πυρὸς, καὶ τὸ φέγγος αὐτοῦ κύκλῳ, ὡς ὅρασις τόξου, ὅταν ᾖ ἐν τῇ νεφέλῃ ἐν ἡμέραις ὑετοῦ, οὕτως ἡ στάσις τοῦ φέγγους κυκλόθεν· αὕτη ἡ ὅρασις ὁμοιώματος δόξης Κυρίου.

Προκείμενον Ψαλμὸς ρλ'. ἦχος δ'.

Ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον ἀπὸ τοῦ νῦν, καὶ ἕως τοῦ αἰῶνος.

Στίχ. Κύριε οὐχ ὑψώθη ἡ καρδία μου.

Τῇ αὐτῇ ἁγίᾳ καὶ μεγάλῃ τρίτῃ ἑσπέρας εἰς τὸ λυχνικὸν, ἡ συνήθως στιχολογ. Εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν τὰ ἰδιόμελα στιχη. ἅπερ εἴπομεν τὸ πρωΐ.

Δόξα. Καὶ νῦν· τὸν βαρύν.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρὸν, καὶ τὰ ἀναγνώσματα.

Ἑσπέρας Προκείμενον Ψαλμὸς ρλά.

Ἦχος πλ. β'. Ἀνάστηθι Κύριε εἰς τὴν ἀνάπαυσίν σου, σὺ καὶ ἡ κιβωτός.

Στίχ. Μνήσθητι Κύριε τοῦ Δαβὶδ, καὶ πάσης τῆς πραότητος.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Κατέβη ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν· καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν· καὶ ἰδοῦσα τὴν θίβιν ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἅβραν, ἀνείλατο αὐτήν· ἀνοίξασα δὲ, ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβῃ· καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραὼ, καὶ ἔφη· ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο· καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ· θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Ἑβραίων, καὶ θηλάσει σοι τὸ παιδίον; ἡ δὲ εἶπεν ἡ θυγάτηρ Φαραώ· πορεύου· ἐλθοῦσα δὲ ἡ νεᾶνις, ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου· εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραώ· διατήρησόν μοι τὸ παιδίον τοῦτο, καὶ θήλασόν μοι αὐτό· ἐγὼ δὲ δώσω σοι τὸν μισθόν· ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον, καὶ ἐθήλαζεν αὐτό· ἁδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ. Καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωϋσῆν, λέγουσα, ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Προκείμενον Ψαλμὸς ρλβ'. ἦχος δ'.

Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνόν; ἀλλ' ἢ τὸ κατοικεῖν.

Στίχ. Ὡς μύρον ἐπὶ κεφαλῆς, τὸ καταβαῖνον ἐπὶ πώγωνα.

Ἰὼβ τὸ ἀνάγνωσμα.

Ἐγένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, οἱ υἱοὶ Ἰὼβ, καὶ αἱ θυγατέρες αὐτοῦ ἔπινον οἶνον ἐν τῇ οἰκίᾳ τοῦ ἀδελφοῦ αὐτῶν τοῦ πρεσβυτέρου· καὶ ἰδοὺ ἄγγελος ἦλθε πρὸς Ἰὼβ, καὶ εἶπεν αὐτῷ· τὰ ζεύγη τῶν βοῶν ἠροτρία, καὶ αἱ θήλειαι ὄνοι ἐβόσκοντο ἐχόμεναι αὐτῶν· καὶ ἐλθόντες οἱ αἰχμαλωτεύοντες ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις· σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι· ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος, καὶ εἶπε πρὸς Ἰὼβ· πῦρ ἔπεσεν ἐκ τοῦ οὐρανοῦ, καὶ κατέκαυσε τὰ πρόβατα, καὶ τοὺς ποιμένας κατέφαγεν ὁμοίως, σωθεὶς δὲ ἐγὼ μόνος, ἦλθον τοῦ ἀπαγγεῖλαί σοι· ἔτι τούτου λαλοῦντος, ἦλθεν ἕτερος ἄγγελος καὶ εἶπε πρὸς Ἰὼβ· οἱ ἱππεῖς ἐποίησαν ἡμῖν κεφαλὰς τρεῖς, καὶ ἐκύκλωσαν τὰς καμήλους, καὶ ᾐχμαλώτευσαν αὐτὰς, καὶ τοὺς παῖδας ἀπέκτειναν ἐν μαχαίραις, ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι· ἔτι τούτου λαλοῦντος, ἄλλος ἄγγελος ἔρχεται λέγων τῷ Ἰὼβ· τῶν υἱῶν σου, καὶ τῶν θυγατέρων σου ἐσθιόντων καὶ πινόντων παρὰ τῷ ἀδελφῷ αὐτῶν τῷ πρεσβυτέρῳ, ἐξαίφνης πνεῦμα μέγα ἐπῆλθεν ἐκ τῆς ἐρήμου, καὶ ἥψατο τῶν τεσσάρων γωνιῶν τῆς οἰκίας, καὶ ἔπεσεν ἡ οἰκία ἐπὶ τὰ παιδία σου, καὶ ἐτελεύτησαν, ἐσώθην δὲ ἐγὼ μόνος καὶ ἦλθον τοῦ ἀπαγγεῖλαί σοι· οὕτως ἀναστὰς Ἰὼβ ἔρρηξε τὰ ἱμάτια ἑαυτοῦ, καὶ ἐκείρατο τὴν κόμην τῆς κεφαλῆς, καὶ πεσὼν χαμαὶ, προσεκύνησε, καὶ εἶπεν· αὐτὸς γυμνὸς ἐξῆλθεν ἐκ κοιλίας μητρός μου, γυμνὸς καὶ ἀπελεύσομαι ἐκεῖ· ὁ Κύριος ἔδωκεν, ὁ Κύριος ἀφείλατο· ὡς τῷ Κυρίῳ ἔδοξεν οὕτως ἐγένετο, εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· ἐν τούτοις πᾶσι τοῖς συμβεβηκόσιν αὐτῷ. οὐδὲν ἥμαρτεν Ἰὼβ ἐναντίον τοῦ Κυρίου· καὶ οὐκ ἔδωκεν ἀφροσύνην τῷ Θεῷ.

Καὶ εὐθὺς τὸ, Κατευθυνθήτω, τὸ Εὐαγγέλιον. Καὶ ἡ λοιπὴ ἀκολουθία τῶν Προηγιασμένων.

Τῇ αὐτῇ ἁγίᾳ καὶ μεγάλῃ τρίτῃ, εἰς τὸ Ἀπόδειπνον ψάλλομεν τὸ Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου.

Ὠδὴ γ'. ἦχος β'.

Στερεωθέντα μου. Ὁ Εἱρμός.

Στερεωθέντα μου τὸν νοῦν, καρποφόρον ὁ Θεὸς ἀνάδειξόν με, γεωργὲ τῶν καλῶν, φυτουργὲ τῶν ἀγαθῶν, τῇ εὐσπλαγχνίᾳ σου.

Συντελείας ὁ καιρὸς, ἐπιστρέψωμεν λοιπὸν, Χριστὸς διδάσκει· ἥξει γὰρ ἐν ῥιπῇ, ἥξει καὶ οὐ χρονιεῖ, κρῖναι τὸν Κόσμον αὐτοῦ.

Τὸ ἄδηλον τῆς αὐτοῦ παρουσίας ὁ Χριστὸς δηλῶν, εἴρηκε τὴν τοῦ Νῶε ποτὲ ἀπροσδόκητον φθορὰν ἐπανελθεῖσαν τῇ γῇ.

Ἠνεῴχθη ὁ νυμφὼν, εὐτρεπίσθη σὺν αὐτῷ ὁ θεῖος γάμος· ὁ Νυμφίος ἐγγὺς προσκαλούμενος ἡμᾶς, ἑτοιμασθῶμεν λοιπόν.

Ἡ τοῦ Σίμωνος σκηνὴ τὸν ἀχώρητον παντὶ ἐχώρησέ σε, Ἰησοῦ Βασιλεῦ, καὶ γυνὴ ἁμαρτωλὸς μῦρον σε ἤλειψεν.

Εὐωδίας μυστικῆς πληρουμένη ἡ γυνὴ τῆς πρὶν ἐρρύσθη δυσωδίας, Σωτὴρ, τῶν πολλῶν ἁμαρτιῶν· μῦρον γὰρ βρύεις ζωῆς.

Ἐπουράνιος τροφὴ, τῶν πεινώντων ἡ ζωὴ αὐτὸς ὑπάρχων, ἐπιστάθης, Χριστὲ, τοῖς ἀνθρώποις, προδεικνὺς τὴν συγκατάβασιν.

Ὁ ἀγνώμων μαθητὴς ἀθετήσας σε, Χριστὲ, τὴν ἄπειρον ὅλην τῶν ἀνόμων λαῶν συγκινεῖ κατὰ σοῦ, εἰς προδοσίαν τραπείς.

Δόξα.

Σὺν Πατρί σε τὸν Υἱὸν, καὶ τὸ Πνεῦμα τὸ εὐθὲς, τὴν μίαν φύσιν προσκυνῶ, καὶ ἀνυμνῶ, τοῖς προσώποις διαιρῶν, καὶ τῇ οὐσίᾳ ἑνῶν.

Καὶ νῦν.

Ἡ Τεκοῦσά σε ἀμνὰς τὸν ποιμένα, καὶ ἀμνὸν ἀεὶ πρεσβεύει, Ἰησοῦ ὁ Θεὸς, ὑπὲρ πάντων γηγενῶν τῶν πιστευόντων εἰς σέ.

Ἦχος α'. Χορὸς ἀγγελικός.

Ἰδοὺ τὸ πονηρὸν βουλευτήριον ὄντως συνῆκται δυσμενῶς ὡς κριτὸν καταστῆναι τὸν ἄνω καθεζόμενον, ὡς Κριτὸν πάντων Κύριον, νῦν ἀθροίζεται σὺν τῷ Πιλάτῳ Ἡρώδης. Ἄννας ἅμα τε, καὶ Καϊάφας ἐτάσει τὸν μόνον μακρόθυμον.

Ὠδὴ η'. Ὁ Εἱρμός.

Τὸν ἐν τῇ βάτῳ Μωσῇ, τῆς Παρθένου τὸ θαῦμα ἐν Σιναίῳ τῷ ὄρει προτυπώσαντα
„ ποτὲ, ὑμνεῖτε, εὐλογεῖτε, καὶ ὑπερυψοῦτε εἰς
„ πάντας τοὺς αἰῶνας.

Οὐκ ἀγνοῶν τὸν καιρὸν τῆς ἡμῶν συντελείας ὁ κρατῶν τοὺς αἰῶνας, τὴν ἡμέραν ἀγνοεῖν προσέφησεν ἐκείνην, ἀλλ' ὅρους πᾶσι τιθεὶς πρὸς μετριοφροσύνην.

Ὅταν καθήσῃς Κριτὴς, ἀφορίζων, ὡς εἶπας, ὁ ποιμὴν τῶν προβάτων τὰ ἐρίφια, Σωτὴρ, τῆς στάσεως ἐκείνης μὴ ὑστερήσῃς ἡμᾶς τῆς θείας δεξιᾶς σου.

Σὺ εἶ τὸ Πάσχα ἡμῶν ὁ τυθεὶς ὑπὲρ πάντων, ὡς ἀμνὸς, καὶ θυσία, καὶ πταισμάτων ἱλασμὸς, καὶ σοῦ τὰ θεῖα Πάθη ὑπερυψοῦμεν, Χριστὲ, εἰς πάντας τοὺς αἰῶνας.

Μύλωνι ἔοικέ σοι, καὶ ἀγρῷ, καὶ οἰκίᾳ, πᾶς ὁ βίος, ψυχή μου, διὸ κτῆσαι εἰς Θεὸν ἑτοίμην τὴν καρδίαν, ἵνα μηδὲν τῇ φθορᾷ τῆς σαρκὸς καταλίπῃς.

ΟΥ' Φαρισαίοις, Σωτὴρ, οὐ τῷ Σίμωνι μόνῳ, κατηξίωσας ἅμα εἰς ἑστίασιν ἐλθεῖν, ἀλλ' ἤδη καὶ τελώναις, ὁμοῦ καὶ πόρναις, τὴν σὴν ἀντλοῦσι εὐσπλαγχνίαν.

ΦΙλαργυρίας ἐρῶν ὁ προδότης Ἰούδας, κενωθέντος τοῦ μύρου, ἐμελέτησε λοιπὸν τὴν πρᾶσιν τοῦ Δεσπότου, καὶ πρὸς ἀνόμους ἐλθὼν, τὴν τιμὴν συνεφώνει.

ΩΝ Μακαρίων χειρῶν, οὐ τριχῶν, καὶ χειλέων τῶν τῆς σώφρονος πόρνης, αἷς ἐπέχεε, Σωτὴρ, τὸ μύρον πρὸς τοὺς πόδας, ὀσμισαμένη αὐτοὺς, πυκνῶς καταφιλοῦσα.

ἈΝακειμένου, γυνὴ ἐπιστᾶσα σοι, Λόγε, πρὸς τοὺς πόδας θρηνοῦσα, τὸ ἀλάβαστρον, Σωτὴρ, τοῦ μύρου κατεκένου ἐπὶ τὴν σὴν κεφαλὴν τοῦ ἀθανάτου μύρου.

Δόξα.

ΣΥ'ν τῷ Πατρὶ τὸν Υἱὸν, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν Θεότητι μιᾷ δοξάζομεν βοῶντες, Ἅγιος, Ἅγιος, Ἅγιος, εἶ εἰς τοὺς αἰῶνας.

Καὶ νῦν.

ΤΑῖς ἱκεσίαις, Σωτὴρ, τῆς ἀχράντου Μητρός σου, καὶ τῶν σῶν Ἀποστόλων, τὰ ἐλέη σου ἡμῖν κατάπεμψον πλουσίως, καὶ τὴν εἰρήνην τὴν σὴν παράσχου τῷ λαῷ σου.

Ὠδὴ θ'. Ὁ Εἱρμός.

ΤΗ'ν ὑπερφυῶς σαρκὶ συλλαβοῦσαν ἐν γαστρὶ, τὸν ἐκ Πατρὸς ἀχρόνως προεκλάμψαντα „ Λόγον, τὴν μόνην Θεοτόκον μεγαλύνομεν πι„ στῶς.

ἘΡγασίας ὁ καιρὸς, σωτηρίας ὁ σκοπὸς, τὸ τάλαντον λαβοῦσα, τὴν ἀρχαίαν εἰκόνα, ψυχή μου, ἐμπορεύου τὴν αἰώνιον ζωήν.

ὩΣ λαμπάδας φωτεινὰς κοσμηθέντες τὰς ψυχὰς τῷ Νυμφίῳ χωροῦντι πρὸς τὸν ἄφθαρτον γάμον, πρὸ τοῦ τὴν θύραν κλεῖσαι, συνεισέλθωμεν αὐτῷ.

ΔΕῖξαι θέλων, Ἰησοῦ, τὸ ὑπερφυὲς τῆς σῆς ταπεινώσεως, πᾶσιν εἱστιάθης ἐν οἴκῳ τοῦ Σίμωνος δειπνήσας, τῶν πεινώντων ἡ τροφή.

ἌΡτος ὢν ζωοποιὸς, εἱστιάθης, Ἰησοῦ, Σίμωνι Φαρισαίῳ, ἵνα πόρνη κερδήσῃ τὴν ἄπειρόν σου χάριν τοῦ μύρου τῇ κενώσει.

ΧΕῖρες ἐμοὶ ῥυπαραὶ, χείλη πόρνης ἐν ἐμοὶ, ἄναγνός μου ὁ βίος, ἐφθαρμένα τὰ μέλη· ἀλλ' ἄνες μοι, καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ.

ἘΠιστᾶσα ἡ γυνὴ πρὸς τοὺς πόδας σου, Σωτὴρ, ἐπέχει τὸ μύρον εὐωδίας πληροῦσα, καὶ μύρου πληρουμένη τοῦ τῶν ἔργων ἱλασμοῦ.

ἈΡωμάτων εὐπορῶ, ἀρετῶν δὲ ἀπορῶ, ἃ ἔχω σοὶ προσάγω, δὸς αὐτὸς ἅπερ ἔχεις, καὶ ἄνες μοι, καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ.

ΜΥ'ρον παρ' ἐμοὶ φθαρτὸν, μύρον παρὰ σοὶ ζωῆς· μύρον γὰρ ὄνομά σοι κενωθὲν τοῖς ἀξίοις· ἀλλ' ἄνες μοι, καὶ ἄφες, βοᾷ πόρνη τῷ Χριστῷ.

Δόξα.

ἌΝαρχος εἶ ὁ Πατὴρ, ἄκτιστος εἶ ὁ Υἱὸς, σύνθρονον καὶ τὸ Πνεῦμα, ἓν τὰ τρία τῇ φύσει, καὶ τρία τοῖς προσώποις, εἷς Θεὸς ἀληθινός.

Θεοτοκίον.

ΘΕοτόκε, ἡ ἐλπὶς τῶν τιμώντων σε ἀεὶ, μὴ παύσῃ δυσωποῦσα τὸν ἐκ σοῦ γεννηθέντα, ῥυσθῆναι με κινδύνων, καὶ παντοίων πειρασμῶν.

---

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δ'. εἰς τὸν Ὄρθρον, ἐν τῇ πρώτῃ στιχολογίᾳ τοῦ Ἑξαψάλμου, τὸ Ἀλληλ. Καὶ τὸ, Ἰδοὺ ὁ Νυμφίος, ἐκ γ'.

Ἡ συνήθως στιχολογία ἐν τῷ α'. κάθισ. ἦχ. γ'.

Τὴν ὡραιότητα.

ΠΟ'ρνη προσῆλθέ σοι μύρα σὺν δάκρυσι καταχέουσά σου ποσὶ, φιλάνθρωπε, καὶ δυσωδίας τῶν κακῶν λυτροῦται τῇ κελεύσει σου· πνέων δὲ τὴν χάριν σου μαθητὴς ὁ ἀχάριστος ταύτην ἀποβάλλεται, καὶ βορβόρῳ συμφύρεται, φιλαργυρίᾳ ἀπεμπολῶν σε· δόξα, Χριστὲ, τῇ εὐσπλαγχνίᾳ σου.

Δόξα. Καὶ νῦν· πάλιν τὸ αὐτό.

Ἐν τῇ δευτέρᾳ στιχολογίᾳ κάθισ. ἦχος δ'.

Ταχὺ προκατάλαβε.

ἸΟύδας ὁ δόλιος φιλαργυρίας ἐρῶν, προδοῦναί σε, Κύριε, τὸν θησαυρὸν τῆς ζωῆς, δολίως ἐμελέτησεν· ὅθεν καὶ παροινήσας, τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις, τί μοι θέλετε δοῦναι, κἀγὼ παραδώσω ὑμῖν, εἰς τὸ σταυρῶσαι αὐτόν;

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό.

Εἰς τὴν γ'. στιχολογίαν, κάθισ. ἦχ. α'.

Τὸν τάφον σου Σωτήρ.

ἩΠόρνη ἐν κλαυθμῷ ἀνεβόα, οἰκτίρμον, ἐκμάσσουσα θερμῶς τοὺς ἀχράντους σου πόδας θριξὶ τῆς κεφαλῆς αὐτῆς, καὶ ἐκ βάθους στενάζουσα· μὴ ἀπώσῃ με, μὴ δὲ βδελύξῃ Θεέ μου· ἀλλὰ δέξαι με μετανοοῦσαν, καὶ σῶσον, ὡς μόνος φιλάνθρωπος.

Δόξα. Καὶ νῦν, πάλιν τὸ αὐτό.

Εἶτα τὸ Εὐαγγέλιον, ὁ Ν'. Καὶ τὸ Τριῴδιον, οὗ ἡ ἀκροστιχίς. Τετράδι ψαλῶ.

Ὠδὴ γ'. ἦχος β'. Ὁ Εἱρμός.

ΤΗ'ς πίστεως ἐν πέτρᾳ με στερεώσας, ἐπλάτυνας τὸ στόμα μου ἐπ' ἐχθρούς μου· εὐ„ φράνθη γὰρ τὸ πνεῦμά μου ἐν τῷ ψάλλειν· οὐκ „ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, „ πλήν σου Κύριε.

Ἐν κενοῖς τὸ συνέδριον τῶν ἀνόμων, καὶ γνώμη συναθροΐζεται κακοτρόπῳ, κατάκριτον τὸν ῥύστην σε ἀποφῆναι, Χριστέ, ᾧ ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Τὸ θανὸν βουλευτήριον τῶν ἀνόμων σκέπτεται, θεομάχου ψυχῆς ὑπάρχον, ὡς δύσχρηστον τὸν δίκαιον ἀποκτεῖναι Χριστόν, ᾧ ψάλλομεν· σὺ εἶ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλήν σου Κύριε.

Κοντάκιον· Ἦχος δ'. Ὁ ὑψωθείς.

Ὑπὲρ τὴν πόρνην, ἀγαθέ, ἀνομήσας, δακρύων ὄμβρους οὐδαμῶς σοι προσήξα· ἀλλὰ σιγῇ δεόμενος προσπίπτω σοι, πόθῳ ἀσπαζόμενος τοὺς ἀχράντους σου πόδας· ὅπως μοι συγχώρησιν, ὡς Δεσπότης, παρέξῃς τῶν ὀφλημάτων κράζοντι, Σωτήρ, ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Ὁ Οἶκος.

Ὁ κατὰ τρίτον Οὐρανόν.

Ἡ πρώην ἄσωτος γυνὴ ἐξαίφνης σώφρων ὤφθη, μισήσασα τὰ ἔργα τῆς αἰσχρᾶς ἁμαρτίας, καὶ ἡδονὰς τοῦ σώματος, διενθυμουμένη τὴν αἰσχύνην τὴν πολλήν, καὶ κρίσιν τῆς κολάσεως, ἣν ὑποστῶσι πόρνοι καὶ ἄσωτοι, ὧνπερ πρῶτος ἐγὼ πέλω, καὶ πτοοῦμαι, ἀλλ' ἐμμένω τῇ φαύλῃ συνηθείᾳ ὁ ἄφρων, ἡ πόρνη δὲ γυνὴ καὶ πτοηθεῖσα, καὶ σπουδάσασα ταχύ, ἦλθε βοῶσα πρὸς τὸν λυτρωτήν· φιλάνθρωπε καὶ οἰκτίρμον, Ἐκ τοῦ βορβόρου τῶν ἔργων μου ῥῦσαί με.

Τὸ Συναξάριον.

Στίχ. Γυνὴ βαλοῦσα σώματι Χριστοῦ μύρον.
Τὴν Νικοδήμου προὔλαβε σμυρναλόην.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Τετράδι τῆς ἀλειψάσης τὸν Κύριον μύρῳ γυναικὸς Πόρνης μνείαν ποιεῖσθαι, οἱ θειότατοι Πατέρες ἐθέσπισαν· ὅτι πρὸ τοῦ σωτηρίου πάθους μικρὸν τοῦτο γέγονεν· ἀναβαίνοντος γὰρ εἰς Ἱεροσόλυμα, καὶ ἐν τῇ οἰκίᾳ τοῦ λεπροῦ γενομένου Σίμωνος, ἡ γυνὴ αὐτῷ προσῆλθε· καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ τὸ πολύτιμον ἐκεῖνο μύρον· τέτακται οὖν διὰ τοῦτο ἐνταῦθα, ἵνα κατὰ τὸν τοῦ Σωτῆρος λόγον ἁπανταχοῦ, καὶ ἐν πᾶσι τὸ ἐκείνης θερμότατον ἔργον ἀνακηρύττηται· πόθεν δὲ κινηθεῖσα ἦλθε; διότι τὸ συμπαθὲς τοῦ Χριστοῦ ἑώρα, καὶ τὸ πρὸς πάντας κοινωνικόν· καὶ νῦν μάλιστα, ὅτι καὶ πρὸς οἰκίαν αὐτὸν λεπροῦ εἰσαχθέντα εἶδεν, ὃν ἀκάθαρτον, καὶ ἀπηγορευμένον εἰς κοινωνίαν ὁ νόμος διεκελεύετο· ἀνελογίσατο τοίνυν ἡ γυνή, ὡς ἐκείνῳ τὴν λέπραν, οὕτω καὶ ταύτῃ τὴν τῆς ψυχῆς ἀνέξεται νόσον· καὶ δὴ ἀνακειμένου ἐπὶ τοῦ δείπνου, κατὰ τῆς κορυφῆς αὐτοῦ χέει τὸ μύρον, ὡσεὶ τιμῆς ὂν τριακοσίων δηναρίων, ἤτοι ἑξήκοντα ἀσσαρίων, νομισμάτων δέκα, ἀργυρίων τριῶν· ἣν οἱ Μαθηταὶ ἐπετίμησαν, καὶ μᾶλλον Ἰούδας· ἀλλ' ὁ Χριστὸς αὐτῆς ἀντελάβετο, ἵνα μὴ τὸν καλὸν αὐτῆς σκοπὸν ἀνακόψωσιν· εἶτα καὶ τοῦ ἐνταφιασμοῦ αὐτοῦ μνημονεύει, τὸν Ἰούδαν ἀποτρέπων τῆς προδοσίας, καὶ τὴν γυναῖκα τιμῆς ἀξιοῖ, τῷ τῆς Οἰκουμένης ἁπανταχοῦ τὸ ταύτης χρηστὸν ἔργον ἀνακηρύττεσθαι. Ἰστέον δέ, ὡς ἡ γυνὴ αὕτη μία μὲν δοκεῖ τισὶν εἶναι παρὰ τοῖς Εὐαγγελισταῖς ἅπασιν· οὐκ ἔστι δέ· ἀλλὰ παρὰ μὲν τοῖς τρισίν, ὡς φησιν ὁ θεῖος Χρυσόστομος, μία καὶ ἡ αὐτή ἐστιν, ἣ καὶ Πόρνη οὕτως ὠνόμασται· παρὰ δὲ τῷ Ἰωάννῃ οὐκέτι, ἀλλ' ἑτέρα τις θαυμαστή, καὶ βίον ἔχουσα σεμνόν, Μαρία ἡ ἀδελφὴ τοῦ Λαζάρου· ἡ οὐκ ἂν Πόρνη οὖσα, Χριστῷ ἠγαπᾶτο· τούτων δέ, ἡ μὲν Μαρία, πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἐν τῇ κατὰ τὴν Βηθανίαν οἰκίᾳ αὐτῆς ἐπὶ δείπνου ἀνακειμένου, τὴν τοῦ μύρου χρίσιν ἐνήργησε, κατὰ τῶν ἐκείνου ὡραίων ποδῶν τοῦτο ἐκχέουσα, καὶ ταῖς τῆς κεφαλῆς θριξὶ τούτους ἐκμάσσουσα, ὑπερβολῇ τιμῆς πρὸς αὐτὸν χρωμένη, καὶ οἷα Θεῷ τὸ μύρον προσφέρουσα· ἠπίστατο γὰρ ἀκριβῶς, ὅτι καὶ ἐν ταῖς θυσίαις προσήγετο ἔλαιον τῷ Θεῷ· καὶ οἱ Ἱερεῖς μύρῳ ἐχρίοντο· καὶ ὁ Ἰακὼβ πάλαι στήλην ἤλειψε τῷ Θεῷ· προσήγαγε δὲ τοῦτο, χαριζομένη δῆθεν τῷ διδασκάλῳ, οἷα Θεῷ, τῆς τοῦ ἀδελφοῦ παλινζωΐας ἕνεκα· διόπερ καὶ οὐδὲ μισθὸς αὐτῇ ἐπαγγέλλεται· ὅτε δὴ καὶ μόνος ὁ Ἰούδας γογγύζει, ὡς φιλοχρήματος· ἡ δὲ ἑτέρα, ἡ Πόρνη δηλαδή, πρὸ δύο ἡμερῶν τοῦ Πάσχα ἐν τῇ αὐτῇ Βηθανίᾳ ἔτι ὄντι Χριστῷ, κἀν τῇ οἰκίᾳ τοῦ λεπροῦ γενομένῳ Σίμωνος, ἐπὶ δείπνου καὶ τότε ἀνακειμένῳ, τὸ πολύτιμον ἐκεῖνο μύρον ἐπὶ τῆς κεφαλῆς καταχέει, ὡς ὁ ἱερὸς Ματθαῖος, καὶ ὁ Μάρκος ἱστόρησαν· ἐπὶ ταύτῃ δὲ τῇ Πόρνῃ καὶ οἱ Μαθηταὶ ἀγανακτοῦσι, τὸ πρὸς ἐλεημοσύνην Χριστοῦ κατεσπουδασμένον ἀκριβῶς εἰδότες· ταύτῃ δὴ καὶ μισθὸς ἐδόθη, τὸ τῆς Οἰκουμένης ἁπανταχοῦ τὸ καλὸν ἔργον αὐτῆς περιᾴδεσθαι· οἱ μὲν οὖν, μίαν· ὁ δὲ τὴν γλῶτταν χρυσοῦς οὕτω δὴ δύο τὰς γυναῖκας φησίν· εἰσὶ δὲ οἳ καὶ τρεῖς αὐτὰς εἶναι λέγουσι· δύο μὲν τὰς προειρημένας, τοῦ Πάθους τοῦ Κυρίου ἐπὶ θύραις ἐγγίζοντος· τρίτην δέ, ἄλλην πρὸ τούτων, μᾶλλον δὲ πρώτην, περίπου τὰ μέσα που τοῦ εὐαγγελικοῦ κηρύγματος, τοῦτο πεποιηκυῖαν· ἥ, καὶ πόρνη καὶ ἁμαρτωλὸς ἦν· ἔνδον δὲ τῆς οἰκίας οὐ τοῦ λεπροῦ, ἀλλὰ τοῦ Φαρισαίου Σίμωνος κατὰ τῶν τοῦ Χριστοῦ ποδῶν αὐτοῦ μόνον καὶ αὐτὴ τὸ μύρον ἐκχέουσα· ὅτε καὶ μόνος ὁ Φαρισαῖος ἐσκανδαλίζετο· ἥτινι καὶ μισθὸν ὁ Σωτὴρ τὴν ἄφεσιν ἁμαρτημάτων δωρεῖται· περὶ δὲ ταύτης μόνης ὁ θεῖος Λουκᾶς ἐν τῷ καθ' αὐτὸν Εὐαγγελίῳ περὶ τὰ μέσα, ὡς εἴρηται, ἱστορεῖ· καὶ γὰρ μετὰ τὴν τῆς Πόρνης ταύ-

της

τῆς διήγησιν, εὐθὺς ἐπάγει οὑτωσὶ λέγων. Καὶ ἐγένετο ἐν τῷ καθεξῆς, καὶ αὐτὸς διώδευε κατὰ πόλιν, καὶ κώμην, εὐαγγελιζόμενος, καὶ κηρύσσων τὴν Βασιλείαν τοῦ Θεοῦ· ἐξ ὧν δείκνυται, μὴ ἐν τῷ τοῦ Πάθους τοῦτο γεγενῆσθαι καιρῷ· δηλοῖ οὖν καὶ ἀπὸ τοῦ καιροῦ, καὶ ἀπὸ τῶν ὑποδεξαμένων τοῦτον, καὶ ἀπὸ τοῦ τόπου, καὶ προσώπων, καὶ οἰκιῶν, ἔτι δὲ ἀπὸ τοῦ τρόπου τῆς τοῦ μύρου χρίσεως, τρεῖς εἶναι τὰς γυναῖκας ταύτας, δύο μὲν Πόρνας, τὴν δὲ τρίτην Λαζάρου εἶναι τὴν ἀδελφὴν Μαρίαν, βίῳ ἀπολαμπομένην σεμνῷ· καὶ ἄλλην μὲν οἰκίαν εἶναι τὴν τοῦ φαρισαίου Σίμωνος· ἑτέραν δὲ τὴν τοῦ λεπροῦ Σίμωνος ἐν τῇ Βηθανίᾳ· καὶ ἄλλην πάλιν οἰκίαν Μαρίας καὶ Μάρθας τῶν ἀδελφῶν τοῦ Λαζάρου ἐν τῇ αὐτῇ Βηθανίᾳ· ὥς τε ἐκ τούτων συνάγειν ἐστὶν, ὅτι καὶ δύο δεῖπνα ἐγένοντο τῷ Χριστῷ, καὶ ἄμφω δὲ ἐν Βηθανίᾳ· τὸ μὲν ἓν πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα ἐν τῇ τοῦ Λαζάρου οἰκίᾳ, ὅτε συνήσθιεν αὐτῷ καὶ ὁ Λάζαρος, ὡς ὁ τῆς βροντῆς υἱὸς ἱστορεῖ, φάσκων οὕτω. Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα, ἦλθεν Ἰησοῦς εἰς Βηθανίαν, ὅπου ἦν Λάζαρος ὁ τεθνηκὼς, ὃν ἤγειρεν ἐκ νεκρῶν· ἐποίησαν οὖν αὐτῷ δεῖπνον ἐκεῖ, καὶ ἡ Μάρθα διηκόνει· ὁ δὲ Λάζαρος εἷς ἦν τῶν συνανακειμένων αὐτῷ· ἡ οὖν Μαρία λαβοῦσα λίτραν νάρδου πιστικῆς πολυτίμου, ἤλειψε τοὺς πόδας τοῦ Ἰησοῦ, καὶ ἐξέμαξε ταῖς θριξὶν αὐτῆς τοὺς πόδας αὐτοῦ· τὸ δὲ ἕτερον δεῖπνον ἐγεγόνει αὐτῷ πρὸ δύο ἡμερῶν τοῦ Πάσχα, ἔτι ὄντι ἐν Βηθανίᾳ Χριστῷ ἐν τῇ οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, ὅτε καὶ ἡ Πόρνη προσῆλθεν αὐτῷ, τὸ πολύτιμον μύρον ἐκχέουσα, ὡς ὁ ἱερὸς Ματθαῖος διέξεισι λέγων, ὡς ἀπὸ τοῦ Χριστοῦ πρὸς τοὺς Μαθητάς. „Οἴδατε, ὅτι μετὰ δύο ἡμέρας τὸ Πάσχα γίνεται· καὶ μετ' ὀλίγα αὖθις ἐπιφέρει. Τοῦ δὲ Ἰησοῦ γενομένου ἐν Βηθανίᾳ, ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ, προσῆλθεν αὐτῷ γυνὴ ἀλάβαστρον μύρου ἔχουσα βαρυτίμου, καὶ κατέχεεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ἀνακειμένου· ᾧ συνῳδᾷ καὶ ὁ Μάρκος φησίν· ἦν δὲ τὸ Πάσχα, καὶ τὰ ἄζυμα μετὰ δύο ἡμέρας· καὶ ὄντος αὐτοῦ ἐν Βηθανίᾳ ἐν οἰκίᾳ Σίμωνος τοῦ λεπροῦ κατακειμένου, ἦλθε γυνή· καὶ ὅσα ἑξῆς. Οἱ μέντοι διατεινόμενοι καὶ λέγοντες, μίαν καὶ τὴν αὐτὴν εἶναι παρὰ τοῖς τέσσαρσιν Εὐαγγελισταῖς γυναῖκα, τὴν ἀλείψασαν τὸν Κύριον μύρῳ, ἕνα καὶ τὸν αὐτὸν οἴονται εἶναι Σίμωνα τόν τε φαρισαῖον, καὶ τὸν λεπρόν· ὃν καὶ πατέρα τούτου Λαζάρου καὶ τῶν ἀδελφῶν αὐτοῦ Μαρίας, καὶ Μάρθας, εἶναί τινες ἐκδεδώκασι· καὶ ἕνα δεῖπνον καὶ τὸν αὐτὸν, καὶ τὴν αὐτὴν, καὶ μίαν οἰκίαν αὐτοῦ, τὴν ἐν Βηθανίᾳ· παρ' ᾧ καὶ τὸ ἀνώγεον τὸ ἐστρωμένον ἡτοίμασται· καὶ τὸν μυστικὸν γεγενῆσθαι δεῖπνον, οὐ καλῶς οἴονται· τὰ μὲν γὰρ δύο ταῦτα δεῖπνα, ἐκτὸς τῶν Ἱεροσολύμων ἐν Βηθανίᾳ ἐγένοντο τῷ Χριστῷ, πρὸ ἕξ, καὶ πρὸ δύο, ὡς εἴρηται, ἡμερῶν τοῦ νομικοῦ Πάσχα· ὅταν καὶ αἱ γυναῖκες τὰ μῦρα διαφόρως Χριστῷ προσήγαγον· ὁ δὲ μυστικὸς δεῖπνος, καὶ τὸ ἐστρωμένον ἀνώγεον ἔνδον τῆς πόλεως Ἱερουσαλὴμ εὐτρεπίσθησαν πρὸ μιᾶς τοῦ νομικοῦ Πάσχα, καὶ τοῦ παθεῖν τὸν Χριστὸν ἡμέρας, οἱ μὲν, ἐν οἰκίᾳ ἀγνώστου ἀνθρώπου· οἱ δὲ, κατὰ τὴν οἰκίαν, ὥς φασι, τοῦ ἐπιστηθίου, καὶ μαθητοῦ Ἰωάννου ἐν τῇ ἁγίᾳ Σιών, ἔνθα καὶ οἱ Μαθηταὶ διὰ τὸν τῶν Ἰουδαίων φόβον ἦσαν κρυπτόμενοι· καὶ ἡ τοῦ Θωμᾶ ἐγεγόνει ψηλάφησις μετὰ τὴν Ἀνάστασιν, καὶ ἡ τοῦ ἁγίου Πνεύματος ἐπιφοίτησις κατὰ τὴν Πεντηκοστήν· καὶ ἄλλα τινὰ τῶν ἀπορρήτων καὶ μυστικῶν ἐτελέσθη· διάτοι τοῦτο ἐμοὶ γοῦν δοκεῖ καὶ τῇ ἀληθείᾳ, τὸ τοῦ Χρυσορρήμονος μᾶλλον ἀκριβέστερον εἶναι. ὥστε δύο μὲν τὰς γυναῖκας ταύτας λογίζεσθαι· μίαν μὲν, ὡς εἴρηται παρὰ τοῖς τρισὶν Εὐαγγελισταῖς, πόρνην οὖσαν καὶ ἁμαρτωλὸν, τὴν κατὰ κεφαλὴν Χριστοῦ τὸ μῦρον ἐκχέασαν· ἄλλην δὲ, τὴν παρὰ τῷ Ἰωάννῃ Μαρίαν τὴν ἀδελφὴν Λαζάρου, μόνοις τοῖς θείοις ποσὶ Χριστοῦ τοῦτο προσαγαγοῦσαν, καὶ ἐπιχέασαν, καὶ ἄλλα μὲν τὰ ἐν Βηθανίᾳ δεῖπνα, ἕτερον δὲ εἶναι τὸν μυστικόν· καὶ δῆλον καὶ ἐξ ὧν μετὰ τὴν τῆς Πόρνης ταύτης διήγησιν, τοὺς Μαθητὰς ὁ Σωτὴρ πρὸς τὴν Πόλιν πέμπει, ἑτοιμάσοντας τὸ Πάσχα. Ὑπάγετε λέγων εἰς τὴν „πόλιν πρὸς τὸν δεῖνα, καὶ εἴπατε· ὁ Διδάσκαλος λέγει, πρὸς σὲ ποιῶ τὸ Πάσχα μετὰ τῶν Μαθητῶν μου· καὶ αὖθις· καὶ ἀπαντήσει ὑμῖν ἄνθρωπος, κεράμιον ὕδατος βαστάζων· καὶ αὐτὸς δείξει ὑμῖν ἀνώγεον μέγα ἐστρωμένον· ἐκεῖ ἑτοιμάσατε ἡμῖν· οἱ δὲ ἀπελθόντες φησὶν, εὗρον καθὼς ἐνετείλατο αὐτοῖς· καὶ ἡτοίμασαν τὸ Πάσχα· τὸ νομικὸν δηλαδὴ, ἐπὶ θύραις ὄν· ὃ καὶ ἐλθὼν ἐτέλεσε μετὰ τῶν Μαθητῶν· ὡς ὁ θεῖος λέγει Χρυσόστομος· ἔπειτα καὶ δείπνου γενομένου, τοῦ μυστικοῦ δηλαδὴ, καὶ τοῦ θείου νιπτῆρος ἐν τῷ μεταξὺ ἐνεργηθέντος, αὖθις ἀναπεσὼν, καὶ τὸ ἡμέτερον παραδίδωσι Πάσχα ἐπὶ τῆς αὐτῆς τραπέζης, ὡς ὁ τὴν γλῶτταν χρυσοῦς Ἰωάννης διέξεισι· καὶ ταῦτα μὲν οὕτως· ὁ δὲ θεσπέσιος Ἰωάννης, πρὸς δὲ καὶ ὁ Μάρκος οἱ θεῖοι Εὐαγγελισταὶ, καὶ τὸ τοῦ μύρου εἶδος προσέθηκαν, Πιστικὸν τοῦτο κατονομάσαντες, καὶ πολύτιμον· ἐοίκασι δὲ Πιστικὸν καλεῖν, τὸ ἄδολόν τε καὶ ἄκρατον, καὶ καταπεπιστευμένον εἰς καθαρότητα· ἴσως δὲ καὶ προσηγορία τις ἦν τοῦτο τοῦ ἀρίστου, καὶ πρώτου μύρου· προστίθησι δὲ ὁ Μάρκος, ὅτι καὶ τὸ ἄγγος συνέτριψεν ὑπὸ τῆς σπουδῆς ἡ γυνὴ, οἷάπερ στενόστομον, ὃ καὶ Ἀλάβαστρον ὀνομάζει· ἔστι δὲ τοῦτο ἀγγεῖον ὑέλινον, ὡς φησὶν ὁ ἱερὸς Ἐπιφάνιος, ἄνευ λαβῆς πε-

ποιη-

ποιημένον τινός· ὃ δὴ Βυκίον οὑτωσὶ λέγεται· ἦν δὲ τὸ μύρον ἐκεῖνο συντεθειμένον ἐξ εἰδῶν μὲν καὶ ἄλλων πολλῶν, μάλιστα δ' ἐκ τούτων· σμύρνης ἄνθους, κινναμώμου εὐώδους, ἴρεως, καλάμου ἀρωματικοῦ, καὶ ἐλαίου. Ἀλλ' ὁ τῷ νοητῷ μύρῳ χρισθεὶς, Χριστὲ ὁ Θεὸς, τῶν ἐπιρρύπων παθῶν ἐλευθέρωσον, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος ἅγιος, καὶ φιλάνθρωπος. Ἀμήν.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Ρῆμα τυράννου ἐπεὶ ὑπερίσχυσεν, ἑπταπλασίως κάμινος ἐξεκαύθη ποτέ· ἐν ᾗ Παῖδες οὐκ ἐφλέχθησαν, Βασιλέως πατήσαντες δόγμα· ἀλλ' ἐβόων, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Ἀποκενοῦσα γυνὴ μύρον ἔντιμον Δεσποτικῇ, καὶ θείᾳ, φρικτῇ κορυφῇ, Χριστοῦ, τῶν ἰχνῶν σου ἐπελάβετο τῶν ἀχράντων κεχραμέναις παλάμαις· καὶ ἐβόα, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς.

Δάκρυσι πλύνει τοὺς πόδας ὑπαίτιος ἁμαρτίαις τοῦ πλάσαντος, καὶ ἐκμάσσει θριξί· διὸ τῶν ἐν βίῳ οὐ διήμαρτε πεπραγμένων τῆς ἀπολυτρώσεως· ἀλλ' ἐβόα, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἱερουργεῖται τὸ λύτρον εὐγνώμονι ἐκ σωτηρίων σπλάγχνων τε, καὶ δακρύων πηγῆς· ἐν ᾗ διὰ τῆς ἐξαγορεύσεως ἐκπλυθεῖσα οὐ κατῃσχύνετο· ἀλλ' ἐβόα, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε εἰς.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

Ψυχαῖς καθαραῖς, καὶ ἀρρυπώτοις χείλεσι δεῦτε μεγαλύνωμεν τὴν ἀκηλίδωτον, καὶ ὑπέραγνον Μητέρα τοῦ Ἐμμανουὴλ, δι' αὐτῆς τῷ ἐξ αὐτῆς προσφέροντες πρεσβείαν τεχθέντι· φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ἀγνώμων φανεὶς, καὶ πονηρὸς ζηλότυπος, δῶρον ἀξιόθεον λογοπραγεῖ, δι' οὗ ὀφειλέστον ἐλύθη ἁμαρτημάτων, καπηλεύων ὁ δεινὸς Ἰούδας τὴν φιλόθεον χάριν· φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Λέγει προσελθὼν τοῖς παρανόμοις ἄρχουσι, τί μοι δοῦναι θέλετε, κἀγὼ Χριστὸν ὑμῖν, τὸν ζητούμενον, τοῖς θέλουσι παραδώσω; οἰκειότητα Χριστοῦ Ἰούδας ἀντισταθμίζει χρυσοῦ· φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Ὢ πηρωτικῆς φιλαργυρίας, ἄσπονδε, λήθης ὅθεν ἔτυχες, ὅτι ψυχῆς, οὐδαμῶς, ἰσοστάσιος ὁ Κόσμος, ὡς ἐδιδάχθης· ἀπογνώσει γὰρ σαυτὸν, ἐβρόχισας ἀνάψας, προδότα· φεῖσαι τῶν ψυχῶν ἡμῶν Χριστὲ ὁ Θεὸς, καὶ σῶσον ἡμᾶς.

Τὸ Ἐξαποστειλάριον ἐκ τρίτου, ὡς συνήθως.

Τὸν νυμφῶνά σου βλέπω, Σωτήρ μου, κεκοσμημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυχῆς, φωτοδότα, καὶ σῶσόν με.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχ. δ΄. Καὶ ψάλλομεν ταῦτα τὰ Ἰδιόμ. ἦχος α΄.

Σὲ τὸν τῆς Παρθένου Υἱὸν Πόρνη ἐπιγνοῦσα Θεὸν ἔλεγεν, ἐν κλαυθμῷ δυσωποῦσα, ὡς δακρύων ἄξια πράξασα, διάλυσον τὸ χρέος, ὡς κἀγὼ τοὺς πλοκάμους, ἀγάπησον φιλοῦσαν τὴν δικαίως μισουμένην, καὶ πλησίον τελωνῶν σε κηρύξω, εὐεργέτα φιλάνθρωπε.

Ἦχος ὁ αὐτός.

Τὸ πολυτίμητον μύρον ἡ Πόρνη ἔμιξε μετὰ δακρύων, καὶ ἐξέχεεν εἰς τοὺς ἀχράντους πόδας σου, καταφιλοῦσα· ἐκείνην εὐθὺς ἐδικαίωσας, ἡμῖν δὲ συγχώρησιν δώρησαι, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ὁ αὐτὸς ἦχος.

Ὅτε ἡ ἁμαρτωλὸς προσέφερε τὸ μύρον, τότε ὁ μαθητὴς συνεφώνει τοῖς παρανόμοις· ἡ μὲν ἔχαιρε κενοῦσα τὸ πολύτιμον· ὁ δὲ ἔσπευδε πωλῆσαι τὸν ἀτίμητον· αὕτη τὸν Δεσπότην ἐπεγίνωσκεν· οὗτος τοῦ Δεσπότου ἐχωρίζετο· αὕτη ἠλευθεροῦτο, καὶ ὁ Ἰούδας δοῦλος ἐγεγόνει τοῦ ἐχθροῦ· δεινὸν ἡ ῥᾳθυμία, μεγάλη ἡ μετάνοια· ἥν μοι δώρησαι, Σωτὴρ, ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

Ὢ τῆς Ἰούδα ἀθλιότητος, ἐθεώρει τὴν Πόρνην φιλοῦσαν τὰ ἴχνη, καὶ ἐσκέπτετο δόλῳ τῆς προδοσίας τὸ φίλημα· ἐκείνη τοὺς πλοκάμους διέλυσε, καὶ οὗτος τῷ θυμῷ ἐδεσμεῖτο· φέρων ἀντὶ μύρου τὴν δυσώδη κακίαν· φθόνος γὰρ οὐκ οἶδε προτιμᾶν τὸ συμφέρον· ὢ τῆς Ἰούδα ἀθλιότητος, ἀφ' ἧς ῥῦσαι ὁ Θεὸς τὰς ψυχὰς ἡμῶν.

Δόξα, ἦχος β΄.

Ἡ ἁμαρτωλὸς ἔδραμε πρὸς τὸ μύρον πριάσασθαι πολύτιμον μύρον, τοῦ μυρίσαι τὸν εὐεργέτην, καὶ τῷ μυρεψῷ ἐβόα· δός μοι τὸ μύρον, ἵνα ἀλείψω κἀγὼ τὸν ἐξαλείψαντά μου πάσας τὰς ἁμαρτίας.

Καὶ νῦν, ἦχος πλ. β΄.

Ἡ βεβυθισμένη τῇ ἁμαρτίᾳ εὗρέ σε λιμένα τῆς σωτηρίας, ἰδὲ, καὶ μύρα σὺν δάκρυσι κενοῦσα, σοι ἐβόα· ἴδε ὁ τῶν ἁμαρτανόντων τὴν μετάνοιαν μένων· ἀλλὰ Δέσποτα διάσωσόν με ἐκ τοῦ κλύδωνος τῆς ἁμαρτίας διὰ τὸ μέγα σου ἔλεος.

Ἀπόστιχ. τὰ στιχηρὰ Ἰδιόμ. ταῦτα. Λέγομεν τοὺς συνήθεις στίχ. ἦχος πλ. β΄.

Σήμερον ὁ Χριστὸς παραγίνεται ἐν τῇ οἰκίᾳ τοῦ Φαρισαίου, καὶ γυνὴ ἁμαρτωλὸς προσελθοῦσα τοῖς ποσὶν ἐκυλινδεῖτο βοῶσα· ἴδε, τὴν βεβυθισμένην τῇ ἁμαρτίᾳ, τὴν ἀπηλπισμένην διὰ τὰς πράξεις, τὴν μὴ βδελυχθεῖσαν παρὰ

τῆς

Digitized by Google

τῆς σῆς ἀγαθότητος· καὶ δός μοι, Κύριε, τὴν ἄφεσιν τῶν κακῶν, καὶ σῶσόν με.

Ἦχος ὁ αὐτός.

Ἥπλωσεν ἡ Πόρνη τὰς τρίχας σοι τῷ Δεσπότῃ, ἥπλωσεν Ἰούδας τὰς χεῖρας τοῖς παρανόμοις· ἡ μὲν λαβεῖν τὴν ἄφεσιν· ὁ δὲ λαβεῖν ἀργύρια· διό σοι βοῶμεν τῷ πραθέντι, καὶ ἐλευθερώσαντι ἡμᾶς, Κύριε, δόξα σοι.

Ἦχος ὁ αὐτός.

Προσῆλθε γυνὴ δυσώδης, καὶ βεβορβορωμένη δάκρυα προχέουσα ποσί σου, Σωτὴρ, τὸ Πάθος καταγγέλλουσα· πῶς ἀτενίσω σοι τῷ Δεσπότῃ; αὐτὸς γὰρ ἐλήλυθας σῶσαι Πόρνην ἐκ βυθοῦ· θανοῦσαν με ἀνάστησον ὁ τὸν Λάζαρον ἐγείρας ἐκ τάφου τεταρταῖον, δέξαι με τὴν τάλαιναν, Κύριε, καὶ σῶσόν με.

Ἦχος ὁ αὐτός.

Ἡ ἀπεγνωσμένη διὰ τὸν βίον, καὶ ἐπεγνωσμένη διὰ τὸν τρόπον, τὰ μύρα βαστάζουσα προσῆλθέ σοι βοῶσα· μή με τὴν πόρνην ἀποῤῥίψῃς ὁ τεχθεὶς ἐκ Παρθένου· μή μου τὰ δάκρυα παρίδῃς ἡ χαρὰ τῶν Ἀγγέλων, ἀλλὰ δέξαι με μετανοοῦσαν· ἣν οὐκ ἀπώσω ἁμαρτάνουσαν, Κύριε, διὰ τὸ μέγα σου ἔλεος.

Δόξα. Καὶ νῦν. Ἰδιόμ. ἦχος πλ. δ΄.

Ποίημα Κασιανῆς Μοναχῆς.

Κύριε, ἡ ἐν πολλαῖς ἁμαρτίαις περιπεσοῦσα γυνὴ τὴν σὴν αἰσθομένη Θεότητα, μυροφόρου ἀναλαβοῦσα τάξιν, ὀδυρομένη μύρα σοι πρὸ τοῦ ἐνταφιασμοῦ κομίζει, οἴμοι λέγουσα, ὅτι νύξ μοι ὑπάρχει οἶστρος ἀκολασίας, ζοφώδης τε, καὶ ἀσέληνος ἔρως τῆς ἁμαρτίας· δέξαι μου τὰς πηγὰς τῶν δακρύων, ὁ νεφέλαις διεξάγων τῆς θαλάσσης τὸ ὕδωρ· κάμφθητί μοι πρὸς τοὺς στεναγμοὺς τῆς καρδίας, ὁ κλίνας τοὺς Οὐρανοὺς τῇ ἀφάτῳ σου κενώσει· καταφιλήσω τοὺς ἀχράντους σου πόδας, ἀποσμήξω τούτους δὲ πάλιν τοῖς τῆς κεφαλῆς μου βοστρύχοις, ὧν ἐν τῷ Παραδείσῳ Εὔα τὸ δειλινὸν κρότον τοῖς ὠσὶν ἠχηθεῖσα, τῷ φόβῳ ἐκρύβη· ἁμαρτιῶν μου τὰ πλήθη, καὶ κριμάτων σου ἀβύσσους τίς ἐξιχνιάσει, ψυχοσῶστα Σωτήρ μου; μή με τὴν σὴν δούλην παρίδῃς, ὁ ἀμέτρητον ἔχων τὸ ἔλεος.

Εἰς τὴν Τριτέκτην Τροπάριον τῆς Προφητίας, ἦχος β΄.

Σήμερον τὸ πονηρὸν συνήχθη συνέδριον, καὶ κατὰ σοῦ κενὰ ἐμελέτησε· σήμερον ἐκ συμφώνου τὸν βρόχον Ἰούδας ἀῤῥαβωνίζεται. Καϊάφας δὲ ἄκων ὁμολογεῖ, ὅτι εἷς ὑπὲρ πάντων ἀναδέχῃ τὸ πάθος ἑκούσιον, Λυτρωτὰ ἡμῶν, Χριστὲ ὁ Θεὸς, δόξα σοι.

Προκείμενον Ψαλμὸς ρλγ΄. ἦχος πλ. δ΄.

Εὐλογήσαι σε Κύριος ἐκ Σιὼν, καὶ ἴδῃς τὰ ἀγαθ.

Στίχ. Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον πάντες.

Προφητείας Ἰεζεκιήλ.

Καὶ εἶπε Κύριος πρὸς μέ· υἱὲ ἀνθρώπου· ἐξαποστέλλω ἐγώ σε πρὸς τὸν οἶκον τοῦ Ἰσραὴλ, τοὺς παραπικραίνοντάς με, οἵτινες παρεπίκρανάν με, αὐτοί καὶ οἱ πατέρες αὐτῶν ἕως τῆς σήμερον ἡμέρας· καὶ ἐρεῖς πρὸς αὐτούς· τάδε λέγει Κύριος· ἐὰν ἄρα ἀκούσωσιν, ἢ πτοηθῶσι, διότι οἶκος παραπικραίνων ἐστί, καὶ γνώσονται ὅτι προφήτης εἶ σὺ ἐν μέσῳ αὐτῶν· καὶ σὺ υἱὲ ἀνθρώπου, μὴ φοβηθῇς αὐτοὺς, μηδὲ ἐκστῇς ἀπὸ προσώπου αὐτῶν· διότι παροιστρήσουσι, καὶ ἐπισυστήσονται ἐπὶ σὲ κύκλῳ, καὶ ἐν μέσῳ σκορπίων σὺ κατοικεῖς· τοὺς λόγους αὐτῶν μὴ φοβηθῇς, καὶ ἀπὸ προσώπου αὐτῶν μὴ ἐκστῇς, διότι οἶκος παραπικραίνων ἐστί. Καὶ λαλήσεις τοὺς λόγους μου πρὸς αὐτούς, ἐὰν ἄρα ἀκούσωσιν, ἢ πτοηθῶσιν, ὅτι οἶκος παραπικραίνων ἐστί· καὶ σὺ υἱὲ ἀνθρώπου, ἄκουε τοῦ λαλοῦντος πρὸς σὲ, μὴ γίνου παραπικραίνων, καθὼς ὁ οἶκος ὁ παραπικραίνων· χάνε τὸ στόμα σου, καὶ φάγε, ὃ ἐγὼ δίδωμί σοι· καὶ ἴδον, καὶ ἰδοὺ χεὶρ ἐκτεταμένη πρός με, καὶ ἐν αὐτῇ κεφαλὶς βιβλίου, καὶ ἀνείλησεν αὐτὴν ἐνώπιόν μου· καὶ ἦν ἐν αὐτῇ γεγραμμένα τὰ ἔμπροσθεν καὶ τὰ ὀπίσω· καὶ ἐγέγραπτο θρῆνος καὶ μέλος καὶ οὐαί· καὶ εἶπε πρός με· υἱὲ ἀνθρώπου, κατάφαγε τὴν κεφαλίδα ταύτην, καὶ πορεύθητι καὶ λάλησον τοῖς υἱοῖς Ἰσραήλ· καὶ διήνοιξε τὸ στόμα μου, καὶ ἐψώμισέ με τὴν κεφαλίδα. Καὶ εἶπε πρὸς μέ· υἱὲ ἄνθρωπε· τὸ στόμα σου φάγεται· καὶ ἡ κοιλία σου πλησθήσεται τῆς κεφαλίδος ταύτης τῆς δεδομένης εἰς σέ· καὶ ἔφαγον αὐτὴν, καὶ ἐγένετο ἐν τῷ στόματί μου, ὡς μέλι γλυκάζον.

Προκείμενον Ψαλμὸς ρλδ΄. ἦχος β΄.

Οἱ φοβούμενοι τὸν Κύριον, εὐλογήσατε τὸν Κύριον.

Στίχ. Αἰνεῖτε τὸ ὄνομα Κυρίου, αἰνεῖτε δοῦλοι Κύριον.

Καὶ ἡ λοιπὴ Ἀκολουθία ὡς συνήθως ἐν τῇ πρώτῃ Ὥρᾳ, καὶ ἐν ταῖς λοιπαῖς.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ Δ΄. Ἑσπέρας, εἰς τὸ Λυχνικὸν ἡ συνήθως στιχολογία, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν τὸ Ἰδιόμελ. στιχηρὰ, ἅπερ εἴπομεν τὸ πρωΐ.

Δόξα. Καὶ νῦν, τὸν πλ. δ΄. Κύριε ἡ ἐν πολλαῖς ἁμαρτίαις. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρὸν, Ἑσπέρας Προκείμενον Ψαλμὸς ρλε΄. ἦχος δ΄.

Ἐξομολογεῖσθε τῷ Θεῷ τοῦ Οὐρανοῦ, ὅτι εἰς τὸν αἰῶνα.

Στίχ. Ἐξομολογεῖσθε τῷ Θεῷ τῶν θεῶν, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος.



Digitized by Google

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

ΕΝ ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενόμενος Μωσῆς, ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ· κατανοήσας δὲ τὸν πόνον αὐτῶν, ὁρᾷ ἄνθρωπον Αἰγύπτιον τύπτοντά τινα Ἑβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ· περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε, οὐχ ὁρᾷ οὐδένα· καὶ πατάξας τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ· ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομένους· καὶ λέγει τῷ ἀδικοῦντι· διατί σὺ τύπτεις τὸν πλησίον; ὁ δὲ, εἶπε· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμῶν; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ἐφοβήθη δὲ Μωσῆς, καὶ εἶπεν· εἰ οὕτως ἐμφανὲς γέγονε τὸ ῥῆμα τοῦτο· ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο, καὶ ἐζήτει ἀνελεῖν Μωϋσῆν· ἀνεχώρησε δὲ Μωσῆς ἀπὸ προσώπου Φαραὼ, καὶ ᾤκησεν ἐν γῇ Μαδιάμ· ἐλθὼν δὲ εἰς γῆν Μαδιὰμ, ἐκάθισεν ἐπὶ τοῦ φρέατος· τῷ δὲ Ἱερεῖ Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες, ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ· παραγενόμεναι δὲ ἤντλουν ἕως ἔπλησαν τὰς δεξαμενὰς, ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ· παραγενόμενοι δὲ οἱ ποιμένες, ἐξέβαλον αὐτάς· ἀναστὰς δὲ Μωσῆς ἐῤῥύσατο αὐτὰς, καὶ ἤντλησεν αὐταῖς, καὶ ἐπότισε τὰ πρόβατα αὐτῶν· παρεγένοντο δὲ πρὸς Ῥαγουὴλ τὸν πατέρα αὐτῶν· ὁ δὲ εἶπεν αὐταῖς, διατί ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον; αἱ δὲ εἶπαν· ἄνθρωπος Αἰγύπτιος ἐῤῥύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων, καὶ ἤντλησεν ἡμῖν, καὶ ἐπότισε τὰ πρόβατα ἡμῶν· ὁ δὲ εἶπε ταῖς θυγατράσιν αὐτοῦ· καὶ ποῦ ἐστι; καὶ ἱνατί καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐτὸν, ὅπως φάγῃ ἄρτον· κατῳκίσθη δὴ Μωϋσῆς παρὰ τῷ ἀνθρώπῳ· καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα αὐτοῦ Μωσῇ γυναῖκα· ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ, ἔτεκεν υἱόν· καὶ ἐπωνόμασε Μωϋσῆς τὸ ὄνομα αὐτοῦ Γηρσάμ, λέγων· ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ.

Προκείμενον Ψαλμὸς ρλε'. ἦχος δ'.

Κύριε τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου ἐναντίον.

Ἰὼβ τὸ Ἀνάγνωσμα.

ΕΓένετο δὲ ὡς ἡ ἡμέρα αὕτη, καὶ ἦλθον οἱ Ἄγγελοι τοῦ Θεοῦ παραστῆναι ἔναντι Κυρίου, καὶ ὁ διάβολος ἦλθεν ἐν μέσῳ αὐτῶν παραστῆναι ἐναντίον τοῦ Κυρίου· καὶ εἶπεν ὁ Κύριος τῷ διαβόλῳ· πόθεν σὺ ἔρχῃ; τότε εἶπεν ὁ διάβολος ἐναντίον τοῦ Κυρίου· διαπορευθεὶς τὴν ὑπ' οὐρανὸν, καὶ ἐμπεριπατήσας τὴν σύμπασαν, πάρειμι· εἶπε δὲ ὁ Κύριος πρὸς τὸν διάβολον· προσέσχες οὖν τῷ θεράποντί μου Ἰὼβ, ὅτι οὐκ ἔστι κατ' αὐτὸν τῶν ἐπὶ τῆς γῆς; ἄνθρωπος ἄκακος, ἀληθινὸς, ἄμεμπτος, θεοσεβὴς, ἀπεχόμενος ἀπὸ παντὸς κακοῦ, ἔτι δὲ ἔχεται ἀκακίας· σὺ δὲ εἶπας, ὑπάρχοντα αὐτοῦ διακενῆς ἀπολέσαι· ὑπολαβὼν δὲ ὁ διάβολος εἶπε τῷ Κυρίῳ· δέρμα ὑπὲρ δέρματος, ὅσα ὑπάρχει ἀνθρώπῳ, ὑπὲρ τῆς ψυχῆς αὐτοῦ ἐκτίσει· οὐ μὴν δὲ ἀλλὰ ἀποστείλας τὴν χεῖρά σου, ἅψαι τῶν ὀστῶν αὐτοῦ καὶ τῶν σαρκῶν αὐτοῦ· ἢ μὴν εἰς πρόσωπόν σε εὐλογήσει· εἶπε δὲ ὁ Κύριος τῷ διαβόλῳ· ἰδοὺ παραδίδωμί σοι αὐτόν· μόνον τὴν ψυχὴν αὐτοῦ διαφύλαξον· ἐξῆλθε δὲ ὁ διάβολος ἀπὸ τοῦ Κυρίου· καὶ ἔπαισε τὸν Ἰὼβ ἕλκει πονηρῷ, ἀπὸ ποδῶν ἕως κεφαλῆς· καὶ ἔλαβεν ὄστρακον, ἵνα τὸν ἰχῶρα ξύῃ, καὶ ἐκάθητο ἐπὶ τῆς κοπρίας ἔξω τῆς πόλεως· χρόνου δὲ πολλοῦ προβεβηκότος, εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· μέχρι τίνος καρτερήσεις λέγων; ἰδοὺ ἀναμένω χρόνον ἔτι μικρὸν, προσδεχόμενος τὴν ἐλπίδα τῆς σωτηρίας μου· ἰδοὺ γὰρ ἠφάνισταί σου τὸ μνημόσυνον ἀπὸ τῆς γῆς· υἱοὶ καὶ θυγατέρες ἐμῆς κοιλίας ὠδῖνες καὶ πόνοι, οὓς εἰς τὸ κενὸν ἐκοπίασα μετὰ μόχθων· σύ τε αὐτὸς ἐν σαπρίᾳ σκωλήκων κάθησαι διανυκτερεύων αἴθριος, κἀγὼ πλανωμένη καὶ λάτρις τόπον ἐκ τόπου, καὶ οἰκίαν ἐξ οἰκίας, προσδεχομένη τὸν ἥλιον πότε δύσεται, ἵνα ἀναπαύσωμαι τῶν μόχθων μου, καὶ τῶν ὀδυνῶν αἵ με νῦν συνέχουσιν· ἀλλὰ εἶπόν τι ῥῆμα εἰς Κύριον, καὶ τελεύτα· ὁ δὲ ἐμβλέψας, εἶπεν αὐτῇ· ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας· εἰ τὰ ἀγαθὰ ἐδεξάμεθα ἐκ χειρὸς Κυρίου, τὰ κακὰ οὐχ ὑποίσομεν; ἐν πᾶσι τούτοις τοῖς συμβεβηκόσιν αὐτῷ οὐδὲν ἥμαρτεν Ἰὼβ τοῖς χείλεσιν ἐναντίον τοῦ Θεοῦ.

Εἶτα τὸ, Κατευθυνθήτω. Τὸ Εὐαγγέλιον, καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

Τῇ αὐτῇ ἁγίᾳ, καὶ μεγάλῃ Δ'. εἰς τὸ Ἀπόδειπνον τὸ Τριῴδιον τοῦ Κυρίου Ἀνδρέου.

Ὠδὴ δ'. ἦχος πλ. β'. Ἀκήκοα ὁ Προφ.

ΑΝώγεον ἐστρωμένον ἐδέξατό σε τὸν κτίστην, καὶ τοὺς συμμύστας, καὶ αὐτοῦ τὸ Πάσχα ἐπετέλεσας, καὶ αὐτοῦ εἰργάσω τὰ μυστήρια· αὐτοῦ γὰρ τῶν δύο σταλέντων νῦν Μαθητῶν σου τὸ Πάσχα ἡτοιμάσθη σοι.

ΥΠάγετε πρὸς τὸν δεῖνα, ὁ πάντα εἰδὼς προέλεγε τοῖς Ἀποστόλοις, καὶ μακάριός ἐστιν, ὃς δύναται πιστῶς ὑποδέξασθαι τὸν Κύριον, ἀνώγεον μὲν τὴν καρδίαν προετοιμάσας, καὶ δεῖπνον τὴν εὐσέβειαν.

ΗΓνώμη φιλαργυρίας, ὁ ζῆλος σου ἀπονοίας, ἄφρον Ἰούδα· πεισθεὶς γὰρ μόνος τὸ γλωσσόκομον, ὅλως οὐκ ἐκάμφθης πρὸς

συμ-

Digitized by Google

συμπαθῆσαι· ἀλλ᾽ ἔκλεισας τὰ τῆς σκληρᾶς σου καρδίας σπλάγχνα, προδοὺς τὸν μόνον εὔσπλαγχνον.

Ἡ γνώμη τῶν θεοκτόνων τῇ πράξει τοῦ φιλαργύρου συναρμοσθεῖσα· ἡ μὲν πρὸς ἀναίρεσιν ὡπλίζετο, ἡ δὲ τὰ ἀργύρια ἐφέλκετο· ἀγχόνην γὰρ μεταμελείας τότε προκρίνας, κακῶς τοῦ ζῆν ἐστέρηται.

Τὸ φίλημα γέμει δόλου, τὸ χαῖρε σου ἐν μαχαίρᾳ, πλάνε Ἰούδα, τῇ μὲν γλώσσῃ φθέγγῃ τὰ πρὸς ἕνωσιν, τῇ δὲ γνώμῃ νεύεις πρὸς διάστασιν· προδοῦναι γὰρ τοῖς παρανόμοις τὸν εὐεργέτην δολίως ἐμελέτησας.

Φιλεῖς, καὶ πωλεῖς, Ἰούδα, ἀσπάζῃ καὶ οὐκ ὀκλάζεις δόλῳ προστρέχων· τίς μισῶν ἀσπάζεται τρισάθλιε; τίς φιλῶν ἐξωνεῖται τιμήματι; τὸ φίλημα τῆς ἀναιδοῦς σου κακοβουλίας ἐλέγχει τὴν προαίρεσιν.

Δόξα.

Ἀμέριστον τῇ οὐσίᾳ, ἀσύγχυτον τοῖς προσώποις θεολογῶ σε· τὴν τριαδικὴν μίαν Θεότητα· ὡς ὁμοβασίλειον, καὶ σύνθρονον· βοῶ σοι τὸ ᾆσμα τὸ μέγα, τὸ ἐν ὑψίστοις τρισσῶς ὑμνολογούμενον.

Θεοτοκίον.

Ἡ σύλληψις ὑπὲρ λόγον, ὁ τόκος σου ὑπὲρ φύσιν, Θεογεννῆτορ· ἡ μὲν γὰρ ἐκ Πνεύματος, οὐ σπέρματος, ὁ δὲ νόμους φύσεως λανθάνων, ὡς ἄφθορος καὶ ὑπὲρ φύσιν, πάσης λοχείας. Θεὸς γὰρ τὸ τικτόμενον.

Κάθισμα ἦχος δ᾽. Ἐπεφάνης σήμερον.

Συνεσθίων, Δέσποτα, τοῖς Μαθηταῖς σου, μυστικῶς ἐδήλωσας τὴν σὴν ἁγίαν τελευτήν, δι᾽ ἧς φθορᾶς ἐλυτρώθημεν οἱ τὰ σεπτά σου τιμῶντες παθήματα.

Ὠδὴ η᾽. Ὃν στρατιαὶ Οὐρανῶν δοξάζουσι.

Τὴν νομικὴν ἐκπληρώσας πρόσταξιν ὁ πλάκας τὰς νομικὰς γράψας ἐν Σινᾷ, ἔφαγε μὲν τὸ Πάσχα τὸ πάλαι, καὶ σκιῶδες, γέγονε δὲ Πάσχα, καὶ μυστικὴ ζωοθυσία.

Τὴν ἀπ᾽ αἰῶνος κεκαλυμμένην Χριστὸς σοφίαν μυσταγωγῶν, ἔδειξας ὁμοῦ πᾶσι τοῖς Ἀποστόλοις, Σωτήρ, ἐπὶ τοῦ δείπνου· ἣν ταῖς Ἐκκλησίαις παρέδωκαν οἱ θεοφόροι.

Εἷς ἐξ ὑμῶν δόλῳ παραδώσει με, Ἑβραίοις ἀπεμπολῶν ταύτῃ τῇ νυκτί· τοῦτο Χριστὸς βοήσας, συνέχει τοὺς φίλους· τότε εἷς πρὸς ἕνα διαπορῶν προσεκίνειτο.

Ταπεινωθεὶς δι᾽ ἡμᾶς ὁ πλούσιος, τοῦ δείπνου ἐξαναστάς, λέντιον λαβών, τοῦτο περιεζώσω, καὶ κλίνας τὸν αὐχένα, ἔνιψας τοὺς πόδας τῶν Μαθητῶν, καὶ τοῦ προδότου.

Τῆς ὑπὲρ νοῦν, καὶ ἀφράστου γνώσεως τὸ ὕψος σου, Ἰησοῦ, τίς μὴ ἐκπλαγῇ; ὅτι πηλῷ παρέστης ὁ Κτίστης τῶν ἁπάντων; νίπτων μὲν τοὺς πόδας, ἐκμάσσων δὲ καὶ τῷ λεντίῳ.

Ὁ Μαθητής, ὃν ἠγάπα Κύριος, τῷ στήθει ἀναπεσών, ἔφη πρὸς αὐτόν· τίς ὁ παραδιδούς σε; Χριστὸς δὲ πρὸς ἐκεῖνον· οὗτος ὁ ἐμβάψας ἐν τρυβλίῳ νῦν τὴν χεῖρα.

Ὁ Μαθητὴς τὸν ψωμὸν δεξάμενος, καὶ τοῦ ἄρτου χωρεῖ· πρᾶσιν μελετῶν, τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις· τί παρέχετέ μοι, κἀγὼ αὐτὸν ὑμῖν προδώσω;

Δόξα.

Ἕνα Θεὸν κατ᾽ οὐσίαν σέβομαι, τρεῖς ὑποστάσεις ὑμνῶ διοριστικῶς, ἄλλας ἀλλ᾽ οὐκ ἀλλοίας, ἐπεὶ Θεότης μία, ἐν τρισὶ τὸ κράτος, καὶ γὰρ Πατήρ, Υἱός, καὶ Πνεῦμα.

Θεοτοκίον.

Ῥῦσαι ἡμᾶς, Ἰησοῦ Σωτὴρ ἡμῶν, ἐκ πλάνης, καὶ πειρασμοῦ, καὶ τοῦ πονηροῦ· δέχου τὴν Θεοτόκον πρεσβεύουσαν ἀπαύστως· μήτηρ γὰρ ὑπάρχει, καὶ δύναταί σε δυσωπῆσαι.

Ὠδὴ θ᾽. Ἀσπόρου συλλήψεως.

Τὸ μέγα μυστήριον τῆς σῆς ἐνανθρωπήσεως ἐπὶ τοῦ Δείπνου συνανακείμενος σου τοῖς μύσταις, φιλάνθρωπε, ἀνακαλύψας ἔφης· φάγετε Ἄρτον τὸν ζωτικόν, πίστει πίετε τὸ Αἷμα κενωθὲν τῆς θεοπλεύρου σφαγῆς.

Σκηνὴ ἐπουράνιος ἐδείχθη τὸ ἀνώγεων, ἔνθα τὸ Πάσχα Χριστὸς ἐπετέλεσε· τὸ δεῖπνον ἀναίμακτον, καὶ λογικὴ λατρεία· ἡ τράπεζα δὲ τῶν ἐκεῖ τελεσθέντων μυστηρίων, νοητὸν θυσιαστήριον.

Τὸ Πάσχα Χριστός ἐστι τὸ μέγα, καὶ σεβάσμιον, βρωθεὶς ὡς ἄρτος· τυθεὶς δὲ ὡς πρόβατον, αὐτὸς γὰρ ἀνηνέχθη ὑπὲρ ἡμῶν θυσία· αὐτοῦ τὸ Σῶμα εὐσεβῶς, καὶ αὐτοῦ τὸ Αἷμα πάντες μυστικῶς μεταλαμβάνομεν.

Τὸν ἄρτον εὐλογήσας ὁ Ἄρτος ὁ οὐράνιος, εὐχαριστήσας Πατρὶ τῷ γεννήτορι, λαβὼν καὶ ποτήριον τοῖς Μαθηταῖς ἐδίδους, λάβετε, φάγετε βρῶσιν, τοῦτό μου ἐστὶ τὸ Σῶμα, καὶ τὸ Αἷμα τῆς ἀφθάρτου ζωῆς.

Ἀμὴν λέγω, ἔφησε τοῖς κλήμασιν ἡ ἄμπελος, τοῖς Ἀποστόλοις Χριστὸς ἡ ἀλήθεια, ἀπ᾽ ἄρτι οὐ μὴ πίω ἐκ τῆς ἀμπέλου πόμα, ἕως ἂν πίω αὐτὸ καινὸν ἐν τῇ δόξῃ τοῦ Πατρός μου μεθ᾽ ὑμῶν τῶν κληρονόμων μου.

Πιπράσκεις τριάκοντα ἀργυρίοις τὸν Κύριον, καὶ οὐ λογίζῃ, Ἰούδα παράνομε, τοῦ δείπνου τὴν μύησιν, ἢ τὸν σεπτὸν νιπτῆρα· ὢ πῶς εἰς τέλος τοῦ φωτὸς ὀλισθήσας, πτῶμα ἦλθες, τὴν ἀγχόνην ἀσπασάμενος.

Τὰς χεῖρας ἐξέτεινας, ἐν αἷς τὸν ἄρτον ἔλαβες τῆς ἀφθαρσίας, λαβεῖν τὰ ἀργύρια· τὸ στόμα πρὸς φίλημα προσαγαγὼν δολίως· ἐν ᾧ τὸ Σῶμα τοῦ Χριστοῦ, καὶ τὸ Αἷμα ὑπεδέξω· ἀλλ᾽ οὐαί σοι, φησὶν ὁ Χριστός.

Χριστὸς ἀνιστάσατο τὸν Κόσμον ὁ Κύριος, καὶ Θεῖος Ἄρτος· διὸ τὸν οὖν φιλόχριστοι, πηλίνοις ἐν στόμασιν· ἁγναῖς δὲ ταῖς καρδίαις ὑποδεξώμεθα πιστῶς τὸν θυόμενον τὸ Πάσχα, ἐν ἡμῖν ἱερουργούμενον.

Δόξα.

ΠΑτέρα δοξάσωμεν, Υἱὸν ὑπερυψώσωμεν, τὸ θεῖον Πνεῦμα πιστῶς προσκυνήσωμεν, Τριάδα ἀχώριστον, μονάδα κατ' οὐσίαν, ὡς φῶς καὶ φῶτα, καὶ ζωὴν, καὶ ζωὰς ζωοποιοῦσαν, καὶ φωτίζουσαν τὰ πέρατα.

Θεοτοκίον.

ΠΑστὰς ἐπουράνιος, καὶ Νύμφη Ἀειπάρθενος μόνη ἐδείχθης, Θεὸν μὲν βαστάσασα, τεκοῦσα δὲ ἀτρέπτως ἐκ σοῦ σεσαρκωμένον· διό σε πᾶσαι αἱ γενεαί, ὡς θεόνυμφον Μητέρα, ὀρθοδόξως μεγαλύνομεν.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Ε'. εἰς τὸν Ὄρθρον.

Μετὰ τὸν Ἑξάψαλμον, τὸ Ἀλληλουϊάριον· ἦχος πλ. δ'. Καὶ τὸ Τροπάριον ἐκ τρίτου.

Ἦχος πλ. δ'.

ὍΤε οἱ ἔνδοξοι Μαθηταὶ ἐν τῷ νιπτῆρι τοῦ Δείπνου ἐφωτίζοντο, τότε Ἰούδας ὁ δυσσεβὴς φιλαργυρίαν νοσήσας ἐσκοτίζετο, καὶ ἀνόμοις κριταῖς σε τὸν δίκαιον Κριτὴν παραδίδωσι· βλέπε, χρημάτων ἐραστὰ, τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχὴν, τὴν Διδασκάλῳ τοιαῦτα τολμήσασαν· ὁ περὶ πάντας ἀγαθὸς, Κύριε, δόξα σοι.

Εἶτα τὸ Εὐαγγέλιον ὁ Ν'. καὶ ἀρχόμεθα τοῦ Κανόνος. Ποίημα τοῦ κυρίου Κοσμᾶ· τοὺς Εἱρμοὺς ἀνὰ β'. Τὰ δὲ τροπάρια ἀνὰ δ'. ἢ ἀνὰ ς'. κατὰ τὴν ποσότητα. Ὁ Κανὼν οὗ ἡ ἀκροστιχίς. Τῇ μακρᾷ Πέμπτῃ μακρὸν ὕμνον ἐξάδω.

Ὠδὴ α'. ἦχος πλ. β'. ὁ Εἱρμός.

ΤΜηθεῖς τμᾶται πόντος ἐρυθρὸς, κυματοτρόφος δὲ ξηραίνεται βυθὸς, ὁ αὐτὸς ὁμοῦ
„ ἀόπλοις γεγονὼς βατὸς, καὶ πανοπλίταις τάφος·
„ ᾠδὴ δὲ θεοτερπὴς ἀνεμέλπετο, ἐνδόξως δε-
„ δόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἡ Παναιτία, καὶ παρεκτικὴ ζωῆς, ἡ ἄπειρος σοφία τοῦ Θεοῦ ᾠκοδόμησε τὸν οἶκον ἑαυτῆς ἁγνῆς ἐξ ἀπειράνδρου μητρὸς· ναὸν γὰρ σωματικῶς περιθέμενος, ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

ΜΥσταγωγοῦσα φίλους ἑαυτῆς, τὴν ψυχοτρόφον ἑτοιμάζει τράπεζαν, ἀμβροσίας δὲ ἡ ὄντως σοφία τοῦ Θεοῦ κιρνᾷ κρατῆρα πιστοῖς· προσέλθωμεν εὐσεβῶς, καὶ βοήσωμεν· ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

ἈΚουτισθῶμεν πάντες οἱ πιστοὶ, συγκαλουμένης ὑψηλῷ κηρύγματι τῆς ἀκτίστου, καὶ ἐμφύτου σοφίας τοῦ Θεοῦ· βοᾷ γάρ· γεύσασθε, καὶ γνόντες, ὅτι Χριστὸς ἐγὼ, κεκράξατε· ἐνδόξως δεδόξασται Χριστὸς ὁ Θεὸς ἡμῶν.

Ἔσχατον πάλιν λέγομεν οἱ δύο Χοροὶ ὁμοῦ· Καταβασία, τοὺς Εἱρμούς.

Ὠδὴ γ'. ὁ Εἱρμός.

ΚΥριος ὢν πάντων, καὶ κτίστης Θεὸς, τὸν ἄκτιστον ὁ ἀπαθὴς πτωχεύσας ἑαυτῷ ἥνωσε.
„ καὶ τὸ Πάσχα, οἷς ἔμελλε θανεῖν, αὐτὸς ὢν,
„ ἑαυτὸν προτεθεὶς, φάγετε, βοᾷν, τὸ Σῶμά μου,
„ καὶ πίστει στερεωθήσεσθε.

ΡΥσιον παντὸς τοῦ βροτείου γένους τὸ οἰκεῖον, ἀγαθὲ, τοὺς σοὺς Μαθητὰς ἐπότισας, εὐφροσύνης ποτήριον πλήσας· αὐτὸς γὰρ σεαυτὸν ἱερουργεῖς, πίετε, βοῶν, τὸ Αἷμά μου, καὶ πίστει στερεωθήσεσθε.

ἌΦρων ἀνὴρ, ὃς ἐν ὑμῖν προδότης, τοῖς οἰκείοις Μαθηταῖς προέφης ὁ ἀνεξίκακος· οὐ μὴ γνώσονται ταῦτα, καὶ οὗτος ἀσύνετος ὢν, οὐ μὴ συνήσει· ὅμως ἐν ἐμοὶ μείνατε, καὶ πίστει στερεωθήσεσθε.

Κάθισμα ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

ὉΛίμνας, καὶ πηγὰς, καὶ θαλάσσας ποιήσας, ταπείνωσιν ἡμᾶς ἐκπαιδεύων ἀρίστην, λεντίῳ ζωννύμενος Μαθητῶν πόδας ἔνιψε, ταπεινούμενος ὑπερβολῇ εὐσπλαγχνίας, καὶ ὑψῶν ἡμᾶς ἀπὸ βαράθρων κακίας ὁ μόνος φιλάνθρωπος.

Ἕτερον ἦχ. γ'. Θείας πίστεως.

ΤΑπεινούμενος διὰ εὐσπλαγχνίαν, πόδας ἔνιψας τῶν Μαθητῶν σου, καὶ πρὸς δρόμον θεῖον τούτους κατεύθυνας, ἀπαναινόμενος Πέτρος δὲ νίπτεσθαι, αὖθις τῷ θείῳ ὑπείκει προστάγματι ἐκνιπτόμενος, καὶ σοῦ ἐκτενῶς δεόμενος, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον ἦχος δ'. Ἐπεφάνης σήμερον.

ΣΥνεστίαν Δέσποτα τοῖς Μαθηταῖς σου, μυστικῶς ἐδήλωσας τὴν παναγίαν σου σφαγὴν, δι' ἧς φθορᾶς ἐλυτρώθημεν οἱ τὰ σεπτά σου τιμῶντες παθήματα.

Ὠδὴ δ'. ὁ Εἱρμός.

ΠΡοκατιδὼν ὁ προφήτης τοῦ μυστηρίου σου τὸ ἀπόρρητον, Χριστὲ, προανεφώνησεν, ἔθου
„ κραταιὰν ἀγάπησιν ἰσχύος, Πάτερ οἰκτίρμον,
„ τὸν μονογενῆ Υἱὸν γὰρ, ἀγαθὲ, ἱλασμὸν εἰς τὸν
„ Κόσμον ἀπέστειλας.

ἘΠὶ τὸ πάθος τὸ πᾶσι τοῖς ἐξ Ἀδὰμ πηγάσαν ἀπάθειαν, Χριστὲ, μολὼν, τοῖς φίλοις σου εἶπας, μεθ' ὑμῶν τοῦ Πάσχα μετασχεῖν τούτου ἐπεθύμησα· τὸν μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

ΜΕταλαμβάνων κρατῆρος, τοῖς Μαθηταῖς ἐβόας, ἀθάνατε, γεννήματος ἀμπέλου δὲ πίομαι λοιπὸν οὐκέτι, μεθ' ὑμῶν βιοτεύων, τὸν μονογενῆ ἐπεί με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλε.

Πόμα

Digitized by Google

Πόμα καινὸν ὑπὲρ λόγον ἐγώ, φημί, ἐν τῇ Βασιλείᾳ μου, Χριστὸς τοῖς φίλοις, πίομαι· ὡς τε γὰρ Θεοῖς Θεὸς ὑμῖν συνέσομαι, εἶπας, τὸν μονογενῆ καὶ γάρ με ἱλασμὸν ὁ Πατὴρ εἰς τὸν Κόσμον ἀπέστειλεν.

Ὠδὴ ε΄. ὁ Εἱρμός.

Τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεόμενοι οἱ Ἀπόστολοι, τῷ δεσπόζοντι τῶν ὅλων ἑαυτοὺς
„ Χριστῷ ἀναθέμενοι, ὡραίους πόδας ἐξαπενίζον-
„ το, εὐαγγελιζόμενοι πᾶσιν εἰρήνην.

Ἡ Τὸ ἄχετον κρατοῦσα, καὶ ὑπερῷον ἐν αἰθέρι ὕδωρ, ἡ ἀβύσσους χαλινοῦσα, καὶ θαλάσσας ἀναχαιτίζουσα, Θεοῦ σοφία, ὕδωρ νιπτῆρι βάλλει, πόδας ἀποπλύνει δὲ δούλων Δεσπότης.

Μαθηταῖς ὑποδεικνύει ταπεινώσεως ὁ Δεσπότης τύπον· ὁ νεφέλαις δὲ τὸν πόλον περιβάλλων, ζώννυται λέντιον, καὶ κάμπτει γόνυ, δούλων ἐκπλῦναι πόδας· οὗ ἐν τῇ χειρὶ πνοὴ πάντων τῶν ὄντων.

Ὠδὴ ϛ΄. ὁ Εἱρμός.

Ἄβυσσος ἐσχάτη ἁμαρτημάτων ἐκύκλωσέ με, καὶ τὸν κλύδωνα μηκέτι φέρων, ὡς Ἰωνᾶς τῷ Δεσπότῃ βοῶ σοι, ἐκ φθορᾶς με ἀνάγαγε.

Κύριον φωνεῖτε, ὦ Μαθηταί, καὶ διδάσκαλόν με· καὶ γὰρ πέφυκα, Σωτήρ, ἐβόας· διὸ μιμεῖσθε τὸν τύπον, ὃν τρόπον ἐν ἐμοὶ ἐθεάσασθε.

Ῥύπον τις μὴ ἔχων, ἀπορρυφθῆναι οὐ δεῖται ἢ τοὺς πόδας, καθαροί, ὦ Μαθηταί· ὑμεῖς δέ, ἀλλ' οὐχὶ πάντες· ῥοπὴ γὰρ ἀτάκτως ἐξ ὑμῶν ἑνὸς μαίνεται.

Κοντάκιον· ἦχος β΄. Τὰ ἄνω ζητῶν.

Τὸν Ἄρτον λαβὼν εἰς χεῖρας ὁ προδότης, κρυφίως αὐτὰς ἐκτείνει, καὶ λαμβάνει τὴν τιμὴν τοῦ πλάσαντος ταῖς οἰκείαις χερσὶ τὸν ἄνθρωπον, καὶ ἀδιόρθωτος ἔμεινεν Ἰούδας ὁ δοῦλος, καὶ δόλιος.

Ὁ Οἶκος.

Τῇ μυστικῇ ἐν φόβῳ τραπέζῃ προσεγγίσαντες πάντες, καθαραῖς ταῖς ψυχαῖς τὸν Ἄρτον ὑποδεξώμεθα, συμπαραμένοντες τῷ Δεσπότῃ· ἵνα ἴδωμεν τοὺς πόδας πῶς ἀπονίπτει τῶν Μαθητῶν, καὶ ποιήσωμεν, ὥσπερ κατίδωμεν, ἀλλήλοις ὑποταγέντες, καὶ ἀλλήλων τοὺς πόδας ἐκπλύνοντες· Χριστὸς γὰρ οὕτως ἐκέλευσε τοῖς αὐτοῦ Μαθηταῖς, προέφησε, ἀλλ' οὐκ ἤκουσεν Ἰούδας ὁ δοῦλος, καὶ δόλιος.

Τὸ Συναξάριον στίχ. Εἰς τὸν ἱερὸν Νιπτῆρα.

Νίπτει Μαθητῶν ἑσπέρας Θεὸς πόδας,
Οὗ τοὺς πατρῴους εἰς Ἐδὲμ δείλης πάλαι.

Εἰς τὸν μυστικὸν Δεῖπνον.

Διπλοῦς ὁ Δεῖπνος, Πάσχα γὰρ νόμου φέρει.
Καὶ Πάσχα καινόν, Αἷμα, Σῶμα Δεσπότου.

Εἰς τὴν ὑπερφυᾶ Προσευχήν.

Προσευχή, καὶ φόβητρα, θρόμβοι αἱμάτων.
Χριστὲ προσώπου παραιτούμενος δῆθεν
Θάνατον, ἐχθρὸν φαινακίζων ἐν τούτοις.

Εἰς τὴν Προδοσίαν.

Τί δεῖ μαχαιρῶν, τί ξύλων, λαοπλάνοι;
Πρὸς τὸν θανεῖν πρόθυμον εἰς Κόσμου λύτρον.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Πέμπτῃ οἱ τὰ πάντα καλῶς διαταξάμενοι θεῖοι Πατέρες, ἀλληλοδιαδόχως ἔκ τε τῶν θείων Ἀποστόλων, καὶ τῶν ἱερῶν, καὶ θείων Εὐαγγελίων παραδεδώκασιν ἡμῖν τέσσαρα τινὰ ἑορτάζειν, τὸν ἱερὸν Νιπτῆρα, τὸ μυστικὸν Δεῖπνον, τὴν παράδοσιν δηλαδὴ τῶν καθ' ἡμᾶς φρικτῶν Μυστηρίων· τὴν ὑπερφυᾶ Προσευχήν, καὶ τὴν Προδοσίαν αὐτήν. Ἐπειδὴ γὰρ τὸ Ἑβραϊκὸν Πάσχα κατὰ τὴν Παρασκευὴν ἔμελλε θύεσθαι· ἦν δὲ ἄρα πρέπον τῷ τύπῳ ἐπακολουθῆσαι καὶ τὴν ἀλήθειαν, ἐν αὐτῷ δηλαδὴ καὶ τὸ καθ' ἡμᾶς Πάσχα τυθῆναι Χριστόν· προλαβὼν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὡς οἱ θεῖοι Πατέρες φάσκουσιν, ἐνεργεῖ αὐτὸ μετὰ τῶν Μαθητῶν τῇ ἑσπέρᾳ τῆς Πέμπτης· αὕτη γὰρ ἡ ἑσπέρα καὶ ἡ Παρασκευὴ ὅλη μία ἡμέρα παρ' Ἑβραίοις λογίζεται· οὕτω γὰρ ἐκεῖνοι μετροῦσι, τὸ νυχθήμερον λέγοντες· ἐνήργησεν οὖν αὐτό, καὶ τότε, ὥς τινες εἶπον, μετὰ τῶν Μαθητῶν κατὰ τὸν νόμον, ὧν εἷς ἐστι καὶ ὁ θεῖος Χρυσόστομος· πρότερον ὀρθοστάδην, καὶ ἐζωσμένοι, τὰ ὑποδήματα περικείμενοι, βακτηρίαις ἐπερειδόμενοι, καὶ τ' ἄλλα ὅσα ὁ νόμος διακελεύεται, ἵνα μὴ παράνομος δόξῃ· ταῦτα γὰρ ὁ Ζεβεδαῖος ἡτοίμασεν· οὗτος γὰρ ὁ τὸ κεράμιον βαστάζων τοῦ ὕδατος, ὡς ὁ μέγας φησὶν Ἀθανάσιος, κἂν ἄλλοι ἄλλως περὶ τούτου εἰρήκασι· μετέπειτα δὲ τὰ τελειότερα δεικνὺς τοῖς Μαθηταῖς, καὶ τοῦ καθ' ἡμᾶς Πάσχα τὸ μυστήριον παραδίδωσιν ἐν τῷ ἀνωγέῳ, ἤδη ἐπιλαβούσης νυκτός· δείπνου γάρ, φησί, γινομένου, ἀνεκλίθη μετὰ τῶν δώδεκα· ὅρα δέ, ὅτι οὐ τοῦτο ἦν τὸ νομικὸν Πάσχα· δεῖπνος γὰρ καὶ κλίσις, καὶ ἄρτος καὶ ὑγρόν, ἐκεῖ δὲ πάντα ὀπτὰ πυρί, καὶ ἄζυμα· πρὸ δὲ τοῦ ἄρξασθαι δειπνεῖν· οὕτω γὰρ ὁ θεῖος λέγει Χρυσόστομος, ἐκ τοῦ δείπνου ἐγείρεται, καὶ τίθησι χαμαὶ τὰ ἱμάτια, καὶ ὕδωρ τῷ νιπτῆρι βάλλει, αὐτὸς αὐτουργῶν πάντα· ἅμα μὲν τὸν Ἰούδαν ἐντρέπων, ὁμοῦ δὲ καὶ τοὺς ἄλλους μαθητὰς ὑπομιμνήσκων, μὴ τὸ πρωτεῖον ἐπιζητεῖν· καθὼς καὶ μετὰ τὸν νιπτῆρα παραινεῖ, λέγων· ὁ θέλων εἶναι πρῶτος, ἔστω πάντων ἔσχατος, ἑαυτὸν τιθεὶς εἰς ὑπόδειγμα· φαίνεται δέ, ὡς πρῶτον πάντων τὸν Ἰούδαν ἔνιψεν ὁ Χριστός, ἰταμώτερον προκαθίσαντα· ὕστερον δὲ ἐπὶ τὸν Πέτρον ἔρχεται· ὁ δὲ θερμότερος τῶν ἄλλων ὑπάρχων, τὸν διδάσκαλον ἀνακόπτει· καὶ συγχωρεῖ πάλιν σφοδρότερον· νίψας τοίνυν αὐτῶν τοὺς πόδας, καὶ

ὑψω-

ὕψωσιν παράδοξον διὰ ταπεινώσεως ὑποδεῖξαι, λαβὼν τὰ ἱμάτια πάλιν, καὶ ἀναπεσὼν, παραινεῖ αὐτοὺς ἀγαπᾷν ἀλλήλους, καὶ μὴ τὸ πρωτεῖον ἐπιζητεῖν· ἐσθιόντων δὲ αὐτῶν, καὶ τὸ περὶ τῆς προδοσίας εἰσάγει κεφάλαιον· θορυβουμένων δὲ ἐπὶ τῷ λόγῳ τῶν μαθητῶν, λέγει τῷ Ἰωάννῃ μόνῳ ἠρέμα ὁ Ἰησοῦς· ᾧ ἐγὼ βάψας τὸ ψωμίον ἐπιδώσω, ἐκεῖνός ἐστιν ὁ παραδιδούς με· εἰ γὰρ ὁ Πέτρος ᾔδει τὸν λόγον, ἅτε ὢν τῶν ἄλλων θερμότερος, τὸν Ἰούδαν διεχειρίσατο ἄν, καὶ πάλιν, ὁ ἐμβάψας μετ' ἐμοῦ ἐν τῷ τρυβλίῳ τὴν χεῖρα, ὥς τε καὶ ἀμφότεροι ἐγένοντο· εἶτα βραχύ τι διαλιπὼν, λαβὼν τὸν ἄρτον, λέγει· λάβετε, φάγετε, καὶ τὸ ποτήριον ὁμοίως, πίετε ἐξ αὐτοῦ πάντες, εἰπὼν, τοῦτό ἐστι τὸ αἷμά μου, τὸ τῆς καινῆς διαθήκης, τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· πλὴν καὶ αὐτὸς τοῦτο ποιῶν, ἤσθιε, καὶ ἔπινε μετ' αὐτῶν· μετὰ δὲ τὸ ψωμίον, εἰσῆλθεν εἰς τὸν Ἰούδαν ὁ σατανᾶς· δοκιμάζων γὰρ αὐτὸν πρότερον, νῦν παντελῶς εἰσῳκίσατο· καὶ πορευθεὶς, φησὶ, σύνθημα ἔθετο τοῖς Ἀρχιερεῦσιν, ἵνα αὐτὸν αὐτοῖς παραδῷ ἀργυρίοις τριάκοντα· οἱ δὲ μαθηταὶ μετὰ τὸν δεῖπνον ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν, εἰς χωρίον λεγόμενον Γεθσιμανῆ· μετὰ δὲ πολλὰ, λέγει αὐτοῖς ὁ Ἰησοῦς· ὑμεῖς πάντες σκανδαλισθήσεσθε ἐπ' ἐμοὶ ἐν τῇ νυκτὶ ταύτῃ· ὁ δὲ Πέτρος, ἐὰν πάντες, φησὶν, ἐγὼ οὐ μή σε ἀπαρνήσομαι, ἦν δὲ ὀψὲ, ἤτοι βαθὺ τῆς νυκτός· ὁ δὲ λέγει, πρὶν ἢ φωνῆσαι τὸν ἀλέκτορα δὶς, ἀπαρνήσῃ με τρίς· κατὰ γὰρ ἀγωγὴν ὁ ἀλέκτωρ οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς, καὶ τρὶς λέγει· ὃ δὴ καὶ ἐγένετο, δέει ἀμέτρῳ τοῦ Πέτρου ληφθέντος, τοῦ Θεοῦ τὸ ἀσθενὲς ἐνδεικνυμένου τῆς φύσεως· καὶ ἅμα ἐπεὶ τὴν οἰκουμένην αὐτῷ ἐνεχείρισεν, ἵνα ἐξ αὐτοῦ τὸ τῆς φύσεως εὐάγωγον ἐγνωκὼς, συγγνώμων εἴη τοῖς ἁμαρτάνουσι, πλὴν, ἡ τρίτη τοῦ Πέτρου ἄρνησις τὴν τῶν ἀνθρώπων πάντων ἁμαρτίαν εἰς Θεὸν ἐξεικόνιζε πρώτην, ἣν παρέβη ὁ Ἀδὰμ ἐντολήν· δευτέραν, τὴν τοῦ γραπτοῦ νόμου παράβασιν, καὶ τρίτην αὐτὴν τὴν τοῦ λόγου σάρκωσιν· ἣν ὕστερον πάλιν ὁ Σωτὴρ τριπλῇ μεταγνώσει ἰάσατο, διὰ τοῦ Πέτρε φιλεῖς με, τρισσῶς ἐξειπεῖν· μετὰ δὲ ταῦτα λέγει τοῖς μαθηταῖς, τὸ ἀνθρώπινον ἐνδεικνύμενος, ὡς φοβερὸς τοῖς πᾶσιν ὁ θάνατος. Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, καὶ μεταστὰς ὡσεὶ λίθου βολὴν, προσηύχετο, ἐκ τρίτου εἰπὼν, Πάτερ μου, εἰ οὐ δύναται τὸ ποτήριον τοῦτο παρελθεῖν ἀπ' ἐμοῦ, ἐὰν μὴ αὐτὸ πίω, γενηθήτω τὸ θέλημά σου, καὶ αὖθις, Πάτερ, εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἅμα μὲν ὡς ἄνθρωπος τοῦτο λέγων, ἅμα δὲ καὶ τὸν διάβολον μετερχόμενος τεχνηέντως, ὡς ἂν νομίζων κἀκεῖνον ἄνθρωπον εἶναι διὰ τὸ δῆθεν φοβεῖσθαι, μὴ τὸ διὰ τοῦ θανάτου τοῦ Σταυροῦ ἀνακόψῃ μυστήριον· ἐπανελθὼν δὲ, καὶ εὑρὼν τοὺς μαθητὰς ὕπνῳ βεβαπτισμένους, πρὸς τὸν Πέτρον ἀποτείνεται, οὕτω λέγων. Οὐδὲ μίαν ὥραν ἰσχύσατε γρηγορῆσαι, καὶ ἀγρυπνῆσαι μετ' ἐμοῦ; οἱονεὶ, σὺ ὁ λέγων μέχρι θανάτου διαγωνίσασθαι, οὕτως ὑπνώττεις μετὰ τῶν λοιπῶν; διελθὼν δὲ πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ἔνθα ἦν κῆπος, ηὐλίσθη ἐκεῖ μετὰ τῶν μαθητῶν, συνεχῶς δὲ ἐκεῖσε παραβάλλειν εἰώθει· διὸ καὶ ὁ Ἰούδας ᾔδει τὸν τόπον, ὃς τινὰς τῶν τῆς σπείρας λαβὼν, καὶ ὄχλου ἐπακολουθοῦντος, ἦλθεν ἐπὶ τὸν Ἰησοῦν, δοὺς αὐτοῖς τὸ τοῦ φιλήματος σύμβολον, τοῦτο δὲ εἶπε, διότι πολλάκις κρατηθεὶς, ἀφανὴς ἐκ μέσου αὐτῶν διήρχετο· ὥστε καὶ ἐνταῦθα αὐτὸς ὁ Χριστὸς πρῶτος ἔξεισι πρὸς αὐτοὺς λέγων· τίνα ζητεῖτε; οἱ δὲ αὐτὸν καὶ ἔτι ἠγνόουν· οὐ γὰρ ἡ νὺξ ἐμποδὼν καθίστατο, φανοὶ γὰρ ἦσαν, φησὶ, καὶ λαμπάδες ἁπτόμεναι· καὶ τῷ δέει καταπεσόντες, ἀνεχώρησαν· καὶ πάλιν ἐλθοῦσιν αὐτὸς ἀπεκρίνατο· τοῦ δὲ Ἰούδα πεποιηκότος τὸ σύνθημα, ὁ Χριστὸς λέγει, ἑταῖρε, ἐφ' ᾧ πάρει, οἱονεὶ, δι' ὃ ἦλθες Ἰούδα, εὔκαιρόν ἐστι· καὶ αὖθις λέγει, ὡς ἐπὶ λῃστὴν ἐξήλθετε μετὰ μαχαιρῶν, καὶ ξύλων συλλαβεῖν με; ἐν νυκτὶ δὲ παρεγένοντο, ἵνα μήτις στάσις ὑπὸ τοῦ ὄχλου γένηται, τότε ὁ θερμότατος Πέτρος σπασάμενος μάχαιραν, ἀπὸ δείπνου γὰρ ἦσαν, καὶ πρὸς τὰ αὐτὰ δὴ παρεσκευασμένοι, τὸν τοῦ Ἀρχιερέως δοῦλον, Μάλχον ὄνομα, πατάξας, τὸ δεξιὸν οὖς ἀπέκοψεν· αἰνιττομένου τοῦ λόγου, ὅτι ὁ Ἀρχιερεὺς οὐ καλῶς τὸν νόμον ἤκουε, καὶ ἐδίδασκεν· ἐντρέπει οὖν τὸν Πέτρον ὁ Χριστὸς, μὴ καλὸν εἶναι ἀκούσαντα τὸν πνευματικὸν ἄνδρα μαχαίρᾳ χρῆσθαι· ὁ δὲ τοῦ Μάλχου τὸ ὠτίον ἰᾶται· συλλαβόντες δὲ τὸν Ἰησοῦν, δέσμιον ἄγουσιν ἐπὶ τὴν αὐλὴν τοῦ Ἀρχιερέως Ἄννα, ὃς ἦν πενθερὸς τοῦ Καϊάφα, ἐκεῖ γὰρ ἦσαν ἅπαντες συνηγμένοι, οἱ κατὰ Χριστοῦ φρονοῦντες Φαρισαῖοι, καὶ γραμματεῖς· ἐντεῦθεν τὰ κατὰ τὸν Πέτρον καὶ τῆς παιδίσκης ἡ αὐτοῦ ἄρνησις γίνεται· καὶ τῆς νυκτὸς ἐν τῷ μεταξὺ δαπανηθείσης, ὁ ἀλέκτωρ ἐφώνησεν ἐκ τρίτου, ὁ δὲ μνησθεὶς ἔκλαυσε πικρῶς, καὶ τοῦ καιροῦ ἤδη πρὸς ὄρθρον ἐληλακότος ἀπὸ τοῦ Ἄννα πρὸς τὸν ἀρχιερέα Καϊάφαν τὸν Χριστὸν ἄγουσιν, ὅπου καὶ ἐμπτυσμοὺς ἔλαβε, καὶ ψευδομάρτυρες ἐκλήθησαν· καὶ διαυγαζούσης ἡμέρας, πρὸς τὸν Πιλάτον αὐτὸν ἀποστέλλει ὁ Καϊάφας· οἱ δὲ ἀγαγόντες αὐτὸν, φησὶν, οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, ἵνα μὴ μιανθῶσιν, ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα· συνάγεται οὖν· ὡς παράνομον ἴσως οἱ Ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι τότε ἔπραξαν, μεταθέμενοι τὸ Πάσχα, ὡς φησὶν ὁ θεῖος Χρυσόστομος· κατὰ τὴν νύκτα γὰρ ἐκείνην, ἔδει αὐτοὺς αὐτὸ φαγεῖν, ἀλλὰ διὰ τὸν τοῦ Χριστοῦ φόνον, ὑ-

περέ-

προέθεντο· ὅτι δὲ τότε ἐχρῆν αὐτὸ φαγεῖν, ἐδή-
λωσεν ὁ Χριστὸς, πρὸ τοῦ δείπνου νυκτὸς φαγὼν,
εἶτα μυήσας τὰ τελειότερα· καὶ γὰρ ἐν τῷ νομικῷ
τύπῳ ἔδει, ὡς εἴρηται, ἐπιγενέσθαι καὶ τὴν ἀλή-
θειαν· ὁ γὰρ Ἰωάννης, πρὸ τῆς ἑορτῆς, φησὶ, τοῦ
Πάσχα ταῦτα πάντα γεγονότα κατὰ τὴν πέμπτην,
καὶ τὴν νύκτα αὐτῆς, διὰ τοῦτο καὶ ἡμεῖς ἑορτά-
ζομεν, μνείαν τῶν φοβερῶν, καὶ ἀρρήτων ἔργων ἐ-
κείνων, καὶ πράξεων, μετὰ δέους ποιούμενοι. Τῇ
ἀφάτῳ σου Εὐσπλαγχνίᾳ Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέη-
σον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ'. ὁ Εἱρμός.

ΟἹ παῖδες ἐν Βαβυλῶνι καμίνου φλόγα οὐκ
ἔπτηξαν, ἀλλ' ἐν μέσῳ φλογὸς ἐμβληθέν-
,, τες, δροσιζόμενοι ἔψαλλον, εὐλογητὸς εἶ Κύριε,
,, ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ΝΕυστάζων, κάρον Ἰούδας, κακὰ προβλέπων,
ἐκίνησεν, εὐκαιρίαν ζητῶν παραδοῦναι τὸν
κριτὴν εἰς κατάκρισιν, ὃς πάντων ἐστὶ Κύριος, καὶ
Θεὸς πατέρων ἡμῶν.

ὙΜῶν, ὁ Χριστὸς τοῖς φίλοις ἐβόα, εἷς παραδώ-
σει με· εὐφροσύνης λαθόντες, ἀγωνίᾳ καὶ
φόβῳ συνείχοντο, τίς οὗτος; φράσον, λέγοντες,
ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

ΜΕθ' ὅς τις ἐμοῦ τὴν χεῖρα τρυβλίῳ βάλ-
λει θρασύτητι, τούτῳ πλὴν καλὸν ἦν,
πύλας βίου περάσαι μηδέ ποτε· τοῦτον, ὃς ἦν,
ἐδήλου δὲ ὁ Θεὸς τῶν πατέρων ἡμῶν.

Ὠδὴ η'. ὁ Εἱρμός.

ΝΌμων πατρῴων οἱ μακαριστοὶ ἐν Βαβυλῶνι
νέοι προκινδυνεύοντες, βασιλεύοντος κα-
,, τέπτυσαν προσταγῆς ἀλογίστου· καὶ συνημμένοι,
,, ᾧ οὐκ ἐχωνεύθησαν πυρὶ, τοῦ κρατοῦντος ἐπά-
,, ξιον ἀνέμελπον τὸν ὕμνον, τὸν Κύριον ὑμνεῖτε
,, τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΟἹ δαιτυμόνες οἱ μακαριστοὶ ἐν τῇ Σιὼν τῷ
λόγῳ προσκαρτερήσαντες, οἱ Ἀπόστολοι πα-
ρείποντο τῷ ποιμένι ὡς ἄρνες, καὶ συνημμένοι,
ᾧ οὐκ ἐχωρίσθησαν Χριστῷ, Θείῳ λόγῳ τρεφό-
μενοι, εὐχαρίστως ἐβόων· τὸν Κύριον ὑμνεῖτε τὰ
ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ΝΌμου φιλίας ὁ δυσώνυμος Ἰσκαριώτης γνώ-
μῃ ἐπιλαθόμενος, οὓς ἐνίψατο, ηὐτρέπισε
πρὸς προδοσίαν πόδας· καὶ σοῦ ἐσθίων ἄρτον,
σῶμα θεῖον, ἐπῆρε πτερνισμὸν ἐπὶ σὲ, Χριστὲ,
καὶ βοᾶν οὐ συνῆκε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔρ-
γα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

ἘΔεξιοῦτο τὸ λυτήριον τῆς ἁμαρτίας σῶμα ὁ ἀ-
συνείδητος, καὶ τὸ αἷμα τὸ χεόμενον ὑπὲρ
Κόσμου τὸ θεῖον, ἀλλ' οὐκ ᾔδειτο πίνων, ὃ ἐ-
πίπρασκε τιμῆς· οὐ κακίᾳ προσώχθισε, καὶ βοᾶν
οὐ συνῆκε· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑ-
περυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. ὁ Εἱρμός.

ΞΕνίας δεσποτικῆς, καὶ ἀθανάτου τραπέζης ἐν
ὑπερῴῳ τόπῳ ταῖς ὑψηλαῖς φρεσὶ, πιστοὶ,
δεῦτε ἀπολαύσωμεν, ἐπαναβεβηκότα λόγον
ἐκ τοῦ λόγου μαθόντες, ὃν μεγαλύνομεν.

ἌΠιτε, τοῖς μαθηταῖς ὁ Λόγος ἔφη, τὸ Πά-
σχα ἐν ὑπερῴῳ τόπῳ, ᾧ νοῦς ἐνίδρυται,
οἷς μυσταγωγῶ σκευάσατε ἀζύμῳ ἀληθείας
λόγῳ, τὸ στερρὸν δὲ τῆς χάριτος μεγαλύνατε.

ΔΗμιουργὸν ὁ Πατὴρ πρὸ τῶν αἰώνων σοφίαν
γεννᾷ ἀρχὴν ὁδῶν με εἰς ἔργα ἔκτισε τὰ
νῦν μυστικῶς τελούμενα· Λόγος μὲν ἄκτιστος ὢν
φύσει, τὰς φωνὰς οἰκειοῦμαι, ἣν νῦν προσείληφα.

ὩΣ ἄνθρωπος ὑπάρχων οὐσίᾳ, οὐ φαντασίᾳ,
οὕτω Θεὸς τῷ τρόπῳ τῆς ἀντιδόσεως ἡ φύ-
σις ἡ ἑνωθεῖσα μοι· Χριστὸν ἕνα διό με γνῶτε,
τὰ ἐξ ὧν ἐν οἷς, ἅπερ πέφυκα, σώζοντα.

Ἐξαποστειλάριον ἐκ τρίτου.

ΤΟν νυμφῶνα σου βλέπω, Σωτήρ μου, κεκοσ-
μημένον, καὶ ἔνδυμα οὐκ ἔχω, ἵνα εἰσέλθω
ἐν αὐτῷ· λάμπρυνόν μου τὴν στολὴν τῆς ψυ-
χῆς, φωτοδότα, καὶ σῶσόν με.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχους δ'.

Καὶ ψάλλομεν στιχηρὰ ἰδιόμελα, τοὺς δ'.

δευτέρους· ἦχος β'.

ΣΥντρέχει λοιπὸν τὸ συνέδριον τῶν Ἰουδαίων,
ἵνα τὸν δημιουργὸν, καὶ κτίστην τῶν ἁπάν-
των Πιλάτῳ παραδώσῃ· ὢ τῶν ἀνόμων, ὢ τῶν
ἀπίστων· ὅτι τὸν ἐρχόμενον κρῖναι ζῶντας καὶ νε-
κροὺς εἰς κρίσιν εὐτρεπίζουσι· τὸν ἰώμενον τὰ
πάθη πρὸς πάθος ἑτοιμάζουσι· Κύριε μακρό-
θυμε, μέγα σου τὸ ἔλεος, δόξα σοι.

Ἦχος ὁ αὐτός.

ἸΟύδας ὁ παράνομος, Κύριε, ὁ βάψας ἐν τῷ
δείπνῳ τὴν χεῖρα ἐν τῷ τρυβλίῳ μετὰ σοῦ,
ἐξέτεινεν ἀνόμως τὰς χεῖρας τοῦ λαβεῖν ἀργύ-
ρια· καὶ ὁ τοῦ μύρου λογισάμενος τιμὴν, σὲ τὸν
ἀτίμητον οὐκ ἔφριξε πωλῆσαι· ὁ τοὺς πόδας ὑ-
φαπλώσας ἐπὶ τὸ νίψαι τὸν δεσπότην, κατε-
φίλησε δολίως, εἰς τὸ προδοῦναι τοῖς ἀνόμοις·
χοροῦ δὲ Ἀποστόλων ῥιφεὶς, καὶ τὰ τριάκοντα ῥίψας
ἀργύρια, σοῦ τὴν τριήμερον ἀνάστασιν οὐκ εἶδε,
δι' ἧς ἐλέησον ἡμᾶς.

Ἦχος ὁ αὐτός.

ἸΟύδας ὁ προδότης δόλιος ὢν, δολίῳ φιλή-
ματι παρέδωκε τὸν Σωτῆρα Κύριον· τὸν δε-
σπότην τῶν ἁπάντων, ὡς δοῦλον πέπρακε τοῖς
Ἰουδαίοις· ὡς πρόβατον ἐπὶ σφαγὴν οὕτως ἠκο-
λούθει ὁ ἀμνὸς, ὁ τοῦ Θεοῦ, ὁ υἱὸς ὁ τοῦ Πατρὸς,
ὁ μόνος πολυέλεος.

Ἦχος ὁ αὐτός.

ἸΟύδας ὁ δοῦλος καὶ δόλιος. ὁ μαθητὴς καὶ
ἐπίβουλος, ὁ φίλος καὶ διάβολος ἐκ τῶν
ἔργων ἀπεφάνθη· ἠκολούθει γὰρ τῷ διδασκάλῳ,
καὶ καθ' ἑαυτὸν ἐμελέτησε τὴν προδοσίαν· ἔλε-

γεν

γὴν ἐν ἑαυτῷ, παραδώσω τοῦτον, καὶ κερδήσω τὰ συναχθέντα χρήματα· ἐπεζήτει δὲ καὶ τὸ μύρον πραθῆναι, καὶ τὸν Ἰησοῦν δόλῳ κρατηθῆναι, ἀπέδωκεν ἀσπασμὸν, παρέδωκε τὸν Χριστόν· καὶ ὡς πρόβατον ἐπὶ σφαγὴν, οὕτως ἠκολούθει ὁ μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

Δόξα. Καὶ νῦν, ἦχος ὁ αὐτός.

ΟΝ ἐκήρυξεν ἀμνὸν Ἡσαΐας, ἔρχεται ἐπὶ σφαγὴν ἑκούσιον, καὶ τὸν νῶτον δίδωσιν εἰς μάστιγας, τὰς σιαγόνας εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπον οὐκ ἀπεστράφη ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· θανάτῳ δὲ ἀσχήμονι καταδικάζεται, πάντα ὁ ἀναμάρτητος, ἵνα ἑκουσίως καταδέχεται ἵνα πᾶσι δωρήσηται τὴν ἐκ νεκρῶν ἀνάστασιν.

Εἰς τὸν στίχ. στιχηρ. ἰδιόμ. τοὺς πλ. δ'. Λέγοντες καὶ τοὺς στίχ. αὐτῶν· ἦχος πλ. δ'.

ΣΗμερον τὸ κατὰ τοῦ Χριστοῦ πονηρὸν συνήχθη συνέδριον, καὶ κατ' αὐτοῦ κενὰ ἐβουλεύσατο, παραδοῦναι Πιλάτῳ εἰς θάνατον τὸν ἀναίτιον· σήμερον τὴν τῶν χρημάτων ἀγχόνην Ἰούδας ἑαυτῷ περιτίθησι, καὶ στερεῖται κατ' ἄμφω ζωῆς προσκαίρου, καὶ θείας· σήμερον Καϊάφας ἄκων προφητεύει, συμφέρει, λέγων, ὑπὲρ τοῦ λαοῦ ἕνα ἀπολέσθαι· ἦλθε γὰρ ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν τοῦ παθεῖν, ἵνα ἡμᾶς ἐλευθερώσῃ ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ, ὡς ἀγαθὸς, καὶ φιλάνθρωπος.

Στίχ. Ὁ ἐσθίων ἄρτους μου, ἦχος ὁ αὐτός.

ΣΗμερον ὁ Ἰούδας τὸ τῆς φιλοπτωχίας κρύπτει προσωπεῖον, καὶ τῆς πλεονεξίας ἀνακαλύπτει τὴν μορφήν· οὐκέτι τῶν πενήτων φροντίζει· οὐκέτι τὸ μύρον πιπράσκει τὸ τῆς ἁμαρτωλοῦ, ἀλλὰ τὸ οὐράνιον μύρον, καὶ ἐξ αὐτοῦ νοσφίζεται τὰ ἀργύρια· τρέχει πρὸς Ἰουδαίους, λέγει τοῖς παρανόμοις, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ὢ φιλαργυρείας προδότου, εὔωνον ποιεῖται τὴν πρᾶσιν, πρὸς τὴν γνώμην τῶν ἀγοραζόντων τοῦ πωλουμένου τὴν πραγματείαν ποιεῖται· οὐκ ἀκριβολογεῖται πρὸς τὴν τιμὴν, ἀλλ' ὡς δοῦλον φυγάδα ἀπεμπολεῖ· ἔθος γὰρ τοῖς κλέπτουσι ῥίπτειν τὰ τίμια· νῦν ἔβαλε τὰ ἅγια τοῖς κυσὶν ὁ μαθητής· ἡ γὰρ λύσσα τῆς φιλαργυρείας κατὰ τοῦ ἰδίου δεσπότου μαίνεσθαι ἐποίησεν αὐτὸν, ἧς τὴν πεῖραν φύγωμεν, κράζοντες· μακρόθυμε Κύριε, δόξα σοι.

Στίχ. Ἐξεπορεύετο ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό· ἦχος ὁ αὐτός.

Ὁ Τρόπος σου δολιότητος γέμει, παράνομε Ἰούδα. νοσῶν γὰρ φιλαργυρείαν, ἐκέρδησας μισανθρωπίαν· εἰ γὰρ πλοῦτον ἠγάπας, τί παρὰ πτωχείαν διδάσκοντι ἐφοίτας; εἰ δὲ καὶ ἐφίλεις, ἵνα τί ἐπώλεις τὸν ἀτίμητον, προδιδοὺς εἰς μιαιφονίαν; φρίξον ἥλιε, στέναξον ἡ γῆ· καὶ κλονουμένη βόησον, ἀνεξίκακε Κύριε, δόξα σοι.

Στίχ. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ, ἦχος ὁ αὐτός.

ΜΗδεὶς, ὦ πιστοὶ, τοῦ δεσποτικοῦ δείπνου ἀμύητος, μηδεὶς ὡς ὁ Ἰούδας δολίως προσίτω τῇ τραπέζῃ· ἐκεῖνος γὰρ τὸν ψωμὸν δεξάμενος κατὰ τοῦ ἄρτου ἐχώρησε, σχήματι μὲν ὢν μαθητὴς, πράγματι δὲ παρὼν φονευτής· τοῖς μὲν Ἰουδαίοις συναγαλλόμενος, τοῖς δὲ Ἀποστόλοις συναυλιζόμενος· μισῶν ἐφίλει, φιλῶν ἐπώλει τὸν ἐξαγοράσαντα ἡμᾶς τῆς κατάρας, τὸν Θεὸν, καὶ Σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Δόξα, ἦχος πλ. δ'. Ὁ τρόπος σου δολιότητος γέμει· ζήτει ἄνωθεν.

Καὶ νῦν, ἦχος πλ. α'.

ΜΥσταγωγῶν σου, Κύριε, τοὺς μαθητὰς ἐδίδασκες λέγων· ὦ φίλοι, ὁρᾶτε, μηδεὶς ὑμᾶς χωρίσει μου φόβος· εἰ γὰρ πάσχω, ἀλλ' ὑπὲρ τοῦ Κόσμου· μὴ οὖν σκανδαλίζεσθε ἐν ἐμοί· οὐ γὰρ ἦλθον διακονηθῆναι, ἀλλὰ διακονῆσαι, καὶ θεῖναι τὴν ψυχήν μου λύτρον ὑπὲρ τοῦ Κόσμου· εἰ οὖν ὑμεῖς φίλοι μου ἐστὲ, ἐμὲ μιμεῖσθε· ὁ θέλων πρῶτος εἶναι, ἔστω ἔσχατος· ὁ δεσπότης, ὡς ὁ διάκονος· μείνατε ἐν ἐμοὶ, ἵνα βότρυν φέρητε· ἐγὼ γὰρ εἰμὶ τῆς ζωῆς ἡ ἄμπελος.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι.

Συνάπτομεν καὶ τὴν πρώτην ὥραν.

Ἐν ᾗ λέγομεν καὶ τὸ τροπάριον τῆς προφητείας· ἦχος γ'.

Ὁ Ῥαπισθεὶς ὑπὲρ γένους ἀνθρώπων· καὶ μὴ ὀργισθεὶς, ἐλευθέρωσον ἐκ φθορᾶς τὴν ζωὴν ἡμῶν, Κύριε, καὶ σῶσον ἡμᾶς.

Προκείμενον ἦχος α'.

Γνώτωσαν ἔθνη, ὅτι ὄνομά σοι Κύριος.

Στίχ. Ὁ Θεὸς τίς ὁμοιωθήσεταί σοι;

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα.

ΚΥριε γνώρισόν μοι, καὶ γνώσομαι· τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν, ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων· ἐπ' ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι. Κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν, ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου· διὰ τοῦτο τάδε λέγει Κύριος· ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας, οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνόματι Κυρίου, εἰ δὲ μὴ, ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ' αὐτούς· οἱ νεανίσκοι αὐτῶν, ἐν μαχαίρᾳ ἀποθανοῦνται, καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ·

Digitized by Google

λιμῷ, καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν· ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν. Δίκαιος εἶ Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθηνήσαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτοὺς, καὶ ἐρριζώθησαν· ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν· καὶ σὺ Κύριε γινώσκεις με, δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν, ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινὰ, ὅτι εἶπαν, οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν· σοῦ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε. Συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν· ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου, ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον, ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας. Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου Ἰσραήλ· ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν, καὶ τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν· καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτοὺς, καὶ κατοικιῶ αὐτοὺς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

Προκείμενον, ἦχος πλ. δ'.

**Εὔξασθε, καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν.**

Στίχ. **Γνωστὸς ἐν τῇ Ἰουδαίᾳ ὁ Θεὸς, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα.**

*Δεῖ γινώσκειν, ὅτι ἡ ἐν τῷ Νάρθηκι λιτὴ σχολάζει ἕως τῇ κυριακῇ τοῦ ἀντιπάσχα. Αἱ δὲ λοιπαὶ ὧραι ψάλλονται τρίψαλμοι λιτῶς.*

*Τῇ ἁγίᾳ, καὶ μεγάλῃ πέμπτῃ ἑσπέρας εἰς τὸ λυχνικὸν σημαίνει ὥρα η'. Καὶ εὐλογήσαντος τοῦ Ἀρχιερέως, ἢ τοῦ Ἱερέως, ἀρχόμεθα τοῦ λυχνικοῦ. Μετὰ δὲ τὸν προοιμιακὸν ψαλμὸν γίνεται συναπτή.*

Τὸ, **Κύριε ἐκέκραξα** εἰς ἦχον β' Ἱστῶμεν στίχ. ι. Καὶ ψάλλομεν στιχηρ. ἰδιόμ. ἅπερ εἴπομεν τὸ πρωῒ ἑ. Δευτεροῦντες αὐτὰ, ἦχος β'. **Συντρέχει λοιπόν. Ἰούδας ὁ παράνομος Κύριε. Ἰούδας ὁ προδότης δόλιος ὤν. Ἰούδας ὁ δοῦλος, καὶ δόλιος. Ὃν ἐκήρυξεν ἀμνὸν Ἡσαΐας.**

**Δόξα. Καὶ νῦν**, ἦχος πλ. β'.

Γέννημα ἐχιδνῶν ἀληθῶς ὁ Ἰούδας, φαγόντων τὸ μάννα ἐν τῇ ἐρήμῳ, καὶ γογγυζόντων κατὰ τοῦ τροφέως· ἔτι γὰρ τῆς βρώσεως οὔσης ἐν στόματι αὐτῶν κατελάλουν τοῦ Θεοῦ οἱ ἀχάριστοι· καὶ οὗτος ὁ δυσσεβὴς τὸν οὐράνιον ἄρτον ἐν τῷ στόματι βαστάζων, κατὰ τοῦ Σωτῆρος τὴν προδοσίαν εἰργάσατο· ὢ γνώμης ἀκορέστου, καὶ τόλμης ἀπανθρώπου· τὸν τρέφοντα ἐπώλει, καὶ ὃν ἐφίλει, Δεσπότην παρεδίδου εἰς θάνατον· ὄντως ἐκείνων υἱὸς ὁ παράνομος, καὶ σὺν αὐτοῖς τὴν ἀπώλειαν ἐκληρώσατο· ἀλλὰ φεῖσαι, Κύριε, τοιαύτης ἀπανθρωπίας τὰς ψυχὰς ἡμῶν, ὁ μόνος ἐν μακροθυμίᾳ ἀνείκαστος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν.

Ἑσπέρας προκείμενον, ἦχος α'.

Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ.

Στίχ. Οἵτινες ἐλογίσαντο ἀδικίαν.

Τῆς ἐξόδου τὸ ἀνάγνωσμα.

Εἶπε δὲ Κύριος πρὸς Μωσῆν· καταβὰς διαμάρτυραι τῷ λαῷ, καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια, καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ, ἐναντίον παντὸς τοῦ λαοῦ· καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ, λέγων· προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος, καὶ θίγειν τί αὐτοῦ· πᾶς ὁ ἁψάμενος τοῦ ὄρους, θανάτῳ τελευτήσει· οὐχ ἅψεται αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται, ἢ βολίδι κατατοξευθήσεται· ἐάν τε κτῆνος, ἐάν τε ἄνθρωπος, οὐ ζήσεται· ὅταν αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος· κατέβη δὲ Μωϋσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν, καὶ ἡγίασεν αὐτούς· καὶ ἔπλυναν τὰ ἱμάτια· καὶ εἶπε τῷ λαῷ· γίνεσθε ἕτοιμοι, τρεῖς ἡμέρας μὴ προσέλθητε γυναικί· ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον, καὶ ἐγένοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ' ὄρους Σινά· φωνὴ τῆς σάλπιγγος ἤχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαὸς, ὁ ἐν τῇ παρεμβολῇ· καὶ ἐξήγαγε Μωϋσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς· καὶ παρέστησαν ὑπὸ τὸ ὄρος· τὸ ὄρος τὸ Σινὰ ἐκαπνίζετο ὅλον, διὰ τὸ καταβεβηκέναι ἐπ' αὐτὸ τὸν Θεὸν ἐν πυρί· καὶ ἀνέβαινεν ὁ καπνὸς, ὡσεὶ καπνὸς καμίνου· καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα· ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα. Μωϋσῆς ἐλάλησεν, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ.

Προκείμενον, ἦχος βαρύς.

Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός.

Στίχ. Ῥῦσαί με ἐκ τῶν ἐργαζομένων τὴν ἀνομίαν.

Ἰὼβ τὸ ἀνάγνωσμα.

Εἶπεν ὁ Κύριος τῷ Ἰὼβ διὰ λαίλαπος καὶ νεφῶν· τίς οὗτος ὁ κρύπτων με βουλήν, συνέχων δὲ ῥήματα ἐν καρδίᾳ, ἐμὲ δὲ οἴεται κρύπτειν; ζῶσαι ὥσπερ ἀνὴρ τὴν ὀσφύν σου· ἐρωτήσω δέ σε, σὺ δέ μοι ἀποκρίθητι· ποῦ ἦς ἐν τῷ θεμε-

λιοῦ μου τὴν γῆν; ἀνάγγειλον δέ μοι εἰ ἐπίστῃ σύνεσιν· τίς ἔθετο τὰ μέτρα αὐτῆς, εἰ οἶδας; ἢ τίς ὁ ἐπαγαγὼν σπαρτίον ἐπ' αὐτῆς; ἐπὶ τίνος οἱ κρίκοι αὐτῆς πεπήγασι; τίς δέ ἐστιν ὁ βαλὼν λίθον γωνιαῖον ἐπ' αὐτῆς, ὅτε ἐγενήθησαν ἄστρα; ᾔνεσάν με φωνῇ μεγάλῃ πάντες ἄγγελοί μου· ἔφραξα δὲ θάλασσαν πύλαις, ὅτε ἐμαίμασσεν ἐκ κοιλίας μητρὸς αὐτῆς ἐκπορευομένη; ἐθέμην δὲ αὐτῇ νέφος ἀμφίασιν, ὁμίχλῃ δὲ αὐτὴν ἐσπαργάνωσα· ἐθέμην δὲ αὐτῇ ὅρια, περιθεὶς κλεῖθρα καὶ πύλας· εἶπα δὲ αὐτῇ· μέχρι τούτου ἐλεύσῃ, καὶ οὐχ ὑπερβήσῃ, ἀλλ' ἐν σεαυτῇ συντριβήσεταί σου τὰ κύματα· ἢ ἐπὶ σοῦ συντέταχα φέγγος πρωϊνόν; ἑωσφόρος δὲ εἶδεν τὴν ἑαυτοῦ τάξιν; ἐπιλαβέσθαι πτερύγων γῆς, ἐκτινάξαι ἀσεβεῖς ἐξ αὐτῆς; ἢ σὺ λαβὼν γῆν πηλὸν, ἔπλασας ζῶον, καὶ λαλητὸν αὐτὸν ἔθου ἐπὶ γῆς; ἀφεῖλες δὲ ἀπὸ ἀσεβῶν τὸ φῶς, βραχίονα δὲ ὑπερηφάνων συνέτριψας; ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν; νενουθέτησαι δὲ τὸ εὖρος τῆς ὑπ' οὐρανόν; ἀνάγγειλον δή μοι, πόση τίς ἐστι; ποίᾳ δὲ γῇ αὐλίζεται τὸ φῶς; σκότους δὲ ποῖος ὁ τόπος; εἰ ἀγάγοις με εἰς ὅρια αὐτῶν, εἰ δὲ καὶ ἐπίστασαι τρίβους αὐτῶν· οἶδα ἄρα ὅτι τότε γεγέννησαι, ἀριθμὸς δὲ ἐτῶν σου πολύς; Ὑπολαβὼν δὲ Ἰὼβ λέγει τῷ Κυρίῳ· οἶδα ὅτι πάντα δύνασαι, ἀδυνατεῖ δέ σοι οὐδέν· τίς γάρ ἐστιν ὁ κρύπτων σε βουλήν; φειδόμενος δὲ ῥημάτων, καὶ σὲ οἴεται κρύπτειν; τίς δὲ ἀναγγελεῖ μοι ἃ οὐκ ᾔδειν, μεγάλα καὶ θαυμαστὰ, ἃ οὐκ ἐπιστάμην; ἄκουσον δέ μου Κύριε, ἵνα κἀγὼ λαλήσω· ἐρωτήσω δέ σε, σὺ δέ με δίδαξον· ἀκοὴν μὲν ὠτὸς, ἤκουόν σου τὸ πρότερον, νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε.

Ἀνάγνωσμα γ΄. Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Κύριος Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι ἡνίκα δεῖ εἰπεῖν λόγον· ἔθηκέ με πρωῒ, προσέθηκέ μοι ὠτίον ἀκούειν, καὶ ἡ παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα, ἐγὼ δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων· καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου ὡς στερεὰν πέτραν, καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ, ὅτι ἐγγίζει ὁ δικαιώσας με· τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι· ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς, ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς· τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ· οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ· ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε· δι' ἐμὲ ἐγένετο ταῦτα ὑμῖν, ἐν λύπῃ κοιμηθήσεσθε.

Συναπτὴ μικρά. Τὸ Τρισάγιον. Προκείμενον τοῦ Ἀποστόλου· ἦχος βαρύς.

Οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.

Στίχ. Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοί.

Ὁ Ἀπόστολος πρὸς Κορινθίους α΄.

Ἀδελφοὶ, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, ὃ καὶ παρέδωκα ὑμῖν· ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ, ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας, ἔκλασε, καὶ εἶπε· λάβετε, φάγετε, τοῦτό μου ἐστὶ τὸ σῶμα, τὸ ὑπὲρ ὑμῶν κλώμενον· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὡσαύτως καὶ τὸ ποτήριον μετὰ τὸ δειπνῆσαι λέγων· τοῦτο τὸ ποτήριον ἡ καινὴ διαθήκη ἐστὶν ἐν τῷ ἐμῷ αἵματι· τοῦτο ποιεῖτε ὁσάκις ἂν πίνητε, εἰς τὴν ἐμὴν ἀνάμνησιν· ὁσάκις γὰρ ἂν ἐσθίητε τὸν ἄρτον τοῦτον, καὶ τὸ ποτήριον τοῦτο πίνητε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε, ἄχρις οὗ ἂν ἔλθῃ· ὥστε ὃς ἂν ἐσθίῃ τὸν ἄρτον τοῦτον, ἢ πίνῃ τὸ ποτήριον τοῦ Κυρίου ἀναξίως, ἔνοχος ἔσται τοῦ σώματος, καὶ τοῦ αἵματος τοῦ Κυρίου· δοκιμαζέτω δὲ ἄνθρωπος ἑαυτὸν, καὶ οὕτως ἐκ τοῦ ἄρτου ἐσθιέτω, καὶ ἐκ τοῦ ποτηρίου πινέτω· ὁ γὰρ ἐσθίων, καὶ πίνων ἀναξίως, κρίμα ἑαυτῷ ἐσθίει, καὶ πίνει, μὴ διακρίνων τὸ σῶμα τοῦ Κυρίου· διὰ τοῦτο ἐν ὑμῖν πολλοὶ ἀσθενεῖς, καὶ ἄῤῥωστοι, καὶ κοιμῶνται ἱκανοί· εἰ γὰρ ἑαυτοὺς διεκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα· κρινόμενοι δὲ, ὑπὸ Κυρίου παιδευόμεθα, ἵνα μὴ σὺν τῷ Κόσμῳ κατακριθῶμεν.

Ἀλληλουϊάριον· ἦχος πλ. β΄.

Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν, καὶ πένητα, ἐν ἡμέρᾳ πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος.

Στίχ. Οἱ ἐχθροί μου εἶπον κακά μοι, πότε ἀποθανεῖται, καὶ ἀπολεῖται τὸ ὄνομα.

Στίχ. Ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν.

Εὐαγγέλιον κατὰ Ματθαῖον Εἶπεν ὁ Κύριος, οἴδατε, ὅτι μετὰ δύο ἡμέρας· καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ, καὶ τοῦ κοινωνικοῦ, καὶ τοῦ πληρωθήτω, λέγομεν τὸ παρὸν τοῦτο.

Ἦχος πλ. β΄. Ἐκ τρίτου.

Τοῦ δείπνου σου τοῦ μυστικοῦ σήμερον, υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε, οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.

Τοῦτο λέγεται πολλάκις εἰς τὸ κοινωνικὸν μέχρις

ἂν

Digitized by Google

ἂν οἱ ἀδελφοὶ μετάσχωσι τῶν ἁγίων μυστηρίων. Μετὰ δὲ τὴν ὀπισθάμβωνον εὐχὴν γίνεται ὁ νιπτὴρ, καὶ ἡ αὐτοῦ ἀκολουθία, καθὰ δηλοῖ τὸ τυπικόν. Εἶτα δίδοται τὸ κατακλαστὸν, καὶ ἀπόλυσις. Εἰς δὲ τὴν τράπεζαν μεταλαμβάνομεν οἴνου, καὶ ἐλαίου. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις. Ἕτερα στιχηρὰ ἰδιόμελα τοῦ νιπτῆρος, ἦχος α.

Ο Λεντίῳ ζωσάμενος, καὶ νίψας τοὺς πόδας τῶν μαθητῶν, Χριστὲ ὁ Θεὸς, ἀπόπλυνον ἡμῶν τῆς ψυχῆς τὸν λογισμὸν, καὶ περίζωσον ἡμᾶς συνδέσμῳ πνευματικῷ, τοῦ ποιεῖν τὰς ἐντολὰς τῆς σῆς ἀγαθότητος.

Ἦχος β'.

ΜΕγάλης εὐεργεσίας ἀπολαύειν μέλλοντες οἱ πιστοὶ, εὐλαβῶς τῷ τιμίῳ νιπτῆρι προσδράμωμεν, οὐ σαρκὸς ῥύπον ἀποπλύνοντες, τὰς ψυχὰς δὲ μυστικῶς ἁγιάζοντες. Χριστὸς γὰρ ὁ Σωτὴρ ἡμῶν, ὁ ἐφορῶν ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, κλίνει ἑαυτὸν, καὶ ἰχνῶν ἅπτεται χοϊκῶν, πάσης ἐναντίας δυνάμεως ἀσφαλῆ δωρούμενος τὴν ἐπίβασιν· αὐτῷ εὐχαρίστως βοήσωμεν, ὁ ἀρίστην ὑψώσεως ὁδὸν ὑποδείξας ἡμῖν τὴν ταπείνωσιν σῶσον ἡμᾶς, ἀγαθὲ, ὡς φιλάνθρωπος.

Ἦχος β'.

Ο Πέτρος ηὐλαβεῖτο νίψασθαι πόδας ἐκ τῶν ἀχράντων χειρῶν, ὑφ' ὧν ἐπλαστουργήθη ὁ Ἀδάμ· ἀκούσας δὲ, εἰ μὴ νίψω σε, οὐκ ἔχεις μέρος μετ' ἐμοῦ· τρόμῳ πολλῷ συνεχόμενος ἐβόα σοι, Κύριε, μὴ μόνον τοὺς πόδας μου νίψῃς, ἀλλὰ καὶ τὰς χεῖρας, καὶ τὴν κεφαλήν· ὁ μεγίστων δεσπότου δωρεῶν, κοινωνοὺς ποιεῖται τῆς χάριτος τοὺς ἑαυτοῦ μαθητὰς, καὶ μέρος ἔχειν μετ' αὐτῶν ἐπαγγέλλεται εἰς τὴν ἄρρητον δόξαν· ὡς καὶ ἐν τῷ μυστικῷ ποτηρίῳ ἔφησε, καινὸν αὐτὸ πίνειν μετ' αὐτῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ἧς καὶ ἡμᾶς ἀξίωσον ὡς ἐλεήμων, καὶ φιλάνθρωπος.

Ἦχος πλ. δ'.

ΣΉμερον ὁ ἀπερίτιτος τῇ οὐσίᾳ ἔργον δούλου ἀνέλαβε· λέντιον διεζώσατο ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις· ὕδωρ ἔβαλεν εἰς νιπτῆρα ὁ τὴν θάλασσαν τὴν ἐρυθρὰν διατεμὼν, καὶ κάμψας ἐπὶ τὰ γόνατα, ἤρξατο νίπτειν τοὺς πόδας τῶν μαθητῶν, καὶ ἐκμάσσειν τῷ λεντίῳ, ᾧ ἦν διεζωσμένος· ὅταν οὖν ἔνιψε τοὺς πόδας τῶν μαθητῶν, εἶπεν αὐτοῖς· ὑμεῖς καθαροί ἐστε, ἀλλ' οὐχὶ πάντες· σημαίνων τὸν παραδιδοῦντα αὐτόν.

ΣΥνέφερέ σοι, Ἰούδα, κἂν μὴ συνελήφθης ἐν τοῖς ἐγκάτοις τῆς μητρός· συνέφερέ σοι προδότα, κἂν μὴ ἐγεννήθης, ἀπηλλοτριωμένε τῷ υἱῷ τοῦ Θεοῦ· διὰ σὲ διεῤῥάγη τὸ στίφος τῶν μαθητῶν τοῦ Χριστοῦ· καὶ τὴν ἀληθινὴν ἄμπελον τρυγᾷ λῃστὴς σταυρούμενος· διὰ σὲ διεκόπη ὁ φραγμὸς, καὶ ναὸν τὸν ἀχειροποίητον λύουσιν οἱ παράνομοι· ἔστω, τὸ μύρον τὸ τῆς ἁμαρτωλοῦ ἠδίκης ὡς πολύτιμον, πῶς τὸ τοῦ δικαίου αἷμα χερσὶν ἀνόμων παραδοῦναι οὐκ ἔφριξας; συνέφερέ σοι προδότα, κἂν μὴ ἐγεννήθης, ἀπηλλοτριωμένε τῷ υἱῷ τοῦ Θεοῦ.

Ἦχος πλ. δ'.

ΝΥσταγμῷ διαβολικῷ συσχεθεὶς ὁ Ἰούδας ὕπνωσεν εἰς θάνατον· καιρὸς γρηγορεῖν, καιρὸς νήφειν· στεναζέτω καρδία, δακρυέτωσαν βλέφαρα, ψαλμὸς ἐπαγρυπνείτω· μεγάλη γὰρ ἡ ἰσχὺς τοῦ Σταυροῦ. Χριστὸς ἐπὶ θύραις, τὸ θυόμενον Πάσχα προσῆλθε· δόξα σοι Κύριε, δόξα σοι.

Ἀκολουθία τῶν ἁγίων, καὶ σωτηριωδῶν παθῶν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ πέμπτῃ ἑσπέρας σημαίνει ὥραν δευτέραν τῆς νυκτός. Καὶ συναχθέντων ἡμῶν ἐν τῷ ναῷ. Καὶ εὐλογήσαντος τοῦ Ἱερέως, ψάλλομεν συνήθως τὸν ἑξάψαλμον. Εἶτα συναπτὴ μεγάλη.

Τὸ Ἀλληλούϊα εἰς ἦχον πλ. δ'. καὶ τὸ τροπάριον ἐκ τρίτου· ἦχος πλ. δ'.

ΟΤε οἱ ἔνδοξοι μαθηταὶ ἐν τῷ νιπτῆρι τοῦ δείπνου ἐφωτίζοντο· τότε Ἰούδας ὁ δυσσεβὴς φιλαργυρίαν νοσήσας ἐσκοτίζετο· καὶ ἀνόμοις κριταῖς σὲ τὸν δίκαιον κριτὴν παραδίδωσι· βλέπε χρημάτων ἐραστὰ τὸν διὰ ταῦτα ἀγχόνῃ χρησάμενον· φεῦγε ἀκόρεστον ψυχὴν, τὴν διδασκάλῳ τοιαῦτα τολμήσασαν· ὁ περὶ πάντας ἀγαθὸς, Κύριε, δόξα σοι.

Λέγομεν δὲ τοῦτο ἐκ τρίτου ἀργῶς, καὶ μετὰ μέλους εὐρύθμως. Καὶ δίδονται κηρία τοῖς ἀδελφοῖς παρὰ τοῦ ἐκκλησιάρχου. Καὶ λέγει ὁ Ἱερεύς· καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς· καὶ ἀναγινώσκομεν τὸ πρῶτον Εὐαγγέλιον τῆς διαθήκης τῶν ἁγίων παθῶν. Ἐκ τοῦ κατὰ Ἰωάννην. Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς, νῦν ἐδοξάσθη· τέλος· εἰς ὃν εἰσῆλθεν αὐτὸς, καὶ οἱ μαθηταὶ αὐτοῦ. Καὶ πληρουμένου τοῦ Εὐαγγελίου, λέγομεν. Δόξα τῇ μακροθυμίᾳ σου Κύριε. Καὶ εὐθὺς ψάλλομεν τὰ ἀντίφωνα, δευτεροῦντες ἅπαντα τὰ τροπάρια.

Ἀντίφωνον α. ἦχος πλ. δ'.

ΑΡχοντες λαῶν συνήχθησαν κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ.

Ὁ αὐτός.

ΛΟγον παράνομον κατέθεντο κατ' ἐμοῦ, Κύριε, Κύριε μὴ ἐγκαταλίπῃς με.

Ὁ αὐτός.

Τὰς αἰσθήσεις ἡμῶν καθαρὰς τῷ Χριστῷ παραστήσωμεν, καὶ ὡς φίλοι αὐτοῦ, τὰς ψυχὰς ἡμῶν θύσωμεν δι' αὐτόν· καὶ μὴ ταῖς μερίμναις τοῦ βίου συμπνιγῶμεν, ὡς Ἰούδας· ἀλλ' ἐν τοῖς ταμείοις ἡμῶν κράξωμεν, πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς ἀπὸ τοῦ πονηροῦ ῥῦσαι ἡμᾶς.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Παρθένος ἔτεκες ἀπειρόγαμε, καὶ Παρθένος ἔμεινας, μήτηρ ἀνύμφευτε, Θεοτόκε Μαρία. Χριστὸν τὸν Θεὸν ἡμῶν ἱκέτευε, σωθῆναι ἡμᾶς.

Ἀντίφωνον β΄. ἦχος πλ. β΄.

Ἔδραμε λέγων ὁ Ἰούδας τοῖς παρανόμοις γραμματεῦσι, τί μοι θέλετε δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; ἐν μέσῳ δὲ τῶν συμφωνούντων αὐτὸς εἱστήκεις ἀοράτως ὁ συμφωνούμενος· καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Ἦχος ὁ αὐτός.

Ἐν ἐλέει τὸν Θεὸν θεραπεύσωμεν, ὥσπερ Μαρία ἐπὶ τοῦ δείπνου, καὶ μὴ κτησώμεθα φιλαργυρίαν, ὡς ὁ Ἰούδας, ἵνα πάντοτε μετὰ Χριστοῦ τοῦ Θεοῦ ἐσόμεθα.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Ὃν ἔτεκες, Παρθένε, ἀνερμηνεύτως, διαπαντὸς ὡς φιλάνθρωπον μὴ διαλίπῃς δυσωποῦσα· ἵνα κινδύνων σώσῃ τοὺς εἰς σὲ καταφεύγοντας.

Ἀντίφωνον τρίτον· ἦχος β΄.

Διὰ Λαζάρου τὴν ἔγερσιν, Κύριε, τὸ Ὡσαννὰ σοι ἐκραύγαζον παῖδες τῶν Ἑβραίων, φιλάνθρωπε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ἦχος ὁ αὐτός.

Ἐν τῷ δείπνῳ σου, Χριστὲ ὁ Θεός, τοῖς μαθηταῖς σου προέλεγες, εἷς ἐξ ὑμῶν παραδώσει με· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ὁ αὐτός.

Ἰωάννῃ ἐρωτήσαντι, Κύριε, ὁ παραδιδούς σε τίς ἐστι; τοῦτον διὰ τοῦ ἄρτου ὑπέδειξας· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ὁ αὐτός.

Εἰς τριάκοντα ἀργύρια, Κύριε, καὶ εἰς φίλημα δόλιον ἐζήτουν Ἰουδαῖοι ἀποκτεῖναι σε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ὁ αὐτός.

Ἐν τῷ νιπτῆρι σου, Χριστὲ ὁ Θεός, τοῖς μαθηταῖς σου προέτρεπες, οὕτω ποιεῖτε ὥσπερ ἴδετε· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Ὁ αὐτός.

Γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ πειρασθῆτε, τοῖς μαθηταῖς σου ὁ Θεὸς ἡμῶν ἔλεγες· ὁ δὲ παράνομος Ἰούδας οὐκ ἠβουλήθη συνιέναι.

Δόξα. Καὶ νῦν.

Διάσωσον ἀπὸ κινδύνων τοὺς δούλους σου, Θεοτόκε, ὅτι πάντες μετὰ Θεὸν εἰς σὲ καταφεύγομεν, ὡς ἄρρηκτον τεῖχος, καὶ προστασίαν.

Καθίσ. Οὐ καθήμεθα δὲ ἐν τοῖς τοιούτοις καθίσμασιν· ἀλλ' ἱστάμενοι ψάλλομεν αὐτά.

Ἦχος βαρύς.

Ἐν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων, καὶ τὴν σκῆψιν τῆς προδοσίας γινώσκων, ἐν αὐτῷ τὸν Ἰούδαν διήλεγξας, ἀδιόρθωτον μὲν τοῦτον ἐπιστάμενος, γνωρίσαι δὲ πᾶσι βουλόμενος, ὅτι θέλων παρεδόθης, ἵνα Κόσμον ἁρπάσῃς τοῦ ἀλλοτρίου, μακρόθυμε δόξα σοι.

Καὶ λέγει ὁ Ἱερεὺς τὸ δεύτερον Εὐαγγέλιον κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ ἐξῆλθεν ὁ Ἰησοῦς, καὶ οἱ μαθηταὶ αὐτοῦ πέραν τοῦ· τέλος. Ἀλλ' ἵνα φάγωσι τὸ πάσχα.

Ἀντίφωνον δ΄. ἦχος πλ. α΄.

Σήμερον ὁ Ἰούδας καταλιμπάνει τὸν διδάσκαλον, καὶ παραλαμβάνει τὸν διάβολον· τυφλοῦται τῷ πάθει τῆς φιλαργυρίας, ἐκπίπτει τοῦ φωτὸς ὁ ἐσκοτισμένος· πῶς γὰρ ἠδύνατο βλέπειν, ὁ τὸν φωστῆρα πωλήσας τριάκοντα ἀργυρίων; ἀλλ' ἡμῖν ἀνέτειλεν ὁ παθὼν ὑπὲρ τοῦ Κόσμου, πρὸς ὃν βοήσωμεν· ὁ παθὼν, καὶ συμπαθῶν ἀνθρώποις, δόξα σοι.

Ἦχος ὁ αὐτός.

Σήμερον ὁ Ἰούδας παραποιεῖται θεοσέβειαν, καὶ ἀλλοτριοῦται τοῦ χαρίσματος· ὑπάρχων μαθητὴς, γίνεται προδότης, ἐν ἤθει φιλικῷ δόλον ὑποκρύπτει· καὶ προτιμᾶται ἀφρόνως τῆς τοῦ δεσπότου ἀγάπης δουλεύειν φιλαργυρίᾳ· ὁδηγὸς γενόμενος συνεδρίου παρανόμου· ἡμεῖς δὲ ἔχοντες σωτηρίαν, τὸν Χριστὸν αὐτὸν δοξάσωμεν.

Ἦχος α΄.

Τὴν φιλαδελφίαν κτησώμεθα, ὡς ἐν Χριστῷ ἀδελφοὶ, καὶ μὴ τὸ ἀσυμπαθὲς πρὸς τοὺς πλησίον ἡμῶν, ἵνα μὴ, ὡς ὁ δοῦλος, κατακριθῶμεν, ὁ ἀνελεήμων διὰ τὰ δηνάρια, καὶ ὡς ὁ Ἰούδας μεταμεληθέντες μηδὲν ὠφελήσωμεν.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Δεδοξασμένα περὶ σοῦ ἐλαλήθη πανταχοῦ, ὅτι ἐκύησας σαρκὶ τὸν τῶν ὅλων ποιητὴν, Θεοτόκε Μαρία πανύμνητε, καὶ ἀπειρόγαμε.

Ἀντίφωνον ε΄. ἦχος πλ. β΄.

Ὁ Μαθητὴς τοῦ διδασκάλου συνεφώνει τὴν τιμὴν, καὶ τριάκοντα ἀργυρίοις πέπρακε τὸν Κύριον, φιλήματι δολίῳ παραδοὺς αὐτὸν τοῖς ἀνόμοις εἰς θάνατον.

Ὁ αὐτός.

Σήμερον ἔλεγεν ὁ κτίστης οὐρανοῦ, καὶ γῆς τοῖς ἑαυτοῦ μαθηταῖς, ἤγγικεν ἡ ὥρα, καὶ ἔφθασεν Ἰούδας ὁ παραδιδούς με· μή τις με ἀρνήσηται βλέπων με ἐν τῷ Σταυρῷ ἐν μέσῳ δύο λῃστῶν· πάσχω γὰρ ὡς ἄνθρωπος, καὶ σώζω

ὡς

Digitized by Google

ὡς φιλάνθρωπος τοὺς εἰς ἐμὲ πιστεύοντας.

Δόξα. Καὶ νῦν, Θεοτ.

Η Ἀρρήτως ἐπ' ἐσχάτων συλλαβοῦσα, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, αὐτὸν δυσώπει σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντίφωνον ϛʹ. ἦχος βαρύς.

Σήμερον γρηγορεῖ ὁ Ἰούδας παραδοῦναι τὸν Κύριον, τὸν πρὸ τῶν αἰώνων Σωτῆρα τοῦ Κόσμου, τὸν ἐκ πέντε ἄρτων χορτάσαντα πλήθη· σήμερον ὁ ἄνομος ἀρνεῖται τὸν διδάσκαλον· μαθητὴς γενόμενος δεσπότην παρέδωκεν, ἀργυρίῳ πέπρακε τὸν μάννα χορτάσαντα τὸν ἄνθρωπον.

Ὁ αὐτός.

Σήμερον τῷ Σταυρῷ προσήλωσαν Ἰουδαῖοι τὸν Κύριον, τὸν διατεμόντα τὴν θάλασσαν ῥάβδῳ, καὶ διαγαγόντα αὐτοὺς ἐν ἐρήμῳ· σήμερον τῇ λόγχῃ τὴν πλευρὰν αὐτοῦ ἐκέντησαν τοῦ πληγαῖς μαστίξαντος ὑπὲρ αὐτῶν τὴν Αἴγυπτον, καὶ χολὴν ἐπότισαν τὸν μάννα τροφὴν ὀμβρήσαντα.

Ὁ αὐτός.

Κύριε, ἐπὶ τὸ πάθος τὸ ἑκούσιον παραγενόμενος, ἐβόας τοῖς μαθηταῖς σου· κἂν μίαν ὥραν οὐκ ἰσχύσατε ἀγρυπνῆσαι μετ' ἐμοῦ, πῶς ἐπηγγείλατε ἀποθνήσκειν δι' ἐμέ; κἂν τὸν Ἰούδαν θεάσατε, πῶς οὐ καθεύδει, ἀλλὰ σπουδάζει προδοῦναί με τοῖς παρανόμοις· ἐγείρεσθε, προσεύξασθε, μήτις με ἀρνήσηται βλέπων με ἐν τῷ Σταυρῷ· μακρόθυμε δόξα σοι.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχ. ὁ αὐτός.

Χαῖρε Θεοτόκε, ἡ τὸν ἀχώρητον ἐν οὐρανοῖς χωρήσασα ἐν μήτρᾳ σου· χαῖρε Παρθένε τῶν προφητῶν τὸ κήρυγμα· δι' ἧς ἡμῖν ἔλαμψεν ὁ Ἐμμανουήλ· χαῖρε μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Κάθισμα· ἦχος βαρύς.

Ποῖός σε τρόπος, Ἰούδα, προδότην τοῦ Σωτῆρος εἰργάσατο; μὴ τοῦ χοροῦ σε τῶν Ἀποστόλων ἐχώρισε; μὴ τοῦ χαρίσματος τῶν ἰαμάτων ἐστέρησε; μὴ συνδειπνήσας ἐκείνοις σὲ τῆς τραπέζης ἀπώσατο; μὴ τῶν ἄλλων νίψας τοὺς πόδας, τοὺς σοὺς ὑπερεῖδεν; ὢ πόσων ἀγαθῶν ἀμνήμων ἐγένου; καὶ σοῦ μὲν ἡ ἀχάριστος στηλιτεύεται γνώμη· αὐτοῦ δὲ ἡ ἀνείκαστος μακροθυμία κηρύττεται, καὶ τὸ μέγα ἔλεος.

Εὐαγγέλιον γʹ. κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται κρατήσαντες τὸν Ἰησοῦν· τέλος. Ἔκλαυσε πικρῶς.

Ἀντίφωνον ζʹ. ἦχος πλ. δʹ.

Τοῖς συλλαβοῦσί σε παρανόμοις ἀνεχόμενος οὕτως ἐβόας, Κύριε· εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι Ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου ἄδηλα, καὶ κρύφια. Κύριε δόξα σοι.

Ὁ αὐτός.

Τρίτον ἀρνησάμενος ὁ Πέτρος, εὐθέως τὸ ῥηθὲν αὐτῷ συνῆκεν, ἀλλὰ προσήγαγέ σοι δάκρυα μετανοίας· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Δόξα. Καὶ νῦν, Θεοτ.

Ὡς πύλην σωτήριον, καὶ παράδεισον τερπνὸν, καὶ φωτὸς ἀϊδίου νεφέλην ὑπάρχουσαν, τὴν ἁγίαν Παρθένον ὑμνήσωμεν ἅπαντες, λέγοντες, τὸ χαῖρε αὐτῇ.

Ἀντίφωνον ηʹ. ἦχος βʹ.

Εἴπατε, παράνομοι, τί ἠκούσατε παρὰ τοῦ Σωτῆρος ἡμῶν; οὐ νόμον ἐξέθετο, καὶ τῶν προφητῶν τὰ διδάγματα; πῶς οὖν ἐλογίσασθε Πιλάτῳ παραδοῦναι τὸν ἐκ Θεοῦ Θεὸν λόγον, καὶ λυτρωτὴν τῶν ψυχῶν ἡμῶν.

Ὁ αὐτός.

Σταυρωθήτω, ἔκραζον οἱ τῶν σῶν χαρισμάτων ἀεὶ ἐντρυφῶντες· καὶ κακοῦργον ἀντ' εὐεργέτου ᾐτοῦντο λαβεῖν οἱ τῶν δικαίων φονευταί· ἐσιώπας δὲ, Χριστὲ, φέρων αὐτῶν τὴν προπέτειαν, παθεῖν θέλων, καὶ σῶσαι ἡμᾶς, ὡς φιλάνθρωπος.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Ὅτι οὐκ ἔχομεν παρρησίαν διὰ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα· σὺ τὸν ἐκ σοῦ γεννηθέντα δυσώπησον, Θεοτόκε Παρθένε· πολλὰ γὰρ ἰσχύει δέησις μητρὸς πρὸς εὐμένειαν δεσπότου· μὴ παρίδῃς ἁμαρτωλῶν ἱκεσίας ἡ πάνσεμνος· ὅτι ἐλεήμων ἐστὶ, καὶ σώζειν δυνάμενος, ὁ καὶ παθεῖν ὑπὲρ ἡμῶν καταδεξάμενος.

Ἀντίφωνον θʹ. ἦχος γʹ.

Ἔστησαν τὰ τριάκοντα ἀργύρια τὴν τιμὴν τοῦ τετιμημένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραήλ· γρηγορεῖτε, καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής, διὰ τοῦτο γρηγορεῖτε.

Ἔδωκαν εἰς τὸ βρῶμά μου χολὴν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος· σὺ δὲ, Κύριε, ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Οἱ ἐξ ἐθνῶν ὑμνοῦμέν σε, Θεοτόκε ἁγνὴ, ὅτι Χριστὸν τὸν Θεὸν ἡμῶν ἔτεκες, τὸν ἐκ τῆς κατάρας τοὺς ἀνθρώπους διὰ σοῦ ἐλευθερώσαντα.

Κάθισμα· ἦχος πλ. δʹ.

Ὢ πῶς Ἰούδας, ὁ ποτέ σου μαθητὴς τὴν προδοσίαν ἐμελέτα κατὰ σοῦ; συνεδείπνησε δολίως ὁ ἐπίβουλος, καὶ ἄδικος, πορευθεὶς, εἶπε τοῖς Ἱερεῦσι· τί μοι παρέχετε, καὶ παραδώσω ἡμῖν ἐκεῖνον τὸν, τὸν νόμον λύσαντα, καὶ βεβηλοῦντα τὸ σάββατον· μακρόθυμε Κύριε δόξα σοι.

Εὐαγγέλιον ϛʹ. κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ, ἄγουσι τὸν Ἰησοῦν· τέλος· Παρέδωκεν αὐτὸν αὐτοῖς, ἵνα σταυρωθῇ.

Ἀντίφωνον ιʹ. ἦχος πλ. βʹ.

Ὁ Ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, γυμνὸς εἰς κρίσιν ἵστατο, καὶ ἐν σιαγόνι ῥάπισμα ἐδέξατο ὑπὸ χειρῶν, ὧν ἔπλασεν, ὁ δὲ παράνομος λαὸς τῷ Σταυρῷ προσήλωσε τὸν Κύριον τῆς δόξης· τότε τὸ καταπέτασμα τοῦ ναοῦ ἐσχίσθη· ὁ ἥλιος ἐσκότασε, μὴ φέρων θεάσασθαι Θεὸν ὑβριζόμενον, ὃν τρέμει τὰ σύμπαντα, αὐτὸν προσκυνήσωμεν.

Ὁ αὐτός.

Ὁ Μαθητὴς ἠρνήσατο, ὁ λῃστὴς ἐβόησε, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Εἰρήνευσον τὸν Κόσμον ὁ ἐκ Παρθένου καταδεξάμενος, Κύριε, σάρκα φορέσαι ὑπὲρ δούλων, ἵνα συμφώνως σὲ δοξολογοῦμεν, φιλάνθρωπε.

Ἀντίφωνον ιαʹ. ἦχος πλ. βʹ.

Ἀντὶ ἀγαθῶν, ὧν ἐποίησας, Χριστέ, τῷ γένει τῶν Ἑβραίων, σταυρωθῆναι σε κατεδίκασαν· ὄξος καὶ χολὴν σε ποτίσαντες· ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι οὐ συνῆκαν τὴν σὴν συγκατάβασιν.

Ὁ αὐτός.

Ἐπὶ τῇ προδοσίᾳ οὐκ ἠρκέσθησαν, Χριστέ, τὰ γένη τῶν Ἑβραίων, ἀλλ᾽ ἐκίνουν τὰς κεφαλὰς αὐτῶν, μυκτηρισμὸν καὶ χλεύην προσάγοντες· ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ὁ αὐτός.

Οὔτε γῆ ὡς ἐσείσθη, οὔτε πέτραι ὡς ἐῤῥάγησαν Ἑβραίους ἔπεισαν, οὔτε τοῦ ναοῦ τὸ καταπέτασμα, οὔτε τῶν νεκρῶν ἡ ἀνάστασις· ἀλλὰ δὸς αὐτοῖς, Κύριε, κατὰ τὰ ἔργα αὐτῶν.

Δόξα. Καὶ νῦν, Θεοτ.

Θεὸν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνή, μόνη εὐλογημένη, διὸ ἀπαύστως σε ἀνυμνοῦντες μεγαλύνομεν.

Ἀντίφωνον ιβʹ. ἦχος πλ. δʹ.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις, λαός μου, τί ἐποίησά σοι; ἢ τί σοι παρηνώχλησα; τοὺς τυφλούς σου ἐφώτισα, τοὺς λεπροὺς ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην· λαός μου, τί ἐποίησά σοι; καὶ τί μοι ἀνταπέδωκας; ἀντὶ τοῦ μάννα χολήν, ἀντὶ τοῦ ὕδατος ὄξος, ἀντὶ τοῦ ἀγαπᾷν με, Σταυρῷ με προσηλώσατε· οὐκέτι στέγω λοιπόν· καλέσω μου τὰ ἔθνη, κἀκεῖνα με δοξάσουσι σὺν τῷ Πατρί, καὶ τῷ Πνεύματι, κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν αἰώνιον.

Ἦχος ὁ αὐτός.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, δεσπότην ὁρῶν σταυρούμενον.

Ὁ αὐτός.

Οἱ νομοθέται τοῦ Ἰσραὴλ Ἰουδαῖοι, καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· ἴδε ναός, ὃν ὑμεῖς ἐλύσατε· ἴδε ἀμνός, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε· ἀλλ᾽ ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη· μὴ πλανᾶσθε Ἰουδαῖοι· αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωή, καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ Κόσμου.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Χαῖρε ἡ πύλη τοῦ Βασιλέως τῆς δόξης, ἣν ὁ ὕψιστος μόνος διώδευσε, καὶ πάλιν ἐσφραγισμένην κατέλιπεν εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Καθ. ἦχος πλ. δʹ.

Ὅτε παρέστης τῷ Καϊάφᾳ ὁ Θεός, καὶ παρεδόθης τῷ Πιλάτῳ ὁ κριτής, αἱ οὐράνιαι δυνάμεις ἐκ τοῦ φόβου ἐσαλεύθησαν· ὅτε δὲ ὑψώθης ἐπὶ τοῦ ξύλου ἐν μέσῳ δύο λῃστῶν, καὶ ἐλογίσθης μετὰ ἀνόμων ὁ ἀναμάρτητος διὰ τὸ σῶσαι τὸν ἄνθρωπον, ἀνεξίκακε Κύριε δόξα σοι.

Εὐαγγέλιον ζʹ. κατὰ Ματθαῖον.

Τῷ καιρῷ ἐκείνῳ ἰδὼν ὁ Ἰούδας. Τέλος. Ἵνα ἄρῃ τὸν Σταυρὸν αὐτοῦ.

Ἀντίφωνον ιγʹ. ἦχος πλ. βʹ.

Τὸ ἄθροισμα τῶν Ἰουδαίων τῷ Πιλάτῳ ᾐτήσαντο· σταυρωθῆναί σε, Κύριε· αἰτίαν γὰρ ἐν σοὶ μὴ εὑρόντες, τὸν ὑπόδικον Βαραββᾶν ἠλευθέρωσαν, καὶ σὲ τὸν δίκαιον κατεδίκασαν, μιαιφονίας ἔγκλημα κληρωσάμενοι· ἀλλὰ δὸς αὐτοῖς, Κύριε, τὸ ἀνταπόδομα αὐτῶν, ὅτι κενὰ κατὰ σοῦ ἐμελέτησαν.

Ὁ αὐτός.

Ὃν πάντα φρίσσει, καὶ τρέμει, καὶ πᾶσα γλῶσσα ὑμνεῖ Χριστόν, Θεοῦ δύναμιν, καὶ Θεοῦ σοφίαν, οἱ Ἱερεῖς ἐῤῥάπισαν, καὶ ἔδωκαν αὐτῷ χολήν· καὶ πάντα παθεῖν κατεδέξατο, σῶσαι θέλων ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν τῷ ἰδίῳ αἵματι, ὡς φιλάνθρωπος.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Θεοτόκε, ἡ τεκοῦσα διὰ λόγου ὑπὲρ λόγον τὸν κτίστην τὸν ἴδιον, αὐτὸν δυσώπει, σῶσαι τὰς ψυχὰς ἡμῶν.

Ἀντίφωνον ιδʹ. ἦχος πλ. δʹ.

Κύριε, ὁ τὸν λῃστὴν συνοδοιπόρον λαβών, τὸν ἐν αἵματι χεῖρας μολύναντα, καὶ ἡμᾶς σὺν αὐτῷ καταρίθμησον, ὡς ἀγαθός, καὶ φιλάνθρωπος.

Ὁ αὐτός.

Μικρὰν φωνὴν ἀφῆκεν ὁ λῃστὴς ἐν τῷ Σταυρῷ· μεγάλην πίστιν εὗρε, μιᾷ ῥοπῇ ἐσώθη, καὶ πρῶτος Παραδείσου πύλας ἀνοίξας

εἰσῆλ-

Digitized by Google

εἰσῆλθεν· ὁ αὐτοῦ τὴν μετάνοιαν προσδεξάμενος Κύριε δόξα σοι.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Χαῖρε, ἡ διʼ Ἀγγέλου τὴν χαρὰν τοῦ Κόσμου δεξαμένη, χαῖρε, ἡ τεκοῦσα τὸν ποιητήν σου, καὶ Κύριον· χαῖρε, ἡ ἀξιωθεῖσα γενέσθαι μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Ἀντίφωνον ιε. ἦχος πλ. β'. ἐκ γ'.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας· στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν Ἀγγέλων Βασιλεύς· ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν Οὐρανὸν ἐν νεφέλαις· ῥάπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ· ἥλοις προσηλώθη ὁ νυμφίος τῆς Ἐκκλησίας· λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς Παρθένου· προσκυνοῦμέν σου τὰ πάθη, Χριστέ· δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Ἦχος ὁ αὐτός.

Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν· καὶ γὰρ τὸ Πάσχα ἡμῶν ὑπὲρ ἡμῶν ἐτύθη Χριστός· ἀλλʼ ἐκκαθάρωμεν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ, καὶ εἰλικρινῶς δεηθῶμεν αὐτῷ· ἀνάστα Κύριε, σῶσον ἡμᾶς ὡς φιλάνθρωπος.

Ὁ αὐτός.

Ὁ Σταυρός σου, Κύριε, ζωὴ, καὶ ἀνάστασις ὑπάρχει τῷ λαῷ σου· καὶ ἐπʼ αὐτῷ πεποιθότες, σὲ τὸν σταυρωθέντα Θεὸν ἡμῶν ὑμνοῦμεν· ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, Θεοτ. ἦχος ὁ αὐτός.

Ὁρῶσά σε κρεμάμενον, Χριστὲ, ἡ σὲ κυήσασα ἀνεβόα· τί τὸ ξένον, ὃ ὁρῶ, μυστήριον, υἱέ μου; πῶς ἐπὶ ξύλου θνήσκεις σαρκὶ πηγνύμενος, ζωῆς χορηγέ;

Κάθ. ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ Σταυρῷ προσηλωθεὶς, καὶ τῇ λόγχῃ κεντηθεὶς τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

Εὐαγγέλιον ς'. κατὰ Μάρκον. Τῷ καιρῷ ἐκείνῳ οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν· τέλος. Καὶ πιστεύσωμεν αὐτῷ. Εἶτα οἱ μακαρισμοί. Ἱστῶμεν στίχ. η. Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι. Μακάριοι οἱ πενθοῦντες. Μακάριοι οἱ πραεῖς. Μακάριοι οἱ πεινῶντες, καὶ διψῶντες· ἦχος δ'.

Διὰ ξύλου ὁ Ἀδὰμ παραδείσου γέγονεν ἄποικος, διὰ ξύλου δὲ Σταυροῦ ὁ λῃστὴς Παράδεισον ᾤκησεν· ὁ μὲν γὰρ γευσάμενος, ἐντολὴν ἠθέτησε τοῦ ποιήσαντος, ὁ δὲ συσταυρούμενος, Θεὸν ὡμολόγησε τὸν κρυπτόμενον· μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ ἐλεήμονες.

Τὸν τοῦ νόμου ποιητὴν ἐκ μαθητοῦ ὠνήσαντο ἄνομοι, καὶ ὡς παράνομον αὐτὸν τῷ Πιλάτου βήματι ἔστησαν, κραυγάζοντες, σταύρωσον τὸν ἐν ἐρήμῳ τούτους μαννοδοτήσαντα· ἡμεῖς δὲ τὸν δίκαιον λῃστὴν μιμησάμενοι πίστει κράζομεν· μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ.

Τῶν θεοκτόνων ὁ ἑσμὸς, Ἰουδαίων ἔθνος τὸ ἄνομον πρὸς Πιλάτον ἐμμανῶς ἀνακράζον ἔλεγε· σταύρωσον Χριστὸν τὸν ἀνεύθυνον. Βαραββᾶν δὲ μᾶλλον οὗτοι ᾐτήσαντο· ἡμεῖς δὲ φθεγξόμεθα λῃστοῦ τοῦ εὐγνώμονος τὴν φωνὴν πρὸς αὐτὸν, μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Μακάριοι οἱ εἰρηνοποιοί.

Ἡ ζωηφόρος σου πλευρὰ ὡς ἐξ Ἐδὲμ πηγὴ ἀναβλύζουσα, τὴν Ἐκκλησίαν σου, Χριστὲ, ὡς λογικὸν ποτίζει Παράδεισον, ἐντεῦθεν μερίζουσα ὡς εἰς ἀρχὰς εἰς τέσσαρα Εὐαγγέλια, τὸν Κόσμον ἀρδεύουσα, τὴν κτίσιν εὐφραίνουσα, καὶ τὰ ἔθνη πιστῶς διδάσκουσα προσκυνεῖν τὴν βασιλείαν σου.

Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης.

Ἐσταυρώθης διʼ ἐμὲ, ἵνα ἐμοὶ πηγάσῃς τὴν ἄφεσιν· ἐκεντήθης τὴν πλευρὰν, ἵνα κρουνοὺς ζωῆς ἀναβλύσῃς μοι· τοῖς ἥλοις προσηλώσαι, ἵνα ἐγὼ τῷ βάθει τῶν παθημάτων σου τὸ ὕψος τοῦ κράτους σου πιστούμενος, κράζω σοι, ζωοδότα Χριστὲ, δόξα τῷ Σταυρῷ, Σωτὴρ, καὶ τῷ πάθει σου.

Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς.

Σταυρούμενόν σου, Χριστὲ, πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε· τὰ θεμέλια τῆς γῆς διεδονεῖτο φόβῳ τοῦ κράτους σου· φωστῆρες ἐκρύπτοντο· καὶ τοῦ ναοῦ ἐρράγη τὸ καταπέτασμα· τὰ ὄρη ἐτρόμαξαν, καὶ πέτραι ἐσχίσθησαν, καὶ λῃστὴς ὁ πιστὸς κραυγάζει σὺν ἡμῖν, Σωτὴρ, τὸ μνήσθητι.

Χαίρετε, καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθός.

Τὸ χειρόγραφον ἡμῶν ἐν τῷ Σταυρῷ διέρρηξας, Κύριε, καὶ λογισθεὶς ἐν τοῖς νεκροῖς, τὸν ἐκεῖσε τύραννον ἔδησας, ῥυσάμενος ἅπαντας ἐκ δεσμῶν θανάτου τῇ ἀναστάσει σου· διʼ ἧς ἐφωτίσθημεν, φιλάνθρωπε Κύριε, καὶ βοῶμέν σοι, μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Δόξα.

Τὸν Πατέρα, καὶ υἱὸν, καὶ τὸ Πνεῦμα πάντες τὸ ἅγιον ὁμοφρόνως οἱ πιστοὶ δοξολογεῖν ἀξίως εὐξώμεθα, μονάδα θεότητος ἐν τρισὶν ὑπάρχουσαν ὑποστάσεσιν, ἀσύγχυτον μένουσαν· ἁπλῆν, ἀδιαίρετον, καὶ ἀπρόσιτον, διʼ ἧς λυτρούμεθα τοῦ πυρὸς τῆς κολάσεως.

Καὶ νῦν.

Τὴν μητέρα σου, Χριστὲ, τὴν ἐν σαρκὶ ἀσπόρως τεκοῦσάν σε, καὶ παρθένον ἀληθῶς, καὶ μετὰ τόκον μείνασαν ἄφθορον· αὐτήν σοι προσάγομεν εἰς πρεσβείαν, Δέσποτα, πολυέλεε,

πταισ-

ἐμπαιγμάτων συγχώρησιν δωρήσασθαι πάντοτε τοῖς κραυγάζουσι· μνήσθητι καὶ ἡμῶν, Σωτὴρ, ἐν τῇ βασιλείᾳ σου.

Προκείμενον ἦχος δ'.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς.

Στίχ. Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;

Εὐαγγέλιον ζ'. κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ ἐλθόντες οἱ στρατιῶται· τέλος. Ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος. Καὶ τίθεται ἀνάγνωσις. Εἶτα ὁ Ν', καὶ μετὰ τοῦτο, Εὐαγγέλιον η'. κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ ἤγοντο σὺν τῷ Ἰησοῦ· τέλος. Ὁρῶσαι ταῦτα. Καὶ εὐθὺς ψάλλομεν τὸ τριῴδιον. Ποίημα τοῦ κυρίου Κοσμᾶ. Τοὺς εἱρμοὺς ἀνὰ β'. Καὶ τὰ τροπάρια ἀνὰ δ'., ἢ ἀνὰ γ'., δηλονότι κατὰ τὴν ποσότητα. Ἔσχατον πάλιν οἱ δύο χοροὶ τοὺς εἱρμούς. Καταβασία ὁμοῦ. Τὸ τριῴδιον, οὗ ἡ ἀκροστιχίς. Πρὸς σάββατόν τε.

Ὠδὴ ε'. ὁ Εἱρμός.

Πρὸς σὲ ὀρθρίζω, δι' εὐσπλαγχνίαν σεαυτὸν τῷ πεσόντι κενώσαντα ἀτρέπτως, καὶ μέχρι παθῶν ἀπαθῶς ὑποκύψαντα, Λόγε Θεοῦ, τὴν εἰρήνην παράσχου μοι φιλάνθρωπε.

Ῥυφθέντες πόδας, καὶ προκαθαρθέντες μυστηρίου μεθέξει τοῦ θείου νῦν, Χριστέ μου, οἱ ὑπηρέται ἐκ Σιὼν ἐλαιῶνος μέγα πρὸς ὄρος συνανῆλθον, ὑμνοῦντές σε φιλάνθρωπε.

Ὁρᾶτε, ἔφης, φίλοι, μὴ θροεῖσθε· νῦν γὰρ ἤγγικεν ὥρα ληφθῆναί με κτανθῆναι χερσὶν ἀνόμων· πάντες δὲ σκορπισθήσεσθε, ἐμὲ λιπόντες· οὓς συνάξω, κηρύξαι με φιλάνθρωπον.

Κοντάκιον ἦχος πλ. β'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου, καὶ ἔλεγεν· εἰ καὶ Σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς, καὶ Θεός μου.

Ὁ Οἶκος.

Τὸν ἴδιον ἄρνα ἡ ἀμνὰς θεωροῦσα πρὸς σφαγὴν ἑλκόμενον ἠκολούθει Μαρία· τρυχομένη μεθ' ἑτέρων γυναικῶν, ταῦτα βοῶσα· ποῦ πορεύῃ τέκνον; τίνος χάριν τὸν ταχὺν δρόμον τελεῖς; μὴ ἕτερος γάμος πάλιν ἐστὶν ἐν Κανᾷ, κἀκεῖ νῦν σπεύδεις, ἵν' ἐξ ὕδατος αὐτοῖς οἶνον ποιήσῃς; συνέλθω σοι τέκνον, ἢ μείνω σοι μᾶλλον; δός μοι λόγον, Λόγε, μὴ σιγῶν παρέλθῃς με, ὁ ἁγνὴν τηρήσας με; σὺ γὰρ ὑπάρχεις ὁ υἱὸς, καὶ Θεός μου.

Τὸ Συναξάριον. Στίχ. Εἰς τὴν σταύρωσιν.

Ζῶν εἶ Θεὸς σὺ καὶ νεκρωθεὶς ἐν ξύλῳ.

Ὢ νεκρὲ γυμνὲ, καὶ Θεοῦ ζῶντος λόγε.

Στίχ. Εἰς τὸν συσταυρωθέντα τῷ Χριστῷ λῃστήν.

Κεκλεισμένας ἤνοιξε τῆς Ἐδὲμ πύλας.

Βαλὼν ὁ λῃστὴς κλεῖδα τὸ μνήσθητί μου.

Τῇ ἁγίᾳ, καὶ μεγάλῃ Παρασκευῇ τὰ ἅγια, καὶ σωτήρια, καὶ φρικτὰ πάθη ἐπιτελοῦμεν τοῦ Κυρίου, καὶ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἃ δι' ἡμᾶς ἑκὼν κατεδέξατο, τοὺς ἐμπτυσμοὺς, τοὺς ῥαπισμοὺς, τὰ κολαφίσματα, τὰς ὕβρεις, τοὺς γέλωτας, τὴν πορφυρᾶν χλαῖναν, τὸν κάλαμον, τὸν σπόγγον, τὸ ὄξος, τοὺς ἥλους, τὴν λόγχην, καὶ πρὸ πάντων, τὸν Σταυρὸν, καὶ τὸν θάνατον, ἃ δὴ πάντα κατὰ τὴν παρασκευὴν ἐπράχθησαν· μεθ' ὃ γὰρ τριάκοντα ἀργυρίοις πρὸς τοῦ φίλου, καὶ μαθητοῦ πραθεὶς παρεδόθη, πρῶτον πρὸς Ἄνναν ἄγεται τὸν Ἀρχιερέα· ὃς δὴ στέλλει αὐτὸν πρὸς τὸν Καϊάφαν· ὅπου ἐνεπτύσθη· καὶ κολαφιζόμενος κατὰ κόρρης, ἐμπαιζόμενός τε ὁμοῦ, καὶ γελώμενος ἤκουσε, προφήτευσον ἡμῖν, Χριστὲ, τίς ἐστιν ὁ παίσας σε, ἐκεῖσε καὶ ψευδομάρτυρες ἦλθον κατηγοροῦντες, ὡς εἶπε· διαλύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· καὶ ὅτι υἱὸν εἶπεν ἑαυτὸν τοῦ Θεοῦ· ὅτε καὶ ὁ Ἀρχιερεὺς δῆθεν τὴν βλασφημίαν μὴ ἀνεχόμενος, τὸν ἑαυτοῦ χιτῶνα διέρρηξε· πρωΐας δὲ γενομένης ἄγεται τῷ Πιλάτῳ εἰς τὸ πραιτώριον· καὶ αὐτοὶ οὐκ εἰσῆλθον, φησὶν, ἵνα μὴ μιανθῶσιν· ἀλλ' ἵνα φάγωσι τὸ Πάσχα· πάσχα δὲ τὴν ἑορτὴν ὅλην λέγει, ἢ καὶ τότε ἦν ὡς ἔοικεν· ὁ δὲ Χριστὸς πρὸ μιᾶς ἡμέρας τοῦτο ἐποίησε, συντυθῆναι θέλων τὸ νομικὸν πάσχα κατὰ τὴν παρασκευήν· ἐξελθὼν δὲ ὁ Πιλάτος ἐρωτᾷ αὐτοὺς, τί αὐτοῦ κατηγοροῦσι; καὶ ἐπεὶ μηδὲν ἀνάλογον εὗρεν εἰς κατηγορίαν, στέλλει αὐτὸν πρὸς τὸν Καϊάφαν· ὁ δὲ πάλιν πρὸς τὸν Πιλάτον· καὶ γὰρ οὗτος ἦν, ὁ πρὸς τὸν αὐτοῦ φόνον ὁρμῶν· ὁ δὲ λέγει· λάβετε αὐτὸν ὑμεῖς, καὶ σταυρώσατε, καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε· οἱ δὲ πάλιν λέγουσιν· οὐκ ἔξεστιν ἡμῖν ἀποκτεῖναι οὐδένα, σταυρῶσαι τὸν Πιλάτον διερεθίζοντες· ἐρωτᾷ δὲ τὸν Χριστὸν ὁ Πιλάτος, εἰ βασιλεὺς τῶν Ἰουδαίων ἐστίν; ὁ δὲ οὐχ ὁμολόγει, ἀλλ' αἰώνιος· οὐ γὰρ ἐκ τοῦ Κόσμου τούτου ἡ ἐμὴ βασιλεία, φησί· βουλόμενος δὲ αὐτὸν ἀπολῦσαι ὁ Πιλάτος, πρῶτα μὲν ἐκείνοις φησὶν, οὐδεμίαν κατ' αὐτοῦ εὐπρόσωπον αἰτίαν εὑρίσκειν· εἶτα τὸ καθ' ἑορτὴν ἔθιμον, ἕνα τῶν δεσμίων ἀπολύειν, προβάλλεται· τοῖς δὲ ἀρεστὸς ὁ Βαραββᾶς τοῦ Χριστοῦ μᾶλλον δοκεῖ· ὁ δὲ Πιλάτος τοῖς Ἰουδαίοις χαριζόμενος, μαστίξας τὸν Ἰησοῦν πρότερον, συνεξάγει τοῖς στρατιώταις χλαμύδα περιβεβλημένον κοκκίνην, ἀκάνθινόν τε στέφανον περικείμενον, καὶ περὶ τὴν δεξιὰν αὐτοῦ κάλαμον ἐμβαλὼν, ἐμπαιζόμενόν τε παρὰ τῶν στρατιωτῶν, χαῖρε, λεγόντων, ὁ βασιλεὺς τῶν Ἰουδαίων· πλὴν οὕτω πρὸς χάριν ἐμπαροινήσας, αὖθις φησὶν ὁ Πιλάτος· οὐδεμίαν αἰτίαν θανάτου εὑρίσκω ἐν αὐτῷ· οἱ δὲ, ἀλλ' ἡμεῖς αὐτὸν κολάσωμεν, λέγουσι, ὅτι ἑαυτὸν υἱὸν ὀνομάζει Θεοῦ· τούτων δὲ λεγομένων, ὁ Ἰησοῦς ἐσιώπα· οἱ δὲ ὄχλοι ἔκραζον πρὸς τὸν Πιλάτον, σταύρωσον.

σταύ-

Digitized by Google

σταύρωσον αὐτόν· ἀτίμῳ γὰρ θανάτῳ περιβαλεῖν αὐτὸν ἤθελον, ἵν' ἐκ τοῦ μέσου τὴν ἀγαθὴν αὐτοῦ μνείαν ποιήσωσιν· ἐντρέπων δὲ αὐτοὺς ὡσανεὶ ὁ Πιλάτος, λέγει· τὸν Βασιλέα ὑμῶν σταυρώσω; οἱ δὲ μὴ Βασιλέα ἔχειν φασὶν ἄλλον, ἢ Καίσαρα, ἐπειδὴ γὰρ τὴν βλασφημίαν εἰπόντες οὐδὲν ἤνυσαν, ἐπὶ τὸν Καίσαρα ἀναφέρουσιν, ἵνα κἂν οὕτω τὴν μανίαν πληρώσωσι· λέγουσι γάρ· πᾶς ὁ Βασιλέα ἑαυτὸν ποιῶν, ἀντιλέγει τῷ Καίσαρι· ἐν τούτοις δὲ ὄντων, ἡ γυνὴ τοῦ Πιλάτου ἀπέστειλεν, ὀνείρασι φοβεροῖς ἐκδειματωθεῖσα· μηδέν σοι, λέγουσα, καὶ τῷ δικαίῳ ἐκείνῳ, ἤδη γὰρ ἐκείνου χάριν πολλὰ κατὰ τὴν νύκτα πέπονθα· καὶ ὃς νιψάμενος, τὴν τοῦ αἵματος ἐκείνου αἰτίαν δῆθεν ἐκκρούεται· οἱ δὲ ἔκραζον· τὸ αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν· εἰ τοῦτον ἀφεὶς ἄνετον, οὐκ εἶ φίλος τοῦ Καίσαρος· τοῦτον οὖν δείσας ὁ Πιλάτος, καίπερ ἀκριβῶς εἰδὼς αὐτὸν ἀνεύθυνον, τῇ τοῦ σταυροῦ καταδίκῃ ἐκδίδωσιν, ἀπολύσας τὸν Βαραββᾶν· ὅπερ ἰδὼν Ἰούδας, τὰ ἀργύρια ῥίψας, ἀναχωρεῖ, καὶ ἀπελθὼν, ἀγχόνῃ ἑαυτὸν διεχρήσατο, δένδρῳ ἀπῃωρηθείς· ὕστερον δὲ λίαν ἐξογκωθεὶς διαρρήγνυται· οἱ μέντοι στρατιῶται τῷ καλάμῳ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ ἐμπαίξαντες, ἐπιφορτίζουσιν αὐτῷ τὸν Σταυρόν· εἶτα καὶ τὸν ἀπὸ Κυρήνης Σίμωνα ἀγγαρεύσαντες, τὸν Σταυρὸν βαστάζειν ἐπείγουσι· περὶ δὲ ὥραν τρίτην ἐν τῷ τοῦ κρανίου τόπῳ γενόμενοι, ἐκεῖ σταυροῦσιν αὐτόν· παρ' ἑκάτερα καὶ δύο ἄλλους λῃστὰς ἐξαρτήσαντες· ἵνα κἀκεῖνος ὡς κακοῦργος λογίζοιτο· εὐτελείας δὲ χάριν, μερισμὸν οἱ στρατιῶται τοῖς ἱματίοις αὐτοῦ βάλλουσι· κλήρῳ δὲ τὸν ἄρραφον αὐτοῦ χιτῶνα διδοῦσι, πᾶσαν παρανομίας ὑπερβολὴν ἐργαζόμενοι· οὐ ταῦτα δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Σταυροῦ μυκτηρίζοντες, ἔλεγον· οὐὰ, ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν, σῶσον σαυτόν· καὶ πάλιν, ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι, καὶ αὖθις, εἰ Βασιλεὺς Ἰσραὴλ ἐστὶ, καταβάτω νῦν ἀπὸ τοῦ Σταυροῦ, καὶ πιστεύσομεν εἰς αὐτόν· καίτοιγε εἰ ἀληθῆ ἔλεγον, ἐχρῆν ἀδιστάκτως αὐτῷ προσελθεῖν· οὐ μόνον γὰρ τοῦ Ἰσραὴλ Βασιλεὺς ἐγνωρίζετο, ἀλλὰ καὶ τοῦ κόσμου παντός· τί γὰρ ἐβούλετο τὸ σκοτάζειν τὸν ἥλιον καὶ ὥραις τρισὶ, καὶ ἐν μέσῳ δὴ τῆς ἡμέρας; ἵνα πᾶσιν εἴη τὸ πάθος κατάδηλον· τῷ τὴν γῆν σείεσθαι, πέτρας ῥήγνυσθαι, τὸ ἀντίτυπον τῶν Ἰουδαίων διελεγχούσας; πολλὰ σώματα ἀνίστασθαι, καὶ εἰς πίστιν τῆς κοινῆς ἀναστάσεως, καὶ τῆς τοῦ πάσχοντος δυνάμεως ἐμφανίζεσθαι; καταπέτασμα τοῦ ναοῦ διαρρήγνυσθαι; ὥσπερ τοῦ νεὼ θυμουμένου, διὰ τὸν ἐν αὐτῷ δοξαζόμενον πάσχοντα, καὶ τὰ τοῖς πολλοῖς ἀνακαλύπτων ἀθεώρητα· τρίτῃ μὲν οὖν ὥρᾳ ἐσταύρωται ὁ Χριστὸς, ὡς ὁ θεῖος Μάρκος φησίν· ἀπὸ δὲ ἕκτης ὥρας ἕως ἐννάτης σκότος ἐγένετο· ὅτε καὶ Λογγῖνος ὁ ἑκατόνταρχος τὰ παράδοξα κατιδὼν, καὶ μᾶλλον τὸν ἥλιον, μέγα ἀνέκραξεν· ἀληθῶς Θεοῦ υἱὸς ἦν οὗτος· τῶν μέντοι λῃστῶν ἕτερος ὕβριζε τὸν Ἰησοῦν· ὁ δὲ ἕτερος διεκώλυεν αὐτὸν, ἐπιτιμῶν ἐμβριθέστερον, καὶ τὸν Χριστὸν υἱὸν Θεοῦ ὡμολόγει· τῆς πίστεως δὲ αὐτὸν ὁ Σωτὴρ ἀμειβόμενος, τὴν μετ' αὐτοῦ ἐν τῷ Παραδείσῳ ὑπισχνεῖται διαγωγήν· πάσης τοιγαροῦν ὕβρεως ἐπ' αὐτῷ πληρωθείσης, ὁ Πιλάτος καὶ τίτλον ἀνέγραψεν ἐπ' αὐτῷ λέγοντα· ὁ Βασιλεὺς τῶν Ἰουδαίων· κἂν ἐκεῖνοι ἀπεῖργον μὴ γράφειν οὕτως, ὁ δὲ Πιλάτος, ὃ γέγραφα, γέγραφα, πάλιν ἀντέφησεν· εἶτα τοῦ Σωτῆρος, διψῶ, ἀνειπόντος, ὕσσωπον σὺν ὄξει αὐτῷ κεραννύουσι· καὶ εἰπὼν, τετέλεσται, κλίνας τὴν κεφαλὴν, παρέδωκε τὸ πνεῦμα· πάντων δ' ἐκποδὼν γενομένων, ἡ μήτηρ αὐτοῦ παρίστατο τῷ Σταυρῷ, καὶ ἡ ἀδελφὴ αὐτῆς Μαρία ἡ τοῦ Κλωπᾶ, ἣν ὁ Ἰωακεὶμ ἐγγύησε τῷ Κλωπᾷ ἄπαιδι τεθνηκότι· ἔτι δὲ καὶ Ἰωάννης ὁ φιλούμενος αὐτοῦ μαθητής· οἱ τοίνυν ἀγνώμονες Ἰουδαῖοι μὴ δ' ἐπὶ τοῦ Σταυροῦ τὰ σώματα βλέπειν ἀρκούμενοι, ἠρώτησαν τὸν Πιλάτον· ἐπεὶ μεγάλη ἦν ἡ ἡμέρα τοῦ Πάσχα, καὶ ἡ παρασκευὴ, ἵνα τὰ τῶν καταδίκων σκέλη θλασθῶσιν, ὡς ἂν ταχύτερος ὁ θάνατος ἐπιγένηται· καὶ τῶν μὲν τὰ σκέλη συνέτριψαν· ἔτι γὰρ ἔζων· ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, ὡς εἶδον αὐτὸν ἤδη τεθνηκότα, τοῦ συντρίψαι ἀπέχοντο· εἷς δέ τις τῶν στρατιωτῶν τοῖς ἀγνώμοσι χαριζόμενος, ἀνατείνας τὸ δόρυ, κατὰ τὴν δεξιὰν πλευρὰν νύττει τὸν Χριστὸν, καὶ εὐθέως ἐξῆλθεν αἷμα, καὶ ὕδωρ· τὸ μὲν, ὡς ἄνθρωπος· τὸ δὲ, ὡς ὑπὲρ ἄνθρωπον· ἢ τὸ μὲν αἷμα, διὰ τὴν τῶν θείων ἁγιασμάτων μετάληψιν· τὸ δὲ ὕδωρ, διὰ τὸ βάπτισμα· αὕτη γὰρ ἡ δίκρουνος τῷ ὄντι πηγὴ τὸ καθ' ἡμᾶς συνέχει μυστήριον· ταῦτα καὶ Ἰωάννης ἰδὼν ἐμαρτύρησε, καὶ ἀληθινή ἐστιν ἡ μαρτυρία αὐτοῦ· ὅτι παρὼν ἐφ' ἅπασι καὶ ὁρῶν, γράφει· καὶ ὅτι εἰ ψευδῆ εἶχε λέγειν, οὐκ ἂν τὰ πρὸς ἀτιμίαν τοῦ διδασκάλου δοκοῦντα συνέγραφε· τοῦτον, φασὶ, τὸν τότε παρόντι ἀγγείῳ τινὶ ἀπὸ τῆς ζωοῤῥύτου πλευρᾶς τὸ θεῖον αἷμα, καὶ ὑπεράγιον δέξασθαι· τούτων δὲ οὕτως ὑπερφυῶς διαπεπραγμένων· ἐπεὶ πρὸς ἑσπέραν ἦν ἤδη, Ἰωσὴφ ὁ ἐξ Ἀριμαθαίας ἔξεισι, μαθητὴς τὰ πρῶτα, ὡς οἱ λοιποὶ, κρυπτόμενος· καὶ τῷ Πιλάτῳ προσελθὼν μετὰ τόλμης γνωρίμῳ γε ὄντι, αἰτεῖται τὸ σῶμα τοῦ Ἰησοῦ· ὁ δὲ λαβεῖν ἐπιτρέπει· καὶ δὴ ἀπὸ τοῦ Σταυροῦ τοῦτο καταγαγὼν, πανευλαβῶς ἔθετο· ἄρτι δ' ἐπιλαβούσης νυκτὸς ἔρχεται Νικόδημος φέρων σμύρνης, καὶ ἀλόης τι μίγμα σχεδιασθὲν τῷ καιρῷ· καὶ συν-

δόσι περιελίξαντες, ὡς ἔθος ἦν Ἰουδαίοις ποιεῖν, σύνεγγυς ἔθεντο ἐν τῷ ἐκ πέτρας λελατομημένῳ μνημείῳ τοῦ Ἰωσήφ, ἔνθα οὐδεὶς πρότερον ἔπεσεν· ἵνα μὴ τοῦ Χριστοῦ ἀναστάντος, ἑτέρῳ τὴν ἀνάστασιν ἐπιγράψωσι· τοῦ δὲ μίγματος τῆς ἀλώης, καὶ τῆς σμύρνης κολλητικῶν ὄντων ὁ Εὐαγγελιστὴς ἐμνημόνευσεν· ἵνα ὅταν ἴδωσι τὴν σινδόνα, καὶ τὸ σουδάριον τῷ τάφῳ καταλειφθέντα, μὴ νομίσωσι κλαπῆναι αὐτόν· πῶς γὰρ ἄν, ἀδείας τοσαύτης μὴ οὔσης, ὥς τε καὶ ἀποσπᾶν ἐκεῖνα οὕτως ἐμπεφυκότα τῇ σαρκί. Ταῦτα πάντα γεγενημένα παραδόξως κατὰ τὸν τῆς παρασκευῆς καιρὸν, καὶ ἡμᾶς τούτων ἁπάντων μνείαν ποιεῖσθαι μετὰ συντριβῆς καρδίας, καὶ κατανύξεως οἱ θεοφόροι Πατέρες ἐθέσπισαν.

Ἰστέον μέντοι, ὡς τῇ ἕκτῃ ἡμέρᾳ τῆς ἑβδομάδος, δηλαδὴ τῆς παρασκευῆς, ἐσταυρώθη ὁ Κύριος διὰ τὸ καὶ τῇ ἕκτῃ ἡμέρᾳ τὸ καταρχὰς πλασθῆναι τὸν ἄνθρωπον· ἀλλὰ καὶ τῇ ἕκτῃ ὥρᾳ τῆς ἡμέρας ἐν τῷ Σταυρῷ ἐκρέματο, ὅτι ἐν ταύτῃ, ὥς φασι, καὶ ὁ Ἀδὰμ τοῦ ἀπηγορευμένου ξύλου τὰς χεῖρας ἐκτείνας ἥψατο, καὶ ἀπέθανεν· ἐχρῆν γὰρ τὸν κατ᾽ αὐτὴν συντριβέντα, κατ᾽ αὐτὴν πάλιν ἀναπλασθῆναι· ἐν κήπῳ δὲ, ὅτι καὶ ὁ Ἀδὰμ ἐν τῷ Παραδείσῳ· ἡ πικρὰ πόσις τὴν γεῦσιν εἰκονίζει· τὸ ῥάπισμα τὴν ἡμῶν ἐλευθερίαν ἐδήλου, ὁ ἐμπτυσμὸς, καὶ ἡ ἄτιμος περιαγωγὴ τὴν περὶ ἡμᾶς τιμήν· ὁ ἀκάνθινος στέφανος τὴν καθ᾽ ἡμῶν ἀποτροπὴν τῆς ἀρᾶς· ἡ πορφυρὰ χλαμὺς διὰ τοὺς δερματίνους χιτῶνας, καὶ τὴν περὶ ἡμᾶς βασιλικὴν στολήν· οἱ ἧλοι τὴν παντελῆ τῆς ἡμῶν ἁμαρτίας ἀκινησίαν· ὁ Σταυρὸς τὸ ξύλον τὸ ἐν Παραδείσῳ· ἡ νυγεῖσα πλευρὰ τὴν τοῦ Ἀδὰμ εἰκονίζει, ἀφ᾽ ἧς ἡ Εὔα, ἐξ ἧς ἡ παράβασις· ἡ λόγχη τὴν φλογίνην ῥομφαίαν μοι ἀποστρέφει· τὸ ἐκ πλευρᾶς ὕδωρ εἰκὼν τοῦ βαπτίσματος· τὸ αἷμα, καὶ ὁ κάλαμος, δι᾽ ὧν ἡμῖν ἐρυθροῖς γράμμασιν, ὡς Βασιλεὺς, τὴν ἀρχαίαν πατρίδα ἀπεχαρίσατο· Λέγεται μέντοι, τὸ τοῦ Ἀδὰμ κρανίον ἐκεῖσε κεῖσθαι, ὅπου καὶ ὁ Χριστὸς, ἡ κεφαλὴ πάντων ἐσταύρωται· ἐβαπτίσθη οὖν τῷ τοῦ Χριστοῦ αἵματι καταρρεύσαντι· φασὶ μέντοι τῶν ἁγίων οἱ ἔγκειτοι, ἐκ παραδόσεως ἔχειν, καὶ αὐτὸν τὸν Ἀδὰμ ἐκεῖσε ὑπὸ Ἀγγέλου ταφῆναι· ὅπου τοίνυν τὸ πτῶμα, ἐκεῖ καὶ ὁ αἰτὸς ἐπέστη Χριστὸς, ὁ αἰώνιος Βασιλεὺς, ὁ νέος Ἀδὰμ τὸν παλαιὸν καὶ διὰ ξύλου πεσόντα ξύλῳ ἰώμενος.

Τῇ ὑπερφυῇ καὶ περὶ ἡμᾶς παναπείρῳ σου εὐσπλαγχνίᾳ, Χριστὲ ὁ Θεὸς ἐλέησον ἡμᾶς, ἀμήν.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Στήλην κακίας ἀντιθέου παῖδες θεῖοι παρεδειγμάτισαν, κατὰ Χριστοῦ δὲ φρυαττόμενον „ ἄνομον συνέδριον βουλεύεται κενὰ, κτεῖναι με„ λετᾷ τὸν ζωῆς κρατοῦντα παλάμῃ· ὃν πᾶσα „ κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπὸ βλεφάρων, μαθηταῖς, νῦν ὕπνον, ἔφης Χριστὲ, τινάξατε, ἐν προσευχῇ δὲ γρηγορεῖτε, πειρασμῷ μήπως ὄλιθε· καὶ μάλιστα Σίμωνι, τῷ κραταιῷ γὰρ μείζων πεῖρα, γνῶθί με, Πέτρε· ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βέβηλον ἔπος τῶν χειλέων οὔποτε προοίσομαι, δέσποτα, σὺν σοὶ θανοῦμαι ὡς εὐγνώμων, κἂν οἱ πάντες ἀρνήσονται· ἐβόησε Πέτρος· σὰρξ, οὐδὲ αἷμα, ὁ Πατήρ σου ἀπεκάλυψέ μοι σέ· ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Βάθος σοφίας θεϊκῆς, καὶ γνώσεως οὐ πᾶν ἐξηρεύνησας· ἄβυσσον δέ μου τῶν κριμάτων οὐ κατέλαβες, ἄνθρωπε, ὁ Κύριος ἔφη· σὰρξ οὖν ὑπάρχων, μὴ καυχῶ, ἀρνήσῃ τρίτον γάρ με· ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ἀπαγορεύεις, Σίμων Πέτρε, ὅπερ πείσῃ τάχος, ὡς εἴρηται· καί σοι παιδίσκη, οἷα θᾶττον προσελθοῦσα, πτοήσει σε· ὁ Κύριος ἔφη, πικρῶς δακρύσας, ἕξεις ὅμως εὐίλατόν με· ὃν πᾶσα κτίσις εὐλογεῖ δοξάζουσα εἰς τοὺς αἰῶνας.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀ„ διαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως „ Θεοτόκον σὲ μεγαλύνομεν.

Ὀλέθριος σπεῖρα θεοστυγῶν, πονηρευομένων, θεοκτόνων συναγωγὴ ἐπέστη, Χριστέ, σοι, καὶ ὡς ἄδικον εἷλκε τὸν κτίστην τῶν ἁπάντων, ὃν μεγαλύνομεν.

Νόμον ἀγνοοῦντες οἱ ἀσεβεῖς, φωνὰς προφητῶν τε, μελετῶντες διακενῆς, ὡς πρόβατον, εἷλκον σὲ τὸν πάντων δεσπότην, ἀδίκως σφαγιάσαι, ὃν μεγαλύνομεν.

Τοῖς ἔθνεσιν ἔκδοτον τὴν ζωὴν σὺν τοῖς γραμματεῦσιν ἀναιρεῖσθαι οἱ Ἱερεῖς παρέχον, πληγέντες αὐτοφθόνῳ κακίᾳ τὸν φύσει ζωοδότην, ὃν μεγαλύνομεν.

Ἐκύκλωσαν κύνες ὡσεὶ πολλοὶ, ἐκρότησαν, ἄναξ, σιαγόνα σὺν ῥαπισμῷ· ἠρώτων σε, σοῦ δὲ ψευδῆ κατεμαρτύρουν, καὶ πάντα ὑπομείνας, ἅπαντας ἔσωσας.

Εἶτα

Digitized by Google

Εἶτα τὸ ἐξαποστειλάριον ἐκ τρίτου.

ΤΟν λῃστὴν αὐθημερὸν τοῦ Παραδείσου ἠξίωσας, Κύριε, κἀμὲ τῷ ξύλῳ τοῦ Σταυροῦ φώτισον, καὶ σῶσόν με.

Εὐαγγέλιον θ'. κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ εἱστήκεισαν παρὰ τῷ Σταυρῷ τοῦ Ἰησοῦ· τέλος· Ὄψονται εἰς ὃν ἐξεκέντησαν. Καὶ εὐθὺς τὸ πᾶσα πνοὴ εἰς ἦχον γ'. Ἱστῶμεν στίχ. δ'. καὶ ψάλλομεν στιχη. ἰδιόμ. τοὺς γ'. τρίτους· δευτεροῦντες τὸ α'. ἦχ. γ'. Δίς.

ΔΥ'ο καὶ πονηρὰ ἐποίησεν ὁ πρωτότοκος υἱός μου Ἰσραήλ· ἐμὲ ἐγκατέλιπε πηγὴν ὕδατος ζωῆς, καὶ ὤρυξεν ἑαυτῷ φρέαρ συντετριμμένον· ἐμὲ ἐπὶ ξύλου ἐσταύρωσε, τὸν δὲ Βαραββᾶν ᾐτήσατο, καὶ ἀπέλυσεν· ἐξέστη ὁ οὐρανὸς ἐπὶ τούτῳ, καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε· σὺ δὲ Ἰσραὴλ οὐκ ἐνετράπης, ἀλλὰ θανάτῳ με παρέδωκας· ἄφες αὐτοῖς, Πάτερ ἅγιε, οὐ γὰρ οἴδασι τί ἐποίησαν.

Ὁ αὐτός.

ἝΚαστον μέλος τῆς ἁγίας σου σαρκὸς ἀτιμίαν δι' ἡμᾶς ὑπέμεινε· τὰς ἀκάνθας ἡ κεφαλή· ἡ ὄψις τὰ ἐμπτύσματα· αἱ σιαγόνες τὰ ῥαπίσματα· τὸ στόμα τὴν ἐν ὄξει κερασθεῖσαν χολὴν τῇ γεύσει· τὰ ὦτα τὰς δυσσεβεῖς βλασφημίας· ὁ νῶτος τὴν φραγγέλλωσιν· καὶ ἡ χεὶρ τὸν κάλαμον· αἱ τοῦ ὅλου σώματος ἐκτάσεις ἐν τῷ Σταυρῷ· τὰ ἄρθρα τοὺς ἥλους· καὶ ἡ πλευρὰ τὴν λόγχην· ὁ παθὼν ὑπὲρ ἡμῶν, καὶ παθῶν ἐλευθερώσας ἡμᾶς· ὁ συγκαταβὰς ἡμῖν φιλανθρωπίᾳ, καὶ ἀνυψώσας ἡμᾶς, παντοδύναμε Σωτὴρ ἐλέησον ἡμᾶς.

Ὁ αὐτός.

ΣΤαυρωθέντος σου, Χριστέ, πᾶσα ἡ κτίσις βλέπουσα ἔτρεμε, τὰ θεμέλια τῆς γῆς διεδονήθησαν φόβῳ τοῦ κράτους σου· σοῦ γὰρ ὑψωθέντος σήμερον, γένος Ἑβραίων ἀπώλετο· τοῦ ναοῦ τὸ καταπέτασμα διερράγη διχῶς, καὶ νεκροὶ ἐκ τῶν τάφων ἐξανέστησαν· ἑκατόνταρχος ἰδὼν τὸ θαῦμα ἔφριξε· παρεστῶσα δὲ ἡ μήτηρ σου, ἐβόα θρηνῳδοῦσα μητρικῶς· πῶς μὴ θρηνήσω, καὶ τὰ σπλάγχνα μου τύψω, ὁρῶσά σε γυμνὸν, ὡς κατάκριτον τῷ ξύλῳ κρεμάμενον; ὁ σταυρωθεὶς, καὶ ταφεὶς, καὶ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε, δόξα σοι.

Δόξα, ἦχος πλ. β'.

ἘΞέδυσάν με τὰ ἱμάτιά μου, καὶ ἐνέδυσάν με χλαμίδα κοκκίνην· ἔθηκαν ἐπὶ τὴν κεφαλήν μου στέφανον ἐξ ἀκανθῶν· καὶ ἐπὶ τὴν δεξιάν μου χεῖρα ἔδωκαν κάλαμον· ἵνα συντρίψω αὐτοὺς, ὡς σκεύη κεραμέως.

Καὶ νῦν.

ΤΟν νῶτόν μου ἔδωκα εἰς μαστίγωσιν, τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ ἐμπτυσμάτων· βήματι Πιλάτου παρέστην, καὶ Σταυρὸν ὑπέμεινα διὰ τοῦ Κόσμου σωτηρίαν.

Εὐαγγέλιον ι'. κατὰ Μάρκον· Τῷ καιρῷ ἐκείνῳ, ἐλθὼν Ἰωσὴφ, τέλος· Ἐθεώρουν ποῦ τίθεται. Εἶτα τὸ, δόξα ἐν ὑψίστοις Θεῷ· ὁ δὲ Ἱερεὺς τὴν συναπτήν· καὶ μετὰ τὴν ἐκφώνησιν, τὸ, ὅτι Θεὸς ἐλέους· καὶ εὐθὺς Εὐαγγέλιον ια'. κατὰ Ἰωάννην. Τῷ καιρῷ ἐκείνῳ ἠρώτησε τὸν Πιλάτον, τέλος. Ἔθηκαν τὸν Ἰησοῦν. Καὶ ψάλλομεν τὰ στιχη. τοῦ ἤχου ἦχ. α'.

ΠΑ͂σα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον, Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον τῷ τὰ πάντα κτίσαντι· ὁ ἑκουσίως δι' ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Στίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου, ἦχος β'.

ΛΑὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; μέγα θαῦμα, ὅτι ὁ κτίστης τοῦ Κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν ᾅδῃ δεσμώτας ἐλευθερώσῃ κράζοντας, μακρόθυμε Κύριε δόξα σοι.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου, ἦχος β'.

ΣΗ'μερον σε θεωροῦσα ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Λόγε, ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς, καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, ἀνέκραγε γοερῶς· οἴμοι θεῖον τέκνον, οἴμοι τὸ φῶς τοῦ Κόσμου· τί ἔδυς ἐξ ὀφθαλμῶν μου ὁ ἀμνὸς τοῦ Θεοῦ; ὅθεν αἱ στρατιαὶ τῶν ἀσωμάτων τρόμῳ συνείχοντο λέγουσαι, ἀκατάληπτε Κύριε δόξα σοι.

Στίχ.

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν, ἦχος β'.

ἘΠὶ ξύλου βλέπουσα κρεμάμενον, Χριστέ, σὲ τὸν πάντων κτίστην, καὶ Θεὸν ἡ σὲ ἀσπόρως τεκοῦσα, ἐβόα πικρῶς· υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾶν σε ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Δόξα, ἦχος πλ. δ'.

ΚΎριε, ἀναβαίνοντός σου ἐν τῷ Σταυρῷ, φόβος καὶ τρόμος ἐπέπεσε τῇ κτίσει· καὶ τὴν γῆν μὲν ἐκώλυες καταπιεῖν τοὺς σταυροῦντάς σε, τῷ δὲ ᾅδῃ ἐπέτρεπες ἀναπέμπειν τοὺς δεσμίους εἰς ἀναγέννησιν βροτῶν· κριτὰ ζώντων, καὶ νεκρῶν, ζωὴν ἦλθες παρασχεῖν, καὶ οὐ θάνατον, φιλάνθρωπε δόξα σοι.

Καὶ νῦν.

ἬΔη βάπτεται κάλαμος ἀποφάσεως παρὰ κριτῶν ἀδίκων, καὶ Ἰησοῦς δικάζεται, καὶ κατα-

κατακρίνεται Σταυρῷ, καὶ πάσχει ἡ κτίσις ἐν Σταυρῷ καθορῶσα τὸν Κύριον· ἀλλ' ὁ φύσει σώματος δι' ἐμὲ πάσχων, ἀγαθὲ Κύριε δόξα σοι.

Εὐαγγέλιον ιβ'. κατὰ Ματθαῖον· Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν· τέλος. Μετὰ τῆς κουστωδίας· Εἶτα τό, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ. Τὸ τρισάγιον, καὶ τὰ λοιπά, ἤγουν. Παναγία τριάς, Πάτερ ἡμῶν· ὁ Ἱερεύς. Ὅτι σοῦ ἐστίν.

Καὶ τὸ ἀπολυτίκιον ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου Αἵματι, τῷ Σταυρῷ προσηλωθείς, καὶ τῇ λόγχῃ κεντηθείς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

Ἐκτενή, καὶ ἀπόλυσις. Τὴν δὲ πρώτην ὥραν οὐκ ἐπισυνάπτομεν νῦν, ἀλλὰ περὶ ὥραν δευτέραν τῆς ἡμέρας.

Εἴδησις τῶν ὡρῶν τῆς ἁγίας, καὶ μεγάλης παρασκευῆς· ποίημα Κυρίλλου Ἀρχιεπισκόπου Ἀλεξανδρείας. Περὶ ὥραν β'. τῆς ἡμέρας σημαίνει, καὶ ἀλλάσσει ὁ Ἱερεύς, καὶ εὐλογήσαντος αὐτοῦ, ἀρχόμεθα τοῦ, Βασιλεῦ οὐράνιε· Τὸ τρισάγιον, Παναγία τριάς. Πάτερ ἡμῶν. ὁ Ἱερεύς· ὅτι σοῦ ἐστίν· Τό, Κύριε ἐλέησον ιβ'. Δόξα. Καὶ νῦν. Δεῦτε προσκυνήσωμεν γ'. καὶ λέγομεν οὐ τοὺς συνήθως ψαλμούς, ἀλλ' οὓς ἐνταῦθα διαγορεύει.

Ψαλμὸς ε'.

Τὰ ῥήματά μου ἐνώτισαι Κύριε, σύνες τῆς κραυγῆς μου, πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου. Ὅτι πρὸς σὲ προσεύξομαι Κύριε, τὸ πρωΐ, εἰσακούσῃ τῆς φωνῆς μου. Τὸ πρωῒ παραστήσομαί σοι, καὶ ἐπόψομαι, ὅτι οὐχὶ Θεὸς θέλων ἀνομίαν σὺ εἶ. Οὐδὲ παροικήσει σοι πονηρευόμενος, οὐδὲ διαμενοῦσι παράνομοι κατέναντι τῶν ὀφθαλμῶν σου. Ἐμίσησας Κύριε πάντας τοὺς ἐργαζομένους τὴν ἀνομίαν, ἀπολεῖς πάντας τοὺς λαλοῦντας τὸ ψεῦδος. Ἄνδρα αἱμάτων καὶ δόλιον βδελύσσεται Κύριος· ἐγὼ δὲ ἐν τῷ πλήθει τοῦ ἐλέους σου εἰσελεύσομαι εἰς τὸν οἶκόν σου· προσκυνήσω πρὸς ναὸν ἅγιόν σου ἐν φόβῳ σου. Κύριε ὁδήγησόν με ἐν τῇ δικαιοσύνῃ σου, ἕνεκα τῶν ἐχθρῶν μου κατεύθυνον ἐνώπιόν σου τὴν ὁδόν μου. Ὅτι οὐκ ἔστιν ἐν τῷ στόματι αὐτῶν ἀλήθεια· ἡ καρδία αὐτῶν ματαία· τάφος ἀνεῳγμένος ὁ λάρυγξ αὐτῶν· ταῖς γλώσσαις αὐτῶν ἐδολιοῦσαν· κρῖνον αὐτοὺς ὁ Θεός. Ἀποπεσάτωσαν ἀπὸ τῶν διαβουλιῶν αὐτῶν, κατὰ τὸ πλῆθος τῶν ἀσεβειῶν αὐτῶν ἔξωσον αὐτούς· ὅτι παρεπίκρανάν σε Κύριε· Καὶ εὐφρανθήτωσαν πάντες οἱ ἐλπίζοντες ἐπὶ σέ· εἰς αἰῶνα ἀγαλλιάσονται, καὶ κατασκηνώσεις ἐν αὐτοῖς. Καὶ καυχήσονται ἐπὶ σοὶ πάντες οἱ ἀγαπῶντες τὸ ὄνομά σου, ὅτι σὺ εὐλογήσεις δίκαιον. Κύριε, ὡς ὅπλῳ εὐδοκίας ἐστεφάνωσας ἡμᾶς.

Ψαλμὸς β'.

Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; παρέστησαν οἱ Βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτὸ κατὰ τοῦ Κυρίου, καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ· διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ' ἡμῶν τὸν ζυγὸν αὐτῶν· ὁ κατοικῶν ἐν οὐρανοῖς ἐκγελάσεται αὐτούς, καὶ ὁ Κύριος ἐκμυκτηριεῖ αὐτούς· τότε λαλήσει πρὸς αὐτοὺς ἐν ὀργῇ αὐτοῦ, καὶ ἐν τῷ θυμῷ αὐτοῦ ταράξει αὐτούς· ἐγὼ δὲ κατεστάθην Βασιλεὺς ὑπ' αὐτοῦ ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. Κύριος εἶπε πρός με, υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς· ποιμανεῖς αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ, ὡς σκεῦος κεραμέως συντρίψεις αὐτούς, καὶ νῦν Βασιλεῖς σύνετε, παιδεύθητε πάντες οἱ κρίνοντες τὴν γῆν· δουλεύσατε τῷ Κυρίῳ ἐν φόβῳ, καὶ ἀγαλλιᾶσθε αὐτῷ ἐν τρόμῳ· δράξασθε παιδείας, μήποτε ὀργισθῇ Κύριος, καὶ ἀπολεῖσθε ἐξ ὁδοῦ δικαίας· ὅταν ἐκκαυθῇ ἐν τάχει ὁ θυμὸς αὐτοῦ, μακάριοι πάντες οἱ πεποιθότες ἐπ' αὐτῷ.

Ψαλμὸς κα'.

Ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι· ἵνα τί ἐγκατέλιπές με; μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου· ὁ Θεός μου κεκράξομαι ἡμέρας πρός σε, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς καὶ οὐκ εἰς ἄνοιαν ἐμοί· σὺ δὲ ἐν ἁγίῳ κατοικεῖς ὁ ἔπαινος τοῦ Ἰσραήλ· ἐπὶ σοὶ ἤλπισαν οἱ πατέρες ἡμῶν, ἤλπισαν καὶ ἐρρύσω αὐτούς· πρὸς σὲ ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπὶ σοὶ ἤλπισαν καὶ κατῃσχύνθησαν· ἐγὼ δέ εἰμι σκώληξ καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουθένημα λαοῦ· πάντες οἱ θεωροῦντές με ἐξεμυκτήρισάν με· ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν· ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν· σωσάτω αὐτόν, ὅτι θέλει αὐτόν· ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρός, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου, ἐπὶ σὲ ἐπερρίφην ἐκ μήτρας· ἐκ κοιλίας μητρός μου Θεός μου εἶ σύ, μὴ ἀποστῇς ἀπ' ἐμοῦ· ὅτι θλῖψις ἐγγύς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν· περιεκύκλωσάν με μόσχοι πολλοί, ταῦροι πίονες περιέσχον με· ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος· ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου· ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου· ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με· ὅτι ἐκύκλωσάν με κύ-

νες

Digitized by Google

τῆς πολλοί, συναγωγὴ πονηρευομένων περιέσχον με· ὤρυξαν χεῖράς μου, καὶ πόδας, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με· διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον· σὺ δὲ Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου πρόσχες· ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου· σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων μονοκερώτων τὴν ταπείνωσίν μου· διηγήσομαι τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· οἱ φοβούμενοι τὸν Κύριον αἰνέσατε αὐτόν, ἅπαν τὸ σπέρμα Ἰακὼβ δοξάσατε αὐτόν· φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ σπέρμα Ἰσραήλ· ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου· παρὰ σοῦ ὁ ἔπαινός μου, ἐν Ἐκκλησίᾳ μεγάλῃ τὰς εὐχάς μου ἀποδώσω ἐνώπιον τῶν φοβουμένων αὐτόν· φάγονται πένητες καὶ ἐμπλησθήσονται· καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες αὐτόν, ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα αἰῶνος· μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν· ὅτι τοῦ Κυρίου ἡ βασιλεία καὶ αὐτὸς δεσπόζει τῶν ἐθνῶν· ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ προπεσοῦνται πάντες οἱ καταβαίνοντες εἰς τὴν γῆν· καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ τὸ σπέρμα μου δουλεύσει αὐτῷ· ἀναγγελήσεται τῷ Κυρίῳ γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα.

Τετράριον, ἦχος α΄.

Σταυρωθέντος σου, Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ' αὐτός, Κύριε, ἔσωσας ἡμᾶς, δόξα σοι.

Δόξα. Καὶ νῦν. Τί σε καλέσωμεν. Εἶθ' οὕτω ψάλλομεν τροπάρια γ΄. ἀπὸ τῶν ιβ΄. Δευτεροῦντες αὐτά. Λέγομεν δὲ τὸ πρῶτον χωρὶς στίχ. Οὕτω γὰρ ποιοῦμεν καὶ ἐν ταῖς λοιπαῖς ὥραις εἰς τὸ πρῶτον τροπάριον. Εἰς δὲ τὸ δεύτερον λέγει ὁ ἐναρξάμενος χορὸς στίχ. ψάλλει αὐτά.

Εἶτα πάλιν ὁ ἕτερος χορὸς στίχ. καὶ ψάλλει καὶ αὐτὸς τοῦτο· τὸ δὲ τρίτον λέγομεν εἰς τὸ Δόξα, καὶ εἰς τό. Καὶ νῦν στιχη. ἰδιόμ. τῆς α. ὥρας, ἦχος πλ. β΄.

Σήμερον τοῦ ναοῦ τὸ καταπέτασμα εἰς ἔλεγχον ῥήγνυται τῶν παρανόμων, καὶ τὰς ἰδίας ἀκτῖνας ὁ ἥλιος κρύπτει, δεσπότην ὁρῶν σταυρούμενον.

Καὶ πάλιν αὐτὸ ὁ ἕτερος χορὸς εἶτα λέγει στίχ. ὁ α΄. χορός· Ἵνα τί ἐφρύαξαν ἔθνη καὶ λαοὶ ἐμελέτησαν κενά. Καὶ ψάλλομεν τὸ παρὸν τροπάριον ἦχος πλ. δ΄.

Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθης, Χριστὲ βασιλεῦ, καὶ ὡς ἀμνὸς ἄκακος προσηλώθης τῷ Σταυρῷ ὑπὸ τῶν παρανόμων ἀνδρῶν διὰ τὰς ἁμαρτίας ἡμῶν, φιλάνθρωπε.

Στίχ. Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθησαν. Καὶ ψάλλει πάλιν τοῦτο ὁ ἕτερος χορός. Εἶτα ὁ α΄. χορός.

Δόξα ἦχος πλ. δ΄.

Τοῖς συλλαβοῦσί σε παρανόμοις ἀνεχόμενος οὕτως ἐβόας, Κύριε· εἰ καὶ ἐπατάξατε τὸν ποιμένα, καὶ διεσκορπίσατε τὰ δώδεκα πρόβατα τοὺς μαθητάς μου, ἠδυνάμην πλείους ἢ δώδεκα λεγεῶνας παραστῆσαι ἀγγέλων· ἀλλὰ μακροθυμῶ, ἵνα πληρωθῇ, ἃ ἐδήλωσα ὑμῖν διὰ τῶν προφητῶν μου ἄδηλα, καὶ κρύφια, Κύριε δόξα σοι.

Καὶ νῦν, πάλιν τὸ αὐτό.

Προκείμενον τῆς προφητείας ἦχος δ΄.

Ἡ καρδία αὐτοῦ συνήγαγεν ἀνομίαν.

Στίχ. Μακάριος ὁ συνιῶν ἐπὶ πτωχὸν, καὶ πένητα.

Προφητείας Ζαχαρίου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ ἀπορρίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαοὺς, καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ χαναναῖοι τὰ πρόβατα τὰ φυλασσόμενά μοι, διότι λόγος Κυρίου ἐστί· καὶ ἐρῶ πρὸς αὐτούς· εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστι, δότε τὸν μισθόν μου, ἢ ἀπείπασθε· καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργυροῦς· καὶ εἶπε Κύριος πρός με· κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψομαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν, καὶ ἔλαβον τοὺς τριάκοντα ἀργυροῦς, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον· καθὰ συνέταξέ μοι Κύριος.

Ὁ Ἀπόστολος πρὸς Γαλάτας.

Ἀδελφοί, ἐμοὶ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ Σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ· ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις· καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχήσουσιν, εἰρήνη ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ· τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω, ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου Ἰησοῦ ἐν τῷ σώματί μου βαστάζω· ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ Πνεύματος ὑμῶν, ἀδελφοί, Ἀμήν.

Εὐαγ-

Digitized by Google

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, πρωΐας γινομένης· τέλος. Καὶ ἡ Μήτηρ τῶν υἱῶν Ζεβεδαίου· Τὰ διαβήματά μου. Τὸ Τρισάγιον· Παναγία Τριὰς, Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστι, τὸ Κοντάκιον· ἦχος πλ. δ'.

Τὸν δι' ἡμᾶς σταυρωθέντα δεῦτε πάντες ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου, καὶ ἔλεγεν· εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱὸς, καὶ Θεός μου.

Τὸ, Κύριε ἐλέησον μ'. Ὁ ἐν παντὶ καιρῷ, Δόξα. Καὶ νῦν, τὴν τιμιωτέραν, ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς· Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν τὸ φωτίζον,

Ὥρα γ'. τὸ Τρισάγιον. Παναγία Τριάς· τὸ, Πάτερ ἡμῶν, τὸ Κύριε, ἐλέησον ιβ'. Δεῦτε προσκυνήσωμεν γ'. καὶ οἱ ψαλμοί.

Ψαλμὸς λδ'.

Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με, πολέμησον τοὺς πολεμοῦντάς με· ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ, καὶ ἀνάστηθι εἰς τὴν βοήθειάν μοι· ἔκχεον ῥομφαίαν, καὶ σύγκλεισον ἐξεναντίας τῶν καταδιωκόντων με, εἰπὸν τῇ ψυχῇ μου, σωτηρία σου ἐγώ εἰμι· αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφείησαν οἱ λογιζόμενοί μοι κακά· γενηθήτωσαν ὡσεὶ χνοῦς κατὰ πρόσωπον ἀνέμου, καὶ ἄγγελος Κυρίου ἐκθλίβων αὐτούς· γενηθήτω ἡ ὁδὸς αὐτῶν σκότος καὶ ὀλίσθημα, καὶ ἄγγελος Κυρίου καταδιώκων αὐτοὺς, ὅτι δωρεὰν ἔκρυψάν μοι διαφθορὰν παγίδος αὐτῶν, μάτην ὠνείδισαν τὴν ψυχήν μου· ἐλθέτω αὐταῖς παγὶς, ἣν οὐ γινώσκουσι, καὶ ἡ θήρα, ἣν ἔκρυψαν, συλλαβέτω αὐτοὺς, καὶ ἐν τῇ παγίδι πεσοῦνται ἐν αὐτῇ· ἡ δὲ ψυχή μου ἀγαλλιάσεται ἐπὶ τῷ Κυρίῳ, τερφθήσεται, ἐπὶ τῷ σωτηρίῳ αὐτοῦ· πάντα τὰ ὀστᾶ μου ἐροῦσι, Κυρίῳ, Κύριε τίς ὅμοιός σοι; Ῥυόμενος πτωχὸν ἐκ χειρὸς στερεωτέρων αὐτοῦ, καὶ πτωχὸν καὶ πένητα ἀπὸ τῶν διαρπαζόντων αὐτόν· ἀναστάντες μάρτυρες ἄδικοι, ἃ οὐκ ἐγίνωσκον ἐπηρώτων με. Ἀνταπεδίδοσάν μοι πονηρὰ ἀντὶ καλῶν καὶ ἀτεκνίαν τῇ ψυχῇ μου· ἐγὼ δὲ ἐν τῷ αὐτοὺς παρενοχλεῖν μοι, ἐνεδυόμην σάκκον, καὶ ἐταπείνουν ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἡ προσευχή μου εἰς κόλπον μου ἀποστραφήσεται· ὡς πλησίον ὡς ἀδελφὸν ἡμέτερον οὕτως εὐηρέστουν, ὡς πενθῶν καὶ σκυθρωπάζων οὕτως ἐταπεινούμην· καὶ κατ' ἐμοῦ εὐφράνθησαν καὶ συνήχθησαν, συνήχθησαν ἐπ' ἐμὲ μάστιγες καὶ οὐκ ἔγνων· διεσχίσθησαν καὶ οὐ κατενύγησαν· ἐπείρασάν με, ἐξεμυκτήρισάν με μυκτηρισμὸν, ἔβρυξαν ἐπ' ἐμὲ τοὺς ὀδόντας αὐτῶν· Κύριε πότε ἐπόψῃ; ἀποκατάστησον τὴν ψυχήν μου ἀπὸ τῆς κακουργίας αὐτῶν, ἀπὸ λεόντων τὴν μονογενῆ μου. Ἐξομολογήσομαί σοι ἐν Ἐκκλησίᾳ πολλῇ, ἐν λαῷ βαρεῖ αἰνέσω σε. Μὴ ἐπιχαρείησάν μοι οἱ ἐχθραίνοντές μοι ματαίως, οἱ μισοῦντές με δωρεὰν, καὶ διανεύοντες ὀφθαλμοῖς· Ὅτι ἐμοὶ μὲν εἰρηνικὰ ἐλάλουν, καὶ ἐπ' ὀργῇ δόλους διελογίζοντο· καὶ ἐπλάτυναν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, εἶπαν εὖγε εὖγε, εἶδον οἱ ὀφθαλμοὶ ἡμῶν· εἶδες Κύριε μὴ παρασιωπήσῃς, Κύριε μὴ ἀποστῇς ἀπ' ἐμοῦ· ἐξεγέρθητι Κύριε, καὶ πρόσχες τῇ κρίσει μου, ὁ Θεός μου καὶ ὁ Κύριός μου εἰς τὴν δίκην μου· κρῖνόν με Κύριε κατὰ τὴν δικαιοσύνην σου Κύριε ὁ Θεός μου, καὶ μὴ ἐπιχαρείησάν μοι· μὴ εἴποισαν ἐν καρδίαις αὐτῶν, εὖγε εὖγε τῇ ψυχῇ ἡμῶν, μὴ δὲ εἴποιεν, κατεπίομεν αὐτὸν, Αἰσχυνθείησαν καὶ ἐντραπείησαν ἅμα οἱ ἐπιχαίροντες τοῖς κακοῖς μου· ἐνδυσάσθωσαν αἰσχύνην καὶ ἐντροπὴν οἱ μεγαλορρημονοῦντες ἐπ' ἐμέ. Ἀγαλλιάσαιντο, καὶ εὐφρανθείησαν οἱ θέλοντες τὴν δικαιοσύνην μου· καὶ εἰπάτωσαν διαπαντὸς, μεγαλυνθείη ὁ Κύριος, οἱ θέλοντες τὴν εἰρήνην τοῦ δούλου αὐτοῦ· καὶ ἡ γλῶσσά μου μελετήσει τὴν δικαιοσύνην σου, ὅλην τὴν ἡμέραν τὸν ἔπαινόν σου.

Ψαλμὸς ρη'.

Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα ἁμαρτωλοῦ, καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη· ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην. Καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλόν· καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ· ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος· καὶ ἡ προσευχὴ αὐτοῦ γενέσθω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λάβοι ἕτερος. Γενηθήτωσαν οἱ υἱοὶ αὐτοῦ ὀρφανοὶ, καὶ ἡ γυνὴ αὐτοῦ χήρα. Σαλευόμενοι μετανάστήτωσαν οἱ υἱοὶ αὐτοῦ, καὶ ἐπαιτησάτωσαν, ἐκβληθήτωσαν ἐκ τῶν οἰκοπέδων αὐτῶν· ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ· καὶ διαρπασάτωσαν ἀλλότριοι τοὺς πόνους αὐτοῦ. Μὴ ὑπαρξάτω αὐτῷ ἀντιλήπτωρ, μηδὲ γενηθήτω οἰκτίρμων τοῖς ὀρφανοῖς αὐτοῦ. Γενηθήτω τὰ τέκνα αὐτοῦ εἰς ἐξολόθρευσιν, ἐν γενεᾷ μιᾷ ἐξαλειφθείη τὸ ὄνομα αὐτοῦ. Ἀναμνησθείη ἡ ἀνομία τῶν πατέρων αὐτοῦ ἔναντι Κυρίου, καὶ ἡ ἁμαρτία τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη. Γενηθήτωσαν ἐναντίον Κυρίου διαπαντός, καὶ ἐξολοθρευθείη ἐκ γῆς τὸ μνημόσυνον αὐτῶν, ἀνθ' ὧν οὐκ ἐμνήσθη ποιῆσαι ἔλεος καὶ κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν, καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι. Καὶ ἠγάπησε κατάραν καὶ ἥξει αὐτῷ, καὶ οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ' αὐτοῦ.

Καὶ

Καὶ ἐνεδύσατο κατάραν ὡς ἱμάτιον· καὶ εἰσῆλθεν ὡσεὶ ὕδωρ εἰς τὰ ἔγκατα αὐτοῦ· καὶ ὡσεὶ ἔλαιον ἐν τοῖς ὀστέοις αὐτοῦ. Γενηθήτω αὐτῷ ὡς ἱμάτιον ὃ περιβάλλεται· καὶ ὡσεὶ ζώνη, ἣν διὰ παντὸς περιζώννυται. Τοῦτο τὸ ἔργον τῶν ἐνδιαβαλλόντων με παρὰ Κυρίου, καὶ τῶν λαλούντων πονηρὰ κατὰ τῆς ψυχῆς μου· καὶ σὺ Κύριε Κύριε ποίησον μετ᾽ ἐμοῦ, ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί με ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ· καὶ ἡ καρδία μου τετάρακται ἐντός μου. Ὡσεὶ σκιὰ ἐν τῷ ἐκκλῖναι αὐτὴν ἀντανῃρέθην, ἐξετινάχθην ὡσεὶ ἀκρίδες· τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ μου ἠλλοιώθη δι᾽ ἔλαιον. Κἀγὼ ἐγενήθην ὄνειδος αὐτοῖς· εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν· βοήθησόν μοι Κύριε ὁ Θεός μου· καὶ σῶσόν με κατὰ τὸ ἔλεός σου. Καὶ γνώτωσαν ὅτι ἡ χείρ σου αὕτη· καὶ σὺ Κύριε ἐποίησας αὐτήν· καταράσονται αὐτοί, καὶ σὺ εὐλογήσεις. Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν· ὁ δὲ δοῦλός σου εὐφρανθήσεται· ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπήν, καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν· ἐξομολογήσομαι τῷ Κυρίῳ σφόδρα ἐν τῷ στόματί μου, καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτόν. Ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

Ψαλμὸς ν᾽.

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου, καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με· ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστὶ διαπαντός· σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε· ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου· ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι· ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι· ἀκουτιεῖς με ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστᾶ τεταπεινωμένα· ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου· μὴ ἀπορρίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ πνεῦμα τὸ ἅγιόν σου μὴ ἀντανέλῃς ἀπ᾽ ἐμοῦ· ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με· διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι· ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου· ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις· θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην, καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· ἀγάθυνον Κύριε ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα, τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Δόξα. Καὶ νῦν. Ἀλληλούϊα γ᾽.

Καὶ λεγόμενον τροπάριον, ἦχος πλ. β᾽.

Κύριε, κατέκριναν σε οἱ Ἰουδαῖοι θανάτῳ, τὴν ζωὴν τῶν ἁπάντων· οἱ τὴν ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες, Σταυρῷ σε προσήλωσαν· καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες, χολήν σοι προσήνεγκαν· ἀλλ᾽ ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, Χριστὲ ὁ Θεός, δόξα σοι.

Δόξα. Καὶ νῦν· Θεοτόκε σὺ εἶ ἡ ἄμπελος· καὶ ψαλλόμενα τρία τροπάρια ἐκ τῶν ιβ᾽. δευτεροῦντες αὐτά· ἦχος πλ. δ᾽.

Διὰ τὸν φόβον τῶν Ἰουδαίων ὁ φίλος σου, καὶ ὁ πλησίον Πέτρος, ἠρνήσατό σε Κύριε, καὶ ὀδυρόμενος, οὕτως ἐβόα· τῶν δακρύων μου μὴ παρασιωπήσῃς, εἶπα γὰρ φυλάξαι τὴν πίστιν, οἰκτίρμον, καὶ οὐκ ἐφύλαξα· καὶ ἡμῶν τὴν μετάνοιαν οὕτω δέξαι, καὶ ἐλέησον ἡμᾶς.

Καὶ πάλιν τὸ αὐτό· εἶτα στίχ. Τὰ ῥήματά μου ἐνώτισαι Κύριε· ἦχος πλ. δ᾽.

Πρὸ τοῦ τιμίου σου Σταυροῦ στρατιωτῶν ἐμπαιζόντων σε Κύριε, αἱ νοεραὶ στρατιαὶ κατεπλήττοντο· ἀνεδήσω γὰρ στέφανον ὕβρεως, ὁ τὴν γῆν ζωγραφήσας τοῖς ἄνθεσι· καὶ τὴν χλαῖναν χλευαζόμενος ἐφόρεσας, ὁ νεφέλαις περιβάλλων τὸ στερέωμα· τοιαύτῃ γὰρ οἰκονομίᾳ ἐγνώσθη σου ἡ εὐσπλαγχνία, Χριστέ, τὸ μέγα ἔλεος· δόξα σοι.

Στίχ. Πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, καὶ πάλιν τὸ αὐτό.

Δόξα, ἦχος πλ. α᾽.

Ἐλκόμενος ἐπὶ Σταυροῦ οὕτως ἐβόας, Κύριε· διὰ ποῖον ἔργον θέλετέ με σταυρῶσαι Ἰουδαῖοι; ὅτι τοὺς παραλύτους ὑμῶν συνέσφιγξα; ὅτι τοὺς νεκροὺς ὡς ἐξ ὕπνου ἀνέστησα; Αἱμόρρουν ἰασάμην; Χαναναίαν ἠλέησα; διὰ ποῖον ἔργον θέλετέ με φονεῦσαι Ἰουδαῖοι; ἀλλ᾽ ὄψεσθε εἰς ὃν νῦν ἐκκεντᾶτε Χριστόν, παράνομοι.

Καὶ νῦν· πάλιν τὸ αὐτό. Προκείμ. ἦχος δ᾽.

Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς με.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Κύριος Κύριος δίδωσί μοι γλῶσσαν παιδείας, τοῦ γνῶναι, ἡνίκα δεῖ εἰπεῖν λόγον· ἔθηκέ μοι πρωΐ, προσέθηκέ μοι ὠτίον ἀκούειν· καὶ ἡ παιδεία Κυρίου Κυρίου ἀνοίγει μου τὰ ὦτα· ἐγὼ

δὲ

δὲ οὐκ ἀπειθῶ, οὐδὲ ἀντιλέγω· τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, τὰς δὲ σιαγόνας μου εἰς ῥαπίσματα· τὸ δὲ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ αἰσχύνης ἐμπτυσμάτων, καὶ Κύριος Κύριος βοηθός μοι ἐγενήθη· διὰ τοῦτο οὐκ ἐνετράπην, ἀλλὰ ἔθηκα τὸ πρόσωπόν μου, ὡς στερεὰν πέτραν· καὶ ἔγνων ὅτι οὐ μὴ αἰσχυνθῶ· ὅτι ἐγγίζει, ὁ δικαιώσας με· τίς ὁ κρινόμενός μοι; ἀντιστήτω μοι ἅμα· καὶ τίς ὁ κρινόμενός μοι; ἐγγισάτω μοι· ἰδοὺ Κύριος Κύριος βοηθήσει μοι· τίς κακώσει με; ἰδοὺ πάντες ὑμεῖς, ὡς ἱμάτιον παλαιωθήσεσθε, καὶ σὴς καταφάγεται ὑμᾶς· τίς ἐν ὑμῖν ὁ φοβούμενος τὸν Κύριον; ὑπακουσάτω τῆς φωνῆς τοῦ παιδὸς αὐτοῦ· οἱ πορευόμενοι ἐν σκότει, καὶ οὐκ ἔστιν αὐτοῖς φῶς, πεποίθατε ἐπὶ τῷ ὀνόματι Κυρίου, καὶ ἀντιστηρίσασθε ἐπὶ τῷ Θεῷ· ἰδοὺ πάντες ὑμεῖς πῦρ καίετε, καὶ κατισχύετε φλόγα· πορεύεσθε τῷ φωτὶ τοῦ πυρὸς ὑμῶν, καὶ τῇ φλογὶ ᾗ ἐξεκαύσατε· δι᾽ ἐμὲ ἐγένετο ταῦτα ὑμῖν· ἐν λύπῃ κοιμηθήσεσθε.

Ὁ Ἀπόστολος. Πρὸς Ῥωμαίους ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοί, ἔτι Χριστὸς ὄντων ἡμῶν ἀσθενῶν, κατὰ καιρὸν ὑπὲρ ἀσεβῶν ἀπέθανε· μόλις γὰρ ὑπὲρ δικαίου τὶς ἀποθανεῖται· ὑπὲρ γὰρ τοῦ ἀγαθοῦ τάχα τὶς καὶ τολμᾷ ἀποθανεῖν· συνίστησι γὰρ τὴν ἑαυτοῦ ἀγάπην εἰς ἡμᾶς ὁ Θεός· ὅτι ἔτι ἁμαρτωλῶν ὄντων ἡμῶν Χριστὸς ὑπὲρ ἡμῶν ἀπέθανε· πολλῷ οὖν μᾶλλον, δικαιωθέντες νῦν ἐν τῷ αἵματι αὐτοῦ, σωθησόμεθα δι᾽ αὐτοῦ ἀπὸ τῆς ὀργῆς· εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ διὰ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα ἐν τῇ ζωῇ αὐτοῦ.

Εὐαγγέλιον κατὰ Μάρκον. Τῷ καιρῷ ἐκείνῳ, οἱ στρατιῶται ἀπήγαγον τὸν Ἰησοῦν· τέλος. Εἰς Ἱεροσόλυμα. Κύριος ὁ Θεὸς εὐλογητός· τὸ τρισάγιον, καὶ τὰ λοιπά· τὸ κοντάκιον.

Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα, δεῦτε πάντες, ὑμνήσωμεν· αὐτὸν γὰρ κατεῖδε Μαρία ἐπὶ τοῦ ξύλου, καὶ ἔλεγεν· εἰ καὶ σταυρὸν ὑπομένεις, σὺ ὑπάρχεις ὁ υἱός, καὶ Θεός μου.

Τὸ Κύριε ἐλέησον μ΄. καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Δόξα. Καὶ νῦν. Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς.

Δέσποτα Θεέ, πάτερ παντοκράτορ.

Ὥρα ϛ΄. τὸ τρισάγιον· παναγία τριάς, τό, Πάτερ ἡμῶν. Τὸ Κύριε ἐλέησον ιβ΄.

Δεῦτε προσκυνήσωμεν γ΄. καὶ οἱ Ψαλμοί, Ψαλμὸς νγ΄.

Ὁ Θεὸς ἐν τῷ ὀνόματί σου σῶσόν με, καὶ ἐν τῇ δυνάμει σου κρινόν με· ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου· ὅτι ἀλλότριοι ἐπανέστησαν ἐπ᾽ ἐμέ, καὶ κραταιοὶ ἐζήτησαν τὴν ψυχήν μου, οὐ προέθεντο τὸν Θεὸν ἐνώπιον αὐτῶν· ἰδοὺ γὰρ ὁ Θεὸς βοηθεῖ μοι, καὶ ὁ Κύριος ἀντιλήπτωρ τῆς ψυχῆς μου· ἀποστρέψει τὰ κακὰ τοῖς ἐχθροῖς μου, ἐν τῇ ἀληθείᾳ σου ἐξολόθρευσον αὐτούς· ἑκουσίως θύσω σοι, ἐξομολογήσομαι τῷ ὀνόματί σου Κύριε, ὅτι ἀγαθόν· ὅτι ἐκ πάσης θλίψεως ἐρρύσω με, καὶ ἐν τοῖς ἐχθροῖς μου ἐπεῖδεν ὁ ὀφθαλμός μου.

Ψαλμὸς ρλθ΄.

Ἐξελοῦ με Κύριε ἐξ ἀνθρώπου πονηροῦ, ἀπὸ ἀνδρὸς ἀδίκου ῥῦσαί με. Οἵτινες ἐλογίσαντο ἀδικίας ἐν καρδίᾳ, ὅλην τὴν ἡμέραν παρετάσσοντο πολέμους. Ἠκόνησαν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἰὸς ἀσπίδων ὑπὸ τὰ χείλη αὐτῶν. Φύλαξόν με Κύριε ἐκ χειρὸς ἁμαρτωλοῦ, ἀπὸ ἀνθρώπων ἀδίκων ἐξελοῦ με. Οἵτινες ἐλογίσαντο τοῦ ὑποσκελίσαι τὰ διαβήματά μου, ἔκρυψαν ὑπερήφανοι παγίδα μοι, καὶ σχοινία διέτειναν παγίδας τοῖς ποσί μου, ἐχόμενα τρίβου σκάνδαλον ἔθεντό μοι· εἶπα τῷ Κυρίῳ, Θεός μου εἶ σύ, ἐνώτισαι Κύριε τὴν φωνὴν τῆς δεήσεώς μου. Κύριε Κύριε δύναμις τῆς σωτηρίας μου, ἐπεσκίασας ἐπὶ τὴν κεφαλήν μου ἐν ἡμέρᾳ πολέμου. Μὴ παραδῷς με Κύριε ἀπὸ τῆς ἐπιθυμίας μου ἁμαρτωλῷ· διελογίσαντο κατ᾽ ἐμοῦ, μὴ ἐγκαταλίπῃς με, μήποτε ὑψωθῶσιν· ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, κόπος τῶν χειλέων αὐτῶν καλύψει αὐτούς· πεσοῦνται ἐπ᾽ αὐτοὺς ἄνθρακες πυρὸς ἐπὶ τῆς γῆς, καὶ καταβαλεῖς αὐτοὺς ἐν ταλαιπωρίαις, οὐ μὴ ὑποστῶσιν. Ἀνὴρ γλωσσώδης οὐ κατευθυνθήσεται ἐπὶ τῆς γῆς. Ἄνδρα ἄδικον κακὰ θηρεύσει εἰς καταφθοράν· ἔγνων ὅτι ποιήσει Κύριος τὴν κρίσιν τοῦ πτωχοῦ, καὶ τὴν δίκην τῶν πενήτων· πλὴν δίκαιοι ἐξομολογήσονται τῷ ὀνόματί σου, κατοικήσουσιν εὐθεῖς σὺν τῷ προσώπῳ σου.

Ψαλμὸς ϟ΄.

Ὁ Κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ τοῦ οὐρανοῦ αὐλισθήσεται· ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου ἐλπιῶ ἐπ᾽ αὐτόν· ὅτι αὐτὸς ῥύσεταί σε ἐκ παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους· ἐν τοῖς μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς· ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ φόβου νυκτερινοῦ· ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος, διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ· πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιάς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ· πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει· ὅτι σὺ Κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον



Digitized by Google

στον ἔθου καταφυγήν σου· οὐ προσελεύσεται πρὸς σὲ κακά, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου· ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου· ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου· ἐπ᾽ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα· ὅτι ἐπ᾽ ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν, σκεπάσω αὐτόν, ὅτι ἔγνω τὸ ὄνομά μου· ἐπικαλέσεταί με, καὶ εἰσακούσομαι αὐτοῦ, μετ᾽ αὐτοῦ εἰμι ἐν θλίψει, καὶ ἐξελοῦμαι αὐτόν, καὶ δοξάσω αὐτόν· μακρότητι ἡμερῶν ἐμπλήσω αὐτόν· καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου.

Δόξα. Καὶ νῦν, Ἀλληλούϊα γʹ. Τροπάριον· ἦχος βʹ.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς Χριστὲ ὁ Θεός· ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας· ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα, Κύριε δόξα σοι.

Δόξα. Καὶ νῦν, ὅτι οὐκ ἔχομεν παρρησίαν.

Καὶ ψάλλομεν τρία τροπάρια ἀπὸ τῶν ιβʹ.

ἦχος πλ. δʹ. Δίς.

Τάδε λέγει Κύριος τοῖς Ἰουδαίοις· λαός μου, τί ἐποίησά σοι; ἢ τί σοι παρηνώχλησα; τοὺς τυφλούς σου ἐφώτισα· τοὺς λεπροὺς ἐκαθάρισα, ἄνδρα ὄντα ἐπὶ κλίνης ἠνωρθωσάμην· λαός μου, τί ἐποίησά σοι, καὶ τί μοι ἀνταπεδώκας; ἀντὶ τοῦ μάννα, χολήν; ἀντὶ τοῦ ὕδατος, ὄξος; ἀντὶ τοῦ ἀγαπᾶν με, Σταυρῷ με προσηλώσατε; οὐκέτι στέγω λοιπόν, καλέσω μου τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν τῷ Πατρὶ, καὶ Πνεύματι· κἀγὼ αὐτοῖς δωρήσομαι ζωὴν τὴν αἰώνιον.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου, ἦχος πλ. δʹ.

Οἱ νομοθέται τοῦ Ἰσραήλ, Ἰουδαῖοι καὶ Φαρισαῖοι, ὁ χορὸς τῶν Ἀποστόλων βοᾷ πρὸς ὑμᾶς· ἴδε ναός, ὃν ὑμεῖς ἐλύσατε, ἴδε ἀμνός, ὃν ὑμεῖς ἐσταυρώσατε· τάφῳ παρεδώκατε, ἀλλ᾽ ἐξουσίᾳ ἑαυτοῦ ἀνέστη· μὴ πλανᾶσθε Ἰουδαῖοι· αὐτὸς γάρ ἐστιν ὁ ἐν θαλάσσῃ σώσας, καὶ ἐν ἐρήμῳ θρέψας· αὐτός ἐστιν ἡ ζωὴ καὶ τὸ φῶς, καὶ ἡ εἰρήνη τοῦ Κόσμου.

Στίχ. Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα· καὶ πάλιν τὸ αὐτό, δόξα, ἦχος πλ. αʹ.

Δεῦτε χριστοφόροι λαοὶ κατίδωμεν, τί συνεβουλεύσατο Ἰούδας ὁ προδότης σὺν ἱερεῦσιν ἀνόμοις κατὰ τοῦ Σωτῆρος ἡμῶν· σήμερον ἔνοχον θανάτου, τὸν ἀθάνατον λόγον πεποίηκαν· καὶ Πιλάτῳ προδόσαντες, ἐν τόπῳ κρανίου ἐσταύρωσαν· καὶ ταῦτα πάσχων, ἐβόα ὁ Σωτὴρ ἡμῶν λέγων· ἄφες αὐτοῖς, Πάτερ, τὴν ἁμαρτίαν ταύτην, ὅπως γνῶσι τὰ ἔθνη τὴν ἐκ νεκρῶν μου ἀνάστασιν.

Καὶ νῦν, πάλιν τὸ αὐτό. Προκείμ. ἦχος δʹ.

Κύριε ὁ Κύριος ἡμῶν, ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ.

Στίχ. Ὅτι ἐπήρθη ἡ μεγαλοπρέπειά σου.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα· ὃν τρόπον ἐκστήσονται ἐπὶ σὲ πολλοί, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν υἱῶν ἀνθρώπων· οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ᾽ αὐτῷ· καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν; ὡς παιδίον ἐναντίον αὐτοῦ, ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν· ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη· οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ᾽ αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· πάντες, ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη· καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα· ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ· καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν δῶτε περὶ ἁμαρτίας ἡ ψυχὴ ἡμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει· δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ᾽ ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ· καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε, καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη. Εὐφράνθητι στεῖρα, ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.



Digitized by Google

Ὁ Ἀπόστολος. Πρὸς Ἑβραίους.

Ἀδελφοί, ὅ τε ἁγιάζων, καὶ οἱ ἁγιαζόμενοι, ἐξ ἑνὸς πάντες· δι᾽ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται, ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ Ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν· ἐγὼ ἔσομαι πεποιθὼς ἐπ᾽ αὐτῷ· καὶ πάλιν· ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκε σαρκὸς καὶ αἵματος, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι, τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας· οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται, καὶ πιστὸς Ἀρχιερεὺς τὰ πρὸς τὸν Θεόν, εἰς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι.

Εὐαγγέλιον κατὰ Λουκᾶν. Τῷ καιρῷ ἐκείνῳ, συνήχθη τὸ πρεσβυτέριον, τέλος. Ὁ ἐρῶσαι ταῦτα. Ταχὺ προκαταλαβέτωσαν· τὸ Τρισάγιον, καὶ τὰ λοιπά, τὸ κοντάκιον. Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα· τό, Κύριε ἐλέησον μ΄. καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ. Δόξα. Καὶ νῦν, Τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου. Ὁ Θεὸς οἰκτειρῆσαι ἡμᾶς· καὶ ἡ εὐχή.

Θεέ, καὶ Κύριε τῶν δυνάμεων, καὶ πάσης κτίσεως δημιουργέ, ὁ διὰ σπλάγχνα ἀνεικάστου ἐλέους σου τὸν μονογενῆ σου υἱόν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καταπέμψας ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, καὶ διὰ τοῦ τιμίου αὐτοῦ Σταυροῦ τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαρρήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχάς, καὶ ἐξουσίας τοῦ σκότους· αὐτός, δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς εὐχαριστηρίους ταύτας, καὶ ἱκετηρίους ἐντεύξεις· καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου, καὶ σκοτεινοῦ παραπτώματος· καὶ πάντων τῶν κακῶσαι ἡμᾶς ζητούντων ὁρατῶν, καὶ ἀοράτων ἐχθρῶν· καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν, καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας· ἀλλὰ τῷ πόθῳ σου τρῶσον ἡμῶν τὰς ψυχάς, ἵνα πρὸς σὲ διαπαντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι· σὲ τὸ ἀπρόσιτον, καὶ ἀΐδιον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν καὶ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρί, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ σου Πνεύματι, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τὸ Τρισάγιον. Παναγία Τριάς, τό, Πάτερ ἡμῶν· ὅτι σοῦ ἐστιν. Ἐπισυνάπτομεν καὶ τὴν θ΄. ὥραν. Δεῦτε προσκυνήσωμεν γ΄. καὶ οἱ ψαλμοί.

Ψαλμὸς ξη΄.

Σῶσόν με ὁ Θεός, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις· ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης, καὶ καταιγὶς κατεπόντισέ με· ἐκοπίασα κράζων, ἐβραγχίασεν ὁ λάρυγξ μου· ἐξέλιπον οἱ ὀφθαλμοί μου ἀπὸ τοῦ ἐλπίζειν με ἐπὶ τὸν Θεόν μου· ἐπληθύνθησαν ὑπὲρ τὰς τρίχας τῆς κεφαλῆς μου οἱ μισοῦντές με δωρεάν· ἐκραταιώθησαν οἱ ἐχθροί μου, οἱ ἐκδιώκοντές με ἀδίκως, ἃ οὐκ ἥρπασα, τότε ἀπετίννυον· ὁ Θεός σὺ ἔγνως τὴν ἀφροσύνην μου, καὶ αἱ πλημμέλειαί μου ἀπὸ σοῦ οὐκ ἐκρύβησαν· μὴ αἰσχυνθείησαν ἐπ᾽ ἐμὲ οἱ ὑπομένοντές σε, Κύριε τῶν δυνάμεων· μὴ ἐντραπείησαν ἐπ᾽ ἐμὲ οἱ ζητοῦντές σε ὁ Θεὸς τοῦ Ἰσραήλ· ὅτι ἕνεκά σου ὑπήνεγκα ὀνειδισμόν, ἐκάλυψεν ἐντροπὴ τὸ πρόσωπόν μου· ἀπηλλοτριωμένος ἐγενήθην τοῖς ἀδελφοῖς μου, καὶ ξένος τοῖς υἱοῖς τῆς μητρός μου· ὅτι ὁ ζῆλος τοῦ οἴκου σου κατέφαγέ με, καὶ οἱ ὀνειδισμοὶ τῶν ὀνειδιζόντων σε ἐπέπεσον ἐπ᾽ ἐμέ· καὶ συνέκαμψα ἐν νηστείᾳ τὴν ψυχήν μου, καὶ ἐγενήθη εἰς ὀνειδισμοὺς ἐμοί· καὶ ἐθέμην τὸ ἔνδυμά μου σάκκον, καὶ ἐγενόμην αὐτοῖς εἰς παραβολήν· κατ᾽ ἐμοῦ ἠδολέσχουν οἱ καθήμενοι ἐν πύλῃ, καὶ εἰς ἐμὲ ἔψαλλον οἱ πίνοντες τὸν οἶνον· ἐγὼ δὲ τῇ προσευχῇ μου πρὸς σὲ Κύριε, καιρὸς εὐδοκίας ὁ Θεός· ἐν τῷ πλήθει τοῦ ἐλέους σου ἐπάκουσόν μου, ἐν ἀληθείᾳ τῆς σωτηρίας σου· σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ, ῥυσθείην ἐκ τῶν μισούντων με, καὶ ἐκ τοῦ βάθους τῶν ὑδάτων· μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός, μηδὲ συσχέτω ἐπ᾽ ἐμὲ φρέαρ τὸ στόμα αὐτοῦ· εἰσάκουσόν μου Κύριε, ὅτι χρηστὸν τὸ ἔλεός σου, κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐπίβλεψον ἐπ᾽ ἐμέ· καὶ μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπὸ τοῦ παιδός σου, ὅτι θλίβομαι, ταχὺ ἐπάκουσόν μου· πρόσχες τῇ ψυχῇ μου, καὶ λύτρωσαι αὐτήν, ἕνεκα τῶν ἐχθρῶν μου ῥῦσαί με· σὺ γὰρ γινώσκεις τὸν ὀνειδισμόν μου, καὶ τὴν αἰσχύνην μου, καὶ τὴν ἐντροπήν μου· ἐναντίον σου πάντες οἱ θλίβοντές με, ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου καὶ ταλαιπωρίαν· καὶ ὑπέμεινα συλλυπούμενον, καὶ οὐχ ὑπῆρξε, καὶ παρακαλοῦντα, καὶ οὐχ εὗρον· καὶ ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος. Γενηθήτω ἡ τράπεζα αὐτῶν ἐνώπιον αὐτῶν εἰς παγίδα, καὶ εἰς ἀνταπόδοσιν καὶ εἰς σκάνδαλον· σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν, καὶ τὸν νῶτον αὐτῶν διαπαντὸς σύγκαμψον· ἔκχεον ἐπ᾽ αὐτοὺς τὴν ὀργήν σου, καὶ ὁ θυμὸς τῆς ὀργῆς σου καταλάβοι αὐτούς. Γενηθήτω ἡ ἔπαυλις αὐτῶν ἠρημωμένη, καὶ ἐν τοῖς σκηνώμασιν αὐτῶν μὴ ἔστω ὁ κατοικῶν· ὅτι ὃν σὺ ἐπάταξας, αὐτοὶ κατεδίω-

Digitized by Google

δίωξαν, καὶ ἐπὶ τὸ ἄλγος τῶν τραυμάτων μου προσέθηκαν· πρόσθες ἀνομίαν ἐπὶ τὴν ἀνομίαν αὐτῶν, καὶ μὴ εἰσελθέτωσαν ἐν δικαιοσύνῃ σου· ἐξαλειφθήτωσαν ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων μὴ γραφήτωσαν· πτωχὸς καὶ ἀλγῶν εἰμι ἐγὼ, καὶ ἡ σωτηρία τοῦ προσώπου σου ἀντελάβετό μου. Αἰνέσω τὸ ὄνομα τοῦ Θεοῦ μου μετ᾽ ᾠδῆς, μεγαλυνῶ αὐτὸν ἐν αἰνέσει· καὶ ἀρέσει τῷ Θεῷ ὑπὲρ μόσχον νέον κέρατα ἐκφέροντα καὶ ὁπλάς. Ἰδέτωσαν πτωχοὶ καὶ εὐφρανθήτωσαν, ἐκζητήσατε τὸν Θεὸν, καὶ ζήσεσθε· ὅτι εἰσήκουσε τῶν πενήτων ὁ Κύριος, καὶ τοὺς πεπεδημένους αὐτοῦ οὐκ ἐξουδένωσεν. Αἰνεσάτωσαν αὐτὸν οἱ οὐρανοὶ, καὶ ἡ γῆ, θάλασσα καὶ πάντα τὰ ἕρποντα ἐν αὐτοῖς· ὅτι ὁ Θεὸς σώσει τὴν Σιὼν, καὶ οἰκοδομηθήσονται αἱ πόλεις τῆς Ἰουδαίας· καὶ κατοικήσουσιν ἐκεῖ, καὶ κληρονομήσουσιν αὐτήν· καὶ τὸ σπέρμα τῶν δούλων αὐτοῦ καθέξουσιν αὐτὴν, καὶ οἱ ἀγαπῶντες τὸ ὄνομά αὐτοῦ κατασκηνώσουσιν ἐν αὐτῇ.

Ψαλμὸς ξθ΄.

Ὁ Θεὸς εἰς τὴν βοήθειάν μου πρόσχες, Κύριε εἰς τὸ βοηθῆσαί μοι σπεῦσον, αἰσχυνθείησαν καὶ ἐντραπείησαν οἱ ζητοῦντες τὴν ψυχήν μου· ἀποστραφείησαν εἰς τὰ ὀπίσω, καὶ καταισχυνθείησαν οἱ βουλόμενοί μοι κακά· ἀποστραφείησαν παραυτίκα αἰσχυνόμενοι οἱ λέγοντές μοι εὖγε εὖγε· ἀγαλλιάσθωσαν καὶ εὐφρανθήτωσαν ἐπὶ σοὶ πάντες οἱ ζητοῦντές σε ὁ Θεὸς, καὶ λεγέτωσαν διὰ παντὸς, μεγαλυνθήτω ὁ Θεὸς, οἱ ἀγαπῶντες τὸ σωτήριόν σου· ἐγὼ δὲ πτωχὸς καὶ πένης, ὁ Θεὸς, βοήθησόν μοι· βοηθός μου, καὶ ῥύσης μου εἶ σὺ, Κύριε μὴ χρονίσῃς.

Ψαλμὸς πε΄. Ἐπισυνάπτεται.

Κλῖνον Κύριε τὸ οὖς σου καὶ εἰσάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ· φύλαξον τὴν ψυχήν μου ὅτι ὅσιός εἰμι, σῶσον τὸν δοῦλόν σου ὁ Θεὸς, τὸν ἐλπίζοντα ἐπὶ σέ· ἐλέησόν με Κύριε, ὅτι πρὸς σὲ κεκράξομαι ὅλην τὴν ἡμέραν· εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρὸς σὲ Κύριε ἦρα τὴν ψυχήν μου· ὅτι σὺ Κύριε χρηστὸς καὶ ἐπιεικὴς, καὶ πολυέλεος πᾶσι τοῖς ἐπικαλουμένοις σε· ἐνώτισαι Κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου· ἐν ἡμέρᾳ θλίψεώς μου ἐκέκραξα πρὸς σὲ, ὅτι εἰσήκουσάς μου· οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου· πάντα τὰ ἔθνη ὅσα ἐποίησας, ἥξουσι, καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου· ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ ὁ Θεὸς μόνος ὁ μέγας· ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου· εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου· ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα· ὅτι τὸ ἔλεός σου μέγα ἐπ᾽ ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου· ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ᾽ ἐμέ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν· καὶ σὺ Κύριε ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός· ἐπίβλεψον ἐπ᾽ ἐμὲ καὶ ἐλέησόν με, δὸς τὸ κράτος σου τῷ παιδί σου, καὶ σῶσον τὸν υἱὸν τῆς παιδίσκης σου· ποίησον μετ᾽ ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν, ὅτι σὺ Κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

Δόξα. Καὶ νῦν, Ἀλληλούϊα γ΄.

Τροπάριον, ἦχος πλ. δ΄.

Βλέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν· εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς ὁ σὺν ἡμῖν σταυρωθεὶς, οὐκ ἂν ὁ ἥλιος τὰς ἀκτῖνας ἐναπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ᾽ ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Δόξα. Καὶ νῦν.

Ὁ δι᾽ ἡμᾶς γεννηθεὶς· καὶ ψάλλομεν τροπάρια γ΄. ἀπὸ τῶν ιβ΄. ἦχος βαρύς.

Θάμβος ἦν κατιδεῖν τὸν οὐρανοῦ, καὶ γῆς ποιητὴν ἐπὶ Σταυροῦ κρεμάμενον, ἥλιον σκοτισθέντα, τὴν ἡμέραν δὲ πάλιν εἰς νύκτα μετελθοῦσαν, καὶ τὴν γῆν ἐκ τάφων ἀναπέμπουσαν σώματα νεκρῶν· μεθ᾽ ὧν προσκυνοῦμέν σε, σῶσον ἡμᾶς.

Στίχ. Διεμερίσαντο τὰ ἱμάτιά μου,

ἦχος β΄.

Ὅτε τῷ Σταυρῷ προσήλωσαν παράνομοι τὸν Κύριον τῆς δόξης, ἐβόα πρὸς αὐτοὺς, τί ὑμᾶς ἐλύπησα, ἢ ἐν τίνι παρώργισα; πρὸ ἐμοῦ τίς ὑμᾶς ἐρρύσατο ἐκ θλίψεως; καὶ νῦν τί μοι ἀνταποδίδοτε πονηρὰ ἀντὶ ἀγαθῶν; ἀντὶ στύλου πυρὸς Σταυρῷ με προσηλώσατε; ἀντὶ νεφέλης τάφον μοι ὠρύξατε; ἀντὶ τοῦ μάννα χολήν μοι προσηνέγκατε; ἀντὶ τοῦ ὕδατος ὄξος ἐποτίσατε; λοιπὸν καλῶ τὰ ἔθνη, κἀκεῖνά με δοξάσουσι σὺν Πατρὶ, καὶ ἁγίῳ Πνεύματι.

Στίχ. Ἔδωκαν εἰς τὸ βρῶμά μου χολήν· καὶ πάλιν τὸ αὐτό.

Δόξα, ἦχος πλ. β΄.

Σήμερον κρεμᾶται ἐπὶ ξύλου ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας· στέφανον ἐξ ἀκανθῶν περιτίθεται ὁ τῶν Ἀγγέλων Βασιλεύς· ψευδῆ πορφύραν περιβάλλεται ὁ περιβάλλων τὸν οὐρανὸν ἐν νεφέλαις· ῥάπισμα κατεδέξατο ὁ ἐν Ἰορδάνῃ ἐλευθερώσας τὸν Ἀδάμ· ἥλοις προσηλώθη ὁ νυμφίος τῆς Ἐκκλησίας· λόγχῃ ἐκεντήθη ὁ υἱὸς τῆς Παρθένου· προσκυνοῦμέν σου τὰ πάθη, Χριστὲ, δεῖξον ἡμῖν καὶ τὴν ἔνδοξόν σου ἀνάστασιν.

Καὶ νῦν, πάλιν τὸ αὐτό.

Προκείμενον ἦχος πλ. β′.

Εἶπεν ἄφρων ἐν καρδίᾳ αὐτοῦ, οὐκ ἔστι Θεός.

Στίχ. Οὐκ ἔστι ποιῶν χρηστότητα, οὐκ ἔστιν ἕως ἑνός.

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα.

Κύριε γνώρισόν μοι, καὶ γνώσομαι· τότε εἶδον τὰ ἐπιτηδεύματα αὐτῶν· ἐγὼ δὲ ὡς ἀρνίον ἄκακον ἀγόμενον τοῦ θύεσθαι, οὐκ ἔγνων· ἐπ᾽ ἐμὲ ἐλογίσαντο λογισμὸν πονηρὸν, λέγοντες· δεῦτε καὶ ἐμβάλωμεν ξύλον εἰς τὸν ἄρτον αὐτοῦ, καὶ ἐκτρίψωμεν αὐτὸν ἀπὸ γῆς ζώντων, καὶ τὸ ὄνομα αὐτοῦ οὐ μὴ μνησθῇ οὐκέτι. Κύριε κρίνων δίκαια, δοκιμάζων νεφροὺς καὶ καρδίας, ἴδοιμι τὴν παρὰ σοῦ ἐκδίκησιν ἐξ αὐτῶν· ὅτι πρὸς σὲ ἀπεκάλυψα τὸ δικαίωμά μου· διὰ τοῦτο τάδε λέγει Κύριος ἐπὶ τοὺς ἄνδρας Ἀναθὼθ, τοὺς ζητοῦντας τὴν ψυχήν μου, τοὺς λέγοντας· οὐ μὴ προφητεύσεις ἐπὶ τῷ ὀνόματι Κυρίου· εἰ δὲ μὴ, ἀποθάνῃ ἐν ταῖς χερσὶν ἡμῶν. ἰδοὺ ἐγὼ ἐπισκέψομαι ἐπ᾽ αὐτούς· οἱ νεανίσκοι αὐτῶν ἐν μαχαίρᾳ ἀποθανοῦνται· καὶ οἱ υἱοὶ αὐτῶν καὶ αἱ θυγατέρες αὐτῶν τελευτήσουσιν ἐν λιμῷ· καὶ ἐγκατάλειμμα οὐκ ἔσται αὐτῶν· ὅτι ἐπάξω κακὰ ἐπὶ τοὺς κατοικοῦντας ἐν Ἀναθὼθ, ἐν ἐνιαυτῷ ἐπισκέψεως αὐτῶν. Δίκαιος εἶ Κύριε, ὅτι ἀπολογήσομαι πρὸς σέ· πλὴν κρίματα λαλήσω πρὸς σέ· τί ὅτι ὁδὸς ἀσεβῶν εὐοδοῦται; εὐθηνήσαν πάντες οἱ ἀθετοῦντες ἀθετήματα; ἐφύτευσας αὐτοὺς, καὶ ἐῤῥιζώθησαν· ἐτεκνοποιήσαντο, καὶ ἐποίησαν καρπόν· ἐγγὺς εἶ σὺ τοῦ στόματος αὐτῶν, καὶ πόῤῥω ἀπὸ τῶν νεφρῶν αὐτῶν· καὶ σὺ Κύριε γινώσκεις με· δεδοκίμακας τὴν καρδίαν μου ἐναντίον σου· ἅγνισον αὐτοὺς εἰς ἡμέραν σφαγῆς αὐτῶν· ἕως πότε πενθήσει ἡ γῆ, καὶ πᾶς ὁ χόρτος τοῦ ἀγροῦ ξηρανθήσεται ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ; ἠφανίσθησαν κτήνη καὶ πετεινά· ὅτι εἶπαν· οὐκ ὄψεται ὁ Θεὸς ὁδοὺς ἡμῶν· σοῦ οἱ πόδες τρέχουσι, καὶ ἐκλύουσί σε. Συναγάγετε πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ ἐλθέτωσαν τοῦ φαγεῖν αὐτήν· ποιμένες πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμόλυναν τὴν μερίδα μου· ἔδωκαν τὴν μερίδα τὴν ἐπιθυμητήν μου εἰς ἔρημον ἄβατον· ἐτέθη εἰς ἀφανισμὸν ἀπωλείας. Ὅτι τάδε λέγει Κύριος περὶ πάντων τῶν γειτόνων τῶν πονηρῶν, τῶν ἁπτομένων τῆς κληρονομίας μου, ἧς ἐμέρισα τῷ λαῷ μου Ἰσραήλ· ἰδοὺ ἐγὼ ἀποσπῶ αὐτοὺς ἀπὸ τῆς γῆς αὐτῶν· καὶ τὸν Ἰούδαν ἐκβαλῶ ἐκ μέσου αὐτῶν· καὶ ἔσται μετὰ τὸ ἐκβαλεῖν με αὐτοὺς, ἐπιστρέψω καὶ ἐλεήσω αὐτοὺς, καὶ κατοικιῶ αὐτοὺς, ἕκαστον εἰς τὴν κληρονομίαν αὐτοῦ, καὶ ἕκαστον εἰς τὴν γῆν αὐτοῦ.

Ὁ Ἀπόστολος πρὸς Ἑβραίους.

Ἀδελφοὶ, ἔχοντες παῤῥησίαν εἰς τὴν εἴσοδον τῶν ἁγίων ἐν τῷ αἵματι Ἰησοῦ, ἣν ἐνεκαίνισεν ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν, διὰ τοῦ καταπετάσματος, τουτέστι τῆς σαρκὸς αὐτοῦ· καὶ Ἱερέα μέγαν ἐπὶ τὸν οἶκον τοῦ Θεοῦ· προσερχώμεθα μετὰ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐῤῥαντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς· καὶ λελουμένοι τὸ σῶμα ὕδατι καθαρῷ, κατέχωμεν τὴν ὁμολογίαν τῆς ἐλπίδος ἀκλινῆ· πιστὸς γὰρ ὁ ἐπαγγειλάμενος, καὶ κατανοῶμεν ἀλλήλους εἰς παροξυσμὸν ἀγάπης, καὶ καλῶν ἔργων, μὴ ἐγκαταλείποντες τὴν ἐπισυναγωγὴν ἑαυτῶν, καθὼς ἔθος τισίν, ἀλλὰ παρακαλοῦντες, καὶ τοσούτῳ μᾶλλον ὅσῳ βλέπετε ἐγγίζουσαν τὴν ἡμέραν· ἑκουσίως γὰρ ἁμαρτανόντων ἡμῶν μετὰ τὸ λαβεῖν τὴν ἐπίγνωσιν τῆς ἀληθείας, οὐκ ἔτι περὶ ἁμαρτιῶν ἀπολείπεται θυσία· φοβερὰ δέ τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους· ἀθετήσας τις νόμον Μωσέως, χωρὶς οἰκτιρμῶν ἐπὶ δυσὶν ἢ τρισὶ μάρτυσιν ἀποθνήσκει· πόσῳ, δοκεῖτε, χείρονος ἀξιωθήσεται τιμωρίας ὁ τὸν υἱὸν τοῦ Θεοῦ καταπατήσας, καὶ τὸ αἷμα τῆς διαθήκης κοινὸν ἡγησάμενος ἐν ᾧ ἡγιάσθη, καὶ τὸ πνεῦμα τῆς χάριτος ἐνυβρίσας; οἴδαμεν γὰρ τὸν εἰπόντα, ἐμοὶ ἐκδίκησις, ἐγὼ ἀνταποδώσω, λέγει Κύριος· καὶ πάλιν, Κύριος κρινεῖ τὸν λαὸν αὐτοῦ· φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος.

Εὐαγγέλιον κατὰ Ἰωάννην.

Τῷ καιρῷ ἐκείνῳ ἄγουσι τὸν Ἰησοῦν ἀπὸ τοῦ Καϊάφα, τέλος. Εἰς ὃν ἐξεκέντησαν· εἶτα. Μηδὴ παραδώσῃς ἡμᾶς εἰς τέλος. Τὸ τρισάγιον, παναγία τριὰς, τὸ, Πάτερ ἡμῶν.

Ὅτι σοῦ ἐστιν· τὸ κοντάκιον. Τὸν δι᾽ ἡμᾶς σταυρωθέντα, τὸ, Κύριε ἐλέησον μ′. καὶ ἡ εὐχή. Ὁ ἐν παντὶ καιρῷ· τὸ, Κύριε ἐλέησον γ′. τὴν τιμιωτέραν. Ἐν ὀνόματι Κυρίου.

Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, καὶ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐν ᾗ ἐπὶ τοῦ ζωοποιοῦ ξύλου κρεμάμενος, τῷ εὐγνώμονι λῃστῇ τὴν εἰς τὸν παράδεισον ὡδοποιήσας εἴσοδον, καὶ θανάτῳ τὸν θάνατον ὀλέσας, ἱλάσθητι ἡμῖν τοῖς ἁμαρτωλοῖς, καὶ ἀναξίοις δούλοις σου, ἡμάρτομεν γὰρ, καὶ ἠνομήσαμεν, καὶ οὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα ἡμῶν, καὶ βλέψαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ· διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σου, καὶ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῶν καρδιῶν ἡμῶν· ἀλλ᾽ ἱκετεύομεν τὴν σὴν ἀνείκαστον ἀγαθότητα, φεῖσαι ἡμῶν Κύριε κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ σῶσον ἡμᾶς διὰ τὸ ὄνομά σου τὸ ἅγιον, ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν· ἐξελοῦ ἡμᾶς τῆς τοῦ ἀντικειμένου χειρὸς, καὶ ἄφες ἡμῖν τὰ ἁμαρτήματα· καὶ νέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα· ἵνα τὸν παλαιὸν ἀποθέμενοι

ἄνθρω-

Digitized by Google

ἄνθρωπον, τὸν νέον ἐνδυσώμεθα, καὶ συζήσωμεν τῷ ἡμετέρῳ δεσπότῃ καὶ κηδεμόνι· καὶ οὕτω τοῖς σοῖς ἀκολουθοῦντες προστάγμασιν, εἰς τὴν αἰώνιον ἀνάπαυσιν καταντήσωμεν· ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία· σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη καὶ ἀγαλλίασις τῶν ἀγαπώντων σε, Χριστὲ ὁ Θεὸς ἡμῶν· καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ, καὶ τῷ παναγίῳ, καὶ ἀγαθῷ, καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα οἱ μακαρισμοὶ, χῦμα, καὶ ἡ λοιπὴ ἀκολουθία· εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον· εὐλογήσω τὸν Κύριον· καὶ γίνεται ἀπόλυσις· δεῖ εἰδέναι, ὅτι παρελάβομεν ἐν παλαιστίνῃ κατὰ ταύτην τὴν ἁγίαν ἡμέραν τῆς μεγάλης παρασκευῆς μὴ ποιεῖν λειτουργίαν τελείαν, μήτε προηγιασμένην· ἀλλ᾽ οὐδὲ τράπεζαν ἱστῶμεν, οὔτε ἐσθίομεν κατὰ ταύτην τὴν ἡμέραν τῆς σταυρώσεως· εἰδὲ πολλάκις ἐστὶ τίς ἀσθενὴς, καὶ ὑπέργηρος, καὶ ἀδυνάτως ἔχων μεῖναι νῆστις, ἐπιδίδοται αὐτῷ ἄρτος καὶ ὕδωρ μετὰ δύσιν ἡλίου. Οὕτω γὰρ παρελάβομεν ἀπὸ τῶν ἁγίων διατάξεων τῶν ἁγίων ἀποστόλων, μὴ ἐσθίειν τῇ μεγάλῃ παρασκευῇ· τὸ γὰρ κυριακὸν λόγιον, ὃ ἔφη πρὸς τοὺς φαρισαίους ὁ Κύριος, ὅτι ὅταν ἀπαρθῇ ἀπ᾽ αὐτῶν ὁ νυμφίος, τότε νηστεύσουσιν ἐν ἐκείναις ταῖς ἡμέραις· ἐνταῦθα οἱ μακαριώτατοι ἀπόστολοι ἐξειλήφασι· καὶ τοῦτο εὑρήσεις εἰς τὰς ἀποστολικὰς διατάξεις, ἐπισκεμμένως διελθών.

Τῇ ἁγίᾳ καὶ μεγάλῃ παρασκευῇ ἑσπέρας περὶ ὥραν ι. σημαίνει, καὶ εὐλογήσαντος τοῦ ἱερέως, ἀρχομένου τοῦ λυχνικοῦ, εἰς τὸ, Κύριε ἐκέκραξα ἱστῶμεν στίχ. ς΄. καὶ ψάλλομεν στιχη. ἰδιόμελον τὸν πρῶτον. Ὃν καὶ δευτεροῦμεν. Καὶ τοὺς τρεῖς δευτέρους πρὸς μίαν, καὶ ἕτερον πλ. β΄. ἦχ. α΄. Δίς.

ΠΑ͂σα ἡ κτίσις ἠλλοιοῦτο φόβῳ, θεωροῦσά σε ἐν Σταυρῷ κρεμάμενον, Χριστέ· ὁ ἥλιος ἐσκοτίζετο, καὶ γῆς τὰ θεμέλια συνεταράττετο· τὰ πάντα συνέπασχον τῷ τὰ πάντα κτίσαντι· ὁ ἑκουσίως δι᾽ ἡμᾶς ὑπομείνας, Κύριε δόξα σοι.

Ἦχος β΄.

ΛΑὸς δυσσεβὴς καὶ παράνομος, ἵνα τί μελετᾷ κενά; ἵνα τί τὴν ζωὴν τῶν ἁπάντων θανάτῳ κατεδίκασε; μέγα θαῦμα, ὅτι ὁ κτίστης τοῦ Κόσμου εἰς χεῖρας ἀνόμων παραδίδοται, καὶ ἐπὶ ξύλου ἀνυψοῦται ὁ φιλάνθρωπος, ἵνα τοὺς ἐν ᾅδῃ δεσμώτας ἐλευθερώσῃ κράζοντας, μακρόθυμε Κύριε δόξα σοι.

Ἦχος β΄.

ΣΗ΄μερον σὲ θεωροῦσα ἡ ἄμεμπτος Παρθένος ἐν Σταυρῷ, Λόγε, ἀναρτώμενον, ὀδυρομένη μητρῷα σπλάγχνα, ἐτέτρωτο τὴν καρδίαν πικρῶς, καὶ στενάζουσα ὀδυνηρῶς ἐκ βάθους ψυχῆς, ἀνέκραγε γοερῶς· οἴμοι θεῖον τέκνον, οἴμοι τὸ φῶς τοῦ Κόσμου· τί ἔδυς ἐξ ὀφθαλμῶν μου ὁ ἀμνὸς τοῦ Θεοῦ; ὅθεν αἱ στρατιαὶ τῶν ἀσωμάτων τρόμῳ συνείχοντο λέγουσαι, ἀκατάληπτε Κύριε δόξα σοι.

Ἦχος β΄.

ΕΠὶ ξύλου βλέπουσα κρεμάμενον, Χριστὲ, σὲ τὸν πάντων κτίστην, καὶ Θεὸν ἡ σὲ ἀσπόρως τεκοῦσα, ἐβόα πικρῶς· υἱέ μου, ποῦ τὸ κάλλος ἔδυ τῆς μορφῆς σου; οὐ φέρω καθορᾶν σε ἀδίκως σταυρούμενον· σπεῦσον οὖν ἀνάστηθι, ὅπως ἴδω κἀγὼ σοῦ τὴν ἐκ νεκρῶν τριήμερον ἐξανάστασιν.

Ἦχος πλ. β΄.

ΣΗ΄μερον ὁ δεσπότης τῆς κτίσεως παρίσταται Πιλάτῳ, καὶ σταυρῷ παραδίδοται ὁ κτίστης τῶν ἁπάντων, ὡς ἀμνὸς προσαγόμενος τῇ ἰδίᾳ βουλήσει, τοῖς ἥλοις προσπήγνυται, καὶ τὴν πλευρὰν κεντᾶται· καὶ τῷ σπόγγῳ προσψαύεται ὁ μάννα ἐπομβρήσας· τὰς σιαγόνας ῥαπίζεται ὁ λυτρωτὴς τοῦ κόσμου· καὶ ὑπὸ τῶν ἰδίων δούλων ἐμπαίζεται ὁ πλάστης τῶν ἁπάντων· ὢ δεσπότου φιλανθρωπίας· ὑπὲρ τῶν σταυρούντων παρεκάλει τὸν ἴδιον πατέρα λέγων· ἄφες αὐτοῖς τὴν ἁμαρτίαν ταύτην, οὐ γὰρ οἴδασιν οἱ ἄνομοι τί ἀδίκως πράττουσιν.

Δόξα, ἦχος πλ. β΄.

ΩΠῶς ἡ παράνομος συναγωγὴ τὸν βασιλέα τῆς κτίσεως κατεδίκασε θανάτῳ· μὴ αἰδεσθεῖσα τὰς εὐεργεσίας, ἃς ἀναμιμνήσκων, προησφαλίζετο, λέγων πρὸς αὐτούς· λαός μου τί ἐποίησα ὑμῖν; οὐ θαυμάτων ἐνέπλησα τὴν Ἰουδαίαν; οὐ νεκροὺς ἐξανέστησα μόνῳ τῷ λόγῳ; οὐ πᾶσαν μαλακίαν ἐθεράπευσα καὶ νόσον; τί οὖν μοι ἀνταποδίδοτε; εἰς τί ἀμνημονεῖτέ μου, ἀντὶ τῶν ἰαμάτων πληγάς μοι ἐπιθέντες; ἀντὶ ζωῆς νεκροῦντες, κρεμῶντες ἐπὶ ξύλου ὡς κακοῦργον τὸν εὐεργέτην; ὡς παράνομον τὸν νομοδότην; ὡς κατάκριτον τὸν πάντων βασιλέα; μακρόθυμε Κύριε δόξα σοι.

Καὶ νῦν, ἦχος ὁ αὐτός.

ΦΟβερὸν, καὶ παράδοξον μυστήριον σήμερον ἐνεργούμενον καθορᾶται· ὁ ἀναφὴς κρατεῖται· δεσμεῖται ὁ λύων τὸν Ἀδὰμ τῆς κατάρας· ὁ ἐτάζων καρδίας, καὶ νεφροὺς ἀδίκως ἐτάζεται· εἱρκτῇ κατακλείεται ὁ τὴν ἄβυσσον κλείσας· Πιλάτῳ παρίσταται, ᾧ τρόμῳ παρίστανται οὐρανῶν αἱ δυνάμεις· ῥαπίζεται χειρὶ τοῦ πλάσματος ὁ πλάστης, ξύλῳ κατακρίνεται ὁ κρίνων ζῶντας, καὶ νεκρούς· τάφῳ κατακλείεται ὁ καθαι-

θαιρέτης τοῦ ᾅδου· ὁ πάντα φέρων συμπαθῶς, καὶ πάντας σώσας τῆς φθορᾶς, ἀνεξίκακε Κύριε δόξα σοι.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρόν.

Προκείμενον ἦχος δʹ.

Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς.

Ὁ Θεός μου, πρόσχες μοι.

Τῆς ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσαι πρὸς τὸν ἑαυτοῦ φίλον· καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν· ὁ δὲ θεράπων Ἰησοῦς υἱὸς Ναυῆ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς· καὶ εἶπε Μωϋσῆς πρὸς Κύριον· ἰδοὺ σύ μοι λέγεις, ἀνάγαγε τὸν λαὸν τοῦτον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ᾽ ἐμοῦ· σὺ δέ μοι εἶπας, οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ᾽ ἐμοί· εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτόν, γνωστῶς ἵνα ἴδω σε· ὅπως ἂν εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ, ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο· καὶ λέγει· αὐτὸς προπορεύσομαί σου, καὶ καταπαύσω σε· καὶ λέγει πρὸς αὐτόν· εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς ἐντεῦθεν· καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοὶ ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ᾽ ἢ συμπορευομένου σου μεθ᾽ ἡμῶν; καὶ ἐνδοξασθήσομαι ἐγώ τε, καὶ ὁ λαός σοι παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστιν· καὶ εἶπε Κύριος πρὸς Μωϋσῆν· καὶ τοῦτόν σου τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας· καὶ λέγει· ἐμφάνισόν μοι σεαυτόν· καὶ εἶπεν· ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου, καὶ καλέσω τῷ ὀνόματί μου, Κύριος ἐναντίον σου· καὶ ἐλεήσω, ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω, ὃν ἂν οἰκτείρω· καὶ εἶπεν· οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου, καὶ ζήσεται· καὶ εἶπε Κύριος· ἰδοὺ τόπος παρ᾽ ἐμοί, στήσῃ ἐπὶ τῆς πέτρας· ἡνίκα δ᾽ ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας· καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω· καὶ ἀφελῶ τὴν χεῖρα, καὶ τότε ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

Προκείμενον ἦχος δʹ.

Δίκασον Κύριε τοὺς ἀδικοῦντάς με.

Στίχ. Ἐπιλαβοῦ ὅπλου καὶ θυρεοῦ.

Ἰὼβ τὸ ἀνάγνωσμα.

Εὐλόγησε Κύριος τὰ ἔσχατα Ἰώβ, ἢ τὰ ἔμπροσθεν· ἦν δὲ τὰ κτήνη αὐτοῦ, πρόβατα μύρια τετρακισχίλια· κάμηλοι ἑξακισχίλιαι· ζεύγη βοῶν χίλια· ὄνοι θήλειαι νομάδες χίλιαι· γεννῶνται δὲ αὐτῷ υἱοὶ ἑπτά, καὶ θυγατέρες τρεῖς· καὶ ἐκάλεσε τὴν μὲν πρώτην, Ἡμέραν, τὴν δὲ δευτέραν, Κασσίαν, τὴν δὲ τρίτην, Ἀμαλθαίας κέρας· καὶ οὐχ εὑρέθησαν κατὰ τὰς θυγατέρας Ἰὼβ βελτίους αὐτῶν ἐν τῇ ὑπ᾽ οὐρανόν· ἔδωκε δὲ αὐταῖς ὁ πατὴρ κληρονομίαν ἐν τοῖς ἀδελφοῖς· ἔζησε δὲ Ἰὼβ μετὰ τὴν πληγὴν ἔτη ἑκατὸν ἑβδομήκοντα· τὰ δὲ πάντα ἔτη ἔζησε, διακόσια τεσσαράκοντα· καὶ εἶδεν Ἰὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ τοὺς υἱοὺς τῶν υἱῶν αὐτοῦ, τετάρτην γενεάν· καὶ ἐτελεύτησεν Ἰὼβ πρεσβύτερος, καὶ πλήρης ἡμερῶν· γέγραπται δέ, αὐτὸν πάλιν ἀναστήσεσθαι, μεθ᾽ ὧν ὁ Κύριος ἀνίστησιν· οὗτος ἑρμηνεύεται ἐκ τῆς συριακῆς βίβλου, ἐν μὲν γῇ κατοικῶν τῇ Αὐσίτιδι, ἐπὶ τοῖς ὁρίοις τῆς Ἰδουμαίας καὶ Ἀραβίας· προϋπῆρχε δὲ αὐτῷ ὄνομα, Ἰωβάβ· λαβὼν δὲ γυναῖκα Ἀράβισσαν, γεννᾷ υἱόν, ᾧ ὄνομα Ἐννών· ἦν δὲ αὐτὸς πατρὸς μὲν Ζαρὲ ἐκ τῶν Ἡσαῦ υἱῶν υἱός, μητρὸς δὲ Βοσόρρας, ὥστε εἶναι αὐτὸν πέμπτον ἀπὸ Ἀβραάμ.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, ἰδοὺ συνήσει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξασθήσεται σφόδρα· ὃν τρόπον ἐκστήσονται πολλοὶ ἐπὶ σέ, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώπων τὸ εἶδός σου, καὶ ἡ δόξα σου ἀπὸ τῶν ἀνθρώπων· οὕτω θαυμάσονται ἔθνη πολλὰ ἐπ᾽ αὐτῷ· καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται· καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι· Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν; καὶ ὁ βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; ἀνηγγείλαμεν ἐναντίον ὡς παιδίον αὐτοῦ· ὡς ῥίζα ἐν γῇ διψώσῃ· οὐκ ἔστιν εἶδος αὐτῷ, οὐδὲ δόξα· καὶ εἴδομεν αὐτόν, καὶ οὐκ εἶχεν εἶδος, οὐδὲ κάλλος· ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖπον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων· ἄνθρωπος ἐν πληγῇ ὤν, καὶ εἰδὼς φέρειν μαλακίαν· ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτιμάσθη, καὶ οὐκ ἐλογίσθη· οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται· καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐν κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν, ἐπ᾽ αὐτόν· τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν· πάντες, ὡς πρόβατα ἐπλανήθημεν· ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανήθη, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν· καὶ αὐτὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ· ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα· ἐν τῇ ταπεινώσει ἡ κρίσις αὐτοῦ ἤρθη· τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ ἤχθη εἰς θάνατον· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ, καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ· ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ δόλον ἐν τῷ στόματι αὐτοῦ· καὶ Κύριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς· ἐὰν

δῶτε

Digitized by Google

δῶτε περὶ ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον· καὶ βούλεται Κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι αὐτῷ φῶς, καὶ πλάσαι τῇ συνέσει· δικαιῶσαι δίκαιον εὖ δουλεύοντα πολλοῖς· καὶ τὰς ἁμαρτίας αὐτῶν αὐτὸς ἀνοίσει· διὰ τοῦτο αὐτὸς κληρονομήσει πολλοὺς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα· ἀνθ' ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη· καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε· καὶ διὰ τὰς ἀνομίας αὐτῶν παρεδόθη· εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα· ῥῆξον καὶ βόησον ἡ οὐκ ὠδίνουσα· ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

Προκείμενον τοῦ Ἀποστόλου· ἦχος πλ. β'.

Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ.

Στίχ. Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα.

Πρὸς Κορινθίους πρώτης.

Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

Ἀδελφοὶ, ὁ λόγος γὰρ ὁ τοῦ Σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστὶ, τοῖς δὲ σωζομένοις ἡμῖν δύναμις Θεοῦ ἐστι· γέγραπται γὰρ, ἀπολῶ τὴν σοφίαν τῶν σοφῶν, καὶ τὴν σύνεσιν τῶν συνετῶν ἀθετήσω· ποῦ σοφός; ποῦ γραμματεύς; ποῦ συζητητὴς τοῦ αἰῶνος τούτου; οὐχὶ ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ Κόσμου τούτου; ἐπειδὴ γὰρ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ Κόσμος διὰ τῆς σοφίας τὸν Θεὸν, εὐδόκησεν ὁ Θεὸς διὰ τῆς μωρίας τοῦ κηρύγματος σῶσαι τοὺς πιστεύοντας· ἐπειδὴ καὶ Ἰουδαῖοι σημεῖον αἰτοῦσι· καὶ Ἕλληνες σοφίαν ζητοῦσιν· ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον. Ἰουδαίοις μὲν, σκάνδαλον, Ἕλλησι δὲ, μωρίαν· αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν· ὅτι τὸ μωρὸν τοῦ Θεοῦ, σοφώτερον τῶν ἀνθρώπων ἐστὶ, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ, ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί· βλέπετε γὰρ τὴν κλῆσιν ὑμῶν, ἀδελφοὶ, ὅτι οὐ πολλοὶ σοφοὶ κατὰ σάρκα· οὐ πολλοὶ δυνατοί, οὐ πολλοὶ εὐγενεῖς· ἀλλὰ τὰ μωρὰ τοῦ Κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα τοὺς σοφοὺς καταισχύνῃ· καὶ τὰ ἀσθενῆ τοῦ Κόσμου ἐξελέξατο ὁ Θεὸς ἵνα καταισχύνῃ τὰ ἰσχυρά· καὶ τὰ ἀγενῆ τοῦ Κόσμου, καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς, καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ· ὅπως μὴ καυχήσηται πᾶσα σὰρξ ἐνώπιον αὐτοῦ· ἐξ αὐτοῦ δὲ ὑμεῖς ἐστε ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, ἵνα, καθὼς γέγραπται· ὁ καυχώμενος, ἐν Κυρίῳ καυχάσθω· Κἀγὼ δὲ ἐλθὼν πρὸς ὑμᾶς, ἀδελφοὶ, ἦλθον οὐ καθ' ὑπεροχὴν λόγου ἢ σοφίας καταγγέλλων ὑμῖν τὸ μαρτύριον τοῦ Θεοῦ· οὐ γὰρ ἔκρινα εἰδέναι τι ἐν ὑμῖν, εἰ μὴ Ἰησοῦν Χριστὸν, καὶ τοῦτον ἐσταυρωμένον.

Ἀλληλούϊα ἦχος α'.

Σῶσόν με ὁ Θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου.

Στίχ. Ὀνειδισμὸν προσεδόκησεν ἡ ψυχή μου, καὶ ταλαιπωρίαν.

Στίχ. Σκοτισθήτωσαν οἱ ὀφθαλμοὶ αὐτῶν τοῦ μὴ βλέπειν.

Εὐαγγέλιον κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ συμβούλιον ἔλαβον. Τέλος. Ἀπέναντι τοῦ τάφου. Εἶτα ἡ συνήθως ἐκτενή. Εἴπωμεν πάντες. Τὸ, καταξίωσον. Πληρώσωμεν, καὶ τὰ λοιπά. Καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλομεν τὰ ἀπὸ στίχ. στιχηρὰ προσόμοια δ'. ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε.

Ὅτε ἐκ τοῦ ξύλου σε νεκρὸν ὁ Ἀριμαθαίας καθεῖλε, τὴν τῶν ἁπάντων ζωὴν, σμύρνῃ, καὶ σινδόνι σε, Χριστὲ, ἐκήδευσε, καὶ τῷ πόθῳ ἠπείγετο, καρδίᾳ, καὶ χείλει σῶμα τὸ ἀκήρατον σοῦ περιπτύξασθαι· ὅμως συστελλόμενος φόβῳ, χαίρων ἀνεβόα σοι, δόξα τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο. Ὅμοιον.

Ὅτε ἐν τῷ τάφῳ τῷ καινῷ ὑπὲρ τοῦ παντὸς κατετέθης, ὁ λυτρωτὴς τοῦ παντὸς, ᾅδης ὁ παγγέλαστος ἰδών σε ἔπτηξε· οἱ μοχλοὶ συνετρίβησαν, ἐθλάσθησαν πύλαι, μνήματα ἠνοίχθησαν, νεκροὶ ἀνίσταντο· τότε ὁ Ἀδὰμ εὐχαρίστως χαίρων ἀνεβόα σοι, δόξα τῇ συγκαταβάσει σου φιλάνθρωπε.

Στίχ. Καὶ γὰρ ἐστερέωσε τὴν. Ὅμοιον.

Ὅτε ἐν τῷ τάφῳ σαρκικῶς θέλων συνεκλείσθης ὁ φύσει, τῇ τῆς θεότητος, μένων ἀπερίγραπτος, καὶ ἀόριστος, τὰ θανάτου ἀπέκλεισας ταμεῖα, καὶ ᾅδου ἅπαντα ἐκένωσας, Χριστέ, βασίλεια· τότε καὶ τὸ σάββατον τοῦτο θείας εὐλογίας, καὶ δόξης, καὶ τῆς σῆς λαμπρότητος ἠξίωσας.

Στίχ. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα.

Ὅμοιον.

Ὅτε αἱ δυνάμεις σε, Χριστὲ, πλάνον ὑπ' ἀνόμων ἑώρων συκοφαντούμενον, ἔφριττον τὴν ἄφατον μακροθυμίαν σου, καὶ τὸν λίθον τοῦ μνήματος χερσὶ σφραγισθέντα, αἷς σου τὴν ἀκήρατον πλευρὰν ἐλόγχευσαν· ὅμως τῇ ἡμῶν σωτηρίᾳ χαίρουσαι ἐβόων σοι, δόξα τῇ συγκαταβάσει σου, φιλάνθρωπε.

Δόξα. Καὶ νῦν, ἦχος πλ. δ'.

Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς, ὥσπερ ἱμάτιον, καθελὼν Ἰωσὴφ ἀπὸ τοῦ ξύλου σὺν Νικοδήμῳ· καὶ θεωρήσας νεκρὸν γυμνὸν ἄταφον, εὐσυμπάθητον θρῆνον ἀναλαβὼν, ὀδυρόμενος ἔλεγεν· οἴμοι, γλυκύτατε Ἰησοῦ, ὃν πρὸ μικροῦ ὁ ἥλιος ἐν Σταυρῷ κρεμάμενον θεασάμενος ζόφον περιεβάλλετο, καὶ ἡ γῆ τῷ φόβῳ ἐκυ-

Digitized by Google

ἐκυμαίνετο, καὶ διερρήγνυτο ναοῦ τὸ καταπέτασμα· ἀλλ' ἰδοὺ νῦν βλέπω σε δι' ἐμὲ ἑκουσίως ὑπελθόντα θάνατον· πῶς σε κηδεύσω Θεέ μου; ἢ πῶς σινδόσιν εἱλήσω, ποίαις χερσὶ δὲ προσψαύσω τὸ σὸν ἀκήρατον σῶμα; ἢ ποῖα ᾄσματα μέλψω τῇ σῇ ἐξόδῳ, οἰκτίρμον; μεγαλύνω τὰ πάθη σου· ὑμνολογῶ καὶ τὴν ταφήν σου, σὺν τῇ ἀναστάσει κραυγάζων, Κύριε, δόξα σοι.

Νῦν ἀπολύεις· τὸ τρισάγιον, καὶ τὰ λοιπά.

Τροπάριον· ἦχος β'.

Ὁ Εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Ἕτερον τροπάριον. Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστάς.

Σοφία, καὶ ἀπόλυσις. Τὰ δὲ ἀπόδειπνα ψάλλομεν ἐν τοῖς κελλίοις.

Τῷ ἁγίῳ, καὶ μεγάλῳ Σαββάτῳ ἐν τῷ ὄρθρῳ.

Μετὰ τὸν ἑξάψαλμον. Θεὸς Κύριος εἰς ἦχον δεύτερον· τροπάριον· ἦχος β'.

Ὁ Εὐσχήμων Ἰωσὴφ ἀπὸ τοῦ ξύλου καθελὼν τὸ ἄχραντόν σου σῶμα, σινδόνι καθαρᾷ εἱλήσας, καὶ ἀρώμασιν ἐν μνήματι καινῷ κηδεύσας ἀπέθετο.

Δόξα.

Ὅτε κατῆλθες πρὸς τὸν θάνατον ἡ ζωὴ ἡ ἀθάνατος, τότε τὸν ᾅδην ἐνέκρωσας τῇ ἀστραπῇ τῆς θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· ζωοδότα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Καὶ νῦν.

Ταῖς μυροφόροις γυναιξὶ παρὰ τὸ μνῆμα ἐπιστὰς ὁ Ἄγγελος ἐβόα, τὰ μύρα τοῖς θνητοῖς ὑπάρχει ἁρμόδια. Χριστὸς δὲ διαφθορᾶς ἐδείχθη ἀλλότριος.

Καὶ ἀρχόμεθα ψάλλειν τὸν ἄμωμον μετὰ μέλους. Ὡσαύτως καὶ στίχ. καὶ τὰ ἐγκώμια. Ἐκφωνεῖ ὁ ψάλτης εἰς ἦχον πλ. α. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου· Μακάριοι οἱ ἄμωμοι ἐν ὁδῷ οἱ πορευόμενοι ἐν νόμῳ Κυρίου.

Καὶ τὰ ἐγκώμια.

Ἡ Ζωὴ ἐν τάφῳ κατετέθης, Χριστὲ, καὶ Ἀγγέλων στρατιαὶ ἐξεπλήττοντο, συγκατάβασιν δοξάζουσαι τὴν σήν.

Μακάριοι οἱ ἐξερευνῶντες τὰ μαρτύ.

Ἡ Ζωὴ πῶς θνήσκεις, πῶς καὶ τάφῳ οἰκεῖς; τοῦ θανάτου τὸ βασίλειον λύεις δὲ, καὶ τοῦ ᾅδου τοὺς νεκροὺς ἐξανιστᾷς.

Οὐ γὰρ οἱ ἐργαζόμενοι τὴν ἀνομίαν.

Μεγαλύνομέν σε, Ἰησοῦ Βασιλεῦ, καὶ τιμῶμεν τὴν ταφὴν, καὶ τὰ πάθη σου· δι' ὧν ἔσωσας ἡμᾶς ἐκ τῆς φθορᾶς.

Σὺ ἐνετείλω, τὰς ἐντολάς σου τοῦ φυλά.

Μέτρα γῆς ὁ στήσας, ἐν σμικρῷ κατοικεῖς, Ἰησοῦ παμβασιλεῦ, τάφῳ σήμερον, ἐκ μνημάτων τοὺς θανόντας ἀνιστῶν.

Ὄφελον κατευθυνθείησαν αἱ ὁδοί μου.

Ἰησοῦ Χριστέ μου, Βασιλεῦ τοῦ παντὸς, τί ζητῶν τοῖς ἐν τῷ ᾅδῃ ἐλήλυθας, ἢ τὸ γένος ἀπολῦσαι τῶν βροτῶν;

Τότε οὐ μὴ αἰσχυνθῶ, ἐν τῷ με ἐπι.

Ὁ Δεσπότης πάντων καθορᾶται νεκρὸς, καὶ ἐν μνήματι καινῷ κατατίθεται, ὁ κενώσας τὰ μνημεῖα τῶν νεκρῶν.

Ἐξομολογήσομαί σοι ἐν εὐθύτητι καρ.

Ἡ Ζωὴ ἐν τάφῳ κατετέθης, Χριστὲ, καὶ θανάτῳ σου τὸν θάνατον ὤλεσας, καὶ ἐπήγασας τῷ Κόσμῳ τὴν ζωήν.

Τὰ δικαιώματά σου φυλάξω· μή με.

Μετὰ τῶν κακούργων ὡς κακοῦργος, Χριστὲ, ἐλογίσθης, δικαιῶν ἡμᾶς ἅπαντας κακουργίας τοῦ ἀρχαίου πτερνιστοῦ.

Ἐν τίνι κατορθώσει νεώτερος τὴν ὁδόν.

Ὁ Ὡραῖος κάλλει παρὰ πάντας βροτοὺς, ὡς ἀνείδεος νεκρὸς καταφαίνεται, ὁ τὴν φύσιν ὡραΐσας τοῦ παντός.

Ἐν ὅλῃ καρδίᾳ μου ἐξεζήτησά σε.

Ἅδης πῶς ὑποίσει, Σῶτερ, παρουσίαν τὴν σὴν, καὶ μὴ θᾶττον συνθλασθείη σκοτούμενος, ἀστραπῆς φωτός σου αἴγλῃ ἐκτυφλωθείς;

Ἐν τῇ καρδίᾳ μου ἔκρυψα τὰ λόγιά σου.

Ἰησοῦ γλυκύ μοι, καὶ σωτήριον φῶς, τάφῳ πῶς ἐν σκοτεινῷ κατακέκρυψαι; ὢ ἀφάτου, καὶ ἀρρήτου ἀνοχῆς.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώ.

Ἀπορεῖ καὶ φύσις νοερὰ, καὶ πληθὺς ἡ ἀσώματος, Χριστὲ, τὸ μυστήριον τῆς ἀφράστου, καὶ ἀρρήτου σου ταφῆς.

Ἐν τοῖς χείλεσί μου ἐξήγγειλα πάν.

Ὢ θαυμάτων ξένων, ὢ πραγμάτων καινῶν, ὁ πνοῆς μοι χορηγὸς ἄπνους φέρεται, κηδευόμενος χερσὶ τοῦ Ἰωσήφ.

Ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου.

Καὶ ἐν τάφῳ ἔδυς, καὶ τῶν κόλπων, Χριστὲ, τῶν πατρῴων οὐδαμῶς ἀπεφοίτησας, τοῦτο ξένον, καὶ παράδοξον ὁμοῦ.

Ἐν ταῖς ἐντολαῖς σου ἀδολεσχήσω.

Ἀληθὴς καὶ πόλου, καὶ τῆς γῆς Βασιλεὺς, εἰ καὶ τάφῳ σμικροτάτῳ συγκέκλεισαι, ἐπιγνώσκεται πάσῃ κτίσει Ἰησοῦ.

Ἐν

Digitized by Google

Ἐν τοῖς δικαιώμασί σου μελετήσω, οὐκ.

Σοῦ τεθέντος τάφῳ, πλαστουργέ τε Χριστέ, τὰ τοῦ ᾅδου ἐσαλεύθη θεμέλια, καὶ μνήματα ἠνεῴχθη τῶν βροτῶν.

Ἀνταπόδος τῷ δούλῳ σου, ζῆσόν με.

Ὁ τὴν γῆν κατέχων τῇ δρακί, νεκρωθεὶς σαρκικῶς, ὑπὸ τῆς γῆς νῦν συνέχεται, τοὺς νεκροὺς λυτρῶν τῆς ᾅδου συνοχῆς.

Ἀποκάλυψον τοὺς ὀφθαλμούς μου.

Ἐκ φθορᾶς ἀνέβης ἡ ζωή μου Σωτήρ, σοῦ θανόντος, καὶ νεκροῖς προσφοιτήσαντος, καὶ συνθλάσαντος τοῦ ᾅδου τοὺς μοχλούς.

Πάροικος ἐγώ εἰμι ἐν τῇ γῇ.

Ὡς φωτὸς λυχνία, νῦν ἡ σὰρξ τοῦ Θεοῦ ὑπὸ γῆν ὡς ὑπὸ μόδιον κρύπτεται, καὶ διώκει τὸν ἐν ᾅδῃ σκοτασμόν.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι.

Νοερῶν συλλέγει στρατιῶν ἡ πληθὺς Ἰωσήφ, καὶ Νικοδήμῳ, συστεῖλαι σε τὸν ἀχώρητον ἐν μνήματι σμικρῷ.

Ἐπετίμησας ὑπερηφάνοις, ἐπικατάρατοι.

Νεκρωθεὶς βουλήσει, καὶ τεθεὶς ὑπὸ γῆν, ζωοβρύτα Ἰησοῦ μου, ἐζώωσας νεκρωθέντα παραβάσει με πικρᾷ.

Περίελε ἀπ' ἐμοῦ ὄνειδος καὶ ἐξουδένωσιν.

Ἠλλοιοῦτο πᾶσα κτίσις πάθει τῷ σῷ, πάντα γάρ σοι, Λόγε, συνέπασχον, συνοχέα σε γινώσκοντα παντός.

Καὶ γὰρ ἐκάθισαν ἄρχοντες, καὶ κατ' ἐμοῦ.

Τῆς ζωῆς τὴν πέτραν ἐν κοιλίᾳ λαβὼν ᾅδης ὁ παμφάγος, ἐξέμεσεν ἐξ αἰῶνος, οὓς κατέπιε, νεκρούς.

Καὶ γὰρ τὰ μαρτύριά σου μελέτη μου ἐστί.

Ἐν καινῷ μνημείῳ κατετέθης, Χριστέ, καὶ τὴν φύσιν τῶν βροτῶν ἀνεκαίνισας, ἀναστὰς θεοπρεπῶς ἐκ τῶν νεκρῶν.

Ἐκολλήθη τῷ ἐδάφει ἡ ψυχή μου, ζῆσόν με.

Ἐπὶ γῆς κατῆλθες, ἵνα σώσῃς Ἀδάμ· καὶ ἐν γῇ μὴ εὑρηκὼς τοῦτον, Δέσποτα, μέχρις ᾅδου κατελήλυθας ζητῶν.

Τὰς ὁδούς μου ἐξήγγειλα, καὶ ἐπήκους.

Συγκλονεῖται φόβῳ πᾶσα, Λόγε, ἡ γῆ, καὶ φωσφόρος τὰς ἀκτῖνας ἀπέκρυψε, τοῦ μεγίστου γῇ κρυβέντος σου φωτός.

Ὁδὸν δικαιωμάτων σου συνέτισόν με.

Ὡς βροτὸς μὲν θνήσκεις ἑκουσίως, Σωτήρ, ὡς Θεὸς δὲ τοὺς θνητοὺς ἐξανέστησας ἐκ μνημάτων, καὶ βυθοῦ ἁμαρτιῶν.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας.

Δακρυρρόους θρήνους ἐπὶ σὲ ἡ ἁγνὴ μητρικῶς, ὦ Ἰησοῦ, ἐπιρραίνουσα, ἀνεβόα, πῶς κηδεύσω σε, Υἱέ;

Ὁδὸν ἀδικίας ἀπόστησον ἀπ' ἐμοῦ, καὶ τὸν νόμ.

Ὥσπερ σίτου κόκκος ὑποδὺς κόλπους γῆς, τὸν πολύχουν ἀποδέδωκας ἄσταχυν, ἀναστήσας τοὺς βροτοὺς τοὺς ἐξ Ἀδάμ.

Ὁδὸν ἀληθείας ᾑρετισάμην, καὶ τὰ κρίματά σου.

Ὑπὸ γῆν ἐκρύβης, ὥσπερ ἥλιος νῦν, καὶ νυκτὶ τῇ τοῦ θανάτου κεκάλυψαι· ἀλλ' ἀνάτειλον φαιδρότερον Σωτήρ.

Ἐκολλήθην τοῖς μαρτυρίοις σου Κύριε.

Ὡς ἡλίου δίσκον ἡ σελήνη, Σωτήρ, ἀποκρύπτει, καὶ σὲ τάφος νῦν ἔκρυψεν ἐκλιπόντα τοῦ θανάτου σαρκικῶς.

Ὁδὸν ἐντολῶν σου ἔδραμον, ὅταν.

Ἡ Ζωὴ θανάτου γευσαμένη Χριστός, ἐκ θανάτου τοὺς βροτοὺς ἠλευθέρωσε, καὶ τοῖς πᾶσι νῦν δωρεῖται τὴν ζωήν.

Νομοθέτησόν με Κύριε τὴν ὁδὸν τῶν δικαιωμάτ.

Νεκρωθέντα πάλαι τὸν Ἀδὰμ φθονερῶς, ἐπανάγεις πρὸς ζωὴν τῇ νεκρώσει σου, νέος Σῶτερ, ἐν σαρκὶ φανεὶς Ἀδάμ.

Συνέτισόν με, καὶ ἐξερευνήσω τὸν νόμον σου.

Νοεραί σε τάξεις ἡπλωμένον νεκρὸν καθορῶσαι δι' ἡμᾶς, ἐξεπλήττοντο, καλυπτόμεναι ταῖς πτέρυξι, Σωτήρ.

Ὁδήγησόν με ἐν τῇ τρίβῳ τῶν ἐντολῶν σου.

Καθελών σε, Λόγε, ἀπὸ ξύλου νεκρόν, ἐν μνημείῳ Ἰωσὴφ νῦν κατέθετο· ἀλλ' ἀνάστα σώζων πάντας ὡς Θεός.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου.

Τῶν Ἀγγέλων, Σῶτερ, χαρμονὴ πεφυκώς, νῦν καὶ λύπης τούτοις γέγονας αἴτιος, καθορώμενος σαρκὶ ἄπνους νεκρός.

Ἀπόστρεψον τοὺς ὀφθαλμούς μου τοῦ.

Ὑψωθεὶς ἐν ξύλῳ, καὶ τοὺς ζῶντας βροτοὺς συνυψοῖς· ὑπὸ τὴν γῆν δὲ γενόμενος τοὺς κειμένους δ' ὑπ' αὐτὴν ἐξανιστᾷς.

Στῆσον τῷ δούλῳ σου τὸ λόγιόν σου.

Ὥσπερ λέων, Σῶτερ, ἀφυπνώσας σαρκί, ὥς τις σκύμνος ὁ νεκρὸς ἐξανίστασαι, ἀποθέμενος τὸ γῆρας τῆς σαρκός.

Περίελε ἀπ' ἐμοῦ ὄνειδος, καὶ ἐξουδένωσιν.

Τὴν πλευρὰν ἐνύγης ὁ πλευρὰν εἰληφὼς τοῦ Ἀδάμ, ἐξ ἧς τὴν Εὔαν διέπλασας, καὶ ἐξέβλυσας κρουνοὺς καθαρτικούς.

Ἰδοὺ ἐπεθύμησα τὰς ἐντολάς σου.

Ἐν κρυπτῷ μὲν πάλαι θύεται ὁ ἀμνός, σὺ δ' ὑπαίθριος τυθείς, ἀνεξίκακε, πᾶσαν κτίσιν ἀπεκάθηρας, Σωτήρ.

Καὶ ἔλθοι ἐπ' ἐμὲ τὸ ἔλεός σου Κύριε, τὸ σωτήριόν σου.

Τίς ἐξείποι τρόπον φρικτὸν ὄντως καινόν; ὁ δυναστεύων γὰρ τῆς κτίσεως σήμερον πάθος δέχεται, καὶ θνήσκει δι' ἡμᾶς.



Digitized by Google

Καὶ ἀποκριθήσομαι τοῖς ὀνειδίζουσι.

Ὁ Ζωῆς ταμίας πῶς ὁρᾶται νεκρός; ἐκπληττόμενοι οἱ Ἄγγελοι ἔκραζον· πῶς δ' ἐν μνήματι συγκλείεται Θεός;

Καὶ μὴ περιέλῃς ἐκ τοῦ στόματός μου λόγον.

Λογχονύκτου, Σῶτερ, ἐκ πλευρᾶς σου ζωὴν, τῇ ζωῇ τῇ ἐκ ζωῆς ἐξωσάσης με, ἐπιστάζεις, καὶ ζωώσῃς με σὺν αὐτῇ.

Καὶ φυλάξω τὸν νόμον σου διαπαντός.

Ἁπλωθεὶς ἐν ξύλῳ συνηγάγω βροτοὺς, τὴν πλευρὰν σου δὲ νυγεὶς τὴν ζωήρρυτον, πᾶσιν ἄφεσιν πηγάζεις Ἰησοῦ.

Καὶ ἐπορευόμην ἐν πλατυσμῷ ὅτι.

Ὁ Εὐσχήμων, Σῶτερ, σχηματίζει φρικτῶς, καὶ κηδεύει ὡς νεκρὸν εὐσχημόνως σε, καὶ θαμβεῖται σου τὸ σχῆμα τὸ φρικτόν.

Καὶ ἐλάλουν ἐν τοῖς μαρτυρίοις σου.

Ὑπὸ γῆν βουλήσει κατελθὼν ὡς θνητὸς, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια τοὺς ἐκεῖθεν πεπτωκότας, Ἰησοῦ.

Καὶ ἐμελέτων ἐν ταῖς ἐντολαῖς σου,
ἃς ἠγάπησα.

Κἂν νεκρὸς ὡράθης, ἀλλὰ ζῶν ὡς Θεὸς, ἐπανάγεις ἀπὸ γῆς πρὸς οὐράνια τοὺς ἐκεῖθεν πεπτωκότας Ἰησοῦ.

Καὶ ἦρα τὰς χεῖράς μου πρὸς τὰς
ἐντολάς σου.

Κἂν νεκρὸς ὡράθης, ἀλλὰ ζῶν ὡς Θεὸς, νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας, τὸν ἐμὸν ἀπονεκρώσας νεκρωτήν.

Καὶ ἠδολέσχουν ἐν τοῖς δικαιώμασί σου.

Ὢ χαρᾶς ἐκείνης, ὢ πολλῆς ἡδονῆς, ἧσπερ τοὺς ἐν ᾅδῃ πεπλήρωκας, ἐν πυθμέσι φῶς ἀστράψας ζοφεροῖς.

Μνήσθητι τῶν λόγων σου τῷ δούλῳ σου.

Προσκυνῶ τὸ πάθος, ἀνυμνῶ τὴν ταφήν, μεγαλύνω σου τὸ κράτος, φιλάνθρωπε, δι' ὧν λέλυμαι παθῶν φθοροποιῶν.

Αὕτη με παρεκάλεσεν ἐν τῇ.

Κατὰ σοῦ ῥομφαία ἐστιλβοῦτο, Χριστὲ, καὶ ῥομφαία ἰσχυροῦ μὲν ἀμβλύνεται, καὶ ῥομφαία δὲ τροποῦται τῆς Ἐδέμ.

Ὑπερήφανοι παρηνόμουν ἕως σφόδρα.

Ἡ Ἀμνὰς τὸν ἄρνα βλέπουσα ἐν σφαγῇ, ταῖς αἰκίσι βαλλομένη ἠλάλαζε, συγκινοῦσα καὶ τὸ ποίμνιον βοᾶν.

Ἐμνήσθην τῶν κριμάτων σου ἀπ' αἰῶνος.

Κἂν ἐνθάπτῃ τάφῳ, κἂν εἰς ᾅδου μολῇς, ἀλλὰ καὶ τοὺς τάφους ἐκένωσας, καὶ τὸν ᾅδην ἀπεγύμνωσας, Χριστέ.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν.

Ἑκουσίως, Σῶτερ, κατελθὼν ὑπὸ γῆν, νεκρωθέντας τοὺς βροτοὺς ἀνεζώωσας, καὶ ἀνήγαγες ἐν δόξῃ πατρικῇ.

Ψαλτὰ ἦσάν μοι τὰ δικαιώματά σου.

Τῆς Τριάδος ὁ εἷς ἐν σαρκὶ δι' ἡμᾶς ἐπονείδιστον ὑπέμεινε θάνατον· φρίττει ἥλιος, καὶ τρέμει δὲ ἡ γῆ.

Ἐμνήσθην ἐν νυκτὶ τοῦ ὀνόματός σου Κύριε.

Ὡς ἐκ κρήνης πικρᾶς, τῆς Ἰούδα φυλῆς οἱ ἀπόγονοι ἐν λάκκῳ κατέθεντο τὸν τροφέα μαννοδότην Ἰησοῦν.

Αὕτη ἐγενήθη μοι, ὅτι τὰ δικαιώματα.

Ὁ Κριτὴς, ὡς κριτὸς, πρὸ Πιλάτου κριτοῦ καὶ παρίστατο, καὶ θάνατον ἄδικον κατεκρίθη διὰ ξύλου σταυρικοῦ.

Μερίς μου εἶ Κύριε, εἶπα τοῦ φυλάξασθαι.

Ἀλαζὼν Ἰσραὴλ, μιαιφόνε λαὲ, τί παθὼν τὸν Βαραββᾶν ἠλευθέρωσας, τὸν Σωτῆρα παραδέδωκας Σταυρῷ;

Ἐδεήθην τοῦ προσώπου σου ἐν ὅλῃ.

Ὁ Χειρί σου πλάσας τὸν Ἀδὰμ ἐκ τῆς γῆς, δι' αὐτὸν τῇ φύσει γέγονας ἄνθρωπος, καὶ ἐσταύρωσαι βουλήματι τῷ σῷ.

Διελογισάμην τὰς ὁδούς σου, καὶ ἐπέστρεψα.

Ὑπακούσας, Λόγε, τῷ ἰδίῳ Πατρὶ, μέχρις ᾅδου τοῦ δεινοῦ καταβέβηκας, καὶ ἀνέστησας τὸ γένος τῶν βροτῶν.

Ἡτοιμάσθην, καὶ οὐκ ἐταράχθην τοῦ.

Οἴμοι φῶς τοῦ Κόσμου, οἴμοι φῶς τὸ ἐμὸν, Ἰησοῦ μου ποθεινότατε· ἔκραζεν ἡ Παρθένος θρηνῳδοῦσα γοερῶς.

Σχοινία ἁμαρτωλῶν περιεπλάκησάν μοι.

Φθονεργὲ φονεργὲ, καὶ ἀλάστορ λαὲ, κἂν σινδόνας, καὶ αὐτὸ τὸ σουδάριον αἰσχύνθητι ἀναστάντος τοῦ Χριστοῦ.

Μεσονύκτιον ἐξεγειρόμην, τοῦ ἐξομο.

Δεῦρο δὴ, μιαρὲ φονευτὰ μαθητὰ, καὶ τὸν τρόπον τῆς κακίας σου δεῖξόν μοι. δι' ὃν γέγονας προδότης τοῦ Χριστοῦ.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φο.

Ὡς φιλάνθρωπός τις ὑποκρίνῃ μωρὲ, καὶ τυφλὲ πανολεθρότατε ἄσπονδε, ὁ τὸ μύρον πεπρακὼς διὰ τιμῆς.

Τοῦ ἐλέους σου Κύριε πλήρης ἡ γῆ, τὰ δι.

Οὐρανίου μύρου ποίαν ἔσχες τιμήν; τοῦ τιμίου τί ἐδέξω ἀντάξιον; λύσσαν εὗρες, καταράτε, σατάν.

Χρηστότητα ἐποίησας μετὰ τοῦ δούλου
σου Κύριε, κατὰ τόν.

Εἰ φιλόπτωχος εἶ, καὶ τὸ μύρον λυπῇ, κενούμενον εἰς ψυχῆς ἱλαστήριον, πῶς χρυσῷ ἀπεμπολεῖς τὸν φωταυγῆ;

Χρηστότητα καὶ παιδείαν, καὶ γνῶσιν δίδαξόν με.

Ὢ Θεὲ, καὶ Λόγε, ὢ χαρὰ ἡ ἐμή· πῶς ἐνέγκω σου ταφὴν τὴν τριήμερον; νῦν σπαράττομαι τὰ σπλάγχνα μητρικῶς.

Πρὸ

Πρὸ τοῦ με ταπεινωθῆναι, ἐγώ.

ΤΙ΄ς μοι δώσει ὕδωρ, καὶ δακρύων πηγάς; ἡ θεόνυμφος Παρθένος ἐκραύγαζεν, ἵνα κλαύσω τὸν γλυκύν μου Ἰησοῦν.

Χρηστὸς εἶ σὺ Κύριε, καὶ ἐν τῇ χρηστότητί σου.

ΩΌ βουνοὶ καὶ νάπαι, καὶ ἀνθρώπων πληθὺς κλαύσατε, καὶ πάντα θρηνήσατε σὺν ἐμοί, τῇ τοῦ Θεοῦ ὑμῶν μητρί.

Ἐπληθύνθη ἐπ' ἐμὲ ἀδικία ὑπερηφάνων.

ΠΌτε ἴδω, Σῶτερ, σὲ τὸ ἄχρονον φῶς, τὴν χαρὰν καὶ ἡδονὴν τῆς καρδίας μου; ἡ Παρθένος ἀνεβόα γοερῶς.

Ἐτυρώθη ὡς γάλα ἡ καρδία αὐτῶν, ἐγὼ δέ.

ΚΑ'ν ὡς πέτρα, Σῶτερ, ἡ ἀκρότομος σὺ κατεδέξω τὴν τομήν, ἀλλ' ἐπήγασας ζῶν τὸ ῥεῖθρον, ὡς πηγὴ ὢν τῆς ζωῆς.

Ἀγαθόν μοι ὅτι ἐταπείνωσάς με.

ΩΣ ἐκ κρήνης μιᾶς, τὸν διπλοῦν ποταμὸν τῆς πλευρᾶς σου προχεούσης ἀρδόμενοι, τὴν ἀθάνατον καρπούμεθα ζωήν.

Ἀγαθός μοι ὁ νόμος τοῦ στόματός σου ὑπὲρ χιλιάδας χρυσίου, καὶ ἀργυρίου.

ΘΈλων ὤφθης, Λόγε, ἐν τῷ τάφῳ νεκρός, ἀλλὰ ζῇς, καὶ τοὺς βροτούς, ὡς προείρηκας, ἀναστάσει σου, Σωτήρ μου, ἐγερεῖς.

Δόξα.

ἈΝυμνοῦμεν, Λόγε, σὲ τὸν πάντων Θεόν, σὺν Πατρί, καὶ τῷ ἁγίῳ σου Πνεύματι, καὶ δοξάζομεν τὴν θείαν σου ταφήν.

Καὶ νῦν.

ΜΑκαρίζομέν σε, Θεοτόκε ἁγνή, καὶ τιμῶμεν τὴν ταφὴν τὴν τριήμερον τοῦ υἱοῦ σου, καὶ Θεοῦ ἡμῶν πιστῶς.

Καὶ πάλιν τὸ πρῶτον· εἶτα, Συναπτὴ μικρά. Καὶ ἐκφώνησις εἰς τὴν πρώτην στάσιν. Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ βασιλεία τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Καὶ θυμιάσας, ἄρχεται τῆς δευτέρας στάσεως.

Στάσις δευτέρα. Ἄρχεται ὁ ἀριστερὸς χορὸς εὐρύθμως τοῦ τροπαρίου.

ἌΞιον ἐστὶ, μεγαλύνειν σε τὸν ζωοδότην, τὸν ἐν τῷ σταυρῷ τὰς χεῖρας ἐκτείναντα, καὶ συντρίψαντα τὸ κράτος τοῦ ἐχθροῦ.

Αἱ χεῖρές σου ἐποίησάν με, καὶ ἔπλασ.

ἌΞιον ἐστὶ. μεγαλύνειν σε τὸν πάντων κτίστην, τοῖς σοῖς γὰρ παθήμασιν ἔχομεν τὴν ἀπάθειαν, ῥυσθέντες τῆς φθορᾶς.

Οἱ φοβούμενοί σε ὄψονται.

ἜΦριξεν ἡ γῆ, καὶ ὁ ἥλιος, Σῶτερ, ἐκρύβη, σοῦ τοῦ ἀνεσπέρου φέγγους, Χριστὲ, δύνοντος ἐν τάφῳ σωματικῶς.

Ἔγνων Κύριε, ὅτι δικαιοσύνη τὰ κρίματά σου.

ΥΠνωσας, Χριστὲ, τὸν φυσίζωον ὕπνον ἐντάφῳ, καὶ βαρέως ὕπνου ἐξήγειρας τοῦ τῆς ἁμαρτίας τὸ τῶν ἀνθρώπων γένος.

Γενηθήτω δὴ τὸ ἔλεός σου, τοῦ παρακαλέσαι.

ΜΌνη γυναικῶν χωρὶς πόνων ἔτεκόν σε, τέκνον, πόνους δὲ νῦν φέρω πάθει τῷ σῷ ἀφορήτους· ἔλεγεν ἡ σεμνή.

Ἐλθέτωσάν μοι οἱ οἰκτιρμοί σου.

ἌΝω σε, Σωτὴρ, ἀχωρίστως τῷ Πατρὶ συνόντα, κάτω δὲ νεκρὸν ἡπλωμένον γῇ, φρίττουσιν ὁρῶντα τὰ σεραφίμ.

Αἰσχυνθήτωσαν ὑπερήφανοι, ὅτι ἀδίκως.

ῬΉγνυται ναοῦ καταπέτασμα τῇ σῇ σταυρώσει, κρύπτουσι φωστῆρες, Λόγε, τὸ φῶς, σοῦ κρυβέντος ἡλίου ὑπὸ γῆν.

Ἐπιστρεψάτωσάν με οἱ φοβούμενοί σε.

ΓΗ'ς ὁ κατ' ἀρχὰς μόνῳ νεύματι πήξας τὸν γῦρον, ἄπνους ὡς βροτὸς καθυπέδυ γῆν· φρίξον τῷ θεάματι οὐρανέ.

Γενηθήτω ἡ καρδία μου ἄμωμος ἐν τοῖς.

ἜΔυς ὑπὸ γῆν ὁ τὸν ἄνθρωπον χειρί σου πλάσας, ἵνα ἐξαναστήσῃς τοῦ πτώματος τῶν βροτῶν τὰ στίφη πανσθενεστάτῳ κράτει.

Ἐκλείπει εἰς τὸ σωτήριόν σου ἡ ψυχή μου.

ΘΡῆνον ἱερὸν δεῦτε ᾄσωμεν Χριστῷ θανόντι, ὡς αἱ μυροφόροι γυναῖκες πρὶν, ἵνα καὶ τὸ χαῖρε ἀκουσώμεθα σὺν αὐταῖς.

Ἐξέλιπον οἱ ὀφθαλμοί μου εἰς.

ΜΎρον ἀληθῶς σὺ ἀκένωτον ὑπάρχεις, Λόγε· ὅθεν σοι καὶ μύρα προσέφερον, ὡς νεκρῷ τῷ ζῶντι, γυναῖκες μυροφόροι.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ.

ἍΔου μὲν ταφεὶς τὰ βασίλεια, Χριστὲ, συντρίβεις, θάνατον θανάτῳ δὲ θανατοῖς, καὶ φθορᾶς λυτροῦσαι τοὺς γηγενεῖς.

Πόσαι εἰσὶν αἱ ἡμέραι τοῦ δούλου σου;

ῬΕῖθρα τῆς ζωῆς ἡ προχέουσα Θεοῦ σοφία, τάφον ὑπεισδῦσα, ζωοποιεῖ τοὺς ἐν τοῖς ἀδύτοις ᾅδου μυχοῖς.

Διηγήσαντό μοι παράνομοι ἀδολεσχίας, ἀλλ' οὐχ.

ἽΝα τὴν βροτῶν καινουργήσω συντριβεῖσαν φύσιν, πέπληγμαι θανάτῳ θέλων σαρκί. Μῆτερ, οὖν μὴ κόπτου τοῖς ὀδυρμοῖς.

Πᾶσαι αἱ ἐντολαί σου ἀλη.

ἜΔυς ὑπὸ γῆν, ὁ φωσφόρος τῆς δικαιοσύνης, καὶ νεκροὺς ὥσπερ ἐξ ὕπνου ἐξήγειρας, ἐκδιώξας ἅπαν τὸ ἐν τῷ ᾅδῃ σκότος.

Παρὰ βραχὺ συνετέλεσάν με.

ΚΌκκος σίφυης ὁ φυσίζωος ἐν γῆς λαγόσι σπείρεται σὺν δάκρυσι σήμερον, ἀλλ' ἀναβλαστήσας, κόσμον χαροποιήσει.

Κατὰ τὸ ἔλεός σου ζῆσόν με καί.

ἘΠτηξεν Ἀδὰμ, Θεοῦ βαίνοντος ἐν παραδείσῳ, χαίρει δὲ πρὸς ᾅδην φοιτήσαντος, πεπτωκὸς τὸ πρὶν καὶ νῦν ἐγηγερμένος.

Εἰς τὸν αἰῶνα Χριστὲ ὁ λόγος σου.

ΣΠένδει σοι χοὰς ἡ τεκοῦσά σε, Χριστὲ, δακρύων, σαρκικῶς κατατεθέντι ἐν μνήματι, ἐκβοῶσα, τέκνον ἀνάστα, ὡς προέφης.

Ἐθεμελίωσας τὴν γῆν καὶ διαμένει.

ΤΑφῳ Ἰωσὴφ εὐλαβῶς σε τῷ καινῷ συγκρύπτων, ὕμνους ἐξοδίους θεοπρεπεῖς μέλπει σοι συμμίκτοις θρήνοις, Σωτήρ.

Τῇ διατάξει σου διαμένει ἡμέρα ὅτι.

ΗΛοις σε σταυρῷ πεπαρμένον ἡ σὴ μήτηρ, Λόγε, βλέψασα, τοῖς ἥλοις λύπης πικρᾶς βέβληται καὶ βέλεσι τὴν ψυχήν.

Εἰ μὴ ὅτι ὁ νόμος σου μελέτη μου ἐστί.

ΣΕ τὸν τοῦ παντὸς γλυκασμὸν ἡ μήτηρ καθορῶσα πόμα ποτιζόμενον τὸ πικρὸν, δάκρυσι τὰς ὄψεις βρέχει πικρῶς.

Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν.

ΤΕτρῶμαι δεινῶς, καὶ σπαράττομαι τὰ σπλάγχνα, Λόγε, βλέπουσα τὴν ἄδικόν σου σφαγήν· ἔλεγεν ἡ πάναγνος ἐν κλαυθμῷ.

Σός εἰμι ἐγὼ, σῶσόν με.

ΟΜμα τὸ γλυκὺ, καὶ τὰ χείλη σου πῶς μύσω, Λόγε; πῶς νεκροπρεπῶς δὲ κηδεύσω σε; φρίττω· ἀνεβόα ὁ Ἰωσήφ.

Ἐμὲ ὑπέμειναν ἁμαρτωλοὶ τοῦ ἀπολέσαι με.

ΥΜνους Ἰωσὴφ καὶ Νικόδημος ἐπιταφίους, ᾄδουσι Χριστῷ νεκρωθέντι νῦν· ᾄδει δὲ σὺν τούτοις καὶ Σεραφίμ.

Πάσης συντελείας εἶδον πέρας.

ΔΥνεις ὑπὸ γῆν Σῶτερ ἥλιε δικαιοσύνης, ὅθεν ἡ τεκοῦσα Σελήνη σε, ταῖς λύπαις ἐκλείπει, σῆς θέας στερουμένη.

Ὡς ἠγάπησα τὸν νόμον σου Κύριε ὅλην τὴν ἡμέραν.

ἘΦριξεν ὁρῶν, Σῶτερ, ᾅδης σε τὸν ζωοδότην, πλοῦτον τὸν ἐκείνου σκυλεύοντα, καὶ τοὺς ἀπ' αἰῶνος νεκροὺς ἐξανιστῶντα·

Ὑπὲρ τοὺς ἐχθρούς μου ἐσόφισάς με.

ἩΛιος φαιδρὸν ἀπαστράπτει μετὰ νύκτα, Λόγε· καὶ σὺ δ' ἀναστὰς ἐξαστράψεις μετὰ θάνατον φαιδρῶς, ὡς ἐκ παστοῦ.

Ὑπὲρ πάντας τοὺς διδάσκοντάς με.

ΓΗ σε, πλαστουργὲ, ὑπὸ κόλπους δεξαμένη, τρόμῳ συσχεθεῖσα, Σῶτερ, τινάσσεται, ἀφυπνώσασα νεκροὺς τῷ τιναγμῷ.

Ὑπὲρ πρεσβυτέρους συνῆκα ὅτι τάς.

ΜΥροις σε, Χριστὲ, ὁ Νικόδημος καὶ ὁ εὐσχήμων νῦν καινοπρεπῶς περιστείλαντες, φρίξον, ἀνεβόων, πᾶσα ἡ γῆ.

Ἐκ πάσης ὁδοῦ πονηρᾶς ἐκώλυσα τοὺς πόδας μου.

ἜΔυς φωτουργὲ, καὶ συνέδυ σοι τὸ φῶς ἡλίου. τρόμῳ δὲ ἡ κτίσις συνέχεται, πάντων σε κηρύττουσα ποιητήν.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα.

ΛΙθος λαξευτὸς τὸν ἀκρογωνιαῖον καλύπτει λίθον· ἄνθρωπος θνητὸς δ' ὡς θνητὸν Θεὸν κρύπτει νῦν τῷ τάφῳ, φρίξον ἡ γῆ.

Ὡς γλυκέα τῷ λάρυγγί μου τὰ λόγιά σου.

ἼΔε μαθητὴν, ὃν ἠγάπησας, καὶ σὴν μητέρα, τέκνον, καὶ φθογγὴν δὸς γλυκύτατον, ἐκραζε δακρύουσα ἡ ἁγνή.

Ἀπὸ τῶν ἐντολῶν σου συνῆκα διὰ τοῦτο ἐμίσησα.

ΣΥ ὡς ὢν ζωῆς χορηγὸς, Λόγε, τοὺς Ἰουδαίους, ἐν σταυρῷ ταθεὶς, οὐκ ἐνέκρωσας, ἀλλ' ἀνέστησας καὶ τούτων τοὺς νεκρούς.

Λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καί.

ΚΑλλος, Λόγε, πρὶν, οὐδὲ εἶδος ἐν τῷ πάσχειν ἔσχες, ἀλλ' ἐξαναστὰς ὑπερέλαμψας, καλλωπίσας τοὺς βροτοὺς θείαις αὐγαῖς.

Ὤμοσα, καὶ ἔστησα.

ἜΔυς τῇ σαρκὶ ὁ ἀνέσπερος εἰς γῆν φωσφόρος, καὶ μὴ φέρων βλέπειν ὁ ἥλιος, ἐσκοτίσθη μεσημβρίας ἐν ἀκμῇ.

Ἐταπεινώθην ἕως σφόδρα, Κύριε ζῆσόν με.

ἩΛιος ὁμοῦ, καὶ σελήνη σκοτισθέντες, Σῶτερ, δούλους εὐνοοῦντας εἰκόνιζον, οἳ μελαίνας ἀμφιέννυνται στολάς.

Τὰ ἑκούσια τοῦ στόματός μου εὐδόκησον.

ΕἼδε σε Θεὸν ἑκατόνταρχος, κἂν ἐνεκρώθης· πῶς σὲ οὖν, Θεέ μου, ψαύσω χερσὶ, φρίττω· ἀνεβόα ὁ Ἰωσήφ.

Ἡ ψυχή μου ἐν ταῖς χερσί σου διαπαντός.

ΥΠνωσεν Ἀδὰμ, ἀλλὰ θάνατον πλευρᾶς ἐξάγει· σὺ δὲ νῦν ὑπνώσας, Λόγε Θεοῦ, βρύεις ἐκ πλευρᾶς σου κόσμῳ ζωήν.

Ἔθεντο ἁμαρτωλοὶ παγίδα μοι.

ΥΠνωσας μικρὸν, καὶ ἐζώωσας τοὺς τεθνεῶτας, καὶ ἐξαναστὰς ἐξανέστησας τοὺς ὑπνοῦντας ἐξ αἰῶνος, ἀγαθέ.

Ἐκληρονόμησα τὰ μαρτύριά σου.

ἘΡρθης ἀπὸ γῆς, ἀλλ' ἀνέβλυσας τῆς σωτηρίας τὸν οἶνον, ζωήρρυτε ἄμπελε, δοξάζω τὸ πάθος, καὶ τὸν Σταυρόν.

Ἔκλινα τὴν καρδίαν μου τοῦ ποιῆσαι τὰ δικ.

ΠΩς οἱ νοεροὶ ταγματάρχαι σε, Σωτὴρ, ὁρῶντες γυμνὸν, ᾑμαγμένον, κατάκειτον, ἔφερον τὴν τόλμαν τῶν σταυρωτῶν.

Πα-

Παρανόμους ἐμίσησα, τὸν δὲ νόμον σου.

Α'ραβέον, σκολιώτατον γένος Ἑβραίων, ἔγνως τὴν ἀνέγερσιν τοῦ ναοῦ, διατὶ κατέκρινας τὸν Χριστόν;

Βοηθός μου, καὶ ἀντιλήπτωρ μου εἶ σύ.

Χλαῖναν ἐμπαιγμοῦ τὸν κοσμήτορα πάντων ἐνδύεις, ὃς τὸν οὐρανὸν κατεστέρωσε, καὶ τὴν γῆν ἐκόσμησε θαυμαστῶς.

Ἐκκλίνατε ἀπ' ἐμοῦ πονηρευόμενοι.

Ὥσπερ πελεκὰν τετρωμένος τὴν πλευράν σου, Λόγε, σοὺς θανέντας παῖδας ἐζώωσας, ἐπιστάξας ζωτικοὺς αὐτοῖς κρουνούς.

Ἀντιλαβοῦ μου κατὰ τὸ λόγιόν σου.

Ἥλιον τὸ πρίν, Ἰησοῦς τοὺς ἀλλοφύλους κόπτων, ἔστησεν, αὐτὸς δὲ ἀπέκρυψας, καταβάλλων τὸν τοῦ σκότους ἀρχηγόν.

Βοήθησόν μοι καὶ σωθήσομαι.

Κόλπων πατρικῶν ἀνεκφοίτητος μείνας, οἰκτίρμον, καὶ βροτὸς γενέσθαι εὐδόκησας, καὶ εἰς ᾅδην καταβέβηκας Χριστέ.

Ἐξουδένωσας πάντας τοὺς ἀποστατοῦντας.

Ἤρθη σταυρωθεὶς ὁ ἐν ὕδασι τὴν γῆν κρεμάσας, καὶ ὡς ἄπνους ἐν αὐτῇ νῦν προσκλίνεται, ὃ μὴ φέρουσα, ἐσείετο δεινῶς.

Παραβαίνοντας ἐλογισάμην πάντας.

Οἴ μοι ὦ υἱέ· ἡ ἀπείρανδρος ἐθρήνει λέγων. ὃν ὡς βασιλέα γὰρ ἤλπιζον, κατάκριτον βλέπω νῦν ἐν σταυρῷ.

Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου.

Ταῦτα Γαβριὴλ μοι ἀπήγγειλεν, ὅτε κατέπτη· ὃς τὴν βασιλείαν αἰώνιον, ἔφη, τοῦ υἱοῦ μου τοῦ Ἰησοῦ.

Ἐποίησα κρίμα, καὶ δικαιοσύνην μὴ παραδῷς με.

Φεῦ τοῦ Συμεὼν ἐκτετέλεσται ἡ προφητεία, ἡ γὰρ σὴ ῥομφαία διέδραμε τὴν ἐμὴν καρδίαν, Ἐμμανουήλ.

Ἔκδεξαι τὸν δοῦλόν σου εἰς ἀγαθὸν, μὴ συκ.

Κἂν τοὺς ἐκ νεκρῶν ἐπαισχύνθητε ὦ Ἰουδαῖοι, οὓς ὁ ζωοδότης ἀνέστησεν, ὃν αὐτοὶ ἐκτείνατε φθονεροῦς.

Οἱ ὀφθαλμοί μου ἐξέλιπον εἰς τὸ σωτήριόν σου.

Ἔφριξεν, ἰδὼν τὸ ἀόρατον φῶς σε, Χριστέ μου, μνήματι κρυπτόμενον ἄπνουν τε, καὶ ἐσκότασεν ὁ ἥλιος τὸ φῶς.

Ποίησον μετὰ τοῦ δούλου σου κατὰ τὸ.

Ἔκλαιε πικρῶς ἡ παναμώμητος μήτηρ σου, Λόγε, ὅτε ἐν τῷ τάφῳ ἑώρακε σὲ τὸν ἄφραστον, καὶ ἄναρχον Θεόν.

Δοῦλός σου εἰμὶ ἐγὼ, συνέτισόν με καὶ.

Νέκρωσιν τὴν σὴν ἡ πανάφθαρτος, Χριστὲ, σοῦ μήτηρ βλέπουσα, πικρῶς σοι ἐφθέγγετο, μὴ βραδύνῃς ἡ ζωὴ ἐν τοῖς νεκροῖς.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν.

Ἅδης ὁ δεινὸς συνεξώμαξεν, ὅτε σε εἶδε, Ἥλιε τῆς δόξης ἀθάνατε, καὶ ἐδίδου τοὺς δεσμίους ἐν σπουδῇ.

Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ.

Μέγα, καὶ φρικτὸν θέαμα νῦν καθορᾶται, ὁ ζωῆς γὰρ θέλων παραίτιος θάνατον ὑπέστη, ζωῶσαι θέλων πάντας.

Διὰ τοῦτο πρὸς πάσας τὰς ἐντολάς σου.

Νύττῃ τὴν πλευρὰν, καὶ ἥλωσαι, Δέσποτα, χεῖρας, πληγὴν ἐκ πλευρᾶς σὺ ἰώμενος, καὶ τὴν ἀκρασίαν χειρῶν τῶν προπατόρων.

Θαυμαστὰ τὰ μαρτύριά.

Πρὶν τὸν τῆς Ῥαχὴλ υἱὸν ἔκλαυσεν ἅπας κατ' οἶκον, καὶ τὸν τῆς Παρθένου ἐκόψατο μαθητῶν χορεία σὺν τῇ μητρί.

Ἡ δήλωσις τῶν λόγων σου φωτιεῖ.

Ῥάπισμα χειρῶν Χριστοῦ δέδωκαν ἐν σιαγόνι, τοῦ χειρὶ τὸν ἄνθρωπον πλάσαντος, καὶ τὰς μύλας θλάσαντος τοῦ θηρός.

Τὸ στόμα μου ἤνοιξα, καὶ εἵλκυσα πνεῦμα, ὅτι τὰς ἐντολάς σου ἐπεπόθουν.

Ὕμνοις σου, Χριστὲ, νῦν τὴν σταύρωσιν, καὶ τὴν ταφήν τε ἅπαντες πιστοὶ ἐκθειάζομεν, οἱ λελυτρωμένοι θανάτου τῇ ταφῇ σου.

Δόξα.

Ἄναρχε Θεὲ, συναΐδιε Λόγε, καὶ Πνεῦμα, σκῆπτρα τῶν ἀνάκτων κραταίωσον κατὰ πολεμίων, ὡς ἀγαθός.

Καὶ νῦν.

Τέξασα ζωὴν, παναμώμητε ἁγνὴ Παρθένε· παῦσον Ἐκκλησίας τὰ σκάνδαλα, καὶ βράβευσον εἰρήνην, ὡς ἀγαθή.

Καὶ πάλιν τὸ πρῶτον οἱ δύο χοροί· εἶτα συναπτὴ μικρὰ, ἐκφώνησις εἰς τὴν δευτέραν στάσιν. Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, ὁ ἐπὶ θρόνου δόξης τῶν Χερουβὶμ ἐπαναπαυόμενος, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί. Καὶ ἀρχόμεθα τῆς τρίτης στάσεως, θυμιῶντος τοῦ Ἱερέως.

Στάσις τρίτη· Ἄρχεται αὖθις μετὰ μέλους ὁ δεξιὸς, ἤγουν ὁ πρῶτος χορός.

Εἰς ἦχον γ'.

Αἱ γενεαὶ πᾶσαι ὕμνον τῇ ταφῇ σου προσφέρουσι, Χριστέ μου.

Ἐπίβλεψον ἐπ' ἐμὲ, καὶ ἐλέησόν με κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου.

Καθελὼν τοῦ ξύλου ὁ Ἀριμαθαίας, σινδόνι σε εἱλίσας, ἐν τάφῳ σε κηδεύει.

Τὰ

Τὰ διαβήματά μου κατεύθυνον κατὰ τὸ λόγιόν σου, καὶ μὴ κατακυριευσάτω μου.

ΜΥροφόροι ἦλθον, μύρα σοι, Χριστέ μου, κομίζουσαι προφρόνως.

Λύτρωσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων, καὶ φυλάξω τὰς ἐντολάς σου.

ΔΕῦρο πᾶσα κτίσις, ὕμνους ἐξοδίους προσοίσωμεν τῷ κτίσῃ.

Τὸ πρόσωπόν σου ἐπίφανον ἐπὶ τὸν δοῦλόν σου.

ΩΣ νεκρὸν τὸν ζῶντα σὺν μυροφόροις πάντες μυρίσωμεν ἐμφρόνως.

Διεξόδους ὑδάτων κατέδυσαν οἱ ὀφθαλμοί μου, ἐπεὶ οὐκ ἐφύλαξα τὸν νόμον σου.

ΙΩσὴφ τρισμάκαρ, κήδευσον τὸ σῶμα Χριστοῦ τοῦ ζωοδότου.

Δίκαιος εἶ Κύριε, καὶ εὐθεῖς αἱ κρίσεις σου.

ΟΥς ἔθρεψε τὸ μάννα, ἐκίνησαν τὴν πτέρναν κατὰ τοῦ εὐεργέτου.

Ἐνετείλω δικαιοσύνην τὰ μαρτύριά σου, καὶ ἀλήθειαν.

ΟΥς ἔθρεψε τὸ μάννα, φέρουσι τῷ Σωτῆρι χολὴν ἅμα, καὶ ὄξος.

Ἐξέτηξέ με ὁ ζῆλός σου, ὅτι ἐπελάθοντο τῶν λόγων σου.

Ω Τῆς παραφροσύνης, καὶ τῆς χριστοκτονίας τῆς τῶν προφητοκτόνων.

Πεπυρωμένον τὸ λόγιόν σου σφόδρα.

ΩΣ ἄφρων ὑπηρέτης, προδέδωκεν ὁ μύστης τὴν ἄβυσσον σοφίας.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος τά.

ΤΟν ῥύστην ἀπολύσας, αἰχμάλωτος κατέστη ὁ δόλιος Ἰούδας.

Ἡ δικαιοσύνη σου, δικαιοσύνη εἰς τὸν αἰῶνα, καὶ ὁ νόμος σου.

ΚΑτὰ τὸν Σολομῶντα βόθρος βαθὺς τὸ στόμα Ἑβραίων παρανόμων.

Θλίψεις καὶ ἀνάγκαι εὕροσάν με. αἱ ἐντολαί σου.

ΕΒραίων παρανόμων ἐν σκολιαῖς πορείαις τρίβολοι καὶ παγίδες.

Δικαιοσύνη τὰ μαρτύριά σου εἰς τὸν αἰῶνα.

ΙΩσὴφ κηδεύει σὺν τῷ Νικοδήμῳ νεκροπρεπῶς τὸν κτίστην.

Ἐκέκραξα ἐν ὅλῃ καρδίᾳ μου ἐπάκουσόν μου Κύριε τά.

ΖΩοδότα σῶτερ, δόξα σου τῷ κράτει τὸν ᾅδην καθελόντι.

Ἐκέκραξά σοι, σῶσόν με, καὶ φυλάξω τὰ μαρτύριά σου.

ΥΠνον ὁρῶσα ἡ πάναγνός σου, Λόγε, μητροπρεπῶς ἐθρήνει.

Προέφθασα ἐν ἀωρίᾳ, καὶ ἐκέκραξα εἰς τοὺς λόγους σου.

ΩΓλυκύ μου ἔαρ, γλυκύτατόν μου τέκνον, ποῦ σου ἔδυ τὸ κάλλος;

Προέφθασαν οἱ ὀφθαλμοί μου πρὸς ὄρθρον τοῦ.

ΘΡῆνον συνεκίνει ἡ πάναγνός σου μήτηρ, σοῦ Λόγε νεκρωθέντος.

Τῆς φωνῆς μου ἄκουσον Κύριε κατὰ τὸ ἔλεός σου, κατὰ τό.

ΓΥναῖκα σὺν μύροις ἥκουσι, μυρίσαι Χριστὸν τὸν θεῖον μῦρον.

Προσήγγισαν οἱ καταδιώκοντές με ἀνομίᾳ, ἀπὸ δὲ τοῦ νόμου σου.

ΘΑνατον θανάτῳ σὺ θανατοῖς Θεέ μου θείᾳ σου δυναστείᾳ.

Ἐγγὺς εἶ Κύριε, καὶ πᾶσαι αἱ ὁδοί σου ἀλήθεια.

ΠΕπλάνηται ὁ πλάνος, ὁ πλανηθεὶς λυτροῦται σοφίᾳ σῇ, Θεέ μου.

Κατ' ἀρχὰς ἔγνων ἐκ τῶν μαρτυρίων σου, ὅτι εἰς τὸν αἰῶνα.

ΠΡὸς τὸν πυθμένα ᾅδου κατήχθη ὁ προδότης διὰ φθορᾶς εἰς φρέαρ.

Ἴδε τὴν ταπείνωσίν μου, καὶ ἐξελοῦ με, ὅτι τοῦ νόμου σου.

ΤΡίβολοι καὶ παγίδες ὁδοὶ τοῦ τρισαθλίου παράφρονος Ἰούδα.

Κρῖνον τὴν κρίσιν μου, καὶ λύτρωσαί με διά.

ΠΑντες συναπολοῦνται οἱ σταυρωταί σου, Λόγε, Υἱὲ Θεοῦ παντάναξ.

Μακρὰν ἀπὸ ἁμαρτωλῶν σωτηρία, ὅτι τὰ δικαιώματά σου.

ΔΙαφθορᾶς εἰς φρέαρ πάντες συναπολοῦνται οἱ ἄνδρες τῶν αἱμάτων.

Οἱ οἰκτιρμοί σου πολλοὶ Κύριε κατὰ τὸ κρίμα σου.

ΥΙὲ Θεοῦ παντάναξ, Θεέ μου, πλαστουργέ μου, πῶς πάθος κατεδέξω;

Πολλοὶ οἱ ἐκδιώκοντές με, καὶ θλίβοντές με ἐκ...

ΗΔάμαλις τὸν μόσχον ἐν ξύλῳ κρεμασθέντα ἠλάλαζεν ὁρῶσα.

Εἶδον ἀσυνετοῦντας, καὶ ἐξετηκόμην, ὅτι τὰ λόγιά σου.

ΣΩμα ζωηφόρον ὁ Ἰωσὴφ κηδεύει μετὰ τοῦ Νικοδήμου.

Ἴδε, ὅτι τὰς ἐντολάς σου ἠγάπησα, Κύριε, ἐν τῷ ἐλέει σου ζῆσόν με.

ΑΝέκραζεν ἡ κόρη, θερμῶς δακρυρροοῦσα, τὰ σπλάγχνα κεντημένη.

Ἀρχὴ τῶν λόγων σου ἀλήθεια, καὶ εἰς τὸν αἰῶνα.

ΦΩς τῶν ὀφθαλμῶν μου, γλυκύτατόν μου τέκνον, πῶς τάφῳ νῦν καλύπτῃ;

Ἀρ-

Digitized by Google

Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου.

Τὸν Ἀδὰμ καὶ Εὔαν ἐλευθερῶσαι, μῆτερ μὴ θρήνει, ταῦτα πάσχω.

Ἀγαλλιάσομαι ἐγὼ ἐπὶ τὰ λόγιά σου, ὡς ὁ εὑρίσκων.

Δοξάζω σου, Υἱέ μου, τὴν ἄκραν εὐσπλαγχνίαν, ἧς χάριν ταῦτα πάσχεις.

Ἀδικίαν ἐμίσησα, καὶ ἐβδελυξάμην τόν.

Ὄξος ἐποτίσθης, καὶ χολὴν, οἰκτίρμον, τὴν πάλαι λύων γεῦσιν.

Ἑπτάκις τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου.

Ἐν ξύλῳ προσεπάγης ὁ πάλαι τὸν λαόν σου στύλῳ νεφέλης σκέπων.

Εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον σου.

Αἱ μυροφόροι, Σῶτερ, τῷ τάφῳ προσελθοῦσαι, προσέφερόν σοι μύρα.

Προσεδόκων τὸ σωτήριόν σου Κύριε, καὶ τὰς ἐντο.

Ἀνάστηθι οἰκτίρμον, ἡμᾶς ἐκ τῶν βαράθρων ἐξανιστῶν τοῦ ᾅδου.

Ἐφύλαξεν ἡ ψυχή μου τὰ μαρτύριά σου, καὶ ἠγάπησεν.

Ἀνέστη ζωοδότα· ἡ σὲ τεκοῦσα μήτηρ δακρυρροοῦσα λέγει.

Ἐφύλαξα τὰς ἐντολάς σου, καὶ τὰ μαρτύριά σου.

Σπεῦσον ἐξαναστῆναι, τὴν λύπην λύων, Λόγε, τῆς σὲ ἁγνῶς τεκούσης.

Ἐγγισάτω ἡ δέησίς μου ἐνώπιόν σου κατὰ τὸ λό.

Οὐράνιαι δυνάμεις ἐξέστησαν τῷ φόβῳ, νεκρόν σε καθορῶσαι.

Εἰσέλθοι τὸ ἀξίωμά μου ἐνώπιόν σου Κύριε κατὰ τὸ λόγιόν σου.

Τοῖς πόθῳ τε, καὶ φόβῳ τὰ πάθη σου τιμῶσι δίδου πταισμάτων λύσιν.

Ἐξερεύξαιντο τὰ χείλη μου ὕμνον, ὅταν διδάξῃς με τὰ δικαιώματά σου.

Ὢ φρικτὸν, καὶ ξένον θέαμα Θεοῦ, Λόγε, πῶς γῆ σε συγκαλύπτει;

Φθέγξοιτο ἡ γλῶσσά μου τὰ λόγιά σου, ὅτι πᾶσαι αἱ ἐντολαί σου δικαιοσύνη.

Φέρων πάλαι φεύγει, Σῶτερ, Ἰωσήφ σε, καὶ νῦν σε ἄλλος θάπτει.

Γενέσθω ἡ χείρ σου τοῦ σῶσαί με, ὅτι τὰς ἐντολάς σου.

Κλαίει, καὶ θρηνεῖ σε ἡ πανάγνός σου μήτηρ, Σωτήρ μου, νεκρωθέντα.

Ἐπεπόθησα τὸ σωτήριόν σου Κύριε, καὶ ὁ νόμος σου μελέτη μου.

Φρίττουσιν οἱ νόες τὴν ξένην, καὶ φρικτήν σου ταφὴν τοῦ πάντων κτίστου.

Ζήσεται ἡ ψυχή μου, καὶ αἰνέσει σε, καὶ τὰ κρί.

Ἔρραναν εἰς τὸν τάφον αἱ μυροφόροι μύρα, λίαν πρωῒ ἐλθοῦσαι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλὸς, ζήτησον τὸν δοῦλόν σου, ὅτι τὰς ἐντολάς σου.

Εἰρήνην Ἐκκλησίᾳ, λαῷ σου σωτηρίαν δώρησαι σῇ ἐγέρσει.

Δόξα.

Ὢ Τριὰς Θεέ μου, Πατὴρ, Υἱὸς, καὶ Πνεῦμα, ἐλέησον τὸν Κόσμον.

Καὶ νῦν. Θεοτοκίον.

Ἰδεῖν τὴν τοῦ υἱοῦ σου ἀνάστασιν, Παρθένε, ἀξίωσον σοὺς δούλους.

Καὶ εὐθὺς τὰ Εὐλογητάρια εἰς ἦχον πλ. α΄. Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δὲ, Σωτὴρ, τὴν ἰσχὺν καθελόντα, καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα, καὶ ἐξ ᾅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με.

Τί τὰ μύρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε; ὁ ἀστράπτων ἐν τῷ τάφῳ Ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις· ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι· ἀλλ᾽ ἐπέστη πρὸς αὐτὰς ὁ Ἄγγελος, καὶ εἶπε· θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν ἀνάστασιν δὲ Ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο. Ἄγγελος δὲ πρὸς αὐτὰς ἔφη, λέγων, τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με. Δόξα.

Προσκυνοῦμεν Πατέρα, καὶ τὸν τούτου Υἱόν τε, καὶ τὸ ἅγιον Πνεῦμα, τὴν ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσίᾳ, σὺν τοῖς Σεραφὶμ κράζοντες τὸ ἅγιος, ἅγιος, ἅγιος εἶ Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Ζωοδότην τεκοῦσα, ἁμαρτίας, Παρθένε, τὸν Ἀδὰμ ἐλυτρώσω, χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες ῥύσαντα ζωῆς· ἴθυνε πρὸς ταύτην δὲ ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς, καὶ ἄνθρωπος.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα. Δόξα σοι ὁ Θεός. Λέγεται ἐκ τρίτου, εἶτα συναπτὴ μικρά. Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρί. Καὶ ψαλλομένου καθίσ. τῆς ἡμέρας ἦχος α΄.

Τὸν τάφον σου Σωτήρ.

Σινδόνι καθαρᾷ, καὶ ἀρώμασι θείοις τὸ σῶμα τὸ σεπτὸν ἐξαιτήσας Πιλάτῳ, μυρίζει,

καὶ

Digitized by Google

καὶ τίθησιν Ἰωσὴφ καινῷ μνήματι· ὅθεν ὄρθριαι αἱ μυροφόροι γυναῖκες ἀνεβόησαν· δεῖξον ἡμῖν, ὡς προεῖπας, Χριστὲ τὴν ἀνάστασιν.

Δόξα· τὸ πλ(ῆρες).

Καὶ νῦν· ἕτερον ὅμοιον.

ΕΞέστησαν χοροὶ τῶν Ἀγγέλων, ὁρῶντες τὸν ἐν τοῖς τοῦ Πατρὸς καθεζόμενον κόλποις, πῶς τάφῳ κατατίθεται ὡς νεκρὸς ὁ ἀθάνατος, ὃν τὰ τάγματα τῶν Ἀγγέλων κυκλοῦσι, καὶ δοξάζουσι σὺν τοῖς νεκροῖς ἐν τῷ ᾅδῃ, ὡς κτίστην καὶ Κύριον.

Εἶτα γίνεται ἀνάγνωσις εἰς τὸ, κατὰ Ματθαῖον. Τῇ ἐπαύριον, ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν. Καὶ εὐθὺς τὸν Ν΄. Καὶ ψάλλομεν τὸν κανόνα· τοὺς εἱρμοὺς ἀνὰ β΄. καὶ τὰ τροπάρια ἀνὰ δ΄. Καὶ πάλιν ἔσχατον, τοὺς εἱρμοὺς οἱ δύο χοροὶ, καταβασία, ἔστι δὲ ὁ κανὼν ἀπὸ πρώτης ᾠδῆς ἕως ς΄. ποίημα Μάρκου μοναχοῦ ἐπισκόπου Ἰδροῦντος.

Οἱ εἱρμοὶ δὲ ποίημα γυναικός τινος Κασίας ὀνομαζομένης. Ἀπὸ δὲ ς΄. ᾠδῆς, καὶ ἐφεξῆς, ποίημα τοῦ κυρίου Κοσμᾶ. Ὁ κανὼν οὗ ἡ ἀκροστιχίς. Καὶ σήμερον δὲ σάββατον μέλπω μέγα.

Ὠδὴ α΄. ἦχος πλ. β΄. ὁ Εἱρμός.

ΚΥ΄ματι θαλάσσης τὸν κρύψαντα πάλαι διώκτην τύραννον ὑπὸ γῆν ἔκρυψαν τῶν σεσωσμένων οἱ παῖδες, ἀλλ' ἡμεῖς, ὡς αἱ νεάνιδες, τῷ Κυρίῳ ᾄσωμεν· ἐνδόξως γὰρ δεδόξασται.

Τροπάριον.

ΚΥ΄ριε Θεέ μου, ἐξόδιον ὕμνον καὶ ἐπιτάφιον ᾠδὴν σοὶ ᾄσομαι, τῷ τῇ ταφῇ σου ζωῆς μοι τὰς εἰσόδους διανοίξαντι, καὶ θανάτῳ θάνατον, καὶ ᾅδην θανατώσαντι.

ΑΝω σε ἐν θρόνῳ, καὶ κάτω ἐν τάφῳ τὰ ὑπερκόσμια, καὶ ὑποχθόνια κατανοοῦντα, Σωτήρ μου, ἐδονεῖτο τῇ νεκρώσει σου, ὑπὲρ νοῦν ὠράθης γὰρ νεκρὸς ζωαρχικώτατος.

ΙΝα σου τῆς δόξης τὰ πάντα πληρώσῃς, καταπεφοίτηκας ἐν κατωτάτοις τῆς γῆς, ἀπὸ γὰρ σοῦ οὐκ ἐκρύβη ἡ ὑπόστασίς μου ἡ ἐν Ἀδάμ, καὶ ταφεὶς φθαρέντα με καινοποιεῖς, φιλάνθρωπε.

Ὠδὴ γ΄. ὁ Εἱρμός.

ΣΕ τὸν ἐπὶ ὑδάτων κρεμάσαντα πᾶσαν τὴν γῆν ἀσχέτως ἡ κτίσις κατιδοῦσα ἐν τῷ κρανίῳ κρεμάμενον, θάμβει πολλῷ συνείχετο· οὐκ ἔστιν ἅγιος πλὴν σοῦ, Κύριε· κραυγάζουσα.

Τροπάριον.

ΣΥ΄μβολα τῆς ταφῆς σου παρέδειξας τὰς ὁράσεις πληθύνας, νῦν δὲ τὰ κρύφιά σου θεανδρικῶς διετράνωσας καὶ τοῖς ἐν ᾅδῃ, Δέσποτα· οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε· κραυγάζουσιν.

ΗΠλωσας τὰς παλάμας, καὶ ἥνωσας τὰ τὸ πρὶν διεστῶτα, καταστολῇ δὲ, Σῶτερ, τῇ ἐν σινδόνι, καὶ μνήματι πεπεδημένους ἔλυσας· οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε· κραυγάζοντας.

ΜΝήματι, καὶ σφραγῖσιν, ἀχώρητε, συνεσχέθης βουλήσει, καὶ γὰρ τὴν δύναμίν σου ταῖς ἐνεργείαις ἐγνώρισας θεουργικῶς τοῖς μέλπουσιν· οὐκ ἔστιν ἅγιος πλὴν σοῦ Κύριε φιλάνθρωπε.

Κάθ. ἦχος α΄. Λέγομεν αὐτὸ δίς.

ΤΟ΄ν τάφον σου, Σωτὴρ, στρατιῶται τηροῦντες, νεκροὶ τῇ ἀστραπῇ τοῦ ὀφθέντος ἀγγέλου ἐγένοντο, κηρύττοντος γυναιξὶ τὴν ἀνάστασιν· σὲ δοξάζομεν, τὸν τῆς φθορᾶς καθαιρέτην, σοὶ προσπίπτομεν τῷ ἀναστάντι ἐκ τάφου, καὶ μόνῳ Θεῷ ἡμῶν.

Δόξα. Καὶ νῦν· πάλιν τὸ αὐτό.

Ὠδὴ δ΄. ὁ Εἱρμός.

ΤΗ΄ν ἐν σταυρῷ σου θείαν κένωσιν προορῶν Ἀββακοὺμ, ἐξεστηκὼς ἐβόα, σὺ δυναστῶν διέκοψας κράτος, ἀγαθὲ, ὁμιλῶν τοῖς ἐν ᾅδῃ, ὡς παντοδύναμος.

Τροπάριον.

ΕΒδόμην σήμερον ἡγίασας, ἣν εὐλόγησας πρὶν καταπαύσει τῶν ἔργων· παράγεις γὰρ τὰ σύμπαντα, καὶ καινοποιεῖς, σαββατίζων, Σωτήρ μου, καὶ ἀνακτώμενος.

ΡΩμαλαιότητι τοῦ κρείττονος ἐκ νικήσαντός σου τῆς σαρκὸς, ἡ ψυχή σου διῄρηται παραρρήξασα· ἄμφω γὰρ δεσμοὺς τοῦ θανάτου, καὶ ᾅδου, Λόγε, τῷ κράτει σου.

ΟἍδης, Λόγε, συναντήσας σοι, ἐπικράνθη, βροτὸν ὁρῶν τεθεωμένον, κατάστικτον τοῖς μώλωψι, καὶ πανσθενουργὸν, τῷ φρικτῷ τῆς μορφῆς δὲ διαπεφώνηκεν.

Ὠδὴ ε΄. ὁ Εἱρμός.

ΘΕοφανείας σου, Χριστὲ, τῆς πρὸς ἡμᾶς συμπαθῶς γενομένης, Ἡσαΐας φῶς ἰδὼν ἀνέσπερον, ἐκ νυκτὸς ὀρθρίσας ἐκραύγαζεν, ἀναστήσονται οἱ νεκροὶ, καὶ ἐγερθήσονται οἱ ἐν τοῖς μνημείοις, καὶ πάντες οἱ ἐν τῇ γῇ ἀγαλλιάσονται.

Τροπάριον.

ΝΕοποιεῖς τοὺς γηγενεῖς ὁ πλαστουργὸς, χοϊκὸς χρηματίσας, καὶ σινδὼν, καὶ τάφος ὑπεμφαίνουσι τὸ συνόν σοι, Λόγε, μυστήριον ὁ εὐσχήμων γὰρ βουλευτὴς τὴν τοῦ σὲ φύσαντος βουλὴν σχηματίζει, ἐν σοὶ μεγαλοπρεπῶς καινοποιοῦντός με.

ΔΙὰ θανάτου τὸ θνητὸν, διὰ ταφῆς τὸ φθαρτὸν μεταβάλλεις, ἀφθαρτίζεις γὰρ θεοπρεπέστατα, ἀπαθανατίζων τὸ πρόσλημμα· ἡ γὰρ σάρξ σου διαφθορὰν οὐκ οἶδε, Δέσποτα, οὐδ' ἡ ψυχή σου εἰς ᾅδου ξενοπρεπῶς ἐγκαταλέλειπται.

ΕΞ ἀλοχεύτου προελθὼν, καὶ λογχευθεὶς τὴν πλευρὰν, Πλαστουργέ μου· ἐξ αὐτῆς εἰργάσω τὴν ἀνάπλασιν τὴν τῆς Εὔας, Ἀδὰμ γενόμενος, ἀφυπνώσας ὑπερφυῶς ὕπνον φυσίζωον, καὶ ζωὴν

ἐγεί-

Digitized by Google

ἐγείρας ἐξ ὕπνου, καὶ τῆς φθορᾶς, ὡς παντοδύναμος.

Ὠδὴ ϛ΄. ὁ Εἱρμός.

Συνεσχέθη, ἀλλ᾽ οὐ κατεσχέθη στέρνοις κητῴοις Ἰωνᾶς, σοῦ γὰρ τὸν τύπον φέρων τοῦ παθόντος, καὶ ταφῇ δοθέντος· ὡς ἐκ θαλάμου, τοῦ θηρὸς ἀνέθορε, προσεφώνει δὲ τῇ κουστωδίᾳ· οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεος αὐτῶν ἐγκατελίπετε.

Τροπάριον.

Ἀνῃρέθης, ἀλλ᾽ οὐ διῃρέθης, Λόγε, ἧς μετέσχες σαρκός, εἰ γὰρ καὶ λέλυταί σου ὁ ναὸς ἐν τῷ καιρῷ τοῦ πάθους, ἀλλὰ καὶ οὕτω μία ἦν ὑπόστασις τῆς θεότητος, καὶ τῆς σαρκός σου· ἐν ἀμφοτέροις γὰρ εἷς ὑπάρχεις υἱὸς Λόγος τοῦ Θεοῦ, Θεός, καὶ ἄνθρωπος.

Βροτοκτόνον, ἀλλ᾽ οὐ θεοκτόνον ἔφυ τὸ πταῖσμα τοῦ Ἀδάμ· εἰ γὰρ καὶ πέπονθέ σου τῆς σαρκὸς ἡ χοϊκὴ οὐσία, ἀλλ᾽ ἡ θεότης ἀπαθὴς διέμεινε, τὸ φθαρτὸν δέ σου πρὸς ἀφθαρσίαν μετεστοιχείωσας, καὶ ἀφθάρτου ζωῆς ἔδειξας πηγὴν ἐξ ἀναστάσεως.

Βασιλεύει, ἀλλ᾽ οὐκ αἰωνίζει ᾅδης, τοῦ γένους τῶν βροτῶν. σὺ γὰρ τεθεὶς ἐν τάφῳ, κραταιέ, ζωαρχικῇ παλάμῃ τὰ τοῦ θανάτου κλεῖθρα διεσπάραξας· καὶ ἐκήρυξας τοῖς ἀπ᾽ αἰῶνος ἐκεῖ καθεύδουσι λύτρωσιν ἀψευδῆ, Σῶτερ, γεγονὼς νεκρῶν πρωτότοκος.

Κοντάκιον, ἦχος πλ. β΄.

Τὴν ἄβυσσον ὁ κλείσας, νεκρὸς ὁρᾶται, καὶ σμύρνῃ, καὶ σινδόνι ἐνειλημμένος, ἐν μνημείῳ κατατίθεται ὡς θνητὸς ὁ ἀθάνατος· γυναῖκες δὲ αὐτὸν ἦλθον μυρίσαι, κλαίουσαι πικρῶς, καὶ ἐκβοῶσαι· τοῦτο σάββατόν ἐστι, τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας, ἀναστήσεται τριήμερος.

Ὁ Οἶκος.

Ὁ συνέχων τὰ πάντα ἐπὶ Σταυροῦ ἀνυψώθη, καὶ θρηνεῖ πᾶσα ἡ κτίσις, τοῦτον βλέπουσα κρεμάμενον γυμνὸν ἐπὶ τοῦ ξύλου· ὁ Ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε, καὶ τὸ φέγγος οἱ ἀστέρες ἀπεβάλλοντο· ἡ γῆ δὲ σὺν πολλῷ τῷ φόβῳ συνεκλονεῖτο· ἡ θάλασσα ἔφυγε, καὶ αἱ πέτραι διερρήγνυντο· μνημεῖα δὲ πολλὰ ἠνεῴχθησαν, καὶ σώματα ἠγέρθησαν ἁγίων ἀνδρῶν· ᾅδης κάτω στενάζει, καὶ Ἰουδαῖοι σκέπτονται συκοφαντῆσαι Χριστοῦ τὴν ἀνάστασιν, τὰ δὲ γύναια κράζουσι. Τοῦτο σάββατόν ἐστι τὸ ὑπερευλογημένον, ἐν ᾧ Χριστὸς ἀφυπνώσας ἀναστήσεται τριήμερος.

Τὸ Συναξάριον, στίχ.

Μάτην φυλάττεις τὸν τάφον κουστωδία.
Οὐ γὰρ καθέξει τύμβος αὐτοζωΐαν.

Τῷ ἁγίῳ, καὶ μεγάλῳ σαββάτῳ τὴν θεόσωμον ταφὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, τοῦ Θεοῦ, καὶ Σωτῆρος ἡμῶν, καὶ τὴν εἰς ᾅδου κάθοδον ἑορτάζομεν, δι᾽ ὧν τῆς φθορᾶς τὸ ἡμέτερον γένος ἀνακληθὲν πρὸς αἰώνιον ζωὴν μεταβέβηκε· πασῶν γὰρ ἡμερῶν αἱ ἅγιαι τεσσαρακοσταὶ ὑπερφέρουσι· τούτων δὲ πάλιν ἡ ἁγία αὕτη, καὶ μεγάλη τεσσαρακοστή, ταύτης δὲ μεῖζον ἡ μεγάλη ἑβδομάς, καὶ τῆς μεγάλης ἑβδομάδος πάλιν τοῦτο τὸ μέγα, καὶ ἅγιον σάββατον· λέγεται δὲ μεγάλη ἑβδομάς, οὐχ᾽ ὅτι μείζονες εἰσὶν αἱ ἡμέραι αὗται, ἢ αἱ ὧραι, ἀλλ᾽ ὅτι τὰ μεγάλα, καὶ ὑπερφυῆ τεράστια, καὶ ἐξαίσια τοῦ Σωτῆρος ἡμῶν ἔργα ἐν ταύτῃ ἐπράχθησαν· καὶ μάλιστα σήμερον, ὡς γὰρ ἐπὶ τῇ πρώτῃ κοσμογενείᾳ πᾶν ἔργον διαπραξάμενος ὁ Θεός, καὶ ὕστερον τὸ κυριώτατον κατὰ τὴν ἕκτην πλάσας τὸν ἄνθρωπον, τῇ ἑβδόμῃ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, καὶ ἡγίασεν αὐτήν, σάββατον ὀνομάσας, ὃ δὴ κατάπαυσις ἑρμηνεύεται, οὕτω καὶ ἐν τῇ τοῦ νοητοῦ Κόσμου ἐργασίᾳ ἀρίστως ἅπαντα ἐργασάμενος, καὶ κατὰ τὴν ἕκτην ἀναπλάσας αὖθις τὸν φθαρέντα ἄνθρωπον, καὶ ἀνακαινίσας διὰ τοῦ ζωηφόρου Σταυροῦ, καὶ θανάτου· κατὰ τὴν παροῦσαν πάλιν ἑβδόμην κατέπαυσε τὴν τελείαν τῶν ἔργων κατάπαυσιν, τὸν φυσίζωον ὑπνώσας ὕπνον, καὶ σωτήριον· κάτεισι μὲν οὖν ὁ τοῦ Θεοῦ Λόγος μετὰ σαρκὸς ἐν τῷ τάφῳ· κάτεισι δὲ καὶ εἰς ᾅδην μετὰ τῆς ἀκηράτου αὐτοῦ, καὶ θείας ψυχῆς διαιρεθείσης τῷ θανάτῳ τοῦ σώματος, ἣν καὶ εἰς χεῖρας παρέθετο τοῦ Πατρός, ᾧ καὶ τὸ ἴδιον αἷμα προσήνεγκεν οὐκ αἰτησαμένῳ, λύτρον ἡμῶν γενόμενον· οὐ γὰρ δὴ ἐν ᾅδου ὡς αἱ τῶν ἄλλων ἁγίων ψυχαὶ κατεσχέθη καὶ ἡ τοῦ Κυρίου ψυχή· πῶς γάρ, μηδὲν τῆς προγονικῆς ἐπαγομένη ἀρᾶς, ὥσπερ ἐκεῖναι· ἀλλ᾽ οὐδὲ τὸ αἷμα ὁ ἐχθρὸς ἡμῶν διάβολος ἔλαβε, κἂν ἡμᾶς κατεῖχε, δι᾽ οὗ ἠγοράσθημεν· πῶς γάρ, εἰ μὴ μόνον παρὰ Θεοῦ· ἀλλὰ καὶ τὸν Θεὸν αὐτὸν ὁ λῃστὴς διάβολος λαβεῖν εἶχε, πλὴν σωματικῶς· καὶ μετὰ τῆς θεότητος ἐνῴκησε τῷ τάφῳ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστός, ἄκρως τῇ σαρκὶ ἑνωθείσης· σὺν ἦν δὲ τῷ λῃστῇ καὶ ἐν παραδείσῳ, καὶ ἐν ᾅδῃ ὑπῆρχεν, ὡς εἴρηται, μετὰ τῆς τεθεωμένης αὐτοῦ ψυχῆς, ὑπερφυῶς δὲ καὶ μετὰ τοῦ Πατρὸς ἦν, καὶ τοῦ πνεύματος συνεδριάζων, οἷα Θεὸς ἀπερίγραπτος· ἁπανταχοῦ δὲ παρῆν, μηδέν τι τῆς θεότητος ἐν τῷ τάφῳ παχούσης, ὥσπερ οὐδὲ ἐν τῷ Σταυρῷ· καὶ φθορὰν μὲν τὸ κυριακὸν σῶμα ὑπέστη, ἥτις ἐστὶ διάζευξις ψυχῆς ἀπὸ σώματος, διαφθορὰν δέ, ἤτοι διάλυσιν σαρκός, καὶ μελῶν τελείαν ἀφάνησιν, οὐδαμῶς· ἀλλ᾽ ὁ μὲν Ἰωσὴφ τὸ ἅγιον σῶμα τοῦ Κυρίου καταγαγών, ἐν μνήματι καινῷ θάπτει, καὶ πλησίον τῶν Ἰουδαίων ἐν κήπῳ, λίθον μέγαν σφόδρα πρὸς τῇ εἰσόδῳ τοῦ μνήματος θέμενος, οἵγε μὴν Ἰουδαῖοι μετὰ τὴν παρασκευὴν προσιόντες, λέγουσι τῷ Πιλάτῳ. Κύ-

ρει μεμνήμεθα, ὡς ὁ πλάνος ἐκεῖνος εἶπεν· ὅτι ἔζη, ὡς μετὰ τρεῖς ἡμέρας ἐγείρομαι· δοκεῖ οὖν ἡμῖν καλὸν εἶναι, τὴν σὴν ἐξουσίαν κελεῦσαι στρατιὰν ἀσφαλίσασθαι τὸν τάφον· εἰ οὖν πλάνος, τί τῶν ῥημάτων φροντίζετε, ὅτε ἔζη, ὅτι ὁμολογουμένως ἀπέθανε; πότε δὲ εἶπεν ἐγείρομαι; ἴσως ἀπὸ τοῦ κατὰ τὸν Ἰωνᾶν παραδείγματος συνῆγον αὐτό· πάντως δὲ ἀγνώμονες εἰ ἀσφαλισθήσεται ὁ τάφος, οὐ κλαπήσεται· ὢ πῶς οἱ ἀγνώμονες, ὅσα ὑπὲρ αὐτῶν ἐποίουν, κατ᾽ αὐτῶν πράττοντες οὐκ ἐγίνωσκον· τοῦ δὲ Πιλάτου κελεύσαντος, αὐτοὶ μετὰ στρατιωτικοῦ τάγματος, καὶ ἀκριβοῦς τῆς σφραγίδος κατησφαλίσαντο τὸν τάφον· καὶ τοῦτο, ἵνα μὴ ἀλλοτρίας οὔσης τῆς φυλακῆς, καὶ τῆς σφραγίδος, ἡ ἀνάστασις τοῦ Κυρίου διαβάλλοιτο· ἀλλ᾽ ὁ ᾅδης ἀπ᾽ ἄρτι συστρέφεται, καὶ ἰλιγγιᾷ, στερροτέρας τῆς δυνάμεως αἰσθανόμενος· συνεξεμέσει τοιγαροῦν μετ᾽ ὀλίγον διὰ τῆς τοῦ Χριστοῦ ἀδίκου καταπόσεως, τοῦ στερροτάτου, καὶ ἀκρογωνιαίου λίθου, καὶ οὓς ἀπ᾽ αἰῶνος παρέθετο τῇ γαστρὶ, κατάβρωμα ποιησάμενος. Τῇ ἀνεκφράστῳ σου συγκαταβάσει, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. ὁ Εἱρμός.

Ἄφραστον θαῦμα, ὁ ἐν καμίνῳ ῥυσάμενος τοὺς ὁσίους Παῖδας ἐκ φλογὸς ἐν τάφῳ νεκρὸς, ἄπνους κατατίθεται εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Τροπάριον.

Τέτρωται ᾅδης ἐν τῇ καρδίᾳ, δεξάμενος τὸν τρωθέντα λόγχῃ τὴν πλευρὰν, καὶ στένει πυρὶ θείῳ δαπανώμενος εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὄλβιος τάφος, ἐν ἑαυτῷ γὰρ δεξάμενος ὡς ὑπνοῦντα τὸν δημιουργὸν, ζωῆς θησαυρὸς θεῖος ἀναδέδεικται εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Νόμῳ θανόντων τὴν ἐν τῷ τάφῳ κατάθεσιν ἡ τῶν ὅλων δέχεται ζωὴ, καὶ τοῦτον πηγὴν δείκνυσιν ἐγέρσεως εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Μία ὑπῆρχεν ἡ ἐν τῷ ᾅδῃ ἀχώριστος, καὶ ἐν τάφῳ, καὶ ἐν τῇ Ἐδὲμ θεότης Χριστοῦ, σὺν Πατρὶ, καὶ Πνεύματι εἰς σωτηρίαν ἡμῶν τῶν μελῳδούντων, λυτρωτὰ ὁ Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ η΄. ὁ Εἱρμός.

Ἔκστηθι φρίττων οὐρανὲ, καὶ σαλευθήτωσαν τὰ θεμέλια τῆς γῆς· ἰδοὺ γὰρ ἐν νεκροῖς λογίζεται ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ τάφῳ σμικρῷ ξενοδοχεῖται· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τροπάριον.

Λέλυται ἄχραντος ναὸς, τὴν πεπτωκυῖαν δὲ συνανίστησι σκηνήν. Ἀδὰμ γὰρ τῷ προτέρῳ δεύτερος, ὁ ἐν ὑψίστοις οἰκῶν, κατῆλθε μέχρις ᾅδου ταμείων· ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Πέπαυται τόλμα μαθητῶν, Ἀριμαθαίας δὲ ἀριστεύει Ἰωσήφ· νεκρὸν γὰρ, καὶ γυμνὸν θεώμενος τὸν ἐπὶ πάντων Θεὸν αἰτεῖται, καὶ κηδεύει κραυγάζων· οἱ Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῶν θαυμάτων τῶν καινῶν, ὢ ἀγαθότητος, ὢ ἀφράστου ἀνοχῆς, ἑκὼν γὰρ ὑπὸ γῆν σφραγίζεται, ὁ ἐν ὑψίστοις οἰκῶν, καὶ πλάνος, Θεὸς συκοφαντεῖται, ὃν Παῖδες εὐλογεῖτε, Ἱερεῖς ἀνυμνεῖτε, Λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ΄. ὁ Εἱρμός.

Μὴ ἐποδύρου μου μῆτερ, καθορῶσα ἐν τάφῳ· ὃν ἐν γαστρὶ ἄνευ σπορᾶς συνέλαβες Υἱόν· ἀναστήσομαι γὰρ, καὶ δοξασθήσομαι, καὶ ὑψώσω ἐν δόξῃ ἀπαύστως, ὡς Θεὸς, τοὺς ἐν πίστει, καὶ πόθῳ σὲ μεγαλύνοντας.

Τροπάριον.

Ἐπὶ τῷ ξένῳ σου τόκῳ τὰς ὠδῖνας φυγοῦσα, ὑπερφυῶς ἐμακαρίσθην, ἄναρχε Υἱὲ, νῦν δέ σε, Θεέ μου, ἄπνουν ὁρῶσα νεκρὸν, τῇ ῥομφαίᾳ τῆς λύπης σπαράττομαι δεινῶς· ἀλλ᾽ ἀνάστηθι, ὅπως μεγαλυνθήσομαι.

Γῆ με καλύπτει ἑκόντα, ἀλλὰ φρίττουσιν ᾅδου οἱ πυλωροὶ, ἠμφιεσμένον βλέποντες στολὴν ᾑμαγμένην, Μῆτερ, τῆς ἐκδικήσεως· τοὺς ἐχθροὺς ἐν Σταυρῷ γὰρ πατάξας ὡς Θεὸς, ἀναστήσομαι αὖθις, καὶ μεγαλυνῶ σε.

Ἀγαλλιάσθω ἡ κτίσις, εὐφραινέσθωσαν πάντες οἱ γηγενεῖς· ὁ γὰρ ἐχθρὸς ἐσκύλευται ᾅδης, μετὰ μύρων γυναῖκες προσυπαντάτωσαν· τὸν Ἀδὰμ σὺν τῇ Εὔᾳ λυτροῦμαι παγγενῆ, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἐξαναστήσομαι.

Ἐξαποστειλάριον· ἦχος β΄. Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. Τοῦτο λέγεται ἐκ τρίτου, καὶ μόνον, καὶ ἄλλο οὐχί. Εἰς τοὺς αἴνους ἱστῶμεν στίχ. δ΄. Καὶ ψάλλομεν στιχη. ἰδιόμ. τοὺς γ΄. δευτέρους, καὶ ἕνα πλ. β΄. ἦχος β΄.

Σήμερον συνέχει τάφος τὸν συνέχοντα παλάμῃ τὴν κτίσιν· καλύπτει λίθος τὸν καλύψαντα ἀρετῇ τοὺς οὐρανούς· ὑπνοῖ ἡ ζωὴ, καὶ ᾅδης τρέμει, καὶ Ἀδὰμ τῶν δεσμῶν ἀπολύεται· δόξα τῇ σῇ οἰκονομίᾳ, δι᾽ ἧς τελέσας πάντα σαββατισμὸν αἰώνιον· ἐδωρήσω ἡμῖν τὴν παναγίαν ἐκ νεκρῶν σου ἀνάστασιν.

Ἦχος β΄.

Τί τὸ ὁρώμενον θέαμα; τίς ἡ παροῦσα κατάπαυσις; ὁ Βασιλεὺς τῶν αἰώνων τὴν διὰ πάθους τελέσας οἰκονομίαν ἐν τάφῳ σαββατίζει, καινὸν ἡμῖν παρέχων σαββατισμόν· αὐτῷ βοήσωμεν, ἀνάστα ὁ Θεὸς κρίνων τὴν γῆν, ὅτι

σὺ

Digitized by Google

τοῦ βασιλέως εἰς τοὺς αἰῶνας, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Ἦχος β'.

ΔΕῦτε ἴδωμεν τὴν ζωὴν ἡμῶν ἐν τάφῳ κειμένην, ἵνα τοὺς ἐν τάφοις κειμένους ζωοποιήσῃ· δεῦτε σήμερον τὸν ἐξ Ἰούδα ὑπνοῦντα θεώμενοι, προφητικῶς αὐτῷ ἐκβοήσωμεν· ἀναπεσὼν κεκοίμησαι ὡς λέων, τίς ἐγερεῖ σε Βασιλεῦ; ἀλλ' ἀνάστηθι αὐτεξουσίως, ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν ἑκουσίως, Κύριε δόξα σοι.

Ἦχος πλ. β'.

ΗΤήσατο Ἰωσὴφ τὸ σῶμα τοῦ Ἰησοῦ, καὶ ἀπέθετο ἐν τῷ καινῷ αὐτοῦ μνημείῳ· ἔδει γὰρ αὐτὸν ἐκ τάφου, ὡς ἐκ παστάδος, προελθεῖν· ὁ συντρίψας κράτος θανάτου, καὶ ἀνοίξας πύλας Παραδείσου ἀνθρώποις, δόξα σοι.

Δόξα, ἦχος πλ. β'.

ΤΗν σήμερον μυστικῶς ὁ μέγας Μωϋσῆς προδιετύπου λέγων· καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· τοῦτο γάρ ἐστι τὸ εὐλογημένον σάββατον· αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας τῇ σαρκὶ σαββατίσας, καὶ εἰς ὃ ἦν, πάλιν ἐπανελθὼν· διὰ τῆς ἀναστάσεως ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος.

Καὶ νῦν. Ὑπερευλογημένη. Δοξολογία μεγάλη. Ὁ δὲ Ἱερεὺς ἀλλάσσει ὅλην τὴν ἱερατικὴν στολήν· καὶ εἰσοδεύει μετὰ τοῦ ἁγίου Εὐαγγελίου. Μετὰ δὲ τὸ τρισάγιον, λέγει ὁ Ἱερεύς. Πρόσχωμεν. Εἰρήνη πᾶσι Σοφία. Καὶ ἡμεῖς τὸ τροπ. ἅπαξ. Ὁ εὐσχήμων Ἰωσήφ. Καὶ λέγομεν τὸ τροπάριον τῆς προφητείας· ἦχος β'.

ΟΣυνέχων τὰ πέρατα, τάφῳ συγχεθῆναι κατεδέξω, Χριστὲ, ἵνα τῆς τοῦ ᾅδου καταπτώσεως λυτρώσῃς τὸ ἀνθρώπινον, καὶ ἀθανατίσας ζωώσῃς ἡμᾶς, ὡς Θεὸς ἀθάνατος.

Προκείμενον, ἦχος δ'.

Ἀνάστα Κύριε, βοήθησον ἡμῖν, καὶ λύτρωσαι ἡμᾶς.

Στίχ. Ὁ Θεὸς, ἐν τοῖς ὠσὶν ἡμῶν ἠκούσαμεν.

Προφητείας Ἰεζεκιὴλ τὸ ἀνάγνωσμα.

ΕΓένετο ἐπ' ἐμὲ χεὶρ Κυρίου· καὶ ἐξήγαγέ με ἐν πνεύματι Κύριος· καὶ ἔθηκέ με ἐν μέσῳ τοῦ πεδίου· καὶ τοῦτο ἦν μεστὸν ὀστέων ἀνθρωπίνων· καὶ περιήγαγέ με ἐπ' αὐτὰ κυκλόθεν κύκλῳ· καὶ ἰδοὺ πολλὰ σφόδρα ἐπὶ προσώπου τοῦ πεδίου, ξηρὰ σφόδρα· καὶ εἶπε πρός με· υἱὲ ἀνθρώπου, εἰ ζήσεται τὰ ὀστᾶ ταῦτα; καὶ εἶπα. Κύριε Κύριε, σὺ ἐπίστῃ ταῦτα· καὶ εἶπε πρός με· προφήτευσον ἐπὶ τὰ ὀστᾶ ταῦτα, καὶ ἐρεῖς αὐτοῖς· τὰ ὀστᾶ τὰ ξηρὰ, ἀκούσατε λόγον Κυρίου· τάδε λέγει Κύριος τοῖς ὀστέοις τούτοις· ἰδοὺ ἐγὼ φέρω ἐφ' ὑμᾶς πνεῦμα ζωῆς, καὶ δώσω εἰς ὑμᾶς νεῦρα, καὶ ἀνάξω ἐφ' ὑμᾶς σάρκα, καὶ ἐκτενῶ ἐφ' ὑμᾶς δέρμα, καὶ δώσω πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε, καὶ γνώσεσθε, ὅτι ἐγώ εἰμι Κύριος· καὶ προεφήτευσα, καθὼς ἐνετείλατό μοι· καὶ ἐγένετο, ἐν τῷ ἐμὲ προφητεῦσαι· καὶ ἰδοὺ σεισμός· καὶ προσήγαγε τὰ ὀστᾶ ἑκάτερον πρὸς τὴν ἁρμονίαν αὐτοῦ· καὶ εἶδον· καὶ ἰδοὺ ἐπ' αὐτὰ νεῦρα καὶ σάρκες ἐφύοντο· καὶ ἀνέβαινεν ἐπ' αὐτὰ δέρματα ἐπάνω· καὶ πνεῦμα οὐκ ἦν ἐν αὐτοῖς· καὶ εἶπε πρός με· προφήτευσον ἐπὶ τὸ πνεῦμα, προφήτευσον υἱὲ ἀνθρώπου, καὶ εἰπὸν τῷ πνεύματι· τάδε λέγει Κύριος· ἐκ τῶν τεσσάρων πνευμάτων ἐλθὲ, καὶ ἐμφύσησον εἰς τοὺς νεκροὺς τούτους, καὶ ζησάτωσαν· καὶ προεφήτευσα, καθότι ἐνετείλατό μοι· καὶ εἰσῆλθεν εἰς αὐτοὺς τὸ πνεῦμα, καὶ ἔζησαν, καὶ ἔστησαν ἐπὶ τῶν ποδῶν αὐτῶν, συναγωγὴ πολλὴ σφόδρα· καὶ ἐλάλησε Κύριος πρός με, λέγων· υἱὲ ἀνθρώπου, τὰ ὀστᾶ ταῦτα πᾶς οἶκος Ἰσραήλ ἐστιν· καὶ αὐτοὶ λέγουσι· ξηρὰ γέγονε τὰ ὀστᾶ ἡμῶν· ἀπόλωλεν ἡ ἐλπὶς ἡμῶν, διαπεφωνήκαμεν· διατοῦτο προφήτευσον, καὶ εἰπέ· τάδε λέγει Κύριος· ἰδοὺ ἐγὼ ἀνοίγω τὰ μνήματα ὑμῶν, καὶ ἀνάξω ὑμᾶς ἐκ τῶν μνημάτων ὑμῶν, καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν τοῦ Ἰσραήλ· καὶ γνώσεσθε ὅτι ἐγώ εἰμι Κύριος, ἐν τῷ ἀνοῖξαί με τοὺς τάφους ὑμῶν, τοῦ ἀναγαγεῖν με ἐκ τῶν τάφων τὸν λαόν μου· καὶ δώσω τὸ πνεῦμά μου εἰς ὑμᾶς, καὶ ζήσεσθε· καὶ θήσομαι ὑμᾶς ἐπὶ τὴν γῆν ὑμῶν· καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος· λελάληκα, καὶ ποιήσω· λέγει Κύριος.

Προκείμενον· ἦχος βαρύς.

Ἀνάστηθι Κύριε, ὁ Θεός μου ὑψωθήτω ἡ χείρ σου.

Στίχ. Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδ.

Ὁ Ἀπόστολος πρὸς Κορινθίους προτης.

Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα.

ΑΔελφοὶ, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ἐκκαθάρατε οὖν τὴν παλαιὰν ζύμην, ἵνα ἦτε νέον φύραμα, καθὼς ἐστὲ ἄζυμοι· καὶ γὰρ τὸ Πάσχα ἡμῶν, ὑπὲρ ἡμῶν ἐτύθη Χριστός· ὥστε ἑορτάζωμεν, μὴ ἐν ζύμῃ παλαιᾷ, μηδ' ἐν ζύμῃ κακίας, καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας, καὶ ἀληθείας. Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ· ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου· ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται ἐν Χριστῷ Ἰησοῦ. ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωμεν διὰ πίστεως.

Ἀλληλούϊα· ἦχος πλ. α'. Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ. Στίχ. Ὡς ἐκλείπει καπνὸς ἐκλειπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρὸς, οὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ. Εὐαγγέλιον, κατὰ Ματθαῖον. Τῇ ἐπαύριον ἥτις ἐστὶ μετὰ τὴν παρασκευήν· τέλος. Μετὰ τῆς κουστωδίας. Ἐκτενή. Εἴπωμεν πάντες, καὶ τὰ λοιπὰ ὡς συνήθως.

 Πλη-

Πληρώσωμεν τὴν ἑωθινήν. Ὡσαύτως καὶ τὰ λοιπὰ ὡς ἔθος, καὶ γίνεται ἀπόλυσις. Ἡ δὲ πρώτη ὥρα ψάλλεται ἐν τῷ Νάρθηκι. Ὁμοίως καὶ αἱ λοιπαὶ λιταὶ ψάλλονται ὡσαύτως ἐν τῷ Νάρθηκι.

Τῷ ἁγίῳ, καὶ μεγάλῳ Σαββάτῳ Ἑσπέρας περὶ ὥραν ί. τῆς ἡμέρας σημαίνει τὸν ἑσπερινόν. Καὶ ἀλλάσσει ὁ Ἱερεὺς στολὴν λευκήν· καὶ εὐλογήσαντος αὐτοῦ, ἀρχομένου τοῦ προοιμιακοῦ. Συναπτὴ μεγάλη· εἶτα τὸ, **Κύριε ἐκέκραξα**, εἰς ἦχον ά. Καὶ ἱστῶμεν στίχ. ή. ψάλλομεν δὲ στιχη. ἀναστάσιμα τῆς Ὀκτωήχου γ'. Καὶ τὸ ἀπὸ στίχ. ἕν.

Στιχη. Ἀναστάσιμα· ἦχος ά.

Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς πρόσδεξαι, ἅγιε Κύριε· καὶ παράσχου ἡμῖν ἄφεσιν ἁμαρτιῶν· ὅτι μόνος εἶ ὁ δείξας ἐν Κόσμῳ τὴν ἀνάστασιν.

Κυκλώσατε λαοὶ Σιὼν, καὶ περιλάβετε αὐτὴν, καὶ δότε δόξαν ἐν αὐτῇ τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτὸς ἐστὶν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς ἐκ τῶν ἀνομιῶν ἡμῶν.

Δεῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστὸν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν ἀνάστασιν· ὅτι αὐτὸς ἐστὶν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ τὸν Κόσμον λυτρωσάμενος.

Τῷ πάθει σου, Χριστὲ, παθῶν ἠλευθερώθημεν· καὶ τῇ ἀναστάσει σου ἐκ φθορᾶς ἐλυτρώθημεν, Κύριε δόξα σοι.

Ἕτερα στιχη. ἰδιόμ. τοῦ μεγάλου Σαββάτου γ'.

Δευτεροῦντες τὸ ἕν, ἦχος πλ. δ'.

Σήμερον ὁ ᾅδης στένων βοᾷ, συνέφερέ μοι, εἰ τὸν ἐκ Μαρίας γεννηθέντα μὴ ὑπεδεξάμην· ἐλθὼν γὰρ ἐπ' ἐμὲ τὸ κράτος μου ἔλυσε· πύλας χαλκᾶς συνέτριψε· ψυχὰς, ἃς κατεῖχον τὸ πρὶν, Θεὸς ὢν ἀνέστησε, δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

Ὅμοιον.

Σήμερον ὁ ᾅδης στένων βοᾷ· κατελύθη μου ἡ ἐξουσία· ἐδεξάμην θνητὸν, ὥσπερ ἕνα τῶν θανόντων· τοῦτον γὰρ κατέχειν ὅλως οὐκ ἰσχύω· ἀλλ' ἀπολῶ μετὰ τούτου ὧν ἐβασίλευον· ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει, δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

Ὅμοιον.

Σήμερον ὁ ᾅδης στένων βοᾷ, κατεπόθη μου τὸ κράτος, ὁ ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν· ὧνπερ ἐβασίλευον, ἐστέρημαι· καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα· ἐκένωσε τοὺς τάφους ὁ σταυρωθείς· οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος, δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

Δευτεροῦντες τὸ ἕν. Δόξα, ἦχος πλ. β'.

Τὴν σήμερον μυστικῶς ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων· καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην· τοῦτο γάρ ἐστι τὸ εὐλογημένον σάββατον· αὕτη ἐστὶν ἡ τῆς καταπαύσεως ἡμέρα· ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὁ μονογενὴς υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας τῇ σαρκὶ σαββατίσας, καὶ εἰς ὃ ἦν, πάλιν ἐπανελθών· διὰ τῆς ἀναστάσεως ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος.

Καὶ νῦν, Θεοτ. ἦχος ά.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς, καὶ ναὸς τῆς θεότητος· αὕτη τὸ μεσότειχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε· ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον· θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ, καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθροὺς ὡς παντοδύναμος.

Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου. Φῶς ἱλαρὸν, προκείμενον οὐ λέγομεν. Ἀλλ' εὐθὺς, σοφία. Καὶ ἄρχεται ὁ ἀναγνώστης τὰ ἀναγνώσματα.

Γενέσεως τὸ ἀνάγνωσμα.

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν· ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος· καὶ σκότος ἐπάνω τῆς ἀβύσσου· καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος· καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς· καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία· καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος· καὶ ἔστω διαχωρίζον ἀναμέσον ὕδατος καὶ ὕδατος· καὶ ἐγένετο οὕτως· καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος, τοῦ ἐπάνω τοῦ στερεώματος· καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα, οὐρανόν· καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα· καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά· καὶ ἐγένετο οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά· καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν, γῆν· καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας,

καὶ

καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν· καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ ἐγένετο οὕτως· καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς· καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν· καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωῒ, ἡμέρα τρίτη.

Ἀνάγνωσμα β'.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Φωτίζου, φωτίζου Ἱερουσαλήμ· ἥκει γάρ σου τὸ φῶς· καὶ ἡ δόξα Κυρίου ἐπὶ σὲ ἀνατέταλκεν· ἰδοὺ σκότος καλύψει γῆν, καὶ γνόφος ἐπ' ἔθνη· ἐπὶ δὲ σὲ φανήσεται Κύριος, καὶ ἡ δόξα αὐτοῦ ἐπὶ σὲ ὀφθήσεται· καὶ πορεύσονται Βασιλεῖς τῷ φωτί σου, καὶ ἔθνη τῇ λαμπρότητί σου· ἆρον κύκλῳ τοὺς ὀφθαλμούς σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα σου· ἥκουσι πάντες οἱ υἱοί σου μακρόθεν, καὶ αἱ θυγατέρες σου ἐπ' ὤμων ἀρθήσονται· τότε ὄψῃ, καὶ φοβηθήσῃ, καὶ ἐκστήσῃ τῇ καρδίᾳ· ὅτι μεταβαλεῖ εἰς σὲ πλοῦτος θαλάσσης, καὶ ἐθνῶν καὶ λαῶν· καὶ ἥξουσί σοι ἀγέλαι καμήλων· καὶ καλύψουσί σε, κάμηλοι Μαδιὰμ καὶ Γεφά· πάντες ἐκ σαβὰ ἥξουσι φέροντες χρυσίον, καὶ λίβανον οἴσουσι· καὶ τὸ σωτήριον Κυρίου εὐαγγελιοῦνται· καὶ πάντα τὰ πρόβατα Κηδὰρ συναχθήσονται, καὶ κριοὶ Ναβαιὼθ ἥξουσι· καὶ ἀνενεχθήσεται δεκτὰ ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ ὁ οἶκος τῆς προσευχῆς μου δοξασθήσεται· τίνες οἵδε, ὡς νεφέλαι πέτανται, καὶ ὡσεὶ περιστεραὶ σὺν νοσσοῖς ἐπ' ἐμέ; ἐμὲ αἱ νῆσοι ὑπέμειναν, καὶ πλοῖα Θαρσὶς ἐν πρώτοις, ἀγαγεῖν τὰ τέκνα σου μακρόθεν, καὶ τὸ ἀργύριον, καὶ τὸν χρυσὸν αὐτῶν μετ' αὐτῶν· καὶ διὰ τὸ ὄνομα Κυρίου τὸ ἅγιον· καὶ διὰ τὸν ἅγιον τοῦ Ἰσραὴλ ἔνδοξον εἶναι· καὶ οἰκοδομήσουσιν ἀλλογενεῖς τὰ τείχη σου, καὶ οἱ βασιλεῖς αὐτῶν παραστήσονταί σοι· διὰ γὰρ ὀργήν μου ἐπάταξά σε· καὶ διὰ ἔλεόν ἠγάπησά σε· καὶ ἀνοιχθήσονται αἱ πύλαι σου διαπαντὸς, ἡμέρας καὶ νυκτός οὐ κλεισθήσονται, εἰσαγαγεῖν πρὸς σὲ δύναμιν ἐθνῶν, καὶ Βασιλεῖς αὐτῶν ἀγομένους· τὰ γὰρ ἔθνη καὶ οἱ Βασιλεῖς, οἵτινες οὐ δουλεύσουσί σοι, ἀπολοῦνται· καὶ τὰ ἔθνη ἐρημίᾳ ἐρημωθήσεται· καὶ ἡ δόξα τοῦ λιβάνου πρὸς σὲ ἥξει, ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ ἅμα, δοξάσαι τὸν τόπον τὸν ἅγιόν μου· καὶ πορεύσονται πρὸς σὲ δεδοικότες υἱοὶ ταπεινωσάντων σε, καὶ παροξυνάντων σε· καὶ κληθήσῃ πόλις Σιὼν ἁγίου Ἰσραήλ· διὰ τὸ γεγενῆσθαί σε ἐγκαταλελειμμένην καὶ μεμισημένην, καὶ οὐκ ἦν ὁ βοηθῶν· καὶ θήσω σε ἀγαλλίαμα αἰώνιον, εὐφροσύνην γενεαῖς γενεαῖς· καὶ θηλάσεις γάλα ἐθνῶν, καὶ πλοῦτον Βασιλέων φάγεσαι· καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος, ὁ σώζων σε, καὶ ἐξαιρούμενός σε, Θεὸς Ἰσραήλ.

Ἀνάγνωσμα γ'.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν, καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου, λέγων· ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ· λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ, λέγων· τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ' οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ' οἰκίαν· ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ, ὥς τε μὴ εἶναι ἱκανοὺς εἰς πρόβατον, συλλήψεται μεθ' ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ· κατὰ ἀριθμὸν ψυχῶν, ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον· πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀρνῶν, καὶ τῶν ἐρίφων λήψεσθε· καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου· καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν· καὶ λήψονται ἀπὸ τοῦ αἵματος, καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν, καὶ ἐπὶ τὴν φλιὰν, ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν αὐτοῖς· καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ ὀπτὰ πυρί, καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται· οὐκ ἔδεσθε ἀπ' αὐτῶν ὠμὸν, οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ' ἢ ὀπτὰ πυρί· κεφαλὴν σὺν τοῖς ποσὶ καὶ ἐνδοσθίοις· οὐκ ἀπολείψετε ἀπ' αὐτοῦ ἕως πρωῒ· καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ' αὐτοῦ· τὰ δὲ καταλειπόμενα ἀπ' αὐτοῦ ἕως πρωῒ, ἐν πυρὶ κατακαύσετε· οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν· καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς. Πάσχα ἐστὶ Κυρίῳ.

Ἀνάγνωσμα δ'.

Προφητείας Ἰωνᾶ τὸ ἀνάγνωσμα.

Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ, λέγων· ἀνάστηθι, καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ· ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με· καὶ ἀνέστη Ἰωνᾶς, τοῦ φυγεῖν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου· καὶ κατέβη εἰς Ἰόππην, καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς, καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ, καὶ ἀνέβη εἰς αὐτὸ, τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου· καὶ Κύριος ἐξήγειρε πνεῦμα ἐπὶ τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ· καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι· καὶ ἐφοβήθησαν οἱ ναυτικοί, καὶ ἀνεβόησαν ἕκαστος πρὸς τὸν Θεὸν αὐτοῦ· καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν, τῶν ἐν τῷ πλοίῳ, εἰς τὴν θάλασσαν, τοῦ κουφισθῆναι ἀπ' αὐτῶν· Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου, καὶ ἐκάθευδε,

καὶ

καὶ ἔρεγχε· καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς, καὶ εἶπεν αὐτῷ· τί σὺ ῥέγχεις; ἀνάστα, καὶ ἐπικαλοῦ τὸν Θεόν σου, ὅπως διασώσῃ ὁ Θεὸς ἡμᾶς, καὶ οὐ μὴ ἀπολώμεθα. καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· δεῦτε, βάλωμεν κλήρους, καὶ ἐπιγνῶμεν, τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐφ' ἡμῖν· καὶ ἔβαλον κλήρους· καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν· καὶ εἶπον πρὸς αὐτόν· ἀπάγγειλον ἡμῖν, τίς σου ἡ ἐργασία ἐστί, καὶ πόθεν ἔρχῃ, καὶ ἐκ ποίας χώρας, καὶ ἐκ ποίου λαοῦ εἶ σύ· καὶ εἶπε πρὸς αὐτούς· δοῦλος Κυρίου εἰμὶ ἐγώ, καὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν, καὶ τὴν ξηράν· καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν, καὶ εἶπαν πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς· καὶ εἶπαν πρὸς αὐτόν· τί ποιήσωμέν σοι, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξήγειρε μᾶλλον κλύδωνα· καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με, καὶ ἐμβάλλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγώ, ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστί· καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν, καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο, καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς, καὶ ἀνεβόησαν πρὸς Κύριον, καὶ εἶπαν· μηδαμῶς Κύριε· μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου· καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον· διότι σὺ Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας· καὶ ἔλαβον τὸν Ἰωνᾶν, καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν θάλασσαν· καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς· καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον, καὶ ἔθυσαν θυσίαν τῷ Κυρίῳ, καὶ ηὔξαντο τὰς εὐχάς. Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας· καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους, καὶ εἶπεν. Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾅδου κραυγῆς μου ἤκουσας φωνῆς μου· ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοί ἐκύκλωσάν με· πάντες οἱ μετεωρισμοί σου, καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον· καὶ ἐγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα, προσθήσω, τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς· ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη· ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων, κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι· καὶ ἀναβήτω φθορὰ ζωῆς μου Κύριε ὁ Θεός μου· ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου, τοῦ Κυρίου ἐμνήσθην· καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν τὸν ἅγιόν σου· φυλασσόμενοι μάταια, καὶ ψευδῆ, ἔλεος αὐτῶν ἐγκατέλιπον· ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως, καὶ ἐξομολογήσεως θύσω σοι· ὅσα ηὐξάμην ἀποδώσω σοι σωτηρίου τῷ Κυρίῳ. Καὶ προσετάγη ἀπὸ Κυρίου τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου, λέγων· ἀνάστηθι, πορεύθητι εἰς Νινευῒ τὴν πόλιν τὴν μεγάλην, καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρὸς σέ· καὶ ἀνέστη Ἰωνᾶς, καὶ ἐπορεύθη εἰς Νινευῒ, καθὼς ἐλάλησε Κύριος· ἡ δὲ Νινευῒ ἦν πόλις μεγάλη τῷ Θεῷ, ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν· καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν, ὡσεὶ πορείαν ἡμέρας μιᾶς· καὶ ἐκήρυξε, καὶ εἶπεν· ἔτι τρεῖς ἡμέραι, καὶ Νινευῒ καταστραφήσεται· καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευῒ τῷ Θεῷ, καὶ ἐκήρυξαν νηστείαν, καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν· καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν Βασιλέα τῆς Νινευΐ· καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ, καὶ περιείλατο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ, καὶ περιεβάλλετο σάκκον, καὶ ἐκάθισεν ἐπὶ σποδοῦ· καὶ ἐκηρύχθη, καὶ ἐρρέθη τῇ Νινευῒ παρὰ τοῦ Βασιλέως, καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ, λέγων, οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ οἱ βόες, καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν, μὴ δὲ νεμέσθωσαν, μὴ δὲ ὕδωρ πιέτωσαν· καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι, καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς, καὶ ἀπὸ τῆς ἀδικίας, τῆς ἐν χερσὶν αὐτῶν, λέγοντες· τίς οἶδεν, εἰ μετανοήσει ὁ Θεὸς, καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ, καὶ οὐ μὴ ἀπολώμεθα; καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν· καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς· καὶ οὐκ ἐποίησε. Καὶ ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην, καὶ συνεχύθη, καὶ προσηύξατο πρὸς Κύριον, καὶ εἶπεν· Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου, ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διατοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσίς, διότι ἔγνων, ὅτι σὺ ἐλεήμων, καὶ οἰκτίρμων, μακρόθυμος, καὶ πολυέλεος, καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις· καὶ νῦν δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ὅτι καλὸν τὸ ἀποθανεῖν με, ἢ ζῆν με· καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σύ; καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως, καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως καὶ ἐποίησεν αὐτῷ ἐκεῖ σκηνήν, καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ μάθῃ, τί ἔσται τῇ Πόλει· καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ· καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ, τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ, τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ· καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην· καὶ προσέταξε ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον· καὶ ἐπάταξε τὴν κολόκυνθαν, καὶ ἀπεξηράνθη· καὶ ἐγένετο

ἅμα

Digitized by Google

ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ, καὶ ὠλιγοψύχησε, καὶ ἀπελέγετο τὴν ψυχὴν αὐτοῦ, καὶ εἶπε· καλόν μοι τοῦ ἀποθανεῖν με. ἢ ζῆν· καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; καὶ εἶπε, σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου· καὶ εἶπε Κύριος· σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ᾽ αὐτὴν, καὶ οὐδὲ ἐξέθρεψας αὐτήν, ἢ ἐγενήθη ὑπὸ νύκτα, καὶ ὑπὸ νύκτα ἀπώλετο· ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς Πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά.

Ἀνάγνωσμα ε.

Ἰησοῦ τοῦ Ναυῆ τὸ ἀνάγνωσμα.

Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀφ᾽ ἑσπέρας ἐπὶ δυσμῶν Ἱεριχὼ, ἐν τῷ πέραν Ἰορδάνου, ἐν τῷ πεδίῳ· καὶ ἐφάγοσαν ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ νέα· ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς, καὶ οὐκέτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα· ἐκαρπίσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ· καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ· καὶ προσελθὼν Ἰησοῦς, εἶπεν αὐτῷ· ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων; ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου, νυνὶ παραγέγονα· καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ· δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ; καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ὁ γὰρ τόπος ἐφ᾽ ᾧ νῦν ἕστηκας ἐπ᾽ αὐτοῦ, ἅγιός ἐστι.

Ἀνάγνωσμα ς′.

Τῆς Ἐξόδου τὸ ἀνάγνωσμα.

Ἐξάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼθ, ἐστρατοπέδευσαν ἐν Ὀθὸμ παρὰ τὴν ἔρημον· ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν· τὴν δὲ νύκτα, ἐν στύλῳ πυρός· οὐκ ἐξέλιπεν δὲ ὁ στύλος τῆς νεφέλης ἡμέρας, καὶ ὁ στύλος τοῦ πυρὸς νυκτὸς ἐναντίον τοῦ λαοῦ παντός. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν, λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ· καὶ ἀποστρέψαντες στρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐπαύλεως, ἀναμέσον Μαγδώλου καὶ ἀναμέσον τῆς θαλάσσης, ἐξ ἐναντίας Βεελσεπφῶν· ἐνώπιον αὐτῶν στρατοπεδεύσεις ἐπὶ τῆς θαλάσσης· καὶ ἐρεῖ Φαραὼ τῷ λαῷ αὐτοῦ· οἱ υἱοὶ Ἰσραὴλ πλανῶνται οὗτοι ἐν τῇ γῇ· συγκέκλεικε γὰρ αὐτοὺς ἡ ἔρημος· ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ· καὶ καταδιώξεται ὀπίσω αὐτῶν, καὶ ἐνδοξασθήσομαι ἐν Φαραῷ, καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ. καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος· καὶ ἐποίησαν οὕτως· καὶ ἀνηγγέλη τῷ Βασιλεῖ τῶν Αἰγυπτίων, ὅτι πέφευγεν ὁ λαός· καὶ μετεστράφη ἡ καρδία Φαραὼ, καὶ τῶν θεραπόντων αὐτοῦ ἐπὶ τὸν λαὸν, καὶ εἶπαν· τί τοῦτο ἐποιήσαμεν, τοῦ ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ, τοῦ μὴ δουλεύειν ἡμῖν; ἔζευξε οὖν Φαραὼ τὰ ἅρματα αὐτοῦ, καὶ πάντα τὸν λαὸν αὐτοῦ συναπήγαγε μεθ᾽ ἑαυτοῦ· καὶ λαβὼν ἑξακόσια ἅρματα ἐκλεκτὰ, καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων, καὶ τριστάτας ἐπὶ πάντων· καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ Βασιλέως Αἰγύπτου, καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ κατεδίωξεν ὀπίσω τῶν υἱῶν Ἰσραήλ· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐξεπορεύοντο ἐν χειρὶ ὑψηλῇ· καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω αὐτῶν· καὶ εὕροσαν αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν θάλασσαν· καὶ πᾶσα ἡ ἵππος, καὶ τὰ ἅρματα Φαραὼ, καὶ οἱ ἱππεῖς, καὶ ἡ στρατιὰ αὐτοῦ ἀπέναντι τῆς ἐπαύλεως, ἐξ ἐναντίας Βεελσεπφῶν· καὶ Φαραὼ προσῆγε· καὶ ἀναβλέψαντες οἱ υἱοὶ Ἰσραὴλ τοῖς ὀφθαλμοῖς ὁρῶσι· καὶ οἱ Αἰγύπτιοι ἐστρατοπέδευσαν ὀπίσω αὐτῶν· καὶ ἐφοβήθησαν σφόδρα· ἀνεβόησαν δὲ οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον, καὶ εἶπαν πρὸς Μωϋσῆν· παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν γῇ Αἰγύπτῳ, ἐξήγαγες ἡμᾶς, θανατῶσαι ἐν τῇ ἐρήμῳ· τί τοῦτο ἐποίησας ἡμῖν, ἐξαγαγὼν ἐξ Αἰγύπτου; οὐ τοῦτο ἦν τὸ ῥῆμα, ὃ ἐλαλήσαμεν πρὸς σὲ ἐν Αἰγύπτῳ, λέγοντες· πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις, ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ· εἶπε δὲ Μωϋσῆς πρὸς τὸν λαόν, θαρσεῖτε, στῆτε, καὶ ὁρᾶτε τὴν σωτηρίαν, τὴν παρὰ τοῦ Κυρίου, ἣν ποιήσει ἡμῖν σήμερον· ὃν τρόπον γὰρ ἑωράκατε τοὺς Αἰγυπτίους σήμερον, οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον. Κύριος πολεμήσει περὶ ὑμῶν· καὶ ὑμεῖς σιγήσετε· εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀναζευξάτωσαν· καὶ σὺ ἔπαρον τῇ ῥάβδῳ σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ῥῆξον αὐτήν· καὶ εἰσελθέτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν· καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ τῶν Αἰγυπτίων πάντων· καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραῷ, καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ· καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος· ἐν δοξαζομένου μου ἐν Φαραῷ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἵπποις αὐτοῦ· ἐξῆρε δὲ ὁ Ἄγγελος τοῦ Θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραήλ.

καὶ

Digitized by Google

καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν, καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν· καὶ εἰσῆλθεν ἀναμέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων, καὶ ἀναμέσον τῆς παρεμβολῆς Ἰσραὴλ, καὶ ἔστη· καὶ ἐγένετο σκότος, καὶ γνόφος· καὶ διῆλθεν ἡ νύξ· καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα· ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν· καὶ ἐπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα· καὶ ἐποίησε τὴν θάλασσαν ξηράν· καὶ ἐσχίσθη τὸ ὕδωρ· καὶ εἰσῆλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν· καὶ τὸ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν, καὶ πᾶσα ἵππος Φαραὼ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς θαλάσσης· ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ, καὶ ἐπέβλεψε Κύριος ἐπὶ τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης, καὶ συνετάραξε τὴν παρεμβολὴν τῶν Αἰγυπτίων· καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν, καὶ ἤγαγεν αὐτοὺς μετὰ βίας· καὶ εἶπαν οἱ Αἰγύπτιοι· φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ· ὁ γὰρ Κύριος πολεμεῖ περὶ αὐτῶν τοὺς Αἰγυπτίους· εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· ἔκτεινον τὴν χεῖρα σου ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκαταστήτω τὸ ὕδωρ, καὶ ἐπικαλυψάτω τοὺς Αἰγυπτίους, ἐπί τε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας· ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀπεκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας· οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ· καὶ ἐξετίναξε Κύριος τοὺς Αἰγυπτίους μέσον τῆς θαλάσσης· καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα, καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φαραὼ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν εἰς τὴν θάλασσαν· καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης· τὸ δὲ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων· καὶ ἐρρύσατο Κύριος τὸν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς τῶν Αἰγυπτίων· καὶ εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης· εἶδε δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος τοῖς Αἰγυπτίοις· ἐφοβήθη δὲ ὁ λαὸς τὸν Κύριον, καὶ ἐπίστευσαν τῷ Θεῷ, καὶ Μωϋσῇ τῷ θεράποντι αὐτοῦ· τότε ᾖσε Μωϋσῆς, καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Θεῷ· καὶ εἶπαν, λέγοντες. Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον, καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν· βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεὸς, καὶ δοξάσω αὐτὸν, Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν· Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ· ἅρματα Φαραὼ, καὶ τὴν δύναμιν αὐτοῦ ἔρριψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας· κατεπόθησαν ἐν ἐρυθρᾷ θαλάσσῃ· πόντῳ ἐκάλυψεν αὐτούς· κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος· ἡ δεξιά σου Κύριε δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου Κύριε ἔθραυσεν ἐχθρούς· καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· ἀπέστειλας τὴν ὀργήν σου, κατέφαγεν αὐτοὺς ὡς καλάμην· καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα· ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης· εἶπεν ὁ ἐχθρὸς, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου· ἀπέστειλας τὸ Πνεῦμά σου· ἐκάλυψεν αὐτοὺς θάλασσα· ἔδυσαν ὡσεὶ μόλιβδος ἐν ὕδατι σφοδρῷ· τίς ὅμοιός σοι ἐν θεοῖς Κύριε; τίς ὅμοιός σοι; δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα· ἐξέτεινας τὴν δεξιάν σου· κατέπιεν αὐτοὺς γῆ· ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω· παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμμα ἅγιόν σου· ἤκουσαν ἔθνη, καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φιλιστιείμ· τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν· ἔλαβεν αὐτοὺς τρόμος· ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν· ἐπιπέσοι ἐπ' αὐτοὺς τρόμος, καὶ φόβος· μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν· ἕως παρέλθῃ ὁ λαός σου Κύριε· ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω· εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατηρτίσω Κύριε, ἁγίασμα Κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου· Κύριος βασιλεύων τὸν αἰῶνα, καὶ ἐπ' αἰῶνα καὶ ἔτι· ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι, καὶ ἀναβάταις εἰς θάλασσαν· καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Ἀνάγνωσμα ζʹ.

Προφητείας Σοφονίου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος. ὑπόμεινόν με εἰς ἡμέραν ἀναστάσεώς μου εἰς μαρτύριον· διὸ τὸ κρῖμά μου εἰς συναγωγὰς ἐθνῶν, τοῦ εἰσδέξασθαι βασιλεῖς, τοῦ ἐκχέαι ἐπ' αὐτοὺς πᾶσαν ὀργὴν θυμοῦ μου· διότι ἐν πυρὶ ζήλου μου καταναλωθήσεται πᾶσα ἡ γῆ· ὅτι τότε μεταστρέψω ἐπὶ λαοὺς γλῶσσαν εἰς γενεὰν αὐτῆς, τοῦ ἐπικαλεῖσθαι πάντας τὸ ὄνομα Κυρίου, τοῦ δουλεύειν αὐτῷ ὑπὸ ζυγὸν ἕνα· ἐκ περάτων ποταμῶν Αἰθιοπίας προσδέξομαι ἐν διεσπαρμένοις μου· οἴσουσι θυσίας μοι· ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, οὐ μὴ καταισχυνθῇς ἐκ πάντων τῶν ἐπιτηδευμάτων σου, ὧν ἠσέβησας εἰς ἐμέ· ὅτι τότε περιελῶ ἀπὸ σοῦ τὰ φαυλίσματα τῆς ὕβρεώς σου· καὶ οὐκ ἔτι οὐ μὴ προσθῇς, τοῦ μεγαλαυχῆσαι ἐπὶ τὸ ὄρος τὸ ἅγιόν μου· καὶ ὑπολείψομαι ἐν σοὶ λαὸν πραῢν καὶ

ταπει-

ταπεινόν, καὶ εὐλαβηθήσονται ἀπὸ τοῦ ὀνόματος Κυρίου οἱ κατάλοιποι τοῦ Ἰσραὴλ, καὶ οὐ ποιήσουσιν ἀδικίαν, καὶ οὐ λαλήσουσι μάταια, καὶ οὐ μὴ εὑρεθῇ ἐν τῷ στόματι αὐτῶν γλῶσσα δολία· διότι αὐτοὶ νεμήσονται καὶ κοιταθήσονται, καὶ οὐκ ἔσται ὁ ἐκφοβῶν αὐτούς· χαῖρε θύγατερ Σιὼν· κήρυσσε θύγατερ Ἱερουσαλήμ· εὐφραίνου, καὶ κατατέρπου ἐξ ὅλης τῆς καρδίας σου θύγατερ Ἱερουσαλήμ· περιεῖλε Κύριος τὰ ἀδικήματά σου· λελύτρωταί σε ἐκ χειρὸς ἐχθρῶν σου· βασιλεὺς Ἰσραὴλ Κύριος ἐν μέσῳ σου· οὐκ ὄψῃ κακὰ οὐκέτι.

Ἀνάγνωσμα η'.

Βασιλειῶν τρίτης τὸ ἀνάγνωσμα.

Ἐγένετο ῥῆμα Κυρίου πρὸς Ἠλιοῦ· ἀνάστηθι, καὶ πορεύου εἰς Σάρεπτα τῆς Σιδωνίας· ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε· καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σάρεπτα, καὶ ἦλθεν εἰς τὸν πυλῶνα τῆς πόλεως· καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συνέλεγε ξύλα· καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοῦ, καὶ εἶπεν αὐτῇ· λάβε δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι· καὶ ἐπορεύθη λαβεῖν, καὶ ἀνεβόησεν ὀπίσω αὐτῆς Ἠλιοῦ, καὶ εἶπεν· λήψῃ δή μοι ψωμὸν ἄρτου, τοῦ ἐν τῇ χειρί σου· καὶ εἶπεν ἡ γυνὴ, ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καψάκῃ, καὶ ἰδοὺ ἐγὼ συλλέξω δύο ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω αὐτὸ ἐμαυτῇ, καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα· καὶ εἶπε πρὸς αὐτὴν Ἠλιοῦ· θάρσει, εἴσελθε, καὶ ποίησον κατὰ τὸ ῥῆμά σου· ἀλλὰ ποίησόν μοι ἐκεῖθεν ἐγκρυφίαν μικρὸν, καὶ ἐξοίσεις μοι ἐν πρώτοις, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ' ἐσχάτου· ὅτι τάδε λέγει Κύριος· ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει ἕως ἡμέρας τοῦ δοῦναι Κύριον τὸν ὑετὸν ἐπὶ τῆς γῆς· καὶ ἐπορεύθη ἡ γυνὴ, καὶ ἐποίησε καὶ ἤσθιεν αὐτὴ καὶ αὐτὸς καὶ τὰ τέκνα αὐτῆς· καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐξέλιπε· καὶ ὁ καψάκης τοῦ ἐλαίου οὐκ ἠλαττονήθη κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιοῦ. Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἠῤῥώστησεν ὁ υἱὸς τῆς γυναικὸς τῆς κυρίας τοῦ οἴκου· καὶ ἦν ἡ ἀῤῥωστία αὐτοῦ κραταιὰ σφόδρα, ἕως οὐχ ὑπελείφθη ἐν αὐτῷ πνεῦμα· καὶ εἶπε πρὸς Ἠλιοῦ· τί ἐμοὶ καὶ σοὶ ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρὸς μὲ τοῦ ἀναμνῆσαι ἀδικίας μου. καὶ θανατῶσαι τὸν υἱόν μου; καὶ εἶπεν Ἠλιοῦ πρὸς τὴν γυναῖκα, δός μοι τὸν υἱόν σου, καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ κόλπου αὐτῆς, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον, ἐν ᾧ αὐτὸς ἐκάθητο ἐκεῖ, καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τῆς κλίνης· καὶ ἀνεβόησεν Ἠλιοῦ, καὶ εἶπεν· οἴμοι Κύριε, ὁ μάρτυς τῆς χήρας μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς, σὺ κεκάκωκας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς· καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρὶς, καὶ ἐπεκαλέσατο τὸν Κύριον, καὶ εἶπε. Κύριε ὁ Θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου εἰς αὐτόν· καὶ ἐγένετο οὕτως· καὶ ἀνεβόησε τὸ παιδάριον καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον, καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ· καὶ εἶπεν Ἠλιοῦ· βλέπε, ζῇ ὁ υἱός σου· καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἠλιοῦ· ἰδοὺ ἔγνωκα ὅτι σὺ ἄνθρωπος Θεοῦ, καὶ ῥῆμα Κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.

Ἀνάγνωσμα θ'.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Ἀγαλλιάσθω ἡ ψυχή μου ἐπὶ τῷ Κυρίῳ, ἐνέδυσε γάρ με ἱμάτιον σωτηρίου, καὶ χιτῶνα εὐφροσύνης· ὡς νυμφίῳ περιέθηκέ μοι μίτραν, καὶ ὡς νύμφην, κατεκόσμησέ με κόσμῳ· καὶ ὡς γῆν αὔξουσαν τὸ ἄνθος αὐτῆς, καὶ ὡς κῆπος τὰ σπέρματα αὐτοῦ, οὕτως ἀνατελεῖ Κύριος Κύριος δικαιοσύνην καὶ ἀγαλλίαμα ἐναντίον πάντων τῶν ἐθνῶν· Διὰ Σιὼν οὐ σιωπήσομαι, καὶ διὰ Ἱερουσαλὴμ οὐκ ἀνήσω, ἕως ἂν ἐξέλθῃ ὡς φῶς ἡ δικαιοσύνη αὐτῆς, τὸ δὲ σωτήριόν μου, ὡς λαμπὰς καυθήσεται· καὶ ὄψονται ἔθνη τὴν δικαιοσύνην σου, καὶ βασιλεῖς τὴν δόξαν σου, καὶ καλέσει σε τὸ ὄνομα τὸ καινὸν, ὃ ὁ Κύριος ὀνομάσει αὐτό· καὶ ἔσῃ στέφανος κάλλους ἐν χειρὶ Κυρίου, καὶ διάδημα βασιλείας ἐν χειρὶ Θεοῦ σου, καὶ οὐκέτι κληθήσῃ καταλελειμμένη, καὶ ἡ γῆ σου οὐ κληθήσεται ἔτι ἔρημος· σοὶ γὰρ κληθήσεται θέλημα ἐμόν· καὶ τῇ γῇ σου Οἰκουμένη, ὅτι εὐδόκησε Κύριος ἐν σοὶ, καὶ ἡ γῆ σου συνοικισθήσεται· καὶ ὡς συνοικῶν νεανίσκος παρθένῳ, οὕτω κατοικήσουσιν οἱ υἱοί σου· καὶ ἔσται ὃν τρόπον εὐφρανθήσεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί.

Ἀνάγνωσμα ι'.

Γενέσεως τὸ ἀνάγνωσμα.

Ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεὸς ἐπείρασε τὸν Ἀβραὰμ· καὶ εἶπεν αὐτῷ. Ἀβραὰμ Ἀβραάμ· καὶ εἶπεν· ἰδοὺ ἐγώ· καὶ εἶπε· λάβε τὸν υἱόν σου τὸν ἀγαπητὸν, ὃν ἠγάπησας τὸν Ἰσαὰκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν, καὶ ἀνένεγκε αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ' ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω· ἀναστὰς δὲ Ἀβραὰμ τὸ πρωῒ, ἐπέταξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ' ἑαυτοῦ δύο παῖδας, καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ· καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη· καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεὸς τῇ ἡμέρᾳ τῇ τρίτῃ· καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν· καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου· ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε, καὶ προσκυνήσαντες, ἀναστρέψωμεν πρὸς ὑμᾶς· ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως,



Digitized by Google

καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ, καὶ τὴν μάχαιραν, καὶ ἐπορεύθησαν οἱ δύο ἅμα· εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν Πατέρα αὐτοῦ· πάτερ· ὁ δὲ, εἶπε· τί ἐστι τέκνον; εἶπε δέ· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα, ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν; εἶπε δὲ Ἀβραάμ· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον· πορευθέντες δὲ ἀμφότεροι ἅμα, ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός· καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα· καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων· καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ, λαβεῖν τὴν μάχαιραν, σφάξαι τὸν υἱὸν αὐτοῦ· καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου ἐκ τοῦ Οὐρανοῦ, καὶ εἶπεν· Ἀβραὰμ Ἀβραάμ· ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ· καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον, μὴ δὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεόν· καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ· καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε· καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραὰμ, καὶ ἔλαβε τὸν κριὸν, καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ· καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν, ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη· καὶ ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ Οὐρανοῦ, λέγων· κατ᾽ ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ. ἦ μὴν εὐλογῶν εὐλογήσω σε· καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ Οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων· καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ᾽ ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Ἀνάγνωσμα ιά.

Προφητείας Ἠσαΐου τὸ ἀνάγνωσμα.

Πνεῦμα Κυρίου ἐπ᾽ ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως, παρακαλέσαι πάντας τοὺς πενθοῦντας, δοθῆναι τοῖς πενθοῦσι Σιὼν αὐτοῖς δόξαν ἀντὶ σποδοῦ· ἄλειμμα εὐφροσύνης τοῖς πενθοῦσιν, καταστολὴν δόξης ἀντὶ πνεύματος ἀκηδίας· καὶ κληθήσονται γενεαὶ δικαιοσύνης, φύτευμα Κυρίου εἰς δόξαν· καὶ οἰκοδομήσουσιν ἐρήμους αἰωνίας, ἐξηρημωμένας πρότερον ἐξαναστήσουσι, καὶ καινιοῦσι πόλεις ἐρήμους ἐξηρημωμένας εἰς γενεὰς, καὶ ἥξουσιν ἀλλογενεῖς ποιμαίνοντες τὰ πρόβατά σου, καὶ ἀλλόφυλοι ἀροτῆρες, καὶ ἀμπελουργοί· ὑμεῖς δὲ ἱερεῖς Κυρίου κληθήσεσθε, λειτουργοὶ Θεοῦ· ἰσχὺν ἐθνῶν κατέδεσθε, καὶ ἐν τῷ πλούτῳ αὐτῶν θαυμασθήσεσθε· οὕτως ἐκ δευτέρας κληρονομήσουσι τὴν γῆν, καὶ εὐφροσύνη αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν· ἐγὼ γάρ εἰμι Κύριος ὁ ἀγαπῶν δικαιοσύνην, καὶ μισῶν ἁρπάγματα ἐξ ἀδικίας· καὶ δώσω τὸν μόχθον αὐτῶν δικαίοις· καὶ διαθήκην αἰώνιον διαθήσομαι αὐτοῖς· καὶ γνωσθήσεται ἐν τοῖς ἔθνεσι τὸ σπέρμα αὐτῶν, καὶ τὰ ἔγγονα αὐτῶν ἐν μέσῳ τῶν λαῶν· πᾶς ὁ ὁρῶν αὐτοὺς ἐπιγνώσεται αὐτοὺς, ὅτι οὗτοί εἰσι σπέρμα εὐλογημένον ὑπὸ Θεοῦ· καὶ εὐφροσύνῃ εὐφρανθήσονται ἐπὶ Κύριον.

Ἀνάγνωσμα ιβ΄.

Βασιλειῶν τετάρτης τὸ ἀνάγνωσμα.

Ἐγένετο ἡμέρα, καὶ διέβη Ἐλισαιὲ εἰς Σωμὰν, καὶ ἐκεῖ γυνὴ μεγάλη, καὶ ἐκράτησεν αὐτὸν φαγεῖν ἄρτον· καὶ ἐγένετο ἀφ᾽ ἱκανοῦ τοῦ εἰσπορεύεσθαι αὐτὸν, ἐξέκλινε τοῦ ἐκεῖ φαγεῖν· καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς· ἰδοὺ δὴ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ᾽ ἡμᾶς διαπαντός· ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρὸν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην, καὶ τράπεζαν, καὶ δίφρον, καὶ λυχνίαν· καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς, καὶ ἐκκλινεῖ ἐκεῖ· καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλθεν ἐκεῖ, καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον, καὶ ἐκοιμήθη ἐκεῖ· καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ· κάλεσόν μοι τὴν Σωμανίτην ταύτην. Καὶ ἐκάλεσεν αὐτὴν, καὶ ἔστη ἐνώπιον αὐτοῦ· καὶ εἶπεν αὐτῷ· εἶπον δὴ πρὸς αὐτὴν, ἰδοὺ ἐξέστησας ἡμῖν πᾶσαν τὴν ἔκστασιν ταύτην, τί δεῖ ποιῆσαί σοι, εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως; ἡ δὲ εἶπεν· ἐν μέσῳ τοῦ λαοῦ ἐγώ εἰμι οἰκῶ· καὶ εἶπε πρὸς Γιεζί· τί δεῖ ποιῆσαι αὐτῇ; καὶ εἶπε Γιεζὶ τὸ παιδάριον αὐτοῦ· καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ, καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης· καὶ ἐκάλεσεν αὐτὴν, καὶ ἔστη παρὰ τὴν θύραν· καὶ εἶπεν Ἐλισαιὲ πρὸς αὐτήν· εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα ζῶσα σὺ, περιειληφυῖα υἱόν· ἡ δὲ εἶπε· μὴ κύριε, μὴ διαψεύσῃ τὴν δούλην σου· καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ, καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον ὡς ἡ ὥρα ζῶσα, ὡς ἐλάλησε πρὸς αὐτὴν Ἐλισαιέ· καὶ ἡδρύνθη τὸ παιδάριον· καὶ ἐγένετο ἡνίκα ἐξῆλθε πρὸς τὸν πατέρα αὐτοῦ πρὸς τοὺς θερίζοντας, καὶ εἶπε πρὸς τὸν πατέρα αὐτοῦ· τὴν κεφαλήν μου, τὴν κεφαλήν μου· καὶ εἶπε τῷ παιδαρίῳ· ἆρον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ· καὶ ἦρεν αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ, καὶ ἐκοιμήθη ἐπὶ τῶν γονάτων αὐτῆς ἕως μεσημβρίας, καὶ ἀπέθανε· καὶ ἀνήνεγκεν αὐτὸν, καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἀπέκλεισε κατ᾽ αὐτοῦ καὶ

ἐξῆλ-

Digitized by Google

ἐξῆλθε, καὶ ἐκάλεσε τὸν ἄνδρα αὐτῆς, καὶ εἶπεν· ἀπόστειλον δή μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ καὶ ἐπιστρέψω· καὶ εἶπε· τί ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον, οὐ νεομηνία οὐδὲ σάββατον· ἡ δὲ εἶπεν· εἰρήνη· καὶ ἐπέσαξε τὴν ὄνον, καὶ εἶπε πρὸς τὸ παιδάριον αὐτῆς· ἄγε πορεύου, μὴ ἐπίσχῃς μοι τοῦ ἐπιβῆναι ὅτι ἐὰν εἴπω σοι· δεῦρο καὶ πορεύσῃ καὶ ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ εἰς ὄρος τὸ καρμήλιον· καὶ ἐπορεύθη καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ εἰς τὸ ὄρος. καὶ ἐγένετο ὡς εἶδεν Ἐλισαιὲ ἐρχομένην αὐτὴν, καὶ εἶπε πρὸς Γιεζὶ τὸ παιδάριον αὐτοῦ· ἰδοὺ δὴ ἡ Σωμανῖτις ἐκείνη· νῦν δράμε εἰς ἀπαντὴν αὐτῆς, καὶ ἐρεῖς· ἡ εἰρήνη σοι· ἡ εἰρήνη τῷ ἀνδρί σου, ἡ εἰρήνη τῷ παιδαρίῳ, ἡ δὲ εἶπεν· εἰρήνη· καὶ ἦλθε πρὸς Ἐλισαιὲ εἰς τὸ ὄρος, καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ· καὶ ἤγγισεν Γιεζὶ ἀπώσασθαι αὐτήν· καὶ εἶπεν Ἐλισαιέ· ἄφες αὐτήν· ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ· καὶ Κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι· ἡ δὲ εἶπε· μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ Κυρίου μου; ὅτι οὐκ εἶπα, οὐ πλανήσεις μετ' ἐμοῦ; καὶ εἶπεν Ἐλισαιὲ τῷ Γιεζί· ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου, καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα, οὐκ εὐλογήσεις αὐτὸν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ, οὐκ ἀποκριθήσῃ αὐτῷ· καὶ ἐπιθήσεις τὴν βακτηρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου· καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου· ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε· καὶ ἀνέστη Ἐλισαιὲ, καὶ ἐπορεύθη ὀπίσω αὐτῆς· καὶ Γιεζὶ διῆλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδαρίου, καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις· καὶ ἐπέστρεψεν εἰς ἀπαντὴν αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ λέγων· οὐκ ἠγέρθη τὸ παιδάριον· καὶ εἰσῆλθεν Ἐλισαιὲ εἰς τὸν οἶκον, καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκὸς κεκοιμημένον ἐπὶ τὴν κλίνην αὐτοῦ· καὶ εἰσῆλθεν Ἐλισαιὲ εἰς τὸν οἶκον, καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο ἑαυτῶν· καὶ προσηύξατο πρὸς Κύριον· καὶ ἀνέβη καὶ ἐκοιμήθη ἐπὶ τὸ παιδάριον· καὶ ἔθηκε τὸ στόμα αὐτοῦ ἐπὶ τὸ στόμα αὐτοῦ, καὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας αὐτοῦ· καὶ διέκαμψεν ἐπ' αὐτὸν, καὶ διεθερμάνθη ἡ σάρξ τοῦ παιδαρίου· καὶ ἐπέστρεψε, καὶ ἐπορεύθη ἐν τῇ οἰκίᾳ ἔνθεν καὶ ἔνθεν· καὶ ἀνέβη καὶ συνέκαμψεν ἐπὶ τὸ παιδάριον ἕως ἑπτάκις· καὶ ἤνοιξε τὸ παιδάριον τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ ἐξεβόησεν Ἐλισαιὲ πρὸς Γιεζὶ, καὶ εἶπε· κάλεσον τὴν Σωμανῖτιν ταύτην· καὶ ἐκάλεσεν, καὶ εἰσῆλθε πρὸς αὐτόν, καὶ εἶπεν Ἐλισαιέ· λάβε τὸν υἱόν σου· καὶ εἰσῆλθεν ἡ γυνὴ, καὶ ἔπεσεν ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν· καὶ ἔλαβε τὸν υἱὸν αὐτῆς, καὶ ἐξῆλθεν.

Ἀνάγνωσμα ιγ'.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.

Τάδε λέγει Κύριος, ποῦ ὁ ἀναβιβάσας ἐκ τῆς θαλάσσης τὸν ποιμένα τῶν προβάτων; ποῦ ἐστιν ὁ θεὶς ἐν αὐτοῖς τὸ πνεῦμα τὸ ἅγιον; ὁ ἀναγαγὼν τῇ δεξιᾷ Μωσῆν ὁ βραχίων τῆς δόξης αὐτοῦ; κατίσχυσεν ὕδωρ ἀπὸ προσώπου αὐτοῦ, ποιῆσαι ἑαυτῷ ὄνομα αἰώνιον· ἤγαγεν αὐτοὺς διὰ ἀβύσσου, ὡς ἵππον δι' ἐρήμου, καὶ οὐκ ἐκοπίασαν, καὶ ὡς κτήνη διὰ πεδίου· κατέβη πνεῦμα παρὰ Κυρίου, καὶ ὡδήγησεν αὐτούς· οὕτως ἤγαγες τὸν λαόν σου, ποιῆσαι σεαυτῷ ὄνομα δόξης· ἐπίβλεψον ἐκ τοῦ οὐρανοῦ, καὶ ἴδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου, καὶ δόξης σου· ποῦ ἐστιν ὁ ζῆλός σου καὶ ἡ ἰσχύς σου; ποῦ ἐστι τὸ πλῆθος τοῦ ἐλέους σου, καὶ οἰκτιρμῶν σου, ὅτι ἀνέσχου ἡμῶν; σὺ γὰρ εἶ πατὴρ ἡμῶν, ὅτι Ἀβραὰμ οὐκ ἔγνω ἡμᾶς, καὶ Ἰσραὴλ οὐκ ἐπέγνω ἡμᾶς, ἀλλὰ σὺ Κύριε πατὴρ ἡμῶν ῥῦσαι ἡμᾶς, ἀπ' ἀρχῆς τό ὄνομά σου ἐφ' ἡμᾶς ἐστι· τί ἐπλάνησας ἡμᾶς Κύριε ἀπὸ τῆς ὁδοῦ σου; ἐσκλήρυνας τὰς καρδίας ἡμῶν, τοῦ μὴ φοβεῖσθαί σε; ἐπίστρεψον διὰ τοὺς δούλους σου, διὰ τὰς φυλὰς τῆς κληρονομίας σου, ἵνα μικρὸν κληρονομήσωμεν τοῦ ὄρους τοῦ ἁγίου σου· ἐγενόμεθα ὡς τὸ ἀπ' ἀρχῆς, ὅτε οὐκ ἦρξας ἡμῶν, οὐδὲ ἐκλήθη τὸ ὄνομά σου ἐφ' ἡμᾶς· ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται, ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τήκεται, καὶ κατακαύσει πῦρ τοὺς ὑπεναντίους, καὶ φανερὸν ἔσται τὸ ὄνομά σου ἐν τοῖς ὑπεναντίοις· ἀπὸ προσώπου σου ἔθνη ταραχθήσονται, ὅταν ποιῇς τὰ ἔνδοξα· τρόμος λήψεται ἀπὸ σοῦ ὄρη· ἀπὸ τοῦ αἰῶνος οὐκ ἠκούσαμεν, οὐδὲ οἱ ὀφθαλμοὶ ἡμῶν εἶδον Θεὸν πλὴν σοῦ, καὶ τὰ ἔργα σου, ἃ ποιήσεις τοῖς ὑπομένουσιν ἔλεον· συναντήσεται γὰρ τοῖς ποιοῦσι τὸ δίκαιον, καὶ τῶν ὁδῶν σου μνησθήσονται.

Ἀνάγνωσμα ιδ'.

Προφητείας Ἱερεμίου τὸ ἀνάγνωσμα.

Ἰδοὺ ἡμέραι ἔρχονται, φησὶ Κύριος, καὶ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατράσιν αὐτῶν, ἐν ἡμέρᾳ ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ὅτι αὐτοὶ οὐκ ἐνέμειναν ἐν τῇ διαθήκῃ μου, καὶ ἐγὼ ἠμέλησα αὐτῶν, φησὶ Κύριος· ὅτι αὕτη ἡ διαθήκη μου ἣν διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ· μετὰ τὰς ἡμέρας ἐκείνας, φησὶ Κύριος, διδοὺς δώσω νόμους μου εἰς τὴν διάνοιαν αὐτῶν, καὶ ἐπὶ καρδίας αὐτῶν γράψω αὐτοὺς, καὶ ἔσομαι αὐτοῖς εἰς Θεὸν, καὶ αὐτοὶ ἔσονταί μοι εἰς λαόν· καὶ οὐ μὴ διδάξωσιν ἕκαστος τὸν πολίτην αὐτοῦ, καὶ ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ, λέγων, γνῶθι τὸν Κύριον· ὅτι πάντες εἰδήσουσί με ἀπὸ μικροῦ αὐτῶν ἕως μεγάλου αὐτῶν, ὅτι ἵλεως ἔσομαι ταῖς ἀδι-

ἀδικίαις αὐτῶν, καὶ τῶν ἁμαρτιῶν αὐτῶν οὐ μὴ μνησθῶ ἔτι.

Ἀνάγνωσμα ιε´.

Προφητείας Δανιὴλ τὸ ἀνάγνωσμα.

Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ· καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ δεηρᾷ, ἐν χώρᾳ Βαβυλῶνος· καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους, καὶ τοὺς στρατηγοὺς, καὶ τοὺς τοπάρχας, ἡγουμένους, καὶ τυράννους, καὶ τοὺς ἐπ᾽ ἐξουσιῶν, καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν, ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος· καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοὶ, ἡγούμενοι, τύραννοι μεγάλοι οἱ ἐπ᾽ ἐξουσιῶν, καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἧς ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος, καὶ ὁ κῆρυξ ἐβόα ἐν ἰσχύϊ· ὑμῖν λέγεται λαοῖς, φυλαὶ, γλῶσσαι, ᾗ ἂν ὥρᾳ ἀκούσητε φωνῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, ζαμβύκης τε καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ ἐγένετο ὅταν ἤκουσαν οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, ζαμβύκης τε, καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοὶ, φυλαὶ, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ἣν ἔστησεν Ναβουχοδονόσορ ὁ βασιλεύς· τότε προσήλθοσαν ἄνδρες χαλδαῖοι, καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ· βασιλεῦ εἰς τοὺς αἰῶνας ζῆθι· σὺ βασιλεῦ ἔθηκας δόγμα, πάντα ἄνθρωπον ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβήκης, καὶ ψαλτηρίου, καὶ παντὸς γένους μουσικῶν, καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην, εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδρὰχ, Μισὰχ, Αὐδεναγὼ, οἳ οὐχ ὑπήκουσαν βασιλεῦ τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας οὐ προσκυνοῦσι· τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδρὰχ, Μισὰχ, καὶ Αὐδεναγώ· καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως, καὶ ἀπεκρίθη Ναβουχοδονόσορ· καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς Σεδρὰχ, Μισὰχ, Αὐδεναγὼ, τοῖς θεοῖς μου οὐ λατρεύετε, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα οὐ προσκυνεῖτε; νῦν οὖν ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε, καὶ κιθάρας, σαμβήκης τε, καὶ ψαλτηρίου, καὶ συμφωνίας, καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· καὶ τίς ἐστι Θεὸς ὃς ἐξελεῖται ὑμᾶς ἐκ χειρός μου; καὶ ἀπεκρίθησαν Σεδρὰχ, Μισὰχ, Αὐδεναγὼ, λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ῥήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου βασιλεῦ ῥύσεται ἡμᾶς· καὶ ἐὰν μὴ, γνωστὸν ἔστω σοι βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι, ᾗ ἔστησας οὐ προσκυνοῦμεν· τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ· καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδρὰχ, Μισὰχ, καὶ Αὐδεναγὼ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ, καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ, εἶπε, πεδήσαντας τὸν Σεδρὰχ, Μισὰχ, καὶ Αὐδεναγὼ, ἐμβαλλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην· τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν, καὶ τιάραις, καὶ περικνημῖσιν, καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ῥῆμα τοῦ βασιλέως ὑπερίσχυεν, καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. καὶ οἱ τρεῖς οὗτοι Σεδρὰχ, Μισὰχ, καὶ Αὐδεναγὼ, ἔπεσον εἰς μέσον τῆς καμίνου τῆς καιομένης πεπεδημένοι, καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς, ὑμνοῦντες τὸν Θεὸν, καὶ εὐλογοῦντες τὸν Κύριον· καὶ συστὰς Ἀζαρίας προσηύξατο οὕτως· καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς, εἶπεν.

Εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας· ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας, καὶ πάντα τὰ ἔργα σου ἀληθινὰ, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια· καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν· καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ· ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα, διὰ τὰς ἁμαρτίας ἡμῶν· ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ, καὶ ἐξημάρτομεν ἐν πᾶσι, καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν, οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται· καὶ πάντα ὅσα ἐπήγαγες ἡμῖν, καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας· καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων καὶ ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν· καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα ἡμῶν, αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου, καὶ τοῖς σεβομένοις σε· μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου, καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου· καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ᾽ ἡμῶν, διὰ

Ἀβραὰμ

Digitized by Google

Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ. καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου, καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν, ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης· ὅτι δέσποτα ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη, καὶ ἐσμὲν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον, διὰ τὰς ἁμαρτίας ἡμῶν· καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις, οὐδὲ θυσία, οὐδὲ προσφορὰ, οὐδὲ θυμίαμα, οὐδὲ τόπος τοῦ καρπῶσαι ἐναντίον σου καὶ εὑρεῖν ἔλεος· ἀλλ' ἐν ψυχῇ συντετριμμένῃ, καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν, ὡς ἐν ὁλοκαυτώσει κριῶν καὶ ταύρων, καὶ ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον, καὶ ἐκτελέσαι ὄπισθέν σου· ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σοί· καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ, καὶ φοβούμεθά σε, καὶ ζητοῦμεν τὸ πρόσωπόν σου· μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ' ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου, καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου· καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου, καὶ δὸς δόξαν τῷ ὀνόματί σου Κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ, καὶ καταισχυνθείησαν ἀπὸ πάσης τῆς δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν, ὅτι σὺ εἶ Κύριος, Θεὸς μόνος, καὶ ἔνδοξος ἐφ' ὅλην τὴν οἰκουμένην. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως, καίοντες τὴν κάμινον νάφθαν καὶ πίσσαν, καὶ στυππεῖον καὶ κληματίδα· καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακοντα ἐννέα· καὶ διώδευσε καὶ ἐνεπύρισεν, οὓς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων· ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν εἰς τὴν κάμινον, καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου, καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου, ὡς πνεῦμα δρόσου διασυρίζον· καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ, καὶ οὐκ ἐλύπησεν, οὐδὲ παρηνώχλησεν αὐτοῖς· τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν, καὶ ἐδόξαζον, καὶ εὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ, λέγοντες· εὐλογητὸς εἶ Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς, καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον καὶ ὑπεραινετὸν, καὶ ὑπερυψούμενον εἰς πάντας τοὺς αἰῶνας· εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου, καὶ ὑπερυμνητὸς καὶ ὑπερένδοξος εἰς τοὺς αἰῶνας· εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους καθήμενος ἐπὶ χερουβὶμ, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· εὐλογημένος εἶ ἐπὶ θρόνου τῆς βασιλείας σου, καὶ ὑπερυμνητὸς καὶ ὑπερυψούμενος εἰς τοὺς αἰῶνας· εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, καὶ ὑμνητὸς καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας.

Ἀνιστάμεθα ἐνταῦθα, καὶ ψάλλομεν.

Τὸν Κύριον ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Ὁ δὲ ἀναγνώστης λέγει τοὺς στίχους.

Ὕμνος τῶν ἁγίων γ'. παίδων.

Εὐλογεῖτε πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε οὐρανοὶ τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἄγγελοι Κυρίου τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ὕδατα καὶ πάντα τὰ ὑπεράνω τοῦ οὐρανοῦ τὸν Κύριον.

Εὐλογεῖτε ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε.

Εὐλογεῖτε πᾶς ὄμβρος καὶ δρόσος· πάντα τὰ πνεύματα τὸν Κύριον, ὑμνεῖτε.

Εὐλογεῖτε πῦρ καὶ καῦμα, νύκτες καὶ ἡμέραι τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε.

Εὐλογεῖτε φῶς καὶ σκότος, ψύχος καὶ καύσων τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε ἡ γῆ, ὄρη καὶ βουνοὶ, πάντα τὰ φυόμενα ἐν τῇ γῇ Κύριον, ὑμνεῖτε.

Εὐλογεῖτε θάλασσαι, καὶ ποταμοὶ, αἱ πηγαὶ, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ πάντα καὶ θηρία, τὰ κτήνη τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς.

Εὐλογεῖτε υἱοὶ τῶν ἀνθρώπων, εὐλογεῖτε Ἰσραὴλ τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς.

Εὐλογεῖτε Ἱερεῖς, δοῦλοι τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε πνεύματα καὶ ψυχαὶ δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Εὐλογεῖτε Ἀνανία, Ἀζαρία, Μισαὴλ, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εὐλογεῖτε Ἀπόστολοι, προφῆται, καὶ μάρτυρες Κυρίου τὸν Κύριον, ὑμνεῖτε, καὶ ὑπερυψοῦτε.

Εὐλογοῦμεν Πατέρα, Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε.

Αἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν εἰς τοὺς αἰῶνας.

Εἶθ' οὕτως συναπτὴ μικρά. Ἀντὶ δὲ τοῦ τρισαγίου. Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Προκείμενον

Digitized by Google

νον ἦχος πλ. α΄. Ψαλμὸν τοῦ Δαβὶδ οὐ λέγομεν· ἀλλ᾽ εὐθὺς τὸ προκείμενον.

Πᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλλάτωσάν σοι.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Ὁ Ἀπόστολος. Πρὸς Ῥωμαίους.

Ἀδελφοί, ὅσοι ἐβαπτίσθημεν εἰς Χριστὸν Ἰησοῦν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν; συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον· ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρός, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν· εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα· τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς τῇ ἁμαρτίᾳ· ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας· εἰ δὲ ἀποθάνομεν σὺν Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ· εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει· θάνατος αὐτοῦ οὐκέτι κυριεύει· ὃ γὰρ ἀπέθανε τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφ᾽ ἅπαξ· ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ· οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Ἀλληλούϊα οὐ ψάλλεται, ἀλλ᾽ εὐθὺς ὁ ψάλτης χύμα τὸν στίχον.

Ἀνάστα ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

Καὶ ὁ ἀναγνώστης τὸν ψαλμὸν χύμα.

Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

Καὶ ὁ ψάλτης.

Ἀνάστα ὁ Θεός.

Ἕως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε.

Στίχ.

Κρίνατε ὀρφανῷ, καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

Στίχ.

Ἐξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

Στίχ.

Οὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται.

Στίχ.

Σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς, ἐγὼ εἶπα, Θεοί ἐστε, καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

Καὶ πάλιν.

Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν. Εὐαγγέλιον κατὰ Ματθαῖον. Ὀψὲ σαββάτου. Τέλος· ἕως τῆς συντελείας τοῦ αἰῶνος, ἀμήν. Καὶ καθ᾽ ἑξῆς ἡ θεία Λειτουργία τοῦ μεγάλου Βασιλείου. Ἀντὶ δὲ τοῦ χερουβικοῦ, εἰ θέλει, ψάλλεται τοῦτο τὸ παρὸν τροπάριον, ἦχος πλ. α΄.

Σιγησάτω πᾶσα σὰρξ βροτεία, καὶ στήτω μετὰ φόβου, καὶ τρόμου· καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω· ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων προσέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι εἰς βρῶσιν τοῖς πιστοῖς· προηγοῦνται δὲ τούτου οἱ χοροὶ τῶν Ἀγγέλων μετὰ πάσης ἀρχῆς, καὶ ἐξουσίας, τὰ πολυόμματα Χερουβίμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφὶμ τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον. Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα.

Κοινωνικόν· ἦχος δ΄.

Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σώζων ἡμᾶς.

Ἀλληλούϊα.

Μετὰ δὲ τὴν ἀπόλυσιν δίδοται τὸ κατακλαστὸν ὑπὸ τοῦ Ἱερέως, εἶθ᾽ οὕτω γίνεται ἡ εὐλόγησις τοῦ ἄρτου, καὶ τοῦ οἴνου. Ὀφείλει δὲ ἔχειν ἀκρίβειαν ὁ Ἐκκλησιάρχης, ἵνα, ὅταν ἀπολύσει ἡ Ἐκκλησία τῆς Λειτουργίας, ὑπάρχῃ ὥρα β΄. τῆς νυκτός. Μετὰ δὲ τὴν ἀπόλυσιν οὐκ ἐξερχόμεθα τῆς Ἐκκλησίας, ἀλλὰ καθήμεθα ἐν τοῖς τόποις ἡμῶν. Καὶ εἰσέρχεται ὁ κελλαρίτης, καὶ ἐπιδίδωσι τοῖς Ἀδελφοῖς ἀνάκλασμα τοῦ ἄρτου, καὶ ἀνὰ ἓξ ἰσχάδων, ἢ φοινίκων. Καὶ ἀπὸ ἑνὸς κερασοβολίου οἴνου. Ἡμῶν δὲ διακλυομένων, γίνεται ἀνάγνωσις μεγάλη εἰς τὰς πράξεις τῶν ἁγίων Ἀποστόλων. Μετὰ δὲ τὸ φθάσαι ἡμᾶς, ἅπτει ὁ κανδηλάπτης πάσας τὰς κανδήλας τοῦ Ναοῦ. Καὶ ἐξερχόμενος κρούει τὸ σήμαντρον· καὶ ἵσταται ὁ ἀναγινώσκων τὴν ἀνάγνωσιν. Εὐλογήσαντος δὲ τοῦ Ἱερέως, ἀρχομένου τοῦ τρισαγίου, καὶ τῶν λοιπῶν, **Δεῦτε προσκυνήσωμεν** γ΄. ὁ Ν΄. Καὶ ὁ κανὼν τοῦ μεγάλου σαββάτου. Λέγομεν τοὺς εἱρμοὺς ἀνὰ β΄. καὶ τὰ τροπάρια ἀνὰ δ΄. ἀπὸ γ΄. ᾠδῆς καθίσμ. τοῦ μεγάλου σαββάτου. Καὶ ἀνάγνωσις εἰς τὸν λόγον τοῦ ἁγίου Ἐπιφανίου. **Τί τοῦτο, σήμερον σιγὴ πολλή.** Ἢ ἐκ τῶν λόγων τοῦ Χρυσοστόμου· ζήτει αὐτοὺς εἰς τὸ τέλος τοῦ κατὰ Ματθαῖον, ἢ εἰς τὸν κατὰ Ἰωάννην λόγους ἀναστασίμους. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς ἀναγνώσεως ψάλλομεν τὰς ἑτέρας γ΄. ᾠδὰς ἀφ᾽ ἕκτης τὸ κοντάκιον τοῦ μεγάλου σαββάτου. Ὁμοίως καὶ τὸν οἶκον. Εἶθ᾽ οὕτως ἀνάγνωσις. Καὶ τὰς ἑτέρας λοιπὰς γ΄. ᾠδάς. Μετὰ δὲ τὴν ἐννάτην, τρισάγιον. Ἀπολυτίκιον, ἦχος β΄. **Ὅτε κατῆλθες.** Ἐκτενή, καὶ ἀπόλυσις.

Ὧδε κεῖνται τὰ φωταγωγικά, καὶ οἱ τριαδικοὶ ὕμνοι κατ᾽ ἦχον.

Ὕμνοι

Ὕμνοι τριαδικοί· ἦχος α΄.

Σωματικαῖς μορφώσεσι τῶν ἀσωμάτων δυνάμεων πρὸς νοερὰν, καὶ ἄϋλον ἀναγόμενοι ἔννοιαν, καὶ τρισαγίῳ μελῳδήματι τρισυποστάτου θεότητος δεχόμενοι ἔλλαμψιν, χερουβικῶς βοήσωμεν τῷ μόνῳ Θεῷ· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῶν ἀσωμάτων.

Μετὰ πασῶν τῶν οὐρανίων δυνάμεων χερουβικῶς τῷ ἐν ὑψίστοις βοήσωμεν· τὸν τρισάγιον ἀναπέμποντες αἶνον· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Ἐξεγερθέντες τοῦ ὕπνου προσπίπτομέν σοι, ἀγαθὲ, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι δυνατὲ, ἅγιος, ἅγιος, ἅγιος.

Τὸ φωταγωγικόν· ἦχος α΄.

Ὁ τὸ φῶς ἀνατέλλων, Κύριε, τὴν ψυχήν μου καθάρισον ἀπὸ πάσης ἁμαρτίας, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με.

Ὕμνοι τριαδικοί· ἦχος β΄.

Τὰς ἄνω δυνάμεις μιμούμενοι ἐπὶ γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι, ἀγαθὲ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῶν ἀσωμάτων.

Ἄκτιστε φύσις, ἡ τῶν ὅλων δημιουργὸς, τὰ χείλη ἡμῶν ἄνοιξον, ὅπως ἀναγγέλωμεν τὴν αἴνεσίν σου βοῶντες, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Τῆς κλίνης, καὶ τοῦ ὕπνου ἐξήγειράς με, Κύριε, τὸν νοῦν μου φώτισον, καὶ τὴν καρδίαν, καὶ τὰ χείλη μου ἄνοιξον εἰς τὸ ὑμνεῖν σε, ἁγία Τριὰς, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Τὸ φωταγωγικὸν, ἦχος β΄.

Τὸ φῶς σου τὸ ἀΐδιον ἐξαπόστειλον, Χριστὲ ὁ Θεὸς, καὶ φώτισον τὰ ὄμματα τὰ κρυπτὰ τῆς καρδίας μου, πρεσβείαις τῶν ἀσωμάτων.

Ὕμνοι τριαδικοί· ἦχος γ΄.

Τριὰς ὁμοούσιε, καὶ ἀδιαίρετε, μονὰς τρισυπόστατε, καὶ συναΐδιε, σοὶ ὡς Θεῷ τῶν Ἀγγέλων τὸν ὕμνον βοῶμεν· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Πατέρα ἄναρχον, Υἱὸν συνάναρχον, Πνεῦμα συναΐδιον, θεότητα μίαν χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Ἄθρόον ὁ κριτὴς ἐπελεύσεται, καὶ ἑκάστου αἱ πράξεις γυμνωθήσονται· ἀλλὰ φόβῳ κράζωμεν ἐν τῷ μέσῳ τῆς νυκτός· ἅγιος, ἅγιος, ἅγιος.

Τὸ φωταγωγικόν· ἦχος γ΄.

Ἐξαπόστειλον τὸ φῶς σου, Χριστὲ ὁ Θεὸς, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με.

Ὕμνοι τριαδικοί· ἦχος δ΄.

Τῶν νοερῶν σου λειτουργῶν προσφέρειν οἱ θνητοὶ τὸν ὕμνον, τολμῶντες λέγομεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῶν ἀσωμάτων.

Ὡς αἱ τάξεις νῦν τῶν Ἀγγέλων ἐν οὐρανῷ, καὶ στάσεις φόβῳ ἀνθρώπων ἐπὶ τῆς γῆς, ἐπινίκιον ὕμνον προσφέρομέν σοι ἀγαθὲ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Τὸν ἄναρχόν σου Πατέρα, καὶ σὲ Χριστὲ ὁ Θεὸς, καὶ τὸ πανάγιόν σου Πνεῦμα χερουβικῶς δοξολογεῖν τολμῶντες λέγομεν, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Τὸ φωταγωγικόν· ἦχος δ΄.

Ὁ τὸ φῶς ἀνατέλλων τῷ κόσμῳ σου, τὴν ἐν σκότει ψυχήν μου ὑπάρχουσαν ἀπὸ πάσης ἁμαρτίας καθάρισον πρεσβείαις τῶν ἀσωμάτων, καὶ σῶσόν με.

Ὕμνοι τριαδικοί· ἦχος πλ. α΄.

Ὑμνῳδίας ὁ καιρὸς, καὶ δεήσεως ὥρα, ἐκτενῶς βοήσωμεν τῷ μόνῳ Θεῷ· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, πρεσβείαις τῶν ἀσωμάτων.

Εἰκονίζειν τολμῶντες τὰ νοερά σου στρατεύματα, Τριὰς ἄναρχε, στόμασιν ἀναξίοις βοῶμεν· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Ὁ ἐν μήτρᾳ παρθενικῇ χωρηθεὶς, καὶ τῶν κόλπων τοῦ Πατρὸς μὴ χωρισθεὶς, σὺν Ἀγγέλοις καὶ ἡμᾶς Χριστὲ ὁ Θεὸς πρόσδεξαι, βοῶντάς σοι, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Τὸ φωταγωγικόν· ἦχος πλ. α΄.

Φωτοδότα Κύριε, ἐξαπόστειλον τὸ φῶς σου, καὶ φώτισον τὴν καρδίαν μου, πρεσβείαις τῶν ἀσωμάτων.

Ὕμνοι τριαδικοί· ἦχος πλ. β΄.

Παριστάμενα φόβῳ τὰ Χερουβὶμ, ἐξιστάμενα τρόμῳ τὰ Σεραφὶμ τὸν τρισάγιον ὕμνον προσφέρει ἀσιγήτῳ φωνῇ· μεθ' ὧν καὶ ἡμεῖς βοῶμεν οἱ ἁμαρτωλοὶ, ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεός.

Ἀσωμάτοις στόμασιν, ἀσιγήτοις δοξολογίαις τὰ ἑξαπτέρυγα ᾄδουσί σοι τὸν τρισάγιον ὕμνον, ὁ Θεὸς ἡμῶν· καὶ ἡμεῖς οἱ ἐπὶ γῆς ἀναξίοις χεί-

Digitized by Google

χείλεσιν αἶνον σοι ἀναπέμπομεν, ἅγιος, ἅγιος, ἅγιος.

Τριαδικῆς μονάδος Θεότητα ἀσυγχύτῳ ἑνώσει δοξάσωμεν, καὶ τῶν Ἀγγέλων τὸν ὕμνον βοήσωμεν· ἅγιος, ἅγιος, ἅγιος.

Τὸ φωταγωγικόν· ἦχος πλ. β'.

Προστασίαις, Κύριε, τῶν ἀσωμάτων κατάπεμψον ταῖς ψυχαῖς ἡμῶν τὸ φῶς σου τὸ ἄϊδιον.

Ὕμνοι τριαδικοί· ἦχος βαρύς.

Ὁ Ὑψίστῳ δυνάμει χερουβικῶς ἀνυμνούμενος, καὶ θεϊκῇ τῇ δόξῃ ἀγγελικῶς προσκυνούμενος, πρόσδεξαι καὶ ἡμᾶς, τοὺς ἐπὶ γῆς ἀναξίοις χείλεσιν αἶνόν σοι ἀναπέμποντας· ἅγιος, ἅγιος, ἅγιος.

Ὡς ὕπνον τὸν ὄκνον ἀποθεμένη ψυχή, διόρθωσιν πρὸς αἴνεσιν δεῖξον τῷ κριτῇ, καὶ ἐν φόβῳ βόησον· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν.

Τῇ Ἀπροσίτῳ θεότητι, τῇ ἐν μονάδι Τριάδι τῶν Σεραφὶμ τὸν τρισάγιον ἀναπέμποντες αἶνον, μετὰ φόβου βοήσωμεν, ἅγιος, ἅγιος, ἅγιος.

Τὸ φωταγωγικόν· ἦχος βαρύς.

Διέγειρόν με, Κύριε, πρὸς τὴν σὴν ὑμνῳδίαν, καὶ δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ἅγιε, πρεσβείαις τῆς Θεοτόκου, καὶ σῶσον ἡμᾶς.

Ὕμνοι τριαδικοί· ἦχος πλ. δ'.

Εἰς οὐρανὸν τὰς καρδίας ἔχοντες, ἀγγελικὴν μιμησώμεθα τάξιν· καὶ ἐν φόβῳ τῷ ἀδεκάστῳ προσπέσωμεν, ἐπινίκιον ἀνακράζοντες αἶνον· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, προστασίαις τῶν ἀσωμάτων καὶ σῶσόν με.

Ὁρᾶν σε μὴ τολμῶντα τὰ Χερουβίμ, ἱπτάμενα κραυγάζει ἀλαλαγμῷ τὸ ἔνθεον μέλος τῆς τρισαγίας φωνῆς· σὺν αὐτοῖς καὶ ἡμεῖς βοῶμέν σοι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, προστασίαις τῶν ἀσωμάτων καὶ σῶσόν με.

Κατακαμπτόμενοι τῷ πλήθει τῶν πταισμάτων ἡμῶν, καὶ μὴ τολμῶντες ἀτενίσαι τῷ ὕψει σου, τὴν ψυχὴν σὺν τῷ σώματι κλίναντες, μετὰ Ἀγγέλων τὸν ὕμνον βοῶμέν σοι· ἅγιος, ἅγιος, ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, προστασίαις.

Τὸ φωταγωγικόν· ἦχος πλ. δ'.

Φῶς ὑπάρχων, Χριστέ, φώτισόν με ἐν σοί, προστασίαις τῶν ἀσωμάτων καὶ σῶσόν με.

Ἰστέον, ὅτι ἐν τοῖς τριαδικοῖς, καὶ φωταγωγίοις λεγομένοις, ἐν μὲν τῇ β'. εἰς τὰ τέλη τούτων οὕτως, προστασίαις τῶν ἀσωμάτων· τῇ γ'. πρεσβείαις τοῦ Προδρόμου· τῇ δ'. Πρεσβείαις τῆς Θεοτόκου· τῇ ε'. πρεσβείαις τῶν Ἀποστόλων, καὶ τοῦ Ἱεράρχου· τῇ παρασκευῇ, δυνάμει τοῦ Σταυροῦ σου· τῷ σαββάτῳ. Πρεσβείαις τῶν Ἁγίων σου.

Στιχηρὰ κατανυκτικὰ σὺν τοῖς καθίσμασι, καὶ μαρτυρικοῖς κατ' ἦχον, ἅτινα ὀφείλει ψάλλεσθαι τῇ ἁγίᾳ, καὶ μεγάλῃ μ'. Τῇ κυριακῇ ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι'. Καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. Καὶ τοῦ Τριῳδίου γ'. Καὶ τοῦ Μηναίου γ'.

Στιχηρὰ κατανυκτικά· ἦχος α'.

Ὅτι τὸ πέλαγος πολὺ τῶν παραπτωμάτων μου, Σωτήρ, καὶ δεινῶς βεβύθισμαι ταῖς πλημμελείαις μου, δός μοι χεῖρα, σῶσόν με, ὡς τὸν Πέτρον, ὁ Θεός, καὶ ἐλέησόν με.

Ὅτι ἐννοίαις πονηραῖς, καὶ ἔργοις καταδεδίκασμαι, Σωτήρ, λογισμόν μοι δώρησαι ἐπιστροφῆς ὁ Θεός, ἵνα κράζω, σῶσόν με, εὐεργέτα ἀγαθέ, καὶ ἐλέησόν με.

Ἄλλος σε κόσμος, ψυχή, ἀναμένει, καὶ κριτὴς τὰ σὰ μέλλων δημοσιεύειν κρυπτά, καὶ δεινά· μὴ οὖν ἐμμείνῃς τοῖς ὧδε· ἀλλὰ πρόφθασον βοῶσα τῷ κριτῇ· ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Μὴ ἀποδοκιμάσῃς με, Σωτήρ μου, τῇ ῥαθυμίᾳ τῆς ἁμαρτίας συνεχόμενον, διέγειρόν μου τὸν λογισμὸν πρὸς μετάνοιαν, καὶ τοῦ σοῦ ἀμπελῶνος ἐργάτην δόκιμον ἀνάδειξόν με, δωρούμενός μοι τῆς ἑνδεκάτης ὥρας τὸν μισθόν, καὶ τὸ μέγα ἔλεος.

Τῇ δευτέρᾳ εἰς τὸν ὄρθρον, μετὰ τὴν α'. στιχολογ. καθίσ. κατανυκτικά, ἦχος α'.

Ἐν ἀνομίαις συλληφθεὶς ἐγὼ ὁ ἄσωτος, οὐ τολμῶ ἀτενίσαι εἰς τὸ ὕψος τοῦ οὐρανοῦ, ἀλλὰ θαρρῶν εἰς τὴν φιλανθρωπίαν σου κράζω, ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Εἰ ὁ δίκαιος μόλις σώζεται, ἐγὼ ποῦ φανοῦμαι ὁ ἁμαρτωλός; τὸ βάρος, καὶ τὸν καύσωνα τῆς ἡμέρας οὐκ ἐβάστασα, τοῖς μετὰ τὴν ἑνδεκάτην ὥραν συναρίθμησόν με ὁ Θεός, καὶ σῶσόν με.

Δόξα. Καὶ νῦν, Θεοτ.

Θαῦμα θαυμάτων, κεχαριτωμένη, ἐν σοὶ θεωροῦσα ἡ κτίσις ἀγάλλεται, συνέλαβες γὰρ ἀσπόρως, καὶ ἔτεκες ἀφράστως, ὃν ταξιαρχίαι Ἀγγέλων ὁρᾶν οὐ δεδύνηνται· αὐτόν, Θεοτόκε, ἱκέτευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν λέγεται τὸ Μαρτυρικόν, εἰ οὐκ ἔχει τὸ Μηναῖον κοντάκιον· εἰ δὲ ἔχει, λέγεται τοῦτο ὁμοῦ μετὰ τῶν καθισμάτων.

Ἀθλη-

Digitized by Google

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα οἱ ἔνδοξοι ἀθλοφόροι περιβέβληνταί σου, Κύριε· καρτερίᾳ γὰρ αἰκισμῶν τοὺς ἀνόμους ἐτροπώσαντο· καὶ δυνάμει θεϊκῇ ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν ὁ Θεὸς τὸ μέγα σου ἔλεος.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. κατανυκτικά· ἦχος α΄.

Ἀγκάλας πατρικὰς διανοῖξαί μοι σπεῦσον, ἀσώτως τὸν ἐμὸν κατηνάλωσα βίον· εἰς πλοῦτον ἀδαπάνητον ἀφορῶν τῶν οἰκτιρμῶν σου Σωτήρ, νῦν πτωχεύουσαν μὴ ὑπερίδῃς καρδίαν· σοὶ γάρ, Κύριε, ἐν κατανύξει κραυγάζω, ἥμαρτον εἰς τὸν οὐρανόν, καὶ ἐνώπιόν σου.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Τὸ βῆμά σου φρικτόν, καὶ ἡ κρίσις δικαία, τὰ ἔργα μου δεινά, ἀλλ᾽ αὐτὸς ἐλεήμων, προφθάσας με διάσωσον, καὶ κολάσεως λύτρωσαι· ῥῦσαι δέσποτα τῆς τῶν ἐρίφων μερίδος, καὶ ἀξίωσον ἐκ δεξιῶν σου με στῆναι, κριτὰ δικαιότατε.

Δόξα. Καὶ νῦν, Θεοτ.

Συλλαβοῦσα ἀφλέκτως τὸ πῦρ τῆς θεότητος, καὶ τεκοῦσα ἀσπόρως πηγὴν ζωῆς τὸν Κύριον, κεχαριτωμένη Θεοτόκε, περίσωζε τοὺς σὲ μεγαλύνοντας.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτ.

Ὡς καλοὶ στρατιῶται ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων μὴ πτοούμενοι, ἅγιοι προσήλθετε προθύμως τῷ Χριστῷ, ἀράμενοι τὸν τίμιον Σταυρόν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξασθε· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι᾽ ὑμῶν πᾶσιν ἰάματα.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. σταυρώσιμα ἦχος α΄.

Ὁρῶσά σε, Χριστέ, ἡ παναμώμος μήτηρ νεκρὸν ἐπὶ Σταυροῦ ἡπλωμένον, ἐβόα, Υἱέ μου συνάναρχε τῷ Πατρί, καὶ τῷ Πνεύματι, τίς ἡ ἄφατος οἰκονομία σου αὕτη, δι᾽ ἧς ἔσωσας τὸ τῶν χειρῶν σου, οἰκτίρμον, πλαστούργημα, δέσποτα;

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Τοῦ Σταυροῦ σου τὸ ξύλον προσκυνοῦμεν, φιλάνθρωπε, ὅτι ἐν αὐτῷ προσηλώθης ἡ ζωὴ τῶν ἁπάντων, Παράδεισον ἠνέῳξας Σωτὴρ τῷ πίστει προσελθόντι σοι λῃστῇ, καὶ τρυφῆς κατηξιώθη ὁμολογῶν σοι, μνήσθητί μου, Κύριε, δέξαι ὥσπερ ἐκεῖνον, καὶ ἡμᾶς κραυγάζοντας, ἡμάρτομεν πάντες, τῇ εὐσπλαγχνίᾳ σου μὴ ὑπερίδῃς ἡμᾶς.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Τὸν ἄρνα ἐπὶ ξύλου ἡ ἀμνὰς καθορῶσα μετὰ λῃστῶν μακροθύμως σταυρούμενόν σε, Λόγε, καὶ λόγχῃ κεντούμενον πλευράν, ἠλάλαζε βοῶσα μητρικῶς, τί τὸ ξένον, καὶ φρικῶδες, Υἱέ μου, μυστήριον; πῶς καλύπτει τάφος τὸν ἀπερίγραπτον Θεόν; ἄφραστον τὸ τελούμενον· μή με τὴν τεκοῦσαν ἐάσῃς, Υἱέ μου γλυκύτατε.

Εἰς τὴν ζ΄. Τὸ Μαρτυρικόν.

Τὰς ἀλγηδόνας τῶν ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, φιλάνθρωπε, δεόμεθα.

Τῇ ε΄. εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. Ἀποστολικά· ἦχος α΄.

Τῇ σαγήνῃ τοῦ λόγου τὰς πλοκὰς τῶν ῥητόρων οἱ ἁλιεῖς τῷ καλάμῳ τοῦ Σταυροῦ ἀναστρέψαντες, ἐφώτισαν τὰ ἔθνη εὐσεβῶς, δοξάζειν σε Θεὸν ἀληθινόν· διό σοι καὶ τὸν ὕμνον τῷ ἐνδυναμώσαντι αὐτοὺς βοῶμεν, δόξα τῷ Πατρί, καὶ τῷ υἱῷ, δόξα τῷ ὁμοουσίῳ Πνεύματι, δόξα τῷ δι᾽ αὐτῶν φωτίσαντι τὸν Κόσμον.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Οἱ σοφοὶ τῆς Οἰκουμένης ἁλιεῖς, ἐκ Θεοῦ λαβόντες τὸ συμπαθές, πρεσβεύσατε καὶ νῦν ὑπὲρ ἡμῶν τῶν βοώντων. Κύριε σῶσον τοὺς Βασιλεῖς, καὶ τὴν πόλιν σου, καὶ τῶν συνεχόντων δεινῶν ἐλευθέρωσον διὰ τῶν Ἀποστόλων τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν, Θεοτ.

Τὸν ἀμήτορα ἐν οὐρανῷ ὑπὲρ ἔννοιαν, καὶ ἀκολὼ ἐπὶ γῆς ἀπάτορα ἔτεκες, αὐτὸν Θεοτόκε ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Τοὺς μάρτυρας Χριστοῦ ἱκετεύσωμεν πάντες, αὐτοὶ γὰρ τὴν ἡμῶν σωτηρίαν αἰτοῦσι, καὶ πάντες προσέλθωμεν πρὸς αὐτοὺς μετὰ πίστεως· οὗτοι βρύουσι τῶν ἰαμάτων τὴν χάριν, οὗτοι φάλαγγας ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς πίστεως.

Τῇ παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. σταυρώσιμα· ἦχος α΄.

Σταυρωθέντος σου Χριστέ, ἀνῃρέθη ἡ τυραννίς, ἐπατήθη ἡ δύναμις τοῦ ἐχθροῦ· οὔτε γὰρ Ἄγγελος, οὐκ ἄνθρωπος, ἀλλ᾽ αὐτὸς ὁ Κύριος ἔσωσας ἡμᾶς· δόξα σοι.

Στίχ. Ὑψοῦτε Κύριον.

Τὸ ὅπλον τοῦ Σταυροῦ ἐν πολέμοις ἐδείχθη ποτὲ τῷ εὐσεβεῖ Βασιλεῖ Κωνσταντίνῳ ἀήττητον τρόπαιον κατ᾽ ἐχθρῶν διὰ πίστεως· τοῦτο τρέμουσι καὶ αἱ δυνάμεις τοῦ ᾅδου, τοῦτο γέγονε καὶ τῶν πιστῶν σωτηρία, καὶ Παύλου τὸ καύχημα.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Οἱ τὴν σὴν προστασίαν κεκτημένοι, Ἄχραντε, καὶ ταῖς σαῖς ἱκεσίαις τῶν δεινῶν λυτρούμενοι, τῷ Σταυρῷ τοῦ Υἱοῦ σου ἐν παντὶ φρουρούμενοι, κατὰ χρέος σε πάντες εὐσεβῶς μεγαλύνομεν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἀθλήσεως καύχημα, καὶ στεφάνων ἀξίωμα οἱ ἔνδοξοι ἀθλοφόροι περιβέβληνταί σε, Κύριε, καρτερίᾳ γὰρ αἰκισμῶν τοὺς ἀνόμους ἐτροπώσαντο, καὶ δυνάμει θεϊκῇ ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξαντο· αὐτῶν ταῖς ἱκεσίαις δώρησαι ἡμῖν ὁ Θεὸς τὸ μέγα σου ἔλεος.

Τῇ παρασκευῇ ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, τὸ ἰδιόμελον τῆς ἡμέρας δίς. Εἶτα τὰ παρόντα δ'. Μαρτυρικὰ τοῦ ἤχου· καὶ τοῦ Μηναίου δ'. ἦχος α'.

Τῇ πρεσβείᾳ, Κύριε, πάντων τῶν ἁγίων, καὶ τῆς Θεοτόκου τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος οἰκτίρμων.

Ἡ ἐν σταδίῳ ὑμῶν ὁμολογία, ἅγιοι, τῶν δαιμόνων κατέπληξε τὴν δύναμιν, καὶ τῆς πλάνης τοὺς ἀνθρώπους ἠλευθέρωσε· διὸ καὶ τὰς κεφαλὰς ἀποτεμνόμενοι ἐκράζετε, γενέσθω, Κύριε, ἡ θυσία τῶν ψυχῶν ἡμῶν εὐπρόσδεκτος ἐνώπιόν σου, ὅτι σὲ ποθήσαντες, κατεφρονήσαμεν τῆς προσκαίρου ζωῆς, φιλάνθρωπε.

Ὢ τῆς καλῆς ὑμῶν πραγματείας ἅγιοι, ὅτι αἵματα ἐδώκατε, καὶ οὐρανοὺς ἐκληρονομήσατε, καὶ πρὸς καιρὸν πειρασθέντες, αἰωνίως ἀγάλλεσθε· ὄντως καλὸν ὑμῶν τὸ ἐμπόρευμα· φθαρτὰ γὰρ καταλιπόντες, τὰ ἄφθαρτα ἀπελάβετε· καὶ σὺν Ἀγγέλοις χορεύοντες, ὑμνεῖτε ἀπαύστως Τριάδα ὁμοούσιον.

Πανεύφημοι μάρτυρες, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν· ἀλλ' οὐρανὸς ὑπεδέξατο· ἠνοίγησαν ὑμῖν Παραδείσου πύλαι· καὶ ἐντὸς γενόμενοι, τοῦ ξύλου τῆς ζωῆς ἀπολαύετε. Χριστῷ πρεσβεύσατε, δωρηθῆναι ταῖς ψυχαῖς ἡμῶν τὴν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Καὶ τοῦ Μηναίου δ'. Δόξα, τὸ νεκρώσιμον, Ἰωάννου μοναχοῦ· ἦχος α'.

Ποία τοῦ βίου τρυφὴ διαμένει λύπης ἀμέτοχος; ποία δόξα ἕστηκεν ἐπὶ γῆς ἀμετάθετος; πάντα σκιᾶς ἀσθενέστερα, πάντα ὀνείρων ἀπατηλότερα, μιᾷ ῥοπῇ καὶ ταῦτα πάντα θάνατος διαδέχεται· ἀλλ' ἐν τῷ φωτί, Χριστέ, τοῦ προσώπου σου, καὶ τῷ γλυκασμῷ τῆς σῆς ὡραιότητος, οὓς ἐξελέξω, ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν, τὸ α'. Θεοτ.

Τὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα· αὕτη γὰρ ἀνεδείχθη οὐρανός, καὶ ναὸς τῆς θεότητος· αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε· ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον· θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ· καὶ γὰρ αὐτὸς πολεμήσει τοὺς ἐχθρούς, ὡς παντοδύναμος.

Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὴν α'. στιχολ. καθίσ. Μαρτυρικά, ἦχος α'.

Ὡς καλοὶ στρατιῶται ὁμοφρόνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράννων μὴ πτοούμενοι ἅγιοι, προσήλθετε προθύμως τῷ Χριστῷ, ἀράμενοι τὸν τίμιον Σταυρόν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξασθε· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ ἐνεργοῦντι δι' ὑμῶν πᾶσιν ἰάματα.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

Τὰς ἀλγηδόνας τῶν ἁγίων, ἃς ὑπὲρ σοῦ ἔπαθον, δυσωπήθητι, Κύριε, καὶ πάσας ἡμῶν τὰς ὀδύνας ἴασαι, φιλάνθρωπε, δεόμεθα.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Τοὺς μάρτυρας Χριστοῦ ἱκετεύσωμεν πάντες· αὐτοὶ γὰρ τὴν ἡμῶν σωτηρίαν αἰτοῦνται· καὶ πάντες προσέλθωμεν πρὸς αὐτοὺς μετὰ πίστεως· οὗτοι βρύουσι τῶν ἰαμάτων τὴν χάριν· οὗτοι φάλαγγας ἀποσοβοῦσι δαιμόνων, ὡς φύλακες τῆς πίστεως.

Δόξα, τὸ νεκρώσιμον Ἰωάννου α'.

Ὁ σάρκα δι' ἡμᾶς ἐκ Παρθένου ἀτρέπτως, φορέσας ἐκ μήτρας ἐπ' ἐσχάτων τῶν χρόνων· καὶ γινώσκων, ὡς Κύριος, τὰ καθ' ἡμᾶς εὐόλισθον, ἄνες, οἰκτιρμὸν τοὺς μεταστάντας τοῦ βίου· σοὶ γάρ, δέσποτα, ψυχὰς ἀνέθεντο πίστει, τῷ μόνῳ Θεῷ ἡμῶν.

Θεοτοκίον.

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι, Παρθένε, τὸ χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων δεσπότης ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαβίδ, ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν κτίστην σου· δόξα τῷ ἐνοικήσαντι ἐν σοί, δόξα τῷ προελθόντι ἐκ σοῦ, δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς διὰ τοῦ τόκου σου.

Τῷ Σαββάτῳ εἰς τοὺς αἴνους στιχηρὰ Μαρτυρικά· ἱστῶμεν στίχ. δ'. ἦχος α'.

Τοὺς ἀθλοφόρους τοῦ Χριστοῦ δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς, τοὺς φωστῆρας τοῦ Κόσμου, καὶ κήρυκας τῆς πίστεως, τὴν πηγὴν τὴν ἀέναον, ἐξ ἧς ἀναβλύζει τοῖς πιστοῖς τὰ ἰάματα· αὐτῶν ταῖς ἱκεσίαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ Κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Οὗτοι οἱ στρατιῶται τοῦ Βασιλέως τοῦ μεγάλου ἀντέστησαν τοῖς δόγμασι τῶν τυράννων, γενναίως κατεφρόνησαν τῶν βασάνων, καὶ τὴν πλάνην πᾶσαν πατήσαντες, ἀξίως στεφανωθέντες, αἰτοῦνται παρὰ τοῦ Σωτῆρος, εἰρήνην, καὶ τὸ μέγα ἔλεος ταῖς ψυχαῖς ἡμῶν.

Ὑμᾶς, πανεύφημοι μάρτυρες, οὐ θλίψεις, οὐ στενοχωρία, οὐ λιμός, οὐδὲ μάστιγες, οὐ θυ-

μὸς

μοὺς θηρῶν, οὐ ξίφος, οὐδὲ πῦρ ἀπειλοῦν χωρίσαι Θεοῦ δεδύνηνται· πόθῳ δὲ μᾶλλον τῷ πρὸς αὐτὸν, ὡς ἐν ἀλλοτρίοις ἀγωνισάμενοι σώμασι, τὴν φύσιν ἐλάθετε, θανάτου καταφρονήσαντες· ὅθεν καὶ ἐπαξίως τὸν τῶν πόνων ὑμῶν μισθὸν ἐκομίσασθε, οὐρανῶν βασιλείας κληρονόμοι γεγόνατε· πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν, δεόμεθα.

Ἀγαλλιᾶσθε μάρτυρες ἐν Κυρίῳ, ὅτι τὸν ἀγῶνα τὸν καλὸν ἠγωνίσασθε· ἀντέστητε βασιλεῦσι, καὶ τυράννους ἐνικήσατε· πῦρ καὶ ξίφος οὐκ ἐπτοήθητε, θηρῶν ἀγρίων κατεσθιόντων τὰ σώματα ὑμῶν, Χριστῷ μετὰ Ἀγγέλων τὴν ὑμνῳδίαν ἀναπέμποντες, τοὺς ἀπ' οὐρανῶν στεφάνους ἐκομίσασθε· αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, τὸ νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Ἔργῳ Σωτὴρ μου δεικνὺς, ὅτι σὺ εἶ ἡ πάντων ἀνάστασις, λόγῳ Λόγε Λάζαρον ἐκ νεκρῶν ἐξανέστησας, τότε μοχλοὶ ἐσαλεύθησαν, πύλαι δὲ ᾅδου συνεταράχθησαν· τότε ὕπνος ὁ τῶν ἀνθρώπων θάνατος ἀπεδείκνυτο· ἀλλ' ὁ εἰς τὸ σῶσαι σου τὸ πλάσουργημα, καὶ οὐκ εἰς τὸ κρῖναι παραγινόμενος, οὓς ἐξελέξω, ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν, Θεοτοκίον.

Φαιδρύνεται, κόρη, Προφητῶν ὁ χορὸς τῷ τόκῳ σου, Πατριαρχῶν θεῖος σύλλογος, σεπτοὶ Ἀπόστολοι, καὶ Ἀρχιερέων, καὶ μαρτύρων σύστημα, ὁσίων καὶ δικαίων τὰ τάγματα, καὶ σὲ γινώσκουσιν ἀφορμὴν τῆς τούτων τάξεως, καὶ τιμῶσιν ὡς Θεοῦ γεννήτριαν.

Καὶ ἀποστίχου στιχη. νεκρώσιμα προσόμοια τοῦ Κυρίου Θεοφάνους· οὗ ἡ ἀκροστιχίς. Σοὺς, Χριστὲ, δούλους γράψον ἐν ζώντων βίβλῳ.

Ἦχος ά. Πανεύφημοι.

Σοῦ, Σῶτερ, δεόμεθα, τῆς σῆς γλυκείας μεθέξεως τοὺς μεταστάντας ἀνάπαυσον, καὶ κατασκήνωσον ἐν σκηναῖς δικαίων, ἐν μοναῖς ἁγίων σου, ἐν τοῖς ἐπουρανίοις σκηνώμασι, τῇ εὐσπλαγχνίᾳ σου παρορῶν τὰ παραπτώματα, καὶ παρέχων αὐτοῖς τὴν ἀνάπαυσιν.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω.

Οὐδεὶς ἀναμάρτητος, οὐδεὶς τῶν ἀνθρώπων γέγονεν, εἰμὴ σὺ μόνε ἀθάνατε· διὸ τοὺς δούλους σου, ὡς Θεὸς οἰκτίρμου, ἐν φωτὶ κατάταξον σὺν ταῖς χοροστασίαις Ἀγγέλων σου, τῇ εὐσπλαγχνίᾳ σου ὑπερβαίνων ἀνομήματα, καὶ παρέχων αὐτοῖς τὴν συγχώρησιν.

Στίχ. Καὶ τὸ μνημόσυνον.

Ὑπὲρ τὰ ὁρώμενα τὰ σὰ, Σῶτερ, ἐπαγγέλματα, ἃ ὀφθαλμὸς οὐ τεθέαται, καὶ οὓς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν οὐκ ἀνέβη, Δέσποτα, ὧν τῆς προσγενεστάτης μεθέξεως τυχεῖν εὐδόκη-σον τοὺς πρὸς σὲ μεταχωρήσαντας, καὶ παρέχων ζωὴν τὴν αἰώνιον.

Δόξα.

Σταυρῷ σου γηθόμενοι, Σταυρῷ θαρροῦντες οἱ δοῦλοί σου πρὸς σὲ μετέστησαν, Κύριε· οἷς νῦν ἀντίλυτρον τῶν αὐτῶν πταισμάτων, Σῶτερ, τὸν Σταυρόν σου δώρησαι, καὶ αἷμα τὸ χυθὲν ὑπὲρ Κόσμου ζωῆς, τῇ εὐσπλαγχνίᾳ σου συγχωρῶν τὰ πλημμελήματα, καὶ φωτίζων φωτὶ τοῦ προσώπου σου.

Καὶ νῦν, Θεοτοκίον.

Χριστὸν ἐκδυσώπησον τὸν σὸν τόκον, Μητροπάρθενε, τὴν τῶν πταισμάτων συγχώρησιν δοῦναι τοῖς δούλοις σου, τοῖς σε Θεοτόκον εὐσεβῶς κηρύξασι, καὶ λόγῳ ἀληθεῖ δογματίσασι, καὶ τῆς λαμπρότητος τῶν ἁγίων, καὶ φαιδρότητος ἀξιῶσαι ἐν τῇ βασιλείᾳ σου.

Τέλος τοῦ πρώτου ἤχου.

Τῇ κυριακῇ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν στιχη. κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. τοῦ Τριῳδίου γ'. Καὶ τοῦ Μηναίου γ'. στιχηρὰ Κατανυκτικά· ἦχος β'.

Ἥμαρτον εἰς σὲ, Σωτὴρ, ὡς ὁ ἄσωτος υἱὸς, δέξαι με, πάτερ, μετανοοῦντα, καὶ ἐλέησόν με ὁ Θεός.

Κράζω σοι, Χριστὲ Σωτὴρ, τοῦ Τελώνου τὴν φωνήν· ἱλάσθητί μοι, ὥσπερ ἐκείνῳ, καὶ ἐλέησόν με ὁ Θεός.

Τῶν πεπραγμένων μου δεινῶν ἐννοῶν τὰ ἄτοπα, ἐπὶ τοὺς σοὺς καταφεύγω οἰκτιρμοὺς, Τελώνην μιμούμενος, καὶ Πόρνην δακρύσασαν, καὶ τὸν Ἄσωτον υἱόν· διὸ καὶ προσπίπτω σοι, ἐλεῆμον, πρίν με καταδικάσῃς, φεῖσαί μου ὁ Θεὸς, καὶ ἐλέησόν με.

Τὰς ἀνομίας μου πάριδε, Κύριε, ὁ ἐκ Παρθένου τεχθεὶς, καὶ τὴν καρδίαν μου καθάρισον, ναὸν αὐτὴν ποιῶν τοῦ ἁγίου σου Πνεύματος, μή με ἐξουδενώσῃς ἀπὸ τοῦ σοῦ προσώπου, ὁ ἀμέτρητον ἔχων τὸ μέγα ἔλεος.

Τῇ δευτέρᾳ εἰς τὸν Ὄρθρον, μετὰ τὴν ά. στιχολ. καθίσ. κατανυκτικά· ἦχος β'.

Ὡς κύματα θαλάσσης ἐπ' ἐμὲ ἐπανέστησαν αἱ ἀνομίαι μου, ὡς σκάφος ἐν πελάγει ἐγὼ μόνος χειμάζομαι ὑπὸ πταισμάτων πολλῶν, ἀλλ' εἰς εὔδιον λιμένα ὁδήγησόν με, Κύριε, τῇ μετανοίᾳ, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Ἐγὼ ὑπάρχω τὸ δένδρον τὸ ἄκαρπον, Κύριε κατανύξεως καρπὸν μὴ φέρων τὸ σύνολον· καὶ τὴν ἐκκοπὴν πτοοῦμαι, καὶ τὸ πῦρ ἐκεῖνο δειλιῶ τὸ ἀκοίμητον· διό σε ἱκετεύω, πρὸ ἐκείνης τῆς ἀνάγκης ἐπίστρεψον, καὶ σῶσόν με.

Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Εὐσπλαγχνίας ὑπάρχουσα πηγὴ, συμπαθείας ἀξίωσον ἡμᾶς, πανύμνητε Θεοτόκε· βλέψον εἰς λαὸν τὸν ἁμαρτήσαντα· δεῖξον ὡς ἀεὶ τὴν δυναστείαν σου· εἰς σὲ γὰρ ἐλπίζοντες, τὸ χαῖρε βοῶμέν σοι, ὡς ποτὲ ὁ Γαβριὴλ, ὁ τῶν ἀσωμάτων Ἀρχιστράτηγος.

Εἰς τὴν ζ. ᾠδὴν τὸ Μαρτυρικόν.

Σὲ τὸν περιβάλλοντα τὸν οὐρανὸν ἐν νεφέλαις ἔχοντες οἱ ἅγιοι περιβολὴν ἐν τῷ Κόσμῳ· τὰς βασάνους τῶν ἀνόμων ὑπέμειναν, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήργησαν· αὐτῶν ταῖς ἱκεσίαις καὶ ἡμᾶς ἐλευθέρωσον τοῦ ἀοράτου ἐχθροῦ, Σωτὴρ, καὶ σῶσον ἡμᾶς.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον, μετὰ τὴν α. στιχολ. καθίσ. κατανυκτικά· ἦχος β'.

Ἐλέησόν με, εἶπεν ὁ Δαβὶδ, κἀγώ σοι κράζω, ἥμαρτον Σωτὴρ, τὰς ἐμὰς ἁμαρτίας ἐξαλείψας, ἐλέησόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ.

Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με, ἐπὶ δυσὶν ἁμαρτήμασιν, ὁ Δαβὶδ ἐθρήνει· ἐπὶ μυρίοις ἐγὼ πλημμελήμασι βοῶ σοι· ἐκεῖνος τὴν στρωμνὴν τοῖς δάκρυσιν ἔβρεχεν· ἐγὼ δὲ ῥανίδα μίαν οὐ κέκτημαι· ἀπέγνωσμαι, καὶ δέομαι, ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα σου ἔλεος.

Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Θεοτόκε μὴ παρίδῃς με δεόμενον ἀντιλήψεως τῆς ὑπὸ σοῦ· ἐπὶ σοὶ γὰρ πέποιθεν ἡ ψυχή μου, ἐλέησόν με.

Εἰς τὴν ζ. ᾠδὴν τὸ Μαρτυρικόν.

Ὁ φαιδρύνας τοὺς ἁγίους σου ὑπὲρ χρυσὸν, καὶ δοξάσας τοὺς ὁσίους σου, ὡς ἀγαθὸς, ὑπ' αὐτῶν δυσωπούμενος, Χριστὲ ὁ Θεὸς, τὴν ζωὴν ἡμῶν εἰρήνευσον, ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον ὡς θυμίαμα, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος.

Τῇ τετάρτῃ εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. σταυρώσιμα· ἦχος β'.

Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος, ὃν ἐδωρήσω ἡμῖν τοῖς ἀναξίοις, Κύριε, σοὶ προσάγομεν εἰς πρεσβείαν· σῶζε τοὺς Βασιλεῖς, καὶ τὰς πόλεις σου, ἱκετεύοντας διὰ τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὃν τρόπον ᾐχμαλώτευσεν ὁ ἐχθρὸς τὸν Ἀδὰμ διὰ ξύλου τῆς βρώσεως, Κύριε, ὡσαύτως ᾐχμαλώτευσας καὶ αὐτὸς τὸν ἐχθρὸν διὰ ξύλου Σταυροῦ, καὶ τοῦ πάθους σου· ἐν τούτῳ γὰρ παρεγένου ὁ δεύτερος Ἀδὰμ ἀναζητῆσαι τὸν πλανηθέντα, ζωοποιῆσαι τὸν νεκρωθέντα· ὁ Θεὸς δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Ἡ Παρθένος, καὶ μήτηρ σου, Χριστὲ, ἐπὶ ξύλου ὁρῶσά σε νεκρὸν ἡπλωμένον, κλαίουσα πικρῶς, υἱέ μου, ἔλεγε· τί τὸ φοβερὸν τοῦτο μυστήριον; ὁ πᾶσι δωρούμενος ζωὴν τὴν αἰώνιον ἑκουσίως ἐν Σταυρῷ πῶς θνήσκεις θάνατον ἐπονείδιστον;

Μαρτ.

Ἀθλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῦ αἵματος ὑμῶν· καὶ ἅγιαι αἱ σκηναὶ, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παρρησίας ἐκηρύξατε· αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Τῇ ε. εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσμ. Ἀποστολικά· ἦχος β'.

Ὁ σοφίσας ὑπὲρ ῥήτορας τοὺς ἁλιεῖς, καὶ ἐκπέμψας ὥσπερ κήρυκας πάσῃ τῇ γῇ τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεὸς, δι' αὐτῶν κραταίωσον τὴν Ἐκκλησίαν σου, καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος ἐλεήμων, καὶ φιλάνθρωπος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Σαγηνεύσαντες τὰ ἔθνη οἱ ἁλιεῖς, καὶ διδάξαντες τὰ πέρατα, σὲ προσκυνεῖν, τῇ ἀφάτῳ φιλανθρωπίᾳ σου, Χριστὲ ὁ Θεὸς, δι' αὐτῶν στερέωσον τὴν Ἐκκλησίαν σου, καὶ τοῖς πιστοῖς κατάπεμψον τὴν εὐλογίαν σου, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος.

Δόξα. Καὶ νῦν, Θεοτοκίον.

Σὲ μεγαλύνομεν, Θεοτόκε, βοῶντες, χαῖρε ἀδύτου φωτὸς νεφέλη, αὐτὸν βαστάσασα ἐν κόλποις τῆς δόξης τὸν Κύριον.

Καὶ τὸ Μαρτυρικὸν ἐν τῇ ζ.

Ἀπόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παρρησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Τῇ παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. σταυρώσιμα· ἦχος β'.

Τὴν ἄχραντον εἰκόνα σου προσκυνοῦμεν, ἀγαθὲ, αἰτούμενοι συγχώρησιν τῶν πταισμάτων ἡμῶν, Χριστὲ ὁ Θεός· βουλήσει γὰρ ηὐδόκησας ἀνελθεῖν ἐν τῷ Σταυρῷ, ἵνα ῥύσῃ οὓς ἔπλασας ἐκ τῆς δουλείας τοῦ ἐχθροῦ· ὅθεν εὐχαρίστως βοῶμέν σοι· χαρᾶς ἐπλήρωσας τὰ πάντα ὁ Σωτὴρ ἡμῶν παραγενόμενος εἰς τὸ σῶσαι τὸν Κόσμον.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς, Χριστὲ ὁ Θεὸς, ἐπὶ Σταυροῦ τὰς ἀχράντους σου χεῖρας ἐξέτεινας, ἐπισυνάγων πάντα τὰ ἔθνη κράζοντα, Κύριε δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Ὑπερδεδοξασμένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε· διὰ γὰρ τοῦ Σταυροῦ τοῦ

υἱοῦ

ὑπὸ σοῦ κατεβλήθη ὁ ᾅδης· καὶ ὁ θάνατος τέθνηκε· νεκρωθέντες ἀνέστημεν, καὶ ζωῆς ἠξιώθημεν· τὸν Παράδεισον ἐλάβομεν, τὴν ἀρχαίαν ἀπόλαυσιν· διὸ εὐχαρίστως δοξολογοῦμεν, ὡς κραταιὸν Χριστὸν τὸν Θεὸν ἡμῶν, καὶ μόνον πολυέλεον.

Εἰς τὴν ζʹ. ᾠδὴν τὸ Μαρτυρικόν.

ἘΠὶ τὴν πέτραν τὴν ἀσάλευτον θεμελιώσαντες οἱ ἅγιοι, κατὰ τῶν τυράννων κραταιῶς ἠνδρείσαντο· καὶ διὰ βασάνων τῶν στεφάνων ἔτυχον· δι᾽ αὐτῶν ὁ Θεὸς σῶσον ἡμᾶς.

Τῇ Παρασκευῇ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, τὸ ἰδιόμελον τῆς ἡμέρας δίς. Εἶτα τὰ παρόντα δʹ. Μαρτυρικὰ τοῦ ἤχου· καὶ τοῦ Μηναίου δʹ. ἦχος βʹ.

ΟἹ τὴν ἐπίγειον ἀπόλαυσιν μὴ ποθήσαντες ἀθλοφόροι, οὐρανίων ἀγαθῶν ἠξιώθησαν, καὶ Ἀγγέλων συμπολῖται γεγόνασι. Κύριε, πρεσβείαις αὐτῶν ἐλέησον, καὶ σῶσον ἡμᾶς.

ΤΩν ἁγίων μαρτύρων πρεσβευόντων ὑπὲρ ἡμῶν, καὶ τὸν Χριστὸν ὑμνούντων πᾶσα πλάνη πέπαυται, καὶ τῶν ἀνθρώπων τὸ γένος πίστει διασώζεται.

ΧΟροὶ μαρτύρων ἀντέστησαν, τοῖς τυράννοις λέγοντες· ἡμεῖς στρατευόμεθα τῷ Βασιλεῖ τῶν δυνάμεων· εἰ καὶ πυρὶ, καὶ βασάνοις ἀναλώσετε ἡμᾶς, οὐκ ἀρνούμεθα τῆς Τριάδος τὴν δύναμιν.

ΜΕγάλη ἡ δόξα, ἣν ἐκτήσασθε ἅγιοι διὰ τῆς πίστεως· οὐ μόνον γὰρ ἐν τῷ πάσχειν τὸν ἐχθρὸν ἐνικήσατε· ἀλλὰ καὶ μετὰ θάνατον πνεύματα ἀπελαύνετε, ἀσθενοῦντας θεραπεύετε, ψυχῶν, καὶ σωμάτων ἰατροὶ, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

ΟἼμοι οἷον ἀγῶνα ἔχει ἡ ψυχὴ χωριζομένη ἐκ τοῦ σώματος· οἴμοι τότε πόσα δακρύει, καὶ οὐχ ὑπάρχει ὁ ἐλεῶν αὐτήν· πρὸς τοὺς Ἀγγέλους τὰ ὄμματα ῥέπουσα ἄπρακτα καθικετεύει· πρὸς τοὺς ἀνθρώπους τὰς χεῖρας ἐκτείνουσα οὐκ ἔχει τὸν βοηθοῦντα· διὸ ἀγαπητοί μου ἀδελφοὶ ἐννοήσαντες ἡμῶν τὸ βραχὺ τῆς ζωῆς, τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν παρὰ Χριστοῦ αἰτησώμεθα, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Καὶ νῦν, τὸ αʹ. Θεοτοκίον.

ΠΑρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθένος ἔτεκε, καὶ Παρθένος ἔμεινεν· ἀντὶ στύλου πυρὸς δικαιοσύνης ἀνέτειλεν ἥλιος, ἀντὶ Μωϋσέως Χριστὸς, ἡ Σωτηρία τῶν ψυχῶν ἡμῶν.

Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον μετὰ τὴν αʹ. στιχολ. καθίσ. Μαρτυρικὰ, ἦχος βʹ.

Ὁ Φαιδρύνας τοὺς ἁγίους σου ὑπὲρ χρυσὸν, καὶ δοξάσας τοὺς ὁσίους σου, ὡς ἀγαθός· ὑπ᾽ αὐτῶν δυσωπούμενος, Χριστὲ ὁ Θεὸς, τὴν ζωὴν ἡμῶν εἰρήνευσον, ὡς φιλάνθρωπος, καὶ τὴν εὐχὴν κατεύθυνον, ὡς θυμίαμα, ὁ μόνος ἐν ἁγίοις ἀναπαυόμενος.

Στίχ. Θαυμαστὸς ὁ Θεός.

ἈΘλοφόροι Κυρίου, μακαρία ἡ γῆ, ἡ πιανθεῖσα τοῦ αἵματος ὑμῶν· καὶ ἅγιαι αἱ σκηναὶ, αἱ δεξάμεναι τὰ σώματα ὑμῶν· ἐν σταδίῳ γὰρ τὸν ἐχθρὸν ἐθριαμβεύσατε, καὶ Χριστὸν μετὰ παῤῥησίας ἐκηρύξατε· αὐτὸν ὡς ἀγαθὸν ἱκετεύσατε, σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

ἈΠόστολοι, Μάρτυρες, καὶ Προφῆται, Ἱεράρχαι, Ὅσιοι, καὶ Δίκαιοι, οἱ καλῶς τὸν ἀγῶνα τελέσαντες, καὶ τὴν πίστιν τηρήσαντες, παῤῥησίαν ἔχοντες πρὸς τὸν Σωτῆρα, ὑπὲρ ἡμῶν αὐτὸν, ὡς ἀγαθὸν, ἱκετεύσατε, σωθῆναι, δεόμεθα, τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ Νεκρώσιμον.

ἩΜνήμη τῶν κεκοιμημένων, Κύριε, εἰς μνείαν τῶν προσδοκουμένων ἄγει με, καὶ καθορῶν μου τὴν καταδίκην, προσφέρω τὴν ἐκ βασάνων φωνὴν, ἐλεῆμον ἐλέησόν με.

Καὶ νῦν, Θεοτοκίον.

ΜΉτηρ ἁγία, ἡ τοῦ ἀῤῥήτου φωτὸς, ἀγγελικοῖς σε ὕμνοις τιμῶντες μεγαλύνομεν.

Εἰς τοὺς αἴνους στιχη. μαρτυρικὰ· ἱστῶμεν στίχ. δʹ. ἦχος βʹ.

ὙΠὲρ Χριστοῦ παθόντες μέχρι θανάτου, ὦ ἀθλοφόροι Μάρτυρες, ψυχὰς μὲν ἔχετε εἰς οὐρανοὺς ἐν χειρὶ Θεοῦ, καὶ κατὰ Κόσμον ὅλον δορυφορεῖται ὑμῶν τὰ λείψανα. Ἱερεῖς, καὶ Βασιλεῖς προσκυνοῦσι, καὶ λαοὶ πάντες ἐπαγαλλόμενοι, συνήθως βοῶμεν· ὕπνος τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τῶν ὁσίων αὐτοῦ.

ΤὈν Σταυρὸν τοῦ Χριστοῦ λαβόντες οἱ ἅγιοι Μάρτυρες ὅπλον ἀκαταγώνιστον, πᾶσαν τοῦ διαβόλου τὴν ἰσχὺν κατήργησαν, καὶ λαβόντες στέφος οὐράνιον, τεῖχος ἡμῖν γεγόνασιν, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύοντες.

ΤΩν ἁγίων σου τὰ πλήθη δυσωποῦσί σε, Χριστὲ, ἐλέησον ἡμᾶς, ὡς φιλάνθρωπος.

ΠἈσα πόλις, καὶ χώρα τιμᾷ ὑμῶν τὰ λείψανα, ὦ ἀθλοφόροι Μάρτυρες· ὑμεῖς γὰρ νομίμως ἀθλήσαντες, στέφανον οὐράνιον ἐλάβετε, καὶ διὰ τοῦτο Ἱερέων ἐστὶ τὸ καύχημα, Βασιλέων τὸ νῖκος, Ἐκκλησιῶν ἡ εὐπρέπεια.

Δόξα, τὸ Νεκρώσιμον Τοῦ Κυρίου Ἰωάννου τοῦ Δαμασκηνοῦ.

ἘΚ γῆς πλαστουργήσας με, εἰς γῆν πάλιν πορεύεσθαι τῇ παραβάσει με κατέκρινας, ἔστησας ἡμέραν ἐτάσεως, ἐν ᾗ τὰ κρυπτὰ τῆς ἑκάστου πράξεως φανερὰ παρίστανται ἐνώπιόν σου, τότε φεῖσαί μου, ἀναμάρτητε, καὶ τῶν ἐσφαλμένων μοι συγχώρησιν διδοὺς, τῆς βασιλείας σου μὴ χωρίσῃς με.

Καὶ

Καὶ νῦν, Θεοτόκιον.

Χαῖρε Μαρία Θεοτόκε, ὁ ναὸς ὁ ἀκατάλυτος, μᾶλλον δὲ ὁ ἅγιος, καθὼς βοᾷ ὁ Προφήτης, ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Εἰς τὸν στίχ. τοῦ Κυρίου Θεοφάνους· ἦχος β'.

Ὅτε ἐκ τοῦ ξύλου.

Ῥύμην τοῦ θανάτου, καὶ φθορὰν σοῦ τῷ ζωηφόρῳ θανάτῳ καθεῖλες, Δέσποτα· πᾶσι δὲ ἐπήγασας ζωὴν αἰώνιον, καὶ νεκροῖς ἐξανάστασιν, θνητοῖς ἐδωρήσω· ὅθεν σου δεόμεθα, Σῶτερ, ἀνάπαυσον πίστει τοὺς πρὸς σὲ μεταστάντας, καὶ τῆς ἀκηράτου σου δόξης τούτους καταξίωσον, φιλάνθρωπε.

Στίχ. Μακάριοι οὓς.

Ἵνα τοὺς ἀνθρώπους κοινωνοὺς θείας βασιλείας ἐργάσῃ, Σταυρὸν ὑπέμεινας, θάνατον ἑκούσιον καταδεξάμενος, διατοῦτο δεόμεθα, τῇ σῇ εὐσπλαγχνίᾳ μετόχους ἀνάδειξον τῆς βασιλείας σου πίστει τοὺς πρὸς σὲ μεταστάντας, καὶ τῆς ἀϊδίου σου δόξης, καὶ μακαριότητος ἀξίωσον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτοῦ.

Σῶσαι τὸ σὸν πλάσμα βουληθεὶς τῆς οἰκονομίας, τὸ ὄντως βαθὺ μυστήριον χαίρων ἐξετέλεσας, ὡς ὑπεράγαθος, καὶ τιμῆς ἐξηγόρασας τὸν σύμπαντα Κόσμον αἵματι τιμίῳ σου· διὸ δεόμεθα, πίστει τοὺς πρὸς σὲ μεταστάντας, καὶ τοῦ γλυκυτάτου σου κάλλους τούτους καταξίωσον φιλάνθρωπε.

Δόξα.

Τρόμῳ τῷ φρικτῷ, καὶ φοβερῷ βήματι τῷ σῷ παρεστῶτες οἱ ἀπ' αἰῶνος νεκροὶ, ψῆφον ἀναμένουσι τὴν σὴν δικαίαν, Σῶτερ, καὶ τὴν θείαν ἐκδέχονται δικαιοκρισίαν, τότε φεῖσαι, Δέσποτα Σῶτερ, τῶν δούλων σου, πίστει τοὺς πρὸς σὲ μεταστάντας καὶ τῆς ἀϊδίου τρυφῆς σου, καὶ μακαριότητος ἀξίωσον.

Θεοτόκιον.

Εὔας τῆς προμήτορος, ἁγνὴ, σὺ τὴν ὀφειλὴν, συλλαβοῦσα Θεὸν, ἀπήτησας, τὸν τὴν ἀφθαρσίαν τε, καὶ τὴν ἀνάστασιν τοῖς πιστοῖς χαριζόμενον, καὶ τῇ ἀθανάτῳ δόξῃ στεφανώσαντα τοὺς σὲ δοξάζοντας· ὃν νῦν δυσωποῦσα μὴ παύσῃ, τούτους ἐν φωτὶ κατατάξαι τῆς αὐτοῦ λαμπρότητος, Θεόνυμφε.

Τέλος τοῦ δευτέρου ἤχου.

Τῇ κυριακῇ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχη. κατανυκτικὰ δ'. τοῦ Τριῳδίου γ'. καὶ τοῦ Μηναίου γ'.

Στιχη. κατανυκτικά· ἦχος γ'.

Ἑσπερινὸν ὕμνον προσφέρομέν σοι, Χριστὲ, μετὰ θυμιάματος, καὶ ᾠδῶν πνευματικῶν· ἐλέησον, Σῶτερ, τὰς ψυχὰς ἡμῶν.

Σῶσόν με, Κύριε ὁ Θεός μου, σὺ γὰρ πάντων ἡ Σωτηρία· ὁ κλύδων με τῶν παθῶν ἐκταράττει, καὶ τὸ βάρος τῶν ἀνομιῶν με βυθίζει· δός μοι χεῖρα βοηθείας, καὶ πρὸς φῶς ἀνάγαγέ με κατανύξεως, ὡς μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

Τὸν διεσπαρμένον μου νοῦν συνάγαγε, Κύριε, καὶ τὴν χερσωθεῖσαν μου καρδίαν καθάρισον, ὡς τῷ Πέτρῳ δίδους μοι μετάνοιαν, ὡς τῷ Τελώνῃ στεναγμὸν, καὶ ὡς τῇ Πόρνῃ δάκρυα, ἵνα μεγάλῃ τῇ φωνῇ κραυγάζω σοι· ὁ Θεὸς σῶσόν με, ὡς μόνος εὔσπλαγχνος, καὶ φιλάνθρωπος.

Πολλάκις τὴν ὑμνῳδίαν ἐκτελῶν, εὑρέθην τὴν ἁμαρτίαν ἐκπληρῶν, τῇ μὲν γλώττῃ ᾄσματα φθεγγόμενος, τῇ δὲ ψυχῇ ἄτοπα λογιζόμενος· ἀλλ' ἑκάτερα διόρθωσον, Χριστὲ ὁ Θεὸς, διὰ τῆς μετανοίας, καὶ ἐλέησόν με.

Τῇ δευτέρα εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά· ἦχ. γ'.

Ἐπὶ τῆς δίκης τῆς φοβερᾶς ἄνευ κατηγόρων ἐλέγχομαι, ἄνευ μαρτύρων κατακρίνομαι, αἱ γὰρ βίβλοι τοῦ συνειδότος ἀναπτύσσονται, καὶ τὰ ἔργα τὰ κεκρυμμένα ἀνακαλύπτονται· πρὶν οὖν ἐν ἐκείνῳ τῷ πανδήμῳ θεάτρῳ μέλλεις ἐρευνῆσαι τὰ ἐμοὶ πεπραγμένα, ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου ἐλέγξῃς.

Ἕως πότε ψυχή μου ἐπιμένεις τοῖς πταίσμασιν; ἕως τίνος λαμβάνεις μετανοίας ὑπέρθεσιν; λάβε κατὰ νοῦν τὴν κρίσιν τὴν μέλλουσαν, βόησον Κυρίῳ, ἥμαρτον, ἀναμάρτητε Κύριε σῶσόν με.

Δόξα. Καὶ νῦν, Θεοτόκιον.

Ἕκαστος ὅπου σώζεται, ἐκεῖ δικαίως καὶ προστρέχει· καὶ ποία ἄλλη τοιαύτη καταφυγὴ, ὡς ἡ σὴ, Θεοτόκε, σκέπουσα τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν ζ'. τὸ Μαρτυρικόν.

Τίς μὴ θαυμάσει τῶν ἁγίων Μαρτύρων τοὺς ἀηττήτους ἀγῶνας; τίς μὴ ἐκπλαγῇ τὰ τούτων ἀεὶ κατορθώματα· ὅτι ἐν πυρὶ, καὶ μάστιξι, θηρσί τε, καὶ σφαγαῖς τὸν ἀντίδικον ἐχθρὸν ἐτροπώσαντο, Βασιλέων κολακείας βδελυξάμενοι, καὶ τυράννων ἀπειλὰς ἀποσεισάμενοι· διὸ καὶ τοὺς στεφάνους ἐκομίσαντο παρὰ Χριστοῦ τοῦ Θεοῦ, τοῦ παρέχοντος τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά· ἦχος γ'.

Παροικοῦσα ἐν τῇ γῇ, ψυχή μου, μετανόησον, χοῦς ἐν τάφῳ οὐχ ὑμνεῖ, πταισμάτων οὐ λυτροῦται· βόησον Χριστῷ τῷ Θεῷ, καρδιογνῶστα, ἥμαρτον, πρὶν καταδικάσῃς με, ἐλέησόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ.

Ἐν τῇ ὥρᾳ τῆς προσευχῆς μετάνοιαν ἐπαγγέλλομαι, καὶ ὁ ἐχθρὸς ἐπιμελῶς ἁμαρτάνειν ἐμβάλ-

ἐμβάλλει μοι ἄτοπα· ἀλλ᾽ ἐξ αὐτοῦ ῥῦσαι ὁ Θεός, καὶ ἐλέησόν με.

Δόξα. Καὶ νῦν, Θεοτ.

Καταφυγὴ, καὶ δύναμις ἡμῶν Θεοτόκε, ἡ κραταιὰ βοήθεια τοῦ Κόσμου, ταῖς πρεσβείαις σου σῶζε τοὺς δούλους σου ἀπὸ πάσης ἀνάγκης, μόνη εὐλογημένη.

Καὶ ἐν τῇ ζ. ᾠδῇ τὸ Μαρτυρικόν.

Τὸ ἔμψυχον τῆς καρτερίας ὑμῶν ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, ἀθλοφόροι πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος· ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ τοῦ φιλοχρίστου λαοῦ σῶσαι τὸ ποίμνιον, μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Τῇ τετάρτῃ εἰς τὸν Ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. σταυρώσιμα· ἦχος γ'.

Τὸ ἀναρίθμητον τῆς ἐξουσίας σου, καὶ τὸ ἑκούσιον τὸ τῆς σταυρώσεως αἱ τῶν Ἀγγέλων στρατιαὶ ἐξίσταντο καθορῶσαι, πῶς ὁ ἀθεώρητος ἐν σαρκὶ ἐμαστίζετο, θέλων ἐκλυτρώσασθαι ἐκ φθορᾶς τὸ ἀνθρώπινον· διὸ ὡς ζωοδότῃ βοῶμέν σοι, δόξα, Χριστὲ, τῇ βασιλείᾳ σου.

Στίχ. Ὑψοῦτε Κύριον.

Σταυρὸς ἐπάγη ἐπὶ γῆς, καὶ ἥψατο τῶν οὐρανῶν· οὐχ ὡς τοῦ ξύλου φθάσαντος τὸ ὕψος, ἀλλὰ σοῦ τοῦ ἐν αὐτῷ πληροῦντος τὰ σύμπαντα, δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Ῥάβδον δυνάμεως κεκτημένοι τὸν Σταυρὸν τοῦ υἱοῦ σου, Θεοτόκε, ἐν αὐτῷ καταβάλλομεν τῶν ἐχθρῶν τὰ φρυάγματα οἱ πόθῳ σε ἀπαύστως μεγαλύνοντες.

Εἰς τὴν ζ. ᾠδὴν τὸ Μαρτυρικόν.

Τῶν ἀθλοφόρων σου τὴν μνήμην, Κύριε, ὑπερεφαίδρυνας ὡς παντοδύναμος· ὅτι ἐνίσχυσας αὐτοὺς τὰ πάθη σου μιμήσασθαι· ἐνίκησαν γὰρ ἀνδρείως τοῦ Βελίαρ τὴν δύναμιν· ὅθεν καὶ ἀπέλαβον ἰαμάτων χαρίσματα· αὐτῶν ταῖς ἱκεσίαις, φιλάνθρωπε, εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Τῇ ε. εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ.

Ἀποστολικά· ἦχος γ'.

Θεῖοι κήρυκες τῆς ἀληθείας, καὶ διδάσκαλοι τῆς Ἐκκλησίας ἀνεδείχθητε αὐτόπται Ἀπόστολοι· τῶν γὰρ εἰδώλων τὴν πλάνην πατήσαντες, καὶ τὴν Τριάδα τρανῶς ἐκηρύξατε, ἣν πρεσβεύσατε, μακάριοι, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Δεῦτε ἅπαντες τοὺς Ἀποστόλους ἀνυμνήσωμεν ὡς κυβερνήτας· τῶν εἰδώλων γὰρ τὴν πλάνην ἐδίωξαν, καὶ πρὸς τὸ φῶς τῆς ζωῆς ἐπανήγαγον, καὶ τὴν Τριάδα δοξάζειν ἐδίδαξαν· ὅθεν ἅπαντες αὐτῶν τὴν σεβάσμιον μνήμην τελοῦντες οἱ πιστοὶ, τὸν Σωτῆρα δοξάζομεν,

Δόξα. Καὶ νῦν, Θεοτ.

Ὡς ἀγεώργητος, Παρθένε, ἄμπελος τὸν ὡραιότατον βότρυν ἐβλάστησας, ἀναπηγάζοντα ἡμῖν τὸν οἶνον τὸν σωτήριον, τὸν πάντας εὐφραίνοντα· ὅθεν ὡς αἰτίαν σε τῶν καλῶν μακαρίζοντες, ἀεὶ σὺν τῷ Ἀγγέλῳ βοῶμέν σοι, χαῖρε ἡ κεχαριτωμένη.

Τὸ Μαρτυρικὸν ἐν τῇ ζ. ᾠδῇ.

Θωρακισάμενοι τὴν πανοπλίαν Χριστοῦ, καὶ ἐνδυσάμενοι ὅπλα τῆς πίστεως, τὰς παρατάξεις τοῦ ἐχθροῦ ἀθλητικῶς κατεβάλλετε· προθύμως γὰρ τῇ ἐλπίδι τῆς ζωῆς ὑπεμείνατε πάσας τὰς τῶν τυράννων ἀπειλάς τε, καὶ μάστιγας· διὸ καὶ τοὺς στεφάνους ἐδέξασθε, Μάρτυρες Χριστοῦ καρτερόψυχοι.

Τῇ παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. σταυρώσιμα, ἦχος γ'.

Σταυρὸν, καὶ θάνατον παθεῖν ἑλόμενος, μέσον τῆς κτίσεως τοῦτον κατέπηξας, ὅτε εὐδόκησας, Σωτὴρ, τὸ σῶμά σου προσηλωθῆναι, τότε καὶ ὁ ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψε· ταῦτα καὶ λῃστὴς ὁρῶν, Θεόν σε ὡμολόγησε, βοῶν σοι, μνήσθητί μου, Κύριε, καὶ ἔλαβε πιστεύσας τὸν Παράδεισον.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ἐν κυπαρίσσῳ, καὶ πεύκῃ, καὶ κέδρῳ ὑψώθης ὁ ἀμνὸς τοῦ Θεοῦ, ἵνα σώσῃς τοὺς ἐν πίστει προσκυνοῦντας τὴν ἑκούσιόν σου σταύρωσιν, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Τὸν ἐπονείδιστον, οἰκτίρμον, θάνατον διὰ σταυρώσεως ἑκὼν ὑπέμεινας, ὃν ἡ τεκοῦσά σε, Χριστὲ, ὁρῶσα ἐτιτρώσκετο· ἧς ταῖς παρακλήσεσι διὰ σπλάγχνα ἐλέους σου, μόνε ὑπεράγαθε, καὶ φιλάνθρωπε Κύριε, οἰκτείρησον, καὶ σῶσον τὸν Κόσμον, ὁ αἴρων τὴν τούτου ἁμαρτίαν.

Εἰς τὴν ζ. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἐκλάμπετε διὰ τῆς πίστεως ὑπέρλαμπροι φωστῆρες, ἅγιοι, θεοσεβείας ἰατροὶ, ἀθλοφόροι πανεύφημοι· τῶν τυράννων γὰρ τοὺς αἰκισμοὺς μὴ δειλανδρίσαντες, καὶ τῶν εἰδώλων τὰς δυσφημίας κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον τὸν Σταυρὸν τῆς ἀληθείας.

Τῇ Παρασκευῇ ἑσπέρας μετὰ τὸ ἰδιόμ. τῆς ἡμέρας δὶς τὰ παρόντα δ'. Μαρτυρικὰ, καὶ τοῦ Μηναίου δ'. στιχηρὰ Μαρτυρικὰ τῆς Ὀκτωήχου· ἦχος γ'.

Μεγάλη τῶν μαρτύρων σου, Χριστὲ, ἡ δύναμις· ἐν μνήμασι γὰρ κεῖνται, καὶ πνεύματα διώκουσι· καὶ κατήργησαν ἐχθροῦ τὴν ἐξουσίαν, τῇ πίστει τῆς Τριάδος ἀγωνισάμενοι ὑπὲρ τῆς εὐσεβείας.

Προφῆται, καὶ Ἀπόστολοι Χριστοῦ, καὶ Μάρτυρες ἐδίδαξαν, ὑμνεῖσθαι Τριάδα ὁμοούσιον· καὶ ἐφώτισαν τὰ ἔθνη τὰ πεπλανημένα, καὶ κοινω-



Digitized by Google

νὰς Ἀγγέλων ἐποίησαν τοὺς υἱοὺς τῶν ἀνθρώπων.

ΟἹ μάρτυρές σου, Κύριε, πίστει στοιχηθέντες, ἐλπίδι βεβαιωθέντες τοῦ ἐχθροῦ τὴν τυραννίδα ἔλυσαν, καὶ τυχόντες τῶν στεφάνων, μετὰ τῶν ἀσωμάτων πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΜΕγάλη τοῦ Σταυροῦ σου, Κύριε, ἡ δύναμις, ἐπάγη γὰρ ἐν τόπῳ, καὶ ἐνεργεῖ ἐν Κόσμῳ· καὶ ἀνέδειξεν ἐξ ἁλιέων Ἀποστόλους, καὶ ἐξ ἐθνῶν Μάρτυρας, ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Δόξα, τὸ νεκρώσιμον· ἦχος γ'.

ΠΑ'ντα ματαιότης τὰ ἀνθρώπινα, ὅσα οὐχ ὑπάρχει μετὰ θάνατον, οὐ παραμένει ὁ πλοῦτος, οὐ συνοδεύει ἡ δόξα· ἐπελθὼν γὰρ ὁ θάνατος ταῦτα πάντα ἐξηφάνισται· διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Καὶ νῦν, Θεοτοκίον.

ΠΩ͂ς μὴ θαυμάσωμεν τὸν θεανδρικόν σου τόκον, πανσεβάσμιε; πεῖραν γὰρ ἀνδρὸς μὴ δεξαμένη πανάμωμε, ἔτεκες ἀπάτορα υἱὸν ἐν σαρκί, τὸν πρὸ αἰώνων ἐκ Πατρὸς γεννηθέντα ἀμήτορα, μηδαμῶς ὑπομείναντα τροπὴν, ἢ φυρμὸν, ἢ διαίρεσιν· ἀλλ' ἑκατέρας οὐσίας τὴν ἰδιότητα σώαν φυλάξαντα· διὸ μῆτερ παρθένε Δέσποινα, αὐτὸν ἱκέτευε, σωθῆναι τὰς ψυχὰς τῶν ὀρθοδόξως Θεοτόκον ὁμολογούντων σε.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. Μαρτυρικά· ἦχος γ'.

ΟἹσιοι φιλομάρτυρες εὐφράνθητε καὶ νῦν, συμφώνως ἀναμέλποντες τὴν ὑμνῳδίαν τῷ Χριστῷ· ὡς γὰρ φωστῆρας ἐν Κόσμῳ ἀνέτειλεν ἡμῖν τὴν ἐτήσιον μνήμην τῶν ἀθλοφόρων αὐτοῦ, θαυμάτων χάριν ἐκπέμπουσαν, καὶ φωτίζουσαν τὸν νοῦν, καὶ τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

ΤΟ' ἔμψυχον τῆς καρτερίας ὑμῶν ἐνίκησε τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, ἀθλοφόροι πανεύφημοι· διὰ τοῦτο τῆς αἰωνίου κατηξιώθητε μακαριότητος· ἀλλὰ πρεσβεύσατε τῷ Κυρίῳ, τοῦ φιλοχρίστου λαοῦ σῶσαι τὸ ποίμνιον, Μάρτυρες ὑπάρχοντες τῆς ἀληθείας.

Στίχ. Τοῖς ἁγίοις, τοῖς ἐν τῇ γῇ.

ΕΚλάμπετε διὰ τῆς πίστεως ὑπέρλαμπροι φωστῆρες, ἅγιοι, θεοσεβείας ἰατροὶ, ἀθλοφόροι πανεύφημοι· τῶν τυράννων γὰρ τοὺς αἰκισμοὺς μὴ δειλανδρίσαντες, τῶν εἰδώλων τὰς δυσφημίας κατηδαφίσατε, τρόπαιον ἔχοντες ἀήττητον τὸν Σταυρὸν τῆς ἀληθείας.

Δόξα, τὸ Νεκρώσιμον.

ΟΤε τῷ λόγῳ σου παραστησόμεθα τῷ ἀδεκάστῳ σου βήματι, Κύριε, μὴ κατακρίνῃς τοὺς εἰς σὲ, Σωτὴρ ἡμῶν, πεποιθότας· πάντες γὰρ ἡμάρτομεν, ἀλλὰ σοῦ οὐκ ἀπέστημεν, ὅθεν δυσωπούμεθά σε, ἐν σκηναῖς τῶν δικαίων σου, Χριστὲ, οὓς προσελάβου κατάταξον, ὡς μόνος ὑπάρχων πολυέλεος.

Καὶ νῦν. Θεοτοκίον.

ΣΕ' τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν ἀνυμνοῦμεν, Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθεὶς ὁ υἱός σου, καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς, ὡς φιλάνθρωπος.

Εἰς τοὺς αἴνους ἱστῶμεν στίχ. δ'. Στιχηρὰ Μαρτυρικά· ἦχος γ'.

ΤΩ͂ν ἁγίων ἀθλοφόρων τὴν μνήμην δεῦτε λαοὶ ἅπαντες τιμήσωμεν· ὅτι θέατρον γενόμενοι ἀγγέλοις, καὶ ἀνθρώποις, τὸν τῆς νίκης στέφανον παρὰ Χριστοῦ ἐκομίσαντο, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΒΑσιλέων, καὶ τυράννων τὸν φόβον ἀπώσαντο οἱ Χριστοῦ στρατιῶται· καὶ εὐθαρσῶς, καὶ ἀνδρείως αὐτὸν ὡμολόγησαν τῶν ἁπάντων Κύριον, Θεὸν καὶ Βασιλέα ἡμῶν, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΑἹ δυνάμεις τῶν ἁγίων Ἀγγέλων ἐθαύμασαν τῶν μαρτύρων τοὺς ἄθλους· ὅτι σώματι περικείμενοι βασάνων κατεφρόνησαν· μιμηταὶ γενόμενοι τοῦ πάθους τοῦ Σωτῆρος Χριστοῦ, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

ΩΣ φωστῆρες ἐν Κόσμῳ λάμπετε καὶ μετὰ θάνατον, ἅγιοι Μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν ἀγωνισάμενοι· διὸ ἔχοντες παῤῥησίαν, Χριστὸν τὸν Θεὸν ἱκετεύσατε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα, Νεκρώσιμον.

ΑΝθρωποι τί μάτην ταραττόμεθα; ὁ δρόμος βραχύς ἐστιν, ὃν τρέχομεν· καπνὸς ὑπάρχει ὁ βίος, καὶ ἀτμὶς, καὶ τέφρα, καὶ κόνις, καὶ ταχέως ἀφανιζόμεθα· διὸ Χριστῷ τῷ ἀθανάτῳ βοήσωμεν· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Καὶ νῦν. Θεοτοκίον.

ΘΕοτόκε, ἡ προστασία πάντων τῶν δεομένων, εἰς σὲ θαῤῥοῦμεν, εἰς σὲ καυχώμεθα, ἐν σοὶ πᾶσα ἡ ἐλπὶς ἡμῶν ἐστί· πρέσβευε τῷ ἐκ σοῦ τεχθέντι ὑπὲρ ἀχρείων δούλων σου.

Ἀποστίχ. στιχηρ. προσόμοια τοῦ Κυρίου Θεοφάνους, ἦχος γ'. Τῷ τύπῳ.

ΔΟξάζω τὸν Σταυρόν σου τὸν τίμιον, δι' οὗ ζωὴ δεδώρηται, καὶ τρυφῆς ἡ ἀπόλαυσις τοῖς ἐν πίστει, καὶ πόθῳ σε ὑμνοῦσι, μόνε πολυέλεε· διὸ βοῶμέν σοι, Χριστὲ ὁ Θεός· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Στίχ.

Digitized by Google

Στίχ. Μακάριοι, οὓς.

Ὁ Μόνος ἐλεήμων, καὶ εὔσπλαγχνος, ὁ ἔχων ἀκατάληπτον ἀγαθότητος πέλαγος· ὁ γινώσκων τὴν φύσιν τῶν ἀνθρώπων, ἣν ἐδημιούργησας, σὲ ἱκετεύομεν, Χριστὲ ὁ Θεός· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Στίχ. Καὶ τὸ μνημόσυνον.

Ὑπνώσας ἐν τῷ τάφῳ, ὡς ἄνθρωπος, δυνάμει ἀηττήτῳ σου, ὡς Θεός, ἐξανέστησας τοὺς ἐν τάφῳ ὑπνοῦντας, ἀσιγήτως ὕμνον σοι προσφέροντας· διὸ βοῶμέν σοι, Χριστὲ ὁ Θεός· τοὺς μεταστάντας ἐξ ἡμῶν ἀνάπαυσον, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Δόξα. Καὶ νῦν. Θεοτ.

Λαμπάδα νοητὴν σὲ βαστάζουσαν τὸ φέγγος τῆς θεότητος ὁμιλῆσαν ταχύτητι τῆς ἀνθρώπων οὐσίας, Θεοτόκε, πάντες ἐπιστάμεθα· τὸν σὸν δυσώπησον Υἱόν, καὶ Θεόν, τοὺς μεταστάντας ἐξ ἡμῶν ἀναπαῦσαι, ἔνθα πάντων ἐστὶν εὐφραινομένων ἡ κατοικία ἐν σοί.

Τέλος τοῦ γ'. ἤχου.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα· ἱστῶμεν στίχ. ι'. καὶ ψάλλομεν στιχηρ. κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. τοῦ Τετρῳδίου γ'. καὶ τοῦ Μηναίου γ'. Στιχηρ. κατανυκτικά· ἦχος δ'.

Ἤθελον δάκρυσιν ἐξαλεῖψαι τῶν ἐμῶν πταισμάτων, Χριστέ, τὸ χειρόγραφον· καὶ τὸ ὑπόλοιπον τῆς ζωῆς μου διὰ μετανοίας εὐαρεστῆσαί σοι· ἀλλ' ὁ ἐχθρὸς ἀπατᾷ με, καὶ πολεμεῖ τὴν ψυχήν μου. Κύριε πρὶν εἰς τέλος ἀπόλλωμαι, σῶσόν με.

Τίς χειμαζόμενος, καὶ προστρέχων τῷ λιμένι τούτῳ οὐ διασώζεται; ἢ τίς ὀδυνώμενος, καὶ προσπίπτων τῷ ἰατρείῳ τούτῳ οὐ θεραπεύεται; δημιουργὲ τῶν ἁπάντων, καὶ ἰατρὲ τῶν νοσούντων, Κύριε πρὶν εἰς τέλος ἀπόλλωμαι, σῶσόν με.

Πλυνόν με τοῖς δάκρυσί μου Σωτήρ, ὅτι ῥερύπωμαι ἐν πολλαῖς ἁμαρτίαις· διὸ καὶ προσπίπτω σοι, ἥμαρτον, ἐλέησόν με ὁ Θεός.

Πρόβατον εἰμὶ τῆς λογικῆς σου ποίμνης, καὶ πρὸς σὲ καταφεύγω τὸν ποιμένα τὸν καλόν· ζήτησόν με τὸν πλανηθέντα ὁ Θεός, καὶ ἐλέησόν με.

Τῇ δευτέρᾳ εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά, ἦχος δ'.

Τὴν ταπεινήν μου ψυχὴν ἐπίστρεψαι, Κύριε, τὴν ἐν ἁμαρτίαις τὸν βίον ὅλον δαπανήσασαν· ὃν τρόπον τὴν πόρνην, δέξαι κἀμέ, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ.

Διαπλέων τὸ πέλαγος τῆς παρούσης ζωῆς, ἐνθυμοῦμαι τὴν ἄβυσσον τῶν πολλῶν μου κακῶν· καὶ μὴ ἔχων τὸν κυβερνήτην λογισμόν, τὴν τοῦ Πέτρου σοι προσφθέγγομαι φωνήν· σῶσόν με, Χριστέ, σῶσόν με ὁ Θεός, ὡς φιλάνθρωπος.

Δόξα, Καὶ νῦν. Θεοτ.

Τῇ ἀναστραφείσῃ ἐν τῷ ναῷ εἰς τὰ ἅγια τῶν ἁγίων, τῇ περιβεβλημένῃ τὴν πίστιν, καὶ τὴν σοφίαν, καὶ τὴν ἄμεμπτον παρθενίαν, ὁ ἀρχιστράτηγος Γαβριὴλ προσέφερεν οὐρανόθεν τὸν ἀσπασμόν, καὶ τὸ χαῖρε, χαῖρε εὐλογημένη, χαῖρε δεδοξασμένη, ὁ Κύριος μετὰ σοῦ.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Σήμερον τὰ τῶν Ἀγγέλων στρατεύματα ἐν τῇ μνήμῃ τῶν ἀθλοφόρων παραγίνονται, τὰς τῶν πιστῶν διανοίας φωτίσαι, καὶ τὴν Οἰκουμένην τῇ χάριτι φαιδρῦναι· δι' αὐτῶν ὁ Θεὸς δυσωπούμενος δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά, ἦχος δ'.

Ταχὺ συνεισέλθωμεν εἰς τὸν νυμφῶνα Χριστοῦ, ἵνα πάντες ἀκούσωμεν τῆς μακαρίας φωνῆς αὐτοῦ τοῦ Θεοῦ ἡμῶν· δεῦτε οἱ ἀγαπῶντες τὴν οὐράνιον δόξαν, σύμμορφοι γενόμενοι ταῖς φρονίμοις παρθένοις, φαιδρύνωμεν τὰς λαμπάδας ἡμῶν διὰ τῆς πίστεως.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Ἀναλόγισαι, ψυχή, πῶς παραστῶμεν τῷ κριτῇ· ἐν τῇ ὥρᾳ τῇ φρικτῇ τίθενται θρόνοι φοβεροί· καὶ ἑκάστου αἱ πράξεις ἐλέγχονται· τότε ὁ κριτὴς ἀδυσώπητος· ἐκεῖ τὸ πῦρ δεινῶς σοι ἡτοίμασται, ὥσπερ ἀγρία θάλασσα κυμαινομένη, ὡς καλύψαι τὰ σύμπαντα σὺν πᾶσι τούτοις, βλέπε ψυχή μου, στέναξον πρὸ τοῦ τέλους·

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ Κυρίως, καὶ ἀληθῶς Θεοτόκος, ἡ πρεσβεύουσα, ὡς μήτηρ, ἐν παρρησίᾳ τῷ Υἱῷ σου, καὶ Θεῷ ἡμῶν· διαφύλαττε πόλιν ἐξαιρέτως τῇ σκέπῃ σου προστρέχουσαν, ἐν σοὶ τὸ κράτος ἔχουσαν, πρὸς σὲ καταφεύγουσαν τὸν λιμένα, τὸ τεῖχος, τὴν μόνην προστασίαν τοῦ γένους τῶν ἀνθρώπων.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ μαρτύρων σου, ὡς πορφύραν καὶ βύσσον, τὰ αἵματα ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεός, τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. σταυρώσιμα, ἦχος δ'.

Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι, τῷ Σταυρῷ προσηλωθείς,

καὶ τῇ λόγχῃ κεντηθεὶς, τὴν ἀθανασίαν ἐπήγασας ἀνθρώποις, Σωτὴρ ἡμῶν δόξα σοι.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Ταχὺ προκατάλαβε πρὶν δουλωθῆναι ἡμᾶς ἐχθροῖς βλασφημοῦσί σε, καὶ ἀπειλοῦσιν ἡμῖν. Χριστὲ ὁ Θεὸς ἡμῶν· ἄνελε τῷ Σταυρῷ σου τοὺς ἡμᾶς πολεμοῦντας· γνώτωσαν πῶς ἰσχύει ὀρθοδόξων ἡ πίστις πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Παρθένε πανάμωμε, μήτηρ Χριστοῦ τοῦ Θεοῦ, ῥομφαία διῆλθε σου τὴν παναγίαν ψυχὴν, ἡνίκα σταυρούμενον ἔβλεψας ἑκουσίως τὸν υἱὸν καὶ Θεόν σου· ὅνπερ εὐλογημένη δυσωποῦσα, μὴ παύσῃ, συγχώρησιν πταισμάτων ἡμῖν δωρήσασθαι.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Οἱ μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχὺν σου τοὺς τυράννους καθεῖλον· ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῇ ε΄. εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄ στιχολ.

καθίσ. Ἀποστολικὰ, ἦχος δ΄.

Φωστῆρας εἰς τὰ πέρατα τοὺς μαθητάς σου, Χριστὲ, ἀνέδειξας ἐκλάμποντας ἐν τῷ κηρύγματι τῷ σῷ, φωτίζοντας ἡμῶν τὰς ψυχάς· πλάνην τὴν τῶν εἰδώλων δι' αὐτῶν ἀμαυρώσας, δόγμασιν εὐσεβείας καταλάμψας τῷ Κόσμῳ· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Ὡς Μωϋσῆς τὸν Ἰσραὴλ ἐκ δουλείας διὰ θαλάσσης ἐρυθρᾶς ὁδηγήσας, τῇ δεξιᾷ σου, Δέσποτα, βυθίσας Φαραὼ, οὕτως ἐν τοῖς θαύμασιν οἱ σοφοὶ μαθηταί σου τὴν θάλασσαν διέρρηξαν τῆς πικρᾶς ἀθείας, καὶ τὸν λαὸν ὡδήγησαν πρὸς σὲ, ἄναρχε Λόγε, καὶ μόνε φιλάνθρωπε.

Δόξα. Καὶ νῦν. Θεοτ.

Τὸν Λόγον τοῦ Πατρὸς, Χριστὸν τὸν Θεὸν ἡμῶν ἐκ σοῦ σαρκωθέντα ἔγνωμεν, Θεοτόκε Παρθένε, μόνη ἁγνὴ, μόνη εὐλογημένη· διὸ ἀπαύστως σὲ ἀνυμνοῦντες μεγαλύνομεν.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Σταυρῷ ὁπλισάμενοι οἱ ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ἔλαμψαν ὡς φωστῆρες, τοὺς βροτοὺς ὁδηγοῦντες· διδοῦσι τὰς ἰάσεις τοῖς ἐν πίστει αἰτοῦσιν, αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῇ Παρασκευῇ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ.

καθίσ. σταυρώσιμα· ἦχος δ΄.

Ταχὺ προκατάλαβε.

Σταυρῷ σε προσήλωσαν οἱ Ἰουδαῖοι, Σωτὴρ, δι' οὗ ἐκ τῶν ἐθνῶν ἡμᾶς ἀνεκαλέσω, φιλάνθρωπε Κύριε, ἥπλωσας τὰς παλάμας ἐν αὐτῷ σῇ βουλήσει, λόγχῃ δὲ τὴν πλευράν σου κατεδέξω νυγῆναι· τῷ πλήθει τῶν οἰκτιρμῶν σου δόξα, μακρόθυμε.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Τὸ φῶς τῶν ψυχῶν ἡμῶν νῦν καθορῶντες, Χριστὲ, Σταυρόν σου τὸν ἄχραντον, καὶ προσκυνοῦντες αὐτὸν φαιδρῶς ἐκβοῶμέν σοι, δόξα σοι, ὁ ἐν τούτῳ ὑψωθῆναι θελήσας, δόξα σοι, ὁ φωτίσας δι' αὐτοῦ πᾶσαν κτίσιν· ἐν ᾧ σε ἀκαταπαύστως ὕμνοις δοξάζομεν.

Δόξα. Καὶ νῦν· σταυροθεοτ.

Σταυρῷ σε ὑψούμενον ὡς ἐθεάσατο ἡ ἄχραντος μήτηρ σου, Λόγε Θεοῦ, μητρικῶς θρηνοῦσα ἐφθέγγετο· τί τὸ καινὸν, καὶ ξένον τοῦτο, Υἱέ μου, θαῦμα; πῶς ἡ ζωὴ τῶν ὅλων ὁμιλεῖς τῷ θανάτῳ; ζωῶσαι τοὺς τεθνεῶτας θέλων, ὡς εὔσπλαγχνος.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἡ σεπτὴ τῶν ἀθλοφόρων πανήγυρις οὐρανὸν τὴν Ἐκκλησίαν ἔδειξε, καὶ τοῖς ἀνθρώποις συγχορεύουσιν Ἄγγελοι, ταῖς αὐτῶν ἱκεσίαις, Χριστὲ ὁ Θεὸς, σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῇ Παρασκευῇ Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι΄. καὶ ψάλλομεν μετὰ τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς τὰ παρόντα Μαρτυρικὰ δ΄. καὶ τοῦ Μηναίου δ΄. στιχηρὰ Μαρτυρικά· ἦχος δ΄.

Ὁ ἐνδοξαζόμενος ἐν ταῖς μνείαις τῶν ἁγίων σου, Χριστὲ ὁ Θεὸς ὑπ' αὐτῶν δυσωπούμενος, κατάπεμψον ἡμῖν τὸ μέγα ἔλεος.

Ὁ τῶν ἁγίων μαρτύρων δεξάμενος τὴν ὑπομονὴν, καὶ παρ' ἡμῶν δέχου τὴν ὑμνῳδίαν, φιλάνθρωπε, δωρούμενος ἡμῖν ταῖς αὐτῶν ἱκεσίαις τὸ μέγα ἔλεος.

Ἔχοντες παρρησίαν πρὸς τὸν Σωτῆρα, ἅγιοι, πρεσβεύσατε ἀπαύστως ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, ἄφεσιν πταισμάτων αἰτούμενοι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Ἱερεῖα ἔμψυχα, ὁλοκαυτώματα λογικὰ, μάρτυρες Κυρίου, θύματα τέλεια Θεοῦ, Θεὸν γινώσκοντα, καὶ Θεῷ γινωσκόμενα πρόβατα, ὧν ἡ μάνδρα λύκοις ἀνεπίβατος· πρεσβεύσατε, καὶ ἡμᾶς συμποιμανθῆναι ὑμῖν ἐπὶ ὕδατος ἀναπαύσεως.

Δόξα, τὸ νεκρώσιμον τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ.

Ποῦ ἐστιν ἡ τοῦ Κόσμου προσπάθεια; ποῦ ἐστιν ἡ τῶν προσκαίρων φαντασία; ποῦ ἐστιν ὁ χρυσὸς, καὶ ὁ ἄργυρος; ποῦ ἐστι τῶν οἰκετῶν ἡ πλημμύρα, καὶ ὁ θόρυβος; πάντα τέφρα, πάντα κόνις, πάντα σκιά· ἀλλὰ δεῦτε βοήσωμεν τῷ ἀθανάτῳ Βασιλεῖ. Κύριε τῶν αἰωνίων σου ἀγαθῶν ἀξίωσον τοὺς μεταστάντας ἐξ ἡμῶν, καὶ ἀνάπαυσον αὐτοὺς ἐν τῇ ἀγήρῳ μακαριότητι.

Καὶ

Digitized by Google

Καὶ νῦν. Θεοτ.

Ὁ διὰ σὲ θεοπάτωρ προφήτης Δαβὶδ μελῳδικῶς περὶ σοῦ προανεφώνησε, τῷ μεγαλεῖα σοι ποιήσαντι· παρέστη ἡ Βασίλισσα ἐκ δεξιῶν σου· σὲ γὰρ μητέρα πρόξενον ζωῆς ἀνέδειξεν ὁ ἀπάτωρ ἐκ σοῦ ἐνανθρωπῆσαι εὐδοκήσας Θεὸς, ἵνα τὴν ἑαυτοῦ ἀναπλάσῃ εἰκόνα φθαρεῖσαν τοῖς πάθεσι, καὶ τὸ πλανηθὲν ὀρειάλωτον εὑρὼν πρόβατον τοῖς ὤμοις ἀναλαβὼν τῷ Πατρὶ προσαγάγῃ, καὶ τῷ ἰδίῳ θελήματι ταῖς οὐρανίαις συνάψῃ δυνάμεσι, καὶ σώσῃ, Θεοτόκε, τὸν Κόσμον Χριστὸς, ὁ ἔχων τὸ μέγα, καὶ πλούσιον ἔλεος.

Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. Μαρτυρικὰ, ἦχος δ΄.

Οἱ μάρτυρές σου, Κύριε, ἐν τῇ ἀθλήσει αὐτῶν στεφάνους ἐκομίσαντο τῆς ἀφθαρσίας ἐκ σοῦ τοῦ Θεοῦ ἡμῶν· ἔχοντες τὴν ἰσχύν σου, τοὺς τυράννους καθεῖλον, ἔθραυσαν καὶ δαιμόνων τὰ ἀνίσχυρα θράση· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

Τῶν ἐν ὅλῳ τῷ Κόσμῳ μαρτύρων σου, ὡς πορφύραν, καὶ βύσσον τὰ αἵματα ἡ Ἐκκλησία σου στολισαμένη, δι' αὐτῶν βοᾷ σοι, Χριστὲ ὁ Θεὸς· τῷ λαῷ σου τοὺς οἰκτιρμούς σου κατάπεμψον, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Σταυρὸν ὁπλισάμενοι οἱ ἀθλοφόροι σου, ἐνίκησαν τὰ μηχανήματα τοῦ ἀρχεκάκου ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν· ἔλαμψαν ὡς φωστῆρες τοὺς βροτοὺς ὁδηγοῦντες· δίδουσι τὰς ἰάσεις τοῖς ἐν πίστει αἰτοῦσιν· αὐτῶν ταῖς ἱκεσίαις σῶσον τὸν Κόσμον σου.

Δόξα, τὸ Νεκρώσιμον.

Ψυχὰς, ἃς μετέστησας ἐκ τῶν προσκαίρων, πρὸς σὲ ἀνάπαυσον, ὡς εὔσπλαγχνος, καὶ παντοδύναμος, Χριστὲ ὁ Θεὸς ἡμῶν· συγχώρησον, ὡς οἰκτίρμων, τὰ αὐτῶν πεπραγμένα· ἐλέησον, ἐλεῆμον, τῶν χειρῶν σου τὸ ἔργον πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον, καὶ Ἀγγέλοις ἄγνωστον μυστήριον διὰ σοῦ, Θεοτόκε, τοῖς ἐπὶ γῆς πεφανέρωται, Θεὸς ἐν ἀσυγχύτῳ ἑνώσει σαρκούμενος, καὶ Σταυρὸν ἑκουσίως ὑπὲρ ἡμῶν καταδεξάμενος· δι' οὗ ἀναστήσας τὸν πρωτόπλαστον, ἔσωσεν ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Εἰς τοὺς αἴνους Στιχηρὰ Μαρτυρικά· ἱστῶμεν στίχ. δ΄. ἦχος δ΄.

Τίς οὐκ ἐξίσταται ὁρῶν, ἅγιοι μάρτυρες, τὸν ἀγῶνα τὸν καλὸν, ὃν ἠγωνίσασθε; πῶς ἐν σώματι ὄντες τὸν ἀσώματον ἐχθρὸν ἐνικήσατε, Χριστὸν ὁμολογήσαντες, καὶ Σταυρῷ ὁπλισάμενοι; ὅθεν ἐπαξίως ἀνεδείχθητε δαιμόνων φυγαδευταὶ, καὶ βαρβάρων πολέμιοι· ἀπαύστως πρεσβεύσατε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἀγγέλων συμμέτοχοι γεγόνατε, ἅγιοι μάρτυρες, ἐν σταδίῳ τὸν Χριστὸν ἀνδρείως κηρύξαντες. πάντα γὰρ τὰ ἐν κόσμῳ κατελίπετε τερπνὰ, ὡς ἀνύπαρκτα, τὴν πίστιν δὲ ὡς ἄγκυραν ἀσφαλῆ ἐκρατήσατε· ὅθεν καὶ τὴν πλάνην ἀπελάσαντες, πηγάζετε τοῖς πιστοῖς ἰαμάτων χαρίσματα· ἀπαύστως πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Πῶς ὑμῶν θαυμάσωμεν τοὺς ἀγῶνας, ἅγιοι μάρτυρες, ὅτι σῶμα θνητὸν περικείμενοι, τοὺς ἀσωμάτους ἐχθροὺς ἐτροπώσασθε· οὐκ ἐφόβησαν ὑμᾶς τῶν τυράννων αἱ ἀπειλαὶ, οὐ κατέπληξαν ὑμᾶς τῶν βασάνων αἱ προσβολαί· ὄντως ἀξίως παρὰ Χριστοῦ ἐδοξάσθητε, τοῦ παρέχοντος ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Τίμιος ὁ θάνατος τῶν ἁγίων σου, Κύριε. ξίφεσι γὰρ, καὶ πυρὶ, καὶ ψύχει συντριβόμενοι ἐξέχεαν τὸ αἷμα αὐτῶν, ἐλπίδα ἔχοντες εἰς σὲ ἀπολαβεῖν τοῦ καμάτου τὸν μισθὸν, ὑπέμειναν, καὶ ἔλαβον παρὰ σοῦ, Σωτὴρ, τὸ μέγα ἔλεος.

Δόξα, τὸ Νεκρώσιμον.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον τοὺς δούλους σου, ὅτι μόνος ὑπάρχεις φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ἔχοντές σε, Θεοτόκε, ἐλπίδα, καὶ προστασίαν, ἐχθρῶν ἐπιβουλὰς οὐ φοβούμεθα, ὅτι σκέπεις τὰς ψυχὰς ἡμῶν.

Ἀπόστιχ. στιχη προσόμοια τοῦ Κυρίου Θεοφάνους, ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Ὄντως φοβερώτατον τὸ τοῦ θανάτου μυστήριον, πῶς ψυχὴ ἐκ τοῦ σώματος βιαίως χωρίζεται, ἐκ τῆς ἁρμονίας, καὶ τῆς συμφυΐας, ὁ φυσικώτατος δεσμὸς θείῳ βουλήματι ἀποτέμνεται· διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον ἐν σκηναῖς τῶν ἁγίων σου, ζωοδότα φιλάνθρωπε.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω.

Ὕπνος ἀναδέδεικται τῶν πιστευόντων ὁ θάνατος, σοῦ τεθέντος ἐν μνήματι τοῦ πάντων διασώζοντος, καὶ τὸ τοῦ θανάτου κράτος λελυκότος, καὶ καταργήσαντος αὐτοῦ τὴν δυναστείαν τὴν πολυχρόνιον· διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον ἐν σκηναῖς τῶν ἁγίων σου, ζωοδότα φιλάνθρωπε.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

Σὺ δικαιοσύνη τε ἁγιασμὸς ἡμῖν γέγονας, καὶ ψυχῶν ἀπολύτρωσις. Πατρὶ γὰρ προσήγαγες δεδικαιωμένους, καὶ λελυτρωμένους, ἀναδεξάμενος ἡμῶν τὸ ὀφειλόμενον ἐπιτίμιον, καὶ νῦν ἐκδυσωποῦμέν σε, τοὺς μεταστάντας ἀνά-



Digitized by Google

παυσον ἐν χαρᾷ, καὶ φαιδρότητι, Εὐεργέτα Σωτὴρ ἡμῶν.

Δόξα.

Γένος τὸ ἀνθρώπινον πρὸς ἀφθαρσίαν ἀνόλεθρον ἐκ φθορᾶς ἀνακέκληται, λυσάμενον αἵματι τῷ ἐκ τῆς πλευρᾶς σου, Σῶτερ, κενωθέντι· ἐν ᾧ ἀπέπλυνας ἡμᾶς τῆς παραβάσεως τοῦ προπάτορος· διό σε ἱκετεύομεν, τοὺς μεταστάντας ἀνάπαυσον ἐν σκηναῖς αἰωνίοις σου, ἐν χοροῖς τῶν μαρτύρων σου.

Θεοτοκίον.

Ρήσεσιν ἑπόμενοι τῶν θεηγόρων, πανάμωμε, Θεοτόκον φρονοῦμέν σε, Θεὸν γὰρ ἐγέννησας σεσωματωμένον ἀπερινοήτως, τὸν λυτρωσάμενον ἡμᾶς τοὺς αἰχμαλώτους τοῖς παραπτώμασιν· ὃν καὶ νῦν ἐκδυσώπησον, τοὺς μεταστάντας οἰκέτας σου ταῖς οἰκείαις ἐλλάμψεσιν καταυγάσαι, πανάχραντε.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα· ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν στιχ. κατανυκτικὰ τῆς Ὀκτωήχου δ΄. τοῦ Τριῳδίου γ΄. καὶ τοῦ Μηναίου γ΄. στιχ. κατανυκτικά, ἦχος πλ. α΄.

Κύριε ἁμαρτάνων οὐ παύομαι, φιλανθρωπίας ἀξιούμενος οὐ γινώσκω, νίκησόν μου τὴν πώρωσιν, μόνε ἀγαθέ, καὶ ἐλέησόν με.

Κύριε, καὶ τὸν φόβον σου πτοοῦμαι, καὶ τὸ πονηρὸν ποιεῖν οὐ παύομαι· τίς ἐν δικαστηρίῳ τὸν δικαστὴν οὐ πτοεῖται; ἢ τίς ἰαθῆναι βουλόμενος, τὸν ἰατρὸν παροργίζει ὡς κἀγώ; μακρόθυμε Κύριε, ἐπὶ τῇ ἀσθενείᾳ μου σπλαγχνίσθητι, καὶ ἐλέησόν με.

Οἴμοι τί ὁμοιώθην ἐγὼ τῇ ἀκάρπῳ συκῇ, καὶ πτοοῦμαι τὴν κατάραν σὺν τῇ ἐκκοπῇ, ἀλλ᾽ ἐπουράνιε γεωργὲ Χριστὲ ὁ Θεός, τὴν χερσωθεῖσάν μου ψυχὴν καρποφόρον ἀνάδειξον· καὶ ὡς τὸν ἄσωτον υἱὸν δέξαι με, καὶ ἐλέησόν με.

Τὰ πλήθη τῶν πταισμάτων μου πάριδε, Κύριε, ὁ ἐκ Παρθένου τεχθείς, καὶ πάσας ἐξάλειψον τὰς ἀνομίας μου, λογισμόν μοι παρέχων ἐπιστροφῆς, ὡς μόνος φιλάνθρωπος, δέομαι, καὶ ἐλέησόν με.

Τῇ δευτέρᾳ εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθισ. κατανυκτικά· ἦχος πλ. α΄.

Κριτοῦ καθεζομένου, καὶ Ἀγγέλων ἑστώτων, σάλπιγγος ἠχούσης, καὶ φλογὸς καιομένης· τί ποιήσεις ψυχή μου ἀπαγομένη εἰς κρίσιν; τότε γὰρ τὰ δεινά σου παρίστανται, τὰ κρυπτά σου ἐλέγχονται ἐγκλήματα· διὸ πρὸ τέλους βόησον Χριστῷ τῷ Θεῷ, καρδιογνῶστα, ἥμαρτον, ἐλέησόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Ψυχὴ τὰ ὧδε πρόσκαιρα, τὰ δὲ ἐκεῖ αἰώνια· ὁρῶ τὸ δικαστήριον, καὶ ἐπὶ θρόνου τὸν κριτήν, καὶ τρέμω τὴν ἀπόφασιν· λοιπόν, ψυχή, ἐπίστρεψον, ἡ κρίσις ἀσυγχώρητος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μετὰ Ἀγγέλων τὰ οὐράνια, μετὰ ἀνθρώπων τὰ ἐπίγεια ἐν φωνῇ ἀγαλλιάσεως, Θεοτόκε, βοῶμέν σοι· χαῖρε πύλη τῶν οὐρανῶν πλατυτέρα· χαῖρε μόνη τῶν γηγενῶν σωτηρία, χαῖρε σεμνή, χαῖρε κεχαριτωμένη, ἡ τεκοῦσα Θεὸν σεσαρκωμένον.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Κύριε, τὸ ποτήριον τοῦ πάθους σου οἱ ἀθλοφόροι σου ζηλώσαντες, κατέλιπον τὴν τοῦ βίου τερπνότητα, καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι· αὐτῶν ταῖς παρακλήσεσι παράσχου ταῖς ψυχαῖς ἡμῶν ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθισ. κατανυκτικά· ἦχος πλ. α΄.

Ἐν κλίνῃ κατακείμενος ἁμαρτημάτων πολλῶν, συλλῶμαι τὴν ἐλπίδα τῆς σωτηρίας μου· ὁ γὰρ ὕπνος τῆς ἐμῆς ῥαθυμίας προξενεῖ μου τῇ ψυχῇ τιμωρίαν, διὸ φεῖσαί μου, Χριστὲ ὁ Θεός, ὡς μόνος φιλάνθρωπος.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Πάντες ἀγρυπνήσωμεν, καὶ Χριστῷ ὑπαντήσωμεν πάντες μετὰ πλήθους ἐλέους, καὶ λαμπάδων φαεινῶν, ὅπως τοῦ νυμφῶνος ἔνδον ἀξιωθῶμεν· ὁ γὰρ τῆς θύρας ἔξω φθεγγόμενος ἄπρακτα τῷ Θεῷ κέκραγεν, ἐλέησόν με.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸ ξένον τῆς Παρθένου μυστήριον τῷ Κόσμῳ ἀνεδείχθη σωτήριον· ἐξ αὐτῆς γὰρ ἐτέχθη ἄνευ σπορᾶς· καὶ σαρκὶ ἀνεδείχθη δίχα φθορᾶς ἡ πάντων χαρά, Κύριε δόξα σοι.

Ἐν τῇ ζ΄. ᾠδῇ τὸ Μαρτυρικόν.

Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεός, ταῖς αὐτῶν ἱκεσίαις βουλὰς ἐθνῶν διασκέδασον, τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον, ὡς μόνος ἀγαθός, καὶ φιλάνθρωπος.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθισ. σταυρώσιμα, ἦχος πλ. α΄.

Τὸν συνάναρχον Λόγον.

Τὸν σταυρωθέντα Σωτῆρα, καὶ λυτρωτὴν ἡμῶν ἑκουσίως, ὡς οἶδεν, καὶ ὡς ηὐδόκησεν, ἀνυμνοῦμεν οἱ πιστοί, καὶ δοξάζομεν· ὅτι προσήλωσεν αὐτὸς τὰς ἁμαρτίας τῶν βροτῶν, ῥυσάμενος ἐκ τῆς πλάνης τὸ γένος τὸ τῶν ἀνθρώπων, καὶ βασιλείας ἡμᾶς κατηξίωσε.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὁ σταυρὸν ὑπομείνας ἑκουσίᾳ βουλῇ, καὶ φθορᾶς τοὺς ἀνθρώπους ἐλευθερώσας, Σωτήρ, ἀνυμνοῦμεν οἱ πιστοί, καὶ προσκυνοῦμέν σε· ὅτι

ἐφώ-

Digitized by Google

ἐφώτισας ἡμᾶς τῇ δυνάμει τοῦ Σταυροῦ, καὶ πάντες δοξολογοῦμεν, φιλάνθρωπε, καὶ οἰκτίρμον, ὡς ζωοδότην, καὶ Κύριον.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

ΤΩ͂ Σταυρῷ τοῦ Κυρίου παρισταμένη, θρηνῳδοῦσα ἐβόα ἡ Θεοτόκος· οἴμοι, ὦ τέκνον μου, οἴμοι, φῶς τῶν ἐμῶν ὀφθαλμῶν, πῶς ἐτανύθης ἐν Σταυρῷ, ὁ ἐκτείνας θεϊκῶς τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν· καὶ ἐκ θαλάσσης ἀνάγων πηγὰς ὑδάτων τῷ σῷ προστάγματι.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

ΤΟὺς ἀθλοφόρους σου, Κύριε, μεγάλους ἀντιλήπτορας ἀνέδειξας, Σωτὴρ, τῇ οἰκουμένῃ, δι' ὧν τὰ πάθη φυγαδεύονται· ταῖς αὐτῶν πρεσβείαις σῶσον τὰς ψυχὰς ἡμῶν.

Τῇ ε. εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. Ἀποστολικά· ἦχος πλ. α.

ΩΣ αὐτόπτας τοῦ λόγου, καὶ ὑπηρέτας Χριστοῦ, τοὺς σοφοὺς Ἀποστόλους ἐγκωμιάσωμεν ἐν ᾠδαῖς πνευματικαῖς, καὶ ὕμνοις πάντες βροτοί, τὸν Χριστὸν γὰρ ἐκτενῶς ἱκετεύουσιν αὐτοὶ ὑπὲρ ἡμῶν τῶν ὑμνούντων τὴν ἱερὰν αὐτῶν μνήμην, καὶ προσκυνούντων τὰ λείψανα.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

ΤΟὺς Ἀποστόλους Κυρίου συμφώνως ἀνευφημήσωμεν, ὡς φωστῆρας φανέντας τῇ οἰκουμένῃ, τὰ γὰρ ἔθνη εὐσεβῶς ἐσαγήνευσαν, καὶ φωτίσαντες ἡμᾶς ἀνακηρύττουσι τρανῶς, Τριάδα σέβειν ἁγίαν ἡνωμένην μὲν τῇ οὐσίᾳ, διαιρετὴν δὲ ταῖς ὑποστάσεσιν.

Δόξα, Καὶ νῦν. Θεοτοκίον.

ἈΠειρόγαμε νύμφη, καὶ ἀειπάρθενε, σὺν Ἀγγέλοις ἀπαύστως ἀνευφημοῦμέν σε, ὅτι ἐποίησεν ἡμῖν μεγαλεῖα διὰ σοῦ ὁ υἱός σου, καὶ Θεός, ὁ πρὸ αἰώνων ἐκ Πατρὸς ἐν μήτρᾳ σου χωρηθῆναι εὐδόκησεν, ἐκ τῆς πλάνης ἐλευθερῶσαι τὸ γένος ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

ΤΩ͂ν ἁγίων μαρτύρων τὰ κατορθώματα οὐρανῶν αἱ δυνάμεις ὑπερεθαύμασαν, ὅτι ἐν σώματι θνητῷ τὸν ἀσώματον ἐχθρὸν τῇ δυνάμει τοῦ Σταυροῦ ἀγωνισάμενοι καλῶς ἐνίκησαν ἀοράτως, καὶ πρεσβεύουσι τῷ Κυρίῳ, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. σταυρώσιμα· ἦχος πλ. α.

ΤΟ'πος κρανίου παράδεισος γέγονε, μόνον γὰρ ἐπάγη τὸ ξύλον τοῦ Σταυροῦ, εὐθὺς ἐβλάστησε τὸν βότρυν τῆς ζωῆς σέ, Σωτὴρ, εἰς ἡμῶν εὐφροσύνην, δόξα σοι.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

ΤΟ' ξύλον τοῦ Σταυροῦ σου, Σωτὴρ ἡμῶν, τῷ Κόσμῳ ἀνεδείχθη σωτήριον· ἐν αὐτῷ γὰρ βουλήσει προσηλωθείς, τῆς κατάρας ἐῤῥύσω τοὺς γηγενεῖς, ὁ πάντων χαρά, Κύριε, δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

ἘΝ σταυρῷ σε ὁρῶσα, Χριστέ, ἡ Μήτηρ σου ἑκουσίως ἐν μέσῳ λῃστῶν κρεμάμενον, κοπτομένη μητρικῶς τὰ σπλάγχνα, ἔλεγεν· ἀναμάρτητε Υἱέ, πῶς ἀδίκως ἐν σταυρῷ, ὥσπερ κακοῦργος, ἐπάγης; τὸ γένος τὸ τῶν ἀνθρώπων ζωῶσαι θέλων, ὡς ὑπεράγαθος.

Εἰς τὴν ζ. ᾠδήν· τὸ Μαρτυρικόν.

ΛΑ'μπει σήμερον ἡ μνήμη τῶν ἀθλοφόρων· ἔχει γὰρ καὶ οὐρανόθεν ἀπαύγασμα· ὁ χορὸς τῶν ἀγγέλων πανηγυρίζει· καὶ τῶν ἀνθρώπων τὸ γένος συνεορτάζει· διὸ πρεσβεύουσι τῷ Κυρίῳ ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ παρασκευῇ ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν μετὰ τὸ ἰδιόμελον τῆς ἡμέρας δίς. τὰ παρόντα Μαρτυρικὰ δ'. καὶ τοῦ Μηναίου δ'. στιχηρὰ Μαρτυρικά· ἦχος πλ. α.

ΤΩ͂ν ἐπιγείων ἁπάντων καταφρονήσαντες, καὶ τῶν βασάνων ἀνδρείως καταπολμήσαντες, τῶν μακαρίων ἐλπίδων οὐκ ἠστοχήσατε, ἀλλ' οὐρανῶν βασιλείας κληρονόμοι γεγόνατε· πανεύφημοι μάρτυρες ἔχοντες παῤῥησίαν πρὸς τὸν φιλάνθρωπον Θεὸν τῷ Κόσμῳ τὴν εἰρήνην αἰτήσασθε, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΤΟ'ν θυρεὸν τῆς πίστεως περιβαλλόμενοι, καὶ τῷ τύπῳ τοῦ Σταυροῦ ἑαυτοὺς καθοπλίσαντες, πρὸς τὰς βασάνους ἀνδρείως ἀπηυτομόλησαν· καὶ διαβόλου τὴν πλάνην, καὶ τὸ θράσος κατήργησαν οἱ ἅγιοί σου, Κύριε· αὐτῶν ταῖς ἱκεσίαις, ὡς παντοδύναμος Θεός, τῷ Κόσμῳ τὴν εἰρήνην κατάπεμψον, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

ΠΡεσβεύσατε ὑπὲρ ἡμῶν ἅγιοι μάρτυρες, ἵνα ῥυσθῶμεν τῶν ἀνομιῶν ἡμῶν· ὑμῖν γὰρ ἐδόθη χάρις, πρεσβεύειν ὑπὲρ ἡμῶν.

ἈΚορέστῳ διαθέσει ψυχῆς Χριστὸν οὐκ ἀρνησάμενοι ἅγιοι μάρτυρες· οἵτινες διαφόρους αἰκισμοὺς παθημάτων ὑπομείναντες, τῶν τυράννων τὰ θράση κατηδαφήσατε· ἀκλινῆ καὶ ἄθραυστον τὴν πίστιν φυλάξαντες, εἰς οὐρανοὺς μετέστητε· ὅθεν καὶ παῤῥησίας τυχόντες πρὸς αὐτόν· αἰτήσασθε δωρηθῆναι ἡμῖν τὸ μέγα ἔλεος.

Δόξα, τὸ νεκρώσιμον τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ.

ἘΜνήσθην τοῦ προφήτου βοῶντος, ἐγώ εἰμι γῆ, καὶ σποδός· καὶ πάλιν κατενόησα ἐν τοῖς μνήμασι· καὶ εἶδον τὰ ὀστᾶ τὰ γεγυμνωμένα, καὶ εἶπον· ἆρα τίς ἐστι βασιλεύς, ἢ στρατιώτης πλούσιος, πένης, δίκαιος, ἢ ἁμαρτωλός; ἀλλὰ ἀνάπαυσον, Κύριε, μετὰ δικαίων τοὺς δούλους σου.

Καὶ νῦν. Θεοτοκίον.

ἘΝ τῇ ἐρυθρᾷ θαλάσσῃ τῆς ἀπειρογάμου νύμφης εἰκὼν διεγράφη ποτέ· ἐκεῖ Μωϋσῆς διαιρέτης τοῦ ὕδατος· ἐνθάδε Γαβριὴλ ὑπηρέτης

τοῦ

Digitized by Google

τοῦ θαύματος· τότε τὸν βυθὸν ἐπέζευσεν ἀβρόχως Ἰσραήλ· νῦν δὲ τὸν Χριστὸν ἐγέννησεν ἀφθόρως ἡ παρθένος· ἡ θάλασσα μετὰ τὴν πάροδον τοῦ Ἰσραὴλ ἔμεινεν ἄβατος, ἡ ἄμεμπτος μετὰ τὴν κύησιν τοῦ Ἐμμανουὴλ, ἔμεινεν ἄφθορος· ὁ ὢν, καὶ προὼν, καὶ φανεὶς, ὡς ἄνθρωπος, ἐλέησον ἡμᾶς.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. Μαρτυρικά· ἦχος πλ. α΄.

Κύριε, τὸ ποτήριον τοῦ πάθους σου οἱ ἀθλοφόροι σου ζηλώσαντες κατέλιπον τὴν τοῦ βίου τερπνότητα, καὶ γεγόνασι τῶν Ἀγγέλων συμμέτοχοι· αὐτῶν ταῖς παρακλήσεσιν εἰρήνην παράσχου ταῖς ψυχαῖς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

Τὰ θαύματα τῶν ἁγίων σου μαρτύρων τεῖχος ἀκαταμάχητον ἡμῖν δωρησάμενος, Χριστὲ ὁ Θεὸς, ταῖς αὐτῶν ἱκεσίαις βουλὰς ἐθνῶν διασκέδασον· τῆς βασιλείας τὰ σκῆπτρα κραταίωσον· ὡς μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Διωγμοὺς καὶ κινδύνους ὑπεξελθόντες· καὶ τυράννων τὰ θέατρα μὴ πτοηθέντες, παῤῥησίᾳ τὸν Χριστὸν ἀνεκήρυττον, καὶ βασάνων αἰκισμοὺς ὑπομείναντες στεῤῥῶς, εἰδώλων πλάνην καθεῖλον, καὶ κράτος τοῦ διαβόλου οἱ ἀθλοφόροι σαφῶς νικήσαντες.

Δόξα, τὸ νεκρώσιμον.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν, μετὰ δικαίων τοὺς δούλους σου, καὶ τούτους κατασκήνωσον ἐν ταῖς αὐλαῖς σου, καθὼς γέγραπται· παρορῶν, ὡς ἀγαθὸς, τὰ πλημμελήματα ἡμῶν τὰ ἑκούσια, καὶ τὰ ἀκούσια, καὶ πάντα τὰ ἐν ἀγνοίᾳ, καὶ γνώσει, μόνε φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ ἐκ παρθένου ἀνατείλας τῷ κόσμῳ, Χριστὲ ὁ Θεὸς, υἱοὺς φωτὸς δι' αὐτῆς ἀναδείξας, ἐλέησον ἡμᾶς.

Εἰς τοὺς αἴνους στιχ. μαρτυρικά. ἱστῶμεν στίχ. δ΄. ἦχος πλ. α΄.

Εὐλογημένος ὁ στρατὸς τοῦ βασιλέως τῶν οὐρανῶν, εἰ γὰρ καὶ γηγενεῖς ὑπῆρχον οἱ ἀθλοφόροι, ἀλλὰ ἀγγελικὴν ἀξίαν ἔσπευδον φθάσαι, τῶν σωμάτων καταφρονήσαντες, καὶ διὰ τῶν παθημάτων τῆς τῶν ἀσωμάτων ἀξιωθέντες τιμῆς· διὸ εὐχαῖς αὐτῶν, Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Οἱ ἀθλοφόροι σου, Κύριε, τὰς τάξεις τῶν ἀγγέλων μιμησάμενοι, ὡς ἀσώματοι ταῖς βασάνοις ἐνεκαρτέρησαν· μονολόγιστον ἐλπίδα ἔχοντες τῶν ἐπηγγελμένων ἀγαθῶν τὴν ἀπόλαυσιν· ταῖς αὐτῶν πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, τὴν εἰρήνην δώρησαι τῷ κόσμῳ σου, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

Οἱ ἅγιοι μάρτυρες ἐπὶ τῆς γῆς ἠγωνίσαντο, τῷ ἀέρι ἐνεκαρτέρησαν· τῷ πυρὶ παρεδόθησαν· τὸ ὕδωρ αὐτοὺς ὑπεδέξατο· ἐκείνων ἐστὶν ἡ φωνή· διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν· ταῖς πρεσβείαις αὐτῶν ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Ἐν ταῖς βασάνοις ὄντες οἱ ἅγιοι, ἀγαλλιώμενοι ἐβόων, συναλλάγματα ἡμῖν ἐστὶ ταῦτα πρὸς τὸν δεσπότην· ἀντὶ τῶν ἐπανισταμένων μωλώπων τῷ σώματι φωτεινὸν ἔνδυμα ἐν τῇ ἀναστάσει ἐπανθήσει ἡμῖν· ἀντὶ τῆς ἀτιμίας οἱ στέφανοι· ἀντὶ δεσμωτηρίων ὁ παράδεισος· καὶ ἀντὶ τῆς μετὰ τῶν κακούργων καταδίκης ἡ μετ' ἀγγέλων διαγωγή· διὸ εὐχαῖς αὐτῶν, Κύριε, σῶσον τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ Νεκρώσιμον.

Σύ ἔπλασάς με, Κύριε, καὶ ἔθηκας ἐπ' ἐμὲ τὴν χεῖρά σου· καὶ ἐνετείλω, καὶ εἶπας, εἰς γῆν πάλιν πορεύσῃ, ὁδήγησόν με εἰς εὐθείαν ὁδόν σου, συγχώρησόν μοι τὰ πλημμελήματά μου, καὶ σῶσόν με δέομαι φιλάνθρωπε.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, ὅτι ἐκ σοῦ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης Χριστὸς ὁ ἔχων τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχ. τὰ προσόμοια, ἦχος πλ. α΄.

Χαίροις ἀσκητικῶν.

Αἴγλη τοῦ σοῦ προσώπου, Χριστὲ, τοὺς μεταστάντας, ὡς οἰκτίρμων, κατάταξον, σκήνωσαι εἰς τόπον χλόης, ἐπὶ ὑδάτων τῆς σῆς ἀκραιφνοῦς, καὶ θείας ἀναπαύσεως, ἐν τοῖς ὀρεκτοῖς κόλποις Ἀβραὰμ τοῦ προπάτορος· ἔνθα τὸ φῶς σου καθαρὸν ἐπιφαίνεται, καὶ προχέουσιν αἱ πηγαὶ τῆς χρηστότητος· ἔνθα περιχορεύουσι, γαννῶς ἀγαλλόμεναι αἱ τῶν ἁγίων χορεῖαι περὶ τὴν σὴν ἀγαθότητα· μεθ' ὧν κατατάξαι τοὺς οἰκέτας σου, παρέχου τὸ μέγα ἔλεος.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω.

Ψάλλειν παναρμονίῳ φωνῇ, δοξολογοῦντας τὸ σὸν κράτος εὐδόκησον, οἰκτίρμων, τοὺς μεταστάντας ἐκ τῶν προσκαίρων πρὸς σὲ τὸν δεσπότην πάντων, καὶ φιλάνθρωπον, διδοὺς ὡραιότητος τοῦ σοῦ κάλλους ἐλλάμπεσθαι· καὶ τῆς γλυκείας, καὶ τερπνῆς μετουσίας σου ἀπολαύειν τε, καὶ τρυφᾶν καθαρώτερον· ἔνθα περὶ θρόνον σου χορεύουσιν ἄγγελοι, καὶ τῶν ἁγίων οἱ δῆμοι χαρμονικῶς περιέπουσι· μεθ' ὧν τοῖς σοῖς δούλοις τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Στίχ. Καὶ τὸ μνημόσυνον.

Ὅπου τῶν προφητῶν ὁ χορὸς, τῶν ἀποστόλων, καὶ μαρτύρων τὰ τάγματα, καὶ πάντες οἱ ἀπ' αἰῶνος δικαιωθέντες τῷ σῷ σωτηρίῳ πάθει, καὶ τῷ αἵματι, δι' οὗ ἐξηγόρασας τὸν αἰχμάλωτον ἄνθρωπον, ἐκεῖ τοὺς πίστει κοιμηθέντας ἀνάπαυσον, ὡς φιλάνθρωπος, συγ-

χωρῶν

Digitized by Google

χωεῶν καὶ τὰ πταίσματα· μόνος γὰρ ἀναμάρτητος ἐν γῇ πεπολίτευσαι· ἅγιος μόνος, καὶ μόνος ἐν τεθνεῶσιν ἐλεύθερος· διὸ τοῖς σοῖς δούλοις τὴν ἀνάπαυσιν παράσχου, καὶ μέγα ἔλεος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Νόμῳ τῆς ἁμαρτίας ἡμῶν δεδουλωμένους ἠλευθέρωσας, πάναγνε· ἐν μήτρᾳ τὸν νομοδότην, καὶ βασιλέα Θεὸν συλλαβοῦσα, μόνη μητροπάρθενε· δι᾽ οὗ δικαιούμεθα δωρεᾷ τε, καὶ χάριτι· ὃν νῦν δυσώπει τὰς ψυχὰς τῶν ὑμνούντων σε Θεομήτορα, κατατάξαι ἐν βίβλῳ ζωῆς, ὅπως τῇ μεσιτείᾳ σου σωθέντες, πανάμωμε, τοῦ υἱοῦ σου εὐκταίας ἀπολυτρώσεως τύχωμεν, αὐτὸν προσκυνοῦντες τὸν παρέχοντα τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ι΄. καὶ ψάλλομεν στιχηρὰ κατανυκτικὰ τῆς Ὀκτωήχου δ΄ τοῦ Τριῳδίου γ΄. καὶ τοῦ Μηναίου γ΄. στιχηρὰ κατανυκτικά· ἦχος πλ. β΄.

Μετάνοιαν οὐ κέκτημαι, ἀλλ᾽ οὐδὲ πάλιν δάκρυα· διὰ τοῦτο ἱκετεύω σε, Σωτήρ, πρὸ τέλους ἐπιστρέψαι, καὶ δοῦναί μοι κατάνυξιν, ὅπως ῥυσθήσωμαι τῆς κολάσεως.

Ἐν τῇ φρικτῇ παρουσίᾳ σου, Χριστὲ, μὴ ἀκούσωμεν, οὐκ οἶδα ὑμᾶς. τὴν γὰρ ἐλπίδα ἐπὶ σοὶ τῷ Σωτῆρι ἐθέμεθα, εἰ καὶ τὰ σὰ προστάγματα οὐ πράττομεν διὰ τὴν ἀμέλειαν ἡμῶν· ἀλλὰ φεῖσαι τῶν ψυχῶν ἡμῶν, δεόμεθα.

Τὰ τῆς καρδίας μου τραύματα ἐκ πολλῶν ἁμαρτημάτων φύντα μοι ἰάτρευσον, Σωτὴρ, ὁ τῶν ψυχῶν, καὶ σωμάτων ἰατρός· καὶ παρέχων τοῖς αἰτοῦσι πταισμάτων τὴν συγχώρησιν, παράσχου μοι δάκρυα μετανοίας· δίδους μοι τὴν λύσιν τῶν ὀφλημάτων, Κύριε, καὶ ἐλέησόν με.

Γυμνόν με εὑρὼν τῶν ἀρετῶν ὁ ἐχθρὸς τῷ βέλει τῆς ἁμαρτίας ἔτρωσεν· ἀλλὰ σὺ ὡς ἰατρὸς ψυχῶν τε, καὶ σωμάτων τὰ τραύματα τῆς ψυχῆς μου θεράπευσον ὁ Θεὸς, καὶ ἐλέησόν με.

Τῇ Δευτέρᾳ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. κατανυκτικά· ἦχος πλ. β΄.

Ἐννοῶ τὴν ἡμέραν τὴν φοβερὰν, καὶ θρηνῶ μου τὰς πράξεις τὰς πονηράς· πῶς ἀπολογήσομαι τῷ ἀθανάτῳ βασιλεῖ; ποίᾳ παῤῥησίᾳ ἀτενίσω τῷ κριτῇ ὁ ἄσωτος ἐγώ; εὔσπλαγχνε πάτερ, Υἱὲ μονογενὲς, τὸ Πνεῦμα τὸ ἅγιον ἐλέησόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Εἰς τὴν κοιλάδα τοῦ κλαυθμῶνος, εἰς τὸν τόπον ὃν διέθου, ὅταν καθίσῃς, ἐλεῆμον, ποιῆσαι δικαίαν κρίσιν, μὴ δημοσιεύσῃς μου τὰ κεκρυμμένα, μὴ δὲ καταισχύνῃς με ἐνώπιον τῶν ἀγγέλων· ἀλλὰ φεῖσαί μου ὁ Θεὸς, καὶ ἐλέησόν με.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν ὑπερένδοξον τοῦ Θεοῦ Μητέρα, καὶ τῶν ἁγίων Ἀγγέλων ἁγιωτέραν, ἀσιγήτως ὑμνήσωμεν καρδίᾳ, καὶ στόματι. Θεοτόκον αὐτὴν ὁμολογοῦντες, ὡς κυρίως γεννήσασαν Θεὸν σεσαρκωμένον, καὶ πρεσβεύουσαν ἀπαύστως ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐν τῇ ζ΄. ᾠδῇ τὸ Μαρτυρικόν.

Φωστῆρες δικαίοις διὰ παντός· οἱ γὰρ ἅγιοι ἐν σοὶ φωτισθέντες, καταλάμπουσιν ἀεὶ ὡς φωστῆρες, λύχνον ἀσεβῶν σβέσαντες· ὧν ταῖς εὐχαῖς, Σωτὴρ ἡμῶν, σὺ φώτισον λύχνον μου, Κύριε, καὶ σῶσόν με.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. κατανυκτικά· ἦχος πλ. β΄.

Τῶν φρονίμων παρθένων τὸ ἄγρυπνον δώρησαί μοι, Κύριε, καὶ τῆς ψυχῆς μου τὴν λαμπάδα φαίδρυνον ἐν ἐλαίῳ τῶν σῶν οἰκτιρμῶν, ἵνα τῶν ἀγγέλων τὸν ὕμνον βοῶ σοι, τὸ ἀλληλούϊα.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς· πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς δεσπότῃ οἱ ἁμαρτωλοὶ προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα, καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν, ῥυσθείημεν διὰ σοῦ τῶν περιστάσεων, σὺ γὰρ εἶ ἡ σωτηρία τοῦ γένους τῶν χριστιανῶν.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ σοῦ κομισάμενοι, κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων, ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας· δι᾽ αὐτῶν ὁ Θεὸς δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. σταυρώσιμα· ἦχος πλ. β΄.

Σήμερον τὸ προφητικὸν πεπλήρωται λόγιον· ἰδοὺ γὰρ προσκυνοῦμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες σου, Κύριε, καὶ ξύλου σωτηρίας γευσάμενοι, τῶν ἐξ ἁμαρτίας παθῶν ἐλευθερίας ἐτύχομεν πρεσβείαις τῆς Θεοτόκου, μόνε φιλάνθρωπε.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Ὁ Σταυρός σου, Κύριε, ἡγίασται· ἐν αὐτῷ γὰρ γίνονται ἰάματα τοῖς ἀσθενοῦσιν ἐν ἁμαρτίαις· δι᾽ αὐτοῦ σοὶ προσπίπτομεν, ἐλέησον ἡμᾶς.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Ἡ σὲ κυήσασα, Χριστὲ, ἀειπάρθενος κόρη, ἐν τῷ σταυρῷ σε δι᾽ ἡμᾶς ὑψωθέντα ὁρῶσα, ἐτίτρωτο λύπης ῥομφαίᾳ τὴν ψυχήν. καὶ

ἔκλαιε

Digitized by Google

ἔκλαιε θρηνωδοῦσα μητρικῶς. αὐτῆς ταῖς παρακλήσεσι ἐλέησον ἡμᾶς, Κύριε τοῦ ἐλέους.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικοὶ αἰκισμοὶ ἐπὶ τοὺς μάρτυρας, καὶ ἵσαντο χοροὶ τῶν Ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης· ἐξέστησαν τυράννους, καὶ βασιλεῖς οἱ σοφοὶ, καθεῖλον τὸν βελίαρ ὁμολογίᾳ Χριστοῦ, ὁ ἐνισχύσας αὐτοὺς, Κύριε δόξα σοι.

Τῇ ε. εἰς τὸν ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. Ἀποστολικά· ἦχος πλ. β'.

Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου παρεγένου, Σωτὴρ, τὴν εἰρήνην διδοὺς αὐτοῖς, ἐλθὲ καὶ μεθ' ἡμῶν, καὶ σῶσον ἡμᾶς.

Στιχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

Οἱ μαθηταί σου, Ἰησοῦ, ἐπὶ τὰ πέρατα τῆς γῆς στελλόμενοι, τὰ ἔθνη εὐσεβῶς ὡς ἰχθύας ζωγρήσαντες, προσήνεγκαν τῇ σῇ ἀγαθότητι, Κύριε· καὶ δι' αὐτῶν βοῶμέν σοι φιλάνθρωπε, τῷ λαῷ σου παράσχου τὸ μέγα ἔλεος.

Δόξα, καὶ νῦν, Θεοτοκίον.

Ἁγία δέσποινα, Χριστοῦ τοῦ Θεοῦ ἡμῶν μῆτερ, ὡς τῶν ἁπάντων ποιητὴν ἀπορρήτως τεκοῦσα, ἱκέτευε σὺν ἀποστόλοις ἱεροῖς ἑκάστοτε τὴν ἀγαθότητα αὐτοῦ, παθῶν ἡμᾶς λυτρώσασθαι· καὶ ἄφεσιν ἡμῖν δοῦναι ἁμαρτημάτων.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Τῶν ἀθλοφόρων σου ἡ μνήμη, Κύριε, ἀνεδείχθη ὡς Παράδεισος ὁ ἐν Ἐδέμ· ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ κτίσις, καὶ παράσχου ἡμῖν τῇ αὐτῶν παρακλήσει εἰρήνην, Χριστὲ, καὶ τὸ μέγα ἔλεος.

Τῇ Παρασκευῇ εἰς τὸν ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. σταυρώσιμα, ἦχος πλ. β'.

Μόνον ἐπάγη τὸ ξύλον, Χριστὲ, τοῦ Σταυροῦ σου, τὰ θεμέλια ἐσαλεύθη τοῦ θανάτου, Κύριε· ὃν γὰρ κατέπιε πόθῳ ὁ ᾅδης, ἀπέλυσε τρόμῳ· ἔδειξας ἡμῖν τὸ σωτήριόν σου, ἅγιε, δοξολογοῦμέν σε, Υἱὲ Θεοῦ, ἐλέησον ἡμᾶς.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Κύριε, κατέκριναν σε Ἰουδαῖοι θανάτῳ τὴν ζωὴν τῶν ἁπάντων, οἱ τὴν ἐρυθρὰν ῥάβδῳ πεζεύσαντες σταυρῷ σε προσήλωσαν, καὶ οἱ ἐκ πέτρας μέλι θηλάσαντες χολήν σοι προσήνεγκαν· ἀλλ' ἑκὼν ὑπέμεινας, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῆς δουλείας τοῦ ἐχθροῦ, Χριστὲ ὁ Θεὸς ἡμῶν δόξα σοι.

Δόξα. Καὶ νῦν, σταυροθεοτ.

Θεοτόκε Παρθένε, ἱκέτευε τὸν υἱόν σου, τὸν ἑκουσίως προσπαγέντα ἐν σταυρῷ· καὶ ἀναστάντα ἐκ νεκρῶν Χριστὸν τὸν Θεὸν ἡμῶν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Τοὺς ἐν σταδίῳ τὸν Χριστὸν κηρύξαντας, καὶ τῶν ἀνόμων ἀπειλὰς μὴ πτήξαντας ἐθαυμάστωσεν ὁ Κύριος· καθεῖλον γὰρ ἀθλητικῇ καρτερίᾳ τὰ θράση τῶν παρανόμων· ἔλαβον παρὰ Χριστοῦ ἐπαξίως τὴν χάριν τῶν ἰαμάτων, ἀπαύστως δεόμενοι σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ παρασκευῇ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ι. καὶ ψάλλομεν μετὰ τὸ ἰδιόμελον τῆς ἡμέρας δὶς, τὰ παρόντα Μαρτυρικὰ δ'. καὶ τοῦ Μηναίου δ'.

Στιχηρ. Μαρτυρικά· ἦχος πλ. β'.

Οἱ μάρτυρές σου, Κύριε, οὐκ ἠρνήσαντό σε, οὐκ ἀπέστησαν ἀπὸ τῶν ἐντολῶν σου, ταῖς αὐτῶν πρεσβείαις ἐλέησον ἡμᾶς.

Οἱ μαρτυρήσαντες διὰ σὲ, Χριστὲ, πολλὰς βασάνους ὑπέμειναν, πρεσβείαις, Κύριε, καὶ εὐχαῖς αὐτῶν πάντας ἡμᾶς διαφύλαξον.

Οἱ ἀθλοφόροι μάρτυρες, καὶ οὐρανοπολῖται ἐπὶ γῆς ἀθλήσαντες, πολλὰς βασάνους ὑπέμειναν, καὶ τέλειον ἀπέλαβον τὸν στέφανον ἐν οὐρανοῖς· ἵνα πρεσβεύωσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Σταυρός σου, Κύριε, τοῖς μάρτυσι γέγονεν ὅπλον ἀήττητον· ἔβλεπον γὰρ τὸν προκείμενον θάνατον, καὶ προβλέποντες τὴν μέλλουσαν ζωὴν, τῇ ἐλπίδι τῇ εἰς σὲ ἐνεδυναμοῦντο. αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Δόξα, τὸ νεκρώσιμον.

Ἀρχή μοι, καὶ ὑπόστασις τὸ πλαστουργόν σου γέγονε πρόσταγμα· βουληθεὶς γὰρ ἐξ ἀοράτου τε, καὶ ὁρατῆς με ζῶον, συμπῆξαι φύσεως, γῆθεν μου τὸ σῶμα διέπλασας, δέδωκας δέ μοι ψυχὴν τῇ θείᾳ σου καὶ ζωοποιῷ ἐμπνεύσει· διὸ, Σωτὴρ, τοὺς δούλους σου ἐν χώρᾳ ζώντων, ἐν σκηναῖς δικαίων ἀνάπαυσον.

Τίς μὴ μακαρίσει σε, παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενὴς· ὁ αὐτὸς ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν ἀφράστως σαρκωθεὶς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων ἀσυγχύτως γνωριζόμενος, αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν α. στιχολ. καθίσ. Μαρτυρικά· ἦχος πλ. β'.

Ἀθλητικὸν ἀγῶνα ὑπομείναντες οἱ ἅγιοι, καὶ τὰ βραβεῖα τῆς νίκης παρὰ σοῦ κομισάμενοι, κατήργησαν τὰς ἐπινοίας τῶν παρανόμων, ἐδέξαντο στεφάνους τῆς ἀφθαρσίας· δι' αὐτῶν ὁ Θεὸς δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

Ἀθλητικαὶ ἐνστάσεις ἐπὶ τῷ σκάμματι, τυραννικοὶ αἰκισμοὶ ἐπὶ τοὺς μάρτυρας, καὶ ἵσαντο χοροὶ τῶν ἀσωμάτων, βραβεῖα κατέχοντες τῆς νίκης, ἐξέστησαν τυράννους, καὶ βασιλεῖς οἱ σοφοὶ, καθεῖλον τὸν βελίαρ ὁμολογίᾳ

Χρι-

Digitized by Google

Χριςὲ, ὁ εὐσχύσας αὐτοὺς, Κύριε δόξα σοι.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Τῶν ἁγίων σου ἡ μνήμη, Κύριε, σήμερον ἀνεδείχθη, ὡς Παράδεισος ὁ ἐν Ἐδὲμ· ἐν αὐτῇ γὰρ ἀγάλλεται πᾶσα ἡ κτίσις, καὶ παράσχου ἡμῖν τῇ αὐτῶν παρακλήσει εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Δόξα, τὸ Νεκρώσιμον.

Ἀληθῶς ματαιότης τὰ σύμπαντα, ὁ δὲ βίος σκιὰ, καὶ ἐνύπνιον· καὶ γὰρ μάτην ταράττεται πᾶς γηγενὴς, ὥς εἶπεν ἡ γραφή· ὅτε τὸν Κόσμον κερδήσωμεν, τότε τῷ τάφῳ οἰκήσωμεν, ὅπου ὁμοῦ Βασιλεῖς καὶ πτωχοί· διὸ Χριστὲ ὁ Θεὸς, τοὺς μεταστάντας ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐλπὶς τοῦ Κόσμου ἀγαθὴ, Θεοτόκε παρθένε, τὴν σὴν καὶ μόνην φοβερὰν προστασίαν αἰτοῦμεν, σπλαγχνίσθητι εἰς ἀπερίστατον λαὸν, δυσώπησον τὸν ἐλεήμονα Θεὸν, ῥυσθῆναι τὰς ψυχὰς ἡμῶν ἐκ πάσης ἀπειλῆς, μόνη εὐλογημένη.

Εἰς τοὺς αἴνους στιχηρὰ Μαρτυρικά.

ἱστῶμεν στίχ. δ'. ἦχος πλ. β'.

Κύριε, ἐν τῇ μνήμῃ τῶν ἁγίων σου πᾶσα ἡ κτίσις ἑορτάζει, οἱ Οὐρανοὶ ἀγάλλονται σὺν τοῖς Ἀγγέλοις, καὶ ἡ γῆ εὐφραίνεται σὺν τοῖς ἀνθρώποις· αὐτῶν ταῖς παρακλήσεσιν ἐλέησον ἡμᾶς.

Στίχ. Ἐν ἤχῳ σάλπιγγος.

Κύριε, εἰ μὴ τοὺς ἁγίους σου εἴχομεν πρεσβεύοντας, καὶ τὴν ἀγαθότητά σου συμπαθοῦσαν ἡμῖν, πῶς ἐτολμῶμεν, Σωτὴρ, ὑμνῆσαί σε, ὃν εὐλογοῦσιν Ἄγγελοι, καρδιογνῶστα, φεῖσαι τῶν ψυχῶν ἡμῶν.

Στίχ. Ἐν τυμπάνῳ, καὶ χορῷ.

Μνήμη μαρτύρων ἀγαλλίαμα τοῖς φοβουμένοις τὸν Κύριον· ἀθλήσαντες γὰρ διὰ Χριστὸν, στεφάνους παρ' αὐτοῦ ἐκομίσαντο, καὶ νῦν ἐν παρρησίᾳ πρεσβεύουσιν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Στίχ. Ἐν κυμβάλοις.

Τοὺς ἐκλεκτοὺς ἐθαυμάστωσε, καὶ ἁγίους ὁ Θεὸς ἡμῶν· ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε πάντες οἱ δοῦλοι αὐτοῦ· ὑμῖν γὰρ ἡτοίμασε τὸν στέφανον, καὶ τὴν βασιλείαν αὐτοῦ· ἀλλ' αἰτοῦμεν καὶ ἡμῶν μὴ ἐπιλαθέσθαι.

Δόξα, τὸ Νεκρώσιμον.

Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισεν ἡ τοῦ ξύλου ἀπόγευσις πάλαι ἐν Ἐδὲμ, ὅτε ὄφις ἰὸν ἐξηρεύξατο· δι' αὐτοῦ γὰρ εἰσῆλθεν ὁ θάνατος, παγγενῆ κατεσθίων τὸν ἄνθρωπον· ἀλλ' ἐλθὼν ὁ Δεσπότης καθεῖλε τὸν δράκοντα, καὶ ἀνάστασιν ἡμῖν ἐδωρήσατο· πρὸς αὐτὸν οὖν βοήσωμεν, φεῖσαι, Σωτὴρ, καὶ οὓς προσελάβου, ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Πρεσβείαις τῆς τεκούσης σε, Χριστὲ, καὶ τῶν μαρτύρων σου, Ἀποστόλων, προφητῶν, Ἱεραρχῶν, ὁσίων, καὶ δικαίων, καὶ πάντων τῶν ἁγίων, τοὺς κοιμηθέντας δούλους σου ἀνάπαυσον.

Ἀπόστιχ. στιχη. προσόμοια τοῦ Κυρίου Θεοφάνους, ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Ἔχων ἀκατάληπτον τὴν εἰς ἡμᾶς εὐσπλαγχνίαν, καὶ πηγὴν ἀκένωτον θεϊκῆς χρηστότητος, πολυέλεε, τοὺς πρὸς σὲ, Δέσποτα, μεταβεβηκότας ἐν γῇ ζώντων κατασκήνωσον εἰς τὰ σκηνώματα τὰ ἀγαπητὰ, καὶ ποθούμενα, καταξιώσας δωρεὰν ἐκείνοις τὴν θνητῶς ἠμφιεσμένην, σὺ γὰρ ὑπὲρ πάντων ἐξέχεας τὸ αἷμα σου, Χριστὲ, καὶ ζωηφόρῳ τιμήματι Κόσμον ἐξηγόρασας.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω.

Νέκρωσιν ὑπέμεινας ζωοποιὸν ἑκουσίως, καὶ ζωὴν ἐπήγασας, καὶ τρυφὴν ἀΐδιον πιστοῖς δέδωκας, ἐν ᾗ κατάταξον τοὺς κεκοιμημένους ἐπ' ἐλπίδι ἀναστάσεως· τὰ τούτων πταίσματα πάντα συγχωρῶν ἀγαθότητι· ὡς μόνος ἀναμάρτητος, μόνος ἀγαθὸς, καὶ φιλάνθρωπος· ἵνα διὰ πάντων ὑμνεῖταί σου τὸ ὄνομα, Χριστὲ, καὶ σεσωσμένοι δοξάζομεν τὴν φιλανθρωπίαν σου.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

Ζώντων κυριεύοντα θεαρχικῇ ἐξουσίᾳ, καὶ νεκρῶν δεσπόζοντά σε, Χριστὲ, γινώσκομεν, πολυέλεε· τοὺς πιστοὺς δούλους σου, τοὺς πρὸς σὲ τὸν μόνον εὐεργέτην ἐκδημήσαντας αὐτὸς ἀνάπαυσον σὺν τοῖς ἐκλεκτοῖς σου, φιλάνθρωπε, ἐν τόποις ἀναψύξεως, ἐν ταῖς τῶν ἁγίων λαμπρότησι, θελητὴς ἐλέους ὑπάρχεις γὰρ, καὶ σώζεις, ὡς Θεὸς, οὓς κατ' εἰκόνα σου ἔπλασας, μόνε πολυέλεε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὤφθης ἐνδιαίτημα θεοπρεπὲς, παναγία, καὶ Θεὸν ἐχώρησας, καὶ Θεὸν ἐγέννησας, ἀπειρόγαμε, ἐν δυσὶ φύσεσιν, ἐν δυσὶν οὐσίαις, ἐν μιᾷ δὲ ὑποστάσει, ἁγνὴ, αὐτὸν ἱκέτευε τὸν μονογενῆ, καὶ πρωτότοκον, τὸν σὲ παρθένον ἄφθορον καὶ μετὰ τὸν τόκον φυλάξαντα, ψυχὰς ἀναπαῦσαι τῶν πίστει κοιμηθέντων εὐσεβῶς ἐν ἀκηράτῳ φαιδρότητι, καὶ μακαριότητι.

Τῇ κυριακῇ ἑσπέρας εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχ. ί. καὶ ψάλλομεν στιχη. κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. τοῦ Τελωδίου γ'. Καὶ τοῦ Μηναίου γ'. στιχηρὰ Κατανυκτικά· ἦχος βαρύς.

Ὡς ὁ ἄσωτος υἱὸς ἦλθον κἀγὼ, οἰκτίρμον, δέξαι με προσπίπτοντα ὡς ἕνα τῶν μισθίων σου. ὁ Θεὸς καὶ ἐλέησόν με.

Ὡς ὁ περιπεσὼν εἰς τοὺς λῃστάς, καὶ τραυματισμένος, οὕτω κἀγὼ περιέπεσα ἐξ ἐμῶν ἁμαρτιῶν, καὶ τραυματισμένη ὑπάρχει μου ἡ ψυχή· πρὸς τίνα καταφύγω ὁ ὑπεύθυνος ἐγώ, εἰ μὴ πρὸς σὲ τὸν εὔσπλαγχνον τῶν ψυχῶν τὸν ἰατρόν; ἐπίχεε ἐπ' ἐμὲ ὁ Θεὸς τὸ μέγα σου ἔλεος.

Ὡς τὴν συκῆν τὴν ἄκαρπον μὴ ἐκκόψῃς με, Σωτήρ, τὸν ἁμαρτωλόν, ἀλλ' ἐπὶ πολὺ τῷ ἔτει συγχώρησίν μοι δώρησαι, ἀρδεύων μου τὴν ψυχὴν τοῖς δάκρυσι τῆς μετανοίας, ἵνα καρπὸν προσενέγκω σοι ἐλεημοσύνης.

Ὡς Ἥλιος ὑπάρχων δικαιοσύνης, φωταγώγησον τὰς καρδίας τῶν σὲ ὑμνούντων, Κύριε δόξα σοι.

Τῇ δευτέρᾳ εἰς τὸν Ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. κατανυκτικά· ἦχος βαρύς.

Ἔχουσα, ψυχή μου, τὸ ἰατρεῖον τῆς μετανοίας, προσέλθε δακρύουσα ἐν στεναγμοῖς, κραυγάζουσα τῷ ἰατρῷ ψυχῶν τε, καὶ σωμάτων· ἐλευθέρωσόν με, φιλάνθρωπε, ἐκ τῶν ἐμῶν πλημμελημάτων· συναρίθμησόν με τῇ πόρνῃ, καὶ τῷ λῃστῇ, καὶ τῷ τελώνῃ· καὶ δώρησαί μοι ὁ Θεὸς τῶν ἀνομιῶν μου τὴν συγχώρησιν, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Τοῦ τελώνου τὴν μετάνοιαν οὐκ ἐζήλωσα, καὶ τῆς πόρνης τὰ δάκρυα οὐ κέκτημαι· ἀπορῶ γὰρ ἐκ προφάσεως τῆς τοιαύτης διορθώσεως· ἀλλὰ τῇ σῇ εὐσπλαγχνίᾳ ὁ Θεὸς σῶσόν με, ὡς φιλάνθρωπος.

Δ ξα. Καὶ νῦν. Θεοτοκίον.

Τιμιωτέρα τῶν ἐνδόξων Χερουβὶμ ὑπάρχεις, παναγία Παρθένε· ἐκεῖνα γὰρ τὴν θείαν μὴ φέροντα ἔκλαμψιν, πτέρυξι κεκαλυμμένῳ προσώπῳ τὴν λειτουργίαν ἐπιτελοῦσιν· αὐτὴ δὲ σεσαρκωμένον τὸν Λόγον αὐτόπτως ὁρῶσα φέρεις· ὃν ἀπαύστως ἱκέτευε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἐν τῇ ζ'. ᾠδῇ τὸ Μαρτυρικόν.

Οἱ ἅγιοί σου, Κύριε, ἐπὶ τῆς γῆς ἀγωνισάμενοι τὸν ἐχθρὸν κατεπάτησαν, καὶ τῶν εἰδώλων τὴν πλάνην κατήργησαν· διὸ καὶ τοὺς στεφάνους παρὰ σοῦ ἐκομίσαντο τοῦ φιλανθρώπου δεσπότου, καὶ ἐλεήμονος Θεοῦ, τοῦ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά· ἦχος βαρύς.

Ὁ τῆς πόρνης τὰ δάκρυα, καὶ τοῦ Πέτρου προσδεξάμενος, ὁ τελώνην δικαιώσας ἐκ βάθους στενάξαντα, κἀμὲ ἀπεγνωσμένον ἐξ ἔργων οἰκτειρον, Σωτήρ, καὶ σῶσόν με.

Στίχ. Κύριε, μὴ τῷ θυμῷ σου.

Ὁ τοῦ Πέτρου τὴν ἄρνησιν τοῖς δάκρυσι καθαρίσας, καὶ τοῦ τελώνου τὰ πταίσματα τῷ στεναγμῷ συγχωρήσας, φιλάνθρωπε δόξα σοι.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὑπερέβης τὰς δυνάμεις τῶν οὐρανῶν, ὅτι ναὸς ἐδείχθης θεϊκός, εὐλογημένη Θεοτόκε, ὡς τεκοῦσα Χριστόν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἀγαλλιᾶσθε δίκαιοι, εὐφραινέσθω τὰ οὐράνια· ἐπὶ γῆς γὰρ οἱ μάρτυρες ἀγωνισάμενοι, τὴν πλάνην κατήργησαν· σκιρτάτω ἡ Ἐκκλησία, τὰ νικητήρια ἑορτάζουσα τῷ ἀθλοθέτῃ, καὶ μόνῳ νικοποιῷ Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι τῷ Κόσμῳ τὸ μέγα ἔλεος.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. σταυρώσιμα· ἦχος βαρύς.

Ἡ Ἐκκλησία βοᾷ σοι, Χριστὲ ὁ Θεός, ἐν κέδρῳ, καὶ πεύκῃ, καὶ κυπαρίσσῳ προσκυνοῦσά σε, νίκας τοῖς Βασιλεῦσιν ἡμῶν διὰ τῆς Θεοτόκου δωρούμενος, ἐλέησον ἡμᾶς.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

Ὁ δι' ἐμὲ ἀναχόμενος τῆς ἐν Σταυρῷ προσηλώσεως, δέξαι μου τὴν ἄγρυπνον αἴνεσιν, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Δόξα. Καὶ νῦν· σταυροθεοτ.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεόν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος ἀπαύστως ἱκέτευε, Θεοτόκε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Τῆς ἀθεότητος τῶν τυράννων καταφρονήσαντες, καὶ τῶν βασάνων τὸ ἄλγος παραβλεψάμενοι ἅγιοι, τὴν πίστιν τὴν εἰς Χριστὸν οὐκ ἠρνήσασθε· διὸ ἱκετεύσατε τὸν φιλάνθρωπον Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ ε'. εἰς τὸν Ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. Ἀποστολικά· ἦχος βαρύς.

Γεωργοὺς ἀγροῦ σου ἀνέδειξας τοὺς Ἀποστόλους σου, Λόγε, ἐκτέμνοντας τὰ εἴδωλα· διό σε τὸν δεσπότην εἰς τὰ ἔθνη κηρύξαντες, εὐσεβὰς ἐμεγάλυναν.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν.

Τῶν πανευφήμων Ἀποστόλων μνημόσυνα τῆς Ἐκκλησίας οἱ τρόφιμοι ποιούμενοι ᾠδαῖς ᾀσμάτων ὑμνήσωμεν Χριστόν· αὐτοὶ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσαν κηρύξει τῆς μετανοίας, οἱ τῆς πλάνης διῶκται, καὶ τοῦ Κόσμου λαμπτῆρες, καὶ πρεσβευταὶ τῆς Οἰκουμένης.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, ἐξ ἧς ἀρρήτως ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· χαῖρε σεμνή, τῶν Ἀποστόλων καὶ μαρτύρων τὸ ἀγαλλίαμα, καὶ πιστῶν σωτηρία, χαῖρε μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Ἅγιοι πρεσβεύσατε, ἄφεσιν δοθῆναι ἡμῖν τῶν πλημμελημάτων ἡμῶν, καὶ τῶν προσδοκωμένων δεινῶν, ῥυσθῆναι ἡμᾶς πικροῦ θανάτου, δεόμεθα.

Τῇ

Digitized by Google

Τῇ Παρασκευῇ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. σταυρώσιμα, ἦχος βαρύς.

Πρὸς φωτεινότερον, φλογὸς ἐνεργέστερον τὸ ξύλον ἀνέδειξας τὸ τοῦ Σταυροῦ σου, καταφλέγων ἁμαρτίας τῶν νοσούντων, καὶ φωτίζων τὰς καρδίας τῶν ὑμνούντων τὴν ἑκούσιόν σου σταύρωσιν, Χριστὲ ὁ Θεὸς δόξα σοι.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεόν.

Ὁ δεσπόζων ἀσωμάτων δυνάμεων, καὶ γινώσκων τῆς ψυχῆς μου τὸ ῥᾴθυμον, τῷ Σταυρῷ σου σῶσόν με, Χριστὲ ὁ Θεός, ὡς φιλάνθρωπος.

Σταυροθεοτ.

Τὸν σταυρωθέντα ὑπὲρ ἡμῶν Χριστὸν τὸν Θεόν, καὶ καθελόντα τοῦ θανάτου τὸ κράτος ἀπαύστως ἱκέτευε, Θεοτόκε, ἵνα σώσῃ τὰς ψυχὰς ἡμῶν.

Καὶ ἐν τῇ ζ΄. τὸ Μαρτυρικόν.

Οἱ μάρτυρές σου, Κύριε, τὸν ἐχθρὸν ἐτροπώσαντο, καὶ τὴν πλάνην τῶν εἰδώλων κατήσχυναν, καθοπλισάμενοι τοῦ Σταυροῦ τὴν δύναμιν· διὸ καὶ σὺν Ἀγγέλοις ἀνυμνοῦντες, κραυγάζουσι τὸν ἐπινίκιον ὕμνον, δοξολογοῦντές σε, Χριστέ· δι' αὐτῶν σε δυσωποῦμεν, σῶσον ἡμᾶς.

Τῇ Παρασκευῇ ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα τὸ ἰδιόμ. τῆς ἡμέρας δίς. Εἶτα τὰ παρόντα δ΄. Μαρτυρικὰ τοῦ ἤχου· καὶ τοῦ Μηναίου δ΄. Μαρτυρικά· ἦχος βαρύς.

Δόξα σοι, Χριστὲ ὁ Θεός, Ἀποστόλων καύχημα, μαρτύρων ἀγαλλίαμα, ὧν τὸ κήρυγμα Τριὰς ἡ ὁμοούσιος.

Ἅγιοι μάρτυρες, οἱ καλῶς ἀθλήσαντες, καὶ στεφανωθέντες, πρεσβεύσατε πρὸς Κύριον, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καταφρονήσαντες πάντων τῶν ἐπὶ γῆς, ἅγιοι μάρτυρες, καὶ ἐν σταδίῳ τὸν Χριστὸν ἀνδρείως κηρύξαντες, ἀμοιβὰς τῶν βασάνων παρ' αὐτοῦ ἐκομίσασθε· ἀλλ' ὡς ἔχοντες παῤῥησίαν, αὐτὸν ἱκετεύσατε, ὡς Θεὸν παντοδύναμον, τὰς ψυχὰς ἡμῶν σῶσαι τῶν εἰς ὑμᾶς προστρεχόντων δεόμεθα.

Πανεύφημοι μάρτυρες, θρέμματα πνευματικά, ὁλοκαυτώματα λογικά, θυσία δεκτή, εὐάρεστος τῷ Χριστῷ, ὑμᾶς οὐχ ἡ γῆ κατέκρυψεν, ἀλλ' οὐρανὸς ὑπεδέξατο. Ἀγγέλων συμμέτοχοι γεγόνατε, μεθ' ὧν ἱκετεύσατε, δεόμεθα, τῷ Σωτῆρι, καὶ Θεῷ ἡμῶν, εἰρηνεῦσαι τὸν κόσμον, καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

Δόξα, τὸ Νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

Ἀνάπαυσον, Σωτὴρ ἡμῶν ζωοδότα, οὓς μετέστησας ἀδελφοὺς ἡμῶν ἐκ τῶν προσκαίρων κράζοντας, δόξα σοι.

Καὶ νῦν. Θεοτοκίον.

Μήτηρ μὲν ἐγνώσθης ὑπὲρ φύσιν, Θεοτόκε, ἔμεινας δὲ Παρθένος ὑπὲρ λόγον, καὶ ἔννοιαν, καὶ τὸ θαῦμα τοῦ τόκου σου ἑρμηνεῦσαι γλῶσσα οὐ δύναται· παραδόξου γὰρ οὔσης τῆς συλλήψεως, ἁγνή, ἀκατάληπτός ἐστιν ὁ τρόπος τῆς κυήσεως· ὅπου γὰρ βούλεται Θεός, νικᾶται φύσεως τάξις, διό σε πάντες μητέρα τοῦ Θεοῦ γινώσκοντες, δεόμεθά σου ἐκτενῶς, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. Μαρτυρικά· ἦχος βαρύς.

Ἀγαλλιᾶσθε δίκαιοι, εὐφραινέσθω τὰ οὐράνια· ἐπὶ γῆς γὰρ οἱ μάρτυρες ἀγωνισάμενοι, τὴν πλάνην κατήργησαν, σκιρτάτω ἡ Ἐκκλησία, τὰ νικητήρια ἑορτάζουσα τῷ ἀθλοθέτῃ, καὶ μόνῳ νικοποιῷ Χριστῷ τῷ Θεῷ, τῷ παρέχοντι τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

Τῆς ἀθεότητος τῶν τυράννων καταφρονήσαντες, καὶ τῶν βασάνων τὸ ἄλγος παραβλεψάμενοι ἅγιοι, τὴν πίστιν τὴν εἰς Χριστὸν οὐκ ἠρνήσασθε· διὸ ἱκετεύσατε τὸν φιλάνθρωπον Θεόν, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

Ἅγιοι πρεσβεύσατε, ἄφεσιν δοθῆναι ἡμῖν τῶν πλημμελημάτων ἡμῶν, καὶ τῶν προσδοκωμένων δεινῶν, ῥυσθῆναι ἡμᾶς πικροῦ θανάτου δεόμεθα.

Δόξα, τὸ νεκρώσιμον.

Ἐν χώρᾳ ζώντων, Κύριε, καὶ ἐν σκηναῖς τῶν δικαίων σου ἀνάπαυσον τοὺς δούλους σου, ὧν τελοῦμεν τὴν μνήμην, φιλάνθρωπε, καὶ εἴ τι ἐπλημμέλησαν ἐν τῷ βίῳ ὑπάρχοντες, ὡς ἐλεήμων, συγχώρησον, καὶ εὐδιάλλακτος Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ὡς τῆς ἡμῶν ἀναστάσεως θησαύρισμα, τοὺς ἐπὶ σοὶ πεποιθότας, πανύμνητε, ἐκ λάκκου καὶ βυθοῦ πταισμάτων ἀνάγαγε· σὺ γὰρ τοὺς ὑπευθύνους τῇ ἁμαρτίᾳ ἔσωσας, τεκοῦσα τὴν σωτηρίαν ἡμῶν, ἡ πρὸ τόκου Παρθένος, καὶ ἐν τόκῳ Παρθένος, καὶ μετὰ τόκον Παρθένος μείνασα.

Εἰς τοὺς αἴνους Στιχηρὰ Μαρτυρικά. ἱστῶμεν στίχ. δ΄. ἦχος βαρύς.

Τὴν μνήμην τῶν ἁγίων σου ἀθλοφόρων ἑορτάζοντες, σὲ ὑμνοῦμεν, Χριστέ, βοῶντες, Κύριε δόξα σοι.

Ἐν μέσῳ τοῦ σταδίου τῶν παρανόμων ἀγαλλόμενοι ἀνεβόων οἱ ἀθλοφόροι, Χριστῷ βοῶντες, Κύριε δόξα σοι.

Φωστῆρες ἀνεδείχθησαν οἰκουμένης οἱ πανεύφημοι ἀθλοφόροι, Χριστῷ βοῶντες, Κύριε δόξα σοι.

Ἐμμένοντες, πρὸς ἓν βλέποντες οἱ ἀθλοφόροι μάρτυρες, μίαν ὁδὸν ζωῆς ἐρχόμενοι, τὸν ὑπὲρ Χριστοῦ θάνατον ζηλοτυποῦντες ἀλλήλους τῆς



Digitized by Google

πλούτης· ὦ τοῦ θαύματος, ὥσπερ θησαυροὺς τὰς βασάνους προαρπάζοντες, πρὸς ἀλλήλους ἔλεγον· ὅτι κἂν μὴ νῦν ἀποθάνωμεν, τεθνηξόμεθα πάντως, καὶ τῇ γεννήσει τὰ ὀφειλόμενα λειτουργήσωμεν, ποιήσωμεν τὴν ἀνάγκην φιλοτιμίαν, τὸ κοινὸν ἴδιον ἡγησώμεθα, θανάτῳ ζωὴν ὠνησάμενοι· ταῖς πρεσβείαις αὐτῶν ὁ Θεός, ἐλέησον ἡμᾶς.

Δόξα, τὸ Νεκρώσιμον.

Ψυχάς, ἃς προσελάβου Σωτὴρ τοῦ Κόσμου, ἐν σκηναῖς τῶν δικαίων καὶ ἐκλεκτῶν σου ἀνάπαυσον, Κύριε.

Καὶ νῦν. Θεοτοκίον.

Τὸ χαῖρέ σοι κραυγάζομεν σὺν τῷ Ἀγγέλῳ, Θεόνυμφε, παστάδα, καὶ πύλην, καὶ θρόνον πύρινον ἀποκαλοῦντές σε, καὶ ἀλατόμητον ὄρος, καὶ βάτον ἀκατάφλεκτον.

Εἰς τὸν στίχ. στιχ. προσόμοια τοῦ Κυρίου Θεοφάνους· ἦχος βαρύς.

Καταφρο.

Νενεκρωμένος ὡράθης ἐπὶ Σταυροῦ, μόνε ἀθάνατε, καὶ ἐν τάφῳ ὡς θνητὸς ἐτέθης, νεκρώσεως, καὶ φθορᾶς, καὶ θανάτου τοὺς ἀνθρώπους λυτρωσάμενος· ἀλλ' ὡς πέλαγος εὐσπλαγχνίας ὑπάρχων ἀκένωτον, καὶ πηγὴ ἀγαθότητος, τὰς ψυχὰς τῶν σῶν δούλων, τῶν ἐξ ἡμῶν μεταστάντων, ἀνάπαυσον.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω καὶ προσε.

Τῷ ἀκηράτῳ σου κάλλει, καὶ γλυκασμῷ τῆς ὡραιότητος, καὶ ταῖς τοῦ θείου σου φωτὸς ἀκτῖσιν ἐλλάμπεσθαι, τοὺς πρὸς σὲ μεταστάντας, ἀγαθέ, καταξίωσον, ἐν αὔλῳ φωτοχυσίᾳ τῆς φωτοφανίας σου, σὺν Ἀγγέλοις χορεύοντας περὶ σὲ τὸν Δεσπότην, καὶ Βασιλέα τῆς δόξης, καὶ Κύριον.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς.

Ὡς ἀδαπάνητον ἔχων τῶν δωρεῶν τὴν μεγαλοπρέπειαν, ὡς θησαυρὸς ἀνέλλιπὴς πλουσίας χρηστότητος, τοὺς πρὸς σὲ μεταστάντας, ὡς Θεός, κατασκήνωσον ἐν τῇ χώρᾳ τῶν ἐκλεκτῶν σου, ἐν τόπῳ ἀνέσεως, ἐν τῷ οἴκῳ τῆς δόξης σου, ἐν τρυφῇ Παραδείσου, ἐν τῷ τῶν παρθένων νυμφῶνι, ὡς εὔσπλαγχνος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Νόμου τὸ πλήρωμα τίκτεις, τὸν λυτρωτὴν σάρκα γενόμενον, οὐ γὰρ ἐγένετο τοῖς πρὶν ἐν νόμῳ δικαίωσις, δι' ἡμᾶς γὰρ ὁ Χριστὸς σταυρωθεὶς ἐδικαίωσεν· ὡς οὖν ἔχουσα παρρησίαν, ὡς Μήτηρ ἱκέτευε τὸν Υἱόν σου τὸν εὔσπλαγχνον, τὰς ψυχὰς ἀναπαῦσαι τῶν εὐσεβῶς μεταστάντων, πανύμνητε.

Τῇ Κυριακῇ Ἑσπέρας εἰς τό, Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ί. καὶ ψάλλομεν στιχ. κατανυκτικὰ τῆς Ὀκτωήχου δ'. τοῦ Τριῳδίου γ'. καὶ τοῦ Μηναίου γ'. στιχηρὰ κατανυκτικά· ἦχος πλ. δ'.

Σὲ τὸν Βασιλέα, καὶ Δεσπότην Ἄγγελοι ἀπαύστως ἀνυμνοῦσιν· ἐγὼ δέ σοι προσπίπτω, ὡς ὁ τελώνης κράζων, ὁ Θεὸς ἱλάσθητί μοι, καὶ σῶσόν με.

Ἀθάνατος ὑπάρχουσα ψυχή μου, τοῖς κύμασι τοῦ βίου μὴ καλύπτου· ἀνάνηψον βοῶσα πρὸς τὸν σὸν εὐεργέτην, ὁ Θεὸς ἱλάσθητί μοι καὶ σῶσόν με.

Δάκρυά μοι δὸς ὁ Θεός, ὥς ποτε τῇ γυναικὶ τῇ ἁμαρτωλῷ· καὶ ἀξίωσόν με βρέχειν τοὺς πόδας σου, τοὺς ἐμὲ ἐκ τῆς ὁδοῦ τῆς πλάνης ἐλευθερώσαντας· καὶ μύρον εὐωδίας σοι προσφέρειν βίον καθαρὸν ἐν μετανοίᾳ μοι κτηθέντα· ἵνα ἀκούσω κἀγὼ τῆς εὐκταίας σου φωνῆς, ἡ πίστις σου σέσωκέ σε, πορεύου εἰς εἰρήνην.

Ὅταν λάβω κατὰ νοῦν τὰ πλήθη τῶν πεπραγμένων μου δεινῶν· καὶ εἰς ἔννοιαν ἔλθω τῆς φοβερᾶς ἐκείνης ἐτάσεως, τρόμῳ συνεχόμενος πρὸς σὲ καταφεύγω, τὸν φιλάνθρωπον Θεόν· διὸ μή με παρίδῃς ἱκετεύω σε, μόνε ἀναμάρτητε· δώρησαι κατάνυξιν τῇ ταπεινῇ μου ψυχῇ πρὸ τελευτῆς καὶ σῶσόν με.

Τῇ Δευτέρᾳ εἰς τὸν Ὄρθρον μετὰ τὴν α'. στιχολ. καθίσ. κατανυκτικά· ἦχος πλ. δ'.

Ὄμματι εὐσπλάγχνῳ, Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν, ὅτι κατὰ μικρὸν ἡ ζωή μου δαπανᾶται, καὶ ἐξ ἔργων ἐν ἐμοὶ οὐχ ὑπάρχει σωτηρία, διατοῦτο δέομαι, ὄμματι εὐσπλάγχνῳ, Κύριε, ἴδε τὴν ἐμὴν ταπείνωσιν, καὶ σῶσόν με.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

Ὡς τοῦ κριτοῦ παρόντος μερίμνησον, ψυχή, καὶ τῆς φρικτῆς ἡμέρας τὴν ὥραν ἐννοοῦ· ἡ γὰρ κρίσις ἀνίλεως ἐστὶ τοῖς μὴ πράξασιν ἔλεος, διὸ φεῖσαί μου, Σωτήρ, μόνος γὰρ ὑπάρχεις φιλάνθρωπος.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἡ νοητὴ πύλη τῆς ζωῆς ἡμῶν, ἄχραντε Θεοτόκε, τοὺς προστρέχοντάς σοι πιστῶς λύτρωσαι τῶν κινδύνων, ἵνα δοξάζωμεν τὸν πανάγιον τόκον σου, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὴν ζ'. ᾠδὴν τὸ Μαρτυρικόν.

Φωστῆρες νοεροὶ ἀνεδείχθητε ἅγιοι μάρτυρες· τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως, τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ νυμφίῳ μετὰ δόξης συνεισήλθετε εἰς τὸν οὐράνιον νυμφῶνα· καὶ νῦν ἱκετεύσατε, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.



Digitized by Google

Τῇ τρίτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. κατανυκτικά· ἦχος πλ. δ΄.

ΩΣ ἡ πόρνη σοι προσπίπτω, ἵνα λάβω τὴν ἄφεσιν· καὶ ἀντὶ μύρου τὰ δάκρυα ἐκ καρδίας προσφέρω σοι, Χριστὲ ὁ Θεός· ἵνα ὡς ἐκείνην οἰκτειρήσῃς με, Σωτήρ, καὶ παράσχῃς ἱλασμὸν ἁμαρτιῶν, ὡς αὐτὴ γὰρ κραυγάζω σοι, λύτρωσαί με τοῦ βορβόρου τῶν ἔργων μου.

Στίχ. Κύριε μὴ τῷ θυμῷ σου.

ΤΗν ἡμέραν ἐκείνην τὴν φοβερὰν ἐννοοῦσα, ψυχή μου, γρηγόρησον, ἀνάπτουσα λαμπάδα σου, ἐν ἐλαίῳ φαιδρύνουσα· οὐ γὰρ οἶδας πότε πρὸς σὲ ἐπελεύσεται ἡ φωνὴ ἡ λέγουσα· ἰδοὺ ὁ νυμφίος σου, βλέπε οὖν ψυχή μου μὴ νυστάξῃς, καὶ μείνῃς ἔξωθεν κρούουσα, ὡς αἱ πέντε παρθένοι· ἀλλὰ ἀγρύπνως καρτέρησον, ἵνα ὑπαντήσῃς Χριστῷ τῷ Θεῷ ἐν ἐλαίῳ πίονι, καὶ δώῃ σοι τὸν νυμφῶνα τὸν θεῖον τῆς δόξης αὐτοῦ.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

ΤΟ ἀσάλευτον στήριγμα τὸ τῆς πίστεως, καὶ σεβάσμιον δώρημα τῶν ψυχῶν ἡμῶν, τὴν Θεοτόκον ἐν ὕμνοις μεγαλύνομεν, πιστοί· χαῖρε, ἡ τὴν πέτραν τῆς ζωῆς ἐν γαστρί σου χωρήσασα· χαῖρε, τῶν περάτων ἡ ἐλπίς, θλιβομένων ἀντίληψις· χαῖρε νύμφη ἀνύμφευτε.

Καὶ ἐν τῇ ζ΄. ᾠδῇ τὸ Μαρτυρικόν.

ΦΩτὶ οὐρανίῳ καταλάμπεται σήμερον αὕτη ἡ σκηνή· ἐν ταύτῃ γὰρ στρατιαὶ Ἀγγέλων ἀγάλλονται, σὺν αὐτοῖς καὶ μαρτύρων χοροὶ εὐφραίνονται ἐπὶ τῇ μνήμῃ τῶν ἀθλοφόρων· αὐτῶν ταῖς παρακλήσεσι κατάπεμψον τῷ Κόσμῳ σου τὴν εἰρήνην, Χριστέ, καὶ τὸ μέγα ἔλεος.

Τῇ τετάρτῃ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. σταυρώσιμα ἦχος πλ. δ΄.

ΒΛέπων ὁ λῃστὴς τὸν ἀρχηγὸν τῆς ζωῆς ἐπὶ Σταυροῦ κρεμάμενον, ἔλεγεν, εἰ μὴ Θεὸς ὑπῆρχε σαρκωθεὶς ὁ σὺν ἡμῖν σταυρωθείς, οὐκ ἂν ὁ Ἥλιος τὰς ἀκτῖνας ἀπέκρυψεν, οὐδὲ ἡ γῆ σειομένη ἐκυμαίνετο· ἀλλ' ὁ πάντων ἀνεχόμενος, μνήσθητί μου, Κύριε, ἐν τῇ βασιλείᾳ σου.

Στίχ. Ὑψοῦτε Κύριον.

ΕΝ μέσῳ δύο λῃστῶν ζυγὸς δικαιοσύνης εὑρέθη ὁ Σταυρός σου· τοῦ μὲν καταγομένου εἰς ᾅδην τῷ βάρει τῆς βλασφημίας, τοῦ δὲ κουφιζομένου πταισμάτων πρὸς γνῶσιν θεολογίας· Χριστὲ ὁ Θεὸς δόξα σοι.

Δόξα. Καὶ νῦν· σταυροθεοτ.

ΤΟν ἀμνὸν καὶ ποιμένα, καὶ Σωτῆρα τοῦ Κόσμου ἐν τῷ Σταυρῷ θεωροῦσα ἡ τεκοῦσα, ἔλεγε δακρύουσα· ὁ μὲν Κόσμος ἀγάλλεται, δεχόμενος τὴν λύτρωσιν, τὰ δὲ σπλάγχνα μου φλέγονται, ὁρώσης σου τὴν σταύρωσιν, ἣν ὑπὲρ πάντων ὑπομένεις ὁ Υἱός, καὶ Θεός μου.

Ἐν τῇ ζ΄. ᾠδῇ τὸ Μαρτυρικόν.

ΤΗς στενῆς, καὶ τεθλιμμένης ὁδοῦ ἀκλινεῖς ὁδοιπόροι γεγόνατε ἅγιοι μάρτυρες· τῶν γὰρ πειρασμῶν τὴν τρικυμίαν ὑπεμείνατε, καὶ τῶν ἀσωμάτων λειτουργῶν τὴν πολιτείαν ἀνελάβετε, πέτρα ὑπομονῆς, καὶ θεμέλιοι εὐσεβείας ἀνεδείχθητε, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Τῇ ε΄. εἰς τὸν Ὄρθρον μετὰ τὴν πρώτην στιχολ. καθίσ. Ἀποστολικά. ἦχος πλ. δ΄.

ΕΥλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε δόξα σοι.

Στίχ. Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν.

ΤΟὺς φωστῆρας τοῦ Κόσμου, καὶ ὁδηγούς, τῆς ἡμῶν σωτηρίας τὴν ἀπαρχήν, τοὺς θείους ὑμνήσωμεν μαθητὰς τοῦ Θεοῦ ἡμῶν, ὅτι φῶς τοῖς ἐν σκότει ἡμῖν ἐξανέτειλαν, καὶ τὸν Ἥλιον πᾶσι τῆς δόξης ἐγνώρισαν· ὅθεν καὶ τὴν πλάνην τῶν εἰδώλων καθεῖλον, Τριάδα κηρύξαντες ἐν μιᾷ τῇ θεότητι· διὰ τοῦτο δεόμεθα, Ἀπόστολοι Χριστοῦ τοῦ Θεοῦ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

ΧΑῖρε, ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ Κόσμου δεξαμένη· χαῖρε, ἡ τεκοῦσα τὸν ποιητήν σου, καὶ Κύριον· χαῖρε ἡ ἀξιωθεῖσα γενέσθαι μήτηρ Χριστοῦ τοῦ Θεοῦ.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

ΓΕνναίως τὸν δρόμον τελέσαντες, τυράννοις ἀντέστητε μάρτυρες· τὰ γὰρ σώματα νεκρώσαντες ἐν γῇ, ἀπελάβετε οὐράνιον ζωήν, ἅγιοι.

Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὴν α΄ στιχολ. καθίσ. σταυρώσιμα· ἦχος πλ. δ΄.

ΕΝ μέσῳ τῆς Ἐδὲμ ξύλον ἤνθησε τὸν θάνατον, ἐν μέσῳ πάσης γῆς ξύλον ἐβλάστησε τὴν ζωήν· γευσάμενοι γὰρ τοῦ πρώτου, ἄφθαρτοι ὄντες, φθαρτοὶ γεγόναμεν, τυχόντες δὲ τοῦ δευτέρου, τῆς ἀφθαρσίας κατετρυφήσαμεν· ἐν τῷ Σταυρῷ γὰρ σώζεις, ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

Στίχ. Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν.

ΕΝ Παραδείσῳ με τὸ πρὶν ξύλῳ ἐγύμνωσεν ἐπὶ τῇ γεύσει ὁ ἐχθρὸς εἰσφέρων νέκρωσιν· τοῦ Σταυροῦ δὲ τὸ ξύλον τῆς ζωῆς τὸ ἔνδυμα ἀνθρώποις φέρον ἐπάγη ἐπὶ τῆς γῆς· καὶ Κόσμος ὅλος ἐπλήσθη πάσης χαρᾶς· ὃν ὁρῶντες ὑψούμενον, Θεῷ ἐν πίστει, λαοί, συμφώνως ἀνακράξωμεν, πλήρης δόξης ὁ οἶκος αὐτοῦ.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

ΤΟν ἐξ αἱμάτων σου ἁγνῶν σωματωθέντα, καὶ ὑπὲρ ἔννοιαν ἐκ σοῦ, σεμνή, τεχθέντα, ἐπὶ ξύλου κρεμάμενον μέσον τῶν κακούργων ὁρῶσα, τὰ σπλάγχνα ἤλγεις, καὶ μητρικῶς θρηνοῦσα

σα

σα ἐβόας, οἴμοι τέκνον ἐμόν, τίς ἡ θεία, καὶ ἄφατος οἰκονομία σου· δι᾽ ἧς ἐζώωσας τὸ πλάσμα σου, ἀνυμνῶ σου τὸ εὐσπλαγχνον.

Εἰς τὴν ζ΄. ᾠδὴν τὸ Μαρτυρικόν.

ΔΙ᾽ ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους ἀπονεκρώσαντες ὁρμὰς, καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες, καὶ μετὰ τέλος θαυματουργεῖν· ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνὰ ἐκβλύζουσιν ἰάματα· δόξα τῷ μόνῳ, καὶ κτίστῃ Θεῷ.

Τῇ Παρασκευῇ Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, τὸ ἰδιόμ. τῆς ἡμέρας δίς. Εἶτα τὰ παρόντα δ΄. Μαρτυρικὰ τοῦ ἤχου· καὶ τοῦ Μηναίου δ΄. στιχ. Μαρτυρικά· ἦχος πλ. δ΄.

ΜΑ᾽ρτυρες Κυρίου, πάντα τόπον ἁγιάζετε, καὶ πᾶσαν νόσον θεραπεύετε, καὶ νῦν πρεσβεύσατε ῥυσθῆναι τῶν παγίδων τοῦ ἐχθροῦ τὰς ψυχὰς ἡμῶν, δεόμεθα.

ΜΑ᾽ρτυρες Κυρίου ἱκετεύσατε τὸν Θεὸν ἡμῶν, καὶ αἰτήσασθαι ταῖς ψυχαῖς ἡμῶν πλῆθος οἰκτιρμῶν, καὶ τὸν ἱλασμὸν τῶν πολλῶν παραπτωμάτων, δεόμεθα.

ΟἹ μάρτυρές σου Κύριε ἐπιλαθόμενοι τῶν ἐν τῷ βίῳ, καταφρονήσαντες καὶ τῶν βασάνων διὰ τὴν μέλλουσαν ζωὴν, ταύτης κληρονόμοι ἀνεδείχθησαν· ὅθεν καὶ Ἀγγέλοις συναγάλλονται, αὐτῶν ταῖς ἱκεσίαις δώρησαι τῷ λαῷ σου τὸ μέγα ἔλεος.

ΕἼτις ἀρετὴ, καὶ εἴτις ἔπαινος πρέπει τοῖς ἁγίοις· ξίφεσι γὰρ ἔκλιναν τοὺς αὐχένας διὰ σὲ τὸν κλίναντα οὐρανοὺς, καὶ καταβάντα· ἐξέχεαν τὸ αἷμα αὐτῶν διὰ σὲ τὸν κενώσαντα ἑαυτὸν, καὶ μορφὴν δούλου λαβόντα· ἐταπεινώθησαν ἕως θανάτου, τὴν πτωχείαν σου μιμούμενοι· ὧν ταῖς εὐχαῖς κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ὁ Θεὸς ἐλέησον ἡμᾶς.

Δόξα, τὸ νεκρώσιμον τοῦ Δαμασκηνοῦ.

ΘΡηνῶ, καὶ ὀδύρομαι, ὅταν ἐννοήσω τὸν θάνατον, καὶ ἴδω ἐν τοῖς τάφοις κειμένην τὴν κατ᾽ εἰκόνα Θεοῦ, πλασθεῖσαν ἡμῖν ὡραιότητα, ἄμορφον, ἄδοξον, μὴ ἔχουσαν εἶδος· ὢ τοῦ θαύματος· τί τὸ περὶ ἡμᾶς τοῦτο γέγονε μυστήριον; πῶς παρεδόθημεν τῇ φθορᾷ; πῶς συνεζεύχθημεν τῷ θανάτῳ; ὄντως Θεοῦ προστάξει ὡς γέγραπται, τοῦ παρέχοντος τοῖς μεταστᾶσι τὴν ἀνάπαυσιν.

Καὶ νῦν, τὸ α΄. Θεοτ. τοῦ ἤχου.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν διὰ φιλανθρωπίαν ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συναναστράφη· ἐκ Παρθένου γὰρ ἁγνῆς σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως· εἷς ἐστὶν υἱὸς διπλοῦς τὴν φύσιν· ἀλλ᾽ οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεὸν, καὶ τέλειον ἄνθρωπον ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν· ὃν ἱκέτευε, μῆτερ ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῷ Σαββάτῳ εἰς τὸν ὄρθρον μετὰ τὴν α΄. στιχολ. καθίσ. Μαρτυρικά· ἦχος πλ. δ΄.

Τὸ προσταχθέν.

ΦΩστῆρες νοητοὶ ἀνεδείχθητε, ἅγιοι μάρτυρες· τὴν γὰρ ἀχλὺν τῆς πλάνης κατηργήσατε διὰ τῆς πίστεως, τὰς ψυχικὰς ὑμῶν λαμπάδας ἐφαιδρύνατε, καὶ τῷ νυμφίῳ μετὰ δόξης συνεισήλθετε εἰς τὸν οὐράνιον νυμφῶνα· καὶ νῦν ἱκετεύσατε δεόμεθα, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Στίχ. Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις.

ΟἹκουμένης φωστῆρες ἀειλαμπεῖς ἀνεδείχθητε πίστει μαρτυρικῇ, ὅλην ἀναθέμενοι τὴν ἐλπίδα πρὸς Κύριον, καὶ νοητῷ ἐλαίῳ τοῦ Πνεύματος ἅγιοι, τὰς ψυχικὰς λαμπάδας ὑμῶν ἐφαιδρύνατε· ὅθεν καὶ κρατῆρες πνευματικοὶ, προχέοντες τὰ αἵματα, ὡς νάματα, τῇ Ἐκκλησίᾳ ἐφάνητε, ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν.

Στίχ. Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ.

ΔΙ᾽ ἐγκρατείας τῶν παθῶν τὰς πυριφλέκτους ἀπονεκρώσαντες ὁρμὰς, καὶ τὰς κινήσεις, τοῦ Χριστοῦ οἱ μάρτυρες ἔλαβον τὴν χάριν, τὰς νόσους ἀποδιώκειν τῶν ἀσθενῶν, καὶ ζῶντες, καὶ μετὰ τέλος θαυματουργεῖν· ὄντως θαῦμα παράδοξον, ὅτι ὀστέα γυμνὰ ἐκβλύζουσιν ἰάματα· δόξα τῷ μόνῳ, καὶ κτίστῃ Θεῷ.

Δόξα, τὸ Νεκρώσιμον.

Ὁ Βυθῷ σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε δημιουργὲ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου· ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο τῷ ποιητῇ, καὶ πλάστῃ Θεῷ.

Καὶ νῦν. Θεοτοκίον.

ΣΕ᾽ καὶ τεῖχος, καὶ λιμένα ἔχομεν, καὶ πρέσβιν εὐπρόσδεκτον, πρὸς ὃν ἔτεκες Θεὸν, Θεοτόκε ἀνύμφευτε, τῶν πιστῶν ἡ σωτηρία.

Εἰς τοὺς αἴνους στιχη. μαρτυρικά· ἱστῶμεν στίχ. δ΄. ἦχος πλ. δ΄.

ΤΙ᾽ ὑμᾶς καλέσωμεν ἅγιοι, χερουβίμ; ὅτι ἐν ὑμῖν ἐπανεπαύσατο Χριστός· σεραφίμ; ὅτι ἀπαύστως ἐδοξάσατε αὐτόν· ἀγγέλους; τὸ γὰρ σῶμα ἀπεστράφητε, δυνάμεις ἐνεργεῖτε ἐν τοῖς θαύμασι· πολλὰ ὑμῶν τὰ ὀνόματα, καὶ μείζονα τὰ χαρίσματα, πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΜΕγάλως ἠγωνίσασθε, ἅγιοι, τὰς βασάνους τῶν ἀνόμων ὑπομείναντες γενναίως, τὸν Χριστὸν ὁμολογοῦντες ἐναντίον βασιλέων, καὶ πάλιν μεταστάντες ἐκ τοῦ βίου, δυνάμεις ἐνεργεῖτε ἐν τῷ κόσμῳ, καὶ ἀσθενοῦντας θεραπεύετε

ἐκ

Digitized by Google

ἐκ τῶν παθῶν· ἅγιοι πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΜΑ΄ρτυρες Χριστοῦ οἱ ἀήττητοι, οἱ νικήσαντες τὴν πλάνην τῇ δυνάμει τοῦ σταυροῦ, ἀπελάβετε τὴν χάριν τῆς αἰωνίου ζωῆς· τυράννων ἀπειλὰς οὐκ ἐπτοήθητε· βασάνοις αἰκιζόμενοι εὐφραίνεσθε, καὶ νῦν τὰ αἵματα ὑμῶν γέγονεν ἰάματα ταῖς ψυχαῖς ἡμῶν· πρεσβεύσατε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

ΤΟ΄ν θώρακα τῆς πίστεως ἐνδυσάμενοι καλῶς· καὶ τῷ τύπῳ τοῦ σταυροῦ καθοπλίσαντες ἑαυτοὺς, στρατιῶται εὐσθενεῖς ἀνεδείχθητε· τοῖς τυράννοις ἀνδρείως ἀντικατέστητε, καὶ διαβόλου τὴν πλάνην κατηδαφήσατε· νικηταὶ γενόμενοι, τῶν στεφάνων ἠξιώθητε· πρεσβεύσατε ὑπὲρ ἡμῶν εἰς τὸ σωθῆναι ἡμᾶς.

Δόξα, τὸ Νεκρώσιμον.

Ο῾ Θανατός σου, Κύριε, ἀθανασίας γέγονε πρόξενος· εἰ μὴ γὰρ ἐν μνήματι κατετέθης, οὐκ ἂν ὁ παράδεισος ἠνέωκτο, διὸ τοὺς μεταστάντας ἀνάπαυσον, ὡς φιλάνθρωπος.

Καὶ νῦν. Θεοτοκίον.

Η῾ Σκέπη σου, Θεοτόκε παρθένε, ἰατρεῖον ὑπάρχει πνευματικὸν, ἐν αὐτῇ γὰρ καταφεύγοντες, ψυχικῶν νοσημάτων λυτρούμεθα.

Α΄ποστίχ. στιχη. προσόμοια τοῦ Κυρίου Θεοφάνους, ἦχ. πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.

ΒΑσιλικῶς μοι ὑπέγραψας ἐλευθερίαν βαφαῖς ἐρυθραῖς, τοὺς δακτύλους σου αἱματώσας, Δέσποτα, καὶ φοινίξας σῷ αἵματι· καὶ νῦν ἐν πίστει καθικετεύω σε, τοῖς πρωτοτόκοις σου συναρίθμησον, καὶ τῶν δικαίων σου τῆς χαρᾶς ἀξίωσον ἐπιτυχεῖν τοὺς μεταφοιτήσαντας πρὸς σὲ τὸν εὔσπλαγχνον.

Στίχ. Μακάριοι, οὓς ἐξελέξω.

Ι῾Ερατεύσας, ὡς ἄνθρωπος, σφαγιασθεὶς, ὡς ἀμνὸς, προσφορὰν προσενήνοχας τῷ Πατρὶ, τὸν ἄνθρωπον τῆς φθορᾶς ἐξωνούμενος· τοὺς μεταστάντας οὖν, ὡς φιλάνθρωπος, ἐν τῇ τῶν ζώντων χώρᾳ κατάταξον, ἔνθα οἱ χείμαρροι τῆς τρυφῆς προέρχονται, ἔνθα πηγαὶ τῆς ἀϊδιότητος ἀναβλυστάνουσιν.

Στίχ. Καὶ τὸ μνημόσυνον αὐτῶν.

ΒΑ΄θη σοφίας ἀρρήτου σου ὀρθοθετεῖς τὴν ζωὴν, καὶ προβλέπεις τὰ μέλλοντα, καὶ πρὸς βίον ἕτερον μετοικίζεις τοὺς δούλους σου· οὓς προσελάβου τοίνυν κατάταξον ἐπὶ ὑδάτων τῆς ἀναπαύσεως· ἐν τῇ λαμπρότητι τῶν ἁγίων, Κύριε· ἔνθα φωνὴ τῆς ἀγαλλιάσεως, καὶ τῆς αἰνέσεως·

Δόξα, τὸ Νεκρώσιμον.

ΛΟ΄γος ὑπάρχων ἀόρατος ὁμοφυὴς τῷ Πατρὶ, καὶ τῷ Πνεύματι σύνθρονος, δι᾽ ἐμὲ τὸν ἄνθρωπον ἐν σαρκὶ πεφανέρωσαι, ὡς ἐλεήμων ὢν, καὶ φιλάνθρωπος τοὺς ἐκ τοῦ βίου μεταφοιτήσαντας τῆς εὐπρεπείας σου, καὶ τῆς ὡραιότητος ταῖς καλλοναῖς τούτους καταλάμπρυνον, ζωαρχικώτατε.

Καὶ νῦν. Θεοτοκίον.

Ω῾Σ συλλαβοῦσα τὸν ἄναρχον Λόγον Θεοῦ, καὶ Πατρὸς μητρικῇ παρρησίᾳ σου ἐκτενῶς ἱκέτευε, κατατάξαι τοὺς δούλους σου ἔνθα χορεία ἡ ἀκατάλυτος εὐφραινομένων, καὶ εὐφημούντων σε, ἔνθα λαμπρότητες αἱ διαιωνίζουσαι, καὶ ὁ γλυκὺς ἦχος ἑορταζόντος, Θεογεννήτρια.

Ε῾παινείσθω μετὰ πολλῆς δόξης ὁ Θεὸς,
ὁ τῶν ἁπάντων κτίστης.

Bayerische Staatsbibliothek München

ΤΕΛΟΣ.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google